APOLLONII CITIENSIS, STEPHANI, PALLADII, THEOPHILI, MELETII, DAMASCII, IOANNIS,

ALIORUM

SCHOLIA

IN

HIPPOCRATEM ET GALENUM

E

CODICIBUS MSS. VINDOBONENS. MONACENS. FLORENTIN. MEDIOLANENS. ESCORIALENS. ETC.

PRIMUM GRAECE

EDIDIT

FRIDERICUS REINHOLDUS DIETZ

Med. et Chir. Doctor, medicinae practicae in Academia Prussorum Albertina Professor Extraordinarius, nosocomii, quod ibi est, Clinices medicae Medicus deuterurgus, pauperum partis Regimontii palaeopolitanae eiusque suburbiorum archiater.

VOLUMEN PRIMUM.

REGIMONTII PRUSSORUM

APUD FRATRES BORNTRAEGER.

MDCCCXXXIV.

IMPRESSIT CONRADUS PASCHKE.

Praefatio.

Quum iam in eo essem, ut Oribasii, Pauli Aeginetae, Aetii, Joannis Actuarii, aliorum, opera medica prelo submitterem continua serie ex maxima parte primum Graecis typis exprimenda apud honestissimum illum librarium Lipsiensem, qui iam viginti sex spissis binisque ex iis bipartitis voluminibus Galeni, Hippocratis, Aretaei, Dioscoridis libros graece et latine ediderat eaque corporis medicorum Graecorum splendida editione iustam nominis celebritatem erat consecutus, eiusdem librarii votis precibusque permotus, ut inchoatam Oribasii editionem ad tempus intermitterem, donec vires morbo diuturno exhaustas resumsisset, inpraesentiarum aliud consilium exsequi decrevi, non ita ab intermisso in tempus praesens opere diversum atque alienum. Pactum enim conventumque erat inter nos, ut ab Oribasio, Sardiano medico divique Juliani imperatoris archiatro, cuius opera, quae extant, fere omnia, si quae a Matthaeo et quae ab Angelo Maio, ab utroque sine ulla rei medicae scientia edita circumferuntur fragmenta, excipias, graece nondum sunt vulgata, novae corporis medicorum Graecorum seriei, meis curis in lucem prodendae, duceretur exordium, quae

monimenta graecae medicinae post Galenum usque ad eius decimo quinto demum aerae nostrae seculo interitum comprehenderet. Atqui mihi tam felici esse contigit, ut etiam post Oribasii aliquot ab Angelo Maio in bibliotheca Vaticana detectos editosque libros duos equidem detegerem libros novos. Oribasii igitur editionem integram, critico adparatu instructam, diu a me paratam ac consummatam, medicis eruditis primum in manus dabimus, ubi quas hoc anno interjicimus commentariorum scholiorumque in Hippocratem et Galenum et corporis Chemicorum Graecorum editiones criticas, haud invite librarii celeberrimi, medicorum Graecorum sospitatoris, obtemperantes desideriis, ad finem erunt perductae.

Neque ita praeceps mihi fuit ab Oribasio ad interpretes Hippocratis Galenique graecos transitus. Hippocrati enim artique medicae exercendae vitam meam adolescens sacravi ejusque libris perpurgandis majorem temporis operaeque dicavi partem, quum quae Hippocrati emendando suppeditarent bibliothecarum Europae celeberrimarum libri manuscripti adminicula, per quinquennium in peregrinis urbibus sedulo et eruerem et conquirerem. Ab Hippocrate ad ejus interpretes perlustrandos sensim sum delapsus. Quos ubi prope omnes nondum vidi esse graece publicatos, mei esse officii duxi et illos ipsos tamdiu neglectos Hippocrateorum librorum explanatores in lucem protrahere. Huc accedit, quod modo reduci mihi facto in patriam urbem et Hippocratis publicis scholis interpretandi munus est commissum et amplus largusque campus medicinae factitandae ad lectulos aegrotorum est apertus. Quo factum est, ut reciprocis ideoque prosperrimis studiis ita Hippocratem e natura ut naturam ex

Hippocrate, fidissimo eius discipulo, possem commentari. Et me suppudet quidem, quae mea est hominis misericordia, confiteri, me in hoc studiorum tam nobilium beato commercio bilem commovisse ingenioso (ain' tu?) cuidam viro, qui medicinam sibi soli in hac nostra academia mancipatam ab Aesculapio revelatumque sibi soli Hygieae esse delubrum hallucinatur medicosque reliquos ampullato insolentique suo genere scribendi nauseabundos miserrime jugulat ac plane novo invento, quod medicinae practicae nominare systema naturale est ausus, medicinam saniorem, unice veram, Hippocraticam Orco truculentissime mactat. O praeclaram, o divinam medicinae doctrinam naturalem! Te natura exauctorabit monstrum! Te Hippocrates repudiabit ingenii inculti abortum! Tecum mihi res erit, dum patriae medicinae salus mihi erit cordi. Te et quae istiusce sunt farinae, cavillo cachinnoque exponam, quamdiu Hippocratem ac veritatem experientiae diligam! Nosmet ipsi, inglorio ingratoque hoc munere defuncti, ut cum Lucilio loquamur, felices alieno intersumus aevo. Nam de Physiomastige ipso eiusque adversus nos excandescentia susque deque. Sed iam ad propositum revertor. Primo huic commentariorum in Hippocratem et Galenum volumini pauca esse praefanda judico et de scriptoribus, quorum opera complectitur, et de codicibus, e quibus mea ipsius manu omnia, quae nunc tibi trado, lector benevole, transscripsi.

Apollonius Citiensis.

Fabricius in elencho medicorum graecorum XIII. p. 74. — *Apollonius Citiensis, Caelio Aureliano libr. II. Chronic. cap. 4 ex. lib. II. de epilepticis, et iterum*

libr. III. cap. 4. Citium Apollonii medici patriam fuisse notat etiam Strabo XIV. p. 683.

De Nicetae chirurgorum graecorum collectione Fabr. XII. p. 778. et 779. Multo uberius de hac collectione et de antiquissimo huiusce collectionis codice Laurentiano tractarunt et Antonius Cocchius in Graecor. chirurgic. libr. Florentiae. 1754. et Bandinius in catalogo codicum MSS. bibliothecae Laurentianae.

Antonius Cocchius in libro citat. p. 171 haec habet de Apollonio: *Tria igitur reliqua sunt in eodem Nicetae codice* (praeter ea, quae ipse Cocchius edidit) *quae porro promenda videntur. Primum sunt Apollonii Citiensis commentarii tres in Hippocratis librum de articulis inscripti Ptolemaeo cuidam regi, quem esse juniorem illum Ptolemaei Auletae Aegypti regis XI fratrem, cui circa annum ante Chr. LXX Cypri regnum obtigit, nos jampridem conjecimus in libello quem de re anatomica Florentiae edidimus anno MDCCXLV.* Initium finemque horum commentariorum eodem loco graece et latine vulgavit. Fere similia sunt apud Cocchium p. 12 in nota: *commentarii tres in librum Hippocratis de articulis, quorum mentio habetur in Erotiani edit. graec. Hen. Steph. p.* 18. *in voce ἄμβην. Obscure hos indicat Fabricius in Bibl. gr. XII. p.* 779 *aitque constare necdum esse vulgatos. Apollonius hic magni nominis medicus e Citio Cypri oppido laudatus a Strabone, et saepe Aureliano et Erotiano memoratus, vixit, ni fallor, circa annum LXX ante Christum, et hosce commentarios dicavit Ptolemaeo Cypri regi Ptolemaei Auletae regis Aegypti fratri, ut ex ipsiusmet verborum contextu conjicere me posse reor.* —

Kuehnius in additamentorum ad elenchum medicorum Fabricii fasciculo tertio de Apolloniis ita disserit:

Cum magna medicorum turba hoc nomine sit usa, et hinc frequens unius cum altero confundendi opportunitas nascatur, omnes historiae literariae amatores multum sibi obstrinxit Chr. Fr. Harless, dum sua Analecta histor. crit. de Archigene medico et de Apolloniis medicis eorumque scriptis et fragm. Bamberg. 1816. 4. *ederet. In hisce analectis conscribendis, quod ipse p.* 14. *profitetur, conjuncta Fabricii, qui non solum in elencho medicor. vett. Vol. XIII. Biblioth. Gr., sed etiam lib. III. c.* 21. *et lib. IV. c.* 17. *ejusdem bibliothecae de variis Apolloniis egit, Clerici, Halleri et Sprengelii opera usus est. Nuper idem argumentum pertractavit C. Sprengel. in Erschii Encyclop. IV. p.* 439.

Apollonium Citiensem et Apollonium Murem unum eundemque et medicum et scriptorem fuisse, probare annisus est Harless. l. c. p. 17. *Ad Apollonium Memphitem retulit Erotian. p.* 86. *Franz. librum περὶ ἄρθρων, qui in Nicetae collect. chirurg. vett. Apollonio Citiensi tribuitur. Utrum hac in re, quod a verisimilitudine non prorsus abhorret, Erotianus lapsus fuerit, an duo scriptores cognomines quidem, sed diversa patria orti, idem pertractaverint argumentum, haud dubie tunc dijudicare potero, cum apographum Nicetae acquisivero, cujus felicitatis me brevi participem fore spero.* — Haec Kuehnius. At mihi quidem id ex verbis Erotiani non videtur liquere. Erot. p. 86. sub. voc. *ἄμβην: Ἀπολλώνιος δ᾽ ὁ Μεμφίτης ἐν τῷ περὶ ἄρθρων, ὑπεροχὴν παρὰ τὸ λοιπὸν ξύλον· Ἀπολλώνιος δ᾽ ὁ Θὴρ, ἐξοχήν· Ὁ δὲ Κιτιεὺς Ἀπολλώνιος ἐν τῷ περὶ ἄρθρων, σιγμοειδῆ ἐγκοπήν.* Apollonius vero Citiensis p. 10. edit. nostr. haec habet verba: *Κῷοι τοὺς τῶν κλιμάκων ἀναβαθμοὺς ἄμβωνας καλοῦσιν, ὥστ᾽ εἰρῆσθαι τὴν ἐν τῷ ξύλῳ ὑπεροχὴν τοιαύτην εἶναι, ὁμοίαν ἀναβαθμῷ εἰς τὸ βάθος ἐκκοπὴν ἔχουσαν.* Quae verba, prout ea explicas, ad

tres ab Erotiano allegatos Apollonios aequali jure spectare possunt.

Sed ne magis rem irretiam auctoritatibus et testimoniis conquisitis et accumulatis, certum est, Apollonium nostrum Citiensem Zopyri fuisse aequalem atque ejusdem fuisse cum Posidonio quodam Alexandriae discipulum. Cf. p. 2. edit. nostr. Primo igitur ante Chr. saeculo vixit et Ptolemaeo cuidam commentarios suos dicavit. Alexandrinum autem quoniam nullum alium in Hippocratem commentarium habeamus servatum, qui quam rationem ante Galenum sint secuti explanatores Hippocratis, nobis sit documento, hisce Apollonii commentariis, etsi pauca praeter Hippocratis ipsius verba contineant, justus semper habebitur honos, antiquissimo huiusce generis monimento. Contra Bacchium (p. 4. p. 10.) stat Apollonius medicosque Herophileos, praesertim Hegetorem, (p. 4. p. 34.) cuius in elencho Fabricii mentionem non invenio. Dioclem memorat (p. 19.).

De codicibus chirurgorum Graecorum Parisiensibus pauca mihi sunt addenda. Duo enim sunt codices collectionis chirurgorum Nicetae Parisienses.

I. Cod. 2247. Fontebland. Chartac. saec. XVI. exaratus a Christophoro Auvero, Francisci primi tempore, e codice Nicolai Rodulphi Cardinalis. Initio huius codicis haec leguntur: Hunc codicem Cardinalis Rodulphus misit Francisco primo. Vide epistolam praefixam chirurgiae a Vido Vidio editae anno 1544. Ad Apollonium Cytiaeum de membrorum operatione insertae visuntur elegantes earundem operationum figurae. Collectioni praeponuntur tria poematia 1) ejus-

1) Quae Ant. Cocchius edidit p. 34—42.

dem Nicetae et Epigramma Ioannis Lascaris ad Ioannem Santorinum Rhodium. *Ἡ παροῦσα βίβλος περιέχει συναγωγὴν πολλῶν τῆς χειρουργικῆς τέχνης πραγματειῶν, συλλεγεῖσαν παρὰ Νικήτου ἐκ διαφόρων παλαιῶν ἰατρῶν ὧν τὰ καθ᾽ ἕκαστα ἐν τῷ ἐν ἀρχῇ τῆς βίβλου πίνακι ἀναγέγραπται.* — Lascaris epigramma (fol. 12.) hoc est:

Ἰωάννου τοῦ Λασκάρεως εἰς Ἰωάννην τὸν Σαντορινὸν τὸν Ῥόδιον.

Τίς τάδ᾽ ἀκεστορίης διαγράμματα δηρὸν ἀμαυρὰ
Αὖθις ἔθηκε φανὰ πραπίσι πευκαλίμαις;
Ἐκ Θήρης μὲν ἄνωθεν ἐπήλυδες ἐς Ῥόδον ἱρὴν
Σαντορινοῦ πρόγονοι, τῶν κλέος εὐρὺ πέλει,
Καὐτὸς ἄριστος ἀνὴρ κοὐδ᾽ ἐν λογίοις ἀγέραστος
Μοῦνος ἀνιχνεύσας θήραμα κοσμοφελὲς,
Βάθρα, βρόχους, τονίων ἐπιδέσμων σχήματ᾽ ἔτευξεν
Πάγχρηστ᾽, ἰσοθέῳ πατρὶ χαριζόμενος.

Ex quo epigrammate perspicitur, Santorinum Rhodium aut picturas huiusce codicis chirurgicas ipsum delineasse aut machinas chirurgicas ibi descriptas confecisse. In 1) codice Parisiensi latino 6866 (olim 5010) in quo latinae Vidi Vidii versiones plurium chirurgicorum librorum insunt, fol. 305. in praefatione ad librum Oribasii de machinamentis haec legi: dum machinamenta, quo aptius dictione complecterer et velut ob oculos ponerem, et pingere et lignea conficere studeo, quantum laboris susceperim, quantum exhauserim, praeter complures alios testis mihi est Ioannes Santurineus Rhodius et ipse Reverendissimi 2) Cardinalis mei familiaris. Testis etiam Franciscus Primadicius Bononiensis, regis Galliarum pictor eximius, quorum aliquando opera usus sum.

---

1) Codex splendidissimus, picturis elegantibus ab eodem pictore delineatis instructus, qui codicis graeci 2247 pinxit imagines.
2) Rodulphi.

II. Codex 2248, olim Medicaeus, Chartaceus, saec. XVI. e veteri codice membranaceo Rodulphi manu Balsamonis cuiusdam descriptus. Constat foliis 671. Picturae ad calcem codicis additae, rudes. Lectionibus codices Parisienses inter se congruunt. Hippocratis verba, quae in codice Laurentiano toties sunt corrupta, in his codicibus a scribis emendata leguntur. Huic codici carmen in Nicetam et Laurentium de Medicis est praefixum, quod sequitur:

Ἦν Ἀσκληπιάδης πολλῶν ἀντάξιος ἀνδρῶν,
Πάσσων, ἐκτάμνων φάρμακα καὶ βέλεα,
Ἱπποκράτης, Σωρανὸς, Ὀρειβάσιος Κιτιεύς τε,
Ἀρχιγένης, Ῥοῦφος, Πραξαγόρας, Διοκλῆς,
Ἡρόφιλος, Φίλων, Ἐρασίστρατος ἠδὲ Γαληνὸς,
Πάντες ἀριστοτέχναι ἦσαν ὅσοι πρόπαλαι,
Ἀλκτῆρες νούσων, ὑγιείης δώτορες ἐσθλοὶ,
Οὐδὲν ἀκεστορίης εἶδος ὑπεξέβαλον.
Οἱ δὲ νέοι τυπέων λώβας ἐξαρθρώσεις τε
Κουρεῦσι γραυσίν τ᾽ ὤπασαν ἀμφιέπειν·
Καὶ φυσικοὶ δῆθεν, χειρουργικὰ δ᾽ οὐκ ἀλέγοντες,
Τὴν τέχνην φάεσίν τ᾽ ὠσί τ᾽ ἐκερμάτισαν,
Ἄλλ᾽ ἄλλοις μελέων τ᾽ ἐπενείμαντ᾽, εἰς ἀφανισμὸν
Ταύτης, βαιοτάτοις σχιζομένης μορίοις.
Ἀλλ᾽ ὅ γε ΝΙΚΗΤΗΣ σοφίης πρόμος, εἰς ἓν ἀγείρας
Τεῦχος ὅσ᾽ ἐσκίδναντ᾽, ἤρκεσέν οἱ ὄλεθρον·
Καὶ διαγράμματ᾽ ἔδειξεν ἐπώνυμα, σὺν δ᾽ ἐπιδέσμων
Οὐνόματ᾽ ἐκ μορφῶν θῆκεν ἐπισταμένως,
Ὄφρα πέλωσιν ἐναργῆ, ῥαστώνην παρέχοντα
Σωτείρας τέχνης πᾶν ποθέουσι γένος.
Ἑλλάδος ἐς δ᾽ αἶαν ΛΑΥΡΕΝΤΙΟΣ ἦνικ᾽ ἔπεμψεν
Οὐκ ἀέκοντά γ᾽ ἑκὼν βιβλία διζέμεναι,
Παῖδάς θ᾽ Ἑλλαδικοὺς, οἷς εὐμαρὲς ἐς τέλος αὐδὴν
Ἑλλάδ᾽ ἐπασκῆσαι καὶ δόμεν Ἰταλίδαις,

Καὶ συγγράμματ' ἐρύσατο, κλεινοτάτων πόνον ἀνδρῶν,
Λοίσθια δυσμενέων χερσὶν ἀπολλύμενα,
Τήνδ' ἔτι βίβλον ἔφηνε θεὸς, καὶ χρυσὸς ἔνεικε
Τηλόθεν Ἰταλιήνδ', ὄφρα πέλῃ 1) *Μεδίκων.*
Νῦν δὲ πατὴρ 2) *Κλήμεις ξυνὴν θέτο καὶ κατένευσεν*
Ἰητρῶν τέχνην σῶν ἔμεν ὡς τὸ πάρος,
Ἔργα κλυτῶν προγόνων σώζων, εὐεργεσίας τε
Αὔξων, καὶ παρέχων εἰς σοφίην πάροδον.
Εἴη οἱ βασιλῆας 3) *ὁμόφρονας ἅττα μενοινᾷ*
Αὐτὸς ἑκὼν πονέων! Ἀλλὰ τί ταῦτ' ἐπὶ τοῖς;
Ὧν κλέος οὐχὶ πάρεργον ἀείσομαι, ἄσεται αἰὼν
Ἔργον ἅμα Κλειοῖ Καλλιόπῃ τε θεαῖν.

In bibliotheca Scholae Medicae Parisiensis volumen adservatur manuscriptum Bosquillonis, additum editioni Hippocratis et Galeni a Charterio vulgatae, pagin. 250, in quo est: 1) Glossarium Hippocratis, plurimis codicibus praefixum (ex Erotiano et Galeno congestum et Frobenianae Hippocratis graecae editioni adnexum) cum quatuor codicibus collatum. Eruditissimus Kuehnius apographum, a Graeco quodam medico exaratum, huiusce glossarii habet, non ita utilis. 2) Libri post Cocchium inediti e collectione Nicetae, e Codd. bibliothecae Regiae transscripti, cum figuris aeri incisis, quae et instrumenta chirurgica et methodos articulorum luxatorum repositionis comprehendunt. Bosquillon haec omnia editioni futurae paraverat. De formis picturarum aereis nihil, licet multum scitatus, potui comperire. In gurgustio quodam scholae medicae jacebunt et evilescent. 3) Galeni commentarii tres in librum Hippocratis de humoribus. Hoc apographum

1) Medicaeornm. 2) Clemens. Cf. Ant. Cocch. Chirurg. vet. praef. p. X. 3) sc. *εἶναι*.

nobilissimus de Mercy descripsit Kuehnioque misit. Editi hi commentarii primum sunt in Vol. XVI. Corp. Med. Gr. Ex hoc Bosquillonis apographo nullus mihi fructus. Ad fontes ipsos aquatum discessi in bibliothecam regiam Parisiensem. Nullus mihi itidem fructus e Codice 1533 liberalissimi Sir Thomas Phillipps, apud quem propter copias manuscriptas et Londini et in villa Middlehill sum deversatus, Middlehilliano, olim Meermanniano 226, chartaceo, saec. XVII, forma maxima, qui codicis Parisiensis est filius omnesque libros chirurgicos continet, et qui ante Cocchium nondum editi fuerant et qui ad hos usque annos post Cocchium inediti manserant.

Haec de codicibus, quos egomet inspexi. Superest, ut de codice Cardinalis Rodulphi adhuc disseram. Cocchius in praefat. p. XII: *Neque solum hoc nostrum Nicetae exemplar* (Laurentianum) *e Graeciae ruinis superfuisse opinor, cum et aliorum factam aliquam mentionem inveniam. Laudatur praecipue graecum volumen Francisci regis Francorum dono ei Roma missum a cardinali Rodulfio Florentino, quod unicum in ejus bibliotheca legebatur, ut scribit Vidius in chirurgia edita Parisiis anno* 1544. *Gabriel Fallopius idem exemplar, quod fortasse viderat Parisiis, indicavit cap.* 5. *commentarii sui in Hippocratis librum de vulneribus capitis, codicem graecum memorans Cardinalis Florentini, quem donavit Gallorum regi majusculis literis manuscriptum. Cujusmodi codex ille fuerit me latet, et an per omnia ad nostrum responderit, eundem enim fuisse suspicari nequeo.* — Ita Cocchius. Bibliothecae Cardinalis Rodulphi duos vidi Catalogos, alterum in bibliotheca S. Laurentii Escorialensi (Plut. VIII. Ser. I. Cod. 2.), alterum in bibliotheca Parisiensi Cod.

3074 (Colbertin. 3769), qui fuit ex libris Hermanni Taffini Nervii, ex quibus codices medicos graecos, e maxima parte Parisiis nunc servatos, hic enotare lubet. Index librorum Reverendissimi Domini Nicolai Cardinalis Rodulphi sub titulo, libri graeci in medicina, hos recenset codices:

1. *Ἐξήγησις τῶν Ἱπποκρατείων λέξεων. Ἱπποκράτους πάντα τὰ εὑρισκόμενα.*
2. *Γαληνοῦ πρὸς Γλαύκωνα βιβλία β' καὶ περὶ πεπονθότων τόπων ς'.*
3. *Γαληνοῦ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ια'.*
4. *Παύλου Αἰγινήτου τὸ ἕκτον.*
5. *Γαληνοῦ περὶ αἰτιῶν συμπτωμάτων γ'.*
6. *Διοσκουρίδου βιβλία η'. Ἀστρονομικὰ καὶ Προγνωστικὰ ἀνώνυμα. Θεοφίλου βασιλικοῦ Πρωτοσπαθαρίου περὶ σφυγμῶν.*
7. *Συμεὼν Μαγίστρου περὶ τροφῶν δυνάμεως. Τοῦ αὐτοῦ ἐξήγησις μυστικὴ κατὰ στεφανίτην* etc.
8. *Γαληνοῦ περὶ χρείας μορίων ιζ'.*
9. *Γαληνοῦ περὶ σφυγμῶν ις'.*
10. *Γαληνοῦ περὶ πεπονθότων μορίων ς'.*
11. *Γαληνοῦ ἰατρὸς εἰσαγωγή. ὅροι.*
12. *Γαληνοῦ περὶ διαφορᾶς νοσημάτων ς'. καὶ τῶν θεραπευτικῶν μεγάλων λόγοι γ'.*
13. *Γαληνοῦ εἰς ἀφορισμοὺς Ἱπποκράτους.*
14. *Διοσκουρίδου ὕλης ἰατρικῆς βιβλία θ'.*
15. *Ἱερακοσοφικὸν καὶ Κυνοσοφικόν.*
16. *Παύλου Αἰγινήτου ζ, τὸ ἕβδομον ἀτελές.*
17. *Γαληνοῦ μικρὰ τέχνη. Πρὸς Γλαύκωνα β'.*
18. *Παύλου Αἰγινήτου ζ καὶ ἕτερά τινα ἰατρικά.*
19. *Ἀψύρτου καὶ ἄλλων Ἱππιατρικά.*
20. *Συμεὼν Μαγίστρου τοῦ Σὴθ περὶ τροφῶν δυνάμεως.*

Συνταγμάτιον ἐπιγραφόμενον Ἱπποκράτει προσφωνηθὲν Πτολεμαίῳ.

21. Γαληνοῦ εἰς τὸ α′ τῶν ἐπιδημιῶν γ′. — εἰς τὸ τρίτον γ′.

22. Γαληνοῦ εἰς τοὺς προῤῥητικοὺς γ′.

23. Γαληνοῦ ἡ μικρὰ τέχνη.

24. Ἀρεταίου ς′. (Θεραπευτ. χρονίων νοσημάτων β′ desunt).

25. Γαληνοῦ ἡ μικρὰ τέχνη.

26. Ἀλεξάνδρου Τραλλιανοῦ τὸ δωδέκατον ἀτελές. Θεοφίλου περὶ οὔρων.

27. Γαληνοῦ περὶ διαφορᾶς πυρετῶν β′. — περὶ κρίσεων γ′. — περὶ κρισίμων ἡμερῶν γ′.

28. Παύλου Αἰγινήτου ζ′.

29. Ῥούφου Ἐφεσίου δ′. — Ὀρειβασίου κδ′ καὶ κε′.

30. Λύσεις ἀνώνυμοι εἰς τὰ παρ᾽ Ἱπποκράτει ἰατρικὰ καὶ φυσικὰ ζητήματα.

31. Ἀριστοτέλους τῶν μετὰ τὰ φυσικὰ α′ καὶ τοῦ β ἀρχή. — Γαληνοῦ ἀνατομικῶν ἐγχειρήσεων θ′. — εἰς τὸ περὶ ἄρθρων. — περὶ μυῶν κινήσεως. — εἰς τὸ περὶ ἀγμῶν. — εἰς τὸ κατ᾽ ἰητρεῖον.

32. Γαληνοῦ ἡ μικρὰ τέχνη. — Θεοφράστου περὶ ἰχθύων, ἀνέμων, ὀσμῶν. — Γαληνοῦ περὶ τῶν καθ᾽ Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων.

33. Ἔνια τῶν Ἱπποκράτους συνταγμάτων. Γαληνοῦ περὶ κράσεως τῶν ἁπλῶν φαρμάκων α′ καὶ β′ ἀτελές.

34. Παύλου Αἰγινήτου ζ′.

35. Γαληνοῦ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ια′.

36. Ἀλεξάνδρου Ἀφροδισιέως φυσικῶν ἀπορημάτων ε′. — Γαληνοῦ περὶ αἱρέσεων. — ἡ μικρὰ τέχνη. — περὶ πυρετῶν β′ (libri ad Glauconem). — Ἱπποκράτους προγνωστικόν. — Ἀφορισμοί. — Γαληνοῦ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων β′. — Ἀετίου λόγοι ιβ′.

37. Ὀρειβασίου ἰατρικῶν συναγωγῶν λόγοι ι′.

38. *Ἱπποκράτους ἀφορισμοί. — Γαληνοῦ περὶ μυῶν κινήσεως α´* et secundi pars.
39. *Θεραπευτικῶν ἐκλογὴ ἐκ διαφόρων διδασκάλων.*
40. *Γαληνοῦ πρὸς Γλαύκωνα β´. — περὶ οἰδημάτων, περὶ κόλπου ἀτελές. — περὶ πλήθους. — περὶ δυσπνοίας καὶ ἄλλα τινὰ τοῦ Γαληνοῦ.*
41. *Ὑπομνήματα καὶ παρασημειώσεις ἐκ διαφόρων τοῦ Γαληνοῦ βιβλίων.*
42. *Ἱπποκράτους πάντα τὰ εὑρισκόμενα, πρὸ δὲ τούτων ἐξήγησις τῶν Ἱπποκράτους λέξεων* in pap. signat. *ΥΣΤ.*
43. *Ἡ μεγάλη καὶ παλαιὰ τῆς χειρουργικῆς βίβλος συλλεγεῖσα παρὰ Νικήτου ἐκ διαφόρων παλαιῶν ἰατρῶν.* in pergamena. liga. Eab. (Codex Laurentianus.)
44. *Ἑτέρα βίβλος περιέχουσα τὴν αὐτὴν συναγωγὴν τῶν χειρουργικῶν πραγματειῶν.* in pap. scritti *χειρὶ τοῦ Βαλσαμῶνος.* Littera moderna. (Cod. 2248).
45. *Τὰ διαγράμματα τῶν προγεγραμμένων χειρουργικῶν πραγματειῶν διαγεγραμμένα παρὰ Ἰωάννου τοῦ Σαντοριναίου.* (Picturae codicum Parisiensium.)
46. *Ἱπποκράτους πάντα τὰ εὑρισκόμενα* in pap. lig. pergamena tecti. fol.
47. *Ἱππιατρικά. — περὶ κομητῶν καὶ ἄλλα τινὰ ἀστρονομικά.*
48. *Ἰατρικά τινα διάφορα Παύλου, ὡς ἔοικεν, ἢ Ὀρειβασίου ἢ Ἀκτουαρίου ἤ τινος τῶν νεωτέρων, σφόδρα παλαιά.*
49. *Ἀκτουαρίου τινά.* Quaderni disordinati. *Γαληνοῦ ἰατρὸς καὶ ἄλλα τινὰ τοῦ αὐτοῦ.*

In alia huiusce catalogi parte codicum promiscuorum aliquot etiam sunt codices graeci medici argumenti, quos nunc omitto. Inter illos vero codices, quos recensui, tres sunt (Cod. 43. 44. 45.), qui ad historiam codicis chirurgorum Rodulphiani aliquid faciunt dilucidandam. Codex enim 43. aut ipse est Laurentianus

aut alius et ipse antiquissimus, nunc deperditus. Atque est quidem in bibliotheca regia Parisiensi cod. 10293, chartaceus, qui continet: Inventaire des livres de la bibliotheque de Royne mere (Catharine de Medicis) écrit de la main du copiste du Francois Pithou. In quo fol. 60. ita memoratur: Reginae bibliotheca tota fere ex Rodulphi libris constabat. In hoc inventario codices graeci iisdem classibus sunt divisi atque in Catalogis Rodulphi. Inde a fol. 49. Medici graeci recensentur fere iidem, qui in indice Cardinalis extant. At fol. 52. sunt: Opera chirurgica graeca ex veteribus collecta cum figuris non ligata. 1. Unde patet, exemplar Nicetae collectionis membranaceum in Reginae Catharinae bibliothecam cum reliquis codicibus Rodulphi non esse invectum, sed in Italia mansisse et in bibliothecam Laurentianam, nescio quomodo et quando, migrasse. Quae si minus verisimilia videantur, num verisimilius videatur, in codice Laurentiano atque in codice Cardinalis Rodulphi, ab illo diverso, ex quo exemplaria Parisiensia recentiora sunt transscripta, idem folium (p. 24. ed. nostr.) casu fuisse evulsum?

Stephanus Sophista.

Pauca de Stephani aetate vitaque accepimus, quamvis inter Hippocratis interpretes sequioris aetatis facile sit princeps. Clericus Stephanum Atheniensem paulo post Galenum vixisse perhibet in histor. medic. p. 765. Fabricius in bibliotheca Gr. XII. p. 693. haec tradit de Stephano: Stephanus Atheniensis, Theophili, de quo supra p. 648. dixi, discipulus, Heraclii Imperatoris suppar temporibus non diversus fuisse vi-

detur a Stephano Alexandrino 1) Medico et philosopho h. e. Chemico.

Stephani Atheniensis explanationes eruditae in Galeni librum priorem Therapeuticum ad Glauconem 2) graece editae sunt Venetiis apud Aldum 1536. 8. Latine Augusto Gadaldino Mutinensi interprete cum paucis eiusdem scholiis et castigationibus ibid. apud Iuntas. 1554. 8. Lugduni apud Sylvium. 1555. 8. ibidem apud Frellonium 1558. 8. et ad calcem Medicorum antiquorum latine redditorum a Iunio Paulo Crasso 1581. 4. Praeter triumviros notissimos, Hippocratem, Platonem et Galenum (cuius etiam libros de pulsibus commentario illustrasse se innuit p. 30. et 70. edit. Iuntin.) laudatur ab hoc Stephano p. 18. b. medicus quidam anatomicus Angeleuas (p. 257. ed. nost.), aliunde mihi incompertus et ignotus. — Fabricius XII. p. 694: Stephani Atheniensis commentarius in prognosticon Hippocratis graece manu exaratus fuit in Bibliotheca Renati Moreau. — Huiusce doctissimi medici libri manuscripti in bibliothecam regiam Pari-

1) Eadem sententia Gerh. Ioan. Vossii lib. de philosophia p. 109. Fortasse Atheniensis a patria, Alexandrinus dicitur, quod ibi versatus et medicam artem ibi docuerit exercueritque F.
2) Hanc editionem graecam nunquam videre memini. Si extat, meam harum explanationum editionem ex fide codicis Ambrosiani adornatam esse, sola latina Gadaldini versione in usum vocata, scitote. Attamen non dubito, quin nunquam illam Aldinam editionem extitisse asseverem. Fabricii pedissequi sunt Harlesius in Introductione in hist. l. gr. II. p. 422, Schoellius, Heckerus in hist. med. II. p. 193. In indice autem Aldinarum editionum apud Renouardum (Annal. des Alde) neque anno 1536 neque alio quoquam huiusce commentarii graeca affertur editio. Atqui si extiterit, non video, quomodo Gadaldinum, latinum illius commentarii interpretem potuerit latere, qui saepenumero in explanationibus suis versioni adjectis codicis sui graeci mentionem facere est coactus, sed ne verbo quidem exemplar Aldinum est dignatus.

siensem transierunt.[1] Est autem in Parisiensi bibliotheca codex graecus 2295, chartaceus, saec. XVI, forma quart., olim Ioannis Francisci Asulani, quo continetur: 1) *Θεοφίλου φιλοσόφου ἐξήγησις εἰς τοὺς Ἱπποκράτους ἀφορισμοὺς κατὰ σύνοψιν.* In primo folio scriptum est: *Contuli* 1) *Lefebure de Villebrune* 1778. *Observavi hunc commentarium nil aliud esse quam epitomen Meletii in aphorismos; imo a tertia sectione Meletium totum fere exscribit nil mutando.* — Lacuna est in sectione V. ab aph. 18—37.

2) fol. 131. aliud opus exordium capit, in catalogo Parisiensi praetervisum, ab his verbis, auctoris nomine tituloque operis omissis: *Τὰ εἰωθότα ἐπὶ ἑκάστου συγγράμματος προλέγεσθαι* etc. Codicis finis fol. 278. *ἐν οἷς σὺν θεῷ ἥ τε παροῦσα πραγματεία πληροῦται καὶ τὰ σχόλια τοῦ Προγνωστικοῦ.* Unde perspexi, Stephani commentarios in Hippocratis prognosticum huic codici praeter Theophili opus inesse.

Possit esse codex Renati Moreau. Hunc codicem recentem, quum jam duobus aliis, Laurentiano et Ambrosiano essem usus, non adhibui. Ceterum lectionibus cum Ambrosiano convenit. De codice Laurentiano Plut. LIX. 14. vide catalogum Laurentianae bibliothecae

Codex Ambrosianus L. 30 chartaceus, saec. XVI., form. quart. In primo folio est: *Φιλοθέου ἐξήγησις εἰς τοὺς ἀφορισμοὺς Ἱπποκράτους καὶ ἀνωνύμου* (superscr. *Στεφάνου Ἀθηναίου*) *ἐξήγησις εἰς τὸ προγνωστικὸν Ἱπποκράτους.* Hic codex fuit Hieronymi Mercurialis illiusque manu notis adspersus et Pisis emptus a Gratia Maria Gratia, viro linguae graecae ac latinae peri-

---

1) Aphorismorum celeberrimus ante Bosquillonem editor.

tissimo, nomine Illustrissimi Federici Cardinalis Borromaei, Ambrosianae bibliothecae fundatoris anno 1611. Continet Theophili et Stephani (sine inscriptione perinde atque in cod. Paris.) commentarios. Mercurialis argumenta margini addidit.

In alio ejusdem bibliothecae Ambrosianae forulo A. 27. infer. est codex chartaceus, saec. XVI, Ioan. Vinc. Pinelli, qui eosdem Theophili Stephanique libros eodem modo, hoc est alterum sine ulla inscriptione, complectitur.

Stephanum hunc nostrum Atheniensem, licet patrio hoc cognomine in his codicibus careat, diversum esse putaverim ab Alexandrino, chemico, de quo in editione mea Chemicorum Graecorum propediem prodeunte disserendi opportunior dabitur locus: eundem cum Stephano alio, cui liber de febribus, a Charterio et Bernardo editus, in quibusdam codicibus tribuitur, quem totidem libri manuscripti Palladio dant: diversum a Stephano Magnete, Alphabeti Empirici auctore, de quo alibi sermonem faciam. At non me fugit, in his Stephanis distinguendis me posse desudare infructuosius, quoniam in utramque partem disputandi copia mihi sit haud exigua. Sunt in Stephani commentario in prognosticum p. 87. *ψυχία ἀφράτα* p. 89. *τζιμβλοὶ* p. 94. *λαγωδάτον κοιμᾶσθαι* p. 146. *μάγκυπες* p. 154. *ἀκατίδες* p. 159. *κλοκίον*, alia, quae septimo posterius saeculum esse mihi persuadeant, quo Stephanus vixerit. Ista vocabula mihi undecimum aerae nostrae saeculum olere videntur. Itidem parum liquet, qui fuerit *ὁ νέος ἐξηγητὴς*, qui v. c. p. 118. laudatur. Inde autem claret, Stephanum praeter Galeni commentarios recentiores quoque adhibuisse.

Gadaldinus in epistola ad Ioannem Grimanum, patriarcham Aquileiensem, versioni Stephani commentarii in priorem Galeni librum therapeuticum praefixa, ita scribit: *De quo* (Stephano) *tamesti nihil admodum certi, quod sciam, habeatur, quo tempore vixerit: illud tamen dubium non est, illum nec ignobilem fuisse philosophum, ex quo etiam philosophi cognomen illi tributum video, nec in Hippocratis Galenique disciplina mediocriter fuisse versatum, ac multis etiam eisdemque bonis libris abundasse, quos hodie nos ob temporum injuriam desideramus. Hujus ergo explanationes in priorem hunc therapeuticum librum Galeni, quod nondum in posteriorem inciderim, una cum Galeni verbis e graeco in latinum sermonem converti. In quibus interpretandis maximos equidem suscepi labores, cum unicum duntaxat habuerim exemplar, idque adeo depravatum, ut vix aliquando nisi conjectura potuerit intelligi.* — Codex Ambrosianus L. 110. chartaceus, Pinellianus, saec. XV, forma quart. Gadaldini codice multo melior non est. Continet codex meus, a diversis manibus exaratus: 1) *Σχόλια τοῦ Φιλοθέου εἰς τοὺς ἀφορισμοὺς τοῦ Ἱπποκράτους.* 2) *Περὶ οὔρων Φιλοθέου.* 3) Quaedam *περὶ τῶν ε΄ αἰσθήσεων, περὶ τῆς τῶν ἰχθύων τροφῆς, περὶ ἐτυμολογικῆς κατασκευῆς τοῦ ἀνθρώπου*, cuius initium hoc est: *Κράνιον ἐν ᾧ κρέμαται ὁ νοῦς εἴρηται. μετάφρενα τὰ ὄπισθεν τῆς κεφαλῆς ἢ τὰ μετὰ τὰς φρένας· ἐν τῇ κεφαλῇ γὰρ αἱ φρένες. μάλλα, ἐκ τοῦ μαλλᾶ τῶν τριχῶν. μύσταξ ἐν ᾧ οἱ μυκτῆρες στάζουσιν* etc. Deinde *περὶ δέκα γενῶν τῶν σφυγμῶν;* duobus foliis constat. Initium: *Ἥκω δέ σοι καὶ περὶ τῶν σφυγμῶν τὸ χρέος ἀποδιδούς* etc. 4) *Στεφάνου τοῦ φιλοσόφου καὶ ἰατροῦ ἐξήγησις εἰς τὴν τοῦ πρὸς Γλαύκωνα Γαληνοῦ θεραπείαν.* Folia 41, quae transscripsi atque nunc edidi. 5) *Θεοφίλου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς βιβλία*

ε'. 6) *Περὶ κατόχου καὶ καταλήψεως, ὃ δὴ καὶ ἄγρυπνον κῶμα λέγεται* deque multis aliis morbis. Haec omnia sunt capita Theophanis Nonni. 7) Hippocratis libri XVII.

Haud deerunt, qui postulent versionem latinam horum commentariorum textui graeco adpositam. At qui Hippocratem graecum intelligere nequeant, istis certo ex his commentariis lux nulla affulget. Qua de re laborem latine interpretandi ex mei animi sententia inutilem suscipere recusavi.

Scribebam
Regimontii Prussorum d. XII. Apr. mens.
MDCCCXXXIV.

ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ
ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ ΤΟ Α.

Θεωρῶν φιλιατρῶς διακείμενόν σε, βασιλεῦ Πτολεμαῖε, καὶ ἡμᾶς δὲ σὺ ὁρῶν προθύμως τὰ ὑπό σου προσταχθέντα διαπρασσομένους, τῶν ὑπὸ Ἱπποκράτους τοῦ θειοτάτου συγγράψαντος περὶ ὀργάνων εἰς ἀνθρώπων βοήθειαν 1) ἐπινενοημένων μεταλαμβάνειν καλῶς ἔχειν ἐνόμιζον, τὰ περὶ ἐξαρθρήσεων αὐτῷ συγγραφέντα δεόντως ἐπιλαβὼν καὶ τὰ περὶ ὤμου καταρτισμοῦ, ὃ κατὰ τὸ παρὸν ἐπέταξας μεταδοῦναί σοι. ἐπεὶ γὰρ ἔνιοι δι᾽ ἀπειρίαν τινῶν 2) ἠχρειώθησαν, οἱ δὲ καὶ πρὸς πολλῶν χρείας εὔθετοι καθεστῶτες ἐνεποδίσθησαν τῷ ὄκνῳ ἑαυτῶν διερμηνεῦσαί σοι, τινῶν δὲ οὐδὲ παραχρῆμα κατανοησάντων ἢ συλλογι-

---

Sigla Codicum.

L. Codex Laurentianus Plut. LXXIV. Cod. VII. membranaceus, forma maxima, saec. XI. Hunc codicem omnium, qui Graecorum chirurgorum libros continent, longe antiquissimum eundemque celeberrimum sequor. Apollonii Citiensis in Hippocratis de articulis librum tres commentarios ex hoc codice anno MDCCCXXIX Florentiae ipse transscripsi.

F. Codex Parisiensis 2247, olim Fonteblandensis, chartaceus forma maxima, saec. XVI.

M. Codex Parisiensis 2248, olim Medicaeus, chartaceus, forma maxima, saec. XVI. — Codices Parisienses, ex eodem archetypo Cardinalis Rodulphi (codice Laurentiano) transscripti inter se conveniunt.

1) ἐπινενοημένην L. ἴσως ἐπινενοημένων in margine M. 2) ἠχριάθησαν L. ἠχρειώθησαν F. ἠχειρώθησαν M.

σαμένων τὴν περὶ τῶν ἄρθρων ἔκπτωσίν τε καὶ παράρθρησιν, καὶ παρέλιπον τὴν διὰ τῆς ὀργανικῆς ὕλης ἔντεχνον ἁρμονίαν, τῆς τε κατὰ παλαίστραν γιγνομένης ἀρθρεμβολήσεως δημωδῶς πρασσομένης, μηδὲ ἓν σε τῶν τοιούτων διαλανθανέτω. ἵνα δὲ πάνυ εὐπαρακολούθητά σοι τὰ παρὰ τἀνδρὸς κατὰ μέρος γένηται, πρότερον τὰς τοῦ Ἱπποκράτους λέξεις 1) ἐκθήσομαι· ἑτοιμοτέρους τοὺς τρόπους τῶν 2) ἐμβολῶν ὑπετάξαμεν, οἷόν τινα ἔρανον ἀπ᾽ αὐτῶν τῶν ἔργων, [ὡς] διὰ τῆς τῶν συμπεριλαμβανομένων ἀνδρῶν ὑπηρεσίας γίνονται, ὧν τινας μὲν καὶ αὐτὸς κατήρτικα, τινὰς δὲ καὶ 3) Ζωπύρῳ παρηδρευκὼς ἐν Ἀλεξανδρείᾳ τεθεώρηκα. ὅτι δὲ ὁ ῥηθεὶς ἀνὴρ ἐπί τε τῶν καταγμάτων καὶ ἐπὶ τῆς τῶν ἐξαρθρήσεων χειρουργίας κατὰ τὸ πλεῖστον Ἱπποκράτει κατακολουθῶν ἐθεράπευε, μαρτυρήσειεν ἂν ἡμῖν Ποσειδώνιος τῷ αὐτῷ συνδιατετριφὼς 4) ἰατρῷ ὤν.

Ἦρκται τοίνυν ὁ Ἱπποκράτης τοῦ περὶ ἄρθρων βιβλίου τὸν τρόπον τοῦτον· — ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα 5) ὀλισθάνον τὸν ἐς τὴν μασχάλην· ἄνω δὲ 6) οὔπω εἶδον οὐδὲ ἐς τὸ ἔξω. — Ἑξῆς δὲ ἐπί ποσον περί τινων διελθὼν οὕτως διασαφεῖ· — εὐπαίδευτον δέ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους τῶν ἐμβολέων, 7) οἷς ἰητροὶ ἐμβάλλουσι καὶ ὡς αὐτοῖς τοῖς τρόποις τούτοις κάλλιστα ἄν τις χρέοιτο. χρῆσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων, ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς. κράτιστος δὲ 8) ὁ ὕστατος γεγραψόμενος. — Πάντας δὲ τοὺς ἐφεξῆς καταρτισμοὺς τῆς ἐκ τοῦ κάτω τοῦ ὤμου γινομένης ἐξαρθρήσεως διασεσάφηκεν,

---

1) ἐκθήσωμαι L. 2) ἐμβολαίων L. ὑποτάξαμεν L. τινα ερα ὑπ᾽ αὐτ᾽. τ. ἔρ. διὰ etc. Codices omnes, quae verba sensu carent. ὑποταξάμενος οἱόν τινα ἔρανον ἀπ᾽ .... ὡς etc. Cocchius Graec. Chir. libr. p. 171. tacitus conjecit. Equidem conjeci ὑποταξάμενος, ὅν τινα τρόπον ὑπ᾽ αὐτ. τ. ἔρ. διὰ etc. 3) De Zopyro cf. Fabric. bibl. gr. XIII. p. 455. Zopyrum chirurgiam quoque docuisse aliunde nondum erat notum. Posidonius accedat noster elencho medicorum graecorum. 4) ἰατρῷ ον Codices omnes. ὢν Cocchius. An ἰατρείῳ? 5) ὀλισθάνοντα L 6) οὐδέποτ᾽ F. 7) ὅσοισιν οἱ F. Hippocratis verba in codicibus Parisiensibus a scribis libris manuscriptis Hippocratis sunt accommodata. Itaque valde discrepant a codice Laurentiano. Quam lectionum varietatem, ut semel dicamus, raro enotavimus. 8) ὅς L.

ὧν πρῶτον τὸν δι᾽ αὐτῶν τῶν ἰδιωτῶν ἐπιτελούμενον οὕτως κατακεχώρικεν· — εἰ μὲν οὖν πυκνὰ ἐκπίπτοι, ἱκανοὶ ὡς ἐπὶ πολὺ αὐτοὶ ἑαυτοῖς εἰσιν ἐμβάλλειν. — Τισὶ γὰρ φύσει τὸ τοῦ ὤμου ἄρθρον, καθάπερ ἐκτέθειται, συνεχῶς 1) ἐκπίπτει χωρὶς τῶν ἔξωθεν αἰτιῶν, οἵτινες ῥᾳδίως τὴν ἀποκατάστασιν τοῦ ἄρθρου συνήθως δι᾽ ἑαυτῶν ἐπιτελοῦσιν. ὃν τρόπον δὲ ἐπὶ τὸν καταρτισμὸν ποιοῦνται, καὶ διὰ τούτων τὰ ἑξῆς δηλοῖ· — ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον· τὸν δὲ ἀγκῶνα παράγουσιν αἰεὶ παρὰ τὸ στῆθος. — Ταύτην μὲν οὖν τὴν ἐμβολὴν οὐκ ἀναγκαῖον ἐνόμιζον εἶναι διὰ ζωγραφίας ὑποδεικνύναι, ὃν τρόπον γίνοιτο, ὑπὸ αὐτῶν τῶν πεπονθότων 2) ὑπογράφων σοι, μᾶλλον δὲ τὰς ἐχομένως διασαφουμένας, ὧν οὕτως ἐνῆρκται· — τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου τοῦ ἐκπεπτωκότος 3) ὑποβάλλοι τοὺς δακτύλους, ἀπαναγκάζοι δὲ ἀπὸ τῶν πλευρέων 4) ἐπιβάλλων τὴν ἑωυτοῦ 5) χεῖρα ἐπὶ τὸ ἀκρώμιον, ἀντερείσιος δὲ εἵνεκα τοῖς 6) γούνασι παρὰ τὸν ἀγκῶνα τὸν βραχίονα ἐμβάλλων ἀντωθέοι πρὸς τὰς πλευράς. συμφέρει δὲ κρατερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, εἰ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτως ποιοίη, ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοιτο παρὰ τὸ στῆθος. — Ὁ δὲ κατὰ μέρος χειρισμὸς, ὃν τρόπον ὑποτετάχαμεν, οὕτως ἂν ἐπιτελοῖτο· τοὺς δὲ ἑξῆς τρόπους τῶν ἐμβολέων δι᾽ ὑπομνημάτων, ζωγραφικῆς 7) δὲ σκιαγραφίας τῶν κατὰ μέρος ἐξαρθρήσεων, παραγωγῆς τε τῶν ἄρθρων, ὀφθαλμοφανῶς τὴν θέαν αὐτῶν παρασχησόμεθά σοι.

σ΄. Ἐμβολὴ ὤμου ἡ διὰ τῶν δακτύλων τοῦ ἰατροῦ γινομένη καὶ τοῦ ἀκρωμίου 8) ἀντερείσεως.

Πρῶτον μὲν οὖν ἐμβολῆς τρόπον τοιοῦτόν τινα γινόμενον ὑπογέγραφεν, ἐάν τε καὶ ἐπὶ τῶν συνήθως ἐξαρ-

---

1) ἐκπίπτειν L. F. 2) ὑπογράφειν L. 3) ὑποτείνας F. M. cum Hipp. editt. 4) ἐμβάλλων F. M. 5) κεφαλὴν F. M. cum libris editis, 6) γούνασι] δὲ τῷ ἄνω L. 7) Fortas. τε 8) ἀντερήσιος L. M. ἀντέρεισις F. Codex Chirurgorum Graecorum Nicetae, e plurimis ope-

θρούντων ἐάν τε καὶ ἐπὶ τῶν πρώτως τοῦτο παθόντων ἰατροῦ χρεία τις ᾖ· δεύτερον δὲ τοῦτον κατακεχώρικεν· — ἔστι δὲ 1) ἐμβολὴ ὤμου καὶ ἐς τὸ ὀπίσω ὑπερβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν 2) ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ 3) ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐρείδειν. — Ἐφ᾽ ἑκατέρων δὲ τῶν προκειμένων καταρτισμῶν ἐφέστακεν, ὅτι κατάτασιν οὐδηντινοῦν ἔχοντες, τινῶν ἐξαρθρήσεων κρατοῦσιν, ἐπεί γε ἐν τοῖς περὶ ἀγμῶν τοῦ κατὰ φύσιν ἔχεσθαι διείληφε τὴν ἐπὶ τῶν τοιούτων γινομένην εἰς τὸ εὐθὺ τάσιν. ἐναρχόμενος δὲ τοῦ βιβλίου οὕτως διασεσάφηκεν· — 4) τῶν ἐκπτωσίων τε καὶ κατηγμάτων ὡς 5) ἰθύτατα τὰς κατατάσιας ποιέεσθαι· αὕτη γὰρ ἡ δικαιοτάτη φύσις. — Οὐ μὴν ἀλλά ποτε τεθεωρηκὼς ἐπὶ τῶν ῥαδίως δυναμένων ὦμον ἀποκαθίστασθαι τὴν ἔνθεσιν χωρὶς κατατάσεως ὃν τρόπον προδιηρίθμηται γεγενημένην, οὕτως ταῖς προκειμέναις ἐμβολαῖς ἐν τῷ περὶ ἄρθρων ἐπήνεγκεν· — αὕτη ἡ ἐμβολὴ καὶ ἡ πρόσθεν εἰρημένη οὐ κατὰ φύσιν ἐοῦσαι ὅμως 6) ἀμφισφάλλουσαι τὸ ἄρθρον ἀναγκάζουσιν ἐμπίπτειν. — Σπουδῇ μὲν οὕτω κωλύσει τήν τινων περὶ τὰ ὄργανα ἀπειρίαν, μάλιστα τὴν τῶν 7) Ἡροφιλείων ἀχειρίαν ἐνδείξασθαι, οἵτινες τὴν ἐπὶ τῶν πραγμάτων γυμνασίαν ἀπολελυμένοι, ψιλῶς δ᾽ αὐτῷ τῷ μυθῷ προσέχοντες διεσφάλησαν. 8) Βακχεῖος τοίνυν ἐπιβαλλόμενος τὰς Ἱπποκρατείους λέξεις ἐξηγήσασθαι καὶ μὴ δυνηθεὶς νοῆσαι, τί ποτέ ἐστι τὸ ἀμφισφάλλουσαι τὸ ἄρθρον — περιβάλλουσαι, — ἐπείπερ εὔγνωστον ὑπῆρχεν αὐτῷ διὰ πλειόνων, ὅτι παρὰ τῷ ἰατρῷ τὸ ἀμφὶ περὶ σημαίνει, πῶς δ᾽ οὐκ ἄν τις εἴποιεν αὐτὸν ὑπ᾽ ἀπειρίας συνεσχημένον

---

ribus compositus, perpetuo capitum numero est instructus. Apollonii Citiensis commentarii a capite 199 initium sumunt. Picturae coloratae saepiusqne inauratae, haud inelegantes singulis capitibus superadditae sunt, quibus articulorum luxatorum repositio fiat manifestior. Pictura vero huius capitis detrita.

1) *ἐμβολῆς* L. 2) *ῥάχην* L. 3) *ἀνακλανέσθω ἄνω* L. 4) Hipp. de fract. II. p. 708 Lind. 5) *ἠθύτατα* L. 6) *ἀμφισβάλλουσαι* F. M. 7) *Ηροφιλίων* Codices. *ἴσως ἡροφιλείων* in mg. F. M. 8) *Βάκχιος* L. Erotian. Gloss. Hipp. p. 8.

καὶ τὴν τῶν ἰατρῶν καὶ τὴν τῶν φιλομαθούντων διεστροφέναι διάνοιαν; ἀπὸ γὰρ τοῦ σφάλλειν καθάπερ καὶ ἐν παλαιστρικῇ 1) τὸ περισφάλλειν ἐν τοῖς προκειμένοις ἐντέτακται 2) τῷ τὸ ἄρθρον διά τινος αἰφνιδίου περὶ τὸν τόπον οἰκισμοῦ περιορισθὲν εἰς τὸ κατὰ φύσιν ἀποχωρεῖν ἀναγκάζεσθαι. οὐ κατὰ φύσιν δ᾽ οἴεται εἶναι τὰς προκειμένας ἐμβολὰς διὰ τὸ μὴ μετὰ κατατάσεως αὐτὰς γίνεσθαι. ὅτι δὲ οὐ περιβάλλειν τὸ ἄρθρον, ἀλλὰ περισφάλλειν λεκτέον κατὰ τὸν ἰατρὸν καὶ διὰ τί τὸν τοιοῦτον τρόπον οἴεται παραίτιόν ποτε καταρτισμοῦ γίνεσθαι, φανερὸν ἐξ ὧν ἐν τοῖς αὐτοῖς οὕτως διασαφεῖ· — τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσεως ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. — Κέχρηται δὲ τῷ παραπλησίῳ τῆς ἑρμηνείας τρόπῳ διασαφῶν ἐνίοις οὕτως· — περὶ γὰρ τὸ ὑπεροειδὲς 3) ὁ ὦμος ἦν — καὶ κατὰ μὲν τὴν κλῆσιν περισφάλλεσθαι τὸ σῶμα κίνδυνος 4) [εἴη]. — Ἔτι δὲ καὶ περὶ μικροῦ καταρτισμοῦ χρείαν ποιούμενος οὕτως διεσάφηκεν· — 5) πολλοῖς γὰρ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη 6) ἀμφίσφαλσιν ποιησάμενον. — Τὰ μὲν οὖν πρὸς 7) Βακχεῖον ἐπὶ τοσοῦτον εἰρήσθω· τὴν δὲ δευτέραν ἐμβολὴν ὃν τρόπον ὑπογέγραπται μεθοδευτέον.

σα΄. Ἐμβολὴ ὤμου ἡ διὰ τῆς 8) πυγμῆς τοῦ ἰατροῦ γινομένη.

Τρίτον δὲ ἐμβολῆς τρόπον ἔγχειρον τῶν κατὰ τὸν ὦμον ἐκπτώσεων εἰκότως ὑπογέγραφεν· — 9) οἱ δὲ τὰς ἐμβολὰς ἐῤῥωμένως ἐμβάλλειν εἰωθότες εὐθέως καταναγκάζουσι. χρὴ γὰρ τόν τε ἄνθρωπον χαμαὶ κατατεῖναι ὕπτιον, τόν τε ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ᾽ 10) ὁκότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ, ἔπειτα λαβόμενον ταῖς χερσὶ ταῖς ἑωυτοῦ τῆς χειρὸς

1) τῷ Codd. 2) Forias. τό. 3) ὅμως ἦν. καὶ etc. L. ὦμος ἦν καὶ καταπεπήγῃ, περισφ. F. M. Hipp. de artic. p. 760. 4) εἴη om. F. M. Equidem omiserim. 5) Hipp. II. p. 838. 6) ἀμφισφάλσῳ ποιησαμένῳ L. 7) Βάκχιον L. F. 8) Pictura tempore detrita. 9) γρ. οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι F. M. in mg. Hipp. p. 758. 10) ἑκάτερα L.

τῆς σιναρῆς κατατείνειν, τῇ δὲ πτέρνῃ ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι 1) ἐναρμόσον· ἐπιτηδειόταται δὲ πάνυ αἱ μικραὶ σφαῖραι αἱ σκληραὶ, 2) οἷον ἐκ τῶν πολλῶν σκυτέων ῥάπτονται. — Ἔπειτεν περὶ τοῦ κατὰ τὴν μασχάλην γινομένου διὰ τὴν κατάτασιν κοιλώματος ὑποδείξας ἑξῆς φησίν· — χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν ἐπὶ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα, τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης· ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανὸν, ὅταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην, περὶ τὴν σφαῖραν περιβεβλημένου τοῦ ἱμάντος καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα τοῦ ἀκρωμίου πρὸς τὸ ὀστέον. ἡ δὲ σφαίρη ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρῶν κείσθω καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος. — Οὐδεμία δὲ ἐπὶ τούτων ἐστὶ χρεία περιεργαζόμενον ἐξηγεῖσθαι τὰ κατὰ μέρος ἐν τῷ χειρισμῷ 3) πρασσόμενα· σαφέστερον γὰρ αὐτὸς ὁ ἰατρὸς ἐν τούτοις ἕκαστα, 4) καὶ ὃν τρόπον χρὴ γινώσκειν. διὸ καὶ 5) μηδεὶς ἡμᾶς ἀργότερον ἱσταμένους περικάμπτειν ὑπολάβοι τὴν μετὰ τὰς λέξεις διήγησιν, ἀλλὰ 6) τὸ δὴ λέγειν ἐργῶδες εἶναι νομίζομεν. ὃν τρόπον μὲν οὖν δεῖ τὸν καταρτισμὸν τοῦ ἄρθρου περιποιεῖσθαι, προσυποτετάχαμεν.

σβ'. Ἐμβολὴ ὤμου 7) ἡ διὰ τῆς πτέρνης.

Ἀξίως δὲ ταύτην τὴν ἐμβολὴν ὑπογέγραφεν· — ἔστι δὲ καὶ ἄλλη ἐμβολὴ, ὥσπερ κατωμίζουσιν ἐς ὀρθόν. μείζω μέντοι χρὴ εἶναι τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ὑπὸ τὴν μασχάλην

---

1) ἐναρμόσσων L. 2) οἷαι F. M. 3) πρασσόμενον L. 4) Videtur excidisse διηγεῖται vel aliud simile verbum. 5) μηθ' εἷς Codd. 6) τῷ δὴ L. τὸ δὴ F. Fortas. ἀλλ' ὃ δὴ sive τόδε. 7) Tituli ad picturas, eaque, quae antecedunt, pertinent. Delineavi quidem has picturas in apographo meo, sed rudiores sunt quam quae aeri incisae verbis melius explanare repositiones possint.

ὀξὺν κἄπειτα ὑποστρέψαι, 1) ὡς ἂν ἐνίζηται ἕδρῃ, οὕτως στοχασάμενον, ὅπως 2) ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ 3) κρεμᾷ τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω ἢ ἐπὶ τὸν ἕτερον· τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς 4) μάλιστα. ἐν τούτῳ δὲ τῷ σχήματι ἀνασειέτω, ὅταν μετεωρίσῃ τὸν ἄνθρωπον, ὡς ἀντιῤῥέπῃ τὸ ἄλλο σῶμα αὐτῷ ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ᾖ ὁ ἄνθρωπος, καὶ προσεκκρεμασθήτω τις ὄπισθεν κοῦφος παῖς. — Δεῖ δὲ τὸν καταρτισμὸν οὕτως ποιεῖσθαι παλαιστρικώτερον ὄντα καθάπερ ὑπογεγράφαμεν.

σγʹ. Ἐμβολὴ ὤμου ἡ διὰ τοῦ κατωμίζοντος.

Πᾶσι δὲ τοῖς προειρημένοις ὁ Ἱπποκράτης οὕτως ἐπεφώνησεν· — αὗται αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν 5) ἀλλοίων ἁρμένων δέονται ἐπεισενεχθῆναι· χρήσαιτο δ' ἄν τις καὶ ἄλλοθι. — Οὐ γὰρ μόνον ἐάν τι τοιοῦτον ἐν ταῖς κατὰ παλαίστραν γυμνασίαις συμβῇ, χρηστέον τοῖς προδιηρημένοις ἐκ τοῦ καιροῦ καταρτισμοῖς, ἀλλὰ καὶ ἐὰν ἐν ἄλλοις τόποις 6) ἀποληφθεὶς ἐπακολουθήσῃ, μηδεμιᾶς ὀργανικῆς ἀνάγκης παρούσης. ἤδη δὲ καὶ τὰς ἐπί ποσον τῇ διὰ τῶν ἀνδρῶν γινομένῃ βίᾳ προσδεομένας ἐξαρθρήσεως μοχλείας οὕτως διασαφεῖ — ἀτὰρ καὶ οἱ περὶ τὰ ὕπερα κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον 7) κατειλίχθαι τινί· ἧσσον γὰρ ἂν ὀλισθάνοι· 8) ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὑπεροειδές, ὡς ἂν 9) ἑστεὼς ὁ ἄνθρωπος κρέμηται μικροῦ δεῖν ἀμφὶ τῷ ξύλῳ· καὶ ἔπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος παρὰ

---

1) ὥσπερ ἵζεται L. 2) ἀμφὶ] δὲ L. 3) κρεμάσαι F. M. Hipp. libri vulgati. 4) ἴσως τάχιστα F. in mg. ex Hipp. codd. vulgatis. 5) ἀλολίων ὀργαμένων L. 6) ἀπολειφθεὶς L. 7) κατειλῆχθαι L. ταινίῃ τινὶ μαλθακῇ F. M. Hipp. 8) ὑπηνεγκᾶσθαι L. 9) ἔσται L. κρέμασθαι μικροῦ δέῃ F. M.

τὸ ὕπερον ἔστω, 1) τὸ δὲ ἐπιθάτερα τοῦ σώματος καταναγκαζέτω τις περιβάλλων περὶ τὸν αὐχένα 2) παρὰ τὴν κλεῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶ καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται. — Δεῖ γὰρ ἡμᾶς τὸ ξύλον ἀσφαλῶς ἑδράζειν, ὅπως ἂν μή τι κατὰ τὸν χειρισμὸν ἐμπόδιον ἐπενέγκοι σαλευόμενον, θείη γε βιαιοτέραν 3) ἔχειν τὴν μοχλείαν. οὗτος ὁ τρόπος ὡς 4) γ' ἄν τις χρῷτο τῷ καταρτισμῷ περὶ τὸ ὑπεροειδὲς 5) ξύλον ὑπόκειται.

σδ'. Ἐμβολὴ ὤμου ἡ διὰ τοῦ ὑπεροειδοῦς ξύλου.

Ἀσφαλέστερον δὲ τὸ τοῦ κλιμακίου γινόμενον διὰ τούτων ὑποτέταχεν· — ἀτὰρ καὶ ἡ κατὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη καὶ ἔτι βελτίων, ὅτι 6) ἀσφαλέστερον 7) ἂν τὸ σῶμα τὸ μὲν 8) τείνηται, τὸ δὲ 9) ἀντισηκώσῃ μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς 10) ὁ ὦμος, ἢν καὶ καταπεπήγῃ, περισφάλλεσθαι τὸ σῶμα 11) ἢ τῇ ἢ τῇ. χρὴ μέντοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τι στρογγύλον ἄνωθεν ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὅπως διαναγκάσῃς τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι. — Πυκνότερον εἴωθεν ἐπὶ τῶν ἀναγκαίαν χρείαν ἐχόντων διαστέλλεσθαι πρὸς 12) τὸ μὴ διαλαθεῖν τι τῶν χρησίμων, ὃ δὴ καὶ νῦν πεποίηκε, πάλιν ὑπομνήσας, ὅτι δέον ἐστὶ καὶ ἐπὶ τοῦ κλιμακτῆρος προσεπιδεδέσθαι τι στρογγύλον πρὸς ἐκπλήρωσιν τοῦ ἐν τῇ μασχάλῃ κοίλου 13) τῷ διὰ τοῦ τοιούτου τρόπου μάλιστά πως εἰς τὸ ἄνω μοχλεύεσθαι τὴν τοῦ ὤμου κεφαλήν. τὸ δὲ κλιμάκιον οἱ μὲν οἴονται εἶναι πῆγμα τετράγωνον παραπλήσιον κλιμακοειδεῖ 14) ἀντίας καὶ ὀνίσκον ἔχον ἐν τῷ κάτω μέρει, οἱ δὲ κλίμακα τὸ κλιμάκιον εἰρῆσθαί φασι καὶ λαμβάνοντες οἰκοδομικὴν κλίμακα περὶ 15) ἕνα τῶν ἄνω βαθμῶν ὑφ' ὕψους ὑπεῤῥίπτουσι τὴν χεῖρα προυποτιθέντες σφαίρωμα πρὸς ἐκπλήρωσιν τῆς μασχάλης, εἶτ' ἀφιᾶσιν

---

1) τῷ L. 2) περὶ L. 3) ἔχει L. 4) δ' ἂν Codd. 5) κοῖλον Codd. ξύλον M. F. in mg. 6) ἀσφαλεστέρως F. M. Hipp. 7) πᾶν L. 8) τῇ F. M. Hipp. 9) ἀντισηκωθείη F. M. 10) ὅμως L. 11) εἴη εἴ τι L. 12) τῷ L. 13) τὸν L. τὸ F. M. Fort. διὰ το. 14) Fort. ἀντίᾳ. 15) ἕνατον L.

ἐκ μὲν τοῦ ἑτέρου μέρους τῆς κλίμακος αἰωρεῖσθαι τὸν ἄνθρωπον, τοῦ ἐδάφους 1) ἤτοι μὴ ἁπτόμενον ἢ βραχέως 2) δὲ θιγγάνοντα, ἐκ δὲ τοῦ ἑτέρου μέρους τὴν ἐξηρθρηκυῖαν χεῖρα διακατέχοντες ἐπί ποσον ἐπισπῶνται. καὶ δοκεῖ γέ μοι 3) τοιοῦτος ὁ τῆς ἐμβολῆς ὑπάρχειν τρόπος καὶ οὐ διά τινος ὀργανικῆς ἀνάγκης εἰρῆσθαι γινόμενος. ἐμέμνητο γὰρ ἂν ὁ ἰατρὸς τῆς κατασκευῆς αὐτοῦ καὶ οὐκ ἄν ποτε τὴν ἑξῆς ἐμβολὴν κρατίστην πασῶν εἶναι διέλαβεν, εἴπερ ἐξεπεφεύγει τὴν τῶν ἐκ τοῦ καιροῦ πρὸς βοήθειαν ἐπινοουμένων μηχανημάτων εὐπορίαν. καὶ τὰ ἑπόμενα δὲ σὺν τοῖς προδιηριθμημένοις τῆς αὐτῆς ἐπινοίας ἔχεται· οὐ μὴν ἀλλ' ἐν 4) τοῖς ἐπὶ πᾶσι τοῦ βιβλίου ἀνακεφαλαιούμενος πάσας τὰς ἐμβολὰς καὶ ἐπὶ τοῦ ὤμου φησὶν, ὅτι καὶ περὶ κλίμακος δὴ χρηστέον ἐστὶ τῇ ὑποπιπτούσῃ μεθόδῳ. 5) Προσυπόκειται.

σε΄. Ἐμβολὴ ὤμου ἡ διὰ τῆς κλίμακος.

Κράτιστον δὲ ὤμου καταρτισμὸν διὰ τῶν ἐχομένων οὕτως φησίν· — κρατίστη μέντοι πασέων τῶν ἐμβολέων ἥ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πενταδάκτυλον τὸ ἐπίπαν ἢ τετραδάκτυλον, πάχος δὲ ὡς διδάκτυλον ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ ἢ καὶ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ 6) ἐσχάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, μὴ τῷ πρὸς τὰς πλευρὰς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσειε τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενον. ὀθονίῳ δὲ ἢ ταινίῃ μαλθακῇ ἁπλῇ κατακεκολλήσθω 7) ἀκρόθεν τὸ ξύλον, ὅπως προσηνέστερον ἔῃ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου ὡς ἐσωτάτω μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν 8) δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείναντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα κατά τε τὸν πῆχυν κατά τε τὸν

1) εἴ τοι L. 2) Fort. τι. 3) τοιούτως L. 4) In libri summario. 5) scil. ἡ εἰκών. 6) ὑστάτῳ F. M. Hipp. 7) ἄκρωθεν τῷ ξύλῳ L. ἄκρῃ τὸ ξύλον F. M. ἄκρον Hipp. 8) δὲ om. Codd.

καρπὸν τῆς χειρὸς, ὡς ἀτρεμέῃ. μάλιστα δὲ περὶ παντὸς χρὴ ποιέεσθαι ὅπως τὸ ἄκρον τοῦ ξύλου ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο στύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι καὶ ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα σὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὡς ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ τὸ σῶμα, κατὰ τὴν μασχάλην δὲ ὁ στρωτήρ· καὶ ἔπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν σὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα, ἐπὶ δὲ θάτερα τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι. — Ταύτης δὲ τῆς ἐμβολῆς τὴν ἰσχυροτάτην ἀνάγκην περιεχούσης, ὁ 1) Βακχεῖος τὴν ἐπὶ τοῦ μοχλοειδοῦς ξύλου λεγομένην ἄμβην οὕτως περὶ τῶν Ἱπποκρατείων λέξεων ἐξηγεῖται, 2) ὧν ἐν ταῖς λέξεσιν ἀναγέγραπται, ὡς ὅτι 3) ἄμβωνας καλοῦσι τοὺς τῶν ὀρῶν λόφους καὶ καθόλου τὰς προσαναβάσεις, καὶ διὰ τούτων φησὶ πάλιν· ἀναγέγραπται δὲ καὶ ὡς ὁ Δημόκριτος εἴη καλῶν τῆς ἴτυος τὴν τῷ κοίλῳ περικειμένην ὀφρὺν, ἄμβην, 4) ἔχειν δὲ παρ᾽ αὐτῷ καὶ οὕτως· ἀναγέγραπται δὲ ὁμοίως· ἄμβων, τῆς λοπάδος τὸ περικείμενον χεῖλος. Ἀριστοφάνης, ὁ πολλῶν λοπάδων τοὺς ἄμβωνας 5) περιλείξας. ταῦτα κομιζόμενα μαρτύρια παντελῶς ἐστιν 6) εὐήθως κεχωρισμένα τῆς ἀπὸ τῶν συμβαινόντων χρείας. ἔδει δὲ ἱστορηκότα τοῦτο καταχεχωρικέναι, ὅτι Κῷοι τοὺς τῶν κλιμάκων ἀναβαθμοὺς ἄμβωνας 7) καλοῦσιν, ὥστ᾽ 8) εἰρῆσθαι τὴν ἐν τῷ ξύλῳ ὑπεροχὴν τοιαύτην εἶναι, ὁμοίαν ἀναβαθμῷ εἰς τὸ βάθος ἐκκοπὴν ἔχουσαν· πᾶν 9) τε τὸ μὴ κατ᾽ εὐθὺ φέρον ἐν τῷ βάθει, ἀλλὰ πρὸς τὸ κάτω εἶναι 10) νενευκὸς τρῆμα καλοῦσιν οἱ ἐργάται ὕπαμβες. πλὴν ταῦτα μὲν παρῆγον νῦν σαφέστερον 11) παρ᾽ Ἱπποκράτει διὰ τῶν προκειμένων περὶ τῆς τοῦ ξύλου κατασκευῆς καὶ χρήσεως ὑπογέγραφεν. ἡ δ᾽ ἐμβολὴ γένοιτ᾽ ἂν οὕτως.

---

1) *Βάκχιος* L. 2) *ὃν* L. *ὧν* F. *ὃν, ἴσως ὧν* M. in mg. 3) *ἄμβονας* L. *ὅρων* L. 4) Fort. *ἔχει.* 5) *περιλείψας* L. 6) *εὐηθῆς* L. *εὐήθης* F. 7) *καλεῖσθαι* L. 8) *ὥστ᾽ ἠρεῖσθαι* L. *ὡς τηρεῖσθαι* F. M. 9) Fort. *δέ.* *φέρων* L. 10) *ἐνευκοστρίμα* L. sic! 11) Interciderit *ὅτι* aliave particula.

σς'. Ἐμβολὴ ὤμου ἡ διὰ τῆς ἄμβης.

Ἔτι δὲ πρὸς τὸ προκείμενον τοιαῦτά τινα 1) προσεπιλέγει· — οὗτος ὁ τρόπος παρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου· δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν μοῦνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος· δικαιόταται δὲ αἱ ἀντιῤῥοπαὶ, ἀσφαλέες δὲ τῷ ὀστέῳ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο πρὶν ἢ καὶ κατατετάσθαι δοκέειν. ἀτὰρ καὶ τὰ παλαιὰ μόνον αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ ᾖ πεποιημένη ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθη. οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει καὶ οὕτω πεπαλαιωμένον 2) βραχίονα. τί γὰρ ἂν δικαίη μόχλευσις οὐ κινήσειεν; μένειν μέντοι οὐκ ἄν μοι δοκέοι κατὰ χώρην, ἀλλ' ὀλισθάνειν εἰς τὸ 3) ἔσω. — Οὐ μόνον δὲ τῇ 4) ὑπὲρ τὸν στρωτῆρα τῆς χειρὸς ὑπερθέσει συγχρῆσθαι διείληφεν, ἀλλὰ καὶ ἐφ' ἑκατέρων τῶν παρατυχόντων, οἷον εὐθέως ὑποτέταχεν ἐπὶ τοῦ κλιμακίου λέγων οὕτως· — τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν τὸν τρόπον τοῦτον σκευάσαντα. — Τὴν δὲ τούτου καταγραφὴν παρήσομαι διὰ τὸ καὶ ἐν τοῖς προεκκειμένοις διασαφεῖσθαι. τὰ δὲ ἑξῆς οὕτως ὑπογέγραφεν·— πάνυ μὴν ἱκανῶς ἔχει καὶ περὶ μέγα 5) ἕδος Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα. ἐσκευάσθαι μὲν γὰρ χρὴ τὸ ξύλον οὕτως ὥσπερ εἴρηται, ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ κἄπειτα τὸν βραχίονα σὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα τὸν βραχίονα σὺν τῷ ξύλῳ. — Ἡ δ' ἐμβολὴ γένοιτ' ἂν οὕτως· 6) ἡ ἐπὶ θάτερα κατοχὴ παραλέλειπται. ἔσται οὖν περιτροπὴ καὶ ἡ χεὶρ ἀφέστηκεν ἀπὸ τοῦ ἀγκῶνος.

σζ'. Ἐμβολὴ ὤμου ἡ διὰ τοῦ δίφρου.

Τὸν δ' αὐτὸν τρόπον καὶ οὕτως γενέσθαι σεσήμαγκεν.— τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὑπὲρ δίκλειδος θύρης ἀναγκάζειν.

1) προσεπιλέγειν L. 2) ἔκπτωμα βραχίονος F. M. Hipp. 3) ἔτος F. M. γρ. ἔσω in mg. ἔθος Hipp. 4) ὑπὲρ om. L. 5) Cod. Bessarionis Hippocratis Venetus glossam superscriptam habet: ἡ καθέδρα. 6) Haec verba ad picturam spectant.

χρέεσθαι δὲ χρὴ ἀεὶ τούτοις ἃ ἂν τύχῃ παρεόντα. — Ὁ μὲν αὐτὸς τρόπος ἐστὶ τῆς ἐμβολῆς ὁ διὰ τοῦ ξύλου γινόμενος τοῦ τὴν ἄμβην ἔχοντος. ἡ δέ γε πεῖρα 1) ἐπλεόνασε τοῖς τοιούτοις ὑποδείγμασι τοῖς προς τὴν ὑπέρθεσιν τῆς χειρὸς εὐθέτοις, χάριν τοῦ τοῖς παραπίπτουσιν ἐκ τοῦ καιροῦ 2) συγχρωμένους ῥαδίως ἐπιτελεῖν τὸ προκείμενον. καθόλου δ᾽ ἐπὶ τῆς τοῦ ὤμου ἐμβολῆς προνοητέον καθάπερ διέσταλται, καὶ ἐπὶ τῶν 3) λοιπῶν μὲν τῶν ἐντιθεμένων εἰς τὴν μασχάλην ἐκπληρώσεως χάριν, καὶ ἐπὶ τοῦ ξύλου δὲ, ὡς ἐσωτάτω καὶ μεταξὺ τεθήσεται τῆς κεφαλῆς τοῦ ὤμου καὶ τῶν πλευρῶν καὶ ὅπως ἂν ἡ 4) αὐτοῦ ὑπεροχὴ μὴ πρὸς τὰς πλευρὰς, ἀλλὰ πρὸς τὸν ὦμον ἐντὸς ἐπιστρέφηται. οὕτω γὰρ τοῦ ξύλου τεθέντος καὶ ἐπίβασιν ἐπὶ τὴν ἐξοχὴν αὐτοῦ τῆς τοῦ ὤμου κεφαλῆς ποιησαμένης, εὐχερὴς εἰς τὸ κατὰ φύσιν ἀπόστασις ἔσται. καταρτίζεται δὲ ὦμος ὑπὲρ τῆς δικλίδος θύρας τὸν τρόπον τοῦτον.

ση΄. Ἐμβολὴ ὤμου ἡ διὰ τῆς δικλίδος θύρας.

5) Ἐπὶ πλέον δὲ τοῖς προδιηριθμημένοις τὰ τοιαῦτα ἐπέζευξεν· — εἰδέναι μὲν οὖν χρὴ ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. — Ἀναγκαῖον γάρ ἐστι τῷ μέλλοντι κατὰ τρόπον τῶν ἄρθρων καταρτισμὸν ποιεῖσθαι τὴν περὶ ἑκάστου ὑπάρχουσαν διαφορὰν φύσει, ἕξει, ἡλικίᾳ προσλαμβάνεσθαι, ἵνα μὴ ἐπὶ πάντων μιᾷ καὶ τῇ αὐτῇ ἀνάγκῃ χρώμενος, καὶ ἐφ᾽ ὧν μὴ διαβιβάζηται, οἷον ἐπὶ νηπίων τε καὶ ἀσθενῶν καὶ τῶν φύσει καὶ ἕξει ῥαδίως δυναμένων καταρτισθῆναι ἢ πάλιν ἐπί τινων διὰ νεύρων ἢ ἕξεως σκληρότητα μὴ εὐχερῶς κατακρατουμένων ἀφιστῆται τοῦ προκειμένου, προσάγῃ δὲ τὰς βιαστικωτέρας ἀνάγκας. ἑξῆς δὲ τὴν ἐν τῇ φύσει καὶ ἕξει διαφορὰν οὕτως ὑπογέγραφεν· — διενέγκαι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ καὶ ἧσσον. πλεῖστον δὲ διαφέρει τῶν νεύρων ὁ 6) ἔνδεσμος, τοῖς μὲν ἐπιδόσεις ἔχων, τοῖς δὲ 7) συνδεδε-

---

1) τὰ πλέονα σε L. 2) συγχρωμένοις L. 3) λυπῶν L. 4) αὐτῷ L. 5) ἐπιπλοι Codd. ἴσως ἐπὶ πλέον F. M. in mg. 6) σύνδεσμος F. M. Hipp. 7) ξυντεταμένος F. M. Hipp.

μένος. καὶ γὰρ ἡ ὑγρότης τοῖς ἀνθρώποις γίγνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τὴν τῶν νεύρων ἀπάρτισιν, ἣν χαλαρά τε 1) ἦ φύσει καὶ ἐπιτάσεις εὖ φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε, ὁπόταν 2) ἐθέλωσι, τότε αὐτοῖς τὰ ἄρθρα ἐξίσταται ἀνωδύνως καὶ καθίσταται ἀνωδύνως. διαφέρει μέντοι τι καὶ ἕξις σώματος. τοῖς μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοις ἐκπίπτει ἧσσον, ἐμπίπτει δὲ χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν ἑαυτῶν 3) λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει μᾶλλον, ἐμπίπτει δὲ 4) ῥᾷον. — Περὶ μὲν οὖν ὤμου καταρτισμοῦ ταῦθ' ὑπογέγραφε· περὶ δὲ τῆς σημειώσεως οὕτως διασαφεῖ· — γιγνώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τοῖσδε χρὴ τοῖς σημείοις, 5) τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι καὶ τὰς χεῖρας καὶ τὰ σκέλη, παραδείγματι χρῆσθαι χρὴ τῷ ὑγιεῖ πρὸς 6) τὸ μὴ ὑγιές, μὴ τὰ ἀλλότρια ἄρθρα καθορῶντα, ἄλλοι γὰρ ἄλλως ἔξαρθροι πεφύκασιν, ἀλλὰ τὰ αὐτοῦ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς 7) τῷ μὴ ὑγιεῖ. — 8) Εἶτεν μετά τινας ἀριθμοὺς τὰ παρακολουθοῦντα σημεῖα διὰ τούτων ἐκτέθειται· — ἀτὰρ τοῦτο μὲν ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος, τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον καὶ τοῦ ἀκρωμίου τὸ ὀστέον 9) ἔξοχον φαίνεται, ἅτε ὑποδεδυκότος τοῦ 10) ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. παρασύνεσιν 11) μὲν καὶ ἐν τούτῳ ἔχει τινὰ, ἀλλὰ ὕστερον περὶ αὐτοῦ 12) γεγράψεται. ἄξιον γὰρ γραφῆς ἐστι. 13) τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων ἢ τοῦ ἑτέρου. 14) εἰ μέντοιτις προσαναγκάζοι, προσάγεται 15) μὲν, ἐπιπόνως δέ. τοῦτο δὲ ἄνω τὴν χεῖρα 16) ἆραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ 17) ἀγκῶνος οὐ 18) μάλα δύνανται ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως.

---

1) ἡ φυσικὴ ἐπίτασις εὐφέρῃ L. 2) ἐθέλωσι — ἄρθρα om. L. 3) λεπτοὶ καὶ ἄσαρκοι L. 4) ῥᾴδιον L. 5) τούτοις L. 6) τὸ ὑγιὲς L. τῷ ὑγιεῖ Cod. Hippocr. Venetus. 7) τῷ κάμνοντι F. M. 8) εἶτ' ἐν L. 9) ἐξέχον F. M. 10) τοῦ κάτω χωρίου L. 11) μὴν F. M. 12) γέγραπται L. 13) τοῦ δὲ L. 14) ἢν L. 15) μὲν om. Codd. 16) ἀεῖραι L. 17) ἄξονος F. 18) μᾶλλον L.

τα τε οὖν σημεῖα ταῦτ᾽ ἐστιν ὤμου ἐκπεπτωκότος, αἵ τε ἐμβολαὶ αἱ ἐγγεγραμμέναι. — Ταῦτ᾽ ἐστιν ὅσα ποτὲ περὶ ὤμου καταρτισμοῦ παρ᾽ Ἱπποκράτει διασαφεῖ δυνάμενα ῥαδίως καὶ ὑπὸ τῶν κατὰ τὸ πλεῖστον ἐν παλαίστρᾳ διατριβόντων κρατηθῆναι. ἀναγκαῖον οὖν καί σοι πρὸς τὰ συμβαίνοντα γιγνώσκεσθαι. ἐὰν δὲ καὶ τὸν τῶν λοιπῶν ἄρθρων καταρτισμὸν ὃν τρόπον 1) δεῖ ποιεῖσθαι κατὰ τὸν ἰατρὸν προαιρῇ μεταλαμβανειν καὶ τὸ ὑπ᾽ αὐτοῦ πρώτως ἐπινοηθὲν πρὸς 2) ταῦτα ὄργανον εἰδῆσαι σπεύδῃς, μετὰ τῆς ἐνδεχομένης ἀκριβείας ἀναγραφὲν δοθήσεταί σοι. —

ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ

ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ ΤΟ Β.

σθ΄. Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, βασιλεῦ Πτολεμαῖε, περὶ ὤμου καθ᾽ Ἱπποκράτην ἐμβολῆς δεδηλώκαμεν, ἐν δὲ τούτῳ περί τε ἀγκῶνος καὶ καρποῦ καὶ 3) σπονδύλων, ὃν τρόπον ὁ προειρημένος ἰατρὸς τάς τε σημειώσεις αὐτῶν καὶ τοὺς καταρτισμοὺς ποιεῖσθαι παρακελεύεται, διασαφήσω. πρότερον δὲ τὰς λέξεις αὐτοῦ καταχωριῶ, εἶτ᾽ 4) ἐχομένως τὸν τῶν ἐμβολῶν τρόπον δι᾽ αὐτῶν τῶν ὑποδειγμάτων ὑποτάξω πρὸς τὸ καθάπερ καὶ ἐν τοῖς πρότερον καὶ ἐν τούτοις 5) εὐπαρακολούθητά σοι γενέσθαι, τήν τε περὶ ἄρθρων θεωρίαν, οὐκ ἀνωφελῆ καθεστῶσαν, μὴ ἀτελείωτον φιλιατροῦντί σοι παραδοθῆναι. οὐκ ἀγνοῶ δὲ δὴ, ὅτι τὰ διὰ χειρουργίας ἐνεργούμενα δυσκόλως διὰ λόγου καταλαμβάνεσθαι δύναται· ὅθεν ἐάν τινα μὴ σαφῆ σοι γίνηται, μὴ ἡμᾶς, ἀλλὰ τὴν τοῦ πράγ-

1) δὴ L. 2) ταύτῃ L. 3) σφονδύλων L. 4) ἐῤῥωμένως Codd. 5) παρακολούθητα L.

ματος αἰτιῶ φύσιν. 1) τὸ μὲν γὰρ ὑποδείγματος ἔχει τρόπον ἐπὶ τὴν χρείαν μεταγόμενον, τὸ δ' 2) ἀπ' αὐτῶν τῶν συμβαινόντων ἐναργῆ τὴν κατάληψιν ἐν χειρί. οὐ μὴν ἀλλὰ καὶ καθ' ὅσον ἂν ᾖ δυνατὸν, διὰ τούτων σαφῆ σοι κατασταθήσεται.

Ἐχομένως τοίνυν ὁ Ἱπποκράτης ἐν τῷ περὶ ἄρθρων βιβλίῳ περί τε ἐξαρθρήσεων καὶ παραρθρήσεων ἀγκῶνος καὶ τούτων καταρτισμοῦ μνημονεύων οὐδαμῶς, κατὰ πόσους τρόπους συμβαίνουσιν, εὐσήμως τέταχεν· ἀλλά 3) τοί γε διὰ τῶν κατὰ μέρος λόγων ποιήσω τοῦτο φανερὸν, διότι παραρθρεῖ μὲν ἀγκὼν διχῶς, ἐξαρθρεῖ δὲ κατὰ τέσσαρας τρόπους. τοῦ γὰρ λεγομένου πήχεως ἐξ ὀστῶν δύο συνεστῶτος, τὸ μὲν ἐντὸς αὐτῶν προσήρτηται τῷ βραχίονι νενευκὸς εἰς τὸν ἐκτὸς μᾶλλον τόπον, ὃ δὴ κερκὶς καλεῖται· τὸ δὲ ἔξω ἐπιβέβηκε τῷ κοίλῳ τοῦ βραχίονος, λεγόμενον δὲ 4) κορωνὸν καὶ ὀξὺ τοῦ ἀγκῶνος ὑφ' ἑκατέρων τῶν ὑπεροχῶν συνέχεται τῆς τε ἔσω τοῦ ἀγκῶνος, ἀφ' ἧς τὸν πῆχυν μετρεῖν εἰώθαμεν, καὶ τῆς ἔξω καταληγούσης ἀπὸ τοῦ βραχίονος. τούτων οὖν τῶν ὀστῶν ὃ δὴ κερκὶς καλεῖται, πεφυκὸς ἐντὸς, παραρθρεῖ μόνον νεῦον ἢ πρὸς πλευρὰς ἢ εἰς τὸ ἐκτὸς μέρος. δηλοῖ δὲ περὶ αὐτοῦ τὸν τρόπον τοῦτον· — ἀγκῶνος ἄρθρον 5) παραλλάξαν μὲν ἢ πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος. — Τοὺς μὲν οὖν τούτων σχηματισμοὺς ὑπογράφειν παρήσω. οὐ γὰρ ἂν δύναιντο, ἁπλῆς τῆς τάσεως αὐτῶν γινομένης, 6) καταληφθῆναι. αἱ δὲ παραρθρήσεις ἔκδηλοι γίνονται, τὰ μὲν εἰς τὸ ἐντὸς, τὰ δὲ εἰς τὸ ἐκτὸς, πολύτροπον 7) ἔχοντος τοῦ ἄρθρου, διαστρεφομένου τε καὶ νεύοντος τοῦ μορίου, ὁτὲ μὲν εἰς τὸ ἔξω, ὁτὲ δὲ εἰς τὸ ἔσω μέρος, ἃ δὴ οὕτως διὰ τῶν ἑξῆς 8) καταγγίζειν παρακελεύεται· — εἰς εὐθὺ κατατείναντα τὰ ἐξέχοντα ἀπωθεῖν ὀπίσω καὶ εἰς τὸ πλάγιον. — Ἡ γὰρ εἰς εὐθὺ τάσις ἀπόστασιν τῶν ἄρθρων

1) τοῦ Codd. ἴσως τὸ F. in mg. 2) ἅπαν τῶν τῶν L. 3) Fort. σοι. 4) κωρονὸν L. 5) παραλλάξομεν L. 6) καταλημφθῆναι L. 7) Excidit κίνησιν sive χρείαν. Obelum, mendi signum, margini adpinxit F. 8) Idem quod καταρτίζειν.

ποιεῖ, ὥστε ῥᾳδίως εἰς τὴν κατὰ φύσιν χώραν τὸ ἄρθρον παραγενέσθαι. ἐάν τε οὖν εἰς τὸ πρὸς τὰς πλευρὰς μέρος, ἐάν τε ἔξω παραρθρήσῃ, χρηστέον τῇ κατ᾽ εὐθὺ τάσει καὶ τὸ μὲν ἔσω νενευκὸς βιάζεσθαι μετὰ συμμέτρου κάμψεως καὶ τῆς εἰς τὸ ὕπτιον τῆς χειρὸς ἀναστροφῆς, ἐπὶ τὸ τοῦ ἀγκῶνος πλάγιόν τε καὶ βάθος ἐπερείδοντα ἢ χειρὶ ἢ δακτύλοις, τὸ δὲ εἰς τὸν ἔξω τόπον ἐκκεκλικὸς εἴσω βιάζεσθαι, τὸ τῆς χειρὸς θέναρ προσβάλλοντα ἐκ πλαγίου τοῦ ὀξέος 1) *τοῦ ἀγκῶνος ἅμα καὶ τὴν τῆς χειρὸς ἐπιστροφὴν ἐπὶ το πρηνὲς ποιουμένους.*

Περὶ μὲν οὖν τῆς τοῦ ἀγκῶνος παραρθρήσεως οὕτως διασαφεῖ· περὶ δὲ τῆς ὁλοσχερεστέρας ἐξαρθρήσεως τὸν τρόπον τοῦτον μέμνηται· — τὰ δὲ τελείως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα. ἡ κατάτασις μὲν ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται. — Αὗταί εἰσιν ὁλοσχερεῖς. δύο εἰσὶν ἐξαρθρήσεις ἀγκῶνος, ἡ μὲν ἔσω νεύουσα, ἡ δὲ εἰς τὸ ἔξω μέρος. μνημονεύει δὲ διὰ τῶν ἑξῆς ἔτι καὶ ἄλλων δύο ἐξαρθρήσεων, τῆς μὲν ἔμπροσθεν, τῆς δὲ εἰς 2) *τοὔπισθεν γινομένης. οὔτε δὲ περὶ αὐτῶν οὔτε περὶ τοῦ καταρτισμοῦ κατὰ τὸν εἰρημένον μέμνηται λόγον· ὅθεν περὶ τῶν προκειμένων πρότερον ἐκθήσομαι, ὃν τρόπον τὰς ἐμβολὰς ποιεῖσθαι παρακελεύεται. μετὰ πλείονας δὲ ἀριθμοὺς οὕτως φησίν· — ἀγκὼν δὲ ἢν μὲν εἴσω ἢ ἔξω* 3) *ἐκβῇ, κατάτασις ἐν σχήματι* 4) *ἐγγωνίῳ τῷ πήχει πρὸς βραχίονα· μασχάλην ἀναλαβόντα* 5) *ταινίῃ ἀνακρεμάσαι,* 6) *ἀγκῶνι δὲ ἄκρῳ ὑποθέντα παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖς θέναρσιν ὡς τὰ ἐν χερσίν.* 7) *ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις. — Ἐπὶ τούτῳ οὐκέτι τὴν ἐπ᾽ εὐθείας προκρίνει τάσιν, ἀλλὰ τὴν ἐγγώνιον πρὸς βραχίονα τοῦ ἀγκῶνος εἰς τὸ κάτω κατάτασιν, ὃν τρόπον καὶ* 8) *κατεαγὼς ὁ βραχίων* 9) *τείνεταί τε καὶ ἐπι-*

---

1) *τοῦτ᾽* Codd. 2) *τοὐπίσω* F. M. 3) *ἐκβῇ* om. L. 4) *κοινῷ* Hipp. F. in mg. *γρ. ἐγγωνίῳ.* Optime. 5) *τινᾶ* L. 6) *ἀγκωνάρῃν δὲ μηρῷ ὑποθεὶς, παρὰ δὲ τὸ* L. 7) *ἐπιδέσεις — ἀναλήψεις — θέσεις* L. 8) *κατευγὼν* L. 9) *γίνεται* L.

δεῖται. ἡ δὲ μετὰ τὴν κατάτασιν διόρθωσις καὶ ὁ καταρτισμὸς 1) γίνοιντ' ἂν ταῖς χερσὶν εἰς τὸ ἐναντίον, ὃν τρόπον διὰ τῶν ἔμπροσθεν δεδήλωκα. πλὴν καὶ ὁ Ἱπποκράτης οὕτως περὶ αὐτῶν διασαφεῖ· — τὰς δὲ 2) κατορθώσιας ἀπάγοντα ἐπὶ πλεῖον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλὴ, μετέωρον περιάγειν καὶ περικάμψαι καὶ μὴ ἐς εὐθὺ βιάζεσθαι· ἅμα δὲ 3) ὠθεῖν τἀναντία ἑκατέραν καὶ παρωθεῖν ἐς χώραν. συνωφελοίη δ' ἂν ἐπίστρεψις ἀγκῶνος ἐν τούτοις, ἐν τῷ μὲν εἰς τὸ ὕπτιον, ἐν τῷ δὲ εἰς τὸ πρηνές.— Ὁ δὲ τῆς ἐμβολῆς τρόπος οὕτως ἂν δι' ὑποδείγματος 4) γίνοιτο.

σι'. Ἐμβολὴ ἀγκῶνος.

Περὶ δὲ τῶν ἄλλων τῶν τῆς ἐξαρθρήσεως τρόπων οὕτως μέμνηται· — ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείναντας κατατεῖναι· σημεῖον δέ· οὐ γὰρ δύνανται 5) ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται συγκάμπτειν. τούτῳ δὲ ἐνθέντα τι 6) συνειλιγμένον σκληρὸν περὶ 7) τοῦτο συγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης. διαστάσιος δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦται. τὰ δὲ ὄπισθεν ἐξαίφνης ἐκτείναντα διορθοῦν τοῖς θέναρσιν. — Τὴν μὲν οὖν εἰς τοὐπίσω τοῦ ἀγκῶνος ἐξάρθρησιν οὐκ ἀναγκαῖον διὰ τῶν ὑπομνημάτων ὑπογράφειν. ἐκ γὰρ τῆς παρὰ φύσιν γεγενημένης κάμψεως, μεταστάσεως ἔκτασιν περιέχει μόνον καὶ τὸν ὄπισθεν τῆς χειρὸς καταρτισμὸν, τὴν δὲ εἰς τὸ ἔμπροσθεν συμβαίνουσαν καταγράψω, χάριν τοῦ δυναμένην 8) συνθεωρηθῆναι παραιτίαν 9) ὠφελείας γενέσθαι. διὸ καταρτίζοιτ' ἂν οὕτως.

σια'. Ἑτέρα ἐμβολὴ ἀγκῶνος.

Μετὰ τάδε [10] ἑπομένως περὶ χειρὸς ἐξαρθρήσεως οὕτως διασαφεῖ· — χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. σημεῖα εὔσημα. ἐμβολὴ ὑπὲρ τραπέ-

1) ἐγίνοιντ' L. ἐγίνοντ' F. 2) καθάρσιας L. 3) ὠήθην L. 4) γένοιτο F. 5) ἐκτείνειν — δύνανται om. Codd. 6) συνηλιγμένον L. συνειλεγμένον F. M. Hipp. 7) τούτων L. 8) συνθεωρῆναι L. 9) ὠφέλειαν L. 10) ἑπόμενος L.

ζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι ἢ πτέρνῃ ἅμα ἀπωθέειν καὶ ὠθέειν πρόσω 1) *κάτω κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλακὸν ὑποθεὶς, ἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίῳ. — Ἐπὶ τούτων τὸ ἐναντίον σεσήμαγκε, διότι ὁπότερον τῶν ὀστέων ἐξαρθρεῖ μόνον εἰς τὸ εἴσω καὶ εἰς τὸ* 2) *παρολισθάνον μέρος, εἰς δὲ τὸ ἄνω* 3) [*καὶ*] *εἰς τὸ κάτω τὸ τοιοῦτον οὐδαμῶς συμβαίνειν* 4) *δύναται χωρὶς τῆς ἑκατέρων* 5) *ἐκβλήσεως. ἐχομένως γε οὖν οὕτως ὑπογέγραφεν· — ὅλη δὲ χεὶρ ὀλισθάνει ἢ εἴσω ἢ ἔξω ἢ ἔνθα ἢ ἔνθα, μάλιστα δὲ εἴσω. ἔστι δ᾽ ὅτε ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ᾽ ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοις ἡ κατάτασις ἰσχυρὴ* 6) *ποιητέη καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἕτερον ἀντωθέειν. δύο δὲ εἴδη ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον χερσὶν ἐπὶ τραπέζης ἢ πτέρνῃ·* 7) *παλίγκοτα δὲ καὶ ἀσχήμονα τῷ χρόνῳ κρατύνεται* 8) *εἰς χρῆσιν. — Ὡς ἐπίπαν γὰρ καὶ μάλισθ᾽ ἡ ὁλοσχερὴς τῆς χειρὸς ἐξάρθρησις οὐ δύναται καταρτισθῆναι κατὰ τρόπον, ἀλλὰ διεστραμμένη φαίνεται. αἱ μὲν οὖν ἐς τὰ πλάγια παραρθρήσεις διὰ τῆς κατατάσεως καὶ τῆς ἐς τὰ ἐναντία τῶν ὑπερεχόντων ἐνθλίψεως καταρτίζοιντ᾽ ἄν· αἱ δὲ ἔσω ἢ ἔξω γινόμεναι καθάπερ προϋποδέδειχε, τῆς* 9) [*χειρὸς*] *ἐπὶ τραπέζης κατὰ τὸ ἐναντίον τιθεμένης, ἢ τῇ χειρὶ ἢ τῇ πτέρνῃ τὰ ἐξέχοντα καταβιβασθήσεται. χρηστέον δὲ τῷ τοιούτῳ τρόπῳ πρότερον.*

σιβ´. Ἐμβολὴ χειρὸς ἄρθρου ἡ διὰ τοῦ θέναρος τοῦ ἰατροῦ καὶ τῆς τραπέζης γινομένη.

Ἐὰν δὲ τὸ θέναρ 10) *ἐπερειδόντων ἡμῶν μὴ ὑπακούῃ, βιαστέον διὰ τῆς πτέρνης, καθάπερ προείρηται, χρωμένους τούτῳ τῷ τρόπῳ.*

---

1) *κάτω* om. L. 2) *παρολισθάνῃ* L. 3) *καὶ* addidi. 4) *δύνανται* L. 5) *ἐκκλήσεων* L. Obelum margini adpinxit F. Leviter mendosus locus videtur esse. 6) *ποιεῖται* L. *ἀπωθέει* L. 7) *παλιγκότατα* L. *παλιγκώτατα* F. Fort. *παλιγκοτώτατα*. Cod. Hipp. Venet. *παλιγκοτῶτα*. 8) *ἢν χρίσιμον* L. Fort. *εἰς χρήσιμον*. 9) *χειρὸς* om. Codd. 10) *ἐπερείδων τῶν* L.

σιγ΄. Ἐμβολὴ χειρὸς ἄρθρου ἡ διὰ τῆς πτέρνης τοῦ ἰατροῦ καὶ τῆς τραπέζης γινομένη.

σιδ΄. Περὶ δακτύλων.

Περὶ δὲ δακτύλων οὕτως ἀπεφήνατο· — δακτύλου δὲ ἄρθρον 1) ὀλισθὸν μὲν εὔσημον. ἐμβολὴ δὲ κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ 2) ἢ σταιτὶ ἢ ὀθονίοισι. μὴ ἐμπεσὸν δὲ ἐπιπωροῦται ἔξω. — Βραχυλόγῳ σφοδρῷ ἐν τούτοις ἀνέστραπται διὰ τὸ τοῦ πράγματος εὐκαταμάθητον. οὐ μὴν ἀλλὰ καὶ Διοκλῆς τὸν τρόπον τοῦτον μέμνηται· — δακτύλου μὲν ἄρθρον ἄν τε ποδὸς ἄν τε χειρὸς ἐκπέσῃ, τετραχῶς ἐκπίπτει ἢ ἐντὸς ἢ ἐκτὸς ἢ εἰς τὰ πλάγια. ὅπως δ᾽ ἂν ἐκπέσῃ, ῥάδιον γνῶναι πρὸς τὸ ὁμώνυμον καὶ τὸ ὑγιὲς θεωροῦντα. ἐμβάλλειν δὲ 3) κατατείνοντι εὐθὺ ἀπὸ χειρῶν, περιελίξας τε ὅπως μὴ ἐξολισθάνῃ. ἰστέον δὲ καὶ τὰς 4) σειρὰς, ἃς οἱ παῖδες πλέκουσι, περιθέντα περὶ ἄκρων τῶν δακτύλων κατατείνειν, ἐκ δὲ τοῦ ἐπὶ θάτερα ταῖς χερσίν.

σιε΄. Περὶ γνάθου.

Ἑπομένως δὲ ὁ Ἱπποκράτης περὶ ἐξαρθρήσεως γνάθου, τῆς δὴ σιαγόνος ὑπό τινων λεγομένης, διὰ τούτων κατακεχώρικεν· — γνάθος δὲ ὀλίγοισιν ἤδη τελέως ἐξήρθρησεν. ὀστέον γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς 5) ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ πεφυκότι, — καὶ προβὰς ἐπιλέγει· — ἐκπέσοι δ᾽ ἂν ἀπ᾽ οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ μέγα χανόντα μετάγειν τὴν γένυν ἐπὶ θάτερα. — 6) Εἶτεν μετ᾽ ὀλίγους ἀριθμοὺς τά τε σημεῖα τὰ παρακολουθοῦντα καὶ τὸν καταρτισμὸν οὕτω 7) παρέστακεν· — περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, 8) σχᾶται μέντοι πολλάκις ἐν 9) χασμήσει. δῆλον μὲν οὖν τοῖσδε μάλιστά ἐστιν ὅταν ἐκπεπτώκῃ. προΐσχεται γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν καὶ παρῆκται ἐναντία τοῦ

---

1) ὀλισθὸν om. L. 2) ἱσταιτὶ L. Conjeci ἢ σταιτί. Massa gypsea hodiedum ossa fracta curantur circumfusa in Oriente, cui similis σταίς. ταινίῃσι F. M. Hipp. 3) Fort. κατατείνοντα — περιελίξαντα. 4) σιρὰς L. 5) ἀπεζύγωται L. 6) εἶτ᾽ ἐν L. 7) παρέστησε F. 8) σχᾶται — πολλάκις om. L. 9) χάσμησι F. M. Hipp. δῆλος L.

ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ κορωνὸν 1) ὀγκηρὸν γίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς συμβάλλουσι τὰς 2) γνάθους. τούτοισιν ἐμβολὴ πρόδηλος, οἵη τις 3) γίνοιτ᾿ ἂν ἁρμόζουσα. χρὴ γὰρ τὸν μὲν κατέχειν τὴν κεφαλὴν, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ καὶ παράγοντα τῇ χειρὶ καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα, ἔπειτα ἐξαπίνης 4) σπάσαι εἰς τοὐπίσω καὶ ἀναλήψει γενείου τρισὶν ὁμοῦ σχήμασι προσέχοντα τὸν νοῦν. δεῖ μὲν γὰρ παραγενέσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν, ἑπόμενον τούτοις συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο ἀπ᾿ ἄλλων σχημάτων. — Καὶ οὕτως πάλιν· — ἀσφαλέστερον δὲ χειρουργεῖν ἐστιν ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ 5) ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑποκλίνῃ. προσκατέχειν δὲ χρή τινα τὴν κεφαλὴν τοῦ ἰωμένου. ἢν δὲ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δὲ ἧσσον ἔτι οὗτοι τὸ στόμα δύνανται. καὶ προπετέστεραι δὲ γένυες τούτοισιν, ἀστραβεῖς δέ. — Ταῦτα ἀναγκαῖον ἦν καταχωρίσαι χάριν τοῦ μηδέν σε τῶν περὶ ἄρθρων λεγομένων διαλαθεῖν.

σις΄. Ἐμβολὴ γνάθου.

σιζ΄. Περὶ σπονδύλων.

6) Ἤδη δὲ τὴν τῶν ὑποδειγμάτων οὐκ ἐπιτήδειον εἶναι διέλαβον ὑπογραφὴν ποιήσασθαι. ἃ δὲ ἐχομένως περὶ σπονδύλων τῶν ἐν τῇ ῥάχει διασαφεῖ, διὰ τούτων ὑποτάξω· — ὅσοις δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδὲν ἀποεξίθυναν, 7) ὧν

1) ὀγκηρότερον F. Hipp. 2) κάτω in mg. addit F. ex Hipp. 3) γίνοιτ᾿ — ἁρμόζουσα om. L. 4) σχάσαι τρισὶ etc. F. M. Hipp. 5) ὑπὸ L. ἐπικεφαλαίου L. 6) δεῖ Codd. F. mendi signo in mg. Conjeci ἤδη. 7) ὃν L.

ἐγὼ οἶδα. χρέονται δὲ ἰητροὶ αὐτῇ μάλιστα οὗτοι οἳ ἐπιθυμοῦνται 1) ἐκχαυνοῦν τὸν πολὺν 2) λαόν. ἐν τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμαστά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥιπτόμενον. — 3) Οὐ κατὰ πᾶν ἀδόκιμον οἴεται εἶναι τὴν τοιαύτην τῆς χειρουργίας ἐπίνοιαν, ἀλλά που καὶ δυνατὸν ἔσεσθαι δεόντως σκευασθεῖσαν πρὸς τὸν τῶν σπονδύλων καταρτισμόν. ὅμως δὲ ἐξεπίτηδες ἐκκεκλικέναι τὰ τοιαῦτά φησι λέγων οὕτως· — αὐτὸς μέντοι 4) κατησχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω διὰ τοῦτο, ὅτι πρὸς 5) ἀπατεώνων μᾶλλον οἱ τρόποι οὗτοι. ὁπόσοις μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, εἰκὸς ἧσσον ὠφελέειν τὰς κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν. μικρὸν γὰρ τὸ βάρος 6) ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια καταῤῥέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι· μέζων γὰρ οὕτως ἡ καταῤῥοπίη. ὅσοις 7) δὲ κατωτέρω τὸ ὕβωμα, τούτοις ἔοικε 8) ἐπὶ κεφαλὴν κατασείεσθαι. — 9) Ὑφέσταται δὲ τὴν ἐπὶ κεφαλὴν 10) κατάσεισιν οὕτως ἂν γίνεσθαι δεόντως ὑπὸ τῶν αἱρουμένων 11) αὐτῇ χρῆσθαι, καταχωρίζων τὸν τρόπον τοῦτον· — εἰ οὖν τις ἐθέλοι κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν μὲν γὰρ κλίμακα ἢ σκυτίνοις ὑποκεφαλαίοις ἢ 12) εἰρινέοις καταστρῶσαι εὖ προσδεδεμένοις καὶ ὀλίγῳ πλεῖον ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν 13) ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχῃ· 14) ἐπιτείναντα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρὴ, καὶ ἔπειτα προσδῆσαι μὲν χρὴ τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ 15) διαβεβῶτα, ἀλλὰ συμβεβηκότα δεσμῷ 16) ἐνόχῳ μὲν, μαλθακῷ δέ· προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γονάτων καὶ

---

1) ἤτοι ἀπατᾶν Gloss. Cod. Laurent. in Hippocratis libro de articulis, quem unà cum aliis chirurgicis libris Hippocratis comprehendit. 2) ὄχλον F. Hipp. 3) εὖ Codd. ἴσως οὐ F. mg. 4) κατεσχύνθη L. πάντα τοιούτῳ τρόπῳ L. 5) ἀπατέων L. 6) ἡ κεφαλὴ om. Codd. καταῤῥέοντα Codd. 7) γὰρ δὲ L. 8) ὑπὸ L. 9) ὑφίσταται F. 10) κατάτασιν F. 11) αὐτῷ L. 12) εἰρίνοις L. 13) ἧσσον L. 14) ἐπιτέναντα L. ἔπειτα Hipp. 15) διαβεβῶτας F. M. ἀλλὰ συμβεβηκότα om. Hipp. glossema redolent haec verba. 16) δὲ ὕκοι L. εὐόχῳ Hipp.

ἀνωτέρω· προσδῆσαι δὲ καὶ τὰ ἰσχία· κατὰ δὲ τοὺς κενεῶνας καὶ εἰς τὸ στῆθος χαλαραῖς ταινίαις προσπεριβάλλειν οὕτως ὅπως μὴ κωλύσωσι τὴν 1) κατάσεισιν· τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα προσκαταλαβεῖν πρὸς τὸ αὐτοῦ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα. ὅταν δὲ ταῦτα σκευάσῃ οὕτως, ἀνέλκειν τὴν κλίμακα πρὸς τύρσιν τινὰ ὑψηλὴν ἢ πρὸς ἀέτωμα οἴκου. τὸ δὲ χωρίον ἵνα 2) κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ 3) ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅπως ὁμαλῶς καὶ καλῶς καὶ ἰσοῤῥόπως καὶ ἐξαπιναίως ἀφήσωσι καὶ μήτε ἡ κλῖμαξ ἑτεροῤῥεπῇ ἐπὶ τὴν γῆν μήτε αὐτοὶ προπετέες ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος ἔτι κάλλιον ἄν τις 4) σκευάσαιτο, ὥς γε ἀπὸ 5) τροχιλίης τὰ χαλώμενα ὅπλα εἶναι ἢ ἀπὸ ὄνου. 6) ἀηδὲς μὲν καὶ 7) μακρολογέειν περὶ αὐτῶν τούτων, ὅμως δ᾽ ἐκ τούτων τῶν παρασκευῶν 8) κάλλιστ᾽ ἄν τις κατασεισθείη. — Ἡ διὰ τῆς ὑποδεδειγμένης 9) διὰ τῆς κλίμακος ἐπὶ κεφαλὴν κατάτασις 10) κατὰ τοῦτον ἂν τὸν τρόπον γίνοιτο.

σιη΄. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς κλίμακος ἐπὶ 11) κεφαλὴν γινομένη.

Περὶ δὲ τῆς ἑτέρας κατασείσεως οὕτως ὑπογέγραφεν· — εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ πάντως κατασείειν, ἐπὶ πόδας κατασείειν λυσιτελεῖ, ὥσπερ 12) δὴ εἰρήκαμεν. γίνεται δὲ ἡ 13) καταῤῥοπίη ἐπὶ ταῦτα· 14) ἑρμάσαι δὲ χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα 15) προσδήσαντα, δῆσαι δὲ ἰσχυρῶς τὸν αὐχένα 16) ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι ἕνεκα· καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα, τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσ-

---

1) πέρασιν L. 2) κατασείσῃ L. ἀέτωμα - ἡ στεφάνη τοῦ δώματος Glossa Cod. Hipp. Veneti. 3) ἀντιτείνοντας L. 4) σκευάσοιτο L. 5) τροχηλλέης L. 6) ἀειδὲς L. μὴν F. M. 7) μακρολέγειν L. μακρηγορεῖν Hipp. 8) μάλιστα F. in mg. κάλλιστα. 9) sc. ἐξηγήσεως. 10) ἐκ L. 11) κεφαλῆς Codd. 12) ἤδη F. M. Hipp. 13) καταῤῥοπὴ L. 14) ὁρμάσαι L. 15) ἀποδῆσαι, δῆσ. δὲ ἰσχ. καταδεῖν τὸν L. προσδήσαντα ἰσχ. κατὰ δὲ τὸν F. Hipp. 16) ἕως L.

δῆσαι καὶ μὴ πρὸς τὴν κλίμακα· τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι, πλὴν ὅσον τοῦ κατορθοῦσθαι ἕνεκα ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅπως δὲ μὴ κωλύσωσι τὴν κατάτασιν οὗτοι οἱ δεσμοί, 1) σκοπέειν. τὰ δὲ σκέλη πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθαι, πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν 2) εἰς εὐθὺ ῥέπῃ. — Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον διηρίθμηται· τὴν δὲ ἐπὶ πόδας κατάσεισιν οὕτως χρὴ ποιεῖσθαι.

σιθ'. Ἐμβολὴ ἑτέρα σπονδύλων ἡ διὰ τῆς κλίμακος ἐπὶ πόδας γινομένη.

Ὅτι δὲ οὐχ ὁλοσχερῶς εὐαρεστεῖ ταῖς τοιαύταις κατατάσεσι, δῆλον 3) ὅτι ἐξ ὧν οὕτως ἐπιφέρει· — ταῦτα μέντοι 4) τοιουτοτρόπως ποιητέον, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μὲν ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον 5) παρασχόντα καὶ ἔπειτα μηδὲν ὠφελῆσαι. — Ὅθεν ἐν τοῖς ἐφεξῆς, ὃν τρόπον δεῖ τοὺς εἰς τὸ ἐκτὸς ἐκκλίναντας σπονδύλους καταρτίζειν, οὕτως ὑπογέγραφεν· — χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκαζομένου τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν παραμήκεα 6) ἐντέμνειν ἀνωτέρω τοῦ ἐδάφεος, ὅπως ἂν μετρίως ἔχῃ· ἔπειτα 7) ξύλον δρύϊνον, τετράγωνον, πλάγιον παραβάλλειν ἀπολιπόντα ἀπὸ τοῦ τοίχου ὅσον παρελθεῖν τινα ἢν δέῃ· καὶ ἐπὶ μὲν τὸν στύλον 8) ἐπιστρῶσαι χλαίνας ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα· τὸν δὲ ἄνθρωπον 9) πυριῆσαι, ἢν ἐνδέχηται, ἢ θερμῷ πολλῷ λοῦσαι καὶ ἔπειτα κατατεῖναι πρηνέα, 10) κατατείναντα δὲ τὰς χεῖρας κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα· ἱμάντι δὲ πλατεῖ καὶ ἰσχυρῷ, μαλθακῷ δὲ καὶ μακρῷ ἐκ δύο διαντέων συμβεβλημένῳ μέσῳ κατα μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι ὡς ἐγγυτάτω τῶν μασχαλέων· 11) ἔπειτεν τὸ περισσεῦον τῶν ἱμάντων κατὰ

---

1) *σκοπέειν* om. Codd. 2) *ἰθύῤῥεπα ᾖ* F. M. Hipp. 3) Fort. *ἐστι*. 4) *οὕτω τρόπως* L. *ποιητέον ἔχει, πάντως* L. 5) *παρασχόντα* om. L. 6) *ἐνταμεῖν* F. M. 7) *στύλον* F. M. 8) *ὑποστρῶσαι* L. *ἐπιστορέσαι* F. M. 9) *πυρῆσαι* L. 10) *κατατείνας* L. Hippocr. lectionem vulgatam tuentur F. M. 11) *ἔπειτ᾽ ἐν* L.

την μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλῆσθαι. ἔπειτα αἱ ἀρχαὶ πρὸς ὑπεροειδές τι προσδεδέσθωσαν 1) ἁρμόζουσαι τὸ μῆκος τῷ 2) ξύλῳ ὑποτεταμένῳ πρὸς 3) ὅ τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντιστηρίζον κατατείνει. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ 4) χρὴ ἄνωθεν τῶν τοῦ γόνατος δεσμῶν δήσαντα καὶ ἄνωθεν τῶν πτερνέων τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι, ἄνω δὲ ἄλλῳ ἱμάντι πλατεῖ καὶ 5)....

Λ ε ί π ε ι.

σκ′. Ἐμβολὴ σπονδύλων ἡ διὰ τοῦ θέναρος τοῦ ἰατροῦ γινομένη καὶ τῶν ὀνίσκων.

Μετὰ δὲ τὰ προκινούμενα οὕτως ἐπιλέγει· — καὶ 6) ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη· ἀσινὴς δὲ καὶ καθέζεσθαί τινα ἐπὶ τὸ κύφωμα αὐτοῦ ἅμα κατατεινομένου καὶ 7) ἐπενσεῖσαι μετεωρισθέντα, — ὥστε 8) τῆς αὐτῆς κατατάσεως ἡ καὶ δι' ὀνίσκων 9) γινομένη ἀντὶ τοῦ ταῖς χερσὶ πιέζειν διὰ τῆς καθέδρας ἐπερείδοντας ἢ καὶ ἐνσείοντας ἀναγκάζειν 10) τὸ ὑπερέχον τῶν σπονδύλων εἰς τὸ κατὰ φύσιν ἀποχωρεῖν. ὃν τρόπον δὲ δεῖ ποιεῖσθαι, οὕτως ὑποτέτακται.

σκα′. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς καθέδρας τοῦ ἰατροῦ καὶ τῶν ὀνίσκων γινομένη.

Ἑπομένως δὲ ταῦτα ἀνακεχώρικεν· — ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ καὶ ὀχηθῆναι τὸ σῶμα καὶ ἡσύχως ἐπισεῖσαι οὐδὲν κωλύει. τοιοῦτον δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἄν τις εἴη τῶν ἀμφὶ παλαίστρην εἰθισμένων. — Καὶ οὗτος δὲ ὁ τρόπος οὕτως ἂν ἐπιτελοῖτο διαλλάσσων τῇ διὰ τῶν ὀνίσκων κατασείσει. δεῖ δὲ τοὺς ὀνίσκους ἤτοι

---

1) αἱ ἁρμόσουσαι L. 2) νώτῳ L. 3) ὅτι] τὸ L. ἀντιστηρίζειν L. 4) ἣν L. γονάτων L. 5) Ἄπεστι ἓν φύλλον. L. μαλθακῷ add. F. M. adjecto lacunae verbo λείπει. Nonne ex hac lacuna quoque patet, codices Parisienses apographa emendata esse archetypi Laurentiani? Subscriptio σκ′ e codice F. 6) ἀσθενεστάτη L. 7) ἐπεσεῖσαι L. ἐνσεῖσαι F. M. 8) διὰ addiderim. κατατάσιος Codd. 9) γινομένης L. Legerim ἢ καὶ δι' ὀν. γινομένης. — διὰ τῆς καθέδρας i. e. clunibus medici. 10) τὴν ὑπερεχόντων L.

παρὰ τὴν ὑποτιθεμένην τῷ μέλλοντι 1) καταταθήσεσθαι σανίδα κατορύσσειν ἢ ἐπ᾽ αὐτῆς ἐμπηγνύναι.

σκβ΄. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς πτέρνης τοῦ ἰατροῦ καὶ τῶν ὀνίσκων γινομένη.

Ὃν τρόπον δὲ ἐπὶ τῆς τοῦ ὤμου ἐμβολῆς τὸν ἐπὶ πᾶσι καταρτισμὸν δυνατώτατον ὄντα κατακεχώρικεν, οὕτως καὶ ἐπὶ τῶν παρόντων τὸ ὅμοιον πεποίηκεν, ἑξῆς τὸν τρόπον τοῦτον διασαφῶν· — δυνατωτάτη μὲν οὖν τῶν 2) ἀναγκαίων ἐστὶν, εἰ ὁ μὲν τοῖχος 3) ἐντετμημένος εἴη, τὸ 4) δὲ ξύλον τὸ κατωρυγμένον ᾗ ἐντέτμηται κατωτέρω εἴη τοῦ ἀνθρώπου τῆς ῥάχιος, 5) ὅπως ἂν δοκέοι μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ εἴη ἢ καὶ ἄλλου τινὸς ξύλου. ἔπειτα ἐπὶ μὲν τὸ ὕβωμα ἐπιτεθείη τρύχιον πολύπτυχον ἢ μικρὸν σκύτινον ὑποκεφάλαιον. ὡς ἐλάχιστα μὴν ἐπικεῖσθαι συμφέρει, μόνον προμηθευόμενον, ὅπως μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παράκαιρον 6) παρέχῃ. 7) κατ᾽ ἴξιν δὲ ὡς μάλιστα ἔστω τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον τὸ 8) κύφωμα, ὡς ἡ σανὶς, ᾗ μάλιστα ἐξέστηκε, ταύτῃ μάλιστα 9) πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τῆς σανίδος τὸ ἄκρον, ἤν τε ἕνα δέῃ ἤντε δύο, τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὥσπερ πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοις κατάτασιν ποιέεσθαι ἢ παρακατορύξαντα 10) παρὰ τὸ ξύλον ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς 11) φλιὰς τῶν ὀνίσκων ἐντεκτεινάμενον, ἤν τε 12) ὀρθὰς θέλῃ μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ 13) κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται 14) αἱ ἀνάγκαι εὐταμίευτοι καὶ ἐς τὸ ἰσχυρότερον καὶ ἐς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥστε καὶ εἴτις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ 15) ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν. καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μόνον ἔνθεν καὶ ἔνθεν, οὕτω καὶ

---

1) καταθήσεσθαι L. 2) Ionica hac forma omnes Hippocratis codices utuntur. ἀναγκέων Editt. τύχος L. 3) ἐντέτμηται L. 4) δὲ om. L. κατορωρυγμένον F. M. Hipp. attica forma. 5) ὁπόσων L. 6) παρέχειν L. 7) καὶ τάξειν L. 8) ὕβωμα F. M. 9) πιέζειν L. 10) παρὰ om. L. 11) φιάλας L. 12) ὄρνιθας L. 13) κούρην τὸ L. 14) αἱ om. L. 15) ἰατρίῃ L.

ἄλλην ἀνάγκην μηδεμίαν προστιθεὶς ὅμως 1) κατατείνειεν ἄν τις. — Ἡ δὲ προκειμένη κατάτασις καὶ ἡ τῆς σανίδος μοχλεία τοῦτον ἂν τὸν τρόπον γίνοιτο.

σκγ΄. Ἐμβολὴ σπονδύλων ἡ διὰ τῆς σανίδος καὶ τῶν ὀνίσκων γινομένη.

Περὶ μὲν ἀγκῶνος καὶ καρποῦ καὶ τῶν εἰς τὸ ἔξω 2) προωθουμένων σπονδύλων καταρτισμοῦ, καθόσον ἦν δυνατὸν, διὰ τῶν ὑποδειγμάτων πεποίηκά σοι φανερὸν οὐ κατ᾽ ἄλλον τινὰ τῶν ἰατρῶν, ἀλλὰ καθ᾽ Ἱπποκράτην ὑπὲρ τῶν ὑφηγησαμένων λόγων, καθάπερ καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ τὰ περὶ ὤμου καταρτίσας ἐκδέδωκά σοι. τοὺς δ᾽ ἔτι λειπομένους τῶν ἐμβολῶν τρόπους μηροῦ τε καὶ γόνατος καὶ σφυροῦ κατ᾽ ἰδίαν παραπλησίως καταγράψας ἐφ᾽ ὧν ὑποδειγμάτων δυνατὸν ἐκδώσω σοι, ὥστ᾽ ἐν τοῖς τρισὶ βιβλίοις τετελειωμένην ἔχειν σε τὴν καθ᾽ Ἱπποκράτην περὶ ἄρθρων οὐκ ἀνωφέλητον θεωρίαν.

ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ
ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ ΤΟ Γ.

σκδ΄. Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ, βασιλεῦ Πτολεμαῖε, διασεσάφηκά σοι, ὃν τρόπον ἄν τις καθ᾽ Ἱπποκράτην ὦμον ἐξηρθρηκότα σημειώσαιτό τε καὶ καταρτίσειεν· ἐν δὲ τῷ πρὸ τούτου περί τε ἀγκῶνος καὶ καρποῦ καὶ σπονδύλων 3) κύφεως παραπλησίως διὰ τῶν ὑποδειγμάτων 4) ἐκτέθειταί μοι, ὃν τρόπον τούτων δεῖ τὸν καταρτισμὸν

1) κατατείνειν ἐαν τῆς L. 2) προσωθουμ. Codd. 3) Ita Codd. Leg. κύφους s. κυφώσεως. 4) οἱ (ἡ F.) ἐκτέθηται με τὸν τρόπον. ταῦτον (ταὐτὸν) δὲ τὸν κατ. π. L. F. M. Cod. F. obelum margini adposuit. Emendavi locum corruptum.

ποιεῖσθαι· ἐν δὲ τούτῳ τῷ βιβλίῳ περί τε μηροῦ καὶ γόνατος καὶ σφυροῦ τάς τε σημειώσεις τῶν ἐξηρθρηκότων καὶ τὰς ἐμβολὰς αὐτῶν, ὑφ᾽ ὧν δυνατὸν, διὰ τῶν ὑποδειγμάτων παραπλησίως τοῖς εἰρημένοις ἐκθήσομαι, ἵν᾽ ἐν τρισὶ βιβλίοις τελειουμένην ἔχῃς τὴν καθ᾽ Ἱπποκράτην περὶ τῶν ἄρθρων ἐπίγνωσιν. 1) ἐπεὶ δὲ ἤτοι πάντα ἢ πλεῖστα τῶν ἄρθρων χωρὶς ὀργανικῆς μηχανοποιΐας καταρτίζειν παρακελευσάμενος καὶ τὸν ὀργάνου τρόπον ἐν τοῖς ἐφεξῆς ἐπινοήσας ἐκτέθειμαι, ἀναγκαῖον ἂν εἴη καὶ τὴν 2) τούτου κατασκευὴν δι᾽ ὑποδείγματος κατὰ τὸν οἰκεῖον τρόπον ἐν τούτοις 3) ὑπογράψαι σοι πρὸς τὸ μηδέν σε τῶν πρὸς τὰ προκείμενα συντεινόντων κατὰ τὸ δυνατὸν διαλαθεῖν. 4) προκαταχωρίζων δὲ τὰς Ἱπποκράτους λέξεις ἀκολούθως τοῖς πρότερον, οὕτως τὰς διὰ τῶν ὑποδειγμάτων ἐμβολὰς ὑποτάξω. ἐχομένως τοίνυν οὕτως καταχωρίζει· — ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πολὺ πλειστάκις, εἰς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, εἰς δὲ τὸ ὄπισθεν 5) καὶ τὸ ἔμπροσθεν ἐκπίπτει μὲν, ὀλιγάκις δέ. 6) οἷσι μὲν οὖν ἐς τὸ εἴσω μέρος ἐκβῇ, μακρότερον τὸ σκέλος φαίνεται παραβαλλόμενον πρὸς τὸ ἕτερον διὰ δισσὰς προφάσιας εἰκότως. ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον τὸ ἄνω φερόμενον ἐπὶ τὸν κτένα ἐπὶ 7) τοῦτο ἡ ἐπίβασις τοῦ μηροῦ τῆς κεφαλῆς γίνεται καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοτύλης ὀχέεται· ἔξωθέν τε αὐτοῦ ὁ γλουτὸς 8) κοῖλος φαίνεται ἔσω ἅτε ῥεψάσης τῆς κεφαλῆς τοῦ μηροῦ· τό τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ 9) ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ὡσαύτως. — καὶ μετά τινας ἀριθμούς φησιν· — ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ παρὰ τὸν περίναιον ὑπερογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημεῖα ταῦτά ἐστιν, οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ. ἐὰν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ 10) καταπορηθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ ἐν τοῖς βουσὶ γίνεται καὶ ἡ

---

1) ἐπιδέη τοι L. 2) ἐκ add. L. 3) ὑπέγραψα L. 4) προκαταχωρίζειν Codd. 5) καὶ τὸ ἔμπρ. om. L. 6) οἴη L. 7) τοῦτον L. 8) κοῖνος L. 9) ἄκρον om. L. 10) καταπωρεθῇ L. Fort. καταπωρωθῇ.

1) ὄχησις πλείστη αὐτοῖσι ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι 2) καὶ ἀναγκάζονται τὰ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς 3) κυλλοὶ καὶ σκολιοὶ εἶναι. καὶ κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. — Καὶ πάλιν οὕτως ἔχει· — ἀναγκάζονται δὲ καὶ ἐπικίπτειν. τῇ γὰρ χειρὶ τῇ κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν 4) ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχεῖν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν 5) μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τούτοις οὖν τοῖς σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν 6) εἴσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ. — Καὶ μετά τινας ἀριθμοὺς οὕτως ἕκαστα περιεργῶς διαπορεύεται. 7) ἀναγκάζομαι δὲ τῆς συμμετρίας στοχαζόμενος αὐτὰ τὰ καίρια μόνον προτάσσειν· — οἷς μὲν οὖν μήπω τετελειωμένοις ἐς αὔξησιν 8) ἐκπεσὼν μὴ ἐμπέσῃ, γυιοῦται καὶ ὁ μηρὸς καὶ ἡ κνήμη καὶ ὁ πούς. οὔτε γὰρ ὀστᾶ ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τοῦ μηροῦ, ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτὸν γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν 9) τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρῆσθαί ἐστιν, ὅτι οὐ κατὰ φύσιν κεῖται. — Καὶ διὰ τούτων πᾶσιν ἐπιλέγει· — οἷς δ' ἂν νηπίοις ἡ συμφορὴ αὕτη γίνηται, οἱ πλεῖστοι 10) καταμβλακεύουσι τὴν ὄρθωσιν τοῦ σώματος, ἀλλὰ εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταμβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷς ἂν τετελειωμένοις αὕτη ἡ συμφορὴ γίνηται. — Τὰ μὲν σημεῖα ταῦτα ἐκτέθειται· τὸν δὲ καταρτισμὸν ὃν τρόπον δεῖ ποιεῖσθαι, διὰ τούτων δεδήλωκεν· — μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν· ἢν ἐς τὸ εἴσω μέρος ὠλισθήκῃ, ἀγαθὴ μὲν ἥδε κατὰ φύσιν καὶ δικαίη ἡ ἐμβολὴ καὶ δή

1) ὄγκωσις L. 2) ἣν ἀνάγκατον L. 3) κοῖλοι L. κοιλοὶ Hipp. Cod Venet. 4) ἐρείδειν om. L. 5) μὴ κατ. πρὸς om. L. 6) εἴσω om. L. 7) ἀναγκάζονται — στοχαζόμενον Codd. 8) ἐκπεσὸν μηδὲ L. 9) τῆς χώρης om. L. 10) καταβλακεύουσι τὴν διόρθωσιν F. M. — κατολιγωροῦσι glossa in cod. Chirurg. Laurent. ad librum Hippocratis de articulis.

τι ἀγωνιστικὸν ἔχουσα, ὅστις 1)γε καὶ τοῖς τοιούτοις ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ μαλθακῷ, δυνατῷ δὲ καὶ 2) πλάτος ἔχοντι. τοὺς δὲ πόδας χρὴ διέχειν ὅσον τέσσαρας δακτύλους ἢ καὶ 3) ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ μαλθακῷ, ἀνατείνοντα πρὸς τὴν μεσόδμην, τὸ δὲ σκέλος τὸ σιναρὸν ἐντετάσθαι ὡς δύο δακτύλους μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς ἀπεχέτω τὴν κεφαλὴν ὡς δύο πήχεις ἢ ὀλίγῳ πλεῖον ἢ ὀλίγον ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς 4) καταλελαμμένος ἔστω μαλθακῷ τινι. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα 5) ἐνείραντα τὸν πῆχυν μεταξὺ τῶν μηρῶν, ἔπειτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ τε περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης, ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν 6) διηρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου, ἐξαπίνης ἐκκρεμασθέντα μετέωρον αἰωρηθῆναι ὡς ἰσοῤῥοπώτατα. αὕτη μὲν ἡ ἐμβολὴ παρέχεται ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον κατάτασιν ποιέεται, ὅ 7) τε κρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρέεσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεως ἀπομοχλεύει καὶ ἀναγκάζει εἰς τὴν ἀρχαίην φύσιν ὀλισθάνειν. — Ταῦτα μὲν ἐπὶ τοσοῦτον ὑπὸ τοῦ Ἱπποκράτους διασεσάφηται· δεῖ δὲ τὸν προκείμενον καταρτισμὸν καθάπερ ἔχει τὸ ὑποδεδειγμένον ὑπόδειγμα, τὸν τρόπον τοῦτον ποιεῖσθαι.

σκέ. Ἐμβολὴ μηροῦ ἡ ἐπὶ κεφαλῆς καὶ 8) τοῦ πήχεως τοῦ ἰατροῦ παρὰ τὸν περίναιον γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Ἐπειδὴ πλειστάκις εἴρηκε τὸν μηρὸν εἰς τὸ ἔσω μέρος ὀλισθάνειν, καταλέγων πλείονας ἐμβολὰς ἐπὶ τούτου τοῦ

1) τε L. 2) παχέως L. 3) ἐλάσσω L. 4) προσλελαμμένος F. in mg. γρ. προσδεδεμένος. 5) ἐρείσαντα L. 6) διηρημένην Codd. in mg. γρ. διηρμένην F. ὀρθῶς L. 7) δὲ L. 8) Fort. addendum διά.

τρόπου προσυπογέγραφεν. ἐχομένως γὰρ τὴν διὰ τοῦ ἀσκοῦ γινομένην ἐμβολὴν, καίτοι γε οὐκ εὐαρεστουμένην αὐτῷ κατὰ πᾶν, διὰ τούτων ἐκτέθειται· — εὐδοκιμεῖ δὲ καὶ ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβάλλεσθαι· καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φαυλότητος καὶ τὰ ἔξω 1) *ἐκκεκλιμένα καὶ τὰ ἐς τοὔπισθεν ἀσκῷ ἐμβάλλειν ἐπειράθησαν* 2) *οὐ γινώσκοντες ὅτι ἐξέβαλλον μᾶλλον ἢ εἰσέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ, εἰ δέοι χρέεσθαι· διαγινώσκειν δὲ χρὴ ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω. — Οὐ λίαν δὲ* 3) *ἐγκρίνων τὴν διὰ τοῦ ἀσκοῦ ἐμβολὴν, ὅμως περὶ αὐτῆς οὕτως ἀποφαίνεται· — χρὴ δὲ τὸν ἀσκὸν ἐνθεῖναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν* 4) *οἷόν τε ἀνωτάτω πρὸς τὸν περίναιον ἄνω ἀνάγοντα, ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι μέχρι τοῦ ἡμίσεως, ἔπειτα δὲ* 5) *εἰς ἕνα τῶν ποδῶν τῶν λελυμένων ἐνθέντα* 6) *αὐλὸν ἐκ χαλκείου φῦσαν ἀναγκάζειν εἰς τὸν ἀσκόν· τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι, τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν παράσκευὴ αὕτη. σκευάζονται δὲ* 7) *κάκιον οἱ πλεῖστοι ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνῶν, ἀλλὰ μόνον τὰ* 8) *γούνατα, οὐδὲ κατατείνουσι. χρὴ δὲ καὶ προκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλλον ῥηϊδίου πράγματος ἐπιτυχόντες. — Ὃν τρόπον δ᾽ ἄν τις χρήσαιτο τῇ διὰ τοῦ ἀσκοῦ ἐνθέσει, τὸ ὑποτεταγμένον ὑπόδειγμα περιέχει.*

---

1) *κεκλιμένα* L. *τὰ μὴ ἐς τοὔπ.* L. *τὰ ὄπ.* F. M. 2) *οἱ* L. *γινώσκ. αὐτοῖς* L. sibi non conscii. *ἐξέβαλλεν — εἰσέβαλλεν* L. 3) *ἐκκρίνων* L. 4) *οὖν ἧτε* L. Conjeci *οἷόν τε. δύναιτο* F. M. Hipp. 5) *ἐν δυοῖν ποδεοιν ὃν τῶν λελ.* L. *ποδῶν* Cod. Laur. in Hipp. libro de articulis. P e d e s utris quattuor anguli dicuntur, caprae pedum reliquiae. Saepius in Hispania vinum huiusmodi utribus inclusum, qui pleni tumidique caprae formam referunt, a mulionibus transvehi cognovi iisque mulis impositis loco clitellarum usus sum viator. 6) *αὐλῷ χαλκίου φυσι ἐναγκάζειν* L. 7) *τάχιον* L. 8) *γώνατα* L.

σκς'. Ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ ἀσκοῦ γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Ἐχομένως δὲ ἄλλης ἐμβολῆς διὰ τούτων μνημονεύει· — ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ ἢ καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα περικαθίσαι τὸν ἄνθρωπον, εἶτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείνοντα προσδῆσαι ὅπου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ 1) εἰς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι ἢ ἐς σφυρίδα λίθους ἐμβαλόντας. — 2) Τοῦτον τὸν τρόπον δὲ δεῖ καὶ τὸν προκείμενον καταρτισμὸν ποιεῖσθαι.

σκζ'. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς κλίμακος καὶ τοῦ κεραμίου γινομένη, ἣν εἰς τὸ εἴσω μέρος ὀλισθῇ.

Ἐχομένως δὲ καὶ ἄλλου τρόπου διὰ τούτων μνημονεύει· — ἕτερος τρόπος ἐμβολῆς, ἢν ἐς τὸ εἴσω ὀλισθῇ. στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων ὕψος ἔχοντα σύμμετρον. προσεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος ὅσον τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον ἐπικαθίσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προσέχον τοῦ στρωτῆρος, εἶτα προσβάλλειν τὸ στῆθος πρὸς τὸν στύλον πλατεῖ τινι. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται, ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει. — Δεῖ δὲ καὶ ταύτην τὴν ἐμβολὴν οὕτως καταρτίζεσθαι.

σκη'. Ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ στρωτῆρος καὶ τοῦ βάρους τοῦ σκέλους γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Ὃν τρόπον δὲ ἐπὶ ὤμου πλείονας ἐμβολὰς τάξας ἐπὶ πᾶσι κράτιστον καταρτισμὸν κατεχώρισεν, οὕτως καὶ ἐπὶ μηροῦ τὸ ὅμοιον πεποίηκεν. ἀπὸ γὰρ τῶν ἁπλῶν ἐπὶ τὴν ὀργανικὴν κατήντηκε κατάτασιν καὶ μοχλείαν 3) ἥτις βιαιοτέρας ἀνάγκας ἔχει καὶ πρὸς τῶν ἄλλων 4) ἄρθρων

---

1) εἰς om. L. ἐγχέας — ἐμβαλὼν L. Fort. ἐκκρέμασαι. 2) τοῦτον om. Codd. ἴσως τοῦτον F. in mg. 3) εἴ τις L. 4) ἐνάρθρων L.

καταρτισμὸν καὶ πρὸς μηροῦ διεξηρθρηκότος ἐμβολάς. ὅθεν ἐχομένως τοῦ Ἱπποκράτους περὶ τῆς τοῦ ὀργάνου κατασκευῆς μνημονεύοντος, πρότερον τὸ ὑπόδειγμά σοι καταγραφήσεται, 1) *εἶτα αἱ γινόμεναι διὰ τούτου τοῦ μηροῦ ἐμβολαί. διασαφεῖ δὲ οὕτως — εἴρηκα δὲ καὶ πρόσθεν ἤδη ὅτι ἐπάξιον ὅστις ἐν πόλει* 2) *πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ δίπηχυ· πάχος δὲ ἀρκέσει σπιθαμιαῖον· ἔπειτεν κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχανὴ ᾖ· ἔπειτα φλιὰς* 3) *βαθείας, ἰσχυρὰς καὶ ἰσχυρῶς ἐνηρμοσμένας ὀνίσκον ἔχειν ἑκατέρωθεν. ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὥσπερ καπέτους μακρὰς ἢ πέντε ἢ ἓξ διαλειπούσας ἀπ' ἀλλήλων ὡς τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι καὶ βάθος οὕτως· ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν βαθυτέρην* 4) *ἔτι τετράγωνον ὡς τριῶν δακτύλων· καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν* 5) *δοκέῃ, προσδεῖν ξύλον ἐμπηγνύντα ἐναρμόσον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον* 6) *ἐμπηγνύναι δὲ, ὡς ἄν ποτε δοκῇ συμφέρειν, μεσηγὺ τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον* 7) *ἑστεὸς κωλύσει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα τοῖς πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέσοι ἂν αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος· ἐνίοτε δὲ καὶ κατατεινομένῳ ἔνθεν καὶ ἔνθεν αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον* 8) *ἐν τῇ ῥοπῇ ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ* 9) *κάπετοι ἐντέτμηνται, ὡς καθ' ὁποίην ἂν αὐτέων* 10) *ἁρμόσῃ, ἐμβαλλόμενος ὁ ξύλινος μοχλὸς μοχλεύει ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων ἐρειδόμενος ἅμα τῇ κατατάσει ἤν τε ἐς τὸ ἔξω μέρος* 11) *συμφέρῃ ἐκμοχλεῦσαι καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν συμφέρῃ εἶναι ἤν τε πλάτος ἔχοντα.* 12) *ἄλλος γὰρ ἄλλῳ*

---

1) *εἴτε* L. 2) *ἀνθρώπῳ* L. 3) *βραχείας* F. M. Hipp. 4) *ἐπὶ* F. M. Hipp. 5) *δοκέῃ* om. L. *δέῃ* Codd. Hipp. aliquot. 6) *ἐμπήγνυνται. ὡς* L. 7) *ἔσται ὡς* L. 8) *ἢ τῇ ἢ τῇ* F. M. Hipp. 9) *κάπεδοι* L. 10) *ἁρμογει* L. 11) *συμφέρῃ* om. L. 12) *ἄλλως γ. ἄλλως* L.

τῶν ἄρθρων ἁρμόσει· εὔχρηστος δὲ ἐφ᾽ ἁπάντων τῶν ἄρθρων 1) ἐμβολὴ τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν τῇ κατατάσει. περὶ οὗ μὲν οὖν ὁ λόγος ἐστὶ, στρογγύλος 2) ἁρμόσει ὁ μοχλὸς εἶναι· τῷ μέντοι ἔξωθεν ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόσει εἶναι. ἀπὸ τούτων τῶν μηχανῶν καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. — Ἡ μὲν οὖν ἀπὸ τοῦ Ἱπποκράτους γεγενημένη τῆς ὀργανικῆς σανίδος ἐπίνοια διὰ τούτων σεσήμανται. ἡ δὲ τούτου τοῦ ὀργάνου κατασκευὴ τὸν ὑποδεδειγμένον τρόπον ἔχει.

σκθ΄. Ἡ τοῦ ὀργάνου κατασκευὴ ἤτοι βάθρον τοῦ Ἱπποκράτους.

Ἡ μὲν τοῦ ὀργάνου κατασκευὴ τοῦτον ἔχει τὸν τρόπον. ὁ δὲ ἐπ᾽ αὐτοῦ γινόμενος τοῦ μηροῦ καταρτισμὸς διὰ τῶν ἐχομένων ὑποδειχθήσεταί σοι. οὐ γὰρ μόνον οἴεται εἰς τὸ ἔσω τῆς ἐπὶ τοῦ μηροῦ ἐξαρθρήσεως τὴν ἐπὶ τῆς προκειμένης σανίδος κατάτασιν καὶ μοχλείαν ἀρκεῖν, ἀλλὰ καὶ 3) ἐπιπησσομένων ἐξ ἑκατέρου μέρους φλιῶν ἐχουσῶν κλιμακτῆρα καὶ πλαγίου τοῦ ἀνθρώπου κατατεινομένου. προφέρεται δὲ ἐχομένως περὶ αὐτοῦ τὸν τρόπον τοῦτον. — 4) ἔχοι ἄν τις καὶ ἄλλους τρόπους τοῦ ἄρθρου τούτου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τὸ μέγα τοῦτο ἔχοι κατὰ μέσον κατὰ πλάγιον φλιὰς δύο ὡς ποδιαίας, ὕψος δὲ ὅπως δοκοίη συμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, καὶ ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν ταῖς φλιαῖς ὥσπερ κλιμακτὴρ, ἔπειτα ἤδη 5) ἐρείσειε τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιῶν, τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσον ἀπαρτὶ πρὸς τὸ ὕψος καὶ 6) πρὸς τὸ ἄρθρον ᾗ ἐκπεπτώκει· ῥηΐδιον δὲ 7) ἁρμόσει· τὸν κλιμακτῆρα ὑψηλότερόν τινι χρὴ ποιέειν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα

1) ἐμβολὴν L. 2) ἁρμόσειεν L. 3) ἐπιπισωμένων L. ἑκατέρους μηροὺς L. 4) εὕροι F. M. Hipp. 5) διέρσαι F. M. Hipp. 6) τὸ add. L. 7) ἁρμώσῃ L.

ἐπὶ τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε· προσκαταδεδέσθαι δὲ πρὸς τὸ σκέλος ὁποσαχῶς ἂν μετρίως ἔχῃ· καὶ ἔπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπέρειδεῖ εἴτε τούτων τινὶ τῶν κατατασίων ὁμοῦ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος σὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ· τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ οὕτως ἡ κατάτασις ἅμα μὲν 1) ὑπεραιωρέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ 2) ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν τοῦ μηροῦ. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ 3) καὶ κρέσσους τῆς συμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζηται. ὥσπερ δὲ καὶ πρόσθεν ἤδη εἴρηται, πολὺ ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖς πλείστοις ἐμπίπτει. — Θαυμάζω δὲ ἐπὶ τοῖς τὴν 4) πολυθρύλλητον ἀνατομὴν ἐναγκαλιζομένοις Ἡροφιλείοις, μάλιστα δὲ ἐπὶ 5) Ἡγήτορος. ἐν γὰρ τῷ περὶ αἰτιῶν περὶ μηροῦ ἐξαρθρήσεως οὕτως ἐμέμνητο τὰ ὑποτεταγμένα διασαφῶν· διὰ τί δὲ οὐκ ἐπιβάλλονται ζητεῖν ἄλλην τινὰ ἐμβολὴν τῆς τοῦ μηροῦ κεφαλῆς παρὰ τὰς νυνὶ καταπεπτωκυίας, καθ' ἣν ὅταν ἐκπέσῃ, ἐμβληθεῖσα 6) μένει, οἱ μόνον αὐτῇ τῇ τριβῇ προσχρώμενοι, θεωροῦντες ἐκ τοῦ ἀνάλογον ἐμβαλλόμενα καὶ μένοντα, τήν τε κάτω σιαγόνα καὶ τὴν τοῦ βραχίονος κεφαλὴν, ἔτι δὲ ἀγκῶνα καὶ γόνυ καὶ τῶν δακτύλων ἕκαστον καὶ σχεδὸν τὰ πλεῖστα τῶν εἰθισμένων ἐκπίπτειν ἄρθρων; οὐδὲν γὰρ ἔχοντες αὐτοῖς ἐπιλογίσασθαι, διὰ τί ποτε μόνον τοῦτο τὸ ἄρθρον ἐκπεσὸν καὶ πάλιν ἐμβληθὲν οὐ δύναται μένειν, τῷ δὲ πλεονάκις ἐπὶ τῶν λοιπῶν ἄρθρων 7) γινομένῳ προσχρησάμενοι ἕξουσι κατά τι πιθανὸν 8) ἐπὶ τὸ νομίσαι, μή ποτε ὑπάρχῃ βελτίων ἐμβολὴ, καθ' ἣν δυνήσεται μένειν τὸ ἄρθρον, ἐχόμενον τοῦ κατὰ τὸ πλεῖστον ἐπὶ

---

1) ὑπεραίροιτο Hipp. 2) ὑπὲρ — κεφαλὴν om. L. 3) κατα L. 4) πολυθρυλυτον L. 5) ἡγήτορος L. Fort. ἡγήτορι. Ex hoc loco luce clarius videtur patere, Appollonium Citiensem non fuisse Herophileum. Spreng. hist. med. I. p. 559. Apoll. Citiens. p. 4. ubi eodem modo Herophileos vituperat. 6) μένῃ L. οἳ F. 7) γινομένων L. 8) ἐπιτονομίσαι F.

τῶν λοιπῶν συμβαίνοντος. εἰ δὲ ἐπενόησαν τὴν αἰτίαν ἐξ ἀνατομῆς, διότι συμβέβηκεν ἐκ τῆς κεφαλῆς τοῦ μηροῦ 1) *νεῦρον εἰσπεφυκέναι, ὃ ἐμφύεται εἰς μέσην τὴν κοτύλην· οὗ μένοντος μὲν, ἀδύνατόν ἐστιν ἐκπεσεῖν τὸν μηρόν· διασπασθὲν δὲ οὐκ ἐνδέχεται σύμφυσιν λαβεῖν· μὴ γεγενημένης δὲ τῆς συμφύσεως,* 2) *ἀδυνατεῖ πάλιν κατὰ χώραν μένειν τὸ ἄρθρον, ὥστε φανερᾶς τῆς αἰτίας γενομένης, ἀποστῆναι καθόλου τοῦ ἐμβάλλειν ἐκπεσόντα μηρὸν καὶ μὴ κατακολουθεῖν ἀδυνάτοις ἐπιβολαῖς. — Ἐν τούτοις ὁ Ἡγήτωρ οὐ μόνον πεπλάνηται, ἀλλὰ καὶ τοὺς φιλιατροῦντας ὅσον ἐφ' ἑαυτῷ διέστρεφεν. ἔτι δὲ καὶ τῶν ὑπὸ Ἱπποκράτους ἐν τῷ περὶ ἄρθρων εἰρημένων οὐδαμῶς κεκράτηκεν, ἅμα καὶ* 3) *ἄπορον ὁμολογῶν τὴν ἐπιχείρησιν, ἐν τοῖς προκειμένοις εὐηθέστερον συνίσταται. ἵνα δὲ μὴ* 4) *πολὺ γράφωμεν, κεφαλαιώδεις τὰς πρὸς αὐτὸν ὑπομνήσεις ποιησόμεθα. οἱ γὰρ αὐτῇ μόνῃ τῇ τριβῇ προσχρώμενοι, μένοντες ἐπὶ τῶν ἐμπείρως παρατετηρημένων, οὔθ' ὁμολογήσουσιν, ὅτι καθόλου μηρὸς ἐξαρθρήσας καταρτισθεὶς πάλιν ἐκπίπτει, οὔτε πάλιν ἐμβολὴν* 5) *παρήσονταί ποτε, τοῦ προκειμένου μὴ κρατηθέντος. εἰ δὲ τοῦτο ἀληθές ἐστιν, ὅπερ καὶ βούλεται, οὐδ' ἂν οὕτως ἐγενήθησαν οἱ τῇ παρατηρήσει συγχρώμενοι, ἀλλ' ὃν τρόπον καὶ τὰ ἐπὶ τῶν ἄρθρων αὐτοῖς τεθεώρηται, οὕτως καὶ τὰ ἐπὶ μηροῦ ἰδίως παρακολουθοῦντα κατειλῆφθαι πιθανόν ἐστιν, ὥστε μὴ βουλεύεσθαι τοὺς τῇ γνώμῃ ζητοῦντας βελτίονα ἐμβολὴν, μένειν δὲ ἐπὶ τοῦ θεωρηθέντος ἐμπείρως. ὅτι δὲ μηρὸς ἐξαρθρήσας καὶ ἐντεθεὶς πάλιν κατ' ἀνάγκην ἐκπίπτει, οὔτε τὸ γινόμενον οὔθ' ἡ τῶν ἀρχαίων ἱστορία τοῦτο περιέχει. εἰ γάρ τινι καὶ ἄλλῳ περὶ τῶν ἄρθρων ἐπιμελὲς γέγονε, καὶ Ἱπποκράτει· οὕτω δὲ φιλαλήθης ὑπάρχων καὶ τα ἐπὶ τῶν λοιπῶν ἰδιώματα διασαφῶν, οὐδὲν περὶ μηροῦ δεδήλωκεν ὅτι οὐκ ἂν δύναιτο καθόλου κρατεῖσθαι, ἀλλ' ἐκ τῶν ἐναντίων ἐκπεπνευμάτωκέ πως ἐπὶ τῶν τοῦ μηροῦ ἐμβο-*

---

1) Ligamentum teres. 2) *ἀδυνατεῖν* Codd. 3) *ἀποανομολογῶν* L. *ἄποαν ὁμ.* F. *ἴσως ἄπορον* in mg. 4) *πολυγράφομεν* L. 5) *παρέσονται* Codd.

λῶν, ὥστε καὶ ὀργανικὴν ἐπίνοιαν ποιήσασθαι. καὶ ἔτι γε ἐπὶ τῶν μὴ κρατηθέντων καθ' ἕκαστον ἐξαρθρήσεως τρόπον τὴν παρακολουθοῦσαν ἐν τῇ πηρώσει 1) χωλείαν ἐκτέθειται. καὶ ἐπὶ ὤμου δὲ τὸ παραπλήσιον ἱστορῶν οὕτως φησίν. — οἷς δ' ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι — καὶ πάλιν οὕτως· — οἷς δ' ἂν ἀνδράσιν ἤδη ἐοῦσιν ἐκπέσῃ ὦμος καὶ μὴ ἐμβληθῇ. — 2) εἰ δέ ποτέ φησι μὴ κρατεῖσθαι τὴν τοῦ μηροῦ ἐξάρθρησιν, τὸ ἐναντίον 3) τε πάλιν γίνεσθαι παρίστησιν. οὐκ ἐπὶ μὲν γὰρ τῆς πεπαλαιωμένης τοῦ ὤμου ἐξαρθρήσεως τὸ συμβαῖνον ἐπιγράφει, ἐπὶ δὲ μηροῦ τὸ γινόμενον παρέπεμψεν ἄν, καὶ ταῦτα τὴν πρόγνωσιν ἐν ἀναγκαίῳ 4) τιθέμενος, χάριν τοῦ τὴν τῶν ἰδιωτικῶν ἐκφυγεῖν μέμψιν. ἀλλὰ μὴν ἐν τῷ ἐπὶ πᾶσιν ὤμου καταρτισμῷ οὕτως ἐκτέθειται· — τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει 5) θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο. ἀτὰρ καὶ τὰ παλαιὰ μόνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι. — Καὶ ἐπιλέγει τινὰ οὕτως διὰ τῶν ἐφεξῆς· — οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκεῖ καὶ οὕτω πεπαλαιωμένον βραχίονα. τί γὰρ καὶ ἡ μόχλευσις 6) οὐκ ὀνήσειεν; μένειν μέντοι γε οὐκ ἄν μοι δοκοίη κατὰ χώραν.— Οὔτε ἂν πλείονας καὶ ποικίλας ἐμβολὰς ἐκτέθειτο πρὸς τὸ μηδὲν φιλοτεχνῶν, οὔτ' ἂν ἀπέστη τοῦ τὴν ἀλήθειαν σημᾶναι. ὅτι γὰρ ἐν τοῖς τοιούτοις μάλιστά πως φιλαλήθως ἵσταται, ὃ καὶ κατατρέχει τῶν ἀλαζονικώτερον ἱσταμένων ἐν τοῖς καταρτισμοῖς ἰατρῶν, δι' ὧν φησιν οὕτως ἐν τοῖς αὐτοῖς ἐπὶ ῥάχεως κυφώσεως, πάρεστι σκοπεῖν· — τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες 7) οὐδὲν ἀποεξίθυναν, ὧν ἐγὼ οἶδα. χρῶνται δὲ οἱ ἰητροὶ αὐτῇ μάλιστα οὕτως ἐπιθυμοῦντες ἐκχαυνοῦν τὸν πολὺν λαόν. τοῖσι γὰρ τοιούτοις θαυμαστά ἐστιν, ἂν ἢ κρεμάμενον ἢ ῥιπτούμενον ἴδωσιν ἢ ὅσα τοιούτοις ἔοικε καὶ ταῦτα κληΐζουσιν ἀεὶ καὶ οὐκέτι αὐτοῖς μέλει ὁποῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος εἴτε κακὸν εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν,

---

1) χωλίαν L. 2) ἔτι F. 3) Fort. δή. 4) τιθέμενον Codd. 5) τε add. L. 6) οὐχὶ κινήσειεν F. M. Hipp. 7) οὐχ ἓν ἅπαξ ἐξίθ. L. οὐδένα πω ἐξ. F.

οὓς γε ἐγὼ ἔγνων. — Καὶ ἐπί ποσον διελθὼν πάλιν λέγει· — αὐτὸς μέντοι κατησχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν διὰ τοῦτο ὅτι πρὸς 1) ἀπατεώνων μᾶλλον οἱ τρόποι οἱ τοιοῦτοι. — Ὅμως δὲ μετὰ ταῦτα τὸν τρόπον ὑπογράψας, εἰ δέοι διὰ τῆς κλίμακος κατασείειν, οὐδαμῶς τῆς ἀληθείας ἀφιστάμενος οὕτως ἐκτίθεται· — αἰσχρὸν μέντοι ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον παρασχόντα καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον, ἔπειτα μηδὲν ὠφελῆσαι. — Οὐ τῆς Ἱπποκράτους τοίνυν ψυχῆς, ἣν ἐπὶ μὲν τῶν προκειμένων οὕτως 2) διέσταλται, ἐπὶ δὲ μηροῦ τῷ παραπλησίῳ τρόπῳ συγχρώμενον 3) ἀπράκτως μηδὲν προσπεποιῆσθαι. ἀλλὰ μὴν περὶ τῆς πρώτης ἐμβολῆς διασαφῶν οὕτως ἐνῆρκται· — μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὠλισθήκῃ. ἀγαθὴ μὲν κατὰ φύσιν καὶ δικαίη ἐμβολὴ καὶ δή τι ἀγωνιστικὸν ἔχουσα, ὅστις γε καὶ τοῖς τοιούτοις ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον πρὸς μεσόδμην. — Ἀλλ' εἴπερ οὗτος ὁ τῆς ἐμβολῆς τρόπος ἢ καί τινες τῶν διηριθμημένων ὑπ' αὐτοῦ πρὸς τὸ μηδὲν ἦσαν ἐπινενοημένοι, πάντως ἂν ἐδήλωσεν, ὃν τρόπον καὶ ἐπὶ τῆς τῶν σπονδύλων διορθώσεως λέγων οὕτως· — ἔγραψα ἐπίτηδες τοῦτο. καλὰ γὰρ ταῦτα τὰ μαθήματά ἐστιν, 4) ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ διὰ τί ἠπορήθη. — Οὐ μὴν ἀλλ' ἐπεὶ μάλιστά πως περιεργότερον ἐπὶ τῶν μὴ κρατηθέντων περὶ τὴν ἐξάρθρησιν μηρῶν τὰ παρακολουθοῦντα 5) διηρίθμηται, σκεψώμεθα ὃ ἐπιφωνεῖ ἐπὶ τῆς εἰς τὸ ὀπίσω τοῦ μηροῦ ἐξαρθρήσεως. καθάπερ δὲ καὶ ἐπὶ τῶν λοιπῶν τρόπων, τὸ παραπλήσιον καὶ ἐπὶ τοῦ προκειμένου οὕτως προκατακεχώρικεν· — ᾧ μὲν οὖν ἂν τετελειωμένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ. — Καὶ πάλιν οὕτως — οἷς δ' ἂν ἐκ γενετῆς ἢ ἄλλως πως 6) ἀναυξήτοις ἔτι οὖσιν ὀλισθῇ τὸ ἄρθρον καὶ μὴ ἐμπέσῃ. — 7) εἰ δ' ἐπὶ πασῶν τῶν τοῦ μηροῦ ἐξαρθρήσεων τὸ μὴ κρατεῖσθαι παρακολουθεῖ, οὐκ ἄν ποτε ἐπὶ τῶν μὴ καταρτισθέντων τὰ τῆς παρεζευγμένης

1) ἀπαταιόνων L. 2) διεστάλθαι Codd. 3) ἄπρακτος L. 4) ἀπειρηθέντα L. 5) διηρίθμηνται F. 6) ἐν αὐξήσει F. M. 7) ἔτι F.

χωλείας ἰδιώματα διηρίθμητο. ἀλλὰ τὰ μὲν ἐπὶ τῶν κρατηθέντων δηλοῦμεν συνακτικὰ καθίστασθαι τοῦ καταρτίζεσθαι μηρὸν ἐξαρθρήσαντα· οὐ μὴν ἀλλ' ἵνα μὴ ματαιοπόνος φαίνηται, μὴ ἐπὶ τῶν κρατηθέντων ἐν ταῖς χώραις 1) ἐπ' ἀκριβὲς διεληλυθὼς, οὕτως μεθ' ὑπεξαιρέσεως ἐπιλέγει· — φαίη μὲν οὖν 2) ἄν τις ἔξω ἰατρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν· τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα συνιέναι· οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ 3) ἀκεστὰ μηχανᾶσθαι, ὅπως μὴ ἀνήκεστα ἔσται, συνιέντα ὅπῃ ἂν μάλιστα κωλύσῃ ἐς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ τὰ ἀνήκεστα συνιέναι, ὡς μὴ 4) μάτην λυμαίνηται. τὰ δὲ 5) προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ γινώσκειν, ὅπῃ 6) ἕκαστον καὶ ὁπότε καὶ ὅπως τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται ἤν τε εἰς τὸ ἀνήκεστον.— Τούτων δὲ οὕτως ἐχόντων, εἴπερ μηρὸς ἐξαρθρήσας καὶ καταρτισθεὶς οὐκ ἔμενεν κατὰ χώραν, ῥητῶς ἂν ὁ ἰατρὸς τὸ τοῦ πράγματος ἀνίατον, χάριν τοῦ μὴ πλανᾶσθαι ἡμᾶς, σεσημάγκει. μήποτ' οὖν οἱ τὴν ἐναντίαν δόξαν ἐσχηκότες καὶ τῆς 7) τῶν ἄρθρων καὶ τῆς τῶν νεύρων φύσεως καὶ τοῦ σύμπαντος περὶ τούτων ἀπείρως ἔχωσι λόγου. ὁ γὰρ ἰατρὸς ἐπὶ τῶν ῥαδίως ἢ πάλιν δυσκόλως ἐξαρθρούντων τε καὶ καταρτιζομένων ἄρθρων καὶ τὴν φυσικὴν καταβολὴν καὶ τὴν καθ' ἕξιν σύστασιν καὶ τὴν τῶν νεύρων σκληρίαν ἢ ἐπίδοσιν μεθ' ὑγρότητος 8) αἰτιᾶται, ὥστε καὶ ἐπὶ τῶν κατὰ τὸν μηρὸν ἐξαρθρήσεων, ἐάν ποτε μὴ κρατηθῇ, μὴ διὰ τὸ μὴ σπασθῆναι τὸ νεῦρον, τοῦτο συμβαίνειν, ἀλλὰ διὰ τὴν φυσικὴν τῶν νεύρων ἔκλυσιν ἢ ἐπίδοσιν, ὡς ἐπὶ τῶν βοῶν τὰ ἄρθρα ταῦτα φύσει χαλαρὰ αὐτοὺς ἔχειν φησίν. οὐ μὴν ἀλλ' ἵνα μὴ πολὺ γράφω, καὶ περὶ τούτων ἐν συντόμοις τὰ λεγόμενα δηλώσομεν.

---

1) ἐπακριβὲς L. 2) ἂν om. L. 3) ἕκαστα L. 4) μάλιστα F. M. Hipp. 5) προβλήματα L. 6) ἂν ἀκεστὲ L. 7) τῶν ἄρ. κ. τῆς om. F. 8) ἠτιᾶται L. ὡς δὲ Codd.

Ἐν ἀρχῇ τοίνυν τῆς πραγματείας ἐπὶ ὤμου ἐξαρθρήσεως καταρτισμοῦ τὴν μνείαν ποιούμενος οὕτως ἐκτίθεται· — ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα· διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ καὶ ἧσσον. πλεῖστον δὲ διαφέρει τῶν νεύρων ὁ ἔνδεσμος, τοῖς μὲν ἐπιδόσεις ἔχων, τοῖς δὲ συνδεδεμένος. καὶ γὰρ ἡ ὑγρότης τοῖς ἀνθρώποις γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τὴν τῶν νεύρων 1) ἀπάρτισιν, ἣν χαλαρά τε ᾖ φύσει καὶ ἐπιτάσιας εὐφόρως φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε ὁπόταν ἐθέλωσιν, ἐξίσταται ἀνωδύνως. διαφέρει μέντοι τι καὶ ἕξις σώματος. τοῖς μὲν γὰρ εὖ ἔχουσι καὶ γυῖον σεσαρκωμένον ἐκπίπτει 2) τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ ἑωυτῶν 3) λεπτοὶ καὶ ἄσαρκοι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. σημεῖον δὲ ὅτι ταῦθ᾽ οὕτως ἔχει καὶ τόδε. τοῖσι γὰρ βουσὶν οἱ μηροὶ τότε ἐκπίπτουσιν ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ ἑωυτῶν λεπτότατοι ἔωσιν. — Ταῦτα ὑπομένουσιν ἐπὶ πάντων τῶν ἄρθρων κοινῶς, καὶ οὐκ ἐπὶ μόνου ὤμου εἰρῆσθαι διαληπτέον. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς διὰ τῶν ἑπομένων οὕτως πεποίηκε φανερὸν, συνοικειῶν τὸν λόγον· — μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώταται ὀλισθάνουσιν, — εἶθ᾽ 4) ἑπομένως οὐ περὶ τοῦ τὸ νεῦρον ἀποσπασθῆναι τὴν μνείαν ποιεῖται, ἀλλὰ περὶ τῆς τῶν ἄρθρων κεφαλῆς καὶ τῶν κοιλωμάτων, τῶν δὴ κοτυλῶν λεγομένων ὅτι παραπλήσιοί εἰσιν, ὅθεν ἐπιλέγει ταυτί· — διὰ τοῦτο οὐκ ἔστιν αὐτοῖς τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· — εἶτ᾽ ἐπιφέρει· — περὶ οὗ οὖν ὁ λόγος ἐστὶν, ἐκπίπτουσι τελείως, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν· — ὁμοίως δὲ καὶ ταῦτα· — ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον, μᾶλλον δ᾽ ἔτι μηρὸς τοῦ βραχίονος πέπονθεν. — Ἱκανῶς δὲ ἔχειν νομίζομεν πρὸς τὴν σύστασιν τὰς προκειμένας ἐκλογάς. οὐ μὴν ἀλλ᾽ ὀλίγων ἔτι λειπομένων καὶ ταῦτα προσκατατάξομεν. καινότερον μὲν γὰρ ἐπὶ πάντων ἱστάμενος οὕτως

---

1) ἀπάρτησιν Codd. 2) τε — τε om. L. 3) Comparat. antea atque in Hipp. et F. M. 4) εἰρομένως L.

φησίν· — ὅσα γὰρ νεῦρα καὶ μύες παρὰ ἄρθρα ἐστὶν ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν συνδέδεται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ εἰς τὰς κατατάσιας 1) ἐπιδιδόναι δύναται, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. — Μήποτε οὖν καὶ τὸ ἐπὶ τῶν ἐξαρθρήσεων ποτε δύσεργον ἢ καί, ἀνιάτου γινομένου, παρὰ νεύρου διασπασμὸν εἴη συμβαῖνον, ἀλλὰ παρὰ τὸ μᾶλλον ἐξαρθρεῖν. σαφῶς γε οὖν ἐν τοῖς αὐτοῖς οὕτως διασαφεῖται· — ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα 2) δισσῶς αὐτὰ 3) ἑωυτοῖς ἐκπίπτει τε καὶ ὀλισθάνει, ὁτὲ μὲν πολὺ πλεῖον, ὁτὲ δὲ πολὺ ἔλασσον. καὶ οἷς μὲν ἂν πλεῖον ἢ ἐκπέσῃ ἢ ὀλισθῇ, χαλεπώτερα ἐμβιβάζειν τὸ ἐπίπαν ἐστὶ, καὶ ἢν 4) μὴ ἐμβιβασθῇ, μείζους καὶ ἐπιδηλοτέρας τὰς 5) πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα. —

Τούτων δὲ οὕτως εἰρημένων, ἐπανελευστέον ἐστὶν ἐπὶ τὸν προκείμενον τῆς τοῦ μηροῦ ἐμβολῆς τρόπον, ἀφ' οὗ καὶ τὴν παρέκβασιν ἐποιησάμεθα· ὑποδείξας γὰρ Ἱπποκράτης, ὅτι τοῖς πλείστοις ἐνίοτε ῥαδίως χωρὶς βίας μηρὸς ἐξαρθρήσας καταρτίζεται, οὕτως ἑπομένως προσδιασεσάφηκεν· — εἴρηνται μὲν οὖν τρόποι κατατάσεων καὶ ἐν τοῖς ἔμπροσθεν 6) γεγραμμένοις ὥστε χρῆσθαι οἷς ἄν τις παρατύχῃ. — Ἵνα δὲ μὴ ἐπὶ πάντων τὸ τοῦ καταρτισμοῦ ἔργον ῥᾴδιον εἶναι διαλαμβάνηται, τὸν τρόπον τοῦτον ἑξῆς προσδιασεσάφηκεν· — δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ μὲν θάτερα τὸ σκέλος, ἐπὶ δὲ θάτερα τὸ σῶμα. ἢν γὰρ εὖ 7) καταταθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης. — Καὶ μετ' ὀλίγον φησίν· — ἀλλὰ ἐλλείπουσι γὰρ ἐν τῇ κατατάσει· διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή, — ὥστε μὴ καθόλου, ἀλλὰ καί ποτε διὰ τὴν ἐπὶ πλεῖον ἐξάρθρησιν, καὶ ῥυέντος δέ τισι 8) παρὰ τὸν ἐν τῇ κατατάσει 9) χειρισμὸν, μὴ καταρτίζεσθαι μηρὸν ἐξαρθρήσαντα. ἀκολού-

1) F. in mg. γρ. δυνατώτατα ἐπιδ. Hipp. 2) ἀνίσως F. M. Hipp. 3) ἐν αὐτοῖς L. 4) μὲν L. 5) πληρώσιας L. πωρώσιας F. 6) εἰρημένοις L. ὥστε om. L. 7) καταιεθῇ L. 8) τοῦ μηροῦ sive σκέλους sive σώματος excidit. Obelum adpingit F. 9) δὲ add. L.

θως δὲ 1) τῇ κατὰ τὴν δίκην προκειμένῃ λέξει προσανακεφαλαιούμενος τοὺς περὶ τοῦ μηροῦ ἐξαρθρήσεως καταρτισμοὺς διὰ τούτων διασαφεῖ· — ὥσπερ μὲν οὖν καὶ πρόσθεν ἤδη εἰρήκαμεν, 2) μέγα τὸ διαφέρον ἐστὶ τῶν φύσεων τοῖς ἀνθρώποις εἰς τὸ 3) εὐέμβλητα καὶ δυσέμβλητα εἶναι τὰ ἄρθρα. ἐνίοις γὰρ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος ὅσον ταῖς χερσὶ κατιθῦναι· πολλοῖς δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πλείω οὐδὲν ἀκούει 4) τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ περὶ ἑκάστου ἐν πάσῃ τέχνῃ, χρέεσθαι δὲ οἷς ἂν δοκῇ. — 5) χρὴ περὶ πλείστου ποιεῖσθαι ἐν πάσῃ τέχνῃ, 6) ὅπως ὑγιῆ ποιήσειε τὸν νοσέοντα. εἰ δὲ πολλοὺς τρόπους οἷόν τε εἴη ὑγιέα ποιέειν, τὸν ἀοχλότατον χρὴ 7) αἱρεῖσθαι. καὶ γὰρ 8) ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον ἄν τις ὑπολάβοι, ὅστις μὴ ἐπιθυμῇ 9) δημοειδέος κιβδηλίης. — Ὃ δὴ διὰ πάντων τούτων 10) δεόντως καὶ φιλαλήθως περὶ μηροῦ ἐξαρθρήσεως διεσταλμένος πως σημαίνει, εἴπερ μὴ καταρτισθεὶς ἐπέμενεν, ἀλλὰ πάλιν ἐξήρθρει, κατασιωπῆσαι, ἀλλ' οὐχὶ πᾶν τοὐναντίον ὤφειλε τὸ συμβὰν 11) δηλῶσαι.

Τὰ μὲν οὖν πρὸς Ἡγήτορα ἐν κεφαλαίοις περὶ τῆς τοῦ μηροῦ ἐξαρθρήσεως, ἀναγκαίως ἔχοντα 12) ῥηθῆναι, ταῦτ' ἐστι. τὴν δὲ διὰ τῆς προκειμένης ὀργανικῆς σανίδος ἐμβολὴν ἐπὶ τοῦ εἰς τὸ ἔσω μέρος ὠλισθηκότος μηροῦ τὸν ὑποτεταγμένον διὰ τοῦ ὑποδείγματος τρόπον χρὴ ποιεῖσθαι.

σλ'. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος καὶ τοῦ ὀνίσκου εἴτε τοῦ ξύλου ἐμπηγνυμένου τῇ σανίδι μέσον κατὰ τὸν περίναιον, ἣν εἰς τὸ ἔσω μέρος ὀλισθῇ.

Περὶ μὲν οὖν τοῦ μηροῦ εἰς τὰ 13) ἔσω ἐξαρθρήσεως τὰς προκειμένας σημειώσεις τε καὶ ἐμβολὰς κατακεχώρι-

1) *τὴν* Codd. 2) *παρὰ* L. 3) *εὐμετέμβλητα* L. 4) *ἀπὸ* add. L 5) Hipp. II. 844. 6) *χρεῖσθαι δ'* add. L. 7) *ἐρεῖσθαι* L. 8) *ἄνδρα ἐθικώτατον* L. *τεχνικώτατον* L. 9) *δημιοειδέος κιβδήλιος* L 10) *δὲ ὄντος* L. 11) *ὣ* add. L. *συμβάνω* F. Fort. *συμβαῖνον* sive *τῷ* sive *ὧδε.* 12) *ῥωσθῆναι* L. 13) *ἔξω* F.

κεν· περὶ δὲ τῶν λοιπῶν τρόπων διὰ τῶν ἐχομένων μνημονεύων πρότερον περὶ τῆς εἰς τὸ ἔξω μέρος ἐξαρθρήσεως οὕτως ὑπογέγραφεν· — ὅσοις δ' ἂν εἰς τὸ ἔξω μηροῦ κεφαλὴ ἐκβῇ, βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπὶ τὸ ὀστέον ἡ 1) ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν ὥσπερ ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ παρὰ τὸ ὀστέον παρακεκλιμένην τὴν φύσιν ἔχον ἐν σαρκὶ ἐνστηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται· ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην 2) κυλλότερος καὶ ἀσαρκότερος φαίνεται· ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίης. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ 3) γλουτὸς, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῇ τοῦ μηροῦ κεφαλῇ· τό τε παρὰ τὸ γόνυ τοῦ μηροῦ ἔσω ῥέπον φαίνεται καὶ ἡ κνήμη καὶ ὁ πούς. ἀτὰρ οὐδὲ συγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύναται. τὰ μὲν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν. οἷς μὲν οὖν ἂν τετελειωμένοις ἐκπεσὸν τὸ ἄρθρον 4) μὴ ἐμπέσῃ, τούτοις μὲν βραχύτερον φαίνεται τὸ σύμπαν σκέλος· ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνεῖσθαι ἐπὶ τὴν γῆν, τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσιν ὀλίγον ἐπὶ τὴν γῆν· εἰς δὲ τὸ ἔσω ῥέπουσιν ἄκροις τοῖς δακτύλοις. ὀχεῖν δὲ τὸ σῶμα δύναται τὸ σιναρὸν σκέλος 5) τούτοις πολλῷ μᾶλλον ἢ οἷς ἂν εἰς τὸ εἴσω μέρος ἐκπεπτώκῃ. — Οὐ μόνον δὲ ἐπὶ τῶν τελείων, ἀλλὰ καὶ ἐπὶ τῶν ἔτι ὄντων ἐν αὐξήσει ἐπὶ πάσης μηροῦ ἐξαρθρήσεως, ὅταν μὴ κρατηθῇ, τὰ 6) μὲν παρακολουθοῦντα διηρίθμηται, ἃ δὴ παρήσομεν· τοῦτο δὲ μόνον εἰς ὑπόμνησιν ἀκτέον, διότι εἰ καθόλου μηρὸς ἐξαρθρήσας καὶ καταρτισθεὶς οὐκ ἐπέμενεν ἐν τῇ κατὰ φύσιν χώρᾳ, σαφῶς ἂν αὐτὸς ὁ Ἱπποκράτης σεσημάγκει, πάντα τε τὰ ἀποβαίνοντα ἐμπείρως περὶ τὴν ἐξάρθρησιν ταύτην ἐκτεθειμένος, καὶ ἐπὶ τῶν μὴ κρατηθέντων γραφικῶς σφόδρα 7) [ἢ] αὐτῆς τῆς ἀληθείας τὰς ἀπορίας ὑπογεγραφὼς, ἃ δὴ σημαίνει, καθάπερ ὑποδεδείχαμεν, μὴ ματαιοπόνον

---

1) ἀνάβασις L. 2) κοιλότερος L. 3) μηρὸς L. 4) ἢ add. L. 5) τοῦτ' ἐς L. 6) μὴ Codd. 7) ἢ omittendum.

γεγονέναι μηδὲ ἀνωφελεῖς καταρτισμοὺς ἐκτεθεῖσθαι. Τοῦ προκειμένου δὲ τῆς ἐξαρθρήσεως τρόπου τὴν ἐμβολὴν οὕτως φησὶ ποιεῖσθαι· — ἢν δὲ εἰς τὸ ἔξω μέρος τοῦ μηροῦ ἡ κεφαλὴ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα οὕτω χρὴ ποιέεσθαι ὥσπερ εἴρηται ἢ τοιουτοτρόπως· τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει ἐκ τοῦ ἔξω μέρους εἰς τὸ εἴσω ἀναγκάζοντα, κατ᾽ αὐτόν τε τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις ταῖς χερσὶν, ὡς μὴ ὑπείκῃ τὸ σῶμα ἢ ἑτέρῳ τοιούτῳ μοχλῷ 1) ὑποβάλλων καὶ ἐρείσας ἐκ τῶν 2) καπέτων τὴν ἁρμόζουσαν 3) ἀντικατεχέτω· τοῦ δὲ μηροῦ τοῦ ὠλισθηκότος τὸ παρὰ τὸ γόνυ ἔξωθεν εἴσω ἡσύχως παραγέτω. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσεως τοῦ ἄρθρου· ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθοίη ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι σὺν τῷ ξύλῳ τῷ ὑποτεινομένῳ μόχλευσιν 4) μηχανήσαιτ᾽ ἄν τις, ὥστε ἁρμόσαι τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν 5) προσαρτέων ἅμα τι. καὶ 6) ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, 7) τί ἂν οὐκ ἐμπέσοι ἄρθρον οὕτως 8) ἐκπεπτωκός; — Διαφεύγοι ἂν εἰ ὀρθῶς μὲν καὶ εὖ κατατείνοιτο, ὥστε καὶ ἐφ᾽ οὗ ποιεῖται τὸν λόγον μηροῦ καταρτίζεσθαι. εἰ δὲ μὴ, 9) τοῦτο μὲν φήσουσι δυνατὸν γίνεσθαι, πάλιν δὲ ἐξαρθρεῖν, παντελῶς εὐήθεις ἔσονται. ὁ γὰρ Ἱπποκράτης πικρῶς πάντα παρατετηρηκὼς καὶ τοῦτ᾽ ἂν ἡμῖν εἰς ἐμφάνειαν* ἀπώχει. πλὴν ὅ γε καταρτισμὸς τοῦ εἰς τὸ ἔξω ἐκπεσόντος μηροῦ οὕτως ἂν διὰ τοῦ ὑποδείγματος ἐπιτελοῖτο.

σλα'. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος καὶ τῶν ὀνίσκων καὶ τοῦ μοχλοῦ γινομένη, ἢν εἰς τὸ ἔξω μέρος ὀλισθῇ.

Περὶ δὲ τῆς εἰς τὸ ὄπισθεν μέρος ἐξαρθρήσεως οὕτως ὑποδέδειχεν· — οἷς δ᾽ ἂν εἰς τὸ ὄπισθεν ἡ κεφαλὴ τοῦ

1) γρ. ὑπερβάλλων F. in mg. Hipp. 2) καπέδων L. 3) ἀντικατωχε δὲ μήποτε τοῦ μηρ. L. 4) μηχανῆς ἅπαν τις L. 5) προσακτέον L. 6) μὴν L. 7) ἔτι L. 8) ἐκπεπτωκότος L. 9) οἳ addas.

μηροῦ ἐκπέσῃ, ὀλίγοις δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτε κατὰ τὴν ἰγνύην, ἀλλ' 1) *ἣ μάλιστα τῶν ἐκ παλαιῶν οὗτοι ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. προσσυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι καὶ τοὺς πλείστους λήθει, ὅτι οὗτοι ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ συνεκτανύσωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. — Περὶ οὗ ὁ λόγος, οὔτε ἐκτανύειν δύνανται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται. — Καὶ μετά τινας ἀριθμοὺς ταῦτ' ἐπιλέγει· — κάμπτειν μέντοι δύνανται,* 2) *ὅταν μὴ ὀδύνη κωλύῃ, καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ἐπιεικῶς* 3) *ὀρθὰ φαίνεται, οὔτε τῇ οὔτε τῇ ἐκκεκλιμένα. κατὰ δὲ τὸν βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρη εἶναί ποτε καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου ἐπὶ τὰ ἕτερα ὠλισθηκότος. κατὰ δὲ αὐτοῦ τὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ δοκεῖ τι ἐξογκεῖν μᾶλλον. τὰ μὲν σημεῖα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ. — Πάλιν δὲ καὶ ἐπὶ ταύτης τῆς ἐξαρθρήσεως περὶ τῶν μὴ κρατηθέντων διὰ πλειόνων μέμνηται, ἃ δὴ παρέντες αὐτὸ μόνον οὕτως προτάξομεν· — ὅτεῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ἐγκάμπτειν κατὰ τοὺς βουβῶνας* 4) *ὁδοιπορέων διὰ δισσὰς προφάσιας. — Περὶ μὲν οὖν τῆς σημειώσεως καὶ τῶν ἀποβαινόντων ταῦτα ἐξηρίθμηται· περὶ δὲ τῆς ἐμβολῆς διὰ τούτων σεσήμαγκεν· — οἷς δὲ εἰς τὸ ὄπισθεν ὁ μηρὸς ἐκπεπτώκει, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτως δεῖ ποιεῖσθαι, ὥσπερ ἤδη εἴρηται·* 5) *ὑποστρώσαντα δὲ ὑπὸ τὸ ξύλον ἱμάτιον πολύπτυχον μαλθακώτατον πρηνέα* 6) *κατακλίναντα τὸν ἄνθρωπον οὕτως κατατείνειν. ἅμα δὲ τῇ κατατάσει χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον ὥσπερ τὰ ὑβώματα κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σα-*

---

1) *ἥκιστα* F. M. Hipp. 2) *ὅσον* L. 3) *ὀρθῶς* L. 4) *ὁδοιπορέειν* L. 5) *ἐπιστορέσαντα* F. M. Hipp. 6) *κατακλῖναι* L.

νίδα μᾶλλον ἐς τὸ κάτω μέρος ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων. καὶ ἡ ἐντομὴ ἐν τῷ 1) τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι καὶ ἅμα ἰσχυροτάτη. — Δεῖ δὲ τὴν τοῦ προκειμένου ἄρθρου ἀποκατάστασιν τὸν τρόπον τοῦτον ποιεῖσθαι.

σλβ'. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος ἤτοι ἑτέρας σανίδος κατὰ τοῦ πυγαίου τιθεμένης καὶ τῶν ὀνίσκων γινομένη, ἣν εἰς τὸ ὄπισθεν μέρος ὀλισθῇ.

Ἔτι δὲ τῆς προκειμένης ἐξαρθρήσεως καταρτισμοῦ τρόπον τοιοῦτόν τινα ὑπογέγραφεν· — ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ ταῖς χερσὶν ἐρεισάμενον ἢ ἐπιβάντα ἐξαπίνης ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμία ἐμβολὴ τῶν πρόσθεν εἰρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος. — Αὗται δὲ πᾶσαι δικαίαι. οὐκ ἀναγκαῖον δὲ ἔσται πάντα τὰ ὑποδείγματα ἐπὶ τούτων τάσσειν. ἐν γὰρ τῷ πρὸ τούτου βιβλίῳ παραπλησίως ἐπὶ τῶν σπονδύλων ὑποδεδείχαμεν, ὅθεν ἐν τούτοις ἐφ' ἑνὸς μόνου τοῦ διὰ τῶν χειρῶν γινομένου τρόπου στάντες ὑπογράφομεν. τὸ γὰρ αὐτὸ ἐπιτελοῖτ' ἂν ὁτὲ μὲν ἐφεζομένων, ὁτὲ δὲ ἐπιβαινόντων τῷ ποδὶ καὶ ἐποχουμένων τινῶν. τὸ ὑπόδειγμα τοῦτον ἂν ἔχοι τὸν τρόπον.

σλγ'. 2) Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος ἢ τῶν ὀνίσκων καὶ τῆς καθέδρας τοῦ ἰατροῦ γινομένη, ἣν εἰς τὸ ὄπισθεν μέρος ὀλισθῇ.

Περὶ δὲ τῆς λειπομένης μηροῦ ἐξαρθρήσεως οὕτως μέμνηται· — οἷς δ' ἂν εἰς τὸ ἔμπροσθεν κεφαλὴ μηροῦ ἐκπέσῃ, 3) ὀλιγάκις δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος 4) δύνανται τελείως, συγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὸ κατὰ τὸν βουβῶνα. 5) πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται συγκάμπτειν, μῆκός τε τοῦ σκέλους παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρ-

1) τύχῳ L. 2) Τήνδε τὴν γραφὴν (picturam) ζήτει ἄνω ἐν τῷ ἀριθμῷ σκά'. F. 3) ὀλίγα L. 4) οὐ add. L. 5) ἀπονέουσι L.

νην καὶ πάνυ· ἄκρος δὲ ὁ ποὺς ἧσσον προκύπτειν θέλει εἰς τὸ ἔμπροσθεν· ὅλον δὲ τὸ σκέλος ἔχει τὴν εὐθυωρίαν τὴν κατὰ φύσιν καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει. ὀδυνῶνται δὲ 1) τὸ αὐτίκα εἶναι οὗτοι μάλιστα καὶ οὖρον ἴσχεται τὸ πρῶτον τούτοις μᾶλλον ἢ τοῖς ἄλλοις ἐξαρθρήμασιν. ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοις τῶν τόνων τῶν ἐπικαίρων, περὶ ὧν οἶδας, καὶ κατὰ μὲν τὸν βουβῶνα 2) ἐξογκέον καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον 3) στολιδωδέστερον καὶ ἀσαρκωδέστερον. ταῦτα σημεῖα τὰ εἰρημένα, ᾧ ἂν οὕτως ἐκπεπτώκῃ. ὅσοις μὲν οὖν ἂν ἤδη ἠνδρωμένοις τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὅταν αὐτοῖς ἡ ὀδύνη παύσηται καὶ τὸ ἄρθρον ἐθισθῇ ἐν τῷ χωρίῳ στρέφεσθαι ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδόν τι ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου. — Καὶ τὰ λοιπὰ δὲ ἑξῆς τὰ παρακολουθοῦντα καὶ τὰ ἐπὶ τῶν ἔτι ἐν αὐξήσει ὄντων περιέργως διηρίθμηται, 4) ἃ παρέντες ἐπὶ τὸν τῆς ἐμβολῆς τρόπον ἐπανάξωμεν. ἐκτέθειται δ' αὐτὸν οὕτως· — ἢν δὲ εἰς τὸ ἔμπροσθεν ἐξολισθῇ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος· ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν καὶ ὡς εὐπαιδευτότατον ἀνερείσαντα τὸ θέναρ τῆς ἑτέρης χειρὸς παρὰ τὸν βουβῶνα καὶ τῇ χειρὶ τῇ ἑτέρῃ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαμβάνοντα ἅμα μὲν ἐς τὸ κάτω μέρος ὠθέειν τοῦ ὀλισθήματος, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος ὁ τρόπος ἐμβολῆς κατὰ φύσιν μάλιστα τούτῳ τῷ ὀλισθήματι. — Ταῦτα μὲν 5) οὖν ἐκτέθειται. δεῖ δὲ διὰ τοῦ ὑποκειμένου ὑποδείγματος τὸν εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσαντα μηρὸν οὕτως ἐντιθέναι.

σλδ'. Ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς σανίδος ἢ τῶν ὀνίσκων τε καὶ τοῦ θέναρος τοῦ ἰατροῦ γινομένη, ἢν εἰς τὸ ἔμπροσθεν μέρος ὀλισθῇ.

Ἐπεὶ δὲ οὐ μόνον τὸν προκείμενον καταρτισμὸν ἐπὶ τοῦ εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσαντος μηροῦ κατακεχώρι-

1) τῷ L. οὔτω L. 2) ἐξογκαῖον L. 3) ῥυσότερον Gloss. in Cod. Laur. in Hipp. libro de artic. 4) ἅπερ ὄντες L. 5) οὕτως F.

κεν, ἀλλὰ καὶ τὸν ἐπὶ κεφαλῆς γινόμενον καταρτισμὸν 1) συνεπιδεῖται τῷ κατὰ φύσιν, ἐπὶ τῷ αὐτῷ τρόπῳ τοῦτον διείληφεν, ἀναγκαῖον ἂν εἴη καὶ ταύτην τὴν ἐμβολὴν 2) ὑποτάξαι, πρὸς τὸ μηδέν σε τῶν πρὸς τὰ προκείμενα εἰρημένων διαλαθεῖν. διασαφεῖ δὲ περὶ αὐτῶν διὰ τῶν ἐχομένων τούτων· — ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύειν τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ κατὰ μέσον τὸν περίναιον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιητέον. — Ὁ δὲ καταρτισμὸς ὁ διὰ τοῦ κρεμασμοῦ οὕτως 3) ἂν ἐπιτελοῖτο.

σλέ. Ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ κρεμασμοῦ ἐπὶ κεφαλῆς καὶ τῷ πήχει τοῦ ἰατροῦ κατὰ τὸ μέσον τοῦ περιναίου καὶ τοῦ ἱεροῦ ὀστοῦ γινομένη, ἣν εἰς τὸ ἔμπροσθεν ὀλισθῇ.

Περὶ μὲν οὖν μηροῦ ἐξηρθρηκότος 4) σημειώσεών τε καὶ ἐμβολῶν καὶ τῶν τούτων ὑποδειγμάτων, ὃν τρόπον προεθέμεθα, καθ᾽ 5) Ἱπποκράτην δεδήλωταί σοι· περὶ 6) δὲ γόνατος καὶ σφυροῦ 7) τῷ τὸν καταρτισμὸν αὐτῶν ἁπλούστερον εἶναι, οὐ δυνατὸν δι᾽ ὑποδειγμάτων ἐμφανίσαι σοι, ὅθεν τὰ ὑπὸ τοῦ Ἱπποκράτους ἐν τοῖς ἐφεξῆς περὶ αὐτῶν διασεσαφημένα μόνον ἐκθήσομαι, χάριν τοῦ τετελειωμένην ἐν τοῖς βιβλίοις ἔχειν σε τὴν καθ᾽ Ἱπποκράτην περὶ ἄρθρων θεωρίαν. διασαφεῖ δὲ περὶ γόνατος τοῦτον τὸν τρόπον· — γόνυ δὲ ἀγκῶνος εὐηθέστερόν ἐστι διὰ τὴν εὐσταλίαν καὶ τὴν εὐφυΐαν· διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστάκις 8) ἔσω, ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι ὀξέως ἢ συνελίξας ταινίης ὄγκον, ἐν τῇ ἰγνύῃ θεὶς, ἀμφὶ τοῦτον 9) τὸν ἐξαίφνης εἰς ὄκλασιν ἀφιέναι τὸ σῶμα. — 10) μάλιστα αὐτῇ τῶν ὄπισθεν συγκάμπτειν οὐ

---

1) Conjicio: συνεπιδεῖ τε τῷ (τὸ L.) κ. φύσιν καὶ ἐπί. 2) ὑποτάξω L. 3) ἂν om. Codd. 4) σημειώσεως L. 5) Ἱπποκράτη L. 6) τε F. 7) τῶν L. om. F. M. Conjeci τῷ. 8) ἔσωτε L. 9) recens luxatum. τὸν etiam Cod. Hipp. Venet. habet. 10) τοῖς μὲν ὄπισθεν συγκ. Hipp.

δύνανται, ἀτὰρ οὐδὲ τοῖς ἄλλοις πάνυ· μινύθει δὲ μηροῦ καὶ κνήμης τὰ ἔμπροσθεν. ἢν δὲ ἐς τὸ εἴσω, 1) βλαισότεροι· μινύθει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ γὰρ τὸ παχύτατον ὀστέον ὀχέει, μινύθει δὲ τὰ εἴσω. ἐκ γενεῆς δὲ 2) ἢ ἐν αὐξήσει κατὰ λόγον τὸν ἔμπροσθεν.

Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δέεται ἢ ταῖς χερσὶν ἢ ἄλλοις 3) τισί. διορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης· κοινὸν δὲ 4) τοῦτο πᾶσιν. —

Τούτων δὲ οὕτως ἐχόντων, ἀναγκαῖον εἶναι νομίζομεν, ἅπερ ἐν τοῖς πᾶσιν ἀνακεφαλαιούμενος περὶ πασῶν τῶν ἐμβολῶν κατακεχώρικεν, 5) ἐχομένως ὑποτάξαι. μᾶλλον γάρ πως καὶ διὰ τούτων παρακολουθήσεις τῶν περὶ ἄρθρων καταρτισμῶν. ἐκτέθειται δὲ τὸν τρόπον τοῦτον· — 6) τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει. ὦμον δὲ, αὐτὸς ὑποθεὶς τὴν πυγμὴν 7) ἀνωθεῖν τὴν τοῦ βραχίονος κεφαλήν· τὸν δὲ ἀγκῶνα 8) παράγειν πρὸς τὸν ἕτερον· ἀτὰρ καὶ ὀπίσω 9) περιαναγκάσαι. ἄλλον δὲ, τοῖς γόνασι τὸν ἀγκῶνα 10) ἀπωθεῖν, 11) τῇ κεφαλῇ 12) ἐς τὸ ἀκρώμιον, ὑπὸ δὲ τὴν μασχάλην τοῦ βραχίονος ταῖς χερσὶ λαβὼν, κάτω κατάγειν καὶ προσάγειν ἀντία τῇ ἑαυτοῦ κεφαλῇ. ἄλλη. ἔχεσθαι τὸν ἑαυτοῦ ὦμον τῇ μασχάλῃ ἁρμόζοντα, ὥστε 13) ἂν ὀχηθῆναι, ἅμα κρέμασθαι κατὰ τὴν μασχάλην, ἐκ δὲ τοῦ βραχίονος ἐκκρεμασθῆναι, ταῖς χερσὶ διορθοῦν. ἄλλη. πτέρνῃ πληρώσαντα μασχάλην σφαιροειδεῖ, ἐμβάλλοντα ὠθεῖν, τὴν δὲ χεῖρα ταῖς χερσὶν 14) ἀντικατακείμενον, τὸ δὲ σῶμά τινα κατέχειν, ὡς μὴ περιῤῥέπῃ, ταῦτα χαμαὶ κείμενον. ἄλλη. περίοδος περὶ ὕπερον. ἄλλη. τῷ ὑποτεινομένῳ ξύλῳ. νῦν τὸ ὑποτεινόμε-

1) βλεσώτεροι L. 2) ἢ L. 3) τοῖσι Codd. et Cod. Hipp. Venet. 4) τούτων L. 5) εἰρωμένως L. 6) Mochlic. II. p. 856. 7) ἀνώθη L. ἀνωθεῖ F. 8) παράγων L. 9) περιαναγκασις L. περιαναγκάσῃς F. 10) ἀπωθεῖ Codd. 11) Fort. ἢ. Cf. Mochl. II. 854. 12) ἐς om. L. In his in summulam contractis de luxatis articulis reponendis sententiis multa emendare non audeo, etsi verba saepius male cohaereant. 13) ἀνωχηθῆναι L. 14) Fort. ἀντικατατείνειν.

νον τὴν ἄμβην λεγόμενον βεβούληται δηλοῦν, ῥητῶς δὲ κατακεχωρικὼς — εὖ καὶ περὶ κλιμάκων καταρτίζεται — φανερὸν πεποίηκε τὸ ἐν τοῖς πρώτοις 1) ἰδίᾳ ὅτι κλῖμαξ καὶ οὐδὲν ἕτερον ὅτι κλῖμάξ ἐστιν. Ταύτας μὲν οὖν τὰς ἐμβολὰς ὃν τρόπον δεῖ ποιεῖσθαι, διὰ τοῦ πρώτου βιβλίου φανερά σοι καθεστάκαμεν. περὶ δὲ τῶν λοιπῶν 2) αὐτὸς οὕτως διασαφεῖ· — νόμος 3) ἐμβολῆς, διορθώσιος, μοχλὸς, σφὴν, 4) ἵππος, ὄνος μὲν ἀνάγειν, ὁ μοχλὸς δὲ παράγειν. τὰ δὲ ἐμβλητέα ἢ διορθωτέα διαναγκάσαι δεῖ ἐκτείναντα, ἐν ᾧ ἕκαστα 5) σχήματι μέλλει 6) ὑπεραιωρηθήσεσθαι, τὸ ἐμβὰν ὑπὲρ τούτου ὅθεν ἐξέβη· τοῦτο δὲ χερσὶν ἢ κρεμασμῷ ἢ ὄνοις ἤ περί τι χερσί. χερσὶ μὲν οὖν 7) ὀρθῶς κατὰ μέρη τε καὶ ἀγκῶνα ἀπὸ 8) χειρὸς ἀναγκάζειν· καρποῦ μὲν ἐς εὐθὺ ἀγκῶνος, 9) ἀγκῶνα δὲ ἐγγώνιον πρὸς βραχίονα ἔχοντα 10) περὶ τοῖον τὸ τῷ βραχίονι τὸ ὑπὸ τὴν χεῖρα ἀνατεινόμενον· οἷς δὲ δακτύλου, χειρὸς, ποδὸς, καρποῦ, ὑβώματος τὸ ἔξω. ταῦτα διαναγκάσαι 11) δεῖ, τὰ μὲν ἄλλα ἀπὸ χειρῶν. 12) διανάγκασις δὲ τὰ ὑπερέχοντα 13) δρᾷν πτέρνῃ ἢ θέναρί τινι ἐπί τινος. — Καὶ οὕτως ἐπὶ τῶν ὑβωμάτων ἐν κεφαλαίοις μέμνηται· — τὰ δὲ ὑβώματα τὰ μὲν ἔσω οὔτε πταρμῷ οὔτε 14) βηχὶ οὔτε φύσης ἐνέσει οὔτε σικύῃ. — τὰ δὲ ἔξω 15) κατάτασις, τὰ μὲν ἄνω ἐπὶ πόδας, τὰ δὲ κάτω τἀναντία· κατανάγκασις δὲ σὺν κατατάσει ἢ ἕδρῃ ἢ ποδὶ ἢ σανίδι. — Τὸν δὲ κατὰ μέρος πάλιν τούτων τῶν ἐμβολῶν τρόπον τὸ δεύτερον ἡμῖν περιέχει βιβλίον. περὶ δὲ τῶν ἐν τῷ βιβλίῳ τούτῳ καταρτισμῶν ἐν κεφαλαίοις διὰ τούτων μέμνηται· — τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ ταῖς χερσὶ, διορθώσιος δὲ ἀμφότερα ποιεούσης· κοινὸν δὲ τούτων ἅπασιν. Γόνατος δὲ, ἢν

---

1) ἡ διὰ L. 2) αὐτοῖς L. 3) ἐντωλῆς L. ἐντολῆς F. ἐμβολῆς Hipp. Mochl. II. p. 869. 4) ἵππος L. Fort. ἴπος. ὑπόσονος Hipp. 5) σχήματα L. 6) ὑπερθεωρηθήσεσθαι Codd. 7) ὅσως L. ὅσῳ F. M. ὀρθῶς Hipp. 8) χειρὶ L. 9) δὲ ἀγκῶιος, ἐπὶ ἔνιοι Codd. 10) οἷον περὶ τῷ βρ. Hipp. τὸ om. F. 11) καὶ καταναγκάσαι F. M. Hipp. addunt. 12) διαναγκάσεις F. 13) ἐς ἕδρην Hipp. 14) βιχη, οὔται φύσιες ἐνέση L. ἐν αἴσῃ F. Mochl. II. p. 870. 15) κατατάσιος Codd.

μὲν ὄπισθεν, 1) ἀμφὶ ὀθόνιον συνειλεγμένον ἐξαπίνης ἀμφικλάσαι. δύναται δὲ καὶ κατατάσει. τὰ δὲ ἔνθα ἢ ἔνθα ὀκλὰξ ἕδρῃ ἐκλακτίσαι· ἡ κατάτασις μὴ πάνυ, ἡ διόρθωσις τὰ πᾶσι κοινὰ ποιέουσα. Μηροῦ δὲ κατάτασις μὲν ἰσχυρὴ καὶ διόρθωσις κοινὴ ἢ χερσὶν ἢ μοχλῷ, τὰ μὲν ἔσω στρογγύλῳ, τὰ δὲ ἔξω ὑποπλατεῖ, μάλιστα δὲ τὸ ἔσω καὶ τὸ ἔξω· ἀσκοὺς 2) δὲ ὠσάμενον 3) ἐς τὸ ὑπόξηρον τοῦ μηροῦ, κατατάσιος δὲ καὶ συνδέσιος σκελῶν, κρεμάσαι διαλείποντα μικρὸν τοὺς πόδας, ἔπειτα πλέξαντα κρεμασθῆναι καὶ ἐν τῇ διορθώσει ἅμα ἀμφότερα ποιέοντα. καὶ 4) τῷ ἔμπροσθεν τοῦτο ἱκανὸν καὶ τοῖς ἑτέροις, ἥκιστα τῷ ἔσω. τοῦ ξύλου ὑπότασις ὥσπερ ὤμῳ ὑπὸ τὴν χεῖρα τοῖς ἄλλοις 5) ἧσσον. καταναγκασις δὲ μετὰ 6) διατάσιος, μάλιστα τὸ ἔμπροσθεν καὶ ὄπισθεν ἢ ποδὶ ἢ χειρὶ ἐφέζεσθαι ἢ τῇ σανίδι. —

Τὰ μὲν οὖν παρ' Ἱπποκράτει περὶ ἄρθρων καταρτισμοῦ διασεσαφημένα καὶ διὰ τούτων μὲν, καὶ διὰ τῶν πρὸ αὐτοῦ δὲ δύο βιβλίων διὰ τῶν ὑποδειγμάτων ἐμφανῆ κατεστήσαμεν. λοιπὸν δὲ ἐάν τινα τῶν κατακεχωρισμένων ἐπιζητῇς διὰ τὸ τῆς Ἱπποκράτους λέξεως ἀσαφὲς, τῆς ἐνδεχομένης διαστολῆς τεύξεται.

---

1) ἄμφω Codd. ἀμφωκλάσαι Codd. 2) δὴ L. 3) ἐς om. Codd. ὑπόξυρον L. 4) τὸ Codd. 5) ἧς εἶσον L. 6) διαστάσιος Codd.

ΣΧΟΛΙΑ

ΣΥΝ ΘΕΩ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΠΟ ΦΩΝΗΣ ΣΤΕΦΑΝΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Τὰ εἰωθότα ἐπὶ ἑκάστου συγγράμματος προλέγεσθαι ὀκτὼ κεφάλαια. 1) καὶ νῦν προσλάβωμεν τὸν σκοπὸν, τὸ χρήσιμον καὶ τὰ ἑξῆς. σκοπὸς τοίνυν ἐστὶ τῷ 2) Ἱπποκράτει περὶ τῶν ὀξέων νοσημάτων διαλαβεῖν, οὐχὶ τῶν ἁπλῶς 3) ὀξέων, ἀλλὰ τῶν μετὰ πυρετοῦ. 4) εἰσὶ γὰρ ὀξέα νοσήματα καὶ ἄνευ πυρετοῦ ὥσπερ 5) ἀποπληξία καὶ ἐπιληψία καὶ σπασμὸς καὶ τέτανος. τριττὴ 6) δὲ ἡ σημείωσις· ἢ γὰρ τῶν παρῳχηκότων ἢ τῶν ἐνεστώτων ἢ τῶν μελλόν-

---

Sigla Codicum.

L. Codex Laurentianus. Plut. LIX. Cod. 14. Chartaceus, saec. XV, forma octav. fol. 244. Inde a fol. 12 — 97 Stephani in Hippocratis Prognosticon leguntur comentarii. Ex hoc codice hos commentarios Florentiae transscripsi et cum codicibus Ambrosianis Mediolani contuli.

M. Codex Ambrosianus. L. 30. Chartaceus, saec. XVI., forma octav. Legitur huic codici subscriptum: τέλος τῆς παρούσης βίβλου ἐν μηνὶ σεπτεμβρίῳ κδ' ,αφκδ'. Mendosior altero Ambrosiano.

A. Codex Ambrosianus. A. 27. infer. Chartaceus, saec. XVI., forma maxima.

1) καὶ νῦν om. M. 2) Ἱπποκράτη M. A. 3) ὀξέων om. M. 4) ὀξέων. διαλέγεται εἰς τὰ ὀξ. L. 5) ἐπιπληξία L. 6) δὲ] ἐστιν M.

των. καὶ τῶν μὲν παρῳχηκότων ἡ σημείωσις λέγεται ἀνάμνησις· ἡ δὲ τῶν ἐνεστώτων λέγεται διάγνωσις· ἡ δὲ τῶν μελλόντων λέγεται πρόγνωσις. ἁπλῶς γοῦν περὶ τῶν ὀξέων νοσημάτων τῶν μετὰ πυρετοῦ διαλέγεται, ἐπειδὴ ταῦτα ταράσσει τὴν φύσιν καὶ τὴν τέχνην ἐφέλκεται. καὶ ὅτι τοῦτο ἀληθὲς, δηλοῦσι τρία τινά.

Πρῶτον μὲν τὸ ὀξὺ τῆς κινήσεως καὶ ἡ σφοδρότης τῆς θερμασίας ταράσσει τὴν φύσιν, ἐπειδὴ πολλὰ περιττώματα γεννῶσι καὶ τοτηνικαῦτα ἡ φύσις κατεπείγει τὸ τάχος καὶ τὴν πυκνότητα τῶν σφυγμῶν, εἶτα καὶ τὴν ἀναπνοήν· οὐ μὴν ἀλλὰ καὶ τὴν συστολὴν καὶ τὴν διαστολὴν κατεπείγει ἡ φύσις, τὴν μὲν διὰ τὸ ἐξάξαι τὰ 1) λιτρώδη περιττώματα, τὴν δὲ διὰ τὸ εἰσάξαι καθαρὸν καὶ ψυχρὸν ἀέρα πρὸς τὸ ἐμψύξαι τὸ ἔμφυτον θερμόν. ἀλλὰ καὶ ἡ τέχνη κατεπείγεται εἰς βοήθειαν τῆς φύσεως.

Δεύτερον δὲ 2) καὶ διὰ τὸ συνεχὲς τῆς θερμασίας ταράσσεται ἡ φύσις, καὶ διὰ τὸ μὴ ἔχειν 3) ἀνακωχὴν καταβάλλονται αἱ δυνάμεις αὐτῆς, καὶ ἐν πολλῷ ἀγῶνι καὶ ταραχῇ ἐστιν ἡ φύσις. ἀλλὰ καὶ ὁ τεχνίτης ταράσσεται διὰ τὸ μὴ εὑρίσκειν καιρὸν τοῦ δοῦναι τροφὴν καὶ ἀνακομίσασθαι τὴν δύναμιν διὰ τὴν συνέχειαν τῆς θερμασίας.

Τρίτον δὲ διὰ τὸν ξενισμὸν καὶ τὸ ἀλλότριον τῶν συμβαινόντων 4) ταράττεται ἡ φύσις καὶ τῇ τέχνῃ ἐφέλκεται. δεῖ γαρ εἰδέναι ὅτι τῶν ἐν τοῖς νοσήμασι θεωρουμένων συμπτωμάτων τὰ μὲν οἰκεῖά εἰσι καὶ γνώριμα καὶ συνήθη, τὰ δὲ ξένα. καὶ οἰκεῖα μὲν, καθάπερ ἐπὶ τῆς πλευρίτιδος τὰ τέσσαρα ἐκεῖνα, ἡ βὴξ, ἡ δύσπνοια, ὁ ὀξὺς πυρετὸς καὶ τὸ νυγματῶδες ἄλγημα. ξένα δέ ἐστι συμπτώματα ὥσπερ ἐπὶ τῆς πλευρίτιδος ἐὰν γένηται κῶμα καὶ παραφροσύνη καὶ αἵματος ἀναγωγὴ καὶ λύγξ. πλευρίτις δέ ἐστι φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἀλλὰ 5) διὰ τὸ ἔνδον εἶναι τὴν φλεγμονὴν ἐκ τῶν τεσσάρων συμπτωμάτων διαγινώσκει ὁ ἰατρὸς τὴν

---

1) λιγνώδη M. Fort. λιγνυώδη. 2) καὶ om. M. A. 3) ἀναχολὴν M. 4) συμπτωμάτων add. M. 5) καὶ add. M.

πλευρίτιν. τὰ οὖν ἴδια συμπτώματα τὸ εἶδος δηλοῦσι τοῦ νοσήματος, τὰ δὲ ξένα τὸ ἦθος τοῦ νοσήματος, καὶ τοῦτο διχῶς. ἢ γὰρ μέτριά εἰσιν ἢ 1) ἄμετρα. καὶ εἰ μὲν μέτρια ὦσιν, ὥσπερ ἐπὶ τῆς πλευρίτιδος μέτρια, ἐκτάραξις γαστρὸς, ᾧ τὸ ξένον ἐστὶ σύμπτωμα· ἐπειδὴ ἀλλαχοῦ ἐστιν ἡ ὕλη, καὶ δηλοῖ εὔηθες τὸ νόσημα. εἰ δὲ ἄμετρα ὦσι τὰ συμπτώματα, ἅπερ εἰρήκαμεν ἐπὶ τῆς πλευρίτιδος, τὸ κῶμα λέγω καὶ ἡ παραφροσύνη καὶ ἡ ἀναγωγὴ τοῦ αἵματος καὶ ὁ σπασμὸς, κακόηθες δηλοῦσι τὸ νόσημα. τὰ 2) τρία οὖν ταῦτα τὰ ξένα συμπτώματα πάντως ταράττουσι τὴν φύσιν καὶ τὴν τέχνην ἐφέλκονται, ὡς 3) ἐν συντόμῳ εἰπεῖν, ὅτι σκοπός ἐστι τῷ Ἱπποκράτει σημείωσιν ἡμῖν παραδοῦναι τῶν ὀξέων νοσημάτων, ἐπειδὴ ταῦτα ταράσσουσι τὴν φύσιν καὶ τὴν τέχνην ἐφέλκονται διὰ τοὺς τρεῖς τρόπους οὓς εἰρήκαμεν. εἰ δέ τις λέγοι ὅτι περὶ χρονίων νοσημάτων προϊὼν διαλέγεται· 4) περὶ γὰρ ὑδέρου καὶ σπληνὸς κακωθέντος καὶ περὶ ἐμπυημάτων διαλέγεται. ταῦτα δὲ χρόνιά εἰσι. πρὸς ὃ λέγομεν, ὅτι καὶ περὶ τούτων διαλεγόμενος ἔτι πλείονα σπουδὴν ποιεῖται τῶν ὀξέων. οὐχ ὡς χρονίων γὰρ περὶ τούτων διαλέγεται, ἀλλ' ὡς ἐκ μεταπτώσεως ὀξέων νοσημάτων 5) γεγονότων.

Τὸ δὲ χρήσιμον διττόν ἐστιν. οὐ μόνον γὰρ χρησιμεύει τῷ ἀναγινώσκοντι, ἀλλὰ καὶ ἀναγκαῖά ἐστιν, ἐπειδὴ τὸ παρὸν σύγγραμμα ἐπὶ τὴν ἀρίστην ἡμᾶς ὁδὸν 6) παιδεῦον ἀπάγει, λέγω δὴ ἐπὶ τὴν θεραπευτικὴν κατὰ τὸ εἰρημένον· ὁ ἄριστα διαγνοὺς ἄριστα καὶ θεραπεύει. καὶ ἰστέον ὅτι τὸ θεραπευτικὸν εἰς τρία διαιρεῖται, εἰς προφυλακτικὸν, παρηγορικὸν καὶ θεραπευτικὸν, ἐπειδὴ καὶ τὰ 7) παρὰ φύσιν τριττά εἰσιν. ἢ γὰρ νοσήματά εἰσιν ἢ συμπτώματα ἢ αἴτια. καὶ πρὸς μὲν τὰ αἴτια ἐνιστάμενοι προφυλακτικοὶ λεγόμεθα, πρὸς δὲ τὰ νοσήματα θεραπευτικοὶ, πρὸς δὲ τὰ συμπτώματα παρηγορικοί. ἐντεῦθεν καὶ ἡ σημείωσις τριττή ἐστι, προγνωστικὴ, διαγνωστικὴ, ἀναμνηστική. καὶ διὰ μὲν τῆς προγνώσεως

---

1) ἀσύμμετρα M. 2) τρία] τοιαῦτα M. ταῦτα τὰ om. M. 3) οὖν add. M. 4) περὶ — διαλέγεται om. M. 5) γεγονότα Codd. 6) παιδεύων L. 7) περὶ M. τρία M.

προφυλαττόμεθα θεραπευτικῶς, διὰ δὲ τῆς διαγνώσεως τὰ νοσήματα θεραπεύομεν, διὰ δὲ τῆς ἀναμνήσεως 1) εὔπορος δοκεῖ εἶναι 2) ὁ λόγος ἢ προσηγορία τῶν συμπτωμάτων τῶν ἐνεστώτων ἐστίν· ἡ δὲ ἀνάμνησις τῶν παρωχηκότων. οὐδὲν οὖν συντελεῖ ἡ ἀνάμνησις πρὸς 3) τὴν θεραπείαν, ἀλλὰ πρὸς τὰ συμπτώματα ἡ διάγνωσις μᾶλλον ἁρμόζει, ἢ ὅτι καὶ 4) ἡ πρόγνωσις πρὸς θεραπείαν ἤτοι πρὸς παρηγορίαν. καὶ ἴσως 5) ἀπορήσει τις, ὅτι οὐδὲν ἡμῖν ὠφελεῖ ἡ ἀνάμνησις. πρὸς ὃ λέγομεν, ὅτι οὐδὲν ἡμῖν χρησιμεύει πρὸς θεραπείαν, πλὴν οὐ πάντη ἐστὶν ἄχρηστος· ἀλλὰ συμβάλλεται ἡμῖν καὶ αὕτη. διὰ γὰρ τῆς ἀναμνήσεως ἀναμιμνήσκομεν τὸν ἄῤῥωστον τὰ προγεγονότα, ἀπό τινος μηδὲν ἀκούσαντες, καὶ λέγομεν αὐτῷ τῷ ἀῤῥώστῳ ὡς ἐν ὑποθέσει, ὅτι ὑδροποσίᾳ ἐχρήσω ἢ ἀδδηφαγίᾳ ἢ ὀπωροφαγίᾳ. εἶτα ταῦτα τοῦ ἀῤῥώστου ἀναμιμνησκομένου μεγαλαυχεῖ τὸν τεχνίτην, καὶ πειθήνιος γίνεται τῷ ἰατρῷ λέγων, ὅτι οὗτος 6) ὅ τι οὐκ εἶδεν οὐδὲ ἤκουσεν, ἀνέμνησέ με τῶν πραχθέντων παρ' ἐμοῦ, καὶ τοτηνικαῦτα ῥᾄστη 7) γενήσεται ἡ θεραπεία.

δ'. Ὅτι δὲ γνήσιόν ἐστι τὸ παρὸν σύγγραμμα τοῦ Ἱπποκράτους πάντες 8) ὡμοφώνησαν οἱ ἐξηγηταὶ, ὅτι ἐκείνου τοῦ Ἱπποκράτους ἐστὶ 9) τὸ παρὸν σύγγραμμα, οὗτινος καὶ τὸ περὶ διαίτης ὀξέων καὶ τὸ περὶ τόπων, ἀέρων, ὑδάτων. ἐκεῖνα γὰρ κυρίως γνήσιά εἰσι τοῦ Ἱπποκράτους. ποίου δὲ Ἱπποκράτους εἰσὶν, οὐκ ἴσμεν. τέσσσαρες γὰρ Ἱπποκράται γεγόνασιν, ὁ Γνωσιδίκου, ὁ Ἡρακλείδα, ὁ Δράκοντος καὶ ὁ Θεσσαλός. πλὴν ὑπολαμβάνομεν ὅτι τοῦ Ἡρακλείδα εἰσὶν Ἱπποκράτους τὰ συγγράμματα ταῦτα, ἐπειδὴ τοῦτον λέγουσιν εὐδοκιμήσαντα ἐν τοῖς ἔργοις τῆς τέχνης.

10) Ἐπιγέγραπται δὲ προγνωστικὸν Ἱπποκράτους καὶ ἀποσημείωσις. καὶ μὴν 11) καὶ τὴν σημείωσιν εἰς τρία διείλομεν, εἰς πρόγνωσιν καὶ διάγνωσιν καὶ ἀνάμνησιν.

---

1) ἄπορος M. 2) ὁ om. L. ἢ L. ἡ M. Scripsi ἤ. 3) τὴν om. M. 4) ἡ om. M. 5) ἀπορεῖ M. 6) ἅπερ M. 7) γένηται L. 8) ὁμοφώνησαν L. 9) συγ. τὸ παρ. M. 10) κείμενον M. loco tituli habet. 11) καὶ om. L.

1) πῶς οὖν 2) ἀπὸ ἑνὸς μέρους τὴν ἐπιγραφὴν ἐποιήσατο; καὶ λέγομεν ὅτι ἢ ὡς τιμιωτέραν ἢ ὡς καθολικωτέραν. τιμιωτέρα γάρ ἐστιν ἡ πρόγνωσις καὶ τῆς διαγνώσεως καὶ τῆς ἀναμνήσεως. 3) μόνου γὰρ θεοῦ ἐστι τὸ προγινώσκειν. 4) καὶ κατὰ τοῦτο οὖν ἐοίκαμεν θεῷ καὶ ἰσοθέους ἡμᾶς ἡγοῦνται, ἐκ τοῦ προγινώσκειν ἡμᾶς. ἡ γὰρ πρόγνωσις θείας τινὸς καὶ ὑπερτέρας ἐστὶ δυνάμεως. πάλιν δὲ καὶ ὡς καθολικωτέραν 5) οὖσαν τὴν πρόγνωσιν, ἀπ᾽ αὐτῆς ἐποιήσατο τὴν ἐπιγραφήν. ἐν γὰρ τῇ προγνώσει καὶ ἡ διάγνωσις καὶ ἡ ἀνάμνησις συνέρχονται ὡς μερικώτερα. —

ε΄. Ἡ δὲ τάξις τῆς ἀναγνώσεως, δεῖ ἐν τοῖς Ἱπποκρατείοις συγγράμμασι πρότερον τὰ καθόλου ἀναγινώσκειν τῶν μερικῶν· διὸ δεῖ τοὺς ἀφορισμοὺς ἀναγινώσκειν πρότερον, ἐπειδὴ πάντων τῶν μερῶν τῆς ἰατρικῆς διαλαμβάνουσιν, καὶ εἶθ᾽ οὕτως ἐπὶ τὰ μερικὰ ἰέναι. ἀλλὰ ταῦτα διττά ἐστιν. ἢ γὰρ κατὰ φύσιν εἰσὶν ἢ παρὰ φύσιν. καὶ δεῖ πρότερον , τὰ κατὰ φύσιν. 7) τριττά εἰσιν· ἢ γὰρ πόῤῥω εἰσὶν ἢ προσεχῆ ἢ προσεχέστερα. καὶ δεῖ πρότερον τὰ πόῤῥω ἀναγινώσκειν, οἷον τὸ περὶ ἀνθρώπου φύσεως, ἐπειδὴ ἐκεῖσε περὶ τῶν 8) ποῤῥωτάτω στοιχείων διαλέγεται· εἶτα 9) δεῖ ἐπὶ τὰ προσεχῆ ἔρχεσθαι στοιχεῖα. διὸ δεῖ ἀναγινώσκειν τὰ περὶ παιδίου φύσεως, τὸ περὶ χυμῶν. ταῦτα γὰρ προσεχῆ εἰσι στοιχεῖα, τὸ σπέρμα 10) καὶ τὸ καταμήνιον, ἐξ οὗ τρέφεται τὸ ἔμβρυον, καὶ οἱ χυμοί. εἶτα μετὰ ταῦτα δεῖ ἐπὶ τὰ προσεχέστερα ἔρχεσθαι. διὸ 11) δεῖ μετὰ ταῦτα τὸ περὶ τροφῆς ἀναγινώσκειν. ταῦτα γὰρ προσεχέστερά εἰσι στοιχεῖα, λέγω δὴ αἱ τροφαί. εἶτα μετὰ τὰ κατὰ φύσιν δεῖ μετιέναι ἐπὶ τὰ παρὰ φύσιν· ἀλλὰ τῶν παρὰ φύσιν διττή ἐστιν ἡ διαφορά· ἢ γὰρ σποραδικά εἰσιν ἢ κοινά. καὶ δεῖ πρῶτον τὰ σποραδικὰ ἀναγινώσκειν. καὶ σποραδικὰ μέν ἐστι, τὰ 12) ἄλλη ἄλλως ἔχοντα περὶ τῶν πα-

---

1) ἐξήγησις addit M. 2) τὴν ἐπιγρ. ἀ. ἑν. μέρ. M. 3) μόνον L. 4) καὶ om. M. 5) οὖσαν om. M. 6) τὰ om. L. 7) ταῦτα δὲ κατὰ φύσιν add. M. 8) ποῤῥωτάτων M. 9) δὴ L. 10) καὶ om. M. 11) δὴ L. 12) ἄλλην L.

θῶν. ταῦτα γὰρ τὰ σποραδικὰ διττά ἐστιν· ἢ γὰρ σημειωτικὰ ἢ θεραπευτικά. καὶ δεῖ πρότερον τὰ σημειωτικὰ ἀναγινώσκειν· διὸ δεῖ πρότερον τὸ παρὸν σύγγραμμα ἀναγινώσκειν 1) καὶ 2) τοῦ περὶ διαίτης ὀξέων, καὶ τοῦ περὶ ἄρθρων καὶ τοῦ περὶ 3) ἀγμῶν, ἐπειδὴ ἐκεῖσε θεραπείας διδάσκει· καὶ μετὰ τὴν σημείωσιν δεῖ τὰς θεραπείας ἀναγινώσκειν, καὶ ἐν τῇ θεραπείᾳ τὰ ὁμοιομερῆ ἀναγινώσκειν 4) τῶν ὀργανικῶν. διὸ δεῖ πρότερον τὸ περὶ διαίτης ὀξέων ἀναγινώσκειν, ἐπειδὴ ἐκεῖσε τὰ ὁμοιομερῆ θεραπεύει, καὶ εἶθ' οὕτως ἐπὶ τὰ ὀργανικὰ δεῖ ἔρχεσθαι· 5) διὸ δεῖ τὸ περὶ ἄρθρων καὶ ἀγμῶν ἀναγινώσκειν.

Τῶν δὲ κοινῶν τὰ μὲν ἔνδημα, τὰ δὲ ἐπίδημα. καὶ δεῖ πρῶτον τὰ ἔνδημα ἀναγινώσκειν. καὶ ἔνδημα μέν ἐστι τὰ ἐνυπάρχοντα, ἐπίδημα δὲ τὰ μὴ ὑπάρχοντα. διὸ δεῖ τὸ περὶ τόπων, ἀέρων, ὑδάτων ἀναγινώσκειν, ἅπερ ἐστὶν ἔνδημα, καὶ εἶθ' οὕτως τὰ ἐπίδημα τοῦτ' ἔστι τὰς ἐπιδημίας. καὶ τέλος πάντων δεῖ τὰ γυναικεῖα ἀναγινώσκειν διὰ τὸ περὶ γυναικείων παθῶν καὶ μόνον διαλέγεσθαι, ἄλλως τε δὲ ὅτι καὶ περὶ ἑνὸς μορίου πεπονθότος διαλέγεται 6) ἤγουν περὶ πεπονθυίας μήτρας. ἡ δὲ εἰς τὰ μόρια διαίρεσις εἰς τρία τμήματα διαιρεῖται κατὰ τὸν Γαληνόν· κατὰ δὲ τὸν Ἱπποκράτην οὐκ ἔστι τμῆμα, ἀλλ' ὅσα θεωρήματα, τοσαῦτα 7) καὶ τμήματα. ἀνάγεται δὲ τὸ παρὸν σύγγραμμα ὑπὸ τὸ θεωρητικὸν, καὶ τὸ θεωρητικὸν ὑπὸ τὸ σημειωτικόν· τρόπῳ δὲ διδασκαλικῷ οὐ κέχρηται ὁ Ἱπποκράτης ᾧτινι ὁ Γαληνὸς συνθετικῷ λόγῳ καὶ ἀναλυτικῷ ἐξ ὅρου διαλύσεως 9) καὶ τοῖς τοιούτοις, ἀλλ' ἑτέροις τρόποις τρισὶ κέχρηται, ἀφοριστικῷ, ὑφηγηματικῷ καὶ μικτῷ. καὶ ἀφοριστικὸς μέν ἐστιν ὁ πενόμενος ταῖς λέξεσι, πλουτῶν δὲ τοῖς ἐνθυμήμασιν· ὑφηγηματικὸς δέ ἐστιν ὁ ἔχων προσδιορισμοὺς καὶ προθεωρήματα καὶ ἐπιλογισμοὺς καὶ 10) παρεμβάσεις, καὶ ἁπλῶς εἰπεῖν

---

1) καὶ om. M. A. 2) Fort. τὸ ter. 3) ἀκμῶν Codd. 4) Addiderim πρότερον. 5) διὰ L. 6) Folium deest in Cod. L. Unde verba inde ab ἤγουν — πάντη συνήσηται in hoc codice desiderantur. Explevi hanc lacunam e Codd. M. A. 7) καὶ om. A. 8) τὸ om. M. 9) ἐν loco καὶ superscripsit A. 10) παραβάσεις A.

ἐξομοιούμενος καὶ ἐξ ἴσου ἔχων καὶ ἐξισάζων τοῖς ἐνθυμήμασι τὴν λέξιν. μικτὸς δέ ἐστιν ὁ μήτε οὕτως ὡς ὁ ἀφοριστικὸς, μήτε ὡς ὁ ὑφηγηματικὸς, ἀλλὰ μέσως πως· ὁ δὲ ὑφηγηματικὸς εἰς τρία διαιρεῖται· ἢ γὰρ ὑψηλός ἐστι καὶ ἐπηρμένος ὁ χαρακτὴρ, ὥςπερ τὸ περὶ τόπων, ἀέρων, ὑδάτων, ἢ ταπεινὸς καὶ χθαμαλὸς, ὥσπερ τὰ γυναικεῖα. περὶ γὰρ οὔρων, ὑποχωρημάτων καὶ τῶν τοιούτων ἐκεῖσε διαλέγεται. μέσος δὲ χαρακτήρ ἐστιν, 1) ᾧπερ ἐνταῦθα κέχρηται· οὔτε ὑψηλῷ καὶ ἐπηρμένῳ, οὔτε ταπεινῷ, ἀλλὰ μέσῳ χαρακτῆρι κέχρηται. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

Κείμενον.

Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι. —

Ἄξιον ἀπορίας ὅτι πῶς ὁ Ἱπποκράτης μὴ εἰωθὼς ἐν τοῖς οἰκείοις συγγράμμασι προοιμιάζεσθαι, νῦν προοιμίῳ κέχρηται. καὶ λέγομεν ὅτι διὰ τοὺς μεθοδικοὺς τῷ προοιμίῳ ἠναγκάσθη χρήσασθαι, ἵνα ἀποδείξῃ ἀναγκαίαν τὴν πρόγνωσιν. ἐκεῖνοι γὰρ πάντη ἀνῄρουν τὴν πρόγνωσιν, λέγοντες μηδὲν ὅλως λυσιτελοῦσαν τῷ ἰατρῷ. ἔφασκον γὰρ ὅτι ἰατροῦ ἐπιστήμονός ἐστι τὸ τὴν ὑγείαν φυλάττειν καὶ τὸ τὴν διαφθαρεῖσαν ὑγείαν ἀνακαλέσασθαι. τὸ δὲ προγινώσκειν μάντεώς ἐστιν, ἢ προφητῶν τινων. ὁ οὖν Ἱπποκράτης θέλων ἐλέγξαι τοὺς μεθοδικοὺς, καὶ ἀναγκαίαν ἀποδεῖξαι τὴν πρόγνωσιν, τῷ προοιμίῳ ἐχρήσατο, ἐκ τριῶν συλλογιστικῶν ἀποδείξεων σκευάζων αὐτό. καὶ πρώτη ἐστὶν αὕτη.

Ὁ ἰατρὸς ἐξ ὧν προλέγει, πάντως γινώσκει τὴν φύσιν τοῦ ὑποκειμένου 2) νοσήματος· ὁ δὲ γινώσκων τὴν φύσιν τοῦ ὑποκειμένου νοσήματος, εὐπειθεῖς ἀπεργάζεται τοὺς νοσοῦντας· ὁ εὐπειθεῖς τοὺς νοσοῦντας ποιῶν, εὐχερῶς καὶ ταχέως ἀπαλλάττει τὸν κάμνοντα τῆς νόσου· ὁ τοιοῦτος ἰατρὸς ἐξ ὧν προλέγει, εὐχερῶς καὶ ταχέως ἰᾶται τὸν κάμνοντα. δεύτερον συλλογισμὸν λέγει τοιοῦτον, ὅτι ὁ προγινώσκων ἰατρὸς προευτρεπίζεται· ὁ δὲ προπαρασκευαζόμενος, οὐ ταράττεται· ὁ μὴ ταραττόμενος νικᾷ τὸν

---

1) ὅνπερ M. 2) σώματος M.

ἀγῶνα· ὁ νικῶν τὸν ἀγῶνα τοῦ ἰδίου σκοποῦ περιγίνεται, ὅστις ἐστὶ τῆς ἰάσεως· οὗτος γὰρ ὁ σκοπὸς τῷ ἰατρῷ ἴασις. καὶ γὰρ ὁ προγινώσκων τὰς παρὰ φύσιν διαθέσεις τὰς μήπω γενομένας, μελλούσας δὲ ἔσεσθαι, ἐκκόπτει καὶ οὐκ ἐᾷ γενέσθαι· εἰ δὲ καὶ γένωνται, κἂν μὴ πάντη δυνήσηται αὐτὰς ἐκκόψαι, ἀλλ᾽ ὅμως τὸ σφοδρὸν καὶ τὸ μέγεθος αὐτῶν καθαίρει καὶ μετριάζει. οὕτως γοῦν πολλάκις προγινώσκοντες μέλλοντας παροξυσμοὺς 1) εἰσβάλλειν μετὰ συγκοπῆς, ἢ λειποθυμίας ἢ παραφορὰς, παρέχοντες τροφὰς ἢ βοηθήμασιν ἐπιτηδείοις παρεσχηκότες, ἢ πάντη οὐ συνεχωρήσαμεν γενέσθαι, ἢ καὶ ἐὰν ἐγένοντο, ὑφειμένως καὶ μετρίως ἐγένοντο. τρίτον 2) δὲ συλλογισμὸν 3) οὐκέτι ἀπὸ τοῦ τέλους τῆς τέχνης λαμβανόμενον, ἀλλὰ ἀπὸ τοῦ ἀναίτιον 4) καὶ ἀνεύθυνον αὐτόν τε καὶ τὴν τέχνην διατηρεῖν. φησὶ γὰρ ὅτι ὁ προγινώσκων ἰατρὸς προλέγει τοὺς σωθησομένους 5) ἢ τεθνηξομένους. ὁ οὕτως προλέγων 6) ἰατρὸς τὰ μέλλοντα ἔσεσθαι, ἀναίτιον ἑαυτόν τε καὶ τὴν τέχνην καθίστησιν. ἐὰν γὰρ προγνῷ ὁ ἰατρὸς ὅτι περιεστηκός ἐστι τὸ νόσημα, πάντα τὰ δέοντα διαπράττεται, καὶ κέχρηται 7) ταχὺ φλεβοτομίᾳ 8) καὶ καθάρσει καὶ ἑτέροις πλείστοις βοηθήμασιν. εἰ δὲ προγνῷ ὅτι ὀλέθριόν ἐστι τὸ νόσημα, οὐδ᾽ ὅλως ἐγχειρεῖ τῷ νοσοῦντι παρατηρούμενος τὸ φάσκον ῥητὸν, ὅτι τοῖς ὑπὸ τῶν νόσων κεκρατημένοις οὐ δεῖ ἐγχειρεῖν, καὶ τὸ φύσεως ἀντιπραττούσης πάντα καινά· καὶ λοιπὸν οὐκ ἐφάπτεται, ἵνα 9) μηδ᾽ ὅλως οἱ λοιδορεῖν σπεύδοντες τῶν ἰδιωτῶν εἰς τὸ γινόμενον μέμψιν ἐπιθήσωσιν ὅτι τυχὸν, εἰ μὴ ἐφλεβοτομήθη, οὐκ ἂν ἀπέθνησκεν.

Φησὶν ὁ Γαληνὸς ὅτι ἀσαφῶς πέφρασται τὸ ῥητὸν, ἀλλὰ διὰ τὸ σαφὲς δεῖ ἡμᾶς ἐν ὑπερβατῷ οὕτως ἀναγνῶναι· — δοκεῖ μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν τὸν ἰατρόν· φαμὲν οὖν ὅτι δοκεῖ κατὰ δύο 10) σημαινομένῳ φέρεται, πρῶτον μὲν κατὰ τοῦ ἐνδοιαστικοῦ ὥσπερ ἂν εἴπωμεν, δοκῶ τάδε βουλεύεσθαι 11) ὑμᾶς. φέρεται

---

1) βάλλειν M. 2) δὲ om. M. sc. λέγει. 3) οὐκ ἔστιν L. 4) καὶ ἀνεύθυνον om. M. 5) καὶ M. 6) ἰατρὸς om. M. 7) τυχὸν L. 8) ἢ L. 9) μὴ L. 10) σημαινόμενον M. 11) ἡμᾶς. M. A.

δὲ καὶ κατ᾽ ἄλλου σημαινομένου· ὅταν μὴ ᾖ ἐνδοιαστικὸν, οἷον ὡς ἂν εἴπωμεν ὅτι δοκεῖ τῷ θεῷ τότε τι ποιῆσαι, δοκεῖ τῷ βασιλεῖ, καὶ τηνικαῦτα κατὰ τοῦ ἐνδοιαστικοῦ αὐτὸ λαμβάνομεν. ἀλλ᾽ ὅτι δόγμα πεποίηται καὶ πάντως τοῦτο γενήσεται, ὃ ἔδοξεν αὐτῷ. οὕτως οὖν καὶ ἐνταῦθα ὁ Ἱπποκράτης τὸ δοκεῖ ἐξέλαβεν ἀντὶ τοῦ δόγμα τιθέναι.

Ἑτέρου. τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι.

Ἰστέον ὅτι τὸ δοκεῖ διάφορον ἔχει τὴν σημασίαν. σημαίνει γὰρ δισταγμὸν ἢ ἀξίωμα ἢ μέτριον ἦθος. καὶ διστακτικῶς μὲν, ὅτι ἡ ψυχὴ ἀθάνατος. κατὰ γὰρ τοὺς ἔξω ἀμφιβάλλεται. ἀξιωματικῶς δὲ ὡς ἡνίκα ὑπὸ ἄλλου ἐρωτώμενος 1) ὁ ἄνθρωπος ζῶόν ἐστιν; ἀποκρίνομαι λέγων, οὕτως μοι δοκεῖ. μέτριον δὲ ἦθος καθάπερ οἱ φιλόσοφοι ποιοῦσιν ἐν τοῖς πράγμασιν ἐπὶ τῶν ἀληθῶν πραγμάτων, ἀποκρίνονται καὶ λέγουσιν ὅτι οὕτως μοι δοκεῖ, καίτοι γινώσκοντες ὅτι ἀληθῶς οὕτως ἔχει. ὁ οὖν Ἱπποκράτης ἀξιωματικῶς ἐχρήσατο 2) τὸ δοκεῖ μοι ἢ 3) ὡς διὰ μέτριον ἦθος.

Ἄλλη ἐξήγησις ἀνωνύμου τινὸς ἐξηγητοῦ, σαφοῦς καὶ συντόμου καὶ θαυμαστοῦ.

Καθ᾽ ὑπερβατὸν οὕτως ἀναγνωστέον, δοκέει μοι τὸν ἄριστον ἰατρὸν πρόνοιαν ἐπιτηδεύειν. τὸ δοκέει μοί τινες ἐξηγήσαντο. φασὶ γὰρ ὅτι ὁ Ἱπποκράτης οὐκ ἐτόλμησεν οὕτως ἁπλῶς ἀποφήνασθαι, διὰ τὸ μὴ παντελῶς θαῤῥεῖν. μετριάζων οὖν ἔφη δοκέει μοι ἀντὶ 4) τοῦ νομίζω, οὐκέτι δὲ ἀντὶ τοῦ δόγμα πεποίημαι καὶ δόγμα ἔχω τὸ τὸν ἰατρὸν τὸν ἄριστον πρόνοιαν ἐπιτηδεύειν. — Ἰστέον ὅτι ἡ πρόνοια τετραχῶς. δηλοῖ γὰρ τὴν φροντίδα καὶ τὴν προαίρεσιν καὶ τὴν κηδεμονικὴν τοῦ παντὸς δύναμιν, καὶ τὴν πρόγνωσιν. 5) καὶ ἐπὶ μὲν τῆς φροντίδος ἱστορεῖ ὁ Εὐριπίδης τὴν Πολυξένην φονευομένην ὑπὸ τοῦ 6) Πύῤῥου, ὅτι ἡ δὲ καὶ πίπτουσα ὅμως πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν καὶ κρύπτειν ἅπερ κρύπτεται ὄμματα ἀῤῥένων. — Ἐπὶ δὲ τῆς προ-

---

1) ὅτι add. L. 2) Fort. τῷ. 3) ὡς om. L. 4) τοῦ — ἀντὶ τοῦ om. L. 5) καὶ om. L. 6) Πύρου Codd.

αἱρέσεως δηλοῖ τὸ παρὰ τῷ Σόλωνι τῷ νομοθέτῃ εἰρημένον, ὅτι δικάζειν δεῖ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας, τουτέστιν ὅτι οἱ κατὰ προαίρεσιν φονεῖς ἐν τῷ Ἀρείῳ πάγῳ εἶχον τὸ δικαστήριον, ὡς ἂν τῶν ἄλλων ἐγκλημάτων ἐν ἄλλοις τόποις ἐχόντων. ἐπὶ δὲ τῆς τοῦ παντὸς κηδεμονίας ὡς 1) ὅταν λέγωμεν ὅτι ὁ θεὸς προνοεῖται τοῦ τῇδε κόσμου. — Ἐπὶ δὲ τῆς προγνώσεως, αὐτὴ ἡ λέξις δηλοῖ, ὅτι πρόνοια εἴρηται ἐκ τοῦ προνοεῖν τὸν νοῦν καὶ 2) ἐκ τοῦ προλαμβάνειν τὸν νοῦν. ὁ οὖν Ἱπποκράτης τὴν πρόνοιαν κατὰ τῆς προγνώσεως ἔθηκεν ὡς ἰατρός.

Ἄλλως.

Τὸ δὲ τῆς προνοίας ὄνομα ἄλλοι ἄλλως ἐξηγήσαντο. οἱ μὲν γὰρ εἰρήκασι πρόνοιαν αὐτὸν λέγειν τὴν φροντίδα, οἱ δὲ τὴν προπαρασκευήν. καὶ γὰρ πρόνοια καλεῖται ἡ φροντίς. ὅθεν λέγομεν ἐν τῇ κοινῇ 3) συνηθείᾳ, ὅτι ὁ δεῖνα τοῦδε προενοήσατο ἀντὶ τοῦ φροντίζει. ἔχομεν δὲ τοῦτο καὶ παρὰ τῷ Εὐριπίδῃ τὸ ὄνομα εἰρημένον· βουλόμενος γὰρ σημᾶναι τὴν φροντίδα Πολυξένης ἐν τῇ Ἑκάβῃ ἔφησεν· ἡ δὲ καὶ θνήσκουσα πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν. λέγεται δὲ πρόνοια καὶ ἄλλως. οὕτως γὰρ λέγομεν πρόνοιαν τοῦ παντὸς διαιροῦντες ἀπὸ τοῦ αὐτομάτου καὶ τῆς τύχης. ἀντίκειται γὰρ 4) τῷ τῆς προνοίας ὀνόματι τὸ τῆς τύχης. λέγεται δὲ πρόνοια καὶ ἡ πρόγνωσις ὡς ἡ ἐτυμολογία τοῦ ὀνόματος δείκνυσι. πρόνοια γὰρ τὸ πρῶτον ἐν νῷ ἔχειν ἤτοι γε τὸ ἐννοῆσαι πρὶν παρ᾽ ἄλλου ἀκοῦσαι. ἐνταῦθα οὖν ὁ Ἱπποκράτης πρόνοιαν καλεῖ, οὐ τὴν προπαρασκευὴν, ἀλλὰ τὴν πρόγνωσιν. τὸ δὲ τῆς προγνώσεως ὄνομα λαμβάνεται παρ᾽ αὐτοῦ κατὰ τῶν τριῶν χρόνων, παρεόντος τε καὶ μέλλοντος καὶ προγεγονότος.

Προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι. —

Ἰστέον ὅτι διαφέρουσι πρόγνωσις καὶ πρόῤῥησις, ὅτι ἡ μὲν πρόγνωσις κατὰ ἐνδιάθετον λόγον γίνεται, ἡ δὲ πρόῤ-

---

1) ὅτε L. 2) ἐπὶ L. 3) συνεθείᾳ L. 4) τῷ om. L.

ῥησις κατὰ τὸν προφορικόν. καί ἐστι προηγουμένη ἡ πρόγνωσις, ἐφεπομένη δὲ ἡ πρόῤῥησις. ἐντεῦθεν ἄρχεται τοῦ πρώτου συλλογισμοῦ. ὡς δὲ εἰρήκαμεν, ἔστιν οὕτως. ὁ ἄριστα προγινώσκων οἶδε τῶν νοσημάτων τὰς φύσεις. ὁ εἰδὼς τῶν νοσημάτων τὰς φύσεις, προλέγει τοῖς κάμνουσιν. ὁ προλέγων τοῖς κάμνουσιν, ἕξει πειθηνίους 1) [αὐτοὺς ἑαυτῷ. ὁ οὕτως ἄριστα προγινώσκων, ἕξει πειθηνίους] τοὺς κάμνοντας. καὶ οὕτως μὲν ὁ συλλογισμὸς οὗτος δεδόσθω ἀπὸ καθόλου καταφατικῆς τῆς μείζονος καθόλου, καταφατικῆς τῆς ἐλάττονος, καθόλου καταφατικὸν συνάγων 2) τὸ συμπέρασμα. — Εἰδέναι δεῖ ὅτι ἄλλο ἐστὶ προγινώσκειν καὶ ἄλλο τὸ προλέγειν. καλῶς οὖν ὁ Ἱπποκράτης μηδὲ τοῦτο παραλιπὼν, ἀλλὰ προτάξας τὰ ὀνόματα ὥσπερ ἔχει τὰ πράγματα. τὸ μὲν γὰρ προγινώσκειν, αὐτὴν τὴν διάθεσιν τῆς ψυχῆς σημαίνει, τὸ δὲ προλέγειν τὴν προφορὰν αὐτὴν τῶν λεγομένων ἣν ποιούμεθα ἀλλήλοις 3) ἀνακοινούμενοι τὰ πράγματα.

Ἑτέρα ἐξήγησις.

Ἡρόφιλος ἐξηγήσατο ἄλλο εἶναι πρόγνωσιν καὶ ἄλλο πρόῤῥησιν. καὶ πρόγνωσιν μέν φασιν ὅταν προγνῷ, μὴ εἴπῃ δέ τινι. πρόῤῥησις δέ ἐστιν ὅταν προεγνωκὼς εἴπω τὸ προεγνωσμένον. καὶ αὕτη μὲν ἡ Ἡροφίλου ἐξήγησις, καταγέλαστος οὖσα. Ἰστέον τοίνυν ὅτι πρόγνωσις καὶ πρόῤῥησις οὐδὲν διαφέρει, πλὴν κατὰ τὴν ἕξιν τοῦ ἰατροῦ καὶ τοῦ νοσοῦντος. προγινώσκειν μὲν ἐκεῖνα λέγεται ἅτινα τῷ κάμνοντί ἐστιν ἀγνώριστα, οἷόν τί ἐστι τὸ λεγόμενον οἷον εἰσελθόντες πρὸς ἄῤῥωστον εὕρομεν αὐτὸν 4) ὀδυνώμενον τὴν πλευρὰν καὶ ἔχοντα τὰ πολυθρύλλητα ἐκεῖνα τέσσαρα σημεῖα, βῆχα, πυρετὸν ὀξὺν, δύσπνοιαν, νυγματῶδες ἄλγημα. αὐτὸς μὲν οὖν ἐπιδείκνυσι τὴν πλευράν. ἡμεῖς δὲ λέγομεν ὡς οὐκ ὀστέον ἐστὶ τὸ πεπονθὸς, οὐ μῦς, ἀλλ' ὁ ὑπεζωκὼς τὰς πλευρὰς ὑμήν. καὶ τοῦτο λέγεται πρόγνωσις. πρόῤῥησις δέ ἐστιν ὅταν τὰ ἐγνωσμένα τῷ νοσοῦντι εἴπωμεν, ὅτι καὶ βὴξ ἐστι καὶ πυρετὸς

---

1) αὐτοὺς — πειθηνίους om. M. 2) τὸ om. M. A. 3) ἀνακινούμενοι L. 4) ὀδυρόμενον L.

καὶ δύσπνοια καὶ νυγματῶδες ἄλγημα. καὶ οὕτως λέγομεν πρόγνωσιν καὶ πρόῤῥησιν διαφέρειν, διότι ἡ μὲν πρόγνωσις ὡς πρὸς τὸν ἰατρὸν λέγεται, ἡ δὲ πρόῤῥησις ὡς πρὸς τὸν νοσοῦντα, ὅταν τὰ ἐγνωσμένα 1) αὐτῷ προείπῃ.

Παρὰ τοῖς νοσεύουσι. —

Δεῖ φησιν αὐτοῖς τοῖς νοσοῦσι προλέγειν. εἰ γὰρ τοῖς παρεοῦσιν 2) εἴποις καὶ ὑπ' αὐτῶν μάθοι ὁ κάμνων, νομίζει αὐτοὺς ψεύδεσθαι, ἀλλὰ δεῖ αὐτῷ τῷ νοσοῦντι προλέγειν ὅπως αὐτὸς πιστεύοι τῷ ἰατρῷ.

Τὰ παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι. —

Ἐντεῦθεν ἄρχεται ὁ πρῶτος συλλογισμὸς ὅντινα ἐλέγομεν ἀπὸ τῶν τριῶν χρόνων τὴν πρότασιν ἔχειν. ἰστέον δὲ ὅτι ἐλέγετο ἐν τοῖς προλεγομένοις ὅτι γενικωτέρᾳ ἐχρήσατο τῇ τοῦ προγνωστικοῦ ἐπιγραφῇ φερομένου καὶ κατὰ διαγνώσεως καὶ ἀναμνήσεως καὶ ὅτι καὶ ἡ διάγνωσις ὑπὸ τὴν πρόγνωσιν ἀνάγεται, καὶ πάντων ῥίζα καὶ ἀρχή εἰσι τὰ ἐνιστάμενα καὶ τῶν φθασάντων καὶ τῶν μελλόντων. εἰ μὴ γάρ ἐστι τὸ ἐνεστὼς ὃ νῦν διαγινώσκω, οὐ δύναμαι εἰπεῖν τὰ φθάσαντα ἢ τὰ μέλλοντα, καὶ ὅτι προφέρει πάντων ἡ διάγνωσις, ἐδήλωσε διὰ τούτων εἰρηκὼς, καὶ 3) καλῶς ἀπαριθμησάμενος πρώτην τὴν διάγνωσιν. ἡ γὰρ διάγνωσις ἐπὶ τῶν ἐνεστώτων λέγεται. φησὶν οὖν τὰ παρεόντα καὶ τὰ φθάσαντα καὶ τὰ μέλλοντα. ἀποροῦσι δὲ διὰ τί πρότερον τῶν παρεόντων ἐμνήσθη, εἴ γε πρότερον περὶ προγνώσεως 4) προέθετο διαλεχθῆναι. καὶ λέγομεν ὅτι πᾶσα σημείωσις τῷ ἰατρῷ ἀπὸ τῶν παρόντων ἤτοι ἐνεστώτων ἀποδείκνυται· καὶ γὰρ καὶ τὴν ἀνάμνησιν ἀπὸ τῶν παρεόντων ποιούμεθα. ἐπεί τοι παρῆλθον ἐκεῖνα, ἀλλὰ λέγω τῷ ἀῤῥώστῳ ἀπὸ ὑδροποσίας ἢ ὀπωροφαγίας ἢ ἀδδηφαγίας καὶ ἀπεψίας. καὶ ἰδοὺ ἀναμιμνήσκω ἀπὸ τῶν παρεόντων τὸν ἄῤῥωστον, ὅτι τοῦτο τὸ νόσημα ἢ

---

1) αὐτὰ M. A. 2) εἴπῃς L. μάθῃ M. 3) καλῶς om. M. A. 4) διέθετο M. A.

ὅτι αὕτη ἡ ψυχρὰ καὶ φλεγματικὴ ὕλη ἀπὸ τούτων ἠθροίσθη. καὶ ἰδοὺ ἀπὸ τῶν παρεόντων καὶ ἐνεστώτων τὰ παρελθόντα ἐνοήσαμεν. ἀλλὰ καὶ τὰ ἐσόμενα ἀπὸ τῶν παρόντων διαγινώσκομεν, ὥσπερ τὴν ἀρχὴν ἀπὸ 1) σμικροσφυξίας καὶ συννεύσεως 2) καὶ τῶν τοιούτων, ἀλλὰ καὶ τὴν ἀκμὴν ἀπὸ τῆς ἕξεως σημειούμεθα. καὶ πάλιν θεωροῦντες ἐν τῇ τετάρτῃ ἀμυδρὰς πέψεως σημεῖα ἐν τοῖς οὔροις ἢ τοῖς ὑποχωρήμασιν, προγινώσκομεν καὶ λέγομεν ὅτι τῇ ἑβδόμῃ ἔχει κριθῆναι τὸ νόσημα. καὶ ἰδοὺ ἀπὸ τῶν παρόντων τὰ μέλλοντα προέγνωμεν, καὶ διὰ τοῦτο πρότερον τῶν παρεόντων ἐμνημονεύσαμεν.

Ὁπόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγούμενοι. —

3) Δεῖ φησι τὸν ἰητρὸν προλέγειν, μὴ μόνον ἅπερ παρὰ τῶν νοσούντων ἀκούει, ἀλλὰ καὶ τὰ παραλειπόμενα ὑπ᾽ αὐτῶν προλέγειν. τίνα 4) δέ εἰσιν ἅπερ παραλείπουσιν οἱ ἄῤῥωστοι; ἅπερ γινώσκοντες οὐκ 5) ἐκφέρουσιν, οἷον πολλάκις ἀπὸ καταστήματος ψυχροτέρου ἢ ὑγροτέρου, ἢ ἄλλως ὁπωσοῦν καταστήματος βλάπτεται, καὶ ἐπὶ τούτῳ 6) κρύπτει τῷ ἰατρῷ 7) καὶ οὐ λέγει, ἢ πολλάκις ἐν τῷ σώματι αὐτοῦ ὄγκος τις γίνεται, ἐρυσίπελας ἢ ἕρπης ἢ φλεγμονὴ ἢ βουβὼν καὶ ἐγκρύπτεται ὁ νοσῶν. δι᾽ ἣν δὲ αἰτίαν παραλιμπάνουσιν οἱ νοσοῦντες καὶ οὐ λέγουσι τῷ ἰατρῷ; ἢ διὰ βλακότητα ἢ διὰ δεινότητα ἢ κακοπραγίαν ἐκπειράζοντες τὸν ἰατρὸν, ἐὰν δυνήσηται προγνῶναι καὶ εἰπεῖν τι ἐπιστημονικῶς. εἰ δὲ μὴ, ἵνα καταγελάσωσιν αὐτοῦ· ἢ δι᾽ ὀλιγοψυχίαν, ὥσπερ πολλάκις ἐξησθένησαν καὶ κατέπεσον αἱ δυνάμεις τοῦ νοσοῦντος, καὶ οὐ δύναται εἰπεῖν τῷ ἰατρῷ, ὅθεν τινὲς τοὺς παρακολουθοῦντας αὐτοῖς ἐπιτρέπουσι λέγειν τὰ συμβάντα αὐτῷ τῇ νυκτὶ ἢ τῷ πρωΐ.

Ἄλλως.

Παραλείπουσί τινα οἱ νοσοῦντες τῶν συμβάντων ἐν τῷ διηγεῖσθαι τῷ ἰατρῷ διὰ τρεῖς αἰτίας, ἢ δι᾽ ἄγνοιαν ἢ

---

1) μικροσφ. M. 2) καὶ om. M. 3) Δεὶ L. 4) δὲ om. L. 5) ἐκφέρονται M. 6) οὐ λέγει M. A. 7) ἀλλὰ κρύπτει M. A.

διὰ λήθην ἢ διὰ πανουργίαν. εἰσὶν οὖν πολλοὶ κρυψίνοοι καὶ ἀπαταιῶνες καὶ βούλονται πειράζειν τοὺς ἰατροὺς, ὡς καὶ ὁ συγγραφεὺς ἐν τῇ σφυγμικῇ διέγνω τὸν λαβόντα τὸ φάρμακον, ἐκ τοῦ σφυγμοῦ τὴν τούτου διάγνωσιν ποιησάμενος. περὶ ποίου οὖν λέγει παραλιμπανομένου; οὐχὶ περὶ τῶν δι' ἄγνοιαν. πῶς γὰρ δύναται ἀναμνῆσαι 1) ἃ ἀγνοεῖ ὅλως ὅτι ἐγένετο· ἀλλὰ μᾶλλον περὶ τῶν κατὰ λήθην ἢ διὰ τὸ 2) κρυψίνους εἶναι τοὺς τοιούτους.

Ἄλλη ἐξήγησις.

Τινὲς τῶν ἐξηγητῶν οὕτως εἰρήκασιν. φησὶ γὰρ ὅτι τὰ μὲν ἄλλα πάντα οἱ ἄῤῥωστοι ἴσασιν. εἰ ἔχουσι δὲ ἔμφραξιν ἐν ἥπατι ἢ ἐν σπληνὶ ἢ ἐν ἄλλῳ τινὶ τῶν μορίων, οὐκέτι καὶ ταῦτά φησι παραλιμπάνουσι λέγειν. εἴ τις οὖν τῶν ἰατρῶν ταῦτα αὐτῷ ἐκδιηγήσεται, θαυμάζεται παρ' αὐτοῖς. ἐροῦμεν οὖν ἡμεῖς ὅτι ἐψεύσαντο οἱ ταῦτα λέγειν ἐπιχειρήσαντες. οὐ γὰρ εἴτις εἴπῃ τῷ ἀῤῥώστῳ τὸ ἀγνοούμενον, 3) αὐτὸς ἤδη καὶ θαυμάσει. πῶς γὰρ ἔχει θαυμάσαι ὃ οὐκ 4) οἶδεν, ἀλλὰ θαυμάζοι τὸ ἤδη ἐγνωσμένον αὐτῷ ἀκούων οἷον ἂν 5) ἐλθὼν ὁ ἰατρὸς πρὸς ἄῤῥωστον, ἁψάμενος αὐτοῦ τῆς ἀρτηρίας, 6) ἔγνω ὅτι ἱδρῶτες αὐτῷ ἐγένοντο ἢ ἐθυμώθη, εἶτα εἴπῃ τῷ ἀῤῥώστῳ πρὶν ἀκούσει παρ' αὐτοῦ ἢ τῶν αὐτοῦ, θαυμάζεται παρὰ τῷ πάσχοντι, ὥστε οἱ ἄῤῥωστοι τὰ μὲν ἐναργῆ ἴσασιν, ἀγνοοῦσι δέ πως τὰ μὴ οὕτως ἔχοντα. εἴ τις οὖν τῶν ἐναργῶν τούτων προείπῃ τοῖς κάμνουσιν, εἰκότως θαυμασθήσεται.

Πιστεύοιτο ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα. —

Οὐκ εἶπεν ἁπλῶς τὰ τῶν ἀνθρώπων, ἀλλὰ τῶν νοσούντων, ἵνα μήτις ὑπολάβῃ ὅτι περὶ χρυσοῦ καὶ ἀργύρου ἢ ἄλλου τινὸς τοιούτου πράγματος εἶπεν ὁ Ἱπποκράτης, ἀλλ' ἔφη τὰ τῶν νοσούντων εἰδέναι πράγματα. πράγματα δὲ ταῦτα, νοσήματα, αἴτια, συμπτώματα.

---

1) ἃ ἀναμνῆσαι add. L. ἀγνοεῖν L. 2) κρυψίνοας M. 3) αὐτῷ M. Codd. ἴδη loco ἤδη. 4) εἶδεν M. A. 5) ἀνελθὼν L. 6) Fort. γνῷ.

Ὥστε τολμᾷν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφᾶς ἑαυτοὺς τῷ ἰητρῷ. —

Ἰδοὺ ἐνταῦθα κατασκευάζει τὴν συλλογιστικὴν ἀπόδειξιν ἣν ἀνωτέρω προεῖπεν.

Ἄ λ λ ω ς.

Ἀντὶ τοῦ πείθεσθαι τοὺς ἀῤῥώστους τῷ ἰητρῷ, καὶ πειθηνίους αὐτοὺς ἔχειν, καὶ τοῦτό ἐστι τὸ ἐπιτρέπειν αὐτοὺς ἑαυτοὺς τῷ ἰητρῷ.

Τὴν δὲ θεραπείαν ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. —

Ἐνταῦθα 1) τὸν δεύτερον συλλογισμὸν ἐκτιθέμεθα, ὅνπερ ἀνωτέρω προείπομεν· καλῶς δὲ καὶ θαυμασίως ἔφη προγινώσκειν τὰ μέλλοντα ἐκ τῶν παρεόντων παθημάτων, ὡς πρὸς ἀντιδιαστολὴν τῆς τοῦ θεοῦ προγνώσεως. οἱ μὲν γὰρ ἄνθρωποι ἐκ τῶν παρεόντων τὰ μέλλοντα γινώσκουσιν, οἷον οἰωνοσκόπος θεωρῶν τὴν πτῆσιν τῶν πτηνῶν εἴτε πρὸς 2) βοῤῥᾶν πέτονται εἴτε πρὸς νότον, εἴτε εἰς ὕψος εἴτε χθαμαλῶς, εἴτε κράζοντα, οὕτως προγινώσκει· ἀλλὰ καὶ αἱ λοιπαὶ τέχναι ἀπό τινων σημείων προγινώσκουσι· δηλονότι καὶ ὁ ἰατρὸς ἀπό τινων σημείων προγινώσκει καὶ ἐν χρόνῳ καὶ διαμεμερισμένως. ὁ θεὸς δὲ οὐ δεῖται χρόνου πρὸς τὸ προγνῶναι, ἀλλ' ἀχρόνως καὶ ἀδιασπάστως πάντα προγινώσκει, ἐπειδὴ τὰ πάντα αὐτὸς ἐποίησεν.

Ἄ λ λ ω ς.

Τοῦτό ἐστι τοῦ πρώτου συλλογισμοῦ τὸ συμπέρασμα ὡς εἴρηται, ὅτι ὁ ἄριστα εἰδὼς τοὺς τρεῖς χρόνους θεραπεύει· ἀλλὰ μὴν καὶ 3) ἀρχὴν τοῦ δευτέρου συλλογισμοῦ. εἴρηται γὰρ ὁ δεύτερος συλλογισμὸς ἀπὸ μόνου τοῦ τρίτου χρόνου λαμβάνεσθαι οὕτως.

Ὁ προειδὼς τὰ μέλλοντα, προευτρεπίζεται κατὰ τοῦ νοσήματος. ὁ προευτρεπιζόμενος ἄριστα θεραπεύει. ἐντεῦθεν οὖν ἤρξατο τοῦ δευτέρου συλλογισμοῦ. ἀλλ' ἰστέον ὅτι πολλάκις οἱ ἀρχαῖοι προτάσεις ἔλεγον μόνον, κελεύ-

---

1) τῶν δύο M. 2) βορὰν Codd. 3) Sc. λέγει.

οντες ἡμᾶς τῶν συμπερασμάτων ὑπακούειν. ὥσπερ καὶ ὁ Γαληνὸς ἐν τῷ προοιμίῳ περὶ στοιχείων εἰρηκὼς μόνας τὰς προτάσεις, τὰ συμπεράσματα ἡμᾶς ἐκέλευσε προσυπακούειν. οὕτως οὖν κἀντεῦθεν δείκνυται ὅτι πρὸ Ἀριστοτέλους ὁ Ἱπποκράτης διαλεκτικὴν μέθοδον ἤσκησεν. εἰρηκὼς γὰρ συμπέρασμα ἐκέλευσεν ἡμᾶς προτάσεων προσυπακούειν.

Ἄλλη ἐξήγησις.

Ἱπποκράτης ἐνταῦθα τοῦ δευτέρου συλλογισμοῦ ποιεῖται τὴν ἀρχήν· ὡς βραχυλόγος δὲ καταλείψας τὰς προτάσεις, τὸ συμπέρασμα ἐπήγαγεν. ἴσμεν δὲ ποῖος οὗτος. ὅτι ὁ προγινώσκων οἶδε τὸ μέλλον. ὁ εἰδὼς τὸ μέλλον, προπαρασκευάζεται. ὁ προπαρασκευαζόμενος, ἄριστα θεραπεύει.

Προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. —

Καὶ πάλιν διὰ τούτων βεβαιοῦται, ὅτι ῥίζα πάντων ἐστὶν ἡ διάγνωσις, ὡς καὶ ἀνωτέρω ἐλέγετο. οὐδὲ γὰρ δυνάμεθα προγνῶναι ἢ 1) *μεμνηκέναι τῶν φθασάντων, εἰ μὴ διαγνῶμεν τὰ παρεόντα. διὰ τοῦτο* 2) *πρῶτον εἶπε προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. ἰστέον ὅτι τὰ* 3) *παλαιὰ τῶν ἀντιγράφων νοσήματα ἔχει. καὶ καλῶς ἔχει. εἴρηται γάρ, ὡς τῶν Ἱπποκρατείων οὐκ ἦν διῃρημένα τὰ νοσήματα καὶ τὰ συμπτώματα καὶ τὰ αἴτια, ἀλλὰ πάντα κοινῷ ὀνόματι ἐκαλοῦντο νοσήματα· διὰ τοῦτό φησι προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων νοσημάτων, συμπτωμάτων, αἰτίων.*

Ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας ἀδύνατον. —

Ἰδοὺ εἰς τὸν τρίτον λόγον εἰσέβαλεν ἑαυτὸν ἐν ᾧ φησιν ὅτι ὁ προγινώσκων ἰατρὸς προλέγει τούς τε σωθησομένους καὶ ἀπολλυμένους. καλῶς δὲ καὶ θαυμασίως ἔφη ὁ Ἱπποκράτης ὑγιάζειν ἅπαντας τοὺς ἀσθενοῦντας ἀδύνατον. τοῦτο γὰρ καὶ τοῦ προγινώσκειν τὰ μέλλοντα 4) *ἀπό-*

---

1) *μεμνημένα* L. 2) *πρῶτον* om. M. 3) *πολλὰ* M. 4) *ἀποβήσεσθαι* om. M.

βήσεσθαι κρεῖσσον ἂν εἴη, τουτέστιν ὅτι ἀδύνατόν ἐστι πάντας τοὺς ἀσθενοῦντας ὑγιάζειν. εἰ γὰρ τοῦτο ἠδυνάμεθα ποιεῖν, ἀναγκαιότερον 1) ἂν ἦν καὶ τῆς προγνώσεως, καὶ οὐκ εἴχομεν τοιαύτην μέριμναν θέσθαι περὶ τὴν πρόγνωσιν. καὶ ἄνευ γὰρ τοῦ προγνῶναι 2) ἐπὰν εἶχεν ὑγιασθῆναι, οὐκ ἔμελλε τὸ προγνῶναι. ἀλλ' ἐπειδὴ ἀδύνατόν ἐστιν ἅπαντας ὑγιάζειν, διὰ τοῦτο ἀναγκαῖον ἡμῖν ἐστι, πολλὴν σπουδὴν καὶ ἐπιμέλειαν θέσθαι περὶ τὴν πρόγνωσιν, ὥστε ἐπίστασθαι αὐτὴν καὶ προγινώσκειν τὰ μέλλοντα ἔσεσθαι. τὸ προγινώσκειν 3) γὰρ καὶ προλέγειν, ἀναίτιον ἑαυτόν τε καὶ τὴν τέχνην καθίστησιν.

Ἄλλη ἐξήγησις.

Ἐνταῦθα συμπεπλήρωνται οἱ δύο συλλογισμοὶ, ὁ πρῶτος καὶ ὁ δεύτερος. λοιπὸν ἡ ἀκοὴ ἀναμένει τὸν τρίτον ῥηθῆναι. ὁ δὲ οὐ παραδίδωσιν εὐθέως τὸν τρίτον. ἀλλ' εἰ καὶ βραχυλόγος ἐστὶν ὁ Ἱπποκράτης, ἠκολούθησε τοῖς πλατικώτερον ἐκδιδοῦσι τὰ συγγράμματα καὶ διὰ τοῦτο ἀσάφειαν ἐποίησεν ἐν τῷ ῥητῷ. παραδίδωσι μὲν γὰρ 4) προτέλειά τινα συμβαλλόμενα ἡμῖν πρὸς τὸν τρίτον συλλογισμὸν καὶ προαναμιμνήσκει τῶν φθασάντων. καὶ εἶθ' οὕτως τὸν τρίτον συλλογισμὸν ἐκτίθεται. εἰσὶ δὲ ταῦτα τὰ προτέλεια. ἰστέον ὅτι ἡ ἰατρικὴ αὕτη καθ' ἑαυτὴν θεωρουμένη, ἄπταιστός ἐστιν ἐπιστήμη. διὰ δὲ τὸ ῥευστὸν τῆς ὕλης καὶ εὐμετάβλητον καὶ ἄλλοτε ἄλλως ἔχον· καλῶς γὰρ ὁ Πλάτων ποταμῷ ῥέοντι ἀπείκασε τὰ ἡμέτερα σώματα· καὶ διὰ τοῦτο οὐκ ἔχει τὸ βέβαιον ἡ τέχνη. εἰ μὲν 5) γὰρ πάντες οἱ νοσοῦντες ἀπέθνησκον, οὐκ ἦν ἔγκλημα τῷ ἰατρῷ, εἰ καὶ μὴ 6) προλέγοι. εἰ δὲ πάντες ὑγίαινον, οὐδὲν ἐδεῖτο τῆς προῤῥήσεως.

Ὑγιέας μὲν γὰρ ἅπαντας ποιέειν. —

7) Τίνος αὐτῷ προκειμένου, τὸν λόγον ἐπήγαγε τοῦτον τὸν λέγοντα, ὑγιέας μὲν γὰρ ἅπαντας ποιέειν τοὺς ἀσθενέοντας ἀδύνατον καὶ τὰ ἑξῆς; 8) καὶ λέγομεν ὅτι

---

1) ἂν om. L. 2) ἐπανεῖχεν L. 3) γὰρ om. L. 4) παντέλεια L. 5) γὰρ om. L. 6) προλέγει L. 7) Τινὸς M. 8) καὶ om. L.

ὡς συμβαλλόμενον 1) τοῦτο κατὰ τὸν τρίτον συλλογισμὸν προέφη καὶ εἶπε. τοῦτο γάρ φησιν ὅτι 2) εἰ ἐνεδέχετο πάντας ὑγιάζειν, περιττὴ ἂν εἴη ἡ πρόγνωσις. ἐπειδὴ δὲ οὐ δυνατὸν πάντας ὑγιάζειν, 3) οὐκέτι περιττὴ ἡ πρόγνωσις. τί οὖν ὅτι πταιστὴ ἡ τέχνη; αὕτη μὲν καθ᾽ ἑαυτὴν ἄπταιστός τε καὶ ἀναμάρτητος. εἰ δὲ πολλάκις οἷα εἰκὸς ἁμαρτάνει, οὐ δι᾽ ἑαυτὴν, ἀλλὰ διὰ τὴν ὑποκειμένην ὕλην, ῥευστήν τε καὶ εὐμετάβλητον οὖσαν· οὕτω καὶ τεκτονική τε καὶ οἰκοδομικὴ ἁμαρτάνουσιν οὐ δι᾽ ἑαυτὰς, ἀλλὰ διὰ τὰς ὑποκειμένας ὕλας 4) αὐταῖς. ὅσαι δ᾽ ἔχουσι τὴν ὑποκειμένην ὕλην ἀμετάβλητον, αὗται καὶ τὸ ἄπταιστον ηὐτύχησαν, καθάπερ ἀστρονομία τε καὶ γεωμετρία. ἐπεὶ οὖν ῥευστὴ ὕλη ὑπόκειται τῇ ἰατρικῇ· σώματα γάρ ἐστιν 5) ἀνθρώπινα· διὰ ταύτην τὴν αἰτίαν πταίει· δεῖ οὖν πάντα τρόπον ποιεῖν, ἄμεμπτον φυλάττεσθαι τὴν τέχνην. πῶς δὲ αὐτὴν ἄμεμπτον φυλάξωμεν; εἰ μὴ ὅτι 6) τοῦ προγνῶναι τὸ μέλλον, κἄν τε σωτήριον ᾖ 7) τὸ νόσημα κἄν τε ὀλέθριον, ἀναγκαία ἡ τούτου πρόγνωσις, ὥστε κἂν ἀποτυχία τις ἔσται, διὰ τοῦ προλέγειν ἄμεμπτος ἡ τέχνη διαμενεῖ.

Κείμενον.

Ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν οἱ μὲν πριν̀ὴ καλέσαι τὸν ἰατρὸν ὑπὸ τῆς ἰσχύος τῆς νόσου, οἱ δὲ καὶ ἐκκαλεσάμενοι παραχρῆμα ἐτελεύτησαν, οἱ μὲν ἡμέραν μίαν ζήσαντες. —

Ἀπορουσί τινες ὅτι 8) τούτου ἀκαίρως ἐμνημόνευσεν ὁ Ἱπποκράτης. ἐὰν γὰρ πρὸ τοῦ καλέσαι τὸν ἰατρὸν ἀποθάνῃ ὁ ἄῤῥωστος, τότε ἀναίτιός ἐστιν. οὐ γὰρ ἐθεώρησε τὸ πρόσωπον τοῦ θνήξαντος ἐν τῷ 9) ζῆν αὐτόν· πρὸς ὃ λέγομεν, ὅτι καὶ ἀναγκαίως αὐτοῦ ἐμνημόνευσε κατὰ δύο αἰτίας· ἢ γὰρ διὰ τὸ 10) τέλειον τῆς διαιρέσεως ἐμνημόνευσε τὸ πριν̀ὴ καλέσαι τὸν ἰατρὸν ἀποθνήσκουσιν, ἢ

1) αὐτῇ add. L. 2) εἰ om. L. 3) οὐχ ὅτι L. 4) αὐτὰς L. 5) ἀνθρώπεια L. 6) Fort. τῷ sive διὰ τοῦ. 7) τὸ νόσημα — τοιούτῳ τολμήματι desunt in cod. L, folio ablato. Explevi lacunam e codd. Ambros. 8) τοῦτο A. 9) ζεῖν M. 10) τέλει M.

διὰ τὸ διδάξαι ἡμᾶς τὴν περὶ φύσιν διάθεσιν τῶν ὀξέων νοσημάτων ἐμνημόνευσε τούτου τοῦ 1) ῥησιδίου. καὶ διὰ μὲν τὸ τέλειον τῆς διαιρέσεως οὕτως· οἷον ὁ νοσῶν ἢ περισώζεται ἢ ἀπόλλυται, καὶ ὁ ἀπολλύμενος ἢ πρὸ τοῦ κληθῆναι τὸν ἰατρὸν ἀποθνήσκει, ἢ μετὰ τὸ καλέσαι τὸν ἰατρὸν καὶ ἀπελθεῖν, καὶ μετὰ τὸ ἀπελθεῖν τὸν ἰατρὸν καὶ ἐπισκέψασθαι, ἢ ἐν τῇ αὐτῇ ἡμέρᾳ ἀπόλλυται, ἢ μετὰ μίαν ἢ μετὰ δύο ἢ τρεῖς καὶ ἐπέκεινα· διὰ δὲ τὸ διδάξαι ἡμᾶς τὰ ὀξέα νοσήματα· πολλάκις γὰρ κάτοξύ ἐστι τὸ νόσημα, καὶ πρὶν καλέσαι τὸν ἰατρὸν, ἀποθνήσκει ὁ νοσῶν καὶ οὐκ ἀναμένει τὴν παρουσίαν τοῦ ἰατροῦ· πολλάκις δὲ ὀξύ ἐστι τὸ νόσημα καὶ οὐ κάτοξυ, καὶ ἀναμένει τὴν παρουσίαν τοῦ ἰατροῦ, καὶ μετὰ τὸ καλέσαι τὸν ἰατρὸν ἢ ἐν τῇ αὐτῇ ἡμέρᾳ 2) ἀποθνήσκει ἢ μετὰ μίαν ἢ μετὰ δύο ἢ μετὰ τρεῖς καὶ ἐπέκεινα. διὰ ταύτας οὖν τὰς δύο αἰτίας, ἀναγκαίως τοῦ ῥησιδίου τούτου ἐμνημόνευσεν.

Κ ε ί μ ε ν ο ν.

Ἐπειδὴ δέ τινες, φησὶν, ἀποθνήσκουσι μετὰ τὸ καλέσαι τὸν ἰατρὸν παραχρῆμα, οἱ δὲ μετὰ ὀλίγας ἡμέρας, οἱ δὲ πρινὴ ἐκκαλέσαι τὸν ἰατρὸν ἐτελεύτησαν. —

Διὰ τοῦτό φησι βούλομαί σε εἰδότα τὸ ῥευστὸν τῆς ὕλης καὶ τὸ ἄλλοτε ἄλλως ἔχον προγινώσκειν καὶ προλέγειν· ἀλλ' ἴσως τις 3) ἀπορήσει, ὅτι καὶ ποῖαν μέμψιν 4) ἔχει ὁ ἰατρὸς, ἐὰν πρὶν ἐκκαλέσασθαι ἐτελεύτησε· καὶ νόμιζε λέγειν τὸν Ἱπποκράτην, ὅτι οὐκ ἔχει ἐπὶ τοῦτο ὁ ἰατρὸς μέμψιν, ἀλλὰ βούλομαί σε εἰδέναι τὸ ῥευστὸν τῆς ὕλης καὶ διὰ τοῦτο προλέγειν ἵνα μὴ 5) μεμπτὸς ἔσῃ.

Ἄ λ λ η ἐ ξ ή γ η σ ι ς.

Ἐνταῦθα ἄρχεται τοῦ τρίτου συλλογισμοῦ. ἴσμεν δὲ ὅτι ἐστὶν οὕτως· ὁ προγινώσκων οἶδε τὴν ἔκβασιν· ὁ εἰδὼς τὴν ἔκβασιν, προλέγει τὸ μέλλον· ὁ προλέγων τὸ μέλλον, ἀνέγκλητον φυλάξει τὴν τέχνην. ὄντως 6) ἐστὶν

---

1) *ῥησειδίου* A. 2) *ἀποθνήσκουσιν* A. 3) *ἀπορήσοι* Codd. 4) *ἔχῃ* M. 5) *μεμπταῖος* A. Fort. *μεμπτέος.* 6) *ὅτι* M.

ἀναγκαία ἡ πρόγνωσις διὰ τὸ εἰδέναι τὴν ἔκβασιν τοῦ μέλλοντος. ἰατρός τις ἰδιώτης 1) μὴ προγνοὺς τὸ μέλλον, ἀνελθὼν πρὸς ἄῤῥωστον καὶ ὁρῶν τοῦτον ἱδροῦντα συγκοπτικῶς, εἶτα νομίσας ἐλλιπῶς γίνεσθαι τοὺς ἱδρῶτας, μὴ γνοὺς ὅτι κατὰ συγκοπὴν ἐγένοντο οὗτοι οἱ ἱδρῶτες, ἐνόμισε δεῖν ἐπιπλέον ἐκφορῆσαι τὴν ὕλην· ἀπήγαγεν οὖν τὸν ἄῤῥωστον εἰς λουτρὸν, καὶ τοῦτο ἐποίησεν ἐπιπλέον διαφορηθῆναι, καὶ ἅμα τῷ διαφορηθῆναι τετελεύτηκεν ὁ ἄνθρωπος, καὶ τὴν πᾶσαν ἀπηνέγκατο μέμψιν ὁ ἰατρὸς, αἴτιος αὐτῷ τοῦ θανάτου γενόμενος. οὐχ ὅτι δὲ 2) αὐτὸς αἴτιος τοῦ θανάτου· ἔμελλε γὰρ 3) θνήσκειν ὅσον ἐκ τοῦ προηγησαμένου συμπτώματος, ἀλλ' ἐπειδὴ οὐ προέγνω τὸ μέλλον, ὥστε μὴ 4) ἐγχειρῆσαι τοιούτῳ τολμήματι· 5) ἐγχειρίσας οὖν τὴν πᾶσαν αἰτίαν ἐκληρονόμησεν, ὥστε οὖν ἵνα 6) μὴ τὸ αὐτὸ πάθωμεν ἐκείνῳ τῷ ἰδιώτῃ, ἀναγκαῖον ἀσκεῖν τὴν πρόγνωσιν.

Πρινὴ τὸν ἰατρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι. —

Θαυμασίως πάνυ τῇ πληθυντικῇ φωνῇ ἐχρήσατο εἰπὼν πρὸς ἕκαστον νόσημα· ἐνδέχεται γὰρ μὴ ὑπὸ ἑνὸς νοσήματος ἔχεσθαι τὸν κάμνοντα, ἀλλ' ὑπὸ δύο νοσημάτων καὶ ἔστιν ὅτε καὶ τριῶν καὶ διὰ τοῦτο ἔφη πρὸς ἕκαστον νόσημα.

Ἄ λ λ ω ς.

Τὸ πρὸς ἕκαστον νόσημα. εἰ μὲν κατὰ πολλῶν νοσημάτων εἴπομεν, ἐπὶ διαφόρων λαμβάνομεν ἀνθρώπων, ἐπειδὴ πληθυντική ἐστιν ἡ φωνή. εἰ δέ ἐστιν ἑνὸς ἀνθρώπου τὸ τῶν νοσημάτων λαμβανόμενον, ἀντὶ τοῦ περὶ αἰτιῶν, συμπτωμάτων, νοσημάτων. καὶ καλῶς πάνυ προῆλθεν ἡ ἐξήγησις.

Ἄ λ λ η ἐ ξ ή γ η σ ι ς.

Ἕκαστον λέγει ἢ πρὸς τὴν αἰτίαν ἢ πρὸς τὸ νόσημα ἢ πρὸς τὸ σύμπτωμα. ὁ γὰρ ἰατρὸς πρὸς ἕκαστον ἀγωνίζεται τούτων. ἐὰν οὖν βίαιον 7) [ᾖ] τὸ νόσημα ὡς εἶναι τοῦτο ὑπὲρ τὴν δύναμιν, οὐδενὶ τῶν εἰρημένων ἐλπὶς ἀν-

1) μὲν A. 2) αὐτὸ M. 3) ὁ θνήσκων M. 4) ἐγχειρίσαι M. 5) ἐγχειρίσαι M. 6) ἵνα τῷ αὐτῷ L. 7) ᾖ addidi.

τιστῆναι 1) τοῦτον. εἰ γὰρ καὶ πρὸς τὴν αἰτίαν σταίη, εἰκότως ἕτερον αἴτιον 2) ἰσχυρότερον εὑρεθήσεται τούτου, ὃ φθάσει 3) περγινόμενον καὶ τῆς δυνάμεως, ὥς καὶ ταύτην καταλῦσαι. πολλάκις δὲ ἕτερον μὲν αἴτιον οὐκ ἀντιπράττει· τὸ δὲ νόσημα αὐτὸ ὀχληρότερον καθίσταται, ἔστι δ᾽ ὅτε τὸ μὲν νόσημα κατεπείγει οὐδὲν, ἀλλὰ τὰ συμπτώματα. πολλάκις οὖν ἐν ᾧ χρόνῳ πρὸς ἕν τι διαμάχεται, φθάνει ἕτερον ἰσχυρότερον εὑρεθὲν ἀνελεῖν τὴν δύναμιν. διὰ οὖν τὴν βίαν τῶν τοιούτων ὀλεθρίων ὄντων, ἀναγκαῖον κατορθοῦν τὴν πρόγνωσιν.

Ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων. —

Δεῖ εἰδέναι ὅτι αἱ τοῦ σώματος δυνάμεις εἰσὶ τρεῖς, φυσικὴ, ζωτικὴ, ψυχική· δεῖ τοίνυν, φησὶ, τὰς τοῦ σώματος δυνάμεις παραβαλεῖν πρὸς τὴν τοῦ νοσήματος καὶ εἰδέναι, εἰ οὐκ 4) ἐξισχύουσι κατ᾽ αὐτοῦ, καὶ ποῖαι, ὅτι ἀπεῖπον. εἰ μὲν γὰρ αἱ κρείττονες ἀπεῖπον, οἷον ἡ ζωτικὴ ἥτις ἀπὸ καρδίας ὁρμᾶται, ἢ ἡ ψυχικὴ ἡ ἐκ τοῦ ἐγκεφάλου, μένει δὲ ἡ φυσικὴ, τηνικαῦτα 5) ὁ θάνατος ὑπόγυιος γίνεται, ὡς τῆς ἐλάττονος 6) ἐῤῥωμένης, τῶν κρειττόνων καταβεβλημένων, ὡς δήπου κἀμοὶ ὦπται, τοῦ ἀῤῥώστου 7) ἄριστον* οὐ δῶρον εἰς ἐκκρίνοντα καὶ ἐντεῦθεν 8) εἴχομεν ἐῤῥῶσθαι τὴν φυσικὴν δύναμιν, καταβεβλῆσθαι δὲ τὴν ζωτικὴν, διότι συγκοπτικὸν εἶχεν ἱδρῶτα καὶ 9) ὁ τοιοῦτος ἐτελεύτα.

Ἅμα δὲ καὶ εἴτι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι. —

Λέγει ὁ 10) συγγραφεὺς ὅτι δεῖ, φησὶ, μὴ μόνον τὰ κατὰ ἁπλούστερον τρόπον περὶ τοὺς ἀῤῥώστους συμβαίνοντα προγινώσκειν, καὶ ἅπερ οἱ κάμνοντες παραλιμπάνουσι προλέγειν, ἀλλὰ καὶ εἴτι θεῖον ἔνεστιν ἐν ταῖς νόσοις καὶ τούτου δεῖ τὴν πρόνοιαν 11) ποιεῖσθαι, ἤτοι πρό-

---

1) τούτων L. 2) ἰσχυρότερον om. M. εὑρεθήσεσθαι Codd. 3) προγενόμενον L. 4) κατισχύουσι M. 5) ὁ om. L. 6) ἐρομένης M. 7) οὕτως δεῖ γράφειν ἀῤῥ. καὶ οὖν ὥρων (f. ἑώρων εἰσεκκρίνοντα) εἰς ἐκκρίνοντα καὶ ἐνταῦθα ἔγνων ἐῤῥῶσθαι τὴν φυσικὴν δύναμιν καὶ τὰ ἑξῆς L. in mg. ἀῤῥώστου ἄριστον ὕδωρ εἰς ἐκκρίνοντος M. Locus est corruptus. Fort. οὖρον ἐκκρίνοντος. 8) εἴχαμεν L. 9) οὗτος M. 10) ποιητὴς M. 11) ποιεῖσθαι om. M.

γνωσιν ἐκμελετᾶν. καὶ οἱ μέν φασι 1) θεῖον εἰρηκέναι τὸν Ἱπποκράτην τὴν θεομηνίαν, καθὸ νοσήματα διάφορα τοῖς ἀνθρώποις εἴωθε γίνεσθαι, ἅπερ πιστούμενοι εἰς μαρτυρίαν παράγουσι τοὺς λεγομένους βλητοὺς καὶ τοὺς ἐπιλήπτους. — Ὁ μέντοι Γαληνὸς οὐ δέχεται τὴν τοιαύτην 2) γνώμην τῶν ἐξηγητῶν λέγων ὅτι οὐδέποτε ἐν τοῖς ἑαυτοῦ συγγράμμασι φαίνεται ὁ Ἱπποκράτης οὑτινοσοῦν νοσήματος τὴν αἰτίαν εἰς τὸ θεῖον ἀναφέρειν, ἄλλως τε 3) καὶ ἐν τῷ περὶ διαίτης ὀξέων βιβλίῳ μνημονεύσας τὸ πάθος τῶν βλητῶν τὴν αἰτίαν ἐδίδαξε, καθ' ἣν τὸ τοιοῦτον πάθος τοῖς ἀνθρώποις συμβαίνει. ἀλλὰ καὶ ἐν τῷ περὶ τῆς ἱερῆς νόσου συγγράμματι ἀντιῤῥητικῶς ἔχει 4) τοὺς λέγοντας αὐτὸ κατὰ θεομηνίαν γίνεσθαι. αὐτίκα γοῦν τὸ τῶν λεγομένων βλητῶν πάθος τοιῷδέ τινι τρόπῳ συμβαίνει συνίστασθαι· ἐπειδὴ ὡς μάλιστα ἐν τοῖς λοιμοῖς τὸ τοιοῦτον συμβαίνει τοῖς κάμνουσιν· ἴσμεν γὰρ ὅτι τὰ λοιμικὰ πάθη τὴν σηπεδονώδη τοῦ ἀέρος κατάστασιν αἰτίαν τῆς οἰκείας γενέσεως εὐπόρησεν, σηπομένων καὶ διαφθειρομένων δηλονότι τῶν ἐν τοῖς σώμασι χυμῶν. ἐκ τῆς τοιαύτης τοίνυν σηπεδόνος καὶ ὀξέως καὶ ἀλλοκότου καὶ ταραχώδους τῶν χυμῶν κινήσεως 5) ἀγομένη ἡ φύσις, ἐπείγεται πρὸς ἀπώθησιν καὶ ἔκκρισιν καὶ 6) διαφόρησιν τῶν ἀνιόντων. τούτων δὲ τυχεῖν 7) μὴ δυναμένη δι' οἰκεῖαν ἀσθένειαν, προκαταλαμβάνοντος τὸ ἔργον τοῦ θανάτου, μέχρι μέν τινος 8) ὠθήσασα τὴν ὕλην, τὸ ἐντεῦθεν ἐκλείπει. εἶτα αὐτὴ ἡ ἐκριφεῖσα ὕλη ὡς ἐπὶ τὰ ὑπὸ τὸ δέρμα χωρία ἐκεῖσε ἐνεχθεῖσα καὶ σφηνωθεῖσα τῷ πλήθει καὶ τῇ ὑπερπληρώσει ῥήγνυσι τὰ λεπτὰ τῶν ἀγγείων, καὶ ἐκχεῖται τὸ τηνικαῦτα εἰς τὰς παρακειμένας κενὰς χώρας. οὗτινος γενομένου, πελιδνοῦνται καὶ μελαίνονται οἱ τοῦτο πάσχοντες τόποι δίκην τῶν ἐκχυμωμάτων, ὡς αἴσθησιν αἰκισμῶν τινων καὶ μαστίγων τοῖς ἀγυμνάστοις τῶν ὁρώντων ἐμποιεῖν ὅθεν οἱ ἰδιῶται ὁρῶντες τοὺς τοῦτο παθόντας κατά τινα

---

1) θεῖον om. L. 2) τῶν ἐξ. γνώμ. M. 3) δὲ M. περὶ τῶν βλήτων in mg. L. 4) Fort. πρός. 5) εὐομένη L. 6) δυσφύρησιν L. 7) μὴ om. L. 8) ἀνατρέψασα L. in mg.

θείαν ὀργὴν ὑπὸ ἐναντίας δυνάμεως μαστιγωθῆναι λέγουσιν ἐκείνους ὅθεν καὶ βλητοὺς αὐτοὺς ὀνομάζουσι, παρὰ τὸ κατὰ θείαν μῆνιν ὑπὸ ἐναντίας βεβλῆσθαι δυνάμεως. — Καὶ τὸ τῶν ἐπιλήπτων δὲ πάθος οὐκ ἔχει θείαν ὀργὴν αἰτίαν τῆς γενέσεως, ἀλλὰ γίνεται ἡ ἐπιληψία κατά τινα σεληνιακὴν περίοδον, οὐ τοῦτο λέγοντός μου, ὅτι η τοῦ θεοῦ ὀργὴ διὰ τῆς τῶν οὐρανίων 1) κινήσεως ἐπιπέμπει τοῖς ἀνθρώποις τὸ πάθος. — Ἀλλ᾽ ἰστέον ὅτι ἡ σελήνη ἡνίκα πλησιφαὴς γένηται καὶ αὔξῃ αὐτῆς τὸ φῶς, χλιαρᾶς τινος θερμασίας καὶ συμμέτρου αἰτία τοῖς σώμασι γίνεται, ὑφ᾽ ἧς θερμασίας διαχεῖσθαι συμβαίνει τοὺς χυμοὺς καὶ πληροῦν μάλιστα τὰς κεφαλὰς, διὰ τὸ γυμνὰς ταύτας καὶ πρώτας σχεδὸν τοῦ λοιποῦ σώματος τῷ περιέχοντι ὁμιλεῖν ἀέρι. ὑπὸ οὖν τῆς 2) αὐτοῦ χύσεως ἀνάγκη παροξύνεσθαι τὸ πάθος τῶν ἐπιτηδείως οὕτως διακειμένων πρὸς τὸ πάθος τῆς ἐπιληψίας, ἔνθεν αὐξούσης τῆς σελήνης παροξύνονται οἱ 3) ἐπιληπτικοὶ, καὶ πάλιν ληγούσης, παρακμάζουσιν. ἔστι δὲ τεκμήρασθαι τὸ αὐτὸ τοῦτο, φημὶ 4) ὅτι ἡ σελήνη ἐξάρχει χλιαρᾶς τινος θερμασίας, καὶ ἐξ ἑτέρων πλείστων. οἵ τε γὰρ ἐγκέφαλοι τῶν ζώων αὐξάνοντος τοῦ σεληνιακοῦ φωτὸς μείζονες ἑαυτῶν γίνονται· καὶ τὰ ὀστρακόδερμα δὲ λεγόμενα, αἰσθητὴν ἔχουσι τὴν κατ᾽ οὐσίαν ἐπίδοσιν τὸ τηνικαῦτα ὅπερ ἐν αὐτοῖς μάλιστα διαφαίνεται τῶν ἄλλων διὰ τὸ ὑγρὸν τὴν οὐσίας, ἐπεί τοι γε ἡ τοιαύτη ἀναλογία διὰ πάντων διήκει τῶν σωμάτων, λέγω δὴ αὐξανόντων κατ᾽ οὐσίαν, πλησιφαοῦς γινομένης τῆς σελήνης, μειουμένης δὲ, συγκαθαιρουμένων. τοῦ δὲ τοιούτου πάθους ὁ ἥλιος τὴν πρώτην ἔχει αἰτίαν. αὐτὸς γὰρ πάντα ἀλλοιοῖ τὰ τῆδε σώματα τῷ δραστηρίῳ τῆς θερμότητος· ἐπὶ μέντοι τῆς σελήνης ἀναφέρομεν τὸ τοιοῦτον ἔργον, διὰ τὸ περίγειον αὐτῆς καὶ προσεχὲς μᾶλλον ἡμῖν. — Ἕτεροι δὲ λέγουσι θεῖον εἰρηκέναι τὸν Ἱπποκράτην τὰς κρισίμους ἡμέρας ὅτι δεῖ προγινώσκειν τὰς κρισίμους ἡμέρας, διὰ τί ἡ μὲν τετάρτη κρίνει, ἡ δὲ πέμπτη οὐ κρίνει, ἡ δὲ ἕκτη κρίνει

---

1) κινήσεων Codd. 2) αὐτῆς M. 3) ἐπίληπτοι M. A. 4) ὅτι om. M. A.

μὲν, ἐπὶ κακῷ δὲ, καὶ ἡ ἑβδόμη κρίνει, ἀλλ᾽ ἐπ᾽ ἀγαθῷ. ταῦτα δὲ οὐκ ἄλλῳ τινὶ γίνονται, ἀλλ᾽ ἢ θείᾳ τινὶ ἐπιφοιτήσει. — Ὁ δὲ Γαληνὸς ἐκβάλλει καὶ ταύτην τὴν αἰτίαν λέγων, ὅτι πῶς ὁ Ἱπποκράτης ἐν ἄλλοις συγγράμμασι πλατικῶς περὶ τῶν κρισίμων ἡμερῶν διαλεχθεὶς, ἐν ἀφαρισμοῖς φησι, παρακεκαλυμμένως 1) εἶχε περὶ τῶν κρισίμων εἰπεῖν, καὶ συλλογιστικῶς εἶχε τοῦτο ποιῆσαι ἀπὸ τῆς θείας φωνῆς τουτέστι διὰ τοῦ θείου; —Ἕτεροι δὲ λέγουσι τὸν ἔρωτα θεῖον καλεῖν τὸν Ἱπποκράτην ἐνταῦθα. καὶ γὰρ θεῖόν τι χρῆμά ἐστιν ὁ ἔρως, ὡς δηλοῦσι τὰ σύμβολα, ἃ οἱ γραφεῖς γράφουσι περὶ αὐτοῦ. γράφουσι γὰρ αὐτὸν παιδίον πτερὰ ἔχοντα καὶ λαμπάδα κατέχοντα, καὶ παιδίον μὲν ὡς νέον καὶ ἀγήρατον καὶ ὡς ἄφθαρτον αὐτὸν ὄντα, πτερωτὸν δὲ διὰ τὸ ὑψιπετὲς καὶ ἐπάρσιον αὐτὸν παραπέτασθαι, λαμπάδα δὲ κατέχειν, ὡς φωτίζοντα καὶ ζῳοποιοῦντα. ταῦτα δὲ πάντα θείας 2) τινός εἰσι δυνάμεως. ὁ οὖν Ἱπποκράτης θεῖον ἐνταῦθα τὸν ἔρωτα καλεῖ, ἐπειδή ἐστί τι πάθος ἐρωτικὸν γινόμενον ἐν τοῖς ἀνθρώποις ἐγκεκρυμμένον. καὶ τοῦτό φησι δεῖ προγινώσκειν. — Οὕτως γοῦν φασιν Ἀντίοχον τὸν υἱὸν Σελεύκου τοῦ Μακεδόνων βασιλέως, καθ᾽ ὃν καὶ αἱ πόλεις Ἀντιόχεια καὶ Σελεύκεια ὠνομάσθησαν· τοῦτον οὖν τὸν Ἀντίοχόν φασιν ἑαλωκέναι ἔρωτι πρὸς Εὐρυδίκην τὴν μητρυιὰν αὐτοῦ, καὶ εἶχε τοῦτο τὸ ἐρωτικὸν πάθος ἐγκεκαλυμμένον, καὶ ἐν μέσῳ ζωῆς καὶ θανάτου αὐτὸν τετυχηκέναι, καὶ πολλὴν ἐπιμέλειαν οἱ ἐν τῷ παλατίῳ ἰατροὶ πρὸς τὰ νομισθέντα αὐτοῖς ἐποίησαν. ἀλλὰ καὶ ἄλλους πλείστους ἰατροὺς ἀπὸ τῶν πόλεων μεταχειρισάμενοι καὶ ἀπὸ τῶν κωμῶν καὶ ἀπὸ τῶν ἀγρῶν καὶ μηδὲν ἰσχύσαντες ποιῆσαι διὰ τὸ ἐγκατακεκρυμμένον ἔχειν τὸ πάθος, ἐγνώσθη τῷ βασιλεῖ Σελεύκῳ περὶ Ἐρασιστράτου τοῦ Σαμίου ὅτι ἄριστός ἐστιν ἰατρός. καὶ δὴ παραγενομένου τοῦ Ἐρασιστράτου πρὸς τὸν Σέλευκον διελέχθησαν περὶ τοῦ υἱοῦ, καὶ εἰσελθόντος τοῦ Ἐρασιστράτου πρὸς τὸν Ἀντίοχον ἐπέβαλε τὴν χεῖρα ἐπὶ τῷ καρπῷ τοῦ Ἀντιόχου, καὶ δὴ σφυγμολογοῦντος τοῦ Ἐρασιστράτου, κατά τινα τύχην

---

1) εἶχε — συλλογ. om. L. 2) τινός εἰσι om. M.

τις ἐκ τῶν ἐκεῖσε ἑστώτων ἐμνημόνευσεν Εὐρυδίκης καὶ εὐθέως γεγόνασιν οἱ σφυγμοὶ ἄτακτοι καὶ 1) διέγνω ἐν ἑαυτῷ ὁ Ἐρασίστρατος ὅτι ἐρωτικῶς διάκειται πρὸς Εὐρυδίκην ὁ νεανίας καὶ παρασιωπήσας ἐπυνθάνετο λέγων, ὅτι δεῖ καὶ δεύτερον καὶ τρίτον ἐπιστῆναι τῇ σημειώσει πρὸς ἀσφαλῆ διάγνωσιν τοῦ πάθους, καὶ εἰπὼν ἀπηλλάγη. εἶτα ἐλθὼν τῇ ἐπαύριον λέγει τινὶ τῶν μετ᾽ αὐτοῦ, ὅτι ἡνίκα νεύσω σοι, μνημόνευσον Εὐρυδίκης, καὶ ἐπέβαλε τὴν χεῖρα ἐπὶ 2) τὸν καρπὸν τοῦ Ἀντιόχου καὶ εὗρε τοὺς σφυγμοὺς οἷοί περ καὶ ἐν τῷ κατὰ φύσιν, καὶ δὴ σημειουμένου αὐτοῦ, ἔνευσε τῷ μετ᾽ αὐτοῦ καὶ ἐμνημόνευσεν Εὐρυδίκης. καὶ εὐθὺς γέγονεν ἡ ἀρτηρία ἐν ταράχῳ πολλῷ καὶ ἀτάκτῳ κινήσει, καὶ διέγνω ὁ Ἐρασίστρατος ἀσφαλῶς, ὅτι ἔρωτα εἶχε πρὸς Εὐρυδίκην. τίς δ᾽ ἦν ἡ Εὐρυδίκη οὐκ ἐγίνωσκε. καὶ δὴ πάλιν εἰρηκὼς ὅτι 3) ἔτι δεόμεθα τῆς σημειώσεως ἀνεχώρησεν· εἶτα εἰς ὕστερον ἐλθὼν ὁ Ἐρασίστρατος ἔφη πρὸς τὸν Σέλευκον, ὅτι θέλω πάσας τὰς θεραπαίνας τὰς ἐν τῷ παλατίῳ οὔσας διελθεῖν ἔμπροσθεν ἡμῶν, ἵνα τὴν ἐπιτηδειοτάτην ἐκλεξώμεθα πρὸς ὑπουργίαν τοῦ νεανίσκου, ἵνα τὰ ὑφ᾽ ἡμῶν ἐπιτασσόμενα βοηθήματα ποιῇ. καὶ δὴ τοῦτο ἐποίησεν ὁ βασιλεὺς καὶ ἐκέλευσε πάσας διέρχεσθαι ἔμπροσθεν τοῦ Ἀντιόχου· ὁ δὲ Ἐρασίστρατνς ἐσφυγμολόγει αὐτὸν καὶ παρῆλθον αἱ θεράπαιναι, καὶ οὐδεμία ἀνωμαλία γένονε τῇ ἀρτηρίᾳ. καὶ δὴ ἐν ἀμηχανίᾳ γεγονὼς ὁ Ἐρασίστρατος ἔφη πρὸς τὸν Σέλευκον, ὅτι οὐκ ἀπολέλειπται ἄλλη θεραπαινὶς ἥτις γνωρίμη ἐστὶ τῷ νεανίσκῳ· καί φησιν ὁ βασιλεὺς ὅτι οὐκ ἀπολέλειπται ἄλλη κορασὶς, εἰ μὴ τὸ γύναιόν μου. καί φησιν ὁ Ἐρασίστρατος, ἐλθέτω καὶ αὕτη· καὶ δὴ ἐρχομένης τῆς Εὐρυδίκης, ἅμα ἐθεώρησεν ὁ Ἀντίοχος, γέγονεν ἡ ἀρτηρία αὐτοῦ ἐν ἀνωμαλίᾳ. ὁ γὰρ Ἐρασίστρατος ἔμεινε σφυγμολογῶν αὐτὸν ἀπ᾽ ἀρχῆς μέχρι τέλους. καὶ δῆθεν ἐπιστώσατο καὶ διέγνω, ὅτι πρὸς τὴν Εὐρυδίκην τὴν μητρυιὰν αὐτοῦ ἔρωτι ἑαλωκέναι, καὶ δή φασι πρὸς τὸν πατέρα τοῦ Ἀντιόχου ἀπεφήνατο λέγων, ὅτι οἶδα τὸ νόσημα καὶ διέγνων αὐτὸ ὅπερ νοσεῖ ὁ υἱός σου καὶ δύναμαι αὐτὸν

---

1) διέγνων L. M. 2) τῷ καρπῷ M. A. 3) ἔδει L.

θεραπεῦσαι, οὐ βούλομαι δέ. καὶ δὴ εὐθὺς ὁ βασιλεὺς πολλὰς ὑπέσχετο καὶ τιμὰς καὶ ἀξίας δοῦναι τῷ Ἐρασιστράτῳ ἵνα ἰάσηται τὸν υἱὸν αὐτοῦ ἐκ τῆς νόσου. ὁ δὲ Ἐρασίστρατος εἶπε πάλιν τὰ αὐτὰ, ὅτι διέγνων μὲν τὸ νόσημα καὶ δύναμαι αὐτὸν θεραπεῦσαι, οὐ βούλομαι δέ. καὶ δὴ τοῦτο ἐπὶ πολὺ τοῦ Ἐρασιστράτου λέγοντος, ἐθυμώθη ὁ βασιλεὺς καὶ ἀπειλὰς καὶ ἐμβριμήσεις τύραννος ὢν ἀπένεμε τῷ Ἐρασιστράτῳ ὅτι τυχὸν εἰ μὴ θέλεις αὐτὸν θεραπεῦσαι, φονεύω σε. καί φησιν ὁ Ἐρασίστρατος, τί ἐθυμώθης, ὦ βασιλεῦ, ὅτι τῆς γυναικός μου ἐρᾷ καὶ θέλεις 1) ὅτι δίδωμι τὴν ἐμὴν γυναῖκα ἵνα συνδιαφθαρῇ αὐτῷ; ἄκαιρον 2) τοῦτό ἐστιν. καὶ δή φησιν ὁ βασιλεὺς, ὅτι ἐὰν τοῦτο ποιήσῃς καὶ δώσεις τὴν γυναῖκά σου καὶ ἰαθῇ ὁ υἱός μου, πολλὰ χρήματα δώσω σοι καὶ συγκοινωνὸς τῆς βασιλείας μου ἔσῃ. καί φησιν ὁ Ἐρασίστρατος ὅτι εἰ τῆς γυναικός σου ἤρα, παρεῖχες ἂν τῷ νεανίσκῳ ὥστε ὑγιασθῆναι αὐτόν; ὁ δὲ βασιλεὺς μετὰ πολλοῦ ὅρκου ἐξομνύμενος, ὅτι ἐὰν τῆς γυναικός μου ἤρα, ἐδίδουν αὐτῷ ἵνα ὑγιασθῇ. καὶ τοῦτο κατασφαλισάμενος ὁ Ἐρασίστρατος λέγει πρὸς τὸν βασιλέα, ὅτι ἵνα γινώσκῃς, ὦ βασιλεῦ, τῆς γυναικός σου ἐρᾷ. καὶ δὴ εὐθέως ἐκέλευσεν ὁ βασιλεὺς τὴν Εὐρυδίκην εἰσελθεῖν πρὸς τὸν Ἀντίοχον. καί τινες μέν φασιν, ὅτι συνεφθάρη αὐτῇ, καὶ οὕτως ἀπηλλάγη τοῦ πάθους ὁ Ἀντίοχος. ἕτεροι δὲ εἶπον ὅτι ἐν ἐξουσίᾳ αὐτὴν λαβὼν καὶ περιλαβὼν καὶ καταφιλήσας ἀπηλλάγη. οἶδε γὰρ ἡ ἐξουσία καὶ τὸ αὐτεξούσιον ἀπαλλάξαι τοιούτου πάθους καὶ πόθου. ἀλλὰ καὶ ὁ Ἱπποκράτης διέγνω τοιούτου πάθους ἔρωτος τοῦ Περδίκκου. ἀλλὰ καὶ αὐτὸν τὸν Γαληνόν φασιν, ὅτι διέγνω τοιοῦτον πάθος θυγάτριον ἔχον, ἔρωτος πρὸς 3) Πυλάδην ὀρχιστὴν ἐν τοῖς τότε καιροῖς γενόμενον. ὁ οὖν Ἱπποκράτης θεῖον ἐνταῦθα τὸν ἔρωτα ὥς τινες ὑπενόησαν καλεῖ, ὅτι δεῖ καὶ τοῦτο προγινώσκειν, μή τι πάθος τοιοῦτον ἐγκατακέκρυπται ἐν τοῖς ἀνθρώποις. ὁ δὲ Γαληνὸς οὐδὲ ταύτην τὴν αἰτίαν ἐδέξατο, ἀλλ' ἐλέγχει αὐτοὺς ὡς κακῶς τοῦτο ἐννοήσαντας λέγων, ὅτι 4) αἰσχρόν ἐστιν ὁ ἔρως. καὶ ὅτι

1) ὅτι om. M. A. 2) τοῦτ' ἦν M. 3) Πυλάδου Codd. 4) αἰσχρὸς M.

τοῦτο ἀληθὲς, δηλοῦσι τὰ σύμβολα ἃ οἱ γραφεῖς γρά-φουσι. παιδίον μὲν αὐτὸν γράφουσιν οὐ διὰ τὸ νέον, ἀλλὰ διὰ τὸ ἐλλιπὲς, πτερωτὸν δὲ οὐ διὰ τὸ ὑψιπετῆ αὐτὸν ὄντα, ἀλλὰ διὰ τὸ ἄστατον τῇδε κἀκεῖσε περιφερόμενον, λαμπάδα δὲ κρατοῦντα οὐ διὰ τὸ φωτίζειν, ἀλλὰ πῦρ κρατοῦντα καὶ καπνίζοντα ἅπερ αἰσχρὰ καὶ κίβδηλά εἰσιν. οὕτως διελέγξας αὐτοὺς λέγει αἰτίαν τοιαύτην, ὅτι θεῖον ἐνταῦθα ὁ Ἱπποκράτης τὰ προκαταρκτικὰ αἴτια λέγει καὶ τὴν κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὑποτίθεται. οὕτως γὰρ καὶ ἐν ἐπιδημίοις ὑποτίθεται καὶ ἐν ἀφορισμοῖς, ὡς δηλοῖ ἡ ῥῆσις λέγουσα οὕτως· ἢν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δ᾽ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας καὶ δυσεντερίας γενέσθαι μάλιστα τῇσι γυναιξὶ, καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας. καὶ ἄλλα πολλὰ εὑρήσεις εἰπόντα τὸν Ἱπποκράτην. ταῦτα οὖν δεῖ προγινώσκειν, καὶ ὅτι θεῖον ἐκέλευσεν ἐνταῦθα τὸ προγινώσκειν τὸν ἰατρὸν τὴν κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἐπειδὴ ἀφανῶς καὶ ἀνεπαισθήτως ποιεῖ ἡμῖν, ὡς δηλοῦσιν αἱ λοιμικαὶ διαθέσεις ἀπὸ τῆς σηπεδόνος τοῦ περιέχοντος ἡμᾶς ἀέρος 1) γινόμεναι. καὶ δεῖ φησι παρὰ πάντα τὰ νοσήματα τὰ ἐπιδήμια γινώσκειν τὰ ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γινόμενα, εἴτε σωτήριά εἰσιν, εἴτε ὀλέθρια. καὶ ἀποροῦσί τινες ὅτι δήποτε μὴ ἐσαφήνισεν 2) ἡμῖν ὁ Ἱπποκράτης, καὶ σαφῶς ἀπεκρίνατο ὅτι δεῖ προγινώσκειν καὶ τὴν κατάστασιν τοῦ ἀέρος τοῦ ἡμᾶς περιέχοντος. ἀλλὰ καὶ θεῖον 3) αὐτὸ ἔφη καὶ ἀσαφῶς. καὶ ἀπολογούμεθα ὅτι διὰ τοῦτο οὐκ ἐμνημόνευσεν ὡς ὑμεῖς εἴπατε, ἐπειδὴ κατεσκεύασται αὐτῷ ἡ τοιαύτη πραγματεία ἐν πολλοῖς καὶ ἐν ἐπιδημίοις καὶ ἐν ἀφορισμοῖς καὶ ἐν ἄλλοις πλείστοις. ἐνταῦθα μέντοι πλατικῶς οὐκ ἠθέλησε τοῦτο ποιῆσαι.

Οὕτω γὰρ ἄν τις θαυμάζοιτό τε δικαίως καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. —

Φησὶν ὅτι ὁ προγινώσκων ἰατρὸς καὶ εἴ τι θεῖον ἔνεστιν ἐν ταῖς νόσοις, τὴν ἴασιν εὐχερῶς παρατυγχάνει.

---

1) γινομένων M. A. 2) ἡμῖν om. L. 3) αὐτῷ L. A.

καὶ δεῖ θαυμάζειν τὸν τοιοῦτον δικαίως καὶ θαυμασίως, ὅτι 1) ὡμοίωται τῷ θεῷ ὁ ἰατρὸς κατὰ τὸ δυνατὸν ἀνθρώποις κατὰ τὴν πρόγνωσιν.

Καὶ γὰρ οὓς οἷόν τε περιγενέσθαι, ἔτι μᾶλλον δύναιτ᾽ ἂν διαφυλάττειν, ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα. —

Ἰδοὺ ἐκ τούτου τοῦ ῥησιδίου δυνατόν ἐστι βεβαιῶσαι τὴν τοῦ Γαληνοῦ ἐξήγησιν, ὅτι θεῖον ἐνταῦθα ὁ Ἱπποκράτης λέγει τὰ προκαταρκτικὰ αἴτια ἤτοι την κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἐκ τοῦ εἰπεῖν αὐτὸν ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα. 2) προγινώσκων γὰρ οὓς οἷόν τε περιγενέσθαι τουτέστιν 3) ὅτι ὁ προγινώσκων ἰατρὸς ἅπερ σώζονται νοσήματα καὶ περιγενέσθαι ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστον νόσημα, 4) οὗτος δύναται εὐχερῶς ἰᾶσθαι τὰς νόσους, ὥσπερ 5) ἐκ τοῦ χειμῶνος δύναται ὁ ἰατρὸς προγνῶναι τὰ ἐν τῷ θέρει μέλλοντα συμβῆναι καὶ εἰπεῖν νοσήματα. καὶ δύναται πρὸ πολλοῦ ἔτι περιεστηκὼς αὐτῶν ἐχόντων, λέγω δὴ τῶν νοσημάτων, προπαρασκευασθῆναι καὶ ἰάσασθαι τὰ τοιαῦτα νοσήματα, καὶ οὕτως ἀπαλλάττεται τοῦ κινδύνου.

Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος. —

Ἰστέον ὅτι ἡ σημείωσις τριττή ἐστιν, ἐπιστημονικὴ, τεχνικὴ, ἰατρική. κέχρηται δὲ τῇ τεχνικῇ σημειώσει. καὶ σημειοῦται οὐκ ἀπὸ τοῦ γένους. οὔτε γὰρ περὶ ὀργανικῶν διαλέγεται, οὔτε περὶ ὁμοιομερῶν, ἀλλ᾽ οὐδὲ ἀπὸ τοῦ εἴδους, εἴτε καῦσος εἴη, εἴτε σύνοχος καὶ τὰ τοιαῦτα, ἀλλὰ σημειοῦται εἴτε σωτήριόν ἐστι τὸ νόσημα εἴτε ὀλέθριον τουτέστιν ἀπὸ τοῦ ἤθους, ὅπερ ἀπὸ τῶν ἑπομένων καὶ ἐπιγενομένων συμπτωμάτων χαρακτηρίζεται. σημειοῦται δὲ τὸ ὀξὺ νόσημα ἀπὸ τοῦ προσώπου διὰ τὸ φανερὸν καὶ ἑτοίμως 6) αὐτὸ ὁρᾶσθαι ὑπὸ τοῦ ἰατροῦ καὶ λέγει.

---

1) ὁμοίωται L. A. 2) προγινώσκω L. 3) ὅτι om. L. 4) οὕτως L. M. 5) απο M. A. 6) αὐτῷ L.

Πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑαυτῷ. —

Τουτέστιν ὅτι δεῖ ἀντεξετάξειν τὸ πρόσωπον τοῦ νοσοῦντος εἰ ὅμοιόν ἐστι τοῖς τῶν ὑγιαινόντων ἢ ἀνόμοιον, μάλιστα δὲ τὴν παραβολὴν ποιεῖσθαι, εἰ αὐτὸ πρὸς 1) ἑαυτό ἐστιν ὅμοιον ἢ ἀνόμοιον. καὶ αὕτη μᾶλλον ἡ ἀρίστη σημείωσις. πολλοὶ γὰρ ἐν τῷ κατὰ φύσιν ἔχουσιν ἰσχνὸν τὸ πρόσωπον ἢ μολιβδῶδες ἢ ἰκτερῶδες ἢ ὠχρὸν, καὶ ἐὰν πρὸς τοὺς ὑγιαίνοντας ποιήσῃς τὴν παραβολὴν, εἰς πολλοὺς παραλογισμοὺς ἐμπεσεῖς. καὶ τοῦ μὲν ὁμοίου καὶ κατὰ φύσιν ὁ συγγραφεὺς οὐκ εἶπε διαφορὰν, ἀλλ᾽ εἴασεν αὐτὸ οὕτως ἀδιαίρετον. τὸ δὲ ἀνόμοιον διαιρεῖ καὶ λέγει αὐτοῦ διαφοράς. φησὶ γὰρ ὅτι τὸ ἀνόμοιον ἢ πλεῖστον ἀφέστηκε τοῦ κατὰ φύσιν, καὶ ἐν ἀκροτάτῳ 2) τοῦ παρὰ φύσιν γέγονεν ὅπερ κινδυνότατόν ἐστιν, ἢ μέσως πως ἀφέστηκεν. καὶ τοῦτο πάλιν πολλὰς ἔχει διαφορὰς παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον. ἢ γὰρ τῷ κατὰ φύσιν πλησιάζει 3) ἢ τῷ πάντῃ 4) ἀφεστηκὸς ἀνομοίῳ. καὶ ἐφ᾽ ὅσον μὲν τῷ κατὰ φύσιν πλησιάζει, ἧττόν ἐστι κινδυνῶδες, ἐφ᾽ ὅσον δὲ τῷ παρὰ φύσιν, κινδυνῶδές ἐστιν. ἔστι δὲ καὶ ἄλλην αἰτίαν θαυμαστοτάτην ἀποδοῦναι. διὰ τοῦτο τὴν σημείωσιν ἀπὸ τοῦ προσώπου ποιεῖται καὶ 5) τὸ πρόσωπον ἐξ ἀνομοιομεροῦς οὐσίας σύγκειται. το γὰρ πλεῖστον μέρος αὐτοῦ ὀστῶδές ἐστι, τὸ δὲ λοιπὸν σάρκες καὶ ὑγρὰ καὶ πνεύματα ἀναπληροῦσιν. ἐπειδὴ οὖν τὰ ὀξέα νοσήματα συντηκτικὰ καὶ δαπανητικά εἰσι τῶν σαρκῶν καὶ ὑγρῶν πνευμάτων, τὰ δ᾽ ὀστᾶ 6) δυσπαθῆ ὄντα τῇ δαπάνῃ τῶν σαρκῶν καὶ τῶν ὑγρῶν καὶ πνευμάτων, μένει ἡ ὀστώδης φύσις ὡς δυσπαθής. καὶ δυνατόν ἐστιν ἐκ τούτου ἐπιστῆναι τῇ σημειώσει ὅτι ὀλέθριόν ἐστι τὸ νόσημα· οὕτως ἡ τῶν ῥηΐστων σημείωσις ἀπὸ τοῦ προσώπου ὑφέστηκεν. ἀλλὰ καὶ ἡ τῶν μεγίστων σημείωσις ἐν τῷ προσώπῳ συνίσταται. μέγιστα σημεῖά ἐστιν ὅτι τὰς τρεῖς ἀρχὰς σημαίνει τὸ πρόσωπον καὶ πῶς διάκεινται, ἐγκέφαλον λέγω καὶ καρδίαν καὶ ἧπαρ. καὶ αὕτη λέγεται

---

1) ἑαυτὸν L. A. 2) τοῦτο L. 3) ἢ — πλησιάζει om. M. 4) Fort. ἀφεστηκότι. 5) τὸ om. L. A. 6) συμπαθῆ M. A.

μεγίστη σημείωσις. καὶ τὸν μὲν ἐγκέφαλον δηλοῖ τὸ πρόσωπον τὸ πῶς διάκειται ἀπὸ 1) τῶν αἰσθήσεων. αἱ γὰρ αἰσθήσεις ὡς δορυφόροι τινὲς κάθηνται περὶ τὸ πρόσωπον ὡς βασιλέα, καὶ δορυφοροῦσαι τὸν ἐγκέφαλον, καὶ εὖ ἐνεργουσῶν τῶν αἰσθήσεων δηλοῦσι τὸν ἐγκέφαλον καλῶς διάκεισθαι. εἰ δὲ βεβλαμμένως ἐνεργοῦσι, δηλοῦσι κακῶς διάκεισθαι. ἀλλὰ καὶ τὴν καρδίαν σημειούμεθα ἀπὸ τοῦ προσώπου· εἰ μὲν εὔχρουν ἐστὶ τὸ πρόσωπον, δηλοῖ τὴν καρδίαν καλῶς διάκεισθαι, ἐπειδὴ ἡ εὔχροια ἀπὸ τοῦ ἐμφύτου θερμοῦ γίνεται ἀπὸ τῆς καρδίας 2) καὶ διὰ τῶν ἀρτηριῶν 3) ἐπινάεται τὸ πρόσωπον καὶ γίνεται εὔχρουν. εἰ δὲ κακόχρουν ἐστὶ τὸ πρόσωπον, δηλοῖ τὴν καρδίαν κακῶς διακειμένην. ἡ γὰρ κακόχροια γίνεται, ἢ κακοχυμίας τινὸς πλεοναζούσης ἐν τῇ καρδίᾳ ἢ φερομένης ἀπό τινος μορίου καὶ τὸ τηνικαῦτα μολύνεται τὸ ἔμφυτον θερμὸν καὶ ὁ ζωτικὸς τόνος καὶ ἐντεῦθεν κακόχρουν γίνεται τὸ πρόσωπον, ἢ δι᾿ ἀσθένειαν ἐνδεὴς γίνεται ἡ τοῦ ἐμφύτου θερμοῦ ἀνάδοσις καὶ διὰ τοῦτο κακόχρουν γίνεται τὸ πρόσωπον. ἀλλὰ καὶ τὸ ἧπαρ σημαίνει εἴτε καλῶς διάκειται 4) εἴτε κακῶς· εἰ μὲν γὰρ εὔτροφόν ἐστι τὸ πρόσωπον, δηλοῖ ὅτι καλῶς διάκειται τὸ ἧπαρ καὶ ἀμέμπτως ἐνεργεῖ. εἰ δὲ ἰσχνόν ἐστι τὸ πρόσωπον, δηλοῖ κακῶς διάκεισθαι τὸ ἧπαρ· ἢ γὰρ κακοχυμία τις πλεονάζει ἐν τῷ ἥπατι καὶ συναναδίδοται τῷ λόγῳ τροφῆς ἐν τῷ προσώπῳ φερόμενον καὶ διὰ τὸ κακόχυμον αὐτὸ εἶναι καὶ ἀκάθαρτον, οὐ τρέφεται· ἀλλ᾿ ἰσχναίνεται ἢ ἐνδεὴς γίνεται ἡ ἀνάδοσις διά τινα ἀσθένειαν καὶ τὸ τηνικαῦτα ἰσχναίνεται πρόσωπον. ἀλλὰ καὶ εὔσχημός ἐστιν ἡ ἀπὸ τοῦ προσώπου σημείωσις· οὐδὲ γὰρ δεῖται ἀνακαλύψεως τὸ πρόσωπον, ὡς εἰώθαμεν ἀνακαλύπτειν ἐπὶ τῶν σπλάγχνων, κακῶς διακειμένου στομάχου ἢ γαστρὸς ἢ ἥπατος ἢ σπληνὸς ἢ τῶν τοιούτων. ἐπὶ τούτων γὰρ ἀνακαλύπτομεν. ἐπὶ δὲ τῇ σημειώσει τοῦ προσώπου οὐκ ἀνακαλύπτομεν. αὐτόθεν γὰρ γυμνὸν ὑποπίπτει καὶ 5) εὔσχημός ἐστιν ἡ τοιαύτη σημείωσυς, μάλιστα ἐπὶ τῶν παρθενευουσῶν ἢ τῶν

---

1) *τῆς αἰσθήσεως* L. 2) *καὶ* om. L. 3) *ἐπινεύεται* A. in mg. *ἐπιγίνεται*. Fort. *ἐπινέμεται* 4) *εἴτε — διάκειται* om. L. 5) *εὔχυμος* L.

ὁπωσοῦν κόσμιον καὶ σεμνὸν βίον 1) διαγουσῶν γυναικῶν εὔσχημός ἐστιν ἡ ἀπὸ τοῦ προσώπου σημείωσις 2) διὰ πάντα ὁπωσοῦν νενομοθετημένα σημεῖα ἐν τῷ 3) * καὶ ἰητρεῖον συγγράμματι ἐν τῷ προσώπῳ συνίστασθαι.

Ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι. —

Ὅτι κακά εἰσι καὶ ὀλέθρια τάδε ἓξ ταῦτα συμπτώματα καὶ χαρακτηριστικὰ νεκρώδους προσώπου πιστοῦται ὁ Γαληνὸς διά τε τοῦ ἐπιλογισμοῦ καὶ τοῦ ἀναλογισμοῦ τουτέστιν ἀπὸ τῆς πείρας καὶ ἀπὸ τοῦ λόγου. καὶ ἀπὸ μὲν τῆς πείρας οὕτως, ὅτι ἐφ᾽ ὧν νοσημάτων συνέβη ταῦτα, ἔφησεν ὅτι ὀλέθριόν ἐστι τὸ νόσημα ἐκεῖνο· ἀπὸ δὲ τοῦ λόγου ὅτι ἐν τῷ καθόλου κατὰ δύο αἰτίας γίνεται τὸ τοιοῦτον πάθος ἐν τῷ προσώπῳ· ἢ γὰρ διὰ δριμύτητα ὕλης φερομένης καὶ δαπανώσης καὶ διαφθειρούσης τὰ εὐπαθῆ, ἅπερ ἐστὶ σάρκες καὶ ὑγρὰ καὶ πνεύματα ὡς ἐν τῇ θεωρίᾳ εἰρήκαμεν. καὶ οὕτως γίνεται τὸ πάθος τοῦτο· ἢ δι᾽ ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ τοῦτο γίνεται. ἀσθενοῦντος γὰρ τοῦ ἐμφύτου θερμοῦ, οὐ δύναται ἐπεκτανθῆναι ἐπὶ τὰ πόῤῥω καὶ ἄκρα μόρια, ἀλλ᾽ ἐμφωλεύει περὶ τὰ σπλάγχνα καὶ ἐκεῖσε ἐνειλίσσεται, καὶ τὸ τηνικαῦτα λειφαιμοῦντα καὶ ἀμοιροῦντα τοῦ ἐμφύτου θερμοῦ καὶ ζωτικοῦ τόνου ψύχονται τὰ ἄκρα καὶ ἀπομαραίνονται καὶ οὕτως ἀπονεκροῦνται. καὶ γὰρ τὸ πρόσωπον ἄκρον ἐστὶ μόριον, ἀλλὰ καὶ ἄσκεπον ἀείσε ἐστί. διὰ τοῦτο καὶ ἡ παραλλαγὴ τοῦ κατὰ φύσιν τῷ προσώπῳ μάλιστα γίνεται. ἐντεῦθεν καὶ τὰ ἓξ ἐκεῖνα συμπτώματα ἐν τῷ προσώπῳ συνίστανται διὰ τὰς αὐτὰς δύο αἰτίας.

Ῥὶς ὀξεῖα. —

Ἡ ῥὶς ὀξεῖα γίνεται τρόπῳ τοιούτῳ· ἡ ῥὶς ὀστοῦν χονδρῶδές ἐστι· τὸ μὲν ἐντὸς ὀστῶδές ἐστι, τὸ δὲ ἔμπρο-

1) διαγόντων! Codd. 2) Fort. διὸ — συνίσταται. 3) κατηιτρίῳ L. A. κατ᾽ ἰητρίῳ M. In libro de officina medici nihil de hac re legitur, unde vitium subesse reor.

σθεν χόνδρος· μόνα δὲ τὰ πτερύγια σαρκώδη εἰσὶ καὶ ὑγρά. ταῦτα οὖν τὰ πτερύγια ὡς ὑγρὰ ὄντα καὶ εὐπαθῆ συμβαίνει διὰ μίαν τῶν αἰτιῶν δαπανᾶσθαι καὶ φθείρεσθαι· ἢ γὰρ διὰ δριμύτητα τῆς ὕλης δαπανῶνται καὶ ἐξαναλίσκονται, ἢ δι' ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ, τῆς ψύξεως τὸ τηνικαῦτα πιλούσης καὶ ἐκπυρηνιζούσης. καὶ δι' ἀτροφίαν φθείρει τὰ πτερύγια. τούτων δὲ μειουμένων, ἐξ ἀνάγκης ὀξεῖα γίνεται ἡ ῥίς. καὶ 1) ἐπὶ σιμῆς δὲ ῥινὸς τὸ ἀνάλογον γίνεται καὶ ὀξύνεται. καὶ ἡ σιμὴ ῥίς, ἀλλὰ καὶ ἡ γρυπὴ καὶ ἡ ὁπωσοῦν ῥὶς ὀξύνεται, καὶ δεῖ αὐτὴν πρὸς ἑαυτὴν τὴν ῥῖνα ἀντεξετάζειν.

Ὀφθαλμοὶ κοῖλοι. —

Καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γίνονται διὰ μίαν τῶν αἰτιῶν· ἢ γὰρ διὰ κακοχυμίαν καὶ δριμεῖαν ὕλην, ἐξαναλίσκουσαν καὶ ἐκδαπανῶσαν τὰ ἐν τοῖς ὀφθαλμοῖς. λοιπὸν δὲ καὶ τὰ πνεύματα. πλείστη γὰρ μοῖρα πνεύματος ὀπτικοῦ πέμπεται εἰς τοὺς ὀφθαλμούς. τούτων δὲ δαπανωμένων ὡς εὐπαθῶν, ἐξ ἀνάγκης οἱ ὀφθαλμοὶ κοῖλοι γίνονται. διὰ δὲ ἄκραν ψύξιν κοῖλοι γίνονται οἱ ὀφθαλμοὶ, ἐπειδὴ ἡ ἄκρα ψύξις πύκνωσιν καὶ πίλησιν καὶ συνίζησιν καὶ ἐκπυρηνισμὸν ἀπεργάζεται. λοιπὸν καὶ 2) ἀτροφία ἐν αὐτοῖς γίνεται, καὶ τῷ λόγῳ τούτῳ ἐξ ἀνάγκης κοῖλοι γίνονται οἱ ὀφθαλμοί.

Κρόταφοι ξυμπεπτωκότες. —

Πρὸ πάντων τῶν ἐν τῇ κεφαλῇ μορίων μόνοι οἱ κροταφῖται μύες δαπανῶνται διὰ τὰς αὐτὰς αἰτίας· ἢ γὰρ τῇ δριμύτητι τῆς ὕλης δαπανώμενοι συμπίπτουσιν οἱ κρόταφοι ἢ διὰ τὴν ἄκραν ψύξιν.

Ὦτα ψυχρὰ καὶ συνεσταλμένα. —

Τὰ ὦτα ἐπειδὴ χονδρώδη εἰσὶ, φύσει ψυχρά εἰσι. καὶ εἰκότως ὑπὸ τῆς ἄκρας ψύξεως ψυχρὰ γίνονται. ἀλλὰ καὶ διὰ τοῦτο συνεσταλμένα γίνονται διὰ τὴν ψύξιν. ἡ γὰρ ακρα ψύξις 3) συῤῥεῖ αὐτὰ καὶ οἷον συνσπᾷ αὐτὰ καὶ γίνονται συνεσταλμένα.

---

1) ἐπισημοῖς L. 2) ἡ add. M. 3) συνρεῖ Codd. Fort. συῤῥέπει.

Καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι. —

Εἰκότως, ἐπειδὴ παρὰ πάντα τὰ μόρια τῶν ὤτων σαρκωδέστεροι καὶ ὑγρότεροι οἱ 1) λοβοί εἰσι. δαπανώμενοι οὖν καὶ ἰσχναινόμενοι ἀποστρέφονται ἐπὶ τὰ ὀπίσω. καὶ διὰ ποίαν αἰτίαν ἐπὶ τὰ ὀπίσω ἀποστρέφονται οἱ λοβοὶ καὶ μὴ πρὸς ἔμπροσθεν μέρη; καὶ λέγομεν, ὅτι διὰ τοῦτο ἐπὶ τὰ ὀπίσω ἀποστρέφονται, ὡς ἐπὶ τὴν οἰκείαν ἀρχήν· ἐπειδὴ ἀπὸ τῶν ὀπίσω δέχονται τὰ ὦτα αἰσθητικὰ νεῦρα. τῇ οὖν ἄκρᾳ ψύξει σπώμενα τὰ αἰσθητικὰ νεῦρα πρὸς ἑαυτὰ ἐφέλκονται τοὺς λοβοὺς τῶν ὤτων καὶ διὰ τοῦτο ἐπὶ τὰ ὀπίσω ἀποστρέφονται. ἐντεῦθεν καὶ ἡ δόξα ἐκείνη ἐκβάλλεται τῶν ὁρισαμένων τὸν σπασμὸν κίνησιν ἀπροαίρετον, ἐν 2) προαιρετικοῖς μορίοις συνισταμένην, οὐ μὴν ἐν τοῖς αἰσθητικοῖς καὶ ἀκινήτοις. ἰδοὺ γὰρ ἀποδέδεικται ἐνταῦθα ὅτι οὐ μόνον ἐν τοῖς κινητικοῖς μορίοις συνίσταται ὁ σπασμὸς, ἀλλὰ καὶ ἐν τοῖς αἰσθητικοῖς ἤτοι τοῖς ἀκινήτοις νεύροις. καλῶς δὲ λοιπὸν ὡρίσαντο οἱ εἰπόντες τὸν σπασμὸν κίνησιν ἀπροαίρετον ἐν προαιρετικοῖς μορίοις συνισταμένην. ἀμφότερα γὰρ περιλαμβάνει ὁ ὁρισμὸς οὗτος· καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι.

Καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν. —

Εἰκότως τοῦτο γενήσεται, ἐπειδὴ σχεδὸν ἄσαρκόν ἐστι τὸ μέτωπον ὀστῶδες τυγχάνον, εἰ 3) μὴ ἐλαχίστη μοῖρα ἀπὸ τοῦ μυώδους πλατύσματος φέρεται παρὰ τὸ μέτωπον καὶ κινεῖ αὐτό. καὶ διὰ μίαν τῶν εἰρημένων αἰτιῶν συμβαίνει καὶ τοῦτο δαπανᾶσθαι καὶ φθείρεσθαι καὶ σκληρὸν γίνεσθαι, καὶ περιτεταμένον καὶ καρφαλέον τὸ δέρμα τοῦ μετώπου. ταῦτα γὰρ πάντα ἐπιτεταμένην ξηρότητα δηλοῦσιν.

Καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε ἢ πέλιον ἢ καὶ μέλαν ἐόν. —

Ταῦτα 4) γὰρ πάντα τὰ χρώματα ὑπὸ ψύξεως γίνονται. καὶ τὸ μὲν μέλαν κατὰ ἐπίτασιν γίνεται ψύξεως. οὕτως

1) *λωβοὶ* Codd. 2) *κινητικοῖς* L. 3) *μήτι δ' ἂν* Codd. 4) *γὰρ* om L.

γὰρ καὶ τὸ αἷμα ἐν ταῖς φλεβοτομίαις, ἢ ὁπωσοῦν κενούμενον, θρομβοῦται, εἶτα πήγνυται, καὶ οὕτως τῷ χρόνῳ μελαίνεται. τὸ δὲ χλωρόν τινες καὶ τὸ ὠχρὸν ταὐτὸν ἐνόμισαν εἶναι. διαφέρουσι δὲ ἀλλήλων ταῦτα. πρῶτον μὲν γὰρ τὸ ὠχρὸν γίνεται χρῶμα ὑπὸ τῆς ψύξεως, εἶτα τὸ πελιδνὸν, καὶ εἶθ' οὕτως τὸ μέλαν. καὶ τὸ μὲν ὠχρὸν χρῶμα τοῦ προσώπου ὑπὸ τῆς ἀρχῆς τῆς ψύξεως γίνεται· τὸ δὲ χλωρὸν ἔτι ἐπιτεινομένης τῆς ψύξεως· τὸ δὲ πελιδνὸν ἔτι πλεῖον ἐπιτεινομένης· τὸ δὲ μέλαν ἐπὶ μεγίστῃ καὶ ἀκροτάτῃ ψύξει γίνεται, ὅπερ νέκρωσίς ἐστιν. οὕτως οὖν τὴν αἰτίαν ἑκάστου συμπτώματος ἀποδέδωκεν ὁ Γαληνός. πλὴν δεῖ εἰδέναι, οὐ πάντοτε ταῦτα τὰ συμπτώματα θανατώδη εἰσίν. ἐὰν γὰρ ἐπὶ χρονίων νοσημάτων γίνωνται, τῷ μήκει καὶ τῇ ἐκτάσει τοῦ χρόνου ἐκτήκονται καὶ οὐ πάντως θάνατος ἐπακολουθεῖ, ἀλλ' ὑγιαίνουσιν οἱ οὕτως πάσχοντες καὶ 1) ἐξηλοῦσι τοῦ κινδύνου διά τε ἡλικίαν, ἀκμαστικοῦ ὄντος τοῦ νοσοῦντος, καὶ κράσιν θερμὴν καὶ ὥραν θερινὴν καὶ τὰ τοιαῦτα. ἐὰν οὖν συνέλθωσιν, ἐκφεύγει τὸν κίνδυνον· ἀλλ' ἐπὶ τῶν ὀξέων νοσημάτων ταῦτα γινόμενα ὀλέθριά εἰσι, καὶ μάλιστα ἐὰν τῇ ἀρχῇ τῆς νόσου γένωνται, πλὴν εἰ μήτι δι' ἑτέραν αἰτίαν 2) ἐγγίνονται, καὶ τότε οὐκ εἰσὶ θανατώδη. ποία δέ ἐστιν ἡ αἰτία ἐκείνη, ἡ ἐφεξῆς θεωρία δηλώσει.

Εἰ μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον χλωρὸν ἢ καὶ μέλαν ἐὸν καὶ μήπω οἷόν τε. —

Φησὶν ὅτι ἐὰν ἐν ἀρχῇ τοῦ νοσήματος τὸ νεκρῶδες γένηται πρόσωπον, γίνωσκε ὅτι διὰ κακοήθειαν 3) ὀξέος νοσήματος ἐγένετο 4) ἤ τινα προκαταρκτικὴν αἰτίαν. καὶ διὰ μὲν κακοήθειαν νοσήματος οὕτως· ἵνα ὑποστῇ ἡ κακοήθεια τοῦ νοσήματος, τριῶν δεῖται συνδρομῆς, ἵνα ἡ καθεκτικὴ δύναμις τοῦ παντὸς σώματος ἀσθενὴς ᾖ, καὶ ἵνα λεπτοί εἰσιν οἱ χυμοὶ καὶ πυρετὸς διακαὴς καὶ ζέων. τί γὰρ ὅτι τῆς καθεκτικῆς δυνάμεως ἀσθενούσης, πολλὴ γίνεται διαφόρησις τῆς ἀδήλου διαπνοῆς ἀναισθήτως,

---

1) Fort. ἐξαλοῦσι pro ἐξαλοῦνται. 2) ἐγγένονται M. 3) ὀξέου Codd. saepius. 4) ἢ διά τινα A. ἅτινα L.

καὶ μάλιστα λεπτῶν ὄντων τῶν χυμῶν, πολλὴ γενήσεται ἡ διαφόρησις. λοιπὸν δὲ καὶ ὅτι συνεργεῖ τῇ διαφορήσει ὁ διακαὴς πυρετός. τούτων οὖν τῶν τριῶν συνερχόντων, ἰσχναίνεται τὸ σῶμα καὶ νεκρῶδες γίνεται τὸ πρόσωπον καὶ ἀναλογεῖ 1) *αὐτῷ ἡ διαφόρησις ἡ* 2) *ἀεννάως γινομένη καὶ ἀνεπαισθήτως ταῖς μεγίσταις κινήσεσι ταῖς διὰ τῶν φυσικῶν ὑπονόμων γινομέναις, ἐκταράξει γαστρὸς ἢ ἐμέτῳ ἢ αἱμοῤῥαγίᾳ. διὰ δὲ χρόνιον νόσημα νεκρῶδες γίνεται πρόσωπον οὕτως· τῷ γὰρ μήκει τῆς νόσου διαφοροῦνται οἱ χυμοὶ καὶ τὰ ὑγρὰ καὶ τὰ πνεύματα. λοιπὸν δὲ καὶ αἱ δυνάμεις κακῶς διατίθενται. καὶ ἐνταῦθα ἀτροφοῦντα τὰ μόρια, ἰσχναίνεται το σῶμα, καὶ νεκρῶδες γίνεται τὸ πρόσωπον. διὰ δὲ προκαταρκτικὴν αἰτίαν οὕτως, ἀλλὰ τοῦτο τριχῶς·* 3) *ἢ γὰρ δι᾽ ἀγρυπνίαν ἄμετρον ἢ διὰ πολλὴν ἐκτάραξιν τῆς γαστρὸς ἢ διὰ λιμὸν ἐπιτεταμένον. ἕκαστον γὰρ τούτων δύναται νεκρῶδες ποιῆσαι πρόσωπον. ἡ μὲν κένωσις τῆς γαστρὸς ἡ ἐπιτεταμένη δηλονότι ἰσχναίνει τὸ σῶμα καὶ νεκρῶδες ποιεῖ τὸ πρόσωπον. ἀλλὰ καὶ ἡ ἀγρυπνία ἡ ἐπιτεταμένη οἶδε διαφόρησιν ποιεῖν καὶ νεκρῶδες ἀπεργάζεσθαι τὸ πρόσωπον. καὶ ὁ λιμὸς οὖν εἴτε ἑκούσιός ἐστιν εἴτε ἀκούσιος, τῷ λόγῳ τῆς ἐνδείας καὶ τῆς ἀσιτίας δύναται νεκρῶδες ποιῆσαι τὸ πρόσωπον. μνημονεύσας δὲ τρίτην κένωσιν, ποίαν κένωσιν ἀμέτρως γινομένην ἐδήλωσεν εἴτε δι᾽ ἐμέτων εἴτε δι᾽ αἱμοῤῥαγίας εἴτε δι᾽ οὔρων, εἴτε δι᾽ ἱδρώτων; διὰ* 4) *δὲ τοῦ μνημονεῦσαι ὕπνου πάντα τὰ ψυχικὰ πάθη τὰ δυνάμενα συγκοπὰς καὶ λιποθυμίας ποιῆσαι ἐδήλωσεν, ὥσπερ φροντὶς καὶ θυμὸς καὶ τὰ τοιαῦτα. τί οὖν φησιν ὁ Ἱπποκράτης; ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον χλωρὸν ἢ μέλαν ἐόν. —* 5) *Ἰστέον ὅτι ἡ ἀρχὴ τριχῶς διαιρεῖται· ἢ γὰρ ἄχρονος ἢ ἀκαρής ἐστιν, ἥτις ἐν αὐτῷ τῷ ἄρχεσθαι* 6) *ἀλλοιοῦσθαι ἐπὶ τὸ παρὰ φύσιν τὸν ἄνθρωπον περιγράφεται, ἥτις ἀχρόνως γίνεται. ἔστιν ἀρχὴ καὶ ἡ ἐν πλάτει θεωρουμένη. αὕτη δὲ διχῶς*

---

1) *αὐτὴ* L. 2) *ἀννάως* L. 3) *ἡ* L. 4) *καὶ* L. 5) *ποσαχῶς ἡ ἀρχή* L. in mg. Argumentum. 6) *ἀλλοιοῦσαι* L. Fort. *ἀλλοιοῦσα* sive *ἀλλοιοῦται καὶ.*

διαιρεῖται· ἢ γὰρ τεχνική ἐστιν ἢ ἁπλῶς πλατική. καὶ ἄτεχνος, ἥτις ἐν τρισὶν 1) ἡμέραις θεωρεῖται. ἔγνωσται γὰρ καὶ αὕτη τοῖς ἰατροῖς, καὶ εἰώθασιν ἀρχὴν τὰς τρεῖς ἡμέρας καλεῖν ἐπὶ παντὸς νοσήματος. ἡ δὲ τεχνική ἐστιν ἥτις ἀντιδιαστέλλεται τοῖς λοιποῖς καιροῖς, ἀναβάσει λέγω καὶ ἀκμῇ καὶ παρακμῇ, τοσαυταχῶς τῆς ἀρχῆς λαμβανομένης. ὁ Ἱπποκράτης ἐνταῦθα περὶ τοῦ δευτέρου σημαινομένου λέγει, λέγω δὴ τῆς πλατικῆς ἀρχῆς, ἤτοι τῆς ἀτέχνου τῆς ἐν τρισὶν ἡμέραις θεωρουμένης, ὡς δηλοῖ τὸ ἐπαγόμενον· ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου, ὡς ἂν ὅτι τῆς ἀρχῆς ἐν τρισὶν ἡμέραις θεωρουμένης, ἐὰν νεκρῶδες γένηται τὸ πρόσωπον· εἶτα καὶ ἀρχῆς μνημονεύσας ἐξέβαλε τὸ ἓν σημαινόμενον τοῦ νεκρώδους προσώπου, λέγω δὴ τοῦ ἐπὶ χρονίῳ νοσήματι γινομένου. διὰ δὲ τοῦ εἰπεῖν ἐπανέρεσθαι, μὴ ἠγρύπνησεν ὁ ἄῤῥωστος 2) ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἢ λιμῶδές τι εἶχεν αὐτὸν, ἐδήλωσε τὰ προκαταρκτικὰ αἴτια τὰ ποιοῦντα τὸ πρόσωπον νεκρῶδες. φησὶ γὰρ ὅτι ἐπειδὴ οὐκ ἐπὶ πάντων φαντὰ καὶ γνώριμα καὶ ὁμολογούμενά εἰσιν ἡμῖν τὰ σημεῖα, δεῖ τῇ ἀνακρίσει χρήσασθαι καὶ ἐρωτῆσαι τὸν ἄῤῥωστον, μὴ ἐκτάραξις γαστρὸς ἄμετρος γέγονέν σοι, ἢ ἠγρύπνησας ἐπιτεταμένως ἢ ἠσίτησας. καὶ εἰ μὲν φαίη τι τούτων, ἰδοὺ γινώσκεις ὅτι ἐπὶ προκαταρκτικῇ αἰτίᾳ γέγονε νεκρῶδες τὸ πρόσωπον. καὶ ἔστι μὲν κακὸν, πλὴν ἧττον κακόν ἐστιν ὡς πρὸς κακοήθειαν νοσήματος. εἰ δὲ μηδὲν τούτων συνθῆταί σοι γεγονέναι, γίνωσκε ὅτι ἐπὶ κακοηθείᾳ ὀξέος νοσήματος γέγονε νεκρῶδες τὸ πρόσωπον, 3) ὅπερ ὀλέθριόν ἐστι καὶ κινδυνῶδες· πλὴν καὶ τοῦτο δεῖ σε γινώσκειν, ὅτι πολλάκις ἡ ἀγρυπνία καὶ ἡ ἐκτάραξις τῆς γαστρὸς οὐχ ὡς προκαταρκτικὰ αἴτια ὑπάρχοντα νεκρῶδες ποιοῦσι τὸ πρόσωπον, ἀλλ᾽ ἔστιν ὅτε καὶ διὰ κακοήθειαν ὀξέος νοσήματος ἀμφότερα γίνεσθαι καὶ τὴν ἀγρυπνίαν καὶ τὴν ἐκτάραξιν τῆς γαστρὸς καὶ τὸ νεκρῶδες πρόσωπον. καὶ πόθεν τοῦτο ὀφείλομεν γνῶναι εἴτε ἡ κακοήθεια τοῦ νοσήματος ταῦτα

---

1) ἡμέραισιν L. M. ἡμέρῃσιν A. 2) εἶτα M. 3) In Cod. L. lacuna foliorum aliquot sequitur. E cod. A. edo, quae deinceps sunt.

ἐποίησε, εἴτε ὡς προκαταρκτικὰ ὄντα ἐποίησαν νεκρῶδες τὸ πρόσωπον, τυχὸν ἡ ἀγρυπνία καὶ ἡ ἐκτάραξις τῆς γαστρός; ἔσο γινώσκων ὅτι τοῦτο διαγινώσκεις, εἰς τὸ 1) ἡμερονύκτιον σοῦ προσφόρως καὶ ἁρμοδίως διαιτῶντος. εἰ μὲν γαστρόῤῥοιά ἐστιν, χρῆσαι τῇ σταλτικῇ τροφῇ, τυχὸν 2) ψυχία ἀφράτα καὶ εἰς ὑδροροσάτον. εἰ δὲ ἀγρυπνία ἐστὶ, δεῖ σε ὑγροτέρᾳ τροφῇ χρήσασθαι τυχὸν χυλῷ πτισάνης ἢ λαχάνων καὶ τοῖς τοιούτοις. εἰ δὲ ἀσιτία ἐστί καὶ ἔνδεια, καὶ ἐνταῦθα ταῖς δυναμέναις ἀνακαλέσασθαι καὶ τονῶσαι τροφαῖς χρήσασθαι· καὶ ἂν ταῦτα σου ποιήσαντος καταστῇ ἡμερονύκτιον, γίνωσκε ὅτι ἐπὶ προκαταρκτικῇ αἰτίᾳ γέγονε νεκρῶδες τὸ πρόσωπον. εἰ δὲ μείνῃ ὡσαύτως ἔχον, ἥ τε ἀγρυπνία καὶ ἡ γοστρόῤῥοια, τότε γίνωσκε ὅτι 3) διὰ κακοήθειαν νοσήματος πάντα γεγόνασι, καὶ ἡ ἀγρυπνία καὶ ἡ γαστρόῤῥοια καὶ τὸ νεκρῶδες πρόσωπον· πλὴν ἐπειδὴ οὐκ ἐπὶ πάντων τῶν παθῶν ἡ αὐτὴ ἀκολουθία ἐστὶ, δεῖ σε καὶ εἰς τὰ σύστοιχα ἀποβλέπειν, ἐὰν ἀκμαστική ἐστιν ἡ ἡλικία καὶ θερινὴ ὥρα, καὶ ἡ κράσις καὶ τὸ χωρίον θερμὸν, καὶ ἐὰν ἐνδεής ἐστι περὶ τὴν τροφὴν καὶ βίον ἄγρυπνον καὶ ἐπίπονον καὶ φροντιστικὸν καὶ φιλοταλαίπωρον 4) ζῇ, γίνωσκε ἐπὶ κακοηθείᾳ τοῦ νοσήματος νεκρῶδες τὸ πρόσωπον γέγονε καὶ κινδυνῶδές ἐστι καὶ ταῦτα μὲν ἐντὸς τῶν τριῶν ἡμερῶν. εἰ δέ γε ὑπερπέσῃ τὴν τρίτην ἡμέραν ὡς δηλοῖ τὸ εἰπεῖν αὐτὸν, ἣν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου, τουτέστιν ἐπὶ πλέον τῶν τριῶν ἡμερῶν, ἐάν τε γένηται νεκρῶδες τὸ πρόσωπον, πρὸς τούτοις πᾶσι τοῖς εἰρημένοις τὰ ἓξ ἐκεῖνα ὀλέθρια συμπτώματα, καὶ ἀνιχνεύοντός σου καὶ τὰ προκαταρκτικὰ αἴτια. χρὴ δὲ πρὸς τούτοις ἐπιβλέπειν καὶ ἕτερα πλεῖστα σημεῖα ἐν ὀφθαλμοῖς θεωρούμενα, καὶ οἷον ἐπιβεβαιοῖ τὴν σημείωσιν τοῦ ὀλέθριον εἶναι τὸ νόσημα ἀπὸ ἐννέα τινῶν ἐν τοῖς ὀφθαλμοῖς συνισταμένων, καὶ λέγει, ὅτι οἱ τοιοῦτοι αὐγὴν ἀποφεύγουσιν, οἱ τοιοῦτοι ἀπροαιρέτως δακρύουσι, ἐπὶ τῶν τοιούτων ὁ

---

1) *ἡμερον νύκτιον* Codd. 2) Vide *ἀφρατόδιστον* in Append. Du Cang. Potus frigidi genus esse videtur, ptisana. Fort. *ψυχρᾷ. τρυφῇ* Codd. 3) *δικακοήθεια* A. 4) *ζῆν* Codd.

ἕτερος τοῦ ἑτέρου ὀφθαλμοῦ ἐλάσσων γίνεται, τὰ φλέβια τὰ ἐπὶ τῶν ἐπιπεφυκότων τῶν ὀφθαλμῶν ἐρυθρὰ γίνονται ἢ πελιὰ ἢ μέλανα, ἢ λήμας ἔχουσι περὶ τὰς ὄψεις. ἐπὶ τούτων ἐξίστανται οἱ ὀφθαλμοὶ καὶ 1) ἀπηώρηνται καὶ προπετεῖς αὐτοὺς ἴσχουσιν ἢ κοίλους. ἐπὶ τούτων ἀστήρικτοί εἰσιν οἱ ὀφθαλμοὶ, ἢ τὸ σύμπαν χρῶμα τοῦ σύμπαντος προσώπου, καὶ αὐτῶν τῶν ὀφθαλμῶν 2) ἠλλοιωμένον ἔχουσιν. ἐὰν οὖν πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα συνέλθωσιν, ὀλέθριόν ἐστι καὶ δεῖ προλέγειν τὸν θάνατον.

Κ ε ί μ ε ν ο ν.

Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον χλωρὸν ᾖ καὶ μέλαν ἐὸν τοιοῦτον, ἢ καὶ μήπω οἷόν τε, ἢ τοῖσιν ἄλλοις σημείοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος. —

Φησὶν ἐνταῦθα ὁ Ἱπποκράτης, ὅτι ἐὰν ἐν τῇ ἀρχῇ τοῦ νοσήματος τουτέστιν ἐν τῇ πρώτῃ ἡμέρᾳ ἢ τῇ δευτέρᾳ νεκρῶδες γένηται τὸ πρόσωπον μήπω ἔχον ἐγνωσμένα τὰ συμπτώματα· ἐγνωσμένα δὲ συμπτώματα ἀκουστέον τὴν αἰτίαν ὑφ᾽ ἧς γέγονε τὸ νεκρῶδες πρόσωπον· ἐπερωτᾷν δεῖ τὸν ἄῤῥωστον, μὴ ἠγρύπνησεν, ἢ ἐκτάραξις τῆς γαστρὸς γέγονεν αὐτῷ μεγίστη, ἢ ἐλιμανχονήθη ἤγουν ἐν ἀσιτίᾳ διέμεινεν· πλὴν οὐ μόνον ἐπὶ τούτοις τοῖς σημείοις γίνεται νεκρῶδες πρόσωπον, ἀλλὰ καὶ ἐπὶ ἀκροτάτῃ ψύξει, δι᾽ ὥραν χειμερινὴν ἢ διὰ κατάστημα ψυχρότατον, ἢ καὶ δι᾽ ἔσχατον γῆρας. ἀλλ᾽ οὐκ εἰσὶν οὕτως κινδυνώδη. καὶ ταῦτα μὲν ὁ Ἱπποκράτης· ὁ δὲ Γαληνὸς μείζονι τέχνῃ νῦν ἑαυτὸν ἐπιτρέψας λέγει, ὅτι δυνατόν ἐστιν ἡμᾶς προγνῶναι πᾶσαν αἰτίαν, νεκρῶδες ἐργασαμένην τὸ πρόσωπον, μηδεμιᾶς ἐρωτήσεως 3) δεηθέντας. τί γὰρ ὅτι δεῖ σε ἀναδραμεῖν καὶ ἀποβλέψαι εἰς τὰ σύστοιχα ἐὰν ἡ ὥρα θερινή ἐστιν, καὶ τὸ κατάστημα θερμὸν καὶ ξηρὸν, καὶ ἡ κρᾶσις τοῦ κάμνοντος θερμὴ καὶ ἡλικία ἀκμαστικὴ, ἡ δίαιτα ἐνδεὴς, βίον διάγων φροντιστικὸν καὶ ἐπίπονον,

---

1) ἀπεώρονται M. 2) ἠλλοιωμένων Codd. 3) δεηθέντος Codd.

καὶ οἱ σφυγμοὶ ἠτονημένοι καὶ βραδεῖς καὶ μικροὶ καὶ ἀμυδροὶ, καὶ ἁπτομένου σου τῇ ἁφῇ, καυσώδης καὶ διακαὴς ὑποπίπτει ἡ θερμασία, καὶ εἰ ἐπὶ τούτῳ ἐν τῇ πρώτῃ ἢ ἐν τῇ δευτέρᾳ ἡμέρᾳ νεκρῶδες γέγονε τὸ πρόσωπον, γίνωσκε ὅτι διὰ κακοήθειαν νοσήματος γέγονεν. ἐὰν δὲ ἐπὶ γαστροῤῥοίᾳ γέγονε νεκρῶδες τὸ πρόσωπον, ἔχεις ἀσφαλέστατον σημεῖον τῶν ὀφθαλμῶν. ἐπὶ γὰρ τῆς γαστροῤῥοίας ἔγκοιλοι γίνονται οἱ ὀφθαλμοὶ αὐτῶν καὶ ἐξηρασμένους αὐτοὺς ἔχουσιν, ὡς μὴ δύνασθαι τὰ βλέφαρα ἀνατείνειν· ἐπὶ δὲ τῆς ἀγρυπνίας, ἀσφαλέστατον σημεῖον εὑρήσεις ἐπὶ τῶν σφυγμῶν, τὸ δίκην χορδῆς τεταμένην εὑρίσκεσθαι τὴν ἀρτηρίαν· τοὺς δὲ διὰ κακοήθειαν νοσήματος, ἀπὸ τῆς ἁφῆς σημειώσεις. ἐπιβαλὼν γὰρ τὴν ἁφὴν μόνον κατὰ τὸν καρπὸν, ἀλλὰ καὶ 1) παράνω τυχὸν κατὰ τὸν βραχίονα, εὑρήσεις καυσωδεστάτην καὶ ζέουσαν τὴν ἀναφερομένην θερμασίαν καὶ δριμεῖαν καὶ καπνώδεις ἀναθυμιάσεις ἀνίεσθαι πρὸς τὴν ἁφὴν, καὶ γινώσκεις, ὅτι ὀξύς ἐστιν ὁ πυρετὸς καὶ διαφορητικώτατος, ὁ τὸ νεκρῶδες ποιήσας πρόσωπον. —

Καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον νόμιζε δεινὸν εἶναι. —

Φησὶν ὅτι τὸ νεκρῶδες πρόσωπον ἐὰν διά τινα προκαταρκτικὴν γένηται αἰτίαν, τυχὸν εἴτε διὰ γαστρόῤῥοιαν εἴτε διὰ λιμὸν εἴτε δι᾽ ἀγρυπνίαν, κακὸν μὲν ἔστιν, ἀλλ᾽ ἧττον ὡς τὸ διὰ κακοήθειαν γινόμενον.

Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν. —

Ἰστέον ὅτι τὰ τρία ταῦτα ἀντιπαράκεινται ἀλλήλοις, φῶς, ἀκτὶς καὶ αὐγή. καὶ τὸ φῶς συνουσιοῦται τῷ ἡλίῳ, ἡ δὲ ἀκτίς ἐστιν ἡ ἐκ τοῦ φωτὸς πεμπομένη, αὐγὴ δὲ ἔστιν ἡ ἐκ τῆς ἀκτῖνος πεμπομένη, περὶ ἧς καὶ ἔστι νῦν ὁ λόγος. ἐν γὰρ τῇ αὐγῇ ἀείσε ἐσμὲν, καὶ ἄνευ αὐτῆς εἶναι οὐ δυνάμεθα. πῶς οὖν οὐ κακὸν τοῦτο ἐπὶ ὀξεῖ νοσήματι; δηλοῖ γὰρ ἄκραν καταβολὴν τῶν ὀπτικῶν δυνάμεων. πλὴν φεύγουσι πολλοὶ τὴν αὐγὴν καὶ δι᾽ ἄλλην αἰτίαν, ὥσπερ οἱ ὀφθαλμιῶντες καὶ οἱ 2) τζιμβλοί. ταῦτα δὲ οὐκ εἰσὶν ἐνδεικτικὰ κινδύνων.

---

1) Fort. ὑπεράνω. 2) τεζηβοὶ M. τεζημοι A. Conjeci τζιμβλοὶ, lippi.

῍Ην δακρύωσιν ἀπροαιρέτως. —

Ἐὰν ἐν τοῖς ὀξέσι νοσήμασιν ἀπροαιρέτως δακρύωσιν οἱ νοσοῦντες, γίνωσκε ὅτι δι' ἄκραν ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως ἀπροαιρέτως δακρύουσιν, ὅπερ κακόν ἐστι σημεῖον, ἐπειδὴ αὐτὸ τὸ λόγῳ 1) τροφῆς φερόμενον ἐν τοῖς ὀφθαλμοῖς οὐ κατέχεται, ἀλλ' ὥσπερ ἀπὸ 2) ἀψύχου ἀποῤῥεῖ καὶ κενοῦται.

῾Η διαστρέφοντα.. —

῍Η γὰρ διὰ παράλυσιν τῶν ἐν τοῖς 3) ὀφθαλμοῖς μυῶν παραλυομένων, ἢ διὰ σπασμόν· εἰ μὲν διὰ παράλυσιν, εἰς τὸ ἐναντίον διαστρέφονται τὰ παραλυόμενα μόρια· εἰ δὲ διὰ σπασμὸν, ἐφ' ἑαυτὸ σπᾶται καὶ διαστρέφεται, καθ' ἣν οἱ στραβισμοὶ γίνονται. καὶ τοῦτο διαγινώσκεις ἐκ τῆς ὀδύνης καὶ τῆς ἀτροφίας. ἐπὶ γὰρ τοῦ σπασμοῦ ὀδυνῶνται, ἀλλὰ καὶ ἀτροφία ἕπεται. ταῦτα δὲ τὰ πάθη, ὁ σπασμὸς λέγω καὶ ἡ παράλυσις, ἢ δι' αὐτοῦ τοῦ ὀφθαλμοῦ γίνονται ἢ διὰ τὸν ἐγκέφαλον. καὶ εἰ μὲν διὰ τὸν ἐγκέφαλον διαστραφῶσιν οἱ ὀφθαλμοὶ, εἴτε παραλυομένων αὐτῶν εἴτε σπωμένων, ὀδυνῶνται τὸ μέτωπον, τὸ νωτιαῖον, τοὺς ὀφθαλμοὺς καὶ τοὺς κροτάφους, καὶ μάλιστα πρότερον ἐκεῖνα ἅπερ καὶ προσεγγίζουσι τῷ ἐγκεφάλῳ μόρια. καὶ κακόν ἐστιν, ἡνίκα μὴ διὰ τοὺς ὀφθαλμοὺς ἡ διαστροφὴ γένηται, ἀλλὰ διὰ τὸν ἐγκέφαλον. δηλοῖ γὰρ καὶ αὐτὴν τὴν πρώτην ἀρχὴν κακῶς διάκεισθαι, ὅπερ κάκιστόν ἐστι σημεῖον ἐπὶ ὀξέος νοσήματος.

῍Η ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίνεται. —

Διὰ τί ὁ ἕτερος ὀφθαλμὸς τοῦ ἑτέρου ἐλάσσων γίνεται; ἐπὶ ἐνδείᾳ καὶ ἐπὶ ἀτροφίᾳ καὶ ἐπὶ ἄκρᾳ ξηρότητι καὶ ἐπὶ καταβολῇ τῶν ἐν αὐτῷ φυσικῶν δυνάμεων, ὅπερ καὶ τοῦτο ἐπὶ ὀξεῖ νοσήματι κάκιστόν ἐστι σημεῖον.

῍Η τὰ λευκὰ ἐρυθρὰ ἴσχουσιν. —

῞Οτι τὰ φλέβια τὰ ἐν τῷ ἐπιπεφυκότι, λευκὸν γὰρ αὐτὸν τὸν ἐπιπεφυκότα καλεῖ, νῦν ἐρυθρὰ ἴσχουσι, δια

---

1) Oculi non nutriuntur lacrymis, sed sunt excrementa. Mercurialis in mg. codicis. 2) ἀψύχρου M. ἀποψύχου A. 3) ὀφθαλμοῖς om. M.

πλείονας αἰτίας τοῦτο γίνεται· ἢ γὰρ δι' ὀφθαλμίαν ὥσπερ ἐπὶ τῶν χυμωμάτων, ἢ διὰ μέθην τὰ λευκὰ ἐρυθραίνονται, ἢ διὰ ἔμετον, ἢ διὰ πληθώραν αἱματικὴν ἢ διὰ φλεγμονὴν τῶν μηνίγγων. καὶ διὰ μὲν πληθώραν ἐρυθρὰ γίνονται τὰ φλέβια τοῦ ἐπιπεφυκότος τρόπῳ τοιούτῳ· τῷ πλήθει ἀπελαύνεται ἐπὶ τοὺς ὀφθαλμοὺς τὸ αἷμα, καὶ τείνει τὰ φλέβια τὰ ἐν τῷ ἐπιπεφυκότι, ἐπειδὴ στενὰ καὶ λεπτά εἰσι. μὴ φέροντα οὖν τὴν τάσιν ῥήγνυνται, καὶ ἐκχεῖται τὸ αἷμα καὶ ἐρυθρὰ γίνονται. ἐὰν οὖν ὀξέος νοσήματος ὑποκειμένου καὶ καυσώδους πυρετοῦ 1) *ἔτι καὶ* 2) *ἢ φλεγμονὴ ἐν ταῖς μήνιγξιν ἢ πληθώρα ὑπόκειται, παγκάκιστόν ἐστι καὶ τοῦτο σημεῖον.*

Ἢ πέλια ἢ μέλανα. —

Ταῦτα τὰ χρώματα τὸ πέλιον καὶ τὸ μέλαν ἐπὶ ἄκρᾳ καταψύξει γίνονται· ἐὰν οὖν πέλια γένωνται ἢ μέλανα τὰ ἐν τοῖς ὀφθαλμοῖς λευκὰ τουτέστιν ὁ ἐπιπεφυκὼς, παγχάλεπόν ἐστι σημεῖον ἐπὶ ὀξέος νοσήματος.

Ἢ λῆμαι φαίνονται περὶ τὰς ὄψεις. —

Λῆμαι γίνονται ἐπὶ τοὺς ὀφθαλμοὺς ἢ διά τι πάθος περὶ αὐτοὺς συνιστάμενον, ὥσπερ ἐπὶ τῶν ὀφθαλμιώντων, ἢ ὑγρότητός τινος φερομένης καὶ ποιούσης λήμας. δεῖ γὰρ εἰδέναι ὅτι ἡ λήμη γίνεται ἐν τοῖς ὀφθαλμοῖς ἐπὶ ἀπεψίᾳ τῷ λόγῳ τροφῆς ἐν τοῖς ὀφθαλμοῖς 3) *φερόμενον· ἐὰν οὖν ὀξέος ὑποκειμένου νοσήματος καὶ διακαοῦς πυρετοῦ καὶ ἀτροφίας καὶ ξηρότητος, λῆμαι γίνωνται παρὰ τοὺς ὀφθαλμοὺς, παγκάκιστόν ἐστι καὶ τοῦτο σημεῖον· δηλοῖ γὰρ ὅτι καὶ αὐτὸ τὸ ἐλάχιστον ὑγρὸν τῷ λόγῳ τροφῆς φερόμενον ἐκεῖσε, οὐκ ἰσχύει ἡ ἀλλοιωτικὴ δύναμις πέψαι καὶ ἀλλοιῶσαι, ἀλλ' ἀπεπτούμενα τὰς λήμας ποιεῖ.*

Ἢ ἐναιωρούμενοι. —

Ἐναιωρούμενοί εἰσιν οἱ ὀφθαλμοὶ οἱ ἀστήρικτοι οἱ τῇδε κἀκεῖσε περιφερόμενοι ἀτάκτως καὶ ἀῤῥύθμως, ἐν τῷ μὴ ἑδράζεσθαι μηδὲ στηρίζεσθαι ὑπὸ τῶν μυῶν. ἀστήρικτοι δὲ καὶ ἐναιωρούμενοι γίνονται οἱ ὀφθαλμοὶ ἢ διὰ τρομώδη διάθεσιν ἐν αὐτοῖς τοῖς μυσὶ τῶν ὀφθαλμῶν συνισ-

---

1) *ἔστι* Codd. 2) *ἡ* Codd. 3) Fort. *φερομένη.*

ταμένην, ἢ διὰ παραφροσύνην. ὀξέος οὖν ὑποκειμένου νοσήματος καὶ διακαοῦς πυρετοῦ εἴτε διὰ τρόμον γένωνται οἱ ὀφθαλμοὶ ἀστήρικτοι, εἴτε διὰ παραφροσύνην, παγχάλεπόν ἐστι καὶ τοῦτο σημεῖον. —

Ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι. —

Καὶ ἔγκοιλοι μὲν γίγνονται οἱ ὀφθαλμοὶ δι᾽ ἔνδειαν καὶ ἀτροφίαν καὶ ἄγαν ξηρότητα, ἐξίσχοντες δὲ τῷ λόγῳ τῆς ἀκρατείας τῶν μυῶν. διὰ τοῦτο προκύπτουσι καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον γίνεται τῷ λόγῳ τῆς νεκρώσεως, 1) τοῦ κακῶς διάκεισθαι τὸν ζωτικὸν τόνον.

Σκοπεῖν δὲ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται, ξυμβαλλομένων τῶν βλεφάρων, τοῦ λευκοῦ. —

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἐὰν ἐν τοῖς ὕπνοις μὴ συμβάλλωνται, μηδὲ ἀσφαλίζωνται τὰ βλέφαρα, ἀλλ᾽ ὑποφαίνηταί τι μέρος τοῦ ἐπιπεφυκότος, λευκὸν γὰρ τὸν ἐπιπεφυκότα ἐκάλεσε, κάκιστόν ἐστι καὶ τοῦτο σημεῖον ἐν ὀξεῖ νοσήματι γινόμενον· δηλοῖ γὰρ ἢ σπασμὸν ἢ παράλυσιν τῶν ἀνοιγόντων καὶ κλειόντων τὰ βλέφαρα. ἑκάτερον δὲ κάκιστόν ἐστιν. ἡ μὲν γὰρ παράλυσις ἀσθένειαν καὶ ἀκράτειαν δηλοῖ τῶν ψυχικῶν δυνάμεων, ὁ δὲ σπασμὸς ἄκραν 2) ξηρότητα, ὅστις καὶ ἀνίατός ἐστιν ἐν ὀξεῖ νοσήματι. καὶ ἐπὶ τῶν ἐν τοῖς βλεφάροις μυῶν ἐμνημονεύσαμεν· φέρε 3) εἴπωμεν καὶ περὶ αὐτῶν. ἰστέον ὅτι τρεῖς εἰσι μύες οἱ ἀνοίγοντες καὶ κλείοντες τὰ ἄνω βλέφαρα· τὰ γὰρ κάτω ἀκίνητά εἰσι. καὶ εἷς μὲν ἔστιν ὁ ἀνοίγων 4) μῦς, δύο δὲ οἱ ἀσφαλίζοντες τὸ βλέφαρον. καὶ ὁ μὲν ἀνοίγων μῦς κατὰ τοῦ μεσαιτάτου βλεφάρου τέτακται πανσόφως ὑπὸ τῆς φύσεως τοῦτο μηχανευσάμενος. τὰ γὰρ βαρέα τῶν σωμάτων κατὰ τοῦ μεσαιτάτου ἑλκόμενα, ἥκει ἑτοίμως καὶ ἀνέλκεται. οὕτως οὖν καὶ ὁ ἀνοίγων μῦς κατὰ τοῦ μέσου βλεφάρου τέτακται, ἵνα πρὸς ἑαυτὸν 5) ἐπισπώμενος ἀνοίγῃ καὶ ἕλκῃ αὐτὸ, οἱ δὲ

1) Fort. διά. 2) ξηρότητος Codd. f. ἄκρον. 3) εἴπομεν Codd. 4) μῦς om. L. M. 5) ἑσπόμενος M.

ἀσφαλίζοντες δύο μύες καθ᾽ ἑκάτερον μέρος τῶν βλεφάρων εἰσὶ τεταγμένοι, εἷς μὲν πρὸς τὸν μέγαν κανθὸν, καὶ ὁ εἷς πρὸς τὸν μικρόν. οὗτοι οὖν οἱ μύες. καὶ οὗτοι ὡς πρὸς ἑαυτοὺς καὶ ἐπὶ τὰ ἔσω ἕλκοντες τὰ βλέφαρα, κλείουσιν αὐτά. συμβαίνει οὖν τοτηνικαῦτα ὁ μὲν σπασμὸς ἐν τῷ ἄνω μυὶ, λέγω δὴ τὸν ἀνοίγοντα, συνίστασθαι· ἡ δὲ παράλυσις ἐν τοῖς κλείουσι. σπωμένου οὖν τοῦ ἄνω μυὸς τοῦ ἀνοίγοντος, ὡς πρὸς ἑαυτὸν ἐφέλκεται τὸ ἄνω βλέφαρον, καὶ ἐπιφαίνεται μέρος τοῦ ἐπιπεφυκότος· ὁ γὰρ σπασμὸς πρὸς τὴν οἰκείαν ἀρχὴν ἕλκει τὸ μόριον· ἀλλὰ καὶ ἐπὶ τῶν ἀσφαλιζόντων τοῦτο γίνεται τὸ ὑποφαίνεσθαί τι μέρος τοῦ ἐπιπεφυκότος, ἀλλὰ τούτων οὐ σπωμένων, ἀλλὰ παραλυομένων. ἡ γὰρ παράλυσις ἐπὶ τὸ ἐναντίον τοῦ κατὰ φύσιν ποιεῖται τὴν κίνησιν. παραλυομένων οὖν τῶν κλειόντων μυῶν, οὐ συμβάλλονται τὰ βλέφαρα, ἀλλ᾽ ἀνεωγότας αὐτοὺς ἔχουσι. καὶ πάλιν φαίνεται ὁ ἐπιπεφυκὼς, ὡς δοκεῖν κλεῖς ἀνοικτοὺς εἶναι τοὺς ὀφθαλμούς. καὶ ταῦτα μὲν ἐπὶ ἀνθρώπων. ἐπὶ δέ τινων ζώων οὐκ εἰσὶν οἱ ἀσφαλίζοντες μύες τὰ βλέφαρα, ἀλλὰ μόνον τοὺς ἀνοίγοντας ἔχουσιν, ὅθεν ἐν τῷ ὑπνοῦν τὰ τοιαῦτα τῶν ζώων ἐπὶ τὴν θαλάμην ἀντιστρέφειν 1) τοὺς βολβοὺς, καὶ αὐτὴν τὴν κόρην ἐντὸς εἶναι τῆς θαλάμης, ἵνα μὴ λυμαίνωνται ὑπὸ τῶν προσπιπτόντων. οὕτως ἐπὶ δορκάδων καὶ λαγωῶν καὶ ἐπί τινων ἰχθύων ἐστίν. εἶτα καὶ διὰ τοῦτο· εἷς μὲν ἔστι μῦς ὁ ἀνοίγων, ἐπειδὴ ὀλίγου καιροῦ 2) δέεται ἀναβαστάζειν τὸ βλέφαρον, καὶ παραυτίκα διαδέχονται αὐτὸν οἱ κλείοντες. δύο κλείοντες δὲ μύες γεγόνασιν· οἱ κλείοντες διὰ δύο αἰτίας, διά τε τὸ ταχέως ἀσφαλίζεσθαι τὰ βλέφαρα, 3) κλείουσιν αὐτά. συμβαίνει οὖν τοτηνικαῦτα ὁ μὲν σπασμὸς ἐν τῷ ἄνω μυὶ, λέγω δὴ τὸν ἀνοίγοντα, συνίστασθαι, ἡ δὲ παράλυσις ἐν τοῖς κλείουσι. σπωμένου οὖν τοῦ ἄνω μυὸς τοῦ ἀνοίγοντος, ὡς πρὸς ἑαυτὸν ἐφέλκεται τὸ ἄνω βλέφαρον, καὶ ἐπιφαίνεται μέρος τοῦ ἐπιπεφυκότος. ὁ γὰρ σπασμὸς, ἐπειδὴ ὁ ὀφθαλ-

---

1) Exciderit *εἰώθασι* sive *εἰκός*. 2) Ionicas aliquot formas Stephano oscitanti obtrusit Hippocrates. 3) *κλείουσιν — ὁ γὰρ σπασμὸς* om. A.

μὸς εὐπαθής ἐστιν, εὐπαθὴς καθέστηκεν, ἵνα ἑτοίμως ἀντιλαμβάνωνται τά τε χρώματα καὶ τῶν μικρῶν καὶ τῶν μεγάλων σωμάτων. ἐν γὰρ τῷ πάσχειν ἀναλαμβάνονται οἱ ὀφθαλμοί. διὰ οὖν τὴν εὐπάθειαν ἐδεήθη ἡ φύσις τὸ τάχος ἀσφαλιζόντων δύο μυῶν τοὺς πλείονας εἶναι, ἵνα τάχιστα ποιῶνται τὴν μύσιν καὶ ἐκφύγωσι τὴν βλάβην ἀπὸ τῶν 1) προσπιπτόντων, κάρφους λέγω καὶ κονιορτοῦ, ἢ σμηγμάτων τινῶν ἢ ζωυφίων καὶ τῶν τοιούτων, καὶ διὰ τὸ μόνιμον. κατά τινα γὰρ καιρὸν καὶ μονῆς δεῖται πρὸς τὸ εἶναι ἠσφαλισμένα τὰ βλέφαρα, καὶ ἀναγκαίως τοῦτο κατεσκευάσθη, ὥσπερ ἐν τοῖς ὕπνοις πᾶσα ἀνακωχὴ καὶ ἀνάπαυλα τῆς τε φύσεως καὶ τῶν ψυχικῶν δυνάμεων γίνεται, διὰ τὸ ἐν τῷ ἐγρηγορέναι κάμνειν αὐτὰ καὶ κοπιᾷν. καὶ ταῦτα μὲν οὕτως. εἶτα καὶ ἀποροῦσί τινες, ὅτι διὰ τί 2) μὴ ἐν τῷ ἐγρηγορέναι ἐμνημόνευσε τοῦ τοιούτου σημείου, ἀλλ᾽ ἐν τῷ καθεύδειν; καὶ λέγομεν ὅτι ἐν τῷ ἐγρηγορέναι οὐ διαφαίνεται τοῦτο τὸ σημεῖον, διὰ τὸ πλεῖστον φέρεσθαι εἰς τοὺς ὀφθαλμοὺς τὸ ὀπτικὸν πνεῦμα. εἰ δὲ καὶ ἴδωμεν ὅτι ὑποφαίνεται, ὑπόγυον δηλοῖ τὸν θάνατον, ὅπερ καὶ οἱ ἰδιῶται διαγινώσκουσι τοῦτο. καὶ ἡμᾶς οὖν ὁ Ἱπποκράτης οὐ περὶ ὄντος καὶ ἤδη ἐνισταμένου θανάτου βούλεται διδάξαι, ἀλλὰ περὶ μέλλοντος, ἵνα προγινώσκοντες πρὸ πολλοῦ χρόνου ἀνεγκλήτους καὶ ἑαυτοὺς καὶ τὴν τέχνην φυλάξωμεν. εἶτα καὶ προσδιορισμοῖς κέχρηται καὶ λέγει, ὅτι ἐὰν μὴ ἐκ διαῤῥοίας τινὸς ὑποφαίνηται ὁ ἐπιπεφυκώς, ἢ καὶ εἴθιστο οὕτως καθεύδειν· ἐὰν γὰρ διά τι τούτων ὑποφαίνηται ὁ ἐπιπεφυκὼς, οὐκ ἔστι τοῦτο κινδυνῶδες ἐπειδὴ ἀνακτώμεθα τὴν τοιαύτην διάθεσιν. ἔστι δ᾽ ὅτε ὑπὸ γαστροῤῥοίας φαίνεται τῇ κενώσει ξηρανθέντα τὰ βλέφαρα καὶ οὐ συμβάλλονται. καὶ τοῦτο ἀνακτώμεθα· πολλάκις δὲ εἴθιστο οὕτως καθεύδειν ὁ ἄνθρωπος καὶ πολλοί εἰσιν οὕτως ἐν τῷ κατὰ φύσιν ἐξ ἔθους κοιμώμενοι ἀνεωγότας ἔχοντες τοὺς ὀφθαλμοὺς, οὕστινας οἱ ἰδιῶται λέγουσι τὸ 3) λαγωδάτον κοιμᾶσθαι. ἐὰν οὖν μὴ διὰ ταύτας τὰς αἰτίας φαίνηταί τι τοῦ ἐπιπεφυκότος ἐν τῷ καθεύδειν, θα-

1) προσπικάρφου Codd. 2) μὲν M. 3) In morem leporum.

νατῶδές ἐστι τὸ σημεῖον, εἶτα ἐπιβεβαιῶν τὴν τοιαύτην σημείωσιν τοῦ ὀλέθρου καὶ ἕτερα σημεῖα παραδίδωσιν ἡμῖν λέγων οὕτως.

Ἢν μὲν ῥικνὸν καὶ καμπύλον γένηται ἢ πέλιον βλέφαρον ἢ χεῖλος ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείων. —

Καὶ τὸ μὲν ῥικνόν ἐστιν ἔνδεια καὶ ἀτροφία μετὰ 1) *ῥυτίδος τουτέστι τὸ ἐῤῥυτιδωμένον μετὰ ἄκρας ξηρότητος. ἔστι γὰρ καὶ μετὰ ὑγρότητος* 2) *ἐῤῥυτίδωσις. ἐνταῦθα οὖν τὸ μετὰ ξηρότητος ἐῤῥυτιδωμένον ἐκάλεσε ῥικνόν. —*

Ἢ καμπύλον. —

Καμπύλον λέγει τὸ ἑτερόῤῥοπον. καὶ τοῦτο ὑπὸ ξηρότητος γίνεται ὡς ἐπίπαν. τὴν γὰρ διαστροφὴν λέγει τὸ καμπύλον, τυχὸν ἐὰν διαστραφῇ ἓν τούτων, ἢ ῥὶς τυχὸν ἢ χεῖλος ἢ βλέφαρα. διαστρέφονται δὲ εἴτε ἐπὶ σπασμῷ, τοῦ σπασμοῦ ἐπὶ ξηρότητι γινομένου, εἴτε διὰ παράλυσιν, ἥτις ἐπὶ ἄκρᾳ ψύξει γίνεται, καθ' ἣν καὶ τὸ πέλιον γίνεται χρῶμα. ἐπὶ γὰρ ἄκρᾳ ψύξει καὶ τοῦτο γίνεται. ἐὰν οὖν καὶ ταῦτα γίνωνται τὰ σημεῖα μετὰ τῶν ἤδη προειρημένων συνερχόμενα, 3) *ὑπόγυον δηλοῦσι τὸν θάνατον. εἰ δὲ μόνα ταῦτα γένωνται, κακὰ μέν εἰσι, πλὴν οὐχ οὕτως κινδυνώδη.*

Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερόν.—

Ἐνταῦθα σημειοῦται τὴν κατὰ φύσιν ἀνάκλισιν καὶ λέγει τρία σημεῖα, ἤγουν τρία σχήματα τῆς κατὰ φύσιν κλίσεως. φησὶ γὰρ ὅτι σχῆμα κατακλίσεώς ἐστι τὸ ἐπὶ τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν πλευρὸν κατακεκλίσθαι. δεύτερον σχῆμά ἐστιν, ὅτι δὴ 4) *ἐπικεκαμμένα ἔχειν ὀλίγον τὰ σκέλη καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον, ὅθεν καὶ τὸ ἐγγώνιον σχῆμα τῆς χειρὸς ἀποδεχόμεθα περὶ τὸ ἄγαν* 5) *ἐκτεταμένον καὶ συγκεκαμμένον, ἐπειδὴ ἐν τῷ ἐγγωνίῳ σχήματι* 6) *τῆς χειρὸς ἐν ἀνέσει τυγχάνουσιν οἱ μύες. λέγει καὶ τρίτον σχῆμα κατὰ φύσιν, ὅτι δεῖ ἀντιπροσώπως ἀνακεκλίσθαι καθ' ἣν ποι-*

---

1) *ἐῤῥυτίδος* M. *ἐῤῥύτιδος* A. 2) Fort. *ῥυτίδωσις*. 3) *ὑπόγγυον* M. 4) *ἐπικεκαυμένα* Codd. 5) *τεταμένον* M. 6) *τῆς χειρὸς* om. A.

εἶται τὰς εἰσόδους ὁ ἰατρός. τί γὰρ ὅτι δύναται καὶ πρὸς τὰ ἐρωτώμενα ὑπὸ τοῦ ἰατροῦ πρὸς ἔπος ἀποκρίνασθαι, καὶ δεόντως ἀπολογεῖσθαι, ἐφ' οἷς καὶ τὴν αἰτίαν τῶν τοιούτων κατακλίσεων, ὅτι κατὰ φύσιν εἰσὶ, λέγει ὁ Ἱπποκράτης 1) τῷ ἐπιλογισμῷ χρώμενος ἐκ τοῦ φαινομένου, φησίν· οὕτως γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται.

Ἄρισται δέ εἰσι τῶν κατακλίσεων αἱ ὅμοιαι ταῖς τῶν ὑγιαινόντων. —

Ὁ δὲ Γαληνὸς τῷ λογισμῷ κεχρημένος καὶ ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων ὁρμώμενος λέγει, ὅτι ταῦτα τὰ σχήματα τῆς κατακλίσεως κατὰ φύσιν εἰσὶ καί φησιν, ὅτι τὸ ἀντιπροσώπως τῷ ἰατρῷ κατακεκλίσθαι τὸν κάμνοντα, καθ' ἣν ποιεῖται τὰς εἰσόδους, καὶ ἐκεῖσε ἀποβλέπειν καὶ ἀναμένειν τὴν παρουσίαν τοῦ ἰατροῦ, ἀγαθόν ἐστιν, ἐπειδὴ δηλοῖ ὅτι καλῶς διάκειται τὸν λογισμὸν, καὶ ἀγαθόν ἐστιν ὡς δηλοῖ τὸ τοῦ Ἱπποκράτους ἐν 2) ἀφορισμοῖς εἰρημένον· ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰ πρόσφορα ἀγαθόν, τὸ δὲ ἐναντίον κακόν. ἀλλὰ καὶ τὸ ἐπικεκαμμένας ἔχειν ἐπ' ὀλίγον τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλη κατὰ φύσιν ἐστὶν, ἐπειδὴ δηλοῖ ἐῤῥωμένην καὶ ἰσχυρὰν τὴν συνέχουσαν καὶ στηρίζουσαν καὶ συνδεσμοῦσαν τὴν συνεκτικὴν δύναμιν τοῦ ὅλου σώματος. τὸ δὲ τοιοῦτον σχῆμα, καὶ μεταξύ ἐστι τῶν ὑπερβολικῶν σχημάτων καὶ δηλοῖ ἐν ἀνέσει τυγχάνοντας τοὺς μύας καὶ τὰ νεῦρα. ὑπερβολικὰ δὲ σχήματά εἰσι, τὸ ἄγαν ἐκτεταμμένας ἔχειν τὰς χεῖρας καὶ τὰ σκέλη. ὑπερβολικὸν σχῆμά ἐστι καὶ κακόν. δηλοῖ γὰρ τάσιν τῶν νεύρων καὶ μυῶν, ὅθεν καὶ ὑγρὸν 3) ἐκάλεσε τὸ μεταξὺ σχῆμα· ἔφη γὰρ καὶ τὸ σύμπαν σῶμα ὑγρὸν ἔχοντα κείμενον. ὑγρὸν δὲ ἐκάλεσε τὸ σχῆμα τοῦτο, διὰ τὸ ὥσπερ τὰ ὑγρὰ οὐκ ἐκτείνονται καθάπερ τὸ ὕδωρ, οὕτως καὶ τὸ ἐπ' ὀλίγον ἐπικεκαμμένον σχῆμα οὐκ ἔχειν ἐκτεταμμένα τὰ νεῦρα ἢ τοὺς μύας, ἀλλ' ἐν ἀνέσει τυγχάνοντας. οὕτως σημειωσάμενος τὴν κατὰ φύσιν

1) τῶν ἐπιλογισμῶν Codd. 2) ἐν δευτέρῳ τῶν ἀφορ. in mg.
3) ἐκάλεσας A.

κατάκλισιν τρέπεται καὶ ἐπὶ τὴν σημείωσιν τῆς παρὰ φύσιν κατακλίσεως, καὶ λέγει ἑπτὰ σχήματα. καὶ πρῶτον σχῆμα λέγει τοιοῦτον, ὅτι ἐὰν ὕπτιος κεῖται ὁ ἄῤῥωστος ἐκτεταμένας 1) ἔχων τὰς χεῖρας καὶ τὰ σκέλη, κακόν ἐστι. δηλοῖ γὰρ ἀκράτειαν καὶ ἀσθένειαν τῆς στηριζούσης καὶ κρατυνούσης τὸ σῶμα συνεκτικῆς δυνάμεως καὶ βλάβην τοῦ λογισμοῦ, εἰ μήτι ὅτι διὰ κακότητα ἢ τύφον ἢ ὑπερηφάνειαν τυραννικῶς φερόμενος καὶ μηδ᾽ ὅλως προσποιούμενος τὴν παρουσίαν τοῦ ἰατροῦ. δεύτερον δὲ τὸ προπετῶς καταῤῥεῖν ἀπὸ τῆς κλίνης τὸν ἄῤῥωστον ἐπὶ πόδας· κακόν ἐστι καὶ τοῦτο σημεῖον. δηλοῖ γὰρ καὶ ἐνταῦθα ἀκράτειαν καὶ ἀσθένειαν τῆς κρατυνούσης καὶ στηριζούσης τὸ σῶμα συνεκτικῆς δυνάμεως, καὶ ὑπ᾽ αὐτῆς μηδόλως κατέχεσθαι, ἀλλὰ τῷ οἰκείῳ βάρει τῷ φυσικῷ ἐπὶ πόδας καταῤῥεῖν, ὅπερ μέγιστον κακὸν σημεῖόν ἐστι. τρίτον σχῆμα τῆς παρὰ φύσιν κατακλίσεώς ἐστι, τὸ απογυμνοῦν τοὺς πόδας καὶ ἀσκεπάστους ἔχειν καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον, καὶ περιεῤῥιμμένους καὶ ἐκλελυμένους καὶ περιφερομένους τῇδε κἀκεῖσε. καὶ τοῦτο κακόν ἐστι τὸ σημεῖον ἐν ὀξεῖ νοσήματι· δηλοῖ γὰρ ἀλυσμὸν τουτέστι δυσφορίαν ἄκραν ἐν τῷ 2) στομάχῳ, καὶ δακνομένου τοῦ στομάχου καὶ ἀνιωμένου ὑπὸ τῆς κακοχυμίας οὕτως κατακέκλιται, εἰ μήτι ὅτι διὰ βλακείαν τινὰ ἢ δι᾽ ὀξὺν καὶ διακαῆ πυρετὸν ταῦτα ποιεῖ· τότε γὰρ δήλη ἐστὶν ἡ αἰτία καθ᾽ ἣν τοῦτο ποιεῖ τοῦ καταψυχθῆναι καὶ παραμυθίαν καὶ παρηγορίαν ἀναλαβεῖν, διὰ τὴν ζέσιν τοῦ πυρετοῦ. καὶ τοῦτο οὐκ ἔστι τοιοῦτον κακόν. εἰ δὲ μήτε διὰ τὸν πυρετὸν γυμνοῖ τοὺς πόδας, μήτε μὴν διὰ βλακότητα καὶ ἦθος τοιοῦτον, τότε κάκιστόν ἐστι καὶ τοῦτο σημεῖον. δηλοῖ γὰρ ἢ παραφροσύνην ἢ μεγίστην δυσκρασίαν ἐν τῷ στομάχῳ. τέταρτον σχῆμα 3) τῆς παρὰ φύσιν κατακλίσεως τὸ κεχηνότας καθεύδειν, ὅπερ δηλοῖ ἢ παράλυσιν τῶν κλειόντων μυῶν τὸ στόμα ἢ σπασμὸν τῶν ἀνοιγόντων, ὥσπερ καὶ ἐπὶ τῶν βλεφάρων ἐλέγομεν. ἀλλ᾽ ἐπὶ τοῦ ὀφθαλμοῦ ἧττον ἦν κακὸν, ἐπειδὴ ἐν τοῖς

---

1) ἔχειν Codd. 2) Sic Gal. 1 de mot. musc. cap. ult. Mercurialis in mg. 3) σημεῖον add. M. glossam.

ὕπνοις αὐτὸ περιελάβομεν. ἐνταῦθα δὲ ἐν τῷ ἐγρηγορέναι αὐτὸ παραλαμβάνομεν· τὸ γὰρ καθεύδειν ἐνταῦθα τὸ ἀνακεκλίσθαι λέγει, οὐ τὸ ὑπνοῦν, ὅπερ κακόν ἐστι σημεῖον καὶ τοῦτο ἐν ὀξεῖ νοσήματι, εἴτε διὰ σπασμὸν γένηται, εἴτε διὰ παράλυσιν εἴτε διὰ τὰ συναμφότερα. πέμπτον δὲ, ἐὰν ὕπτιος ἀνακέκλιται καὶ 1) κεκαμμένα ἔχει τὰ γόνατα καὶ ἀπεῤῥιμμένα 2) ἀπ᾽ ἀλλήλων ἤγουν συμπεπλεγμένα καὶ ἄγαν συγκεκαμμένα τουτέστι τοὺς μηροὺς καὶ τὰ γόνατα ἐναλλὰξ παραπεπλεγμένα ἔχει, καὶ ἐπὶ γαστέρα συγκεκαμμένα, κακόν ἐστι καὶ τοῦτο σημεῖον, διὰ τὸ μὴ πάντη οὕτως εἰθίσθαι ἀνακεκλίσθαι τοὺς ἀνθρώπους ἐν τῷ ὑγιαίνειν. δηλοῖ γὰρ ἢ παραφροσύνην ἢ μεγίστην ὀδύνην τῶν περὶ τὴν γαστέρα χωρίων, φυσικῶς τοῦτο ποιοῦντες. συγκάμπτοντες γὰρ ἐπὶ τὴν γαστέρα τοὺς μηροὺς ται τὰ γόνατα τῇ προσψαύσει τοῦ ὁμοίου σώματος παρηγοροῦνται. οὕτως γὰρ καὶ ἡμεῖς ποιοῦμεν στροφούμενοι ἢ ὀδυνώμενοι πρός τι μόριον τὰς χεῖρας ἐπιτιθέμενοι, καὶ προσψαύοντες παρηγορούμεθα τῷ ὀδυνωμένῳ μορίῳ. ἕκτον δὲ τὸ ἐπὶ γαστέρα κεῖσθαι ἐν τῇ κλίνῃ. δηλοῖ γὰρ μεγάλην διάθεσιν τῶν περὶ τὴν γαστέρα χωρίων, ἐὰν μὴ οὕτως εἴθιστο κοιμᾶσθαι, καὶ μάλιστα εἰς τὰς πέψεις, δι᾽ ἃς * συνεργεῖσθαι πρὸς τὴν πέψιν. εἰ δὲ μὴ ὦσιν εἰθισμένοι οὕτως καθεύδειν, κάκιστόν ἐστι. δηλοῖ γὰρ οὐ μόνον μεγίστην ὀδύνην τῶν περὶ τὴν γαστέρα χωρίων, ἀλλὰ καὶ παραφροσύνην. ἕβδομον δὲ ἔστι, τὸ ἄφνω ἀνακαθέζεσθαι καὶ ἐξανίστασθαι καὶ ζητεῖν ἀπὸ τόπου ἐπὶ τόπον μετελθεῖν. κάκιστον σημεῖον ἐν ὀξεῖ πυρετῷ, καὶ μάλιστα ἐπὶ τῶν περιπνευμονικῶν. ἡ γὰρ περιπνευμονία φλεγμονή ἐστι τοῦ πνεύμονος· 3) ἐν οὖν τῇ τοιαύτῃ φλεγμονῇ δηλονότι καὶ πυρετὸς διακαὴς σύνεστιν. 4) [ἐν οὖν τῇ τοιαύτῃ κατακλίσει δηλονότι καὶ πυρετὸς διακαὴς σύνεστιν]. ἐν οὖν τῇ κατακλίσει οὐκ ἀντεισάγεται ὁ ἀρκῶν ἀὴρ καὶ πνεῦμα πρὸς τὸ ἐμψύξαι, ἐπειδὴ συμπίπτει ὁ θώραξ ὡς ἐπὶ τὴν ῥάχιν καὶ ἀποστενοῦται· καὶ ἐκβιαζόμενοι ἀνακαθέζονται, ἵνα τῇ εὐρυχωρίᾳ καὶ τῷ τοιούτῳ

---

1) καυμένα M. 2) ἀπ᾽ — συμπ. om. M. 3) ἐὰν M. 4) Om. M. A.

σχήματι δαψιλέστερον πνεῦμα 1) εἰσπνέωσιν, καὶ παραμυθοῦνται. ἐὰν οὖν ἐν ὀξεῖ νοσήματι αἰφνίδιον ἀνακαθέζωνται καὶ ἐξανίστανται, καὶ μάλιστα ἐν τῇ ἀκμῇ, ὅτε ὤφειλεν ἐν ἀνέσει τυγχάνειν· ἐν γὰρ τῇ ἀκμῇ ἀναπαύεται ἡ φύσις καὶ αἱ δυνάμεις, ἐπειδὴ 2) κάμνουσιν ἐν τῇ ἀρχῇ καὶ ἐν τῇ ἀναβάσει· ἐν τῇ ἀκμῇ ἐν ἀνέσει ὀφείλουσαι τυγχάνειν, ἐὰν ἐξανίστανται ἀθρόως, κάκιστόν ἐστι καὶ τοῦτο τὸ σημεῖον. δηλοῖ γὰρ μεγίστην 3) φλεγμονὴν καὶ ζέσιν καὶ σηπεδόνα ἐν τοῖς ἀναπνευστικοῖς μορίοις συνισταμένην. πρὸς τούτοις δὲ καὶ ἕτερον σημεῖον προστίθησι λέγων, ὅτι κάκιστόν ἐστι σημεῖον ἐν ὀξεῖ νοσήματι, τὸ τρίζειν τοὺς ὀδόντας. δηλοῖ γὰρ σπασμώδη διάθεσιν τῶν κροταφίτων καὶ σιαγονίτων μυῶν, καὶ παραφροσύνην 4) μεγίστην ἐν ὀξεῖ νοσήματι, χωρὶς εἰ μὴ εἴθιστο ἐκ παιδόθεν τρίζειν τοὺς ὀδόντας. πολλοὶ γὰρ οὕτως εἰσὶν εἰθισμένοι τρίζειν τοὺς ὀδόντας, διὰ φυσικὴν ἀσθένειαν οὕτως κατασκευασθέντων τῶν σιαγονίτων μυῶν. καὶ λοιπὸν διὰ τὴν ἀκράτειαν τρίζουσι τοὺς ὀδόντας, ὥσπερ οὖν καὶ τοὺς ὀφθαλμοὺς ὁρῶμεν τρομωδῶς καὶ ἀτάκτως τῇδε κἀκεῖσε περιφερομένους ἐπί τινων ἐξ ἀρχῆς τοῦτο πάσχοντας, ὅπερ καὶ τοῦτο διὰ φυσικὴν ἀσθένειαν τῶν στηριζόντων μυῶν οὕτως κατασκευασθέντων γίνεται. εἶτα 5) καὶ παρακατιὼν λέγει, ὅτι ἀλλὰ προλέγειν ἐπ᾽ ἀμφοῖν τὸν κίνδυνον. ποῖον λέγει, 6) ὅτι δεῖ προλέγειν ἐπ᾽ ἀμφοτέρων τὸν κίνδυνον. ἰδοὺ γὰρ εἴρηκεν ὅτι θανατῶδες, ὡς ἂν τοῦ κινδύνου πλέον θανατωδεστάτου ὄντος. καὶ λέγομεν ὅτι δυνατόν ἐστι καὶ πρὸς τὰ ἄνω αὐτὸν ἐξηγήσασθαι, καὶ πρὸς τὰ κάτω. καὶ πρὸς μὲν τὰ ἄνω οὕτως, ὅτι ἀμφοῖν ἔφη, ὅτι ἐὰν τρίζῃ τοὺς ὀδόντας καὶ ἀπειλᾷ καὶ μελετᾶται 7) μανία, ἐπὶ ἀμφοτέρων δεῖ προλέγειν τὸν κίνδυνον· τὸ γὰρ τοῦ θανάτου παρεκτείνεται καὶ ἐπὶ τοῦ κινδύνου. καὶ ἵνα μὴ ταυτολογήσῃ ἐν βραχεῖ χωρίῳ, διὰ τὸ θανατῶδες εἰπὼν ἐπήγαγε τὸν κίνδυνον, καὶ ἐπὶ ἀμφοτέρων παρεκτείνεται τὸ θανατῶδες. πρὸς δὲ τὰ

1) ἐκπνέωσιν L. 2) κάμνωσιν L. A. 3) φλόγωσιν M. A. 4) μεγίστην om. M. A. 5) καὶ om. M. 6) ὅτι — κίνδυνον om. L. 7) γενέσθαι add. M.

κάτω οὕτως δεῖ συνάψαι· ἐπειδὴ γὰρ παρακατιὼν λέγει· ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίνεται 1) τουτέστι τὸ τρίζειν τοὺς ὀδόντας. καὶ ἴσως ἐρεῖ τις, ὅτι τί δήποτε καὶ ἄνω μανίαν εἶπε, καὶ πάλιν ἐνταῦθα, παραφρονέων τοῦτο ποιέει, ὡς ἂν τῆς μανίας οὐκ οὔσης παραφορᾶς; καίτοι ἐπιτεταμένη παραφορά ἐστιν ἡ 2) μανία. ταυτολογεῖ οὖν καὶ ἔλεγεν 3) ὅτι οὐ ταυτολογεῖ. ἀνωτέρω μὲν γὰρ μελετωμένην 4) ὑπέθετο τὴν μανίαν, οὔπω δὲ γενομένην. καὶ λέγομεν ὅτι ἐὰν τρίζῃ τοὺς ὀδόντας καὶ μανία μελετᾶται γενέσθαι, ἐπ' ἀμφοτέρων δεῖ προλέγειν τὸν κίνδυνον. ἐνταῦθα οὖν λέγει, ὅτι ἐὰν τρίζῃ τοὺς ὀδόντας, καὶ παραφρονῇ, κάρτα ἤδη γίνεται τουτέστιν ὅτι πλησίον ἐστὶν ὁ θάνατος.

Κεκλιμένον δὲ τὸν νοσέοντα καὶ τὰ ἑξῆς. —

Τινὲς λέγουσι νομοθετεῖν ἐνταῦθα τὸν Ἱπποκράτην τὸ ἀμηνυτὶ καὶ ἀπροόπτως καὶ ἀπὸ ταὐτομάτου εἰσιέναι τὸν ἰατρὸν εἰς τοὺς κάμνοντας, ὥστε μὴ γινώσκοντας ποιεῖσθαι τὰς ἐπισκέψεις, ὡς δηλοῖ τὸ εἰπεῖν αὐτὸν, κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ὅτι τυχὸν 5) ἀμηνυτὶ καὶ μὴ γινώσκοντος τοῦ ἀῤῥώστου δεῖ ποιεῖσθαι τὴν ἐπίσκεψιν, καὶ οἷον καταλαμβάνειν αὐτὸν μὴ 6) γινώσκοντα, μήτε μεταχειρισάμενον αὐτόν. οὕτως γὰρ ἀμηνυτὶ εἰσερχομένου τοῦ ἰατροῦ, μεγάλην τιμὴν καὶ δόξαν 7) ἑαυτῷ καὶ τῇ τέχνῃ χαρίζεται. κακῶς δὲ λέγουσιν οὗτοι· τοὐναντίον γάρ· ὁ γὰρ Ἱπποκράτης οὐ παρακελεύεται τὸν ἰατρὸν ἵνα ἀμηνυτὶ ποιῆται τὴν ἐπίσκεψιν. τί γὰρ ὅτι πολλάκις πράγματά τινα μυστηριώδη ἔχουσι καὶ διαπράττονται καὶ οὐ θέλουσιν 8) [ἵνα γνῷ ὁ ἰατρὸς, καὶ τί λέγω ὁ ἰατρὸς, ἀλλ' οὐδὲ ἀναγκαῖον αὐτοῦ συγγενῆ ἢ φίλον θέλειν] ἵνα γνῶσι τὰ μυστήρια ἅπερ διαπράττεται ὁ νοσῶν. ἀμηνυτὶ γὰρ εἰσερχομένου τοῦ ἰατροῦ, ὡς οὗτοι ὑπέθεντο, ἀτιμίαν προσάγομεν καὶ τῇ τέχνῃ καὶ ἑαυτοῖς, καὶ φορτικοὶ γινόμεθα

---

1) τουτ. — ὀδόντας om. M. 2) παραφροσύνη L. 3) ὅτι om. L. A. 4) ὑπέσχετο M. A. 5) ἀμυνητὶ M. 6) γινώσκοντος M. 7) ἑαυτὸν κ. τὴν τέχνην L. 8) Uncinis inclusa verba om. M. A.

τοῖς ἀῤῥώστοις καὶ μισούμεθα ὑπ' αὐτῶν. ἀλλὰ τοὐναντίον δεῖ ποιεῖν, λέγει ὁ Ἱπποκράτης, ὅτι μετὰ εἰδήσεως καὶ γνώσεως τοῦ ἀῤῥώστου εἰσιέναι. Δεῖ τὸν ἰατρὸν καὶ ποιῆσαι τὴν ἐπίσκεψιν, ἐπειδὴ οὕτως ποιούντων ἡμῶν καὶ εἰσιόντων, μεγάλην τιμὴν καὶ ἑαυτοῖς καὶ τῇ τέχνῃ προσάγομεν, ὅτι προευτρεπίζεται δεόντως ὁ νοσῶν καὶ ἐκδέχεται μετὰ μεγάλης τιμῆς τὴν παρουσίαν τοῦ ἰατροῦ, 1) ὅπερ ὡς εἴρηται μεγάλην τιμὴν προσάγομεν τῇ τέχνῃ, τὸ μετὰ εἰδήσεως καὶ γνώσεως τῶν καμνόντων εἰσιέναι τὸν ἰατρὸν καὶ ποιεῖσθαι τὴν ἐπίσκεψιν. ἀλλὰ καὶ σημεῖον ἡμῖν καθίσταται τὸ πῶς διάκειται ὁ κάμνων περὶ τὴν ἔννοιαν καὶ τὸν λογισμόν. ἐὰν γὰρ μετὰ εἰδήσεως αὐτοῦ ποιήσηται ὁ ἰατρὸς τὴν ἐπίσκεψιν, σχηματίζει ἑαυτὸν δεόντως καὶ κατὰ φύσιν, ὅπερ σημεῖόν ἐστι τοῦ καλῶς ἐνεργεῖν τὸν λογισμόν. τὸ δὲ καταλαμβάνεσθαι ἀντὶ τοῦ εὑρίσκεσθαι 2) ἐν τῷ κατὰ φύσιν σχήματι τὸν κάμνοντα ὑπὸ τοῦ ἰατροῦ, ἔφη ὁ Ἱπποκράτης. διὰ τί δὲ ἔφη ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, καὶ μόνου τοῦ ἑνὸς πλευροῦ οὐκ ἐμνημόνευσεν, ἀλλὰ τῶν δύο; καὶ λέγομεν τούτου δύο αἰτίας. πρῶτον μὲν τοιαύτην, 3) ἐπειδὴ κοπιῶδές ἐστι καὶ μοχθηρὸν τὸ ἐπὶ ἓν πλευρὸν ἀείσε 4) καὶ ἐπιμόνως κατακεκλίσθαι 5) οὐ μόνον ἐπὶ τῶν νοσούντων, ἀλλὰ καὶ ἐπὶ τῶν ὑγιαινόντων, ἀλλά ποτε μὲν ἐπὶ τὸ δεξιὸν, 6) ποτὲ δὲ ἐπὶ τὸ ἀριστερὸν ἀνακεκλίσθαι, ἄλλοτε ὕπτιοι· καὶ διὰ τοῦτο τῶν δύο σχημάτων ἐμνημόνευσε, λέγω δὴ τῶν δύο πλευρῶν. αὕτη πρώτη αἰτία. δευτέρα δὲ αἰτία ἐστὶν ὅτι οὐ πάντες ἐπὶ τῷ δεξιῷ πλευρῷ ἀείσε ἀνακεκλιμένοι οἱ κάμνοντες εὐαρμόστως ἔχουσιν, ὥστε ἀντιπροσώπως κεῖσθαι ἐν ᾧ τὴν ἐπίσκεψιν ποιεῖται ὁ ἰατρὸς, ἀλλά ποτε μὲν ἐπὶ τὸ δεξιὸν κείμενοι πλευρὸν ἀντιπροσώπως εὑρίσκονται τοῦ ἰατροῦ, ποτὲ δὲ ἐπὶ τὸ ἀριστερὸν, ἄλλοτε 7) δὲ ὕπτιοι. πολλάκις 8) οὖν ἀπέστραπται καὶ γινώσκων ὅτι ἐμήνυσεν ὁ ἰατρὸς, σχηματίζει ἑαυτὸν ἀντιπροσώπως ὥστε δεόντως τὰς ἐντεύ-

---

1) Fort. *ᾧπερ — τῷ.* 2) *ἂν* Codd. 3) *ὅτε* add. M. 4) *καὶ ἐπιμόνως* om. L. 5) *οὐ — ὑγιαινόντων* om. L. 6) *ἀνακεκλίσθαι* add. M. A. secundum omiserunt. 7) *δὲ* om. L. A. 8) *δὲ* M.

ξεις καὶ 1) ἀποκρίσεις ποιήσασθαι ὡς πρὸς τὰ ἐπερωτώμενα ὑπὸ τοῦ ἰατροῦ. καὶ διὰ τοῦτο τῶν δύο ἐμνημόνευσε πλευρῶν.

Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων 2) ἤν τε καὶ ἐν τῇ νούσῳ γίνηται, καταμανθάνειν χρή. ἢν γὰρ μέλλῃ ἀπολεῖσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου ἢ πελιδνὸν καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν. —

Φησὶν ὅτι δεῖ σκοπεῖν, ἐὰν ἕλκος προγεγονὸς εἶχεν ὁ ἄῤῥωστος, ἢ ἐν αὐτῇ τῇ νόσῳ οὐ πρὸ πολλοῦ γέγονε. καὶ εἰ μὲν ἄνικμον πάντη ἐστὶ καὶ κατάξηρον τὸ ἕλκος, γίνωσκε 3) ὅσον οὔπω θνήσκει ὁ ἄνθρωπος. καὶ λέγουσί τινες, τί φής, ὦ Ἱππόκρατες, οὐκ αὐτὸς εἶπας ἕλκεα ξύμπαντα οὐ δεῖ ἐπιτέγγειν πλὴν οἴνου, τουτέστιν ὅτι δεῖ ξηρότερα εἶναι τὰ ἕλκη ὥστε ἀπουλωθῆναι αὐτά; πῶς οὖν ἐνταῦθα διαβάλλεις λέγων, ὅτι ἐὰν ἄνικμα καὶ ξηρά εἰσι τὰ ἕλκη, ἐγγὺς ὁ θάνατος; καὶ λέγομεν ὅτι ἐκεῖσε ξηρὰ ἔλεγεν, ἵνα ἄνευ περιττωματικῆς τινος ὑγρότητος καὶ ἐπιῤῥοῆς ἔσονται, ἐπειδὴ ἡ πλαδαρὰ σὰρξ ἑτοιμόφθαρτός ἐστι, καὶ οὐκ ἄγονται εἰς οὐλὴν τὰ ἕλκη. ἐπείτοι γε οὐ πάντη λέγει ἄνικμα εἶναι τὰ ἕλκη. ἐπεὶ πῶς ἔχουσι σαρκωθῆναι καὶ ἀπουλωθῆναι; ἀλλὰ δεῖ χρηστὴν ὑγρότητα ἔχειν τὰ ἕλκη. ἐνταῦθα δὲ τὰ 4) ἄνικμα πάνυ καὶ κατάξηρα διαβάλλει ἅτινα δηλοῦσι μεγίστην καταβολὴν καὶ ἀσθένειαν τῶν φυσικῶν δυνάμεων καὶ μεγάλην ἔνδειαν καὶ ἀτροφίαν, ὅπερ χαλεπόν ἐστιν ἐν ὀξεῖ νοσήματι καὶ θανατῶδες. ἀλλὰ δεῖ, φησὶ, καὶ τὸ χρῶμα τοῦ ἕλκους σκοπεῖν. δυνατὸν γὰρ ἐκ τοῦ χρώματος τοῦ ἐν τῷ ἕλκει διαγνῶναι τὸν πλεονάζοντα χυμὸν, ἐν ᾧ ὁ κίνδυνος ἐπακολουθεῖ. εἰ μὲν γὰρ χολή ἐστιν ἡ πλεονάζουσα, ὠχρὸν γίνεται τὸ ἕλκος, τουτέστιν ἰῶδες. τὸ δὲ πελιδνὸν καὶ μέλαν χρῶμα νεκρώσεώς εἰσι δηλωτικά. καὶ λέγουσί τινες, ὅτι τί δήποτε ἀπὸ τοῦ ἐν ὅλῳ τῷ σώματι χρώματος οὐκ ἐσημειώσατο, ἀλλ᾽ ἀπὸ τοῦ ἐν τῷ ἕλκει; καὶ λέγομεν τούτου δύο αἰτίας, μίαν μὲν τοιαύτην, ὅτι αἱ

1) ἀνταποκρίσεις M. ποιήσεται M. 2) ἤν — ξηρόν om. M. A. 3) ὅτι add. M. 4) ἄγαν add. M. et πάνυ om.

σάρκες ἐρυθραί εἰσιν, ἐπὶ δὲ τοῦ ἕλκους γυμναὶ οὖσαι, ἑτοίμως διαφαίνεται τὸ χρῶμα· δευτέρα δὲ αἰτία, ὅτι ἔνθα τὸ ἕλκος ἐστὶ, πάντως ἀσθενέστερόν ἐστιν ἐκεῖνο τὸ μόριον. ἐν οὖν τῷ ἀσθενεστέρῳ μορίῳ μᾶλλον γίνεται ἐπιῤῥοὴ τοῦ πλεονάζοντος χυμοῦ καὶ ἐντεῦθεν ἐν τῷ ἕλκει σαφῶς διαφαίνεται κατὰ τὸ χρῶμα, ὅπερ θανατῶδές ἐστι σημεῖον καὶ διὰ τοῦτο 1) ἀπὸ τούτου ἀπὸ τοῦ ἐν τῷ ἕλκει χρώματος τὴν σημείωσιν ἐποιήσατο.

Δεύτερον κεφάλαιον ἐν ᾧ περὶ χειρῶν φορᾶς καὶ κινήσεως διαλέγεται, καί φησιν, ὅτι ἐὰν τὰς χεῖρας περιφέρωσιν ὡς ἐπὶ τὸν ἀέρα ἢ καὶ παρὰ τὸ πρόσωπον, καὶ δοκοῦσι ζωύφιά τινα θηρᾶν ἢ καρφολογεῖν ἢ κροκύδας ἀνασπᾶν ἀπὸ τῶν ἱματίων ἢ ἄχυρα ἐκ τοῦ τοίχου δοκοῦσιν ἀφαιρεῖν, κάκιστόν ἐστιν ἐν ὀξεῖ πυρετῷ καὶ ἐν περιπνευμονίᾳ καὶ ἐν φρενίτιδι καὶ ἐν κεφαλαλγίᾳ. δηλοῖ γὰρ τὴν ὁρατικὴν αἴσθησιν ἀπατωμένην περὶ αἰσθητά τινα 2) νομιζόμενα εἶναι, οὐκ ὄντα δέ. τὴν δὲ αἰτίαν καθ' ἣν ἀπατᾶται ἡ ὁρατικὴ δύναμις εἰς τὰ τοιαῦτα φαντάσματα, λέγει ὁ Γαληνὸς, ὅτι ἡ ἀπάτη γίνεται διὰ δύο αἰτίας· ἢ γὰρ κατὰ πρωτοπάθειαν ἢ 3) ἰδιοπάθειαν αὐτῶν τῶν ὀφθαλμῶν οὕτως ὡς ἐπὶ τῶν ὑποχεομένων· ἐπὶ γὰρ τῶν ὑποχυμάτων πολλάκις δι' ἀτονίαν τῆς ὁρατικῆς δυνάμεως ὑγρόν τι ἀθροίζεται μεταξὺ τῆς κόρης καὶ τοῦ 4) ᾠοειδοῦς ὑγροῦ. τὸ δὲ κρυσταλλοειδὲς οὐκέτι λαμπρὰν καὶ ἀκραιφνῆ ποιεῖται τὴν ἐνέργειαν, ἀλλ' ἀμαυροῖ αὐτοῦ τὴν ἐνέργειαν καὶ τὴν ὁρατικὴν δύναμιν μολύνει. καὶ τούτων οὕτως γινομένων, ἀπατῶνται 5) περὶ τὴν ὅρασιν, καὶ ὅπερ ἐντός ἐστι πάθος, δοκοῦσι κατὰ ἀπάτην ἔξω ὁρᾶν αὐτό. τῆς γὰρ ὁρατικῆς δυνάμεως προσπιπτούσης τῷ ὑγρῷ ἐκείνῳ, ἔνθα τὸ μὲν 6) ᾠοειδὲς ὡς εἴρηται ἐπαχύνθη, 7) τὸ δὲ κρυσταλλοειδὲς ἠμαυρώθη. λοιπὸν δὲ καὶ ἡ ὁρατικὴ δύναμις ἐμολύνθη προσπίπτουσα ἐντὸς καὶ παρ' αὐτῷ τῷ ὑγρῷ καὶ τῷ πάθει 8) τῷ ἐντὸς ἐνεργοῦσα ἀπατωμένη δοκεῖ ἔξω ὁρᾶν αὐτὸ καὶ διὰ τοῦτο δοκοῦσι

1) ἀπὸ τούτου om. M. ἐν τῷ om. L. 2) νομιζομένην M. 3) συμπάθειαν M. superscr. habet. 4) ἀειδοῦς L. 5) παρὰ M. 6) ἀειδὲς M. Lens. 7) τὸ — ἠμαυρώθη om. M. 8) τὸ M. A.

ζωύφιά τινα θηρᾷν ἢ καρφολογεῖν καὶ τὰ λοιπά. καὶ οὕτως μὲν κατὰ πρωτοπάθειαν, ἀλλὰ 1) καὶ κατὰ συμπάθειαν τοῦτο γίνεται, ἀλλὰ διχῶς· ἢ γὰρ ἐν ὅλῳ τῷ σώματι οὔσης τῆς κακοχυμίας, τοῦτο γίνεται, ἢ ἐν αὐτῷ τῷ ἐγκεφάλῳ. καὶ εἰ μὲν ἐν ὅλῳ τῷ σώματί ἐστιν ἡ κακοχυμία, ἀναπέμπονται παχέα πνεύματα ἀπὸ τῆς κακοχυμίας ἐπὶ τὴν κεφαλὴν, εἶτα φέρονται ἐπὶ τὰ ὀπτικὰ νεῦρα καὶ ἐπὶ αὐτοὺς τοὺς ὀφθαλμούς· εἶτα ταῦτα τὰ παχέα φερόμενα προσαναλύουσι, καὶ ἐντεῦθεν ὑγρά τινα 2) ἐρχόμενα προστίθενται τὸ ὠοειδὲς καὶ ἀμαυροῦσι τὸ κρυσταλλοειδὲς καὶ τὴν ὁρατικὴν 3) καὶ ὀπτικὴν δύναμιν 4) ἀμβλύνουσι καὶ γίνεται ταῦτα ἅπερ εἰρήκαμεν τὸ τόδε ὁρᾷν, ἢ τὸ τόδε κατὰ ἀπάτην, καθάπερ ἐπὶ τῶν περιπνευμονικῶν, καὶ τοῦ ὀξέος πυρετοῦ. εἰ δὲ ἐν αὐτῇ 5) τῇ κεφαλῇ ἐστιν ἡ κακοχυμία, πέμπεται εἰς τοὺς ὀφθαλμοὺς καὶ 6) τὰ αὐτὰ ποιεῖ 7) ἅπερ εἰρήκαμεν, παχύνεται τὸ ὠοειδὲς, ἀμαυροῦται τὸ κρυσταλλοειδὲς, μολύνεται ἡ ὁρατικὴ δύναμις, καὶ πάλιν κατὰ ἀπάτην ὁρῶσιν ἅπερ εἰρήκαμεν, καθάπερ ἐπὶ τῶν φρενιτικῶν. καὶ λέγουσί τινες, 8) καὶ πόθεν τὰ διάφορα εἴδη ταῦτα τῶν συμπτωμάτων ὁρῶσι; καὶ λέγομεν ὅτι διὰ τρεῖς αἰτίας ταῦτα ὁρῶσι διά τε τὸ ποσὸν τῆς ὕλης καὶ τὴν σύστασιν καὶ τὸ χρῶμα. ἢ γὰρ ὀλίγη ἐστὶν ἡ ὕλη ἢ πολλὴ καὶ ὁρῶσιν ἢ μικρὰ ἢ μεγάλα. ἀλλὰ καὶ κατὰ τὴν σύστασιν. εἰ μὲν γὰρ ἐπιμήκης ἐστὶν ἡ ὕλη, ὁρῶσι τριχοειδῆ καὶ κάρφη, καὶ ἄχυρα καὶ τὰ τοιαῦτα· εἰ δὲ στρογγυλώδης ἐστὶν, ὁρῶσι κροκύδας καὶ κέγχρους καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ κατὰ τὸ χρῶμα τῆς ὕλης ἢ ἐρυθρὰ ὁρῶσιν ἢ ὠχρὰ ἢ χλωρὰ ἢ πελιδνὰ ἢ μέλανα καὶ τὰ τοιαῦτα. πλὴν καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι τὰ πάθη ταῦτα 9) τὰ κατὰ ἀπάτην γινόμενα πολλάκις ἐπὶ βλάβῃ μόνῃ τῆς ὁρατικῆς δυνάμεως γίνονται, καθ' ἃς εἰρήκαμεν αἰτίας, τοῦ λογισμοῦ ὑγιῶς ἔχοντος, καὶ τοῦτο 10) ἧττόν ἐστι κακὸν, πλὴν οὐκ ἀκίνδυνον οὐδὲ τοῦτο.

---

1) ἀλλὰ — συμπάθ. om. L. 2) ἐρχόμενα om. M. A. 3) δύναμιν add. M. et postea om. 4) μολύνουσι M. λυχνοῦσι A. superscr. μολύνουσι. 5) τῇ om L. A. 6) ταῦτα L. 7) ὥσπερ M. 8) ὅτι M. 9) τὰ om. L. A. 10) ἔστι ἧττον M.

Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖς καὶ τὰ ἑξῆς. —

Ἰστέον ὅτι τὰ συμπτώματα τριττά 1) ἐστιν· ἢ γὰρ ἐν διαθέσει θεωροῦνται ἢ ἐν βλάβαις ἐνεργειῶν ἢ ἐν 2) κενουμένοις καὶ ἐπεχομένοις. λοιπὸν σημειωσάμενος τὸ ὀξὺ νόσημα ἀπὸ τῶν ἐν διαθέσει λέγει νῦν περὶ τῶν ἐν βλάβαις ἐνεργειῶν· καὶ λέγει περὶ βλάβης ἐνεργείας, οὐ τῆς τυχούσης δέ. περὶ γὰρ 3) βλαβείσης ἀναπνοῆς περὶ τὴν ἐνέργειαν διαλέγεται, ἥτις ἐστὶν ἀξιολογωτάτη, ἐπειδὴ 4) ζωογονεῖ καὶ ἀνακτᾶται τὸ ἔμφυτον θερμὸν, καὶ ὑγιῶς αὐτῆς ἐχούσης, εἰς τὸ ζῆν συμβάλλεται τοῖς ζώοις, βεβλαμμένως δὲ ἐχούσης, σφάλλει τὰ ζῶα καὶ φθείρει αὐτά. ἀλλ᾽ ὥσπερ μέλλοντες εἰπεῖν περὶ σφυγμοῦ ἐζητήσαμεν τίνα καὶ πόσα εἰσὶ τὰ συνεκτικὰ αἴτια, καὶ εὕρομεν ὅτι τρία εἰσὶ, χρεία, δύναμις καὶ ὄργανον· ἄνευ γὰρ τούτων οὐ δύναται εἶναι σφυγμός· οὕτως οὖν καὶ ἐνταῦθα δεῖ ἡμᾶς ζητῆσαι τὰ γενεσιουργὰ αἴτια τῆς ἀναπνοῆς, καὶ χρή σε εἰδέναι, ὅτι εἰσὶ τέσσαρα, ποιητικὸν, 5) ὀργανικὸν, ὑλικὸν, τελικόν. καὶ ποιητικὸν μὲν αἴτιόν ἐστι τῆς ἀναπνοῆς αὐτὴ ἡ δύναμις ἡ κινοῦσα τοὺς μύας τοῦ θώρακος. ὑλικὸν δὲ αἴτιόν ἐστιν αὐτὸ τὸ εἰσπνεόμενον καὶ ἐκπνεόμενον πνεῦμα. τελικὸν δὲ 6) αἴτιόν ἐστιν ἡ χρεία· διττὴ δὲ αὕτη· διὰ μὲν τῆς εἰσπνοῆς εἰσάγει καθαρὸν ἀέρα καὶ ἐμψύχει τὸ ἔμφυτον θερμὸν, διὰ δὲ τῆς ἐκπνοῆς ἐξάγει τὰ λιγνυώδη περιττώματα. ὀργανικὸν δὲ αἴτιόν ἐστι τὸ διάφραγμα. τὸ γὰρ διάφραγμα τὴν κατὰ φύσιν 7) καὶ ἀβίαστον ἀναπνοὴν ἀπεργάζεται. εἰ δὲ συντεταμένη ἐστὶν ἡ ἀναπνοὴ, τότε καὶ οἱ μεσοπλεύριοι μύες ἐνεργοῦσιν. εἰ δὲ ἔτι πλέον ἐστὶν ἐπιτεταμένη ἡ ἀναπνοὴ, τότε καὶ οἱ 8) ὑψηλοὶ λεγόμενοι μύες ἐνεργοῦσι. καὶ ὥσπερ ἐν τῷ ἠρέμα ἡμᾶς βαδίζειν ἐνεργεῖ τὸ διάφραγμα τὴν κατὰ φύσιν ἀναπνοὴν, οὕτως τὴν ἐπιτεταμένην ἀναπνοὴν, ἐπειδὴ οὐκ ἐξαρκεῖ μόνον τὸ διάφραγμα ἀναπληρῶσαι τὴν χρείαν, ἐνεργοῦσι καὶ οἱ μεσο-

---

1) *εἰσιν* L. A. 2) *κενουμένῳ* A. *καὶ ἐπεχ.* om. M. 3) *βλάβης καὶ ἀναπ.* M. A. 4) *ζωοποιεῖ* M. 5) *ὑλ. ὀργ.* M. 6) *ἔστιν αἴτ.* M. 7) *ἀναπν. καὶ ἀβ.* M. 8) Scaleni musculi.

πλεύριοι μύες, ὥσπερ ἐπὶ τῶν ὀξέως βαδιζόντων. εἰ δὲ ἔτι πλέον ἐστὶν ἐπιτεταμένη καὶ βεβιασμένη ἡ ἀναπνοὴ, ἐπειδὴ οὐκ ἐξαρκοῦσι 1) τότε τὸ διάφραγμα καὶ οἱ μεσοπλεύριοι μύες ἀναπληρῶσαι τὴν χρείαν, τότε καὶ οἱ ὑψηλοὶ λεγόμενοι μύες ἐνεργοῦσιν, ὥσπερ ἐπὶ τῶν τρεχόντων καὶ ἐντεταμένως γυμναζομένων. δεύτερον δὲ ἔστιν εἰπεῖν, κατὰ πόσους τρόπους βλάπτεται ἡ ἀναπνοή. καὶ ἰστέον, ὅτι κατὰ τρεῖς, κατὰ μέγεθος, κατὰ ποιότητα καὶ κατὰ τὸν χρόνον τῶν διαλειμμάτων, καθὸ ἀραιὰ ἢ πυκνὴ γίνεται ἡ ἀναπνοή. καὶ εἰ μὲν πολὺν χρόνον κρατεῖ τὸ 2) διάλειμμα, γίνεται ἀραιά· εἰ δὲ ὀλίγον, πυκνή. κατὰ 3) δὲ τὸ μέγεθος, καθὸ μεγάλη ἢ μικρὰ γίνεται ἡ ἀναπνοὴ ἢ φαίνεται καὶ ἔστι μεγάλη κατὰ ἀλήθειαν, ἢ φαίνεται μὲν, οὐκ ἔστι δέ. καὶ φαίνεται μὲν μεγάλη καὶ ἔστι τοιαύτη κατὰ ἀλήθειαν, ὥσπερ ἐπὶ τῆς ἐπιτεταμένης ἀναπνοῆς, καθάπερ ἐπὶ τῶν κατὰ ἔντασιν γυμναζομένων ἢ τρεχόντων. καὶ φαίνεται μὲν μεγάλη ἡ ἀναπνοὴ, ἐπειδὴ 4) καὶ τὸ τρίτον γένος τῶν μυῶν ἐνήργησεν· ἀλλὰ καὶ ἔστι κατ' ἀλήθειαν, ἐπειδὴ ἡ χρεία ἀνεπληρώθη. τὸ γὰρ φαίνεσθαι καὶ μὴ φαίνεσθαι κατὰ τὴν συστολὴν καὶ τὴν διαστολὴν τοῦ θώρακος 5) φέρεται, 6) τὸ δὲ ἔστι καὶ μὴ ἔστι, κατὰ τὴν ἐνέργειαν νοεῖται. φαινομένη δὲ μεγάλη ἀναπνοὴ, οὐκ οὖσα δὲ, αὕτη δὲ διττή ἐστιν· ἢ γὰρ κατὰ ἔμφραξιν φαίνεται καὶ οὐκ ἔστι καθάπερ ἐπὶ τῶν περιπνευμονικῶν. τί γὰρ ὅτι κινεῖται τὸ διάφραγμα, ὥστε τὴν ἀναπνοὴν ποιῆσαι, οὐκ ἐξαρκεῖ δὲ ὥστε τὴν χρείαν ἀναπληρωθῆναι· εἶτα κινοῦνται καὶ οἱ μεσοπλεύριοι μύες, οὐκ ἐξαρκοῦσιν οὐδ' οὕτως ἀναπληρῶσαι τὴν χρείαν. τότε δὲ κινοῦνται καὶ οἱ ὑψηλοὶ μύες, καὶ οὐδ' οὕτως ἀναπληροῦται ἡ χρεία· καὶ φαινομένη λέγεται μεγάλη ἀναπνοὴ, ἐπειδὴ τὸ τρίτον γένος τῶν μυῶν ἐκινήθη, οὐκ οὖσα δὲ κατὰ ἀλήθειαν, ἐπειδὴ ἡ χρεία 7) οὐκ ἀνεπληρώθη. τί γὰρ ὅτι ἔμφραξις ὑπόκειται τῶν 8) βρογχίων τοῦ πνεύμονος, ἔνθα ἡ πάροδος τοῦ πνεύματος γίνεται,

1) τότε om. M. 2) διάφραγμα L. 3) μὲν L. 4) καὶ om. L. 5) φαίνεται L. 6) τὸ δὲ — ἔμφρ. φαίνεται om. L. 7) οὐκ om. M. 8) βροχίων L.

καθ' ἣν ἐπὶ τὴν καρδίαν φέρεται. τούτων οὖν ἐμφραττομένων, οὐ γίνεται εἰσαγωγὴ τοῦ πνεύματος ἐπὶ τὴν καρδίαν, καὶ οὕτως γίνονται λιγνυώδη περιττώματα. ἐπειδὴ ἐναπειλημμέναι εἰσὶ καὶ ἐμπεφραγμέναι 1) ὁδοὶ τοῦ πνεύματος, καὶ ἡ χρεία οὐκ ἀναπληροῦται. καὶ οὕτως διὰ τὴν ἔμφραξιν ἢ διὰ τὴν ἀσθένειαν τῶν μυῶν καὶ ἀτονίαν τῶν κινούντων τὸν θώρακα φαίνεται μεγάλη ἡ ἀναπνοὴ, οὐκ οὖσα δὲ, τρόπῳ τοιούτῳ. τί γὰρ ἔτι ἐνεργεῖ τὸ διάφραγμα, ἀλλ' ἀτόνως ἐνεργεῖ καὶ οὐκ ἀναπληροῦται ἡ χρεία· εἶτα κινοῦνται καὶ οἱ μεσοπλεύριοι μύες, καὶ αὐτοὶ ἀτόνως καὶ 2) οὐδ' οὕτως ἀναπληροῦται ἡ χρεία· εἶτα ἐξ ἀνάγκης τῆς χρείας κατεπειγούσης, κινοῦνται καὶ οἱ ὑψηλοὶ μύες καὶ αὐτοὶ ἀτόνως. καὶ οὐδ' οὕτως ἀναπληροῦται ἡ χρεία. καὶ ἐπειδὴ τὸ τρίτον γένος τῶν μυῶν ἐκινήθη, φαίνεται μὲν μεγάλη ἡ ἀναπνοὴ, οὐκ οὖσα δὲ, ἐπειδὴ οὐκ ἀνεπληρώθη ἡ χρεία διὰ τὸ 3) ἀτόνως καὶ ἀσθενῶς ἐνεργῆσαι τοὺς μύας. ὁ οὖν Ἱπποκράτης περὶ τοῦ κατὰ 4) τὸ μέγεθος καὶ περὶ τῶν κατὰ τὸν χρόνον διαλειμμάτων διαλέγεται τουτέστι περὶ τῆς μεγάλης καὶ μικρᾶς ἀναπνοῆς καὶ ἀραιᾶς καὶ πυκνῆς, παρῆκε δὲ τὴν κατὰ ποιότητα. τοῦτο δὲ ἐποίησε διὰ δύο αἰτίας, ἢ ὅτι συνεισάγεται ἡ κατὰ ποιότητα καὶ συνδιαφαίνεται τούτοις, λέγω δὴ τῇ μεγάλῃ καὶ τῇ πυκνῇ, συνεισάγεται δὲ καὶ τὸ τάχος. 5) τῇ δὲ μικρᾷ καὶ τῇ ἀραιᾷ συνεισάγεται καὶ ἡ βραδύτης, ἢ τὸ ἄλλο εἰπὲ ὅτι ἡ κατὰ ποιότητα διαφορὰ ποικιλοτέρα ἐστὶ καὶ ὡς ἂν οὔσης αὐτῆς ποικιλοτέρας, παρῆκεν αὐτὴν ἐνταῦθα, ὡς δεομένης αὐτῆς ἰδίας ἐπεξεργασίας διὰ τὸ ποικίλον. καὶ ἐπειδὴ τέσσαρες συμπλοκαὶ τῆς ἀναπνοῆς συνίστανται, ἥ τε μεγάλη καὶ πυκνὴ, καὶ ἡ μεγάλη καὶ ἀραιὰ, καὶ ἡ μικρὰ καὶ πυκνὴ, καὶ ἡ μικρὰ καὶ ἀραιά. αἱ γὰρ δύο οὐ συνίστανται, ἥ τε μεγάλη καὶ μικρὰ, καὶ ἡ πυκνὴ καὶ ἀραιά. δεῖ οὖν 6) εἰπεῖν ἡμᾶς πῶς γίνονται καὶ τί 7) σημαίνουσι. καὶ πρότερον εἴπωμεν περὶ τῆς μικρᾶς καὶ πυκνῆς, ἐπειδὴ ταύτην καὶ Ἱπποκράτης πρότερον μεταχειρίζεται.

---

1) ὁδοὶ om. L. 2) οὐδόλως L. 3) ἀπόνως L. 4) τὸ om. L. 5) τῇδε τῇ L. 6) ἡμᾶς εἰπεῖν M. 7) σημειούμεθα M. A.

Αὕτη οὖν ἡ μικρὰ καὶ πυκνὴ δύσπνοια 1) ὀδύνην σημαίνει ἐν τοῖς ἀναπνευστικοῖς μορίοις συνισταμένην διά τινα φλεγμονὴν ἢ δι' ἕλκωσιν ἢ διὰ ῥευματικὴν διάθεσιν. ἔγνωμεν οὖν τὸ τί σημαίνει ἡ μικρὰ καὶ ἡ πυκνὴ δύσπνοια. λοιπὸν δεῖ ἡμᾶς εἰπεῖν τὸ πῶς γίνεται καὶ ὅσον μὲν 2) ἐπὶ τῇ ὑποκειμένῃ διαθέσει ὤφειλε μεγάλη γίνεσθαι 3) ἡ ἀναπνοή. ἡ δὲ μεγάλη ἀναπνοὴ ἐπὶ μεγίστῃ κινήσει τοῦ θώρακος γίνεται. ἡ δὲ μεγίστη κίνησις τοῦ θώρακος χύσιν ποιεῖται τῶν ὑλῶν. 4) ἐπὶ δὲ τῇ χύσει ἐπιτείνονται οἱ ῥευματισμοί· ἐπιτεινομένων δὲ τῶν ῥευματισμῶν, ἐξ ἀνάγκης ἐπιτείνονται τὰ τῆς ὀδύνης. φειδόμενοι οὖν ἑαυτῶν οἱ οὕτως πάσχοντες, οὐκ ἀναπνέουσι μέγα διὰ τὸ μὴ ἐπιταθῆναι αὐτοῖς τὰ τῆς ὀδύνης, ἀλλὰ μικρὰν ποιοῦνται τὴν ἀναπνοὴν, τῇ δὲ πυκνότητι κατεπείγουσι. καὶ ὅπερ τῇ μικρότητι πλημμελοῦσι τῇ ἀναπνοῇ, τῇ πυκνότητι ἀναπληροῦσι τὴν χρείαν. καὶ προηγεῖται μὲν ἡ μικρὰ ἀναπνοὴ, ἕπεται δὲ ἡ 5) πυκνή. καὶ ταῦτα μὲν περὶ τῆς πρώτης διαφορᾶς τῆς δυσπνοίας.

Δευτέρα δὲ ἐστι διαφορὰ δυσπνοίας, μεγάλη καὶ πυκνὴ ἥτις γίνεται ἐπὶ τῶν τρεχόντων καὶ κατὰ ἔντασιν γυμναζομένων, καὶ ἐπὶ τῶν ὀξέως πυρεττόντων. τί γὰρ ὅτι ἡ μεγάλη ἀναπνοὴ οὐκ ἐξαρκεῖ τὴν χρείαν ἀναπληρῶσαι, καὶ λοιπὸν γίνεται καὶ πυκνὴ καὶ κατεπείγει τῇ πυκνότητι, καὶ οὕτως ἀναπληροῦται ἡ χρεία. καὶ 6) προηγεῖται ἡ ἀναπνοὴ, ἕπεται δὲ ἡ πυκνή.

Τρίτη διαφορὰ δυσπνοίας, μεγάλη καὶ ἀραιὰ, ἥτις γίνεται ἐπὶ τῶν φρενιτικῶν, ὅτι τοῦ λογισμοῦ περί τινα φαντάσματα ἀπησχολημένου 7) ἐπὶ τῶν φρενιτικῶν ἐπιλανθάνεται τῶν οἰκείων ἔργων, καὶ οὐ κινεῖ τὸν θώρακα, ἵνα ἡ ἀναπνοὴ γένηται, ἀλλὰ 8) παρέρχεται καὶ μία καὶ δευτέρα καὶ τρίτη κίνησις, καὶ ἐν τῷ διαλείμματι τοῦ χρόνου ἐμβραδύνει καθ' ἣν καὶ ἀραιὰ γίνεται ἡ ἀναπνοή. ἐπειδὴ 9) δὲ περὶ τὸ εἶναι συμβάλλεται ἡμῖν ἡ ἀναπνοὴ, ἵνα μὴ ἐν ἡμῖν εἴη τὸ ζῆν, ἀναμνημονεύει τῶν οἰκείων

---

1) λοιπὸν M. A. f. λύπην. 2) ἐν M. 3) ἡ om. L. 4) ἐπεὶ L. 5) πυκνότης M. 6) πληροῦται M. 7) ἐπὶ τ. φρ. om. M. A. 8) περιέρχεται M. A. 9) δὲ om. M. A. παρὰ loco περὶ M. A.

ἔργων ἡ ψυχὴ, καὶ ὅπερ ἐν τῷ διαλείμματι ἐπλημμελήθη, ὑφ᾽ ἓν θέλουσα ἀναπληρῶσαι τὸ πλημμεληθὲν, 1) μεγάλην ποιεῖται τὴν ἀναπνοήν. οὕτως 2) γίνεται καὶ ἐπὶ τῶν λυπουμένων διὰ τὰς αὐτὰς αἰτίας. τί γὰρ ὅτι καὶ ἐνταῦθα τοῦ λογισμοῦ ἀπασχολουμένου περὶ τῶν λυπηρῶν, ἐπιλανθάνεται τῶν οἰκείων ἔργων καὶ παρέρχεται καὶ μιᾶς καὶ δύο, ἔστι δ᾽ ὅτε καὶ τριῶν κινήσεων ἀναπνοῆς χρόνος· εἶτα ὀψέ ποτε ἀναμνημονεύουσα ἡ ψυχὴ τῶν οἰκείων ἔργων, θέλουσα ἐφάπαξ τὸ πλημμεληθὲν ἀναπληρῶσαι, μεγάλην ποιεῖται τὴν ἀναπνοὴν, ὅπερ καὶ στεναγμὸς καλεῖται. ἐνταῦθα δὲ ἐπὶ τῶν λυπουμένων, ἡ μεγάλη ἀναπνοὴ καὶ ἀραιὰ μετὰ στεναγμοῦ γίνεται. εἰκότως· διά τε τὸ 3) τὸ πλημμεληθὲν ἀναπληρῶσαι, καὶ διὰ 4) τὸ πολλὰ λιγνυώδη περιττώματα γεννᾶσθαι ἐπ᾽ αὐτῶν. καὶ χρεία ἐστὶ 5) καὶ ἐξαγωγῆς ὅπερ διὰ τοῦ 6) ἀναστεναγμοῦ ἐξωθοῦσι καὶ πάλιν διὰ τῆς μεγάλης 7) εἰσπνοῆς εἰσάγουσι καθαρὸν ἀέρα, καὶ ἔστιν ἡ ἀραιὰ ἀναπνοὴ τῆς μεγάλης ἀναπνοῆς· προηγεῖται γὰρ ἡ ἀραιὰ 8) ἀναπνοὴ, καὶ ἕπεται ἡ μεγάλη.

Τετάρτη διαφορὰ τῆς δυσπνοίας ἐστὶν, ἡ μικρὰ καὶ ἀραιὰ ἀναπνοὴ, ὅπερ κάκιστόν ἐστι σημεῖον. σημαίνει γὰρ αὐτὴ κατάπτωσιν 9) ἐσχάτην καὶ ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως καὶ 10) κατάσβεσιν καὶ κατάψυξιν καὶ νέκρωσιν τοῦ ἐμφύτου θερμοῦ. οὕτως σημειωσάμενος τὴν παρὰ φύσιν 11) ἀναπνοὴν σημειοῦται καὶ τὴν κατὰ φύσιν ἐξαίρων καὶ ἐγκωμιάζων αὐτὴν, λέγων οὕτως.

Ἄ λ λ ω ς.

Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν καὶ τὰ ἑξῆς. —

Δεῖ εἰδέναι ὅτι ὁ Ἱπποκράτης ἀπὸ τοῦ ὑλικοῦ αἰτίου τὴν ἀναπνοὴν ἐδήλωσε· τὸ γὰρ πνεῦμα ὑλικὸν αἴτιόν ἐστι τῆς ἀναπνοῆς ὡς ἴσμεν κατὰ τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο καὶ τὴν προσηγορίαν οὕτως ἐποίησεν. καὶ ἰδοὺ αὐτὸς μὲν

---

1) μεγάλως M. 2) γὰρ κἀπὶ M. 3) τὸ om. M. 4) τὸ πολλὰ] τοῦτο τὰ M. A. 5) καὶ om. L. 6) στεναγμοῦ M. 7) ἀναπνοῆς M. 8) ἀναπνοὴ om. L. 9) μεγάλην L. 10) ἀπόσβεσιν M. 11) διάθεσιν τῆς αναπνοῆς καὶ L.

ὁ Ἱπποκράτης, ὡς καὶ ἐν τῇ θεωρίᾳ εἴρηκεν, ὅτι οὐ περὶ πασῶν τῶν δυσπνοιῶν διαλέγεται, οὐδὲ πάσαις ἐπεξέρχεται, ἀλλὰ μέμνηται τῆς πυκνῆς καὶ μεγάλης ἀναπνοῆς καὶ ἀραιᾶς. τὰς δὲ λοιπὰς παρῆκεν ἡμῖν, ὑπογράψας μέθοδον, ὥστε καὶ τῶν λοιπῶν δυσπνοιῶν τὴν ἐπεξεργασίαν ποιήσασθαι. καὶ ἤδη πεπράχαμεν, καθ' ὃν εἰρήκαμεν τρόπον. —

Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασι.

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι θαυμαστὴ καὶ σωτήριός ἐστιν ἡ κατὰ φύσιν ἀναπνοή. δηλοῖ γὰρ ὅτι καλῶς καὶ ἰσχυρῶς διάκεινται αἵ τε κινητικαὶ δυνάμεις τῶν ἀναπνευστικῶν, ἀλλὰ καὶ τὸ ἔμφυτον θερμὸν δεόντως ῥιπιζόμενον, καὶ οὐδεμία παρεκτροπὴ δυσκρασίας κακίστη σύνεστιν.

Ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ ἐκ τοῦ στόματος ὀλέθριον πάνυ. —

Ψυχρὰ ἀναπνοὴ γίνεται ἐπὶ ἄκρᾳ καταβολῇ τῆς ζωτικῆς δυνάμεως καὶ ἐπὶ ὀλιγοσιτίᾳ καὶ καταψύξει καὶ οἱονεὶ νεκρώσει τοῦ 1) ἐμφύτου θερμοῦ, ὅπερ ἐσχάτης ἀπωλείας ἐστὶ τεκμήριον. 2) οἷον γὰρ εἰσπνεῖται, τοιοῦτον καὶ ἐκπνεῖται. πολλάκις δὲ τελευταῖον μετὰ τὴν ψυχρὰν ἀναπνοὴν δοκεῖ θερμὸν ἐκπνεῖσθαι, ὅπερ καὶ τοῦτο ἐσχάτης ἀπωλείας ἐστὶ τεκμήριον. δηλοῖ γὰρ 3) καὶ αὐτὸ τὸ ἐγκαταλειφθὲν λείψανον τοῦ ἐμφύτου θερμοῦ 4) διαφορηθῆναι. οὕτως γὰρ καὶ ἐπὶ τῆς 5) κανδήλας ὁρῶμεν γινόμενον ἢ τελευταῖον, ὅταν μέλλῃ ἀποσβέννυσθαι, μεγάλην φλόγα ἐξαίφνης ἐκλάμπει καὶ οὕτως 6) ἀποσβέννυται.

Ὁκόσα σὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. —

Εἰπὼν ὅτι ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασι τοῖς μετὰ πυρετοῦ ἀγαθὸν εἶναι τὴν εὔπνοιαν, οὐκ ἀντιδιέστειλε τοῖς χρονίοις νοσήμασιν, ὅτι τυχὸν ἐπεὶ ἐν τοῖς ὀξέσι

1) ἐμφύτου θερμοῦ] ἐμφυτευθέντος M. A. 2) οἷον — τεκμήριον om. L. 3) καὶ ὅτι add. M. 4) ἐδιεφορήθη M. A. 5) κανδείλας M. A. 6) σβέννυται L.

νοσήμασιν ἡ εὔπνοια σωτήριός ἐστιν, ἤδη ἐν τοῖς χρονίοις οὐκ ἔστιν ἀγαθὸν ἡ εὔπνοια. καὶ γὰρ ἐπὶ τῶν χρονίων σωτήριός ἐστιν ἡ εὔπνοια πολλῷ μᾶλλον, ἀλλ' ἐπειδὴ 1) εὑρίσκει ἕτερα σημεῖα δηλωτικὰ ἐπὶ τῶν χρονίων νοσημάτων, 2) αὐτὸ τοῦτο τὸ τεταλαιπωρηκέναι τὴν δύναμιν τῷ μήκει, διὰ τοῦτο ἐπὶ τῶν χρονίων νοσημάτων οὐκ εἶπεν, ὅτι σωτήριός ἐστιν ἡ εὔπνοια, ἀλλὰ παρῆκεν. ἄλλως τε δὲ τὰ ὀξέα νοσήματα 3) προέθετο σημειώσασθαι. καὶ ἐπὶ τούτων ἔφη, ὅτι σωτήριός ἐστιν ἡ εὔπνοια. εἶτα καὶ ἀποροῦσί τινες, ὅτι τί δήποτε μνημονεύσας ὀξέων νοσημάτων, τῆς τεσσαρακοστῆς ἐμνημόνευσε, τῶν ὀξέων νοσημάτων ἐντὸς τῆς τεσσαρεσκαιδεκάτης περιγραφομένων, ὡς αὐτὸς Ἱπποκράτης ἐν ἀφορισμοῖς ἔφη, 4) ὅτι τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. καὶ λέγομεν ὅτι πλάτος ἐστὶν ἐν τοῖς ὀξέσι νοσήμασι. τῶν γὰρ ὀξέων νοσημάτων τὰ μὲν ἔστι κατόξεα, τὰ μέχρι τῆς τετάρτης περιγραφόμενα, τὰ δὲ ἁπλῶς ὀξέα, τὰ μέχρι τῆς ἑβδόμης ἀφικνούμενα, τὰ δὲ ὀξέα, ὁμωνύμως τῷ γένει, τὰ μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἀφικνούμενα, τὰ δὲ μηκυνόμενα ὀξέα, τὰ μέχρι τῆς τεσσαρακοστῆς. καὶ τούτων τῶν μηκυνομένων ὀξέων πλείστη ἐστὶν ἡ διαφορά. τὰ μὲν γὰρ ἐκ μεταπτώσεως ὀξέα εἰσὶ, τὰ δὲ χρόνια, τὰ δὲ μηκυνόμενα, ἅτινα μέχρι τῆς τεσσαρακοστῆς ἀφικνοῦνται. τὰ δὲ ὑπερβαίνοντα τὴν τεσσαρακοστὴν ἡμέραν χρόνια κατατάσσονται. ὁ οὖν Ἱπποκράτης τῆς τεσσαρακοστῆς ἡμέρας ἐμνημόνευσεν, ἵνα ὑπογράψῃ πάντα τὰ ὀξέα χρόνια, ἐντὸς περιγραφόμενα τῆς τεσσαρακοστῆς ἡμέρας.

5) Οἱ δὲ ἱδρῶτες ἄριστοι μὲν εἰσιν ἐν ἅπασι τοῖς ὀξέσι νοσήμασι. —

Νῦν τὴν σημείωσιν ποιεῖται ἀπὸ τῶν κενουμένων καὶ μεταχειρίζεται τοὺς ἱδρῶτας· καὶ ἐπειδὴ ἱδρώτων μνήμην ἐποιησάμεθα, δεῖ 6) ἡμᾶς εἰπεῖν τὰ τέσσαρα γενεσιουργὰ αἴτια τῶν ἱδρώτων, ποιητικὸν, ὑλικὸν, ὀργανικὸν,

---

1) εὑρίσκεται M. 2) αὐτὸ — νοσημάτων om. M. A. 3) παρέθετο L. 4) ὅτι om. L. 5) περὶ ἱδρώτων L. in mg. 6) ἡμᾶς om. M. γενεσιουργικὰ M. A.

τελικόν. καὶ ποιητικὸν μὲν αἴτιόν ἐστι τῶν ἱδρώτων οὐχ ἕν, ἀλλὰ πλείονα.

Ὧν πρῶτος τρόπος 1) ποιητικός ἐστι τῶν ἱδρώτων ὅτι δι' ἀσθένειαν καὶ ἀτονίαν καὶ καταβολὴν τῆς καθεκτικῆς δυνάμεως γίνονται οἱ ἱδρῶτες. τί γὰρ ὅτι τῷ λόγῳ τροφῆς φερόμενον ἐν ὅλῳ τῷ σώματι διὰ τὴν ἀσθένειαν οὐ κατέχεται, ὥστε ἀλλοιωθῆναι καὶ πεφθῆναι καὶ προστεθῆναι, καὶ ἐξομοιωθῆναι, καὶ λοιπὸν μὴ κατεχόμενον τὸ λόγῳ τροφῆς φερόμενον κενοῦται ἱδρωτοειδῶς δίκην ἀψύχου.

Δεύτερος τρόπος ποιητικοῦ αἰτίου ἱδρώτων ἐπὶ πλημμελεῖ βλάβῃ τῆς ἀποκριτικῆς δυνάμεως 2) γινομένων. τί γὰρ ὅτι τῆς ἀποκριτικῆς δυνάμεως πλημμελῶς βεβλαμμένης, οὐκ ἀναμένει τὴν ἀλλοίωσιν καὶ τὴν πέψιν, ἀλλὰ πρὸ ὥρας ἐπεγειρομένη καὶ πλημμελῶς ἐνεργοῦσα ἐπεγείρεται καὶ ἀποκρίνει τῷ λόγῳ τροφῆς, καὶ ποιεῖ τοὺς ἱδρῶτας.

Τρίτος τρόπος ποιητικοῦ αἰτίου τῶν ἱδρώτων ἐστὶν ὁ ἀπὸ τῶν ἔξωθεν βιαστικῶς προσομιλούντων καὶ προσπιπτόντων, ὥσπερ ἡλιοκαΐα· τῇ γὰρ προσομιλίᾳ τοῦ ἡλίου, ἐπισπᾶται βίᾳ τινὶ τῇ οἰκείᾳ θερμότητι, καὶ ποιεῖ τοὺς ἱδρῶτας. ἀλλὰ καὶ 3) ἀλοιφαὶ θερμότεραι ποιοῦσιν ἱδρῶτας, καὶ τὰ θερμὰ καὶ δριμέα φάρμακα ἐπιτιθέμενα ποιοῦσιν ἱδρῶτας. τούτων δὲ ἓν εἶδός ἐστι καὶ τὸ λουτρόν. καὶ γὰρ τὸ λουτρὸν βίᾳ τινὶ ἐπισπᾶται τῇ θερμότητι τοῦ ἀέρος, καὶ ποιεῖ τοὺς ἱδρῶτας.

Τέταρτος τρόπος ποιητικοῦ αἰτίου τῶν ἱδρώτων ὁ διὰ 4) σύντηξιν τῆς πιμελῆς γινόμενος. καὶ γὰρ ἐπὶ δαπάνῃ καὶ συντήξει τῆς πιμελῆς, γίνονται ἱδρῶτες, καθ' ἣν καὶ αἱ συγκοπαὶ ἐπακολουθοῦσι. γίνεται δὲ 5) τοῦτο ἐπὶ ὀξεῖ καὶ διακαεῖ πυρετῷ καὶ ἐπὶ κακοηθείᾳ νοσήματος, λέγω δὴ ἡ σύντηξις τῆς πιμελῆς, καθ' ἣν καὶ αἱ συγκοπαὶ γίνονται καὶ οἱ ἱδρῶτες οἱ συγκοπτικοὶ λεγόμενοι.

Ὀργανικὸν δὲ αἴτιόν ἐστι τῶν ἱδρώτων οἱ πόροι, δι' ὧν 6) παρεξέρχονται οἱ ἱδρῶτες.

---

1) ποιητικοῦ αἰτίου M. A. 2) γινομένης L. 3) ἀλφαὶ L. 4) σύνταξιν L. 5) καὶ add. M. 6) παρέρχονται M.

Ὑλικὸν δὲ αἴτιόν ἐστι πάντα τὰ ὑγρὰ ἤγουν πάντες οἱ χυμοὶ οἱ πλεονάζοντες, ὡς δηλοῦσιν 1) ἐν τοῖς βαλανείοις ἀποξεόμενοι οἱ ἱδρῶτες, κατά τε χρῶμα καὶ τὴν γεῦσιν καὶ τὴν ὄσφρησιν, ἀλλὰ καὶ τὰ ἱμάτια δηλοῦσι τὰ μετέχοντα τῶν ἱδρώτων, διάφορα χρώματα ἔχοντα, πῆ μὲν ξανθὸν χρῶμα, καὶ ἐνδείκνυται χολώδη τὴν ὕλην, πῆ δὲ πράσινα ἢ ὠχρὰ, τὰ δὲ ἰώδη ἔχοντα χρώματα, καὶ δὴ μελαγχολικὴν τὴν ὕλην ἐνδείκνυται, πῆ δὲ μέλανα, καὶ τοῦτο αὐτὸ ἐνδείκνυται· ἀλλὰ καὶ ἀπὸ τῆς γεύσεως, πῆ μὲν πικρά εἰσι, πῆ δὲ 2) ὀξώδη, πῆ δὲ ἁλμυρά· ἀλλὰ καὶ ἀπὸ τῆς ὀσφρήσεως, πῆ μὲν δυσώδη, πῆ δὲ βρομώδη, ἅτινα διαφόρων χυμῶν εἰσιν 3) ἔκγονα.

Τελικὸν δὲ αἴτιόν ἐστι τῶν ἱδρώτων, ἡ ἑπομένη εὐφορία καὶ δυσφορία. τούτων οὕτως εἰρημένων, ἔλθωμεν εἰς τὴν σημείωσιν. καὶ σημειοῦται τοὺς ἱδρῶτας λέγων, ὅτι σωτήριοι ἱδρῶτές εἰσιν, ἔνθα τὰ τέσσαρα ταῦτα συνέλθωσιν ἀλλήλοις καὶ συμπαρομαρτήσωσιν, 4) ἡνίκα ἐν κρισίμῳ ἡμέρᾳ γένηται ἱδρὼς, ἡνίκα καὶ κατὰ παντὸς τοῦ σώματος, ἡνίκα καὶ θερμοὶ ὦσιν, ἡνίκα καὶ εὐφορία 5) ἐπακολουθήσῃ. σπάνιος δὲ τούτοις καὶ ἡ εὐφορία ἐπακολουθεῖ. καὶ τὸ μὲν ἐν κρισίμῳ ἡμέρᾳ γίνεσθαι τοὺς ἱδρῶτας, ἀγαθόν ἐστι. δηλοῖ γὰρ τὴν φύσιν τακτικῶς καὶ ἀβιάστως καὶ μετὰ πέψιν τὴν ὕλην ἐπιλαβομένην δι᾽ ἱδρώτων ἐξωθῆσαι τὰ περιττώματα. τὸ δὲ κατὰ παντὸς τοῦ σώματος γίνεσθαι τοὺς ἱδρῶτας, ἀγαθόν ἐστιν, ἐπειδὴ ὀξὺ νόσημα ὑπόκειται καὶ πυρετός. καὶ πάντως τὸ λόγῳ τροφῆς φερόμενον ἀπεπτεῖται καὶ γίνονται περιττώματα κατὰ παντὸς τοῦ σώματος, ἅτινα δι᾽ ἱδρώτων δεῖ ἐκκριθῆναι, ὥστε ἀπαλλαγῆναι τὸν κάμνοντα τῆς νόσου. ἀλλὰ καὶ τὸ θερμοὺς εἶναι τοὺς ἱδρῶτας ἀγαθόν ἐστιν, 6) ἐπειδὴ ὁμόστοιχοι εὑρίσκονται τῇ ὕλῃ, ἐν ᾗ τίκτονται. πυρετὸς γὰρ ὑπόκειται καὶ ζέσις καὶ δηλονότι διὰ θερμῶν τόπων ποιοῦνται οἱ ἱδρῶτες τὴν πάροδον, καὶ διὰ τοῦτο δεῖ αὐτοὺς θερμοὺς εἶναι. ἐπὶ τούτοις δὲ πάντως καὶ

1) ἐν — δηλοῦσι om. L. 2) μέλανα καὶ ἁλμ. ἀλλαχοῦ L. 3) ἔγγονα M. 4) ἡνίκα — ἱδρὼς om. M. γένωται οἱ ἱδρῶτες A. 5) ἐπακολουθήσει M. σπάνιος — ἐπακολουθεῖ om. M. A. 6) ὥστε M.

εὐφορία ἕπεται. τὰ δ᾽ ἐναντία τούτοις, ἐπικίνδυνά εἰσιν, ἡνίκα μὴ ἐν κρισίμῳ ἡμέρᾳ οἱ ἱδρῶτες γένωνται, μηδὲ κατὰ παντὸς τοῦ σώματος, ἀλλὰ μερικῶς καὶ ἐν τοῖς μορίοις γένωνται καὶ ψυχροί εἰσιν οἱ ἱδρῶτες ἐπὶ τούτοις, ἐὰν καὶ δυσφορία ἐπακολουθήσῃ, κάκιστοί εἰσι καὶ ἐπικίνδυνοι. τὸ γὰρ μὴ ἐν κρισίμῳ ἡμέρᾳ γίνεσθαι τοὺς ἱδρῶτας, δηλοῖ τὴν φύσιν πρὸ πέψεως τῶν ὑλῶν κινηθεῖσαν καὶ ἐρεθισθεῖσαν ἀπό τινων 1) καὶ πρὸ ὥρας ἐπαναστᾶσαν καὶ ποιήσασαν τοὺς ἱδρῶτας, ὅπερ κάκιστόν ἐστι. δηλοῖ γὰρ ὅτι ἡ φύσις κατεκρατήθη ὑπὸ τῶν αἰτίων, καθ᾽ ὧν οἱ ἱδρῶτες γεγόνασιν. ἀλλὰ καὶ οἱ ἐν μέρει τοῦ σώματος γινόμενοι ἱδρῶτες κάκιστοί εἰσι, τυχὸν 2) οἱ περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον καὶ τὸν τράχηλον καὶ τὸν αὐχένα, ἐπειδὴ δηλοῖ ἀνάῤῥοπον τὴν ὕλην. ὁ γὰρ πυρετὸς ἀναλύει μέρος τι τῆς ὕλης, καὶ ἀνάῤῥοπον γίνεται ἐπὶ τὰ κυριώτερα μόρια καὶ ἐπὶ τὴν πρωτίστην ἀρχὴν, λέγω δὴ τὸν ἐγκέφαλον, ὅπερ ὀλέθριόν ἐστιν. ἀλλὰ καὶ οἱ ψυχροὶ ἱδρῶτες κάκιστοί εἰσιν· ἀλλὰ δεῖ ἡμᾶς πρότερον εἰπεῖν πῶς γίνονται. δεῖ εἰδέναι ὅτι οἱ ψυχροὶ ἱδρῶτες γίνονται ἐπὶ ἄκρᾳ καταβολῇ καὶ ἀσθενείᾳ καὶ ἐνδείᾳ τοῦ 3) ἐμφύτου θερμοῦ. διὰ γὰρ οἰκείαν ἀσθένειαν καὶ διὰ τὴν ὀλιγότητα περὶ τὰ σπλάγχνα που καὶ περὶ τὸ βάθος 4) ἐνειλίσσεται. τὰ δὲ ἐκτὸς μόρια τὰ περὶ τὴν ἐπιφάνειαν ψύχονται, ἀμοιροῦντα τοῦ ἐμφύτου θερμοῦ. πυρετοῦ οὖν ὑποκειμένου, χύσις γίνεται πάντως τῆς ὕλης. εἶτα τῇ χύσει φέρεται ἐπὶ τὴν ἐπιφάνειαν καὶ ψυχρὸν διϊδροῦται κεγχροειδῶς, ὡς ἀπὸ ἀψύχου 5) ἐκκρινόμενον. καὶ οὕτως γίνονται οἱ ψυχροὶ ἱδρῶτες. κακὸν οὖν 6) ἐν ὀξεῖ νοσήματι, οἱ ψυχροὶ ἱδρῶτες. δηλοῖ γὰρ καταβεβλημένον τὸ ἔμφυτον θερμὸν, ἐφ᾽ 7) ὧν ὁ κίνδυνος πάρεστιν. ἐπὶ τούτοις δὲ πάντως ἕπεται δυσφορία. πλὴν καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι οὐ πάντες οἱ ψυχροὶ ἱδρῶτες ἐπικίνδυνοί εἰσιν. ἐνδέχεται γὰρ διὰ ψυχροτέραν ὕλην βληχρὸν εἶναι τὸν πυρετὸν καὶ 8) βληχροὺς γενέσθαι τοὺς ἱδρῶτας καὶ οὐκ ἔστιν ἐπι-

---

1) καὶ om. M. 2) εἰ L. 3) ἐμφυτευθέντος M. A. Ita saepius. 4) ἀνειλίσσεται A. 5) ἐκκρινομένου L. 6) οἱ ψ. ἱδ. ἐν ὀξ. νοσ. M. A. 7) ὃ M. 8) βληχρὰ L. γεν. τ. ἱδρ. om. L.

κίνδυνον κατὰ τὸ εἰρημένον, 1) οἱ ψυχροὶ ἱδρῶτες σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον σημαίνουσι, σὺν δὲ πρηϋτέρῳ μῆκος νούσου.

c Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ἐπὶ δεξιὰ καὶ ἐπ᾽ ἀριστερά. —

Νῦν σημειοῦται ὁ συγγραφεὺς τὸ ὀξὺ νόσημα 2) ἀπὸ τῆς διαθέσεως τῆς ἐν τοῖς ὑποχονδρίοις συνισταμένης. καὶ εἰκότως μετὰ τοὺς ἱδρῶτας τὰ ὑποχόνδρια μετεχειρίσατο. οἱ γὰρ ἱδρῶτες τῆς τρίτης πέψεώς εἰσι περιττώματα, τὰ δὲ ὑποχόνδρια τὴν πέψιν τῶν χυμῶν ποιοῦνται. διαλέγεται οὖν περὶ ὑποχονδρίων, καὶ λέγει ὅτι κάλλιστόν ἐστιν ὑποχόνδριον ἐν ᾧ τὰ τέσσαρα ταῦτα συνέλθῃ, τὸ μαλθακὸν, τὸ ἀνώδυνον, τὸ ὁμαλὸν, τὸ 3) ἀφλέγμαντον, τουτέστι τὸ μὴ ἔχον ζέσιν καὶ φλόγωσιν· τὰ δὲ ἐναντία τούτων ἐὰν συνέλθῃ, κάκιστόν ἐστι, τυχὸν ἐὰν συντεταμένον ἐστὶ τὸ ὑποχόνδριον καὶ ὀδύνη σύνεστι καὶ ζέσις καὶ φλόγωσις καὶ ἀνωμαλία. εἰ δὲ τὰ μὲν ὦσι, τὰ δὲ οὐκ ὦσιν, ἧττόν ἐστι κακόν. ἐν τῷ μεταξὺ δὲ τοῦ ἀρίστου καὶ 4) τοῦ χειρίστου ἐστὶ τὸ τὰ ἀριστερὰ ὑπόκεισθαι βεβλαμμένα, τυχὸν ὁ σπλὴν, τὰ δὲ δεξιὰ ἀβλαβῶς, ἤγουν 5) τὸ ἧπαρ. δηλοῖ γὰρ τὴν πρώτην ἀρχὴν τῆς πέψεως καλῶς διάκεισθαι. εἶτα δεῖ ἡμᾶς εἰπεῖν καὶ τὴν αἰτίαν, καθ᾽ ἣν κάλλιστόν ἐστιν ὑποχόνδριον, ἐὰν συνέλθῃ τὰ προειρημένα τέσσαρα σημεῖα. καὶ τὸ μὲν μαλθακὸν σημαίνει τὸ ἀπηλλαγμένον παντὸς ὄγκου παρὰ φύσιν, τυχὸν μήτε φλεγμονὴν ἔχον, μήτε σκίῤῥον, μήτε οἴδημα καὶ τὰ τοιαῦτα. ἀλλ᾽ ἴσως ἐρεῖ τις, ὅτι 6) καὶ πόθεν δῆλον, ὅτι οἴδημα οὐκ ἔστι; καὶ γὰρ τὸ οἴδημα ὄγκος μέν ἐστιν, 7) εἴκει δὲ τῇ ἁφῇ, ὥσπερ καὶ τὸ μαλθακὸν 8) εἴκει τῇ ἁφῇ. τὸ γὰρ μαλθακὸν τῷ συντεταμένῳ ἀντίκειται. καὶ λέγομεν ὅτι οὐκ ἔστιν οἴδημα ὡς δηλοῖ ἐκ τοῦ ὀξὺ εἶναι τὸ ἐξεταζόμενον νόσημα. ἐν δὲ ὀξεῖ νοσήματι οὐδέποτε οἴδημα γίνεται ἐπὶ τὰ ὑποχόνδρια. ἀλλὰ καὶ τὸ

1) Hipp. Aph. IV. 37. 2) ὑπὸ M. 3) τοῦτο οὐχ Ἱπποκράτης φησί Mercur. in mg. M. 4) τοῦ om. M. *βεβλαμμένος* M. A. Fort. *βεβλαμμένως.* 5) τῷ ἤπατι L. 6) καὶ — καὶ γὰρ om. M. A. 7) ἥκει Codd. 8) ἥκει M.

ἀνώδυνον ἀγαθόν ἐστι. δηλοῖ γὰρ ὅτι οὐδεμία δριμύτης πλεονάζει ἐν αὐτοῖς, ἀλλ' οὐδὲ πνεύματα ἐμφωλεύουσιν, ἀλλ' οὐδὲ πλῆθος χυμῶν πλεονάζει ἐν αὐτοῖς 1) παρατεῖνον καὶ τῷ λόγῳ τούτῳ ἀνώδυνά εἰσιν. ἀλλὰ καὶ τὸ 2) ἀφλέγμαντα εἶναι δηλοῖ ὅτι οὐδεμία ζέσις ἢ φλόγωσίς ἐστιν ἐν αὐτοῖς. καὶ δεῖ αὐτὰ καὶ ὁμαλὰ εἶναι, τουτέστιν ὅμοια καὶ ἴσα 3) πάντη κατά τε ποιότητα καὶ 4) κρᾶσιν. ἐνδέχεται γὰρ ὁμαλῶς διάκεισθαι κατὰ τὸν ὄγκον, καὶ μηδεὶς ὄγκος ὢν ἐν αὐτοῖς, ἀνωμάλως δὲ κεκρᾶσθαι. καὶ ταῦτα μὲν περὶ τῶν κατὰ φύσιν ὑποχονδρίων. εἴπωμεν δὲ καὶ τὴν αἰτίαν τῶν ποιούντων παρὰ φύσιν τὰ ὑποχόνδρια. τὸ δὲ παρὰ φύσιν καὶ νοσῶδες καὶ ἄχρηστον ἐκ τῶν ἐναντίων τεσσάρων συνίσταται, ἐκ τοῦ σκίῤῥου, καὶ τῆς ὀδύνης καὶ τῆς ζέσεως καὶ τῆς ἀνωμαλίας. ταῦτα συνερχόμενα ἀλλήλοις καὶ ἐν τῷ ἅμα συνιστάμενα, κάκιστον καὶ νοσῶδες τὸ ὑποχόνδριον ἀπεργάζονται. καὶ τὸ μὲν σκληρὸν ὑποχόνδριον ἢ μεγίστην φλεγμονὴν σημαίνει ἢ ἔμφραξιν, ἅπερ ἐπὶ δαψιλεῖ ὕλῃ γίνονται, καὶ κάκιστά εἰσι ταῦτα ἐν ὀξεῖ νοσήματι. ἀλλὰ καὶ ἡ ὀδύνη κακίστη ἐστὶ διά γε τὴν ὀδυνηρὰν διάθεσιν· οὐ πᾶσα γὰρ διάθεσις ὀδύνην ἐργάζεται, ἀλλὰ 5) αἱ μέγισται διαθέσεις. ἄλλως τε δὲ κάκιστόν ἐστι τὸ ὀδυνᾶσθαι, ὅτι ἡ ὀδύνη ἐπιτείνει τὰ ῥεύματα· ἐπὶ δὲ τοῖς ῥευματισμοῖς αἱ δυνάμεις καταβάλλονται. ἀλλὰ καὶ ἡ φλόγωσις ἐν τοῖς ὑποχονδρίοις 6) κακόν ἐστι. δηλοῖ γὰρ μεγάλην ζέσιν καὶ καῦσιν, καὶ δραστήριον τὴν ποιήσασαν ὕλην καὶ ὑποκειμένην, ἐν ᾧ ταῦτα γίνεται. ἀλλὰ καὶ τὸ ἀνώμαλον κακόν ἐστιν, ἐὰν ὄγκος ἐστὶν ἐν τῷ ὑποχονδρίῳ, μάλιστα δὲ κακόν ἐστιν ἔνθα τὰ ἀμφότερα ὑποχόνδρια φλεγμαίνωσι. καὶ ἔστι τοῦτο ὁμαλὸν παρὰ φύσιν, ἐπειδὴ 7) ἀμφότερα ὁμοίως ἐφλέγμαναν. μέσον δὲ τοῦ ἀρίστου καὶ τοῦ χειρίστου ἐστὶν, ἐὰν τὰ μὲν μετέχωσι τοῦ πάθους, τὰ δὲ μὴ μετέχωσιν. εἶτα καὶ προσδιορίζεται, ὅτι τὰ τέσσαρα σημεῖα κακά ἐστι μετὰ τῶν λοιπῶν, ἐπειδὴ ἐνδείκνυται δαψίλειαν καὶ πλῆθος ὕλης, ἐφ' ᾗ οὐ μόνον τὸν πυρετὸν

1) περὶ τείνοντα M. A. 2) ἀφλέγμαντον M. 3) κατὰ πάντα M. 4) κρίσιν M. 5) αἱ om. L. 6) κάκιστον M. 7) ὁμ. ἀμφ. M.

ἀνῆψεν, ἀλλ' ἀντήρκεσε καὶ τὰ πάθη ταῦτα ποιῆσαι, ὅπερ κάκιστόν ἐστιν ἐν ὀξεῖ νοσήματι. κακὰ δὲ ἔστιν ἐν ἀρχῇ τῆς νόσου ταῦτα γιγνόμενα. ἀρχὴν δὲ ἀκουστέον ἐνταῦθα τὴν εἰκοστὴν ἡμέραν. ἡ γὰρ εἰκοστὴ ἡμέρα ἀκμή ἐστι τῆς φλεγμονῆς, ἀρχὴ δὲ τῆς ἀποστάσεως καὶ πυοποιήσεως. δεῖ γὰρ εἰδέναι, ὅτι ἐὰν ἔῤῥωται ἡ δύναμις, καὶ ὡσαύτως 1) μένει ἡ ὀξύτης τοῦ πυρετοῦ μετὰ τὴν εἰκοστὴν ἡμέραν, εἰς πυοποίησιν 2) τρέπεται τὸ ἀπόστημα. εἰ δέ γε ἀσθενής ἐστιν ἡ δύναμις καὶ ὑποχαλάσῃ ὁ πυρετὸς καὶ βληχρότερος γένηται μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἢ θάνατον σημαίνει, ἢ 3) μῆκος νόσου, ὅπερ καὶ αὐτὸ κάκιστόν ἐστι. πολλάκις δὲ πρὸ τῆς εἰκοστῆς ἡμέρας ἡ φύσις κριτικῶς κινουμένη, δι' αἱμοῤῥαγίας κινοῦσα τὴν ὕλην, ἀπαλλάσσει τοῦ πάθους τὸ ὑποχόνδριον. προγινώσκομεν δὲ τὴν μέλλουσαν κρίσιν δι' αἱμοῤῥαγίας γενέσθαι ἀπὸ ἕξ τινων. οἱ τοιοῦτοι 4) κνῶνται τὴν ῥῖνα, τὰ μῆλα τοῦ προσώπου αὐτῶν ἐρυθραίνονται, πυραυγῆ καὶ ἐρυθρὰ φαντάσματα ὁρῶσιν, ἡλικία ἀκμαστικὴ, κεφαλαλγία αὐτοῖς γίνεται 5) ἄλογος καὶ ἀμβλυώττουσιν.

Εἰ δὲ καὶ σφυγμὸς εἴη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει ἢ παραφροσύνην. —

Τινὰ τῶν ἀντιγράφων παλμὸν ἔχει. κακὸν δὲ ἐστι σημεῖον. ὁ γὰρ παλμὸς ἐπὶ παχεῖ καὶ ψυχρώδει καὶ φυσώδει πνεύματι γίνεται. κακὸν οὖν 6) ἐστι παλμὸν γίνεσθαι ἐν ὀξεῖ νοσήματι, ἐπειδὴ ξένον καὶ ἀλλότριόν ἐστι τὸ ἐπιγενόμενον σύμπτωμα. 7) τινὰ δὲ, εἰ δὲ καὶ σφυγμός ἐστι, κακόν ἐστι καὶ τοῦτο σημεῖον. δηλοῖ γὰρ ἢ θόρυβον τουτέστι δυσφορίαν τῷ κάμνοντι, ἀλλὰ καὶ τῷ τεχνίτῃ ἀγῶνα περὶ τὰ πρακτέα διὰ τὸ μέγεθος τοῦ πάθους. σφυγμὸν δὲ λέγει ἐνταῦθα τὴν σφυγματώδη ὀδύνην, θλιβομένου καὶ στενοχωρουμένου τοῦ μεγάλου σφυγμοῦ, λέγω δὴ τῆς ἀρτηρίας. αὕτη γὰρ ἡ ἀρτηρία ἤγουν ἡ ἀορτὴ πλησιάζει τῷ στομάχῳ καὶ τῷ διαφράγματι καὶ τῷ ἥπατι. τούτων οὖν φλεγμαινόντων τῶν ὑποχονδρίων, ἐν

---

1) μένῃ M. 2) τρέπει M. A. 3) ὕπνος L. 4) κενοῦνται L. 5) ἄλγος M. 6) ἐπὶ Codd. ἐπὶ παλ. γίν. om. M. 7) τινὰ om L. σφυγμὸν ἔχει M. A.

τῷ σφύζειν οὐ δύναται ἀβιάστως ἐν τῷ κατὰ φύσιν διασταλῆναι, ἀλλ' ἐν τῷ σφύζειν πλήττει τὸ φλεγμαῖνον μόριον καὶ ποιεῖ τὴν σφυγματώδη ὀδύνην, ὅπερ κάκιστόν ἐστιν ἐν ὀξεῖ νοσήματι. σημαίνει γὰρ παραφροσύνην, ἐπειδὴ ὁ ἐγκέφαλος συμπάσχει τοῖς νευρώδεσι μορίοις, ἔνθα ἢ πολλὰ 1) νεῦρα καταφύονται ἢ μέγιστα. ἐπειδὴ οὖν ἐνταῦθα ὁ στόμαχος 2) πολλὰ νεῦρα ὑποδέχεται, ἀλλὰ καὶ μέγιστα, ἐπὶ τῇ φλεγμονῇ τοῦ στομάχου ὁ ἐγκέφαλος ἄγεται εἰς συμπάθειαν διὰ τὴν συγγένειαν τῶν νεύρων, καὶ γίνεται ἡ παραφροσύνη. εἶτα ἐπειδὴ ἔφη ὅτι ἢ θόρυβον σημαίνει ἢ παραφροσύνην, καὶ προσδιορισμὸν τίθησι, πῶς ὀφείλομεν γνῶναι εἴτε παραφροσύνη μέλλει γενέσθαι εἴτε θόρυβος. καὶ λέγει ὅτι δεῖ τοὺς ὀφθαλμοὺς θεωρῆσαι, καὶ εἰ μὲν ἀστήρικτοί εἰσι καὶ τρομωδῶς κινοῦνται, γίνωσκε ὅτι παραφροσύνην σημαίνει. ἡ γὰρ τοιαύτη κίνησις τῶν ὀφθαλμῶν ἐπὶ βλάβῃ τῶν κινούντων μυῶν γίνεται. ἡ δὲ βλάβη τῶν κινούντων μυῶν δηλοῖ τὸ πρῶτον γένος τοῦ νευρώδους γένους κακῶς διακείμενον· τὸ δὲ νευρῶδες γένος δηλοῖ τὸν ἐγκέφαλον βεβλαμμένον, ἐφ' 3) ᾧ ἡ παραφροσύνη ἕπεται. εἰ δὲ κατὰ φύσιν κινοῦνται οἱ ὀφθαλμοὶ, θόρυβον σημαίνει καὶ δυσφορίαν τοῦ κάμνοντος καὶ ἀγῶνα τῷ τεχνίτῃ περὶ τὰ πρακτέα διὰ τὸ μέγεθος τῆς διαθέσεως. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἡ μανία 4) ἐπιτεταμένη ἐστὶ παραφροσύνη.

Ἢν γὰρ αἱ ὄψεις πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς. —

Ἐκ τούτου τοῦ ῥησιδίου κατασκευάζουσιν οἱ ἐξηγηταὶ ὅτι ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικόν. ἐὰν γὰρ 5) ἣ βλάβη τῶν ὀφθαλμῶν, δηλοῖ τὸν ἐγκέφαλον κακῶς διακείμενον, ἡ δὲ παραφροσύνη βλάβη ἐστὶ τοῦ ἡγεμονικοῦ· οὐκοῦν ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικόν. ὁ δὲ 6) νέος ἐξηγητὴς λέγει ὅτι, καὶ πόθεν δῆλον ὅτι ἐν καρδίᾳ οὐκ ἔστι τὸ ἡγεμονικόν; τὶ γὰρ ὅτι 7) ἡ βλάβη τῶν ὀφθαλμῶν τὴν καρδίαν ἐνδείκνυται 8) πεπονθέναι, καὶ οὐ τὸν ἐγκέφαλον τρόπῳ

---

1) τὰ add. M. 2) καὶ add. M. 3) ὧν L. 4) ἐστὶν ἐπιτ. M. 5) ἡ L. 6) Hinc patet, plurium interpretum commentarios Stephanum compilasse. 7) ἡ om. L. 8) βεβλαμμένην M. A.

τοιούτῳ· πυρετὸς ὑπόκειται ὀξύς· ἐπὶ τῷ πυρετῷ βλάπτεται ἡ καρδία· ἐπὶ τῇ βλάβῃ τῆς καρδίας οὐ πέμπεται ζωτικὸς τόνος 1) καὶ εὐκρασία ἐπὶ τὸν ἐγκέφαλον. ζωτικοῦ δὲ τόνου μὴ πεμπομένου, οὐ τίκτεται 2) ζωτικὸν πνεῦμα· τοῦ δὲ ζωτικοῦ πνεύματος μὴ τικτομένου, οὐ πέμπεται δῆλον ἐπὶ τοὺς ὀφθαλμοὺς, ἐν ᾧ ἔχουσι τὸ διογκοῦσθαι ἐν τῷ κατὰ φύσιν. καὶ ἰδοὺ 3) ἡ βλάβη τῶν ὀφθαλμῶν δηλοῖ τὴν καρδίαν πεπονθυῖαν. βεβλαμμένης δὲ οὔσης τῆς καρδίας, διὰ τῶν ἀρτηριῶν πέμπεται ἐπὶ τὸν ἐγκέφαλον καὶ βλάπτεται ὁ ἐγκέφαλος καὶ ἐκ τοῦ σύνεγγυς μεταδίδωσι 4) τὴν βλάβην καὶ τοῖς ὀφθαλμοῖς. καὶ κατὰ μὲν πρῶτον λόγον διὰ τὴν καρδίαν γέγονεν ἡ βλάβη καὶ τοῦ ἐγκεφάλου καὶ τῶν ὀφθαλμῶν. εἰ δὲ ταῦτα οὕτως, ἐν καρδίᾳ ἐστὶ τὸ ἡγεμονικὸν, καὶ μέχρι τοῦ νῦν ἐν 5) δισταγμῷ ἐστιν ἡ τοιαύτη ζήτησις, εἴτε ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικὸν εἴτε ἐν καρδίᾳ.

Ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. —

Ὁ Ἱπποκράτης πάντα ὄγκον οἴδημα καλεῖν εἴωθεν, καὶ δεῖ εἰδέναι ὅτι πάντες ὄγκοι ἢ διαφοροῦνται ἢ κατὰ ποιότητα μεταβάλλονται. καὶ οἱ μὲν διαφορούμενοι πέρας τὴν εἰκοστὴν ἡμέραν ἔχουσιν, οἱ δὲ κατὰ ποιότητα μεταβαλλόμενοι, εἰ μὲν ἔῤῥωται ἡ δύναμις καὶ ἡ σφοδρότης τοῦ πυρετοῦ ὡσαύτως μένει, μετὰ τὴν εἰκοστὴν ἡμέραν εἰς πυοποίησιν μεταβάλλει τοὺς ὄγκους. εἰ δὲ ἀσθενής ἐστιν ἡ δύναμις καὶ ὁ πυρετὸς βληχρότερος γίνεται, μεταβάλλει μὲν τοὺς ὄγκους, ἀλλ' εἰς 6) νοσώδη καὶ δυσώδη τινὰ ὑγρότητα.

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα χρονιωτέρας καὶ τὰ ἑξῆς. —

Νῦν ὁ συγγραφεὺς περὶ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ὑποχονδρίοις σημειοῦται, καὶ τὴν 7) ἑξηκοστὴν ἡμέραν ἀρχὴν τῆς πυοποιήσωες τίθησιν, ἐπειδὴ 8) οὐ πέφυκε διαφορεῖσθαι

---

1) *ἐπὶ τ. ἐγκ. καὶ εὐκρ.* M. A. 2) *ψυχικὸν* Mercurialis in mg. M. et postea *ψυχικοῦ* loco *ζωτικοῦ*. 3) *τῶν ὀφθ. ἡ βλάβη* M. 4) *τῆς βλάβης* M. 5) *διστασμοῖς* M. 6) *δυσ. καὶ νοσ.* M. A. 7) *εἰκοστὴν* L. 8) *τὰ οἰδ. οὐ πέφ. διαφ.* M. A.

τὰ οἰδήματα διὰ τὴν ὕλην, ἀλλὰ πυοποιοῦνται. καὶ ἴσως ἀπορεῖ τις λέγων, ὅτι καὶ πόθεν δῆλον, ὅτι περὶ τοῦ κυρίου οἰδήματος διαλέγεται; καὶ λέγομεν ὅτι ἐξ ὧν εἴρηκε, δῆλον ὅτι περὶ τοῦ 1) κυρίου οἰδήματος διαλεγόμενος· ἔφη γὰρ τὰ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ 2) πιεζόμενα καὶ ὑπείκοντα καὶ τὰ λοιπά. ταῦτα δὲ πάντα 3) οἰδήματός εἰσι χαρακτηριστικά. εἶτα καὶ ἀποροῦσι πάλιν, ὅτι καὶ τί δήποτε περὶ ὀξέων νοσημάτων προθέμενος διαλεχθῆναι ὁ Ἱπποκράτης 4) ἑξηκοστῆς ἡμέρας ἐμνημόνευσε, καίτοι τῶν ὀξέων νοσημάτων οὐδέποτε ἐν τῇ ἑξηκοστῇ ἡμέρᾳ περιγραφομένων, ἀλλὰ τῶν χρονίων ἐστὶν ἡ ἑξηκοστὴ ἡμέρα; καὶ λέγομεν τούτου δύο αἰτίας, μίαν μὲν ὅτι πολλάκις οἱ συγγραφεῖς κατὰ παρέκβασιν ὑπερβαίνουσι τὴν τάξιν διὰ τὸ μηδὲν παραλιπεῖν, ἢ τοῦτο εἰπὲ ὅτι τῇ ἀκολουθίᾳ καὶ τῇ ὁμοιότητι 5) παρακολουθοῦντες οἱ συγγραφεῖς παρεκβαίνουσι τοῦ οἰκείου σκοποῦ, ὅπερ νῦν πεποίηκεν ὁ Ἱπποκράτης. ἐπειδὴ γὰρ περὶ πυοποιήσεως φλεγμονῆς διελέγετο, ηὕρισκε καὶ τὸ οἴδημα πυοποιούμενον· διὰ τοῦτο τοῦ οἰκείου σκοποῦ μετῆλθε καὶ ἐπὶ τοῦτο μετήγαγε τὸν λόγον. δεῖ δὲ εἰδέναι ὅτι τὸ οἴδημα καὶ μακροχρόνιόν ἐστι διὰ τὴν ὕλην. 6) ψυχρὸν γάρ ἐστιν, ἀλλὰ καὶ ἀκίνδυνον, ἐπειδὴ 7) ἀνώδυνόν ἐστιν. οὐδὲν γὰρ οὕτως καταβάλλει τὰς δυνάμεις ὡς αἱ ὀδύναι. καὶ ἰστέον ὅτι πάντες οἱ ὄγκοι ἢ πρωιαίτερον ἢ ὀψιαίτερον πυοποιοῦνται διά τε τὴν ὕλην καὶ διὰ τὸ μόριον. καὶ διὰ μὲν τὴν ὕλην τριχῶς, παρά τε τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὴν σύστασιν τῆς ὕλης. καὶ παρὰ μὲν τὴν σύστασιν ἡ λεπτὴ ὕλη πρωιαίτερον πυοποιΐσκεται, ἡ δὲ παχεῖα ὀψιαίτερον· παρὰ δὲ τὴν ποιότητα, ἡ θερμὴ ὕλη πρωιαίτερον, ἡ δὲ ψυχρὰ ὀψιαίτερον. παρὰ δὲ ποσότητα, ἡ ὀλίγη ὕλη πρωιαίτερον πυοποιΐσκεται, ἡ δὲ πολλὴ ὀψιαίτερον. τινὲς δὲ ἐκ τοῦ ἐναντίου λέγουσιν ὅτι ἡ πολλὴ ὕλη πρωιαίτερον πυοποιΐσκεται, ἐπειδὴ τῷ πλήθει κατεπείγεται ἡ φύσις, στενοχωρουμένη ὑπὸ τοῦ πλήθους καὶ

---

1) κυρίως L. 2) πιεζ. καὶ om. M. A. 3) οἰδήματα L. 4) Hippocrates vigesimum diem statuit. 5) κατακολ. M. 6) ψυχρὰ L. 7) ἄνωθεν ὄν. L.

κινουμένη συντόνως, πρωιαίτερον πυοποιεῖ αὐτήν. παρὰ δὲ τὸ πεπονθὸς διάφορον μόριον τετραχῶς, παρά τε το ἀξίωμα τοῦ μορίου, καὶ παρὰ τὴν θέσιν καὶ παρὰ τὴν κράσιν. 1) καὶ παρὰ τὴν ἀξίαν γοῦν τῶν κυριωτέρων μορίων, μᾶλλον φροντίζουσα ἡ φύσις, ἐὰν ὑποστῇ ὄγκος τις ἐν κυρίῳ μορίῳ, κήδεται αὐτοῦ καὶ ἐπεγείρεται, ὥστε ἀπαλλάξαι αὐτὸ τῶν λυπέντων, καὶ πρωιαίτερον πυοποιεῖ 2) αὐτόν. εἰ δὲ ἀκυρότερόν ἐστι τὸ μόριον, οὐχ οὕτως φροντίζει αὐτοῦ καὶ ὀψιαίτερον πυοποιεῖ τὸν ὄγκον· διὸ μᾶλλον φροντίζει ἥπατος πάσχοντος ἤπερ γαστρὸς, καὶ μᾶλλον κήδεται γαστρὸς ἤπερ σπληνὸς, καὶ μᾶλλον σπληνὸς ἤπερ ἐντέρων. παρὰ δὲ τὴν θέσιν, ὅσα πλησιάζει κυρίοις μορίοις, πρωιαίτερον 3) πυοποιεῖ τοὺς ὄγκους τυχὸν τὰ παρακείμενα μόρια τῷ διαφράγματι καὶ ἥπατι καὶ καρδίᾳ καὶ τοῖς τοιούτοις. φροντίζει γὰρ ἡ φύσις, ἵνα μὴ ἐκ τοῦ σύνεγγυς μετασχῇ τῆς κακίας τὰ κύρια μόρια, καὶ πρωιαίτερον πυοποιεῖ αὐτά. εἰ δὲ ἀφεστήκασιν, ὀψιαίτερον πυοποιοῦνται. διὰ δὲ τὴν κράσιν, τὰ μὲν θερμότερα πρωιαίτερον πυοποιοῦνται, τὰ δὲ ψυχρότερα ὀψιαίτερον: καὶ τὰ μὲν μαλθακὰ καὶ μανὰ, πρωιαίτερον διὰ τὴν θερμότητα, τὰ δὲ σκληρὰ 4) καὶ πυκνὰ ὀψιαίτερον, διὰ τὴν ψυχρότητα, ὥσπερ νεῦρα καὶ μύες καὶ τὰ τοιαῦτα. τινὲς καὶ ἐνταῦθα ἐκ τοῦ ἐναντίου λέγουσιν, ὅτι τὰ πυκνὰ καὶ 5) στεγνὰ, ἐπειδὴ ἐναποκέκλεισται τὸ ἐν αὐτοῖς θερμὸν, πρωιαίτερον πυοποιοῦνται κατὰ τὸ εἰρημένον 6) ἐν ἄλλοις ὑπὸ τοῦ Ἱπποκράτους, ὁκόσα πεπαίνεσθαι χρὴ, ἐγκατακεκλεῖσθαι 7) χρή. οὕτως δὲ καὶ ἐν τῇ συνηθείᾳ ποιοῦμεν, τὰ δεόμενα πυοποιήσεως οὐ τοῖς διαφοροῦσι κεχρήμεθα, ἀλλὰ τοῖς πυκνοῦσιν. εἶτα καὶ προσδιορισμὸν τίθησιν· ἐπειδὴ γὰρ περὶ οἰδήματος αὐτῷ ὁ λόγος, λέγει καὶ ποία ἡ ἀρίστη ἐστὶ ῥῆξις ἐπὶ τῶν ἀποστημάτων. φησὶ γὰρ ὅτι ὁκόσα ἔσω ῥήγνυται, ἄριστά ἐστι. καὶ ἵνα σαφῶς τοῖς λεγομένοις παρακολουθήσωμεν, δεῖ εἰδέναι, ὅτι αἱ ῥήξεις τῶν ἀποστημάτων ἢ ἐντὸς γί-

---

1) καὶ παρὰ μὲν τὸ ἀξίωμα M. A. γοῦν om. M. 2) αὐτὴν M. 3) πυοποιεῖται L. 4) καὶ πυκνὰ om. L. πρωϊαίτερον L. 5) στεγανὰ L. 6) ἐν ἄλλοις om. L. Hipp. Epidem. VI. 7) δεῖ M. A.

νονται ἢ ἐκτὸς, ἢ κατὰ τὸ συναμφότερον καὶ ἐντὸς καὶ ἐκτός. καὶ ἡ μὲν ἐπὶ τὰ ἐκτὸς γινομένη ῥῆξις πασῶν ἀγαθωτέρα καὶ ἀκίνδυνός ἐστιν· ἡ δὲ κατὰ τὸ συναμφότερον χειρίστη πασῶν ἐστιν· ἡ δὲ ἐπὶ τὰ ἐντὸς μέσως πώς ἐστι τούτων· πρὸς μὲν τὴν ἐπὶ τὰ ἐκτὸς ῥῆξιν χεῖρόν ἐστι, πρὸς δὲ τὴν κατὰ τὸ συναμφότερον εὐϊατοτέρα ἐστὶ καὶ ἀκίνδυνος, ἐπειδὴ ἡ κατὰ τὸ συναμφότερον γινομένη ῥῆξις οὐ μόνον ἐπὶ τὰ ἐντὸς 1) μολύνει τὸ ἔμφυτον θερμὸν, ἀλλὰ καὶ ἐπὶ τὰ ἐκτὸς συριγγοῖ τοὺς τόπους ἐκείνους καὶ κατανέμεται. ὅταν οὖν ὁ Ἱπποκράτης ἐπαινῇ τὴν ἐπὶ τὰ ἐντὸς ῥῆξιν, ἀρίστην αὐτὴν ὑποτιθέμενος, οὐ πρὸς τὴν ἔξωθεν γινομένην ῥῆξιν παραβάλλων ταῦτα λέγει, ἀλλὰ τὴν πρὸς τὸ συναμφότερον γινομένην.

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιέεται. —

Οὐ ταυτολογεῖ ἐνταῦθα ὁ Ἱπποκράτης, εἰπὼν μαλθακὰ καὶ πάλιν τῷ δακτύλῳ ὑπείκοντα, ἀλλ' ἵνα ἐπίτασιν τῆς ὁμαλότητος δηλώσῃ, ἔφη καὶ τῷ δακτύλῳ ὑπείκοντα, ἐπειδὴ οὐ πᾶν μαλθακὸν ὑπείκει τῷ δακτύλῳ· τὸ δὲ εἰπεῖν τὰς κρίσιας ποιέεται, τὴν πυοποίησιν ἐδήλωσε τουτέστιν ὅτι χρονιωτέρας τὰς πυοποιήσεις ποιέεται ἐπὶ τῶν οἰδημάτων. καὶ σκόπησον, ὅτι τῷ τῆς κρίσεως ὀνόματι οἱ παλαιοὶ οὐ μόνον ἐπὶ τῶν ὀξέων νοσημάτων 2) τιθέασιν, ἀλλὰ καὶ ἐπὶ τῶν χρονίων, ὥσπερ ἐνταῦθα.

Καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό. —

Ἰστέον ὅτι ὁ Ἱπποκράτης κοιλίαν οὐ μόνον τὴν γαστέρα καὶ τὰ ἔντερα καὶ τὸν θώρακα καλεῖ, ἀλλὰ καὶ τὸν σπλῆνα καὶ τὸ ἧπαρ κοιλίας καλεῖ 3) ἐνταῦθα. περὶ γὰρ τῶν ὑποχονδρίων αὐτῷ ὁ λόγος.

Τὸ δὲ πῦον ἄριστον λευκόν τε καὶ λεῖον, καὶ ὁμαλὸν καὶ ὡς ἥκιστα δυσῶδες. —

Διαλεχθεὶς ὁ Ἱπποκράτης περὶ τῶν πυοποιουμένων εἰς τὰ ὑποχόνδρια ἀποστημάτων νῦν σημειοῦται αὐτὰ,

---

1) *μολύνει — ἐκτὸς* om. L. 2) Fort. *χρῶνται.* 3) *ὁ Ἱπποκράτης* add L.

καὶ ἀπὸ τοῦ κενουμένου τουτέστι τοῦ πύου, καὶ λέγει ποῖον ἄριστόν ἐστι, καί φησι, ὅτι τὸ ἄριστον πῦον λευκόν τε εἶναι καὶ λεῖον καὶ ὁμαλὸν καὶ ἥκιστα δυσῶδες, ὅπερ γίνεται καὶ ἐπὶ ἰσχύι δυνάμεως καὶ συμμετρίᾳ τοῦ ἐμφύτου θερμοῦ. λοιπὸν δεῖ ἡμᾶς καὶ τὰς αἰτίας εἰπεῖν, ἀλλ᾽ ἵνα τοῦτο σαφῶς διαγνῶμεν, δεῖ ἡμᾶς ἐπιμνησθῆναι τίνων μεμαθήκαμεν ἐν φυσικοῖς, ὅτι τέσσαρές εἰσιν αἱ φυσικαὶ δυνάμεις καὶ ὅτι ἡ ἀλλοιωτικὴ δύναμίς ἐστιν ἡ ἀλλοιοῦσα καὶ πέττουσα καὶ ἐξομοιοῦσα τὴν τροφὴν ὁμοίαν τῷ τρεφομένῳ μορίῳ. ἀλλὰ καὶ τοῦτο ἴσμεν, ὅτι τὰ μόρια πρὸς ἑαυτὰ ἐξομοιοῦσι τὴν τροφὴν καὶ οὕτως τρέφονται. 1) οὐδὲν γὰρ ἄλλο ἐστὶ θρέψις ἢ ὁμοίωσις τοῦ τρέφοντος πρὸς τὸ τρεφόμενον. ἀλλὰ καὶ τοῦτο ἴσμεν ὅτι τὰ στερεὰ μόρια λευκά ἐστιν ὥσπερ χόνδροι καὶ νεῦρα, καὶ ὑμένες καὶ φλέβες καὶ ἀρτηρίαι καὶ τὰ τοιαῦτα, ὅτι ἐκ σπέρματος 2) ἔχοντα τὴν γένεσιν ἐκ σπέρματος καὶ τρέφονται. τὸ γὰρ λόγῳ τροφῆς φερόμενον ἐν αὐτοῖς αἷμα, ἐξομοιοῦσιν 3) αὐτὸ πρὸς τὴν οἰκείαν φύσιν καὶ ἐκσπερματοῦσι καὶ οὕτως τρέφονται. τούτων οὕτως εἰρημένων, σαφὴς καὶ δήλη γέγονεν ἡμῖν ἡ αἰτία, καθ᾽ ἣν λευκὸν γίνεται τὸ πῦον. τοῦτο δὲ τὸ συῤῥεῦσαν αἷμα ἐν τοῖς ὑποχονδρίοις καὶ ποιῆσαν τὴν φλεγμονὴν ἢ σήπεται ἢ πέττεται. καὶ εἰ μὲν ἀσθενής ἐστιν ἡ δύναμις, καὶ τὸ 4) ἔμφυτον θερμὸν ἐξέστη τῶν οἰκείων ὅρων, τουτέστι τῆς εὐκρασίας, καὶ δύσκρατον γέγονε, τότε οἷον ὡς ἀπὸ ἀψύχου τινὸς ἀπρονόητον μένον σήπεται. εἰ μέντοι ἔῤῥωται ἡ δύναμις καὶ τὸ ἔμφυτον θερμὸν εὐκράτως διάκειται ὡς προνοούμενον, τότε τὸ αἷμα 5) πέττεται καὶ τὸ ἄριστον πῦον γίνεται. χαρακτηρίζεται δὲ ἀπὸ τῆς εὐκρασίας. ἐὰν γὰρ ἀσθενῶς διάκειται ἡ δύναμις καὶ τὸ ἔμφυτον θερμὸν τῆς οἰκείας κράσεως ἐξέστηκε, τότε πέττεται μὲν, ἀλλὰ τὸ χείριστον καὶ δυσῶδες γίνεται πῦον. εἰ μέντοι ἔῤῥωται ἡ δύναμις καὶ 6) εὐκράτως διάκειται τὸ ἔμφυτον θερμὸν, ὡς ἀνεπίμικτον ἔχον τὴν ποιητικὴν αἰτίαν, καὶ ἐπαμφοτερίζον, τότε τὸ ἄριστον πῦον γίνεται, ὅπερ

1) ὅρος θρέψεως in mg. L. Argumentum. 2) ἔχουσα M. 3) αὐτῷ M. A. 4) ἐμφυτευθὲν M. A. 5) σήπεται L. 6) ἀκράτου A.

1) αὐτὸς ἔφη, ἥκιστα δυσῶδες. ἐπειδὴ 2) δὲ τὸ συῤῥεῦσαν αἷμα ἔξω τῶν ἀγγείων γενόμενον παρὰ φύσιν λοιπόν ἐστι, καὶ οὐχ αἷμά ἐστι κυρίως, διὰ τοῦτο ἧττον μετέχει 3) τῆς δυσωδίας. λευκὸν οὖν τὸ πῦον γίνεται, ἐπειδὴ εἰς τὸ χρῶμα τῶν στερεῶν ἄγεται. ἡ γὰρ μεταβολὴ τοῦ συῤῥεύσαντος αἵματος ἐν τοῖς ὑποχονδρίοις, τοῦ τὴν φλεγμονὴν ἐργασαμένου, ἡνίκα εἰς πυοποίησιν τρέπεται, ἐν τοῖς στερεοῖς γίνεται, ὥσπερ καὶ το σπέρμα ἐν αὐτοῖς τοῖς στερεοῖς μεταβάλλεται. ἀλλὰ τὸ μὲν σπέρμα ὑπὸ τοῦ κατὰ φύσιν αἵματος γίνεται τοῦ λόγῳ τροφῆς φερομένου ἐν τοῖς στερεοῖς μορίοις, καὶ οὕτω μεταβαλλόμενον εἰς σπέρματος φύσιν ἀποσπερματοῦται. τὸ δὲ πῦον ἀπὸ ἀχρήστου 4) ὕλης καὶ ἀπρονοήτου γίνεται. ἄριστον δὲ πῦον λέγομεν, αὐτὸ παραβάλλοντες πρὸς τὸ 5) κάκιστον πάντη πῦον, διὰ τὴν ἐπικράτειαν τῆς τε δυνάμεως καὶ τῆς εὐκρασίας τοῦ ἐμφύτου θερμοῦ. ἐπειδὴ δὲ ἐξ ἀχρήστου ὕλης γίνεται, διὰ τοῦτο δυσῶδές ἐστιν ὀλίγον· διὰ τοῦτο καὶ δεύτερον πλοῦν 6) λέγομεν τὴν φύσιν ὁδεύειν ἐπὶ τῆς πυοποιήσεως διὰ τὸ ἀνεπιτηδείως ἔχειν τὴν ὕλην πρὸς τὸ τὴν ἀκριβῆ πέψιν καὶ ἀλλοίωσιν ἐπιδέξασθαι. καὶ ἴσως ἀπορεῖ τις λέγων, ὅτι ἐπειδὴ ἡ φλεγμονὴ μάλιστα ἐν ταῖς σαρξὶ συνίσταται, ἔδει ποτὲ καὶ ἐρυθρὸν γενέσθαι τὸ πῦον, ὀφειλουσῶν τῶν σαρκῶν πρὸς τὴν ἑαυτῶν φύσιν ἐξομοιῶσαι τὸ συῤῥεῦσαν αἷμα. καὶ λέγομεν ὅτι 7) τὸ αἷμα ἡνίκα πλεονάζει κατὰ ποσότητα, διηθεῖται ἐκ τῶν ἀγγείων, κατὰ ἀπολακτισμόν τινα, καὶ φέρεται εἰς τὰς κενὰς χώρας. 8) εἶτα ἐνεχθὲν ἐς τὰς κενὰς χώρας καὶ ἀπρονόητον μένει καὶ σήπεται καὶ σηπόμενον δαπανᾷ τὰς 9) παρακειμένας σάρκας. ἐπειδὴ δέ εἰσιν ἶνες ἐν αὐταῖς καὶ ὑμένες, ταῦτα δὲ ὡς δυσπαθῆ οὐ πάσχουσί τι, ἀλλὰ μένουσι καὶ πρὸς τὴν οἰκείαν φύσιν ἐξομοιοῦσι καὶ λευκὸν ἀπεργάζονται ἐκεῖνο τὸ αἷμα, τὸ τηνικαῦτα πῦον. ἀλλ' ἴσως ἀπορήσει τις λέγων, ὅτι ὅλη οὖν ἡ σὰρξ δαπανᾶται, καὶ μὴν ὁρῶμεν ἐπὶ τῶν ἑλκῶν,

---

1) αὐτὸ M. 2) καὶ M. 3) τῆς om. M. 4) καὶ ἀπρ. ὕλ. M. 5) πάντη κάκ. M. 6) ἐλέγομεν M. 7) ἡνίκα τὸ αἷμα M. 8) εἶτα — χώρας om. L. 9) παρειμένας L.

ὅτι πολλάκις αἱ σάρκες οὐδὲ φθείρονται, οὐδ' ἶνες 1) πάντη διαφθείρονται· ἐπείτοι γε πῶς τὰ ἕλκη σαρκοῦνται ἀπὸ τοῦ πάντη μὴ ὄντος; ἐὰν γὰρ μηδόλως ἐστὶ σὰρξ περιλειφθεῖσα, οὐκοῦν οὐδὲ σαρκοῦνται, ἀλλὰ μὴν σαρκοῦνται καὶ ἐμμένει σὰρξ, καθ' ἣν ἀναπληροῦται ἡ δαπανηθεῖσα σὰρξ ἐπὶ τῶν ἑλκῶν; καὶ λέγομεν ὅτι εἰ καὶ μένουσι σάρκες τινὲς, ἀλλ' οὖν αἱ σάρκες εὐπαθεῖς εἰσι, καὶ ὡς εὐπαθεῖς οὐκ ἐξομοιοῦσιν ὡς πρὸς τὴν οἰκείαν φύσιν καὶ ἐρυθρὸν ποιοῦσι τὸ πῦον, ἀλλ' αἱ ἶνες ἰσχυραὶ οὖσαι καὶ δυσπαθεῖς πρὸς τὴν οἰκείαν φύσιν ἐξομοιοῦσι τὸ αἷμα ἐκεῖνο καὶ λευκὸν τὸ πῦον γίνεται. ὅθεν ἐὰν ἐν ἥπατι ὑποσταίη φλεγμονὴ, 2) ἡ πυοποίησις οὐ γίνεται 3) ἀκριβῶς λευκὴ διὰ τὸ πλεῖστον τοῦ παρεγχύματος τοῦ ἥπατος σαρκῶδες εἶναι· ὀλίγας δὲ ἶνας ἡ φύσις ἐν αὐτῷ ἐνέθηκε, καὶ διὰ τοῦτο οὐκ ἀκριβῶς λευκὸν γίνεται τὸ πῦον διὰ τὴν ὀλιγότητα τῶν ἰνῶν. αὕτη οὖν ἐστιν ἡ αἰτία, καθ' ἣν λευκὸν γίνεται τὸ πῦον καὶ ἧττον δυσῶδες καὶ λεῖον.

Τὸ λεῖον κατὰ τὸν χρόνον δεῖ νοῆσαι, ὅτι δεῖ λευκὸν εἶναι τὸ πῦον ἀείσε καὶ μή ποτε μὲν λευκὸν, ποτὲ δὲ φαιὸν ἢ τρυγῶδες καὶ τὰ τοιαῦτα.

Καὶ ὁμαλόν. —

Τὸ ὁμαλὸν, δεῖ 4) αὐτὸ κατὰ τὸ ὁμοιομερὲς ὑπολαβεῖν· τοῦτο δὲ διττόν ἐστι κατὰ τὴν σύστασιν καὶ κατὰ τὸν χρόνον· καὶ κατὰ μὲν τὴν σύστασιν, ἵνα μὴ τὸ μὲν αὐτοῦ μέρος ἐστὶ παχὺ, τὸ δὲ λεπτὸν, ἀλλ' ὅμοιον κατὰ πᾶν ἑαυτῷ. κατὰ δὲ τὸν χρόνον, ἵνα μή ποτε μὲν φαιόν ἐστι, ποτὲ δὲ ἀμόργη, καὶ τὰ τοιαῦτα, ἀλλὰ κατὰ πᾶν ἑαυτῷ λευκότατον δεῖ εἶναι· τοῦτο ἔστι τὸ ἄριστον πῦον καὶ κατὰ φύσιν. τὸ δὲ παρὰ φύσιν ἐστὶ τὸ μὴ ὂν λευκὸν μηδὲ λεῖον, ἀλλὰ σήμερον μὲν τρυγῶδες, αὔριον δὲ κυανοῦν, ποτὲ δὲ μελάντερον καὶ τὰ τοιαῦτα. ἀλλὰ καὶ ἀνώμαλον αὐτὸ δεῖ εἶναι 5) κατά τε τὴν σύστασιν καὶ τὸν χρόνον· ποτὲ μὲν γὰρ παχὺ, ποτὲ δὲ λεπτὸν, ποτὲ δὲ ἐκτετηκὸς καὶ τὰ τοιαῦτα.

---

1) πάντη om. M. 2) πυοποιηθῇ M. A. 3) ἀκριβὴς Codd.
4) αὐτῷ M. αὐτὸν A. 5) καὶ τὰ τοιαῦτα τὴν L.

ἔστι δὲ καὶ μέσον πῦον· τούτου δὲ πολλή ἐστιν ἡ διαφορὰ πρὸς τὴν κρᾶσιν τούτων ἢ ἐκείνων καὶ παρὰ τὸ μᾶλλον καὶ ἧττον γινόμενον πρὸς τὸ πλησιάζον.

Καὶ ἥκιστα δυσῶδες. —

Δεῖ εἰδέναι ὅτι τριττή ἐστιν ἡ πέψις, πρώτη μὲν ἡ κατὰ φύσιν, ὥσπερ ἡ χυλοποίησις καὶ ἡ ἐξαιμάτωσις, δευτέρα δὲ ἡ παρὰ φύσιν, ὥσπερ ἡ σῆψις, καὶ τριττὴ πέψις ἐστὶν ἡ μέση τούτων, καθ᾽ ἣν τὸ πῦον γίνεται. τοῦτο δὲ τὸ πῦον ἥκιστά ἐστι δυσῶδες διὰ τὴν ἐπικράτειαν τῆς τε δυνάμεως καὶ 1) τῆς εὐκρασίας τοῦ ἐμφύτου θερμοῦ. ἀλλ᾽ ἐπειδὴ ἐπίμικτός ἐστιν, καὶ ἐπαμφοτερίζει ἡ ποιητικὴ αἰτία, ἄχρηστός ἐστιν ἡ ὕλη· διὰ τοῦτο ἧττον μετέχει δυσωδίας. ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν οἷς σὺν θεῷ καὶ τὸ πρῶτον τμῆμα πληροῦται.

ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ.

Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. —

Ἀρχόμενος τοῦ δευτέρου τμήματος ὁ Ἱπποκράτης τὴν τῶν ὑδέρων μεταχειρίζεται διδασκαλίαν, ἵνα συνάφειαν χαρίσηται τὰ μέλλοντα πρὸς τὰ φθάσαντα, ἐπειδὴ καὶ ὁ ὕδερος πάθος ἐστὶν ἐν τοῖς ὑποχονδρίοις συνιστάμενον. καὶ μηδεὶς ὑπολάβῃ, ὅτι περὶ χρονίων νοσημάτων διαλέγεται ὁ Ἱπποκράτης, καίτοι προθέμενος περὶ ὀξέων διαλαβεῖν, ἀλλὰ περὶ τῶν ὀξέων 2) νοσημάτων διαλεγόμενος

1) τῆς εὐκρ. om. M. A. 2) τῶν ἐκ μεταπτώσεως διαλέγεται, διαλαμβάνει L.

διαλαμβάνει καὶ περὶ τῶν ἐκ μεταπτώσεως ὀξέων καθάπερ 1) καὶ τοῦτο νῦν δείκνυσιν αὐτοῦ ἡ ῥῆσις. ἔφη γάρ, οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. ἰδοὺ περὶ τῶν ἐκ μεταπτώσεως ὀξέων διαλέγεται, καὶ οὐ περὶ τῶν χρονίων.

Οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τέ εἰσι καὶ κάρτα θανατώδεες. —

Καὶ καλῶς ἐπώδυνοί εἰσι. τοῦ γὰρ ὑγροῦ ἀθροισθέντος ἀθρόως περὶ τὰ ὑποχόνδρια, τείνονται καὶ τῇ τάσει κινδυνεύοντα διαῤῥαγῆναι τῇ ὀδυνηρᾷ συναισθήσει ὀδυνῶνται.

Οὔτε τοῦ πυρὸς ἀπαλλάσσουσιν. —

Τοῦτό μοι δοκεῖ μὴ κυρίως ἀληθὲς εἶναι. ἐρεῖ γάρ τις ὅτι πῶς οὐκ ἀπαλλάσσονται τοῦ πυρετοῦ, εἴ γε τοσούτου ὑγροῦ ἐστιν ἄθροισις; τὸ γὰρ ὑγρὸν σβέννυσι τὴν δυσκρασίαν καὶ παύει τὸν πυρετόν. πρὸς ὅ τινες ἀπολογοῦνται, ὅτι διὰ τοῦτο οὐκ ἀπαλλάσσονται τοῦ πυρετοῦ οἱ ὑδεριῶντες, ἐπειδὴ ὁ πυρετὸς δι᾽ ὅλου τοῦ σώματός ἐστιν ἐκτεταμένος, τὸ δὲ ὑγρὸν ἐν ἑνὶ μορίῳ ἐστὶ συναθροιζόμενον, καὶ οὐ δύναται ἡ μερικὴ συναγωγὴ τοῦ ὑγροῦ ἀπαλλάξαι τὴν δυσκρασίαν ὅλου τοῦ σώματος καὶ παῦσαι τὸν πυρετόν. ἐπιπόλαιος δέ ἐστιν ἡ ἀπολογία αὕτη. ἐρεῖ γάρ τις πρὸς αὐτούς, ὅτι κἂν ἐν ἑνὶ μορίῳ ἐστὶν ἡ συναγωγὴ τοῦ ὑγροῦ, ἀλλ᾽ οὖν ἐν αὐτῇ τῇ 2) ἑστίᾳ, λέγω δὴ περὶ τὰ ὑποχόνδρια καὶ τὴν καρδίαν ἐστὶ, καὶ ἐὰν τὴν καρδίαν καθυγράνῃ καὶ ἀποσβέσῃ, κατὰ τὸ συμβεβηκὸς καὶ ἡ ἐν ὅλῳ τῷ σώματι δυσκρασία 3) ἀποπαύσεται. διὸ δεῖ τὴν ἀληθεστέραν εἰπεῖν αἰτίαν, ὅτι κἂν πολλοῦ ὑγροῦ ἐστι συνάθροισις ἐπὶ τῶν ὑδεριώντων, ἀλλὰ 4) λοιπὸν οὐ παύει τὸν πυρετὸν, ἐπειδὴ τῇ φαντασίᾳ καὶ μόνῃ φαίνεται ὑγρόν· ἐπείτοι γε τῇ δυνάμει κακόχυμον ὂν καὶ ἁλμυρὸν, θερμόν ἐστι καὶ ξηρὸν καθάπερ καὶ ἐπὶ τοῦ θαλασσίου ὕδατος ἔχει. καὶ διὰ τοῦτο δὴ καὶ τὸ ὑγρὸν τὸ ἀθροιζόμενον ἐπὶ τῶν ὑδεριώντων τῇ μὲν φαντασίᾳ ὑγρὸν φαίνεται, τῇ δὲ δυνάμει θερμαίνει καὶ ξηραίνει διὰ τὸ

---

1) νῦν καὶ τοῦτο M. 2) αἰτίᾳ M. A. 3) ἀποπαύεται M. 4) λοιπὸν om. M.

μετέχειν κακοχυμίας τινὸς καὶ ἁλμυρότητος καὶ σηπεδόνος. καὶ διὰ τοῦτο οὐ παύει τὸν πυρετὸν, ἀλλὰ καὶ διψώδεις εἰσὶν οἱ ὑδεριῶντες. καὶ ἐπὶ τῇ δίψῃ πάλιν τὸ αὐτὸ ἄπορον δοκεῖ εἶναι καὶ ἡ αὐτὴ λύσις· εἶτα λοιπὸν λέγει, πῶς γίνονται οἱ ὕδρωπες καί φησιν, ὅτι·

Ἄρχονται δὲ οἱ πλεῖστοι ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. —

Κενεῶνας δὲ καλεῖ ἐκεῖνα τὰ μόρια, τὰ ἀπὸ 1) τοῦ τελευταίου πλευροῦ μέχρι τοῦ ὀστοῦ τῆς λαγόνος. δοκεῖ γὰρ ταῦτα παρὰ πάντα τὰ μόρια, τά τε ὑπερκείμενα ἢ ὑποκείμενα τυχὸν θώρακα καὶ ὑποχόνδρια καὶ γαστέρα καὶ κύστιν, κενότερα εἶναι. ἐπείτοι γε καὶ ταῦτα οὐκ εἰσὶ κενὰ, ἀλλὰ περιέχουσι τὰ λεπτὰ ἔντερα καὶ τὰ μεσεντέρια. ἁπλῶς οὖν αὐτὸς λέγει ὅτι ἄρχονται ἢ ἀπὸ τοῦ ἥπατος, ἢ ἀπὸ τῶν κενεώνων. σὺ δὲ εἰπὲ, ὅτι 2) καὶ πᾶς ὕδερος ἐπὶ ἀσθενείᾳ τοῦ ἥπατος γίνεται καὶ ἐπὶ ἀποτυχίᾳ τῆς 3) αἱματοποιητικῆς δυνάμεως, ἀλλὰ καὶ τοῦτο ἢ κατὰ πρωτοπάθειαν ἢ καὶ κατὰ συμπάθειαν γίνεται· καὶ κατὰ συμπάθειαν διαφόρως· ἢ γὰρ διὰ γειτνίασιν 4) συμπάσχουσι τὰ μόρια, ἢ διὰ συγγένειαν μεγίστων ἀγγείων, λέγω δὴ ἀξιολόγων φλεβῶν ἢ ἀρτηριῶν ἢ νεύρων 5) ἢ τῶν τοιούτων. εἶτα λοιπὸν συνελόντες οἱ ἐξηγηταὶ τὸν περὶ τῶν ὑδέρων λόγον, εἰς τέσσαρα κεφάλαια τὴν πᾶσαν θεωρίαν 6) συνάγουσιν.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου κεφαλαίου καὶ 7) λεκτέον· 8) τί ἐστιν ὕδερος; Ὑδερός ἐστι συναγωγὴ ὑγροῦ παρὰ φύσιν, μεταξὺ περιτοναίου καὶ ἐντέρων 9) πρὸς ἀντιδιαστολὴν τῆς ὑγροκήλης. καὶ γὰρ κἀκείνη συναγωγή ἐστιν ὑγροῦ, ἀλλ᾽ οὐχὶ μεταξὺ περιτοναίου καὶ ἐντέρων, ἀλλ᾽ ἐν ἄλλοις μορίοις. ἀλλὰ δοκεῖ ἀτελῶς ἔχειν τὸν ὁρισμὸν, ἐπειδὴ τὸν ἀνὰ σάρκα ὕδερον οὐ περιλαμβάνει. ὁ γὰρ ἀνασάρκα, ἐν τῷ παντὶ σώματι οὔσης τῆς βλάβης, γίνεται, οὐ μὴν μεταξὺ περιτοναίου καὶ ἐντέρων.

---

1) τοῦ πλ. τοῦ τελ. M. 2) καὶ om. M. 3) ἐξαιματ. L. 4) συμπάσχοντα L. A. συγγένειαν om. L. 5) καὶ M. 6) εἰσάγουσι L. 7) εἰπεῖν M. A. sc. χρή. 8) ὅρος ὑδέρου L. in mg. 9) πρὸς — ἐντέρων om. M. A.

διὸ δεῖ εἰπεῖν, ὅτι ὕδερός ἐστι συναγωγὴ ὑγροῦ παρὰ φύσιν μεταξὺ περιτοναίου καὶ ἐντέρων ἢ ἐν τῷ σαρκώδει μέρει τῶν μυῶν.

Δεύτερον κεφάλαιόν ἐστιν, ἐν ᾧ δεῖ ἡμᾶς 1) *τὰ μόρια εἰπεῖν, ἐν οἷς συνίσταται ὁ ὕδερος· ἢ γὰρ μεταξὺ περιτοναίου καὶ ἐντέρων* 2) *ἢ ἐν τοῖς κενεῶσι καὶ ἐν τῇ ὀσφύϊ. λοιπὸν δεῖ εἰπεῖν τὸν τρόπον τῆς γενέσεως τῶν ὑδέρων. ἀλλὰ πρὸ τούτου δεῖ ἡμᾶς εἰπεῖν,* 3) *λῆμμά τι προσλαβεῖν, ἔχον οὕτως· δεῖ εἰδέναι ὅτι μετὰ τὸ παρασχεθῆναι τὴν τροφὴν ἐν τῇ γαστρὶ ἀλλοιοῦται καὶ πέττεται, εἶτα μετὰ τὸ πεφθῆναι* 4) *καὶ ἀλλοιωθῆναι καὶ χυλοποιηθῆναι, τὸ μὲν λευκότερον καὶ λιπαρώτερον εἰς τροφὴν κέχρηται ἡ γαστὴρ τῆς ἑαυτῆς οὐσίας. τὸ γὰρ ἔνδον τῆς γαστρὸς μέρος ἀπὸ τοῦ χυλοῦ τρέφεται, τὸ δὲ λοιπὸν μέρος τοῦ χυλοῦ ὡς περίττωμα ἀποβάλλεται καὶ φέρεται διὰ τῶν μεσαραίων καὶ ἕλκει τὸ ἧπαρ πρὸς ἑαυτὸ καὶ ἀναφέρεται· εἶτα δευτέραν πέψιν ἀναδέχεται, καὶ πρὸς τὴν οἰκείαν φύσιν* 5) *ἐξομοιοῖ αὐτὸ καὶ οὐσίαν· εἶτα πάλιν τὸ ἧπαρ κρατεῖ τὸ ἀρκοῦν πρὸς τροφὴν αὐτοῦ, καὶ τὸ λοιπὸν ὡς περίττωμα ἀπωθεῖ διὰ τῶν φλεβῶν ἐπὶ τὸ πᾶν σῶμα, καὶ οὕτως τρέφονται πάντα τὰ μόρια. ἐὰν οὖν συμβῇ τὴν ἀλλοιωτικὴν δύναμιν τοῦ ἥπατος κακῶς διατεθῆναι· κακῶς δὲ διατίθεται κατὰ δύο τρόπους,* 6) *ὡς πρὸς τὰ νῦν λεγόμενα· ἢ γὰρ ὁμοιομερῶς βλάπτεται ἢ ὀργανικῶς. καὶ ὁμοιομερῶς μὲν, κατὰ δυσκρασίαν τινὰ, ὀργανικῶς δὲ, ἢ δι' ἔμφραξιν ἢ δι' ὄγκον τινά. κακῶς οὖν διατιθεμένης τῆς ἀλλοιωτικῆς δυνάμεως* 7) *τοῦ ἥπατος, ἀποτυγχάνει ἡ ἐξαιμάτωσις καὶ ἀπεπτεῖται. καὶ τὸ μὲν λεπτομερὲς αὐτοῦ διεξέρχεται τὸν ὑμένα τοῦ ἥπατος,* 8) *ἐπειδὴ λεπτός ἐστι, καὶ φέρεται ἀτμοειδῶς ἐν μέσῳ περιτοναίου καὶ ἐντέρων· εἶτα λοιπὸν οὗτος ὁ ἀτμὸς λαμβάνων ἀείσε προσθήκην, στέγεται ὡς ἐπὶ τὸν*

---

1) *τὰ μόρια* om. L. 2) *συνίσταται* add. M. 3) Addas *καὶ. λήμματι* Codd. 4) *καὶ ἀλλοιωθῆναι* om. M. A. 5) *καὶ οὐσ. ἐξ. αὐτὸ* M. A. 6) *ὅσον* M. 7) *τοῦ ἥπατος* om. M. A. 8) *ἐπ. λεπ. ἐστι* om. L. *ὅρα τὸν διὰ δυσκρασίας ὕδερον τῆς ἀλλοιωτικῆς δυνάμεως* L. in mg.

περιτόναιον, 1) ἐπειδὴ οὐ διεξέρχεται τὸν περιτόναιον, στεγανοῦ αὐτοῦ ὄντος, καὶ τῇ προσθήκῃ παχύνεται, καὶ δίκην ὑετοῦ ἀντικαταῤῥεῖ, καὶ οὕτως ἀθροίζεται καὶ ποιεῖ τὸν ὕδερον. οὕτω γὰρ καὶ ἐπὶ τῶν βαλανείων ἐστὶν ἰδεῖν. οἱ γὰρ ἀτμοὶ γινόμενοι περὶ τὴν ὀροφὴν παχύνονται, καὶ σταλαγμοὶ γινόμενοι ἀντικαταῤῥέουσι 2) δίκην ὑετοῦ, ὡς εἴρηται. εἷς οὖν τρόπος ὑδέρου οὗτος ὁ ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως γινόμενος τοῦ ἥπατος. γίνεται ὕδερος καὶ κατὰ ἕτερον τρόπον ἐπὶ ἀσθενείᾳ τῆς καθεκτικῆς δυνάμεως. τί γὰρ ὅτι ἐὰν ἀσθενὴς ᾖ ἡ καθεκτικὴ δύναμις, 3) μετὰ τὸ ἄρξασθαι τὴν ἀλλοιωτικὴν ἀλλοιοῦν καὶ μεταβάλλειν τὸν χυλὸν καὶ ἐξαιματοῦν αὐτὸν, πρὸ ὥρας ἐπεγειρομένη ἡ καθεκτικὴ, * 4) ἐξαφῇ αὐτὸ καὶ φέρεται, δι' ὧνπερ ἀνῆλθεν ὁδῶν, ἐπὶ 5) γαστέρα λέγω καὶ ἔντερα, καὶ ποιεῖ ἠπατηρὰν δυσεντερίαν, ἰοικυῖαν πλύματι κρεῶν νεοσφαγῶν, ἐπειδὴ ἀρχὴν λαμβάνει πέψεως ἤγουν ἐξαιματώσεως ὑπὸ τῆς ἀλλοιωτικῆς, οὐ τελείως δὲ, διὰ τὸ τὴν καθεκτικὴν δύναμιν 6) ἐξῶσαι πρὸ ὥρας, ὅθεν τῷ χρόνῳ 7) ἀτροφοῦντα, ἐπὶ τῇ ἠπατηρᾷ δυσεντερίᾳ πάντως ὕδερος ἐπιγίνεται, καὶ οὕτως ἀπόλλυνται. καὶ ἀναλογεῖ ἡ μὲν διάῤῥοια τῆς γαστρὸς τῇ ἠπατηρᾷ δυσεντερίᾳ, ἡ δὲ ἐκχόλωσις τῷ ὑδέρῳ. 8) ὅ τι γάρ ἐστι διάῤῥοια γαστρὸς ἐπὶ τῇ ἀποτυχίᾳ τοῦ χυλοῦ, τοῦτο ἐπὶ τοῦ ἥπατος ἡ δυσεντερία. καὶ ὅτι ἐστὶν ἐκχόλωσις ἐπὶ τῇ γαστρὶ, τοῦτο ἐπὶ τοῦ ἥπατος ὕδερός ἐστιν. εἶτα καὶ ἀποροῦσιν ὅτι διὰ τί ἐπὶ τῇ ἀποτυχίᾳ τῆς γαστρὸς οὐ γίνεται ὕδερος, καίτοι δαψιλοῦς οὔσης τῆς ὕλης ἐπὶ τῆς γαστρὸς; καὶ λέγομεν ὅτι ἐπειδὴ στεγανός ἐστιν ὁ ὑμὴν ἤγουν ἡ οὐσία τῆς γαστρὸς, οὐκ ἰσχύει ἀτμοειδῶς διεξελθεῖν, ἀλλ' ἐκεῖσε στέγεται καὶ τῷ βάρει κενοῦται κάτωθεν, καὶ ποιεῖ διάῤῥοιαν, 9) οὐ μὴν ὕδερον.

Τρίτον ἐστὶ κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς τὰς διαφορὰς τῶν ὑδέρων ζητῆσαι, καὶ δεῖ εἰδέναι ὅτι 10) ὕδερος ἢ με-

---

1) ἐπειδὴ — περιτόν. om. M. A. 2) ὡς εἴρ. δίκ. ὑετοῦ M. A. 3) ὅρα τὸν δι' ἀσθένειαν τῆς καθεκτικῆς L. in mg. 4) Fort. pro ἐξαφίησιν. αὐτῷ M. A. 5) γαστρὶ — ἐντέροις M 6) ἐξεῶσαι M. 7) ἀτροφοῦνται M. 8) εἴτι L. A. ὅρα ἐπὶ τῇ ἠπατηρᾷ δυσεντερίᾳ ὕδερος ἐπιγίνεται L. in mg. 9) οὐ μὴν ὕδερον om. M. A. 10) ὁ add. M.

ταξὺ περιτοναίου καὶ ἐντέρων συνίσταται, ἢ ἐν ὅλῳ τῷ σώματι. καὶ εἰ μὲν μεταξὺ περιτοναίου καὶ ἐντέρων συσταίη, ἢ ὑγρὸν μόνον ἐστὶ τὸ ἀθροιζόμενον, καὶ ποιεῖ τὸν ἁπλῶς ὕδερον, ἢ μετὰ τοῦ ὑγροῦ καὶ πνεῦμά τι, καὶ ἢ τὸ ὑγρὸν ἐπικρατεῖ καὶ ποιεῖ τὸν ἀσκίτην, ἢ τὸ πνεῦμα ἐπικρατεῖ καὶ ποιεῖ τὸν τυμπανίαν. εἰ δὲ ἐν ὅλῳ τῷ σώματί ἐστιν ἡ βλάβη, ἢ ὑγροῦ μόνον ἐστὶ συνάθροισις, καὶ ποιεῖ τὸν λεγόμενον λευκοφλεγματίαν· εἰ δὲ μετὰ τοῦ ὑγροῦ καὶ πνεύματά εἰσι συναναπεπλεγμένα, ποιεῖ τότε τὴν ὑδαλέαν λεγομένην ἕξιν. καὶ ἀποροῦσιν ὅτι ἐπὶ μὲν τῶν ἄλλων ὑδέρων οἱ μεταξὺ περιτοναίου καὶ ἐντέρων συνιστάμενοι οὐκ ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνονται, ἀλλ' ἐπὶ βλάβῃ τῆς ἐν ἑκάστῳ μορίῳ ἀλλοιωτικῆς δυνάμεως. πῶς οὖν ὁ Ἱπποκράτης λέγει πάντα ὕδερον ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνεσθαι; καὶ λέγομεν ὅτι ἐὰν καλῶς ἔχῃ ἡ ἀλλοιωτικὴ δύναμις τοῦ ἥπατος καὶ δεόντως γίνεται ἡ πέψις καὶ ἡ ἐξαιμάτωσις, ἔδει μὴ γενέσθαι ὕδερον, ἀλλ' ἄλλο τι πάθος· ἐὰν γὰρ ἐν ὅλῳ τῷ σώματί ἐστιν ἡ βλάβη, καὶ οὐχὶ ἐν ἥπατι, ἔδει τυχὸν σαπῆναι καὶ ἀνάψαι πυρετὸν, ἢ ἕτερον ποιῆσαι νόσημα. ἀλλὰ καὶ ὁ ἀνὰ σάρκα ὕδερος ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνεται· ἐπὶ γὰρ τῇ ἀσθενείᾳ λεπτὸν καὶ ὑδαρὲς τὸ αἷμα γίνεται καὶ ὀλίγον, καὶ ἐντεῦθεν διὰ τὴν ὀλιγότητα ἀτροφοῦσι τὰ μόρια καὶ ἐπὶ τῇ ἀτροφίᾳ γίνεται ὁ ἀνὰ σάρκα ὕδερος, ἀτόνως καὶ αὐτὸν 1) διατιθέμενον. οὐκοῦν πᾶς ὕδερος ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως γίνεται.

Τέταρτόν ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς τὰ αἴτια εἰπεῖν τοῦ ὑδέρου. δεῖ εἰδέναι ὅτι δύο εἰσὶν 2) αἴτια τὰ ποιητικὰ τοῦ ὑδέρου, ψύξις καὶ ἡ παρὰ φύσιν θερμότης. καὶ πῶς γίνεται ὕδερος ἐπὶ καταψύξει, εἴρηται ἡμῖν ὅτι ἐπὶ ἀσθενείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως τοῦ ἥπατος γίνεται. ἡ δὲ θερμότης ποιεῖ ὕδερον τρόπῳ τοιούτῳ· ἡ 3) θερμότης ἢ κατὰ φύσιν ἐστὶν ἢ παρὰ φύσιν. καὶ ἡ μὲν κατὰ φύ-

1) διατιθεμένου M. A. 2) τὰ ποι. αἴτ. M. A. 3) ὅτι ἡ θερμότης διττὴ L. in mg.

σιν θερμότης ζωοποιητική ἐστι τοῦ ἡμετέρου σώματος, ἡ δὲ παρὰ φύσιν φθαρτική ἐστι καὶ ἀναστοιχειωτική. αὕτη οὖν ἡ παρὰ φύσιν θερμότης διαφορητική ἐστι τοῦ κατὰ φύσιν θερμοῦ, καθ' ἣν καὶ ἀπεψίαι τὸ τηνικαῦτα γίνονται. οὕτως γοῦν συμβαίνει ἡμᾶς ἐν τῷ θέρει ἐκλύτους καὶ χαύνους εἶναι ὑπὸ τῆς παρὰ φύσιν, λέγω δὴ τῆς ἐκτὸς θερμότητος, δραστηρίου τυγχανούσης, καὶ διαφορεῖσθαι τὸ κατὰ φύσιν ἡμῖν θερμόν· ἀλλὰ καὶ οἱ πυρέσσοντες διὰ τοῦτο ἁδροτέρας τροφὰς πέψαι οὐ δύνανται, ἐπειδὴ διαφορεῖται ἡ κατὰ φύσιν θερμότης, καθ' ἣν αἱ πέψεις γίνονται, καὶ τῷ λόγῳ τούτῳ λεπτῇ τροφῇ 1) τρέφομεν αὐτούς. ἐὰν οὖν συμβῇ δυσκρασίαν γενέσθαι ἐν τῷ ἥπατι, διαφορεῖ τὸ κατὰ φύσιν θερμὸν τὸ ἐν τῷ ἥπατι. τούτου διαφορουμένου, ψύχεται καὶ ἀποτυχία γίνεται τῆς ἐξαιματώσεως, καὶ γίνεται ὁ ὕδερος, ὡς ἐντεῦθεν πάλιν τὸν ὕδερον ἐπὶ ψύξει κατὰ πρῶτον λόγον γίνεσθαι.

Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενοι πάντες κακοί. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν ἐπώδυνοί τέ εἰσι κάρτα καὶ θανατώδεις. —

Ἐντεῦθεν ἀπορία ἀναφαίνεται τοιαύτη, ὅτι πῶς τὰ ἐναντία ἐν τῷ αὐτῷ 2) συνίσταται; ὁ γὰρ πυρετὸς θερμόν τι χρῆμά ἐστι καὶ ξηρόν· ὁ δὲ ὕδερος ψυχρόν ἐστι πάθος καὶ ὑγρόν. πρὸς ὅ τινες λέγουσιν, ὅτι ἡ χολὴ θερμή ἐστι καὶ ξηρὰ καὶ δριμεῖα· ἀλλὰ καὶ ὁ πυρετὸς ὑπὸ τοιαύτης ὕλης ἀνάπτεται, καὶ κατὰ πρωτοπάθειαν ἡ χολὴ τὸν πυρετὸν 3) ἐξάπτει. τὸν δὲ ὕδερον ποιεῖ ἡ χολὴ κατὰ συμπάθειαν. θερμὴ γὰρ οὖσα διαφορεῖ τὸ κατὰ φύσιν 4) θερμὸν τοῦ ἥπατος, καὶ ἐντεῦθεν καταψύχεται καὶ ἀποτυγχάνει ἡ ἐξαιμάτωσις, καὶ λεπτὸν καὶ δίυγρον γίνεται τὸ αἷμα, καὶ ἀτμοειδῶς φέρεται μεταξὺ περιτοναίου καὶ ἐντέρων καὶ ποιεῖ τὸν ὕδερον. ἀνατρέπουσι δὲ αὐτούς τινες λέγοντες, ὅτι ἐὰν δραστήριος τοσοῦτόν ἐστιν ἡ θερμότης τῆς χολῆς, ὥστε τὸ κατὰ φύσιν θερμὸν διαφορῆσαι καὶ καταψύξαι τὸ ἧπαρ, ἔδει τῇ

---

1) τρεφόμενα L. 2) συνίστανται M. A. χρῆμα om. M. 3) ἀνάπτει M. 4) τοῦ ἥπ. θερ. M. A.

1) δραστηρίῳ δυνάμει καὶ αὐτὸ τὸ ὑγρὸν ἐκδαπανῆσαι καὶ ξηρὸν ποιῆσαι νόσημα, οὐ μὴν ὑγρόν, λέγω δὴ ὕδερον. διὸ δεῖ εἰπεῖν αἰτίαν τοιαύτην ὅτι κατὰ διαφέροντα μόρια τἀναντία συνίστανται, ἡ μὲν δυσκρασία ἤγουν ὁ πυρετὸς ἐν τῇ καρδίᾳ καὶ ἐν τῷ ἀρτηριώδει γένει καὶ κατὰ σχέσιν τινὰ καὶ τὸ πᾶν σῶμα μετέχει τῆς θερμασίας, τὸν δὲ ὕδερον μεταξὺ περιτοναίου καὶ ἐντέρων συστῆναι. πῶς δὲ ὅλως γίνονται τὰ ἐναντία, δεῖ εἰπεῖν. ἡ χολὴ κατὰ μὲν τὴν ποιότητα τὸν πυρετὸν ἀνάπτει, τῇ δὲ ποσότητι βαρύνει τὰς ἐν ἥπατι δυνάμεις καὶ καταπνίγει καὶ καταβάλλει, καὶ ἐπὶ τῇ καταβολῇ ἀποτυγχάνει ἡ ἐξαιμάτωσις καὶ γίνεται ὕδερος.

Ἄρχονται δὲ οἱ πλεῖστοι ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. —

2) Εἰρηκὼς ὁ Ἱπποκράτης ὅτι ἄρχονται οἱ πλεῖστοι ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, τὸ κατὰ συμπάθειαν ἐδήλωσεν· εἰρηκὼς δὲ, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος, τὸ κατὰ πρωτοπάθειαν. πᾶς γὰρ ὕδερος ἢ κατὰ συμπάθειάν ἐστιν ἢ κατὰ πρωτοπάθειαν 3) τοῦ ἥπατος.

Ὁκόσοισι μὲν οὖν αἱ ἀρχαὶ ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος γίνονται. —

Μεμαθήκαμεν ἀνωτέρω, ὅτι ὁ κατὰ πρωτοπάθειαν 4) τοῦ ἥπατος γίνεται, ἡνίκα ἐν αὐτῷ συσταίη τῷ ἥπατι τὸ πάθος, φλεγμονὴ τυχὸν ἢ σκίῤῥος ἢ οἴδημα ἢ ἔμφραξις ἢ ἕτερος ὄγκος ἢ δυσκρασία θερμὴ ἢ ψυχρά. τότε γὰρ καταβάλλονται αἱ φυσικαὶ δυνάμεις τοῦ ἥπατος, μάλιστα δὲ ἡ ἀλλοιωτικὴ αὐτοῦ δύναμις, καὶ ἀποτυγχάνει ἡ ἐξαιμάτωσις καὶ ἀπεπτεῖ καὶ γίνεται 5) τὸ αἷμα λεπτὸν καὶ ὑδαρὲς, καὶ ἀτμοειδῶς διηθεῖται καὶ φέρεται μεταξὺ περιτοναίου καὶ ἐντέρων, καὶ γίνεται ὕδερος ὁ κατὰ πρωτοπάθειαν τοῦ ἥπατος. Ὁ δὲ ὕδερος ὁ κατὰ πρωτοπάθειαν τῶν κενεώνων γινόμενος ἤγουν ὁ κατὰ συμπάθειαν τοῦ ἥπατος γίνεται, ἡνίκα ἐν τοῖς μορίοις ἐκείνοις ἐστὶ τὸ πάθος τουτέστιν ἐν τοῖς κενεῶσι καὶ ἐν

1) δραστηρίῳ L. 2) Hoc scholion om. A. 3) γίνεται add. M. 4) ὕδερος add. M. 5) τὸ αἷμα om. L.

τῇ ὀσφύϊ. καὶ ποῖά εἰσι τὰ μόρια, ἐγὼ λέγω, ἡνίκα ὁ ἐν τοῖς μεσαραϊκοῖς ὄγκος ἢ φλεγμονὴ ἢ ἔμφραξις ἢ δυσκρασία ἐν τοῖς νεφροῖς ἢ ἐν τῷ σπληνὶ ἢ ἐν τῇ γαστρὶ ἢ ἐν τοῖς ἐντέροις· τότε γὰρ πάντως συμπάσχει τὸ ἧπαρ, ἢ διὰ τὴν γειτνίασιν ὥσπερ γαστὴρ καὶ τὰ 1) μεσάραια ἢ διὰ τὸ τῶν ἀγγείων μέγεθος· ἀξιολόγους γὰρ φλέβας πέμπει ἐπὶ τὰ προειρημένα μόρια καὶ ἐντεῦθεν ἄγεται εἰς συμπάθειαν τούτοις τὸ ἧπαρ. 2) τί γὰρ ὅτι μεταλαμβάνει τῆς δυσκρασίας τὸ ἧπαρ· καὶ καταβάλλονται αὐτοῦ αἱ φυσικαὶ δυνάμεις, καὶ μάλιστα ἡ ἀλλοιωτικὴ, καὶ ἀπεπτεῖται τὸ αἷμα, καὶ λεπτὸν καὶ ὑδαρὲς γίνεται, καὶ ἀτμοειδῶς φέρεται μεταξὺ περιτοναίου καὶ ἐντέρων, καὶ γίνεται ὕδερος ὁ κατὰ συμπάθειαν τοῦ ἥπατος. λοιπὸν σημείωσιν ἡμῖν παραδίδωσι, πόθεν ἔχομεν γνῶναι, εἴτε κατὰ πρωτοπάθειαν εἴτε κατὰ συμπάθειαν τοῦ ἥπατος ἐγένετο ὁ ὕδερος. καί φησιν ὅτι ὁκόσοι μὲν τῶν ὑδέρων ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος ἄρχονται, οἵ τε πόδες οἰδαίνουσι. καὶ οἱ πόδες οἰδαίνουσι τρόπῳ τοιούτῳ· οἱ πόδες πολὺ ἀφεστήκασι τῆς καρδίας καὶ ἄσαρκοι σχεδόν εἰσιν· ὀστώδεις γάρ εἰσι καὶ δῆλον καὶ ψυχροί. ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐμφύτου θερμοῦ στερίσκονται. περὶ γὰρ τὰ πεπονθότα μόρια ἐναπασχολεῖται πρὸς ἄμυναν τοῦ λυποῦντος. κἀντεῦθεν στερισκόμενα τῆς ἀκτινοειδοῦς ἐλλάμψεως τοῦ ἐμφύτου θερμοῦ, καταβάλλονται ἐν αὐτοῖς φυσικαὶ δυνάμεις, καὶ τὸ τηνικαῦτα τὸ λόγῳ τροφῆς φερόμενον ἐν αὐτοῖς ἀπεπτεῖται, καὶ εἰς ἀτμοὺς καὶ εἰς παχέα πνεύματα ἀναλύεται, καὶ οὕτως οἰδαίνουσιν οἱ πόδες· ἢ καὶ ἄλλως· 3) πολλάκις ἰχῶρές τινες ἀποῤῥέουσιν ἐκ τῆς φλεγμονῆς καὶ παχέα πνεύματα, καὶ ὡς 4) κατωφερῆ φέρονται ἐπὶ τοὺς πόδας, καὶ τῷ λόγῳ τούτῳ οἰδαίνουσιν οἱ πόδες. αἱ δὲ χεῖρες οὐκ οἰδαίνουσι, καίτοι καὶ αὐτῶν πόῤῥω 5) ἀφεστηκυιῶν, καὶ ὀστώδεις εἰσίν. ἀλλὰ καὶ τοῦ ἐμφύτου θερμοῦ ὡσαύτως ἐστέρηνται διά τε τὴν ὕλην καὶ διὰ τὴν θέσιν· καὶ διὰ μὲν τὴν ὕλην, ἐπειδὴ παχέα εἰσὶ τὰ πνεύματα. λοιπὸν δὲ καὶ

---

1) μεσάρεα L. 2) τί — ἧπαρ om. L. 3) πολλάκις om. M.
4) καταφερῆ L. 5) ἀφεστηκότων M. A.

1) ἰχῶρες ἐπὶ τὰ κάτω βρίθουσιν. ἀλλὰ καὶ διὰ τὴν θέσιν, ὅτι ὑψηλοτέραν θέσιν ἔχουσιν αἱ χεῖρες. ἀλλ' ἴσως 2) ἀπορήσει τις λέγων, ὅτι καὶ ἐπὶ τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος οἰδαίνουσιν οἱ πόδες, 3) καὶ οὐ μόνον ἐπὶ τῶν κενεώνων πασχόντων· καὶ λέγομεν ὅτι κἂν καὶ ἐν τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος οἰδαίνωσιν οἱ πόδες, τελευταῖον καὶ μετὰ πολὺν χρόνον ἐπὶ τῇ πρωτοπαθείᾳ. ἐπὶ δὲ τῶν κενεώνων, εὐθὺς ἐξ ἀρχῆς οἰδαίνουσιν οἱ πόδες ἐπὶ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων, ἐπειδὴ ἔγγιστά εἰσιν οἱ πεπονθότες τόποι, καὶ διὰ τοῦτο ἑτοίμως μεταλαμβάνουσιν οἱ πόδες καὶ εὐθέως οἰδαίνουσιν. ἐπὶ δὲ τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος μετὰ χρόνον τινὰ οἰδαίνουσι, διὰ τὸ πόῤῥω ἀφεστάναι τὸ ἧπαρ ἀπὸ τῶν ποδῶν. λέγει καὶ δεύτερον σημεῖον καί φησιν, ὅτι καὶ διάῤῥοιαι πολυχρόνιοι γίνονται αὐτοῖς. καί ἡ διάῤῥοια γίνεται αὐτοῖς, ἡνίκα ἢ φλεγμονὴ ἢ ὄγκος τις, ἢ ἔμφραξίς ἐστιν ἐν τοῖς μεσαραίοις ἢ ἐν τῇ νήστει ἢ ἐν τοῖς 4) μεσεντερίοις. τοτηνικαῦτα γὰρ οὐκ ἀνάγεται ὁ χυλὸς εἰς ἧπαρ, καὶ βλάπτεται ἡ ἑλκτικὴ δύναμις, ἀλλὰ δι' ὧν διοδεύει τόπων ἐμπεφραγμένων ὄντων, ἀνοίγεται ὁ πυλωρὸς, καὶ ἄγεται ὁ χυλὸς ἐπὶ τὰ ἔντερα, καὶ καθυγραίνει τὴν κόπρον, καὶ γίνεται διάῤῥοια. ἢ καὶ ἄλλως διάῤῥοια ἐπιγίνεται αὐτοῖς. ἐξ αὐτῆς πολλάκις τῆς δυσκρασίας φέρονται ἰχῶρές τινες ἐπὶ τὰ ἔντερα καὶ δάκνουσι καὶ ἀνιῶσι, καὶ πρὸ ὥρας ἐπεγειρομένη ἡ ἀποκριτικὴ δύναμις ποιεῖ τὴν διάῤῥοιαν. ἢ καὶ ἄλλως γίνεται αὐτοῖς διάῤῥοια· ἐξ αὐτῆς τῆς δυσκρασίας πολλάκις μεταλαμβάνουσι τὰ ἔντερα, καὶ τὸ τηνικαῦτα κακῶς διατίθενται αἱ ἐν αὐτοῖς φυσικαὶ δυνάμεις, καὶ ἀπεπτεῖται τὸ λόγῳ τροφῆς φερόμενον ἐν αὐτοῖς, καὶ φέρεται ἄπεπτον, καὶ ποιεῖ τὴν διάῤῥοιαν. αὕτη δὲ ἡ διάῤῥοια εἰς οὐδὲν λυσιτελεῖ τοῖς ὑδεριῶσιν, ὅθεν ἐπιφέρει λέγων, ὅτι οὔτε τὰς ὀδύνας λύουσιν οὔτε τὴν γαστέρα λαπάσσουσι τυχὸν συμπέττουσι. ποίῳ δὲ λόγῳ αἱ ὀδύναι γίνονται, φανερόν ἐστι τῇ δήξει τῆς κακοχυμίας καὶ τῇ τάσει. τὸ γὰρ ὑγρὸν τὸ παρὰ φύσιν

---

1) οἱ add. M. 2) ἀπορεῖ M. 3) καὶ — πόδες om. M. A. 4) μεσεντέροις L.

περίτασιν ποιεῖ. ἡ οὖν διάῤῥοια οὐ παύει τὰς ὀδύνας, ἀλλ' οὐδὲ τὴν γαστέρα λαπάττει, ἐπειδὴ οὐ κενοῦται ἐκεῖνο τὸ ὑγρὸν τὸ παρὰ φύσιν, τὸ ὂν μεταξὺ περιτοναίου καὶ ἐντέρων καὶ γαστρὸς, ἀλλ' ἐκεῖνο κενοῦται τὸ χρηστὸν, λέγω δὴ ὁ χυλὸς, ὅθεν σὺν τούτῳ καὶ ὁ ζωτικὸς τόνος συνεκκρίνεται, τὸ δὲ παρὰ φύσιν μένει, ἐν οἷς τόποις 1) *ἠθροίσθη.*

Εἶτα λέγει καὶ τρίτον σημεῖον ὅτι βὴξ αὐτοῖς πρόσεστιν· ἀλλὰ τοῦτο τὸ σημεῖον κοινόν ἐστιν, ἐπειδὴ καὶ 2) *ἐν τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος βὴξ προσγίνεται. ἀλλὰ διαφέρουσιν ὅτι ἐπὶ τῷ κατὰ πρωτοπάθειαν τοῦ ἥπατος εὐθέως ἐξ ἀρχῆς ἡ βὴξ προσγίνεται αὐτοῖς. τί γὰρ ὅτι ἐπὶ τοῦ ὄγκου καὶ τῆς φλεγμονῆς τοῦ ἐν ἥπατι ὠθεῖται τὸ διάφραγμα καὶ ἀποστενοῦται ὁ θώραξ, ὡς νομίζειν τοὺς οὕτω πάσχοντας, ὅτι περιουσία ὕλης ἐστὶ καὶ ὑπ' αὐτῆς ἐνδελεχοῦνται καὶ βήττουσι, προσδοκοῦντες ἀπαλλαγῆναι τῆς τοιαύτης ἐνδελεχείας. καὶ οὐδὲν ὠφελοῦσι, μηδὲν ἀναπτύοντες ἀξιόλογον, ὡς αὐτὸς παρακατιὼν* 3) *φησιν. ἐπὶ δὲ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων* 4) *τελευταῖον ἐπιγίνεται αὐτοῖς ἡ βὴξ, ὅπερ κάκιστόν ἐστι σημεῖον ἐσχάτης ἀπογνώσεως. δηλοῖ γὰρ ὅτι τοσοῦτον ἐπλημμύρησεν ἡ παρὰ φύσιν ὑγρότης κατὰ ποσότητα, ὅτι οὐκ ἀρκεῖται* 5) *στεχθῆναι μεταξὺ περιτοναίου καὶ ἐντέρων καὶ γαστρὸς, ἀλλὰ λοιπὸν καὶ ἐπὶ τὰ ἀναπνευστικὰ ἐχώρησε, κἀκείνων λοιπὸν ἐπιλαμβάνεται, ὅπερ ἐσχάτης ἐστὶν ἀπογνώσεως τὸ σημεῖον τοῦτο. Οὕτως σημειωσάμενος τὸν κατὰ πρωτοπάθειαν τῶν κενεώνων γινόμενον ὕδερον, νῦν σημειοῦται καὶ τὸν ἐπὶ πρωτοπαθείᾳ τοῦ ἥπατος γινόμενον ὕδερον καί φησιν, ὅτι βὴξ ἐξ ἀρχῆς αὐτοῖς προσγίνεται, τῷ λόγῳ τῆς φλεγμονῆς τοῦ ἥπατος. ὑπὸ γὰρ τῆς φλεγμονῆς καὶ τοῦ ὄγκου τοῦ ὄντος ἐν ἥπατι ὠθεῖται τὸ διάφραγμα καὶ κατασπᾶται καὶ ἀποστενοῦται ὁ θώραξ καὶ ὁ πνεύμων, καὶ ἡ τραχεῖα ἀρτηρία* 6) *καὶ ὡς ἐν στενοχωρίᾳ τυγχάνοντα, προσκρούει*

---

1) *συνηθροίσθη* M. 2) *ἐπὶ* M. 3) *ἐρεῖ* M. A. 4) *τελευταία* M. 5) *τεχθῆναι* L. 6) *καὶ* om. L.

τὸ πνεῦμα καὶ ποιεῖ ἦχον καὶ οὕτως 1) βήττουσι. διὰ τοῦτο οὖν βήττουσιν εὐθέως καταρχὰς μὴ ἀναφέροντες ἀξιόλογόν τι, εἰ μή τι τῶν εὑρισκομένων σιέλων, καὶ διὰ τοῦτο οὐκ ἀναφέρουσιν, ἐπειδὴ οὐκ ἔστιν ἐν τοῖς ἀναπνευστικοῖς ἡ ὕλη, ἀλλ' ἐν τοῖς θρεπτικοῖς.

Δεύτερον σημεῖον, ἡ κοιλία αὐτῶν ξηραίνεται διὰ τὴν ζέσιν τῆς φλεγμονῆς τῆς ἐν ἥπατι ἐξαναλισκούσης τὴν ἰκμάδα τὴν ἐν τῇ γαστρὶ, καὶ ἐξ ἀνάγκης ξηραίνεται ἡ κόπρος καὶ οὐκ 2) ἀποπατοῦται. κἂν γὰρ περιουσία ὑγροῦ ἐστιν, οὐκ ἐν 3) τῷ κύτει τῆς γαστρὸς περιέχεται, ἀλλ' ἐν τοῖς μεταξὺ χωρίοις περιτοναίου καὶ ἐντέρων.

Τρίτον σημεῖον, ὅτι καὶ ἐπὶ τούτων οἱ πόδες 4) οἰδίσκουσι. καὶ κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα οἰδαίνουσι, καθ' ὃν τρόπον καὶ ἐπὶ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων, ὡς ἤδη εἴρηται. πλὴν ἐπὶ τούτων καὶ αἱ χεῖρες καὶ τὸ δέρμα τοῦ παντὸς σώματος οἰδαίνουσι. καὶ τίνι λόγῳ ταῦτα οἰδαίνουσιν; ἐπεὶ ἀποτυχία ἐστὶ τῆς ἐξαιματώσεως, λεπτὸν καὶ ὑδαρές ἐστι τὸ αἷμα, ἐξ ὧν τρέφονται, καὶ ἐντεῦθεν οἰδαίνουσιν.

Τέταρτον σημεῖόν ἐστιν ὅτι ἐπάρματά τινα γίνονται αὐτοῖς ἐν τοῖς δεξιοῖς καὶ ἐν τοῖς ἀριστεροῖς, γινόμενα καὶ πάλιν παυόμενα. τελευταῖον μέντοι γίνονται μὲν, οὐ παύονται δὲ, ἀλλὰ μένουσι. γίνονται δὲ τὰ ἐπάρματα ὑπὸ ὑγρότητός 5) τινος, καὶ 6) ὑπὸ πνευμάτων πολλῶν. καὶ τίνι λόγῳ καταρχὰς μὲν γίνονται καὶ παύονται, τελευταῖον δὲ γίνονται μὲν, οὐ παύονται δέ; τοῦτο πρὸς τὸ ἔμφυτον θερμὸν, καταρχὰς ἐῤῥωμενέστερόν ἐστὶ, κἂν ἔπαθέ τι. καὶ ἡνίκα γένωνται τὰ ἐπάρματα ταῦτα, τὸ ἔμφυτον θερμὸν 7) διαφορεῖ αὐτά. τελευταῖον μέντοι ἐπειδὴ ἀδρανέστερον τὸ ἔμφυτον θερμὸν, σχεδὸν καὶ κίνδυνός ἐστιν ἀποσβεσθῆναι αὐτό. καὶ γίνονται μὲν τὰ ἐπάρματα, οὐ παύονται δὲ, ἐπειδὴ οὐκ ἰσχύει τὸ ἔμφυτον θερμὸν αὐτὰ διαφορῆσαι. πλὴν καὶ ἐπὶ τῶν κατὰ πρωτοπάθειαν τῶν κενεώνων γίνονται τὰ ἐπάρματα ταῦτα, 8) ἀλλ' οὐ παύονται. ἀλλὰ

1) ἀναβήττουσι M. 2) ἀποπατοῦσιν L. 3) τῇ κύστει M. 4) οἰδίσκουσι om. L. 5) πολλῆς M. A. 6) ἀπὸ M. 7) διαφορεῖται L. 8) καὶ M. A.

καὶ ἄλλως διαφέρουσιν, ὅτι καὶ ἐπὶ τῶν κατὰ πρωτοπάθειαν τοῦ ἥπατος εἴκουσι τῇ ἀφῇ, καὶ κοιλαίνονται, ἐπὶ δὲ τῶν κατὰ πρωτοπάθειαν τῶν κενεώνων τὰ ἐπάρματα οὐκ εἴκουσι τῇ ἁφῇ, ἀλλ' ἀντίτυπα μένουσιν ὡς ἐπὶ λίθου. καὶ τίνι λόγῳ ταῦτα γίνονται, λέγομεν. 1) ἐν μὲν τῇ πρωτοπαθείᾳ τοῦ ἥπατος τὰ ἐπάρματα ὑπὸ φλεγματικωτέρας ὕλης γίνονται, ἡ δὲ τοιαύτη ὕλη μαλακή ἐστι, καὶ διὰ τοῦτο εἴκουσι τῇ ἁφῇ καὶ κοιλαίνονται, ἐπὶ δὲ τῇ πρωτοπαθείᾳ τῶν κενεώνων οὐκ εἴκουσι τὰ ἐπάρματα τῇ ἁφῇ, ἐπειδὴ ὑπὸ παχέων πνευμάτων γίνονται. τὰ δὲ παχέα πνεύματα τὰ ἐνισχόμενα οὐκ εἴκουσι τῇ ἁφῇ, δίκην ἀσκοῦ ἀκριβῶς πεφυσημένου.

Δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ καὶ ἕτερα σημεῖα ἡμῖν παραδίδωσι, μὴ μόνον ἐπὶ τῶν ὑδεριώντων θεωρούμενα, ἀλλὰ καὶ ἐπὶ 2) ἑτέρων ὀξέων νοσημάτων, ὧν πρῶτόν γε σημεῖον λέγει τοιοῦτον ὅτι κάκιστόν ἐστιν ἐπὶ τῶν ὀξέων νοσημάτων, τὸ κατεψυγμένα ἔχειν τὰ ἄκρα, κεφαλὴν λέγω καὶ χεῖρας καὶ πόδας, τὴν δὲ κοιλίαν καὶ τὰς πλευρὰς καὶ τὰ σπλάγχνα καὶ τὸν θώρακα θερμὰ ἔχειν καὶ διακαίεσθαι· δηλοῖ γὰρ ἢ μεγάλην φλεγμονὴν ἢ ἐπιτεταμένην ὀδύνην ἢ καὶ ἀμφότερα. ἐπὶ γὰρ τῇ φλεγμονῇ καὶ τῇ ὀδύνῃ τῶν σπλάγχνων, ὀλίγον αἷμα φέρεται ἐπὶ τὸ πᾶν σῶμα πρὸς ἀποτροφὴν τῶν μορίων. τὸ δὲ πλεῖστον τοῦ αἵματος φέρεται ἔνθα ἡ φλεγμονὴ καὶ ἡ ὀδύνη, καὶ ἐκεῖσε συῤῥεῖ. καὶ διὰ τοῦτο τὰ μὲν ἄκρα ψύχονται· ἔνθα δέ ἐστιν ἡ φλεγμονὴ τυχὸν ἐν τοῖς σπλάγχνοις, διὰ τοῦτο διακαίονται. ἀγαθὸν δέ ἐστι σημεῖον καὶ ἄριστον, τὸ ὁμαλῶς καὶ ὁμοτίμως θερμὸν εἶναι τὸ πᾶν σῶμα καὶ μαλθακόν. δηλοῖ γὰρ ὅτι οὐκ ἔστι φλεγμονὴ ἢ ὀδύνη, ἀλλ' οὐδὲ ὀξὺς πυρετός. ἐπὶ γὰρ τοῦ ὀξέος πυρετοῦ κἂν ὁμοτίμως θερμὸν γίνηται τὸ πᾶν σῶμα, ἀλλ' ὅμως ἐκείνη ἡ θερμότης οὐκ ἔστι μαλθακὴ, ἀλλὰ κατάξηρος καὶ ἐπιτεταμένη.

Δεύτερον σημεῖον κακόν ἐστιν ἐπὶ τῶν ὀξέων νοσημάτων, τὸ δυσκινήτως ἔχειν ἐν τῷ στρέφεσθαι καὶ συστέλ-

---

1) ὅτι ἐπὶ M. A. 2) ἕτερα ὀξέα νοσήμ. L.

λειν τὰ μόρια, πόδας λέγω καὶ χεῖρας, καὶ ἐν τῷ μετεωρίζεσθαι τυχὸν ἐν τῷ ἀνακαθέζεσθαι. δηλοῖ γὰρ ἐσχάτην ἀσθένειαν τῆς συνεκτικῆς δυνάμεως τῆς ἐν ἑκάστῳ μορίῳ συνεχούσης καὶ στηριζούσης τὸ σῶμα. ταύτης γὰρ ἀσθενούσης, 1) οὐκ ἀντέχεται τὸ σῶμα, ἀλλὰ τῷ βάρει δυσκινητεῖ· ἢ τοῦτο, ὅτι ἡ δυσκινησία γίνεται, ἀσθενούσης τῆς ψυχικῆς δυνάμεως, ἐν ᾧ κατὰ προαίρεσιν κινοῦνται τὰ μόρια. ταύτης γὰρ ἀσθενούσης, οὐ κινοῦνται κατὰ προαίρεσιν, ὅπερ κάκιστόν ἐστιν, ἐπειδὴ μεγάλην βλάβην ἐνδείκνυται τῆς ἀρχῆς τῶν νεύρων, λέγω δὴ τοῦ ἐγκεφάλου καὶ αὐτῶν τῶν νεύρων.

Τρίτον σημεῖον κακόν ἐστι τὸ πελιδνοῦσθαι ἢ μελαίνεσθαι τὰ ἄκρα ἐπὶ τῶν ὀξέων νοσημάτων. δηλοῖ γὰρ ἢ μεγίστην ὀδύνην ἢ θάνατον. ἐπὶ γὰρ τοῦ θανάτου ἐλάχιστος πυρετὸς 2) περὶ τὰ σπλάγχνα τὸ τέως ἐμφωλεύει ἐκ τοῦ ἐμφύτου θερμοῦ, καὶ ὡς ἐπὶ τὰ ἐκεῖ λοιπὸν καὶ τὰ μόρια συντρέχουσι καὶ δοκοῦσιν ἀνασπᾶσθαι, προσδοκοῦντα τυχεῖν τῆς ἑαυτῶν σωτηρίας. 3) ἀλλὰ καὶ ἐπὶ τῶν ὀδυνῶν τῶν ἐπιτεταμένων ὡς ἐπὶ κωλικῆς διαθέσεως καὶ τῶν νεφριτικῶν καὶ τῶν τοιούτων τὰ μόρια συντρέχουσιν ὡς ἐπὶ τὸ ὀδυνώμενον μόριον, διὰ τὸ καὶ τὴν φύσιν ἐκεῖσε συννεύειν καὶ συντρέχειν.

Ὁκόσοι μὲν οὖν τῶν ὑδρώπων ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος καὶ τὰ ἑξῆς. —

Κενεῶνας εἴωθε καλεῖν ὁ Ἱπποκράτης ἐκεῖνο τὸ χωρίον τὸ ἀπὸ τῆς ἐσχάτης πλευρᾶς μέχρι τοῦ ὀστοῦ τῆς λαγόνος, ἐπειδὴ κενότερον δοκεῖ εἶναι, ὡς πρὸς τὰ ὑπερκείμενά τε καὶ ὑποκείμενα. ὡς δὲ τῷ Γαληνῷ δοκεῖ, ἐν τούτοις τοῖς κενεῶσι περιέχεται ἡ νῆστις, αἱ μεσαραϊκαὶ φλέβες καὶ οἱ νεφροί. τούτων οὖν φλεγμαινόντων ἢ καὶ ἑνὸς ἢ καὶ δύο, ἔστιν ὅτε δὲ καὶ ὅλων, μεταλαμβάνει τῆς κακίας τὸ ἧπαρ, καὶ βλάπτεται ἡ ἀλλοιωτικὴ δύναμις αὐτοῦ. καὶ ἐντεῦθεν ἀποτυγχάνει ἡ ἐξαιμάτωσις καὶ γίνεται ὕδερος ὁ κατὰ πρωτοπάθειαν μὲν τῶν κενεώνων, κατὰ συμπάθειαν δὲ τοῦ ἥπατος.

---

1) οὐ κατέχεται M. A. 2) ἐπὶ M. 3) ἀλλὰ — συντρέχειν om. L.

Βῆξαί τε θυμὸς γίνεται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου. —

Θυμὸν ἐνταῦθα ἀκουστέον τὴν ἐπιθυμίαν. τί γὰρ ὅτι οἱ κατὰ πρωτοπάθειαν τοῦ ἥπατος ὑδεριῶντες, ὠθούμενον τὸ διάφραγμα ὑπὸ τῆς φλεγμονῆς τοῦ ἥπατος στενοχωρεῖται ὁ πνεύμων, καὶ ἐπιθυμοῦσι βήττειν, οὐδὲν 1) *δὲ ἀναφέρουσι βήττοντες, ἐπειδὴ οὐκ ἔστιν ἡ ὕλη ἐν τοῖς ἀναπνευστικοῖς, ἀλλ' ἐν ἄλλοις μορίοις, λέγω δὴ καὶ ἐν τοῖς* 2) *θρεπτικοῖς καὶ ἐν τῷ ὑμένι τῷ περικειμένῳ τῷ ἥπατι, καὶ ἐκεῖσε σφηνοῦται, καὶ βήττοντες οὐδὲν ἀναπτύουσιν ἄξιον λόγου, ὀλίγιστον δὲ ὑγρὸν ἀναφέρουσιν· οὐδὲ γὰρ πάντη ἀμοιροῦσιν ὑγρότητος τὰ ἀναπνευστικὰ μόρια, ἀλλὰ περιγράφεται λεπτὸν πάντως ὑγρὸν καὶ ἐν τῷ θώρακι καὶ ἐν τῷ πνεύμονι καὶ ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ. βήττοντες οὖν ἐκ τούτων τῶν μορίων, ὑγρὸν λεπτὸν μεθίεται καὶ ὀλίγιστον, καὶ τοῦτο ἀποπτύουσιν, οὐ μὴν ἐκ τῆς ὕλης, ἐπειδὴ ἐν ἄλλοις* 3) *μορίοις ἐστὶν ἐσφηνωμένη.*

Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακὸν τῆς τε κοιλίης καὶ τῶν πλευρῶν καὶ τὰ ἑξῆς. —

Ἀποροῦσιν ὅτι οὐκ ἔστι τοῦτο ἀληθὲς, οὐδὲ πάντως κακόν ἐστι τὸ τὰ ἄκρα ψύχεσθαι. ἐνδέχεται γὰρ ψύχεσθαι τὰ ἄκρα καὶ ἐν χειμῶνι καὶ ἐν γεροντικῇ ἡλικίᾳ, ἀλλὰ καὶ ἐν ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν. εἰ δὲ χρόνιον νόσημα, λειφαιμοῦντα τὰ ἄκρα καταψύχονται καὶ οὐκ ἔστι κακὸν ἢ ἐπικίνδυνον. πῶς οὖν ἔφη ὁ Ἱπποκράτης, ὅτι κακόν ἐστι τὸ ψύχεσθαι τὰ ἄκρα; πρὸς ὃ 4) *λέγομεν ὅτι ὁ Ἱπποκράτης ἐνταῦθα περὶ ὀξέος νοσήματος ἐξετάζων ἐκάκισε τὸ τὰ ἄκρα ψύχεσθαι. τί γὰρ ὅτι ὀξὺ νόσημα ὑπέθετο καὶ διακαῆ πυρετὸν καὶ φλογώδη ζέσιν. καὶ ἐὰν τούτων ὑποκειμένων ψυχρὰ ἔσονται τὰ ἄκρα, πῶς οὐκ ἔσται κακόν; δηλοῖ γὰρ ἀσθένειαν καὶ καταβολὴν τοῦ ἐμφύτου θερμοῦ καὶ ἧτταν τῆς φύσεως. καὶ πῶς οὐκ ἔστι κακὸν τὸ τοιοῦτον;*

---

1) *γὰρ* M. A. 2) *ἀναπνευστικοῖς* L. 3) *ἐστὶ μορ.* M. 4) *ἀπολογούμεθα* M. A.

Στρέφεσθαι δὲ χρὴ τὸν νοσοῦντα καὶ ἐν τοῖς μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. —

Μετεωρισμὸν καλεῖ ὁ Ἱπποκράτης τὴν ἀβίαστον κίνησιν, ἵνα ἀβιάστως ἀνακαθέζηται ὁ νοσέων καὶ στρέφηται. τί γὰρ δηλοῖ 1) ῥώμην καὶ ἰσχὺν τῆς κινητικῆς δυνάμεως καὶ αὐτῆς τῆς ἀρχῆς, λέγω δὴ τοῦ ἐγκεφάλου. οἱ γὰρ περὶ 2) Διοκλέα, ἡ κίνησις διττή ἐστιν, ἐκ φέροντος καὶ φερομένου. καὶ φέρον μὲν ἐκάλουν τὴν δύναμιν τὴν κινητικὴν, φερόμενον δὲ τὸ σῶμα. ὑπὸ γὰρ τῆς δυνάμεως φέρεται τὸ σῶμα, ἐπείτοι γε ὅσον πρὸς ἑαυτὸ τὸ σῶμα βαρύ ἐστι καὶ βριθόν.

Καὶ τὸ ὅλον σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνότερον. —

Ἀποροῦσιν ὅτι εἰπὼν καὶ τὸ ὅλον σῶμα, τί δήποτε ἐπήγαγε καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἰδίᾳ καὶ χωρὶς εἰπεῖν. τί γὰρ 3) ὅτι οὐκ ἠδύνατο εἰπεῖν καὶ τὸ ὅλον σῶμα, ἀλλ' ἰδίᾳ καὶ χωρὶς ἔφη αὐτά; πρὸς οὓς λέγομεν ὅτι κατ' ἐξοχὴν τοῦτο πεποίηκεν. ἐπειδὴ γὰρ μάλιστα ἐν τούτοις τοῖς μορίοις, χεῖρας λέγω καὶ πόδας, διαφαίνεται τὸ ἐπικινδυνότερον σημεῖον, καὶ ἡ κακία τοῦ πάθους ἐν αὐτοῖς θεωρεῖται, καὶ διὰ τοῦτο κατ' ἐξοχὴν ἐμνημόνευσεν αὐτῶν.

Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι ἢ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν. —

Ἡ μέλανσις ἐπίτασίς ἐστι τῆς πελιδνώσεως. πρότερον πελιδνοῦνται καὶ οὕτως μελαίνονται. καὶ ἀποροῦσί τινες ὅτι ἐὰν ἡ μέλανσις ἐπίτασίς ἐστι τῆς πελιδνώσεως, πῶς ἔφη ὁ Ἱπποκράτης, καὶ οἱ δάκτυλοι πελιδνούμενοι, προσδόκιμος ὁ θάνατος, μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πιλιδνῶν; καὶ λέγομεν ὅτι ἡ μέλανσις διττή ἐστιν, ἡ μὲν κατὰ ἐπίτασιν τῆς πελιδνώσεως γίνεται, ἡ δὲ οὐχί. καὶ εἰ μὲν κατ' ἐπίτασιν, ἐνδείκνυται μεγίστην σηπεδόνα, ἥτις κακίστη ἐστί. γίνεται μέλανσις καὶ κριτικῶς, ἡνίκα, ὀξέος ὑποκειμένου νοσή-

---

1) ἰσχ. κ. ῥώμ. M. 2) Διοκλέαν L. 3) ὅτι om. M.

ματος, ἐπεγερθῇ ἡ φύσις κριτικῶς καὶ ἀποῤῥίψῃ τὴν ὕλην ἐπὶ τὰ ἄκρα, καὶ ἐκεῖνα μὲν μελαίνονται. ἔστι δ' ὅτε καὶ ἀποπίπτουσιν ὑπὸ τῆς ἐκριφείσης κακοχυμίας. ὁ δὲ ἄνθρωπος περισώζεται τοῦ κινδύνου 1) καὶ ἐλευθεροῦται. ὁ οὖν Ἱπποκράτης ταύτην τὴν μέλανσιν ἐνταῦθα ἐκάλεσεν, ἧσσον ὀλέθριον τῶν πελιδνῶν, ἐπείτοι γε ἐνδέχεται αὐτὴν τὴν ἐκριφεῖσαν ὕλην κριτικῶς ἧττον μετέχειν κακίας, καὶ πελιδνοῦσθαι τὰς χεῖρας καὶ τοὺς πόδας, οὐ μὴν μελανθῆναι.

Περὶ δὲ ὕπνου, ὥσπερ καὶ κατὰ φύσιν ἡμῖν σύνηθές ἐστι, τὴν μὲν ἡμέρην καὶ τὰ ἑξῆς. —

Ἐντεῦθεν ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων ἐπάνεισιν ὁ Ἱπποκράτης, φημὶ δὴ τὸν ἐγκέφαλον, καὶ τοῦτον σημειοῦται ἀπὸ τῆς βλάβης τῆς ἐνεργείας. περὶ γὰρ ὕπνου διαλέγεται. ὁ δὲ παρὰ φύσιν ὕπνος ἐν βλάβαις ταῖς τῶν ψυχικῶν ἐνεργειῶν θεωρεῖται, φημὶ δὴ τῆς κοινῆς αἰσθήσεως ἤγουν τῶν κατὰ μέρος συναισθήσεων, εἴ 2) γε ἐδείχθη ἐν ἑτέροις πάσαις ταῖς κατὰ μέρος αἰσθήσεσι συνεργοῦσα καὶ ἡ κοινὴ αἴσθησις,, ὧν ἠρεμία τὸν ὑπνὸν ἐργάζεται. τριττὸς δὲ ὁ ὕπνος ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν ἢ μεταξὺ ἀμφοτέρων.

Ἀλλ' ἐπειδὴ περὶ ὕπνου ὁ λόγος, φέρε τὰ τέσσαρα 3) γενεσιουργὰ αἴτια τῶν ὕπνων 4) διασκεψώμεθα. καὶ ποιητικὸν μὲν αἴτιόν ἐστιν ἡ ἠρεμία τῶν κατὰ μέρος αἰσθήσεων καὶ τῆς κοινῆς αἰσθήσεως. καὶ ὅτι ποιητικὸν μὲν αἴτιόν ἐστι 5) τοῦ ὕπνου ἡ ἠρεμία τῶν κατὰ μέρος αἰσθήσεων καὶ τῆς κοινῆς αἰσθήσεως, πάντες ὡμοφώνησαν. περὶ δὲ ἕτερόν τι ἀμφιβάλλουσιν οἱ ἰατροὶ καὶ οἱ φιλόσοφοι, περὶ τῆς ἐνεργείας καὶ τῆς ἠρεμίας, εἰ 6) ἔστιν ἀμφότερα ὑπὸ φύσεως, 7) καὶ κατὰ πρῶτον λόγον ἐπιτελοῦνται. καὶ οἱ μὲν ἰατροὶ ἀμφότερα ὑπὸ φύσεως λέγουσιν ἐπιτελεῖσθαι καὶ κατὰ πρῶτον λόγον δεικνύντες τὸν τρόπον τοῦτον. ἡ φύσις πολλὴν πρόνοιαν καὶ φροντίδα περὶ τῶν ὑπ' αὐτῆς γινομένων ποιεῖται, καὶ ποιήσασα

---

1) *καὶ ἐλευθ.* om. M. A. 2) *δὲ* M. A. 3) *γενεσιουργικὰ* M. A. 4) *προσδιασ.* M. *προδιασ.* A. 5) *τοῦ ὕπνου* om. L. 6) *γε* M. A 7) *λέγουσιν ἐπιτελεῖσθαι* add. M. A.

τὴν ἐνέργειαν ἐπετήδευσε καὶ τὴν ἠρεμίαν, ἵνα μὴ τῇ ἀεννάῳ κινήσει καὶ ἐνεργείᾳ φθείρωνται τὰ μόρια καὶ ἐν αὐτοῖς καταβληθῶσιν αἱ δυνάμεις. 1) διὸ ὡς εἴρηται καὶ τὴν ἐνέργειαν καὶ τὴν ἠρεμίαν κατὰ πρῶτον λόγον ἐποίησεν ἡ πάνσοφος φύσις, ἵνα μετὰ τὴν ἐνέργειαν 2) ἠρεμοῦντα ἀνάπαυλαν καὶ ἀνακωχὴν 3) λαμβάνοντα ἐν 4) αὐτοῖς αἱ δυνάμεις, πάλιν πρὸς ὁρμὴν τῆς ἐνεργείας ἀκόπως ἐπιβαίνωσιν. ἢ οὐχ ὁρῶμεν τὰ ἀγαθὰ τὰ γινόμενα ἐν τοῖς ὕπνοις, τὴν διάφορον πέψιν καὶ τὴν διάκρισιν τῶν χυμῶν, καὶ τὰ τοιαῦτα; ὅθεν τινὲς τὸν ὕπνον οὐκ ἠθέλησαν ἠρεμίαν καλέσαι, ἀλλ᾽ ἐπιτεταμένην κίνησιν τῶν φυσικῶν δυνάμεων. Οἱ δὲ φιλόσοφοι λέγουσι, κατὰ πρῶτον λόγον τὴν ἐνέργειαν ἀποτελεῖσθαι ὑπὸ τῆς φύσεως, τὴν δὲ ἠρεμίαν παρακολούθημά τι εἶναι, κατασκευάζοντες οὕτως, ὅτι ἡ φύσις διὰ τοῦτο ἐποίησε καὶ τὴν διάφορον ποικιλίαν τῶν μορίων κατεσκεύασε, διὰ τὴν ἐνέργειαν, ἵνα ἀμέμπτως καὶ κατὰ πρῶτον λόγον ἐπιτελῆται ἡ ἐνέργεια, ἡ δὲ ἠρεμία παρακολουθῇ, ἵνα μετὰ τὴν ἐνέργειαν καὶ ἠρεμοῦσι τά τε μόρια καὶ αἱ δυνάμεις. καὶ ἐπειδὴ δὲ φύσεως ἐμνημονεύσαμεν, τριττὴ δέ ἐστιν αὕτη, εἴπωμεν, ὑπὸ ποίας φύσεως προνοίᾳ ἐπιτελεῖται ἡ ἠρεμία, ἤγουν ὁ ὕπνος. ἔστι γὰρ ἡ φυτικὴ ψυχὴ, ἔστιν ἡ λογικὴ ψυχὴ, ἔστι καὶ ἡ ἄλογος ψυχή. ὑπὸ ποίας ἄρα τούτων ἐπιτελεῖται ὁ ὕπνος; καὶ ὑπὸ μὲν τῆς 5) φυτικῆς οὐδαμῶς, ἐπεὶ ὤφειλον καὶ τὰ φυτὰ ὑπνοῦν. ἀλλ᾽ ἐπὶ τῆς λογικῆς οὐδαμῶς, ἐπεὶ ὤφειλε μόνος ὁ ἄνθρωπος ὑπνοῦν. οὐκοῦν προνοίᾳ τῆς ἀλόγου ψυχῆς· διάφοροί εἰσιν ἐν αὐτῷ δυνάμεις κινητικαί. ἔστι γὰρ ζωτικὴ, ἔστι καὶ κινητική. ὑπὸ ποίας 6) ἄρα τούτων ἐπιτελεῖται ὁ ὕπνος; ὑπὸ μὲν τῆς ζωτικῆς οὐδαμῶς. αὐτὴ γὰρ ἀεὶ ἐνεργεῖ κατά τε τὴν σφυγμικὴν καὶ τὴν ἀναπνευστικήν. ἀλλ᾽ ἴσως ἀπορεῖ τις λέγων, καὶ πῶς οὐ φθείρονται τῇ ἀεννάῳ κινήσει καὶ 7) ἐνεργείᾳ; καὶ λέγομεν, ὅτι οὐκ ἔστι μία καὶ ἡ αὐτὴ κίνησις, ἀλλα

1) ὕπνος ἐστὶν ἠρεμία τῶν κατὰ μέρος αἰσθήσεων καὶ τῆς κοινῆς αἰσθήσεως, καὶ κίνησις ἐπιτεταμένη τῶν φυσικῶν δυνάμεων. L. in mg. 2) Fort. ἠρεμοῦσαι — λαμβάνουσαι. 3) λαμβάνωνται M. A. 4) αὐτοῖς sc. ὕπνοις. 5) φυσικῆς M. 6) ὅτι τοῦτο M. 7) συνεργείᾳ M. A.

δύο ἐναντίαι. μεταξὺ δὲ δύο ἐναντίων κινήσεων, πάντως μεταξὺ 1) λαβεῖται ἠρεμία. ἐπὶ μὲν τῆς σφυγμικῆς ἐστι συστολὴ καὶ διαστολὴ, καὶ ἐν τῷ μέσῳ, ἐν ᾧ ἀλλήλας διαδέχονται, ἔστιν ἡ ἠρεμία. ἀλλὰ καὶ ἐπὶ τῆς ἀναπνοῆς, ἔστιν εἰσπνοὴ καὶ ἐκπνοὴ, καὶ μεταξὺ λαβεῖται ἠρεμία. ἐν ταύταις οὖν ταῖς εἰρημέναις ἀνακωχὴν λαμβάνουσαι αἱ ζωτικαὶ δυνάμεις, ἀποτελοῦσι τὴν οἰκείαν ἐνέργειαν. ἀλλ᾽ οὐδὲ ὑπὸ τῆς 2) ζωτικῆς δυνάμεως ἀποτελεῖται ὁ ὕπνος, ἐπειδὴ αἱ καθ᾽ ὁρμὴν κινήσεις προαιρέσει δουλεύουσιν, ὁ δὲ ὕπνος προαιρέσει οὐ δουλεύει. 3) λείπεται οὖν προνοίᾳ ὑπὸ τῆς ἀλόγου ψυχῆς καὶ τῆς κατὰ μέρος αἰσθήσεως καὶ τῆς κοινῆς αἰσθήσεως ἐπιτελεῖσθαι τὸν ὕπνον· κατὰ συμβεβηκὸς δὲ καὶ ὑπὸ τῆς ἠρεμίας τῆς φαντασίας καὶ τῆς μνήμης ἐπιτελεῖται ὁ ὕπνος. τί γὰρ ἠρεμουσῶν τῶν αἰσθήσεων, οὐκ ἀναπέμπονται τύποι ἐπὶ τῇ φαντασίᾳ, ἐν ᾧ ὤφειλε φαντασθῆναι, καὶ ἐντεῦθεν ἠρεμεῖ; καὶ ἰδοὺ κατὰ μὲν πρῶτον λόγον ὑπὸ τῶν αἰσθήσεων ἐπιτελεῖται ὁ ὕπνος· κατὰ συμβεβηκὸς δὲ καὶ ὑπὸ τῆς ἠρεμίας τῆς φαντασίας καὶ τῆς μνήμης. ἀλλ᾽ ἴσως ἀπορεῖ τις λέγων, ὅτι εἰ οὖν ἡ φαντασία ἐν τοῖς ὕπνοις ἠρεμεῖ, πῶς ὀνειρώττομεν ἐν τοῖς ὕπνοις, εἰ μὴ ὅτι τῆς φαντασίας ἐνεργούσης; καὶ λέγομεν, ὅτι ἐν τῷ κατὰ φύσιν ὕπνῳ ἡ φαντασία πάντως ἠρεμεῖ, ὅθεν οὐδὲ ὀνειρώττομεν ἐν τῷ κατὰ φύσιν ὕπνῳ. εἰ μὴ γὰρ αἱ αἰσθήσεις πέμπουσι τοὺς 4) τύπους τῇ φαντασίᾳ, οὐκ ἐνεργεῖ. τούτων δὲ ἠρεμουσῶν ἐν τῷ ὕπνῳ, καὶ ἡ φαντασία ἠρεμεῖ καὶ ἡ μνήμη ἐν τῷ κατὰ φύσιν ὕπνῳ. οὐδὲν γάρ ἐστι φαντασία, ἢ μονὴ καὶ στάσις τῶν φαντασθέντων.

Ὑλικὸν δὲ αἴτιόν ἐστι τοῦ ὕπνου, ἡ ἀναπεμπομένη χρηστὴ ὑγρότης, ἥτις φερομένη ἐπὶ τοὺς πόρους τῶν νεύρων καὶ περὶ τὰς ῥίζας αὐτῶν, παρεμποδίζει καὶ παρακωλύει διεξελθεῖν τὸ ψυχικὸν πνεῦμα. τούτου γὰρ κωλυομένου, οὐ διοδεύει καὶ διαλάμπεται ἀκτινοειδῶς ταῖς αἰσθήσεσιν, ἀλλ᾽ ἠρεμίαν ἔχουσιν, ὅπερ ὁ κατὰ φύσιν ἐστὶν ὕπνος. καλῶς δὲ εἴπομεν ὅτι παρακωλύει διεξελ-

1) deprehendetur. 2) λογικῆς Merc. in mg. 3) λοιπὸν M. A. 4) ὕπνους L.

θεῖν τὸ ψυχικὸν πνεῦμα. οὐδὲ γὰρ πάντη ἐμφράττει τὰς ῥίζας τῶν νεύρων καὶ τοὺς πόρους ἡ χρηστὴ ὑγρότης, ἀλλ' 1) ἐπιπολαίως, ὥστε μοῖρά τις τοῦ ψυχικοῦ πνεύματος διεξέρχεται. οὕτως γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν ἐπὶ τοῦ ἡλίου, ἡνίκα καθαρὸν νέφος ὑποδράμῃ τῷ ἡλίῳ, τὴν μὲν ἀκτῖνα αὐτοῦ κωλύει διεξελθεῖν. τὸ δὲ φῶς διεξέρχεται καὶ ποιεῖ τὴν ἡμέραν. 2) οὕτως οὖν καὶ ἐνταῦθα διεξέρχεται μοῖρά τις ψυχικὴ τοῦ ψυχικοῦ πνεύματος, ὡς δηλοῖ τὸ ἐν τῷ ὑπνώττειν ἡμᾶς συγγινώσκειν πολλάκις τὰ λεγόμενα, καὶ τὰ γινόμενα ἀκοίομεν, ἐν οἰῳδήποτε ὑπνοῦντες οἴκῳ. εἰ δὲ ἀχλυωδέστερον καὶ παχύτερόν ἐστι τὸ ὑγρὸν, καὶ μείζων ἡ ἔμφραξις γένηται, τότε οὐχ ὕπνος ἐστὶ σχεδὸν, ἀλλ' ἀποπληξία ἢ κῶμα καὶ τὰ τοιαῦτα. ὥσπερ πάλιν ἐπὶ τοῦ ἡλίου ἐὰν νέφος ζοφῶδες καὶ παχὺ ὑποδράμῃ αὐτὸν, ποτὲ οὐ μόνον τὴν ἀκτῖνα κωλύει, ἀλλὰ καὶ τὸ φῶς, ὡς δοκεῖν ἡμᾶς ὁρᾷν πολλάκις τοῦτο γινόμενον ἐν ἡμέρᾳ, ὡς ἑσπέραν εἶναι. εἰ δὲ γεωδέστερόν ἐστι τὸ ὑγρὸν, παντελῆ ποιεῖται τὴν ἔμφραξιν καὶ θάνατον ἐπιφέρει, οὐ μὴν ὕπνον. οὕτως καὶ γὰρ ὁ ἥλιος 3) ὑπόγειος γινόμενος καὶ σκεπόμενος ὑπὸ τοῦ πάχους τῆς γῆς 4) στερεῖται ὁ ἀὴρ οὗτος τοῦ φωτίζοντος καὶ γίνεται ἡ νύξ. τοῦτο οὖν καὶ τὸ ὑλικόν ἐστιν αἴτιον, ἡ χρηστὴ ὑγρότης.

Ὀργανικὸν δὲ αἴτιόν ἐστιν αὐτὸς ὁ ἐγκέφαλος ἐν ᾧ χορηγεῖται ἡ ὑγρότης.

Τελικὸν δὲ αἴτιόν ἐστι, δι' οὗ ἐγένετο αὐτὸς ὁ ὕπνος, λέγω δὴ διὰ τὴν ἀνάπαυλαν τῶν δυνάμεων.

Δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς τέσσαρά τινα περὶ τοῦ ὕπνου εἰπεῖν καὶ ζητῆσαι, τὸ ποσὸν τοῦ ὕπνου, τὸ ποιὸν, τὸν καιρὸν, τὸν τρόπον τῆς χρήσεως. καὶ ἀρκτέον ἀπὸ τοῦ ποσοῦ.

Τὸ ποσὸν τοῦ ὕπνου μήτε πολὺ δεῖ 5) εἶναι, μήτε βραχύ· ὁ γὰρ πολὺς ὕπνος περιττωματικὸν τὸ σῶμα δη-

---

1) ἐπιπόλως L. 2) Pulchre probatum, quo in somno interdum phantasiae oriuntur, interdum non. 3) ὑπόϋλος M. A. 4) ἐστέρηται M. A. 5) εἰδέναι L.

λοῖ καὶ αὐτὴν τὴν ἀναπεμπομένην ὑγρότητα. ὁ δὲ βραχὺς ὕπνος δηλοῖ ἔνδειαν ὑγρότητος, καὶ λεπτοῦ καὶ ἀερώδους φύσιν τοῦ ὑγροῦ. τοτηνικαῦτα γὰρ ἑτοίμως διαφορεῖται, καὶ διὰ τοῦτο βραχὺς γίνεται ὁ ὕπνος. ἀλλὰ δεῖ μέσον αὐτὸν εἶναι μήτε πολὺν μήτε βραχύν.

Κατὰ δὲ ποιότητα, οὐ δεῖ τὸν ὕπνον βαθὺν εἶναι καὶ καταφορικόν. κακὸν γάρ ἐστι. δηλοῖ 1) *γὰρ παχεῖαν τὴν ὑγρότητα. ἀλλ' οὔτε ἐπιπόλαιον δεῖ εἶναι τὸν ὕπνον καὶ* 2) *ἑτοιμοεγρήγορον· δηλοῖ γὰρ λεπτὴν τὴν ὑγρότητα καὶ εὐδιαφόρητον. ἀλλὰ δεῖ αὐτὸν μέσως πως εἶναι.*

Κατὰ δὲ τὸν καιρὸν, δεῖ ἐν τῇ νυκτερινῇ ὥρᾳ ἐπιτελεῖσθαι τοὺς ὕπνους. τότε γὰρ ἐπιτηδειότης ἐστὶ τῆς ἠρεμίας ἐπὶ παντὸς ζώου. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι καὶ πῶς τινας ὁρῶμεν τῶν τεχνιτῶν ἐν μὲν τῇ νυκτὶ κάμνοντας, ἐν δὲ τῇ ἡμέρᾳ ὑπνοῦντας, καὶ ὑγιεινῶς διάγοντας, ὥσπερ 3) *μάγκυπες καὶ χαλκεῖς; πρὸς ὅ φαμεν ὅτι ἐν τοῖς χρόνοις τοῦ Ἱπποκράτους* 4) *πάντες εὐτάκτως ἐβίουν, καὶ οὐκ ἦν τοιαύτη κατάστασις, ἀλλὰ κοσμίως ἔζων. οὕτως γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν, ὅτι ἀνίσχοντος τοῦ ἡλίου καὶ ἡμέρας γινομένης, πάντα τὰ ζῶα* 5) *ἐπὶ τὰ πλεῖστα ὁρμῶσι πρὸς τὴν ἐνέργειαν. ὑπὸ γῆν δὲ γινομένου τοῦ ἡλίου, πάλιν ἐν ἡσυχίᾳ διάγουσι τὰ ζῶα· οὕτως καὶ οἱ τότε ἄνθρωποι κοσμικὴν τάξιν ἐφρόντιζον, καὶ ἐν μὲν τῇ νυκτὶ ὕπνουν, ἐν δὲ τῇ ἡμέρᾳ ἐνήργουν. δεῖ γὰρ εἰδέναι, ὅτι ἐν τῇ νυκτί ἐστιν ὁ κατὰ φύσιν ὕπνος, ἐπειδὴ τοῦ ἡλίου ὑπὸ γῆν γινομένου στερεῖται ὁ ἀὴρ τοῦ φωτίζειν, καὶ πρὸς ἐνέργειαν* 6) *οὐ ποιεῖ τὰς αἰσθήσεις κινεῖσθαι. τί γὰρ ὅτι ἀπόντος τοῦ φωτίζοντος, οὐκ ἀντιλαμβάνονται αἱ αἰσθήσεις περὶ τὰ αἰσθητὰ, καὶ λοιπὸν ἠρεμοῦσι, καὶ διὰ τοῦτο ἐν νυκτὶ μάλιστα ἐπιτελεῖται ὁ κατα φύσιν ὕπνος. ἢ καὶ ἄλλως· ἑκάστη νὺξ πρὸς τὴν οἰκείαν ἡμέραν ψυχροτέρα ἐστίν. ἐν γοῦν τῇ νυκτὶ ὑπὸ τῆς ψύξεως στεγνοῦται ἡ ἐπιφάνεια τοῦ δέρματος, καὶ τῇ στεγνώσει περιστέλλεται τὸ ἔμφυτον θερμὸν, καὶ συννεύει*

---

1) *δὲ* M. 2) *ἑτοιμοεγρήγορτον* A. 3) *μάγγιπες* L. *μάγκυπες* M. A. Alibi *μάγκιπες*, pistores. Vide Du Cang. 4) *πάντως* L. 5) *ἐπείτοί* Codd. 6) *ποιοῦντος* M. A.

ἐπὶ τὸ βάθος, δηλονότι καὶ ἡ φύσις συννεύει ἐπὶ τὸ βάθος, καὶ λοιπὸν οὐκ ἐλλάμπεται ταῖς αἰσθήσεσι. καὶ τοτηνικαῦτα 1) ὁ κατὰ φύσιν ὕπνος ἕπεται τῇ νυκτί. ἵνα δὲ ἐπὶ τὸ τελειότερον ἀγάγωμεν τὸν λόγον, δεῖ ἡμᾶς ἐκ 2) διαιρέσεως προελθεῖν καὶ εἰπεῖν οὕτως, ὅτι ὁ ὕπνος, εἰ καὶ ἐν τῇ νυκτὶ καὶ ἐν τῇ ἡμέρᾳ ἐπιτελεῖται καί ἐστι κακός. δηλοῖ γὰρ ἢ ἀποπληξίαν ἢ κάρον ἢ κῶμα ἢ ἕτερόν τι τοιοῦτον. ἔστι δ᾽ ὅτε καὶ θάνατον ἐπιφέρει. ἢ οὐδὲ ἐν τῇ νυκτὶ, οὐδὲ ἐν τῇ ἡμέρᾳ. οὗτος δὲ οὐκ ἔστιν ὕπνος, ἀλλ᾽ ἀγρυπνία, ὅπερ καὶ τοῦτο κακόν ἐστι. δηλοῖ γὰρ ἐπιτεταμένην ξηρότητα, καὶ ἐλαχίστην ὑγρότητα, ἥτις καὶ αὐτὴ λεπτὴ οὖσα, διαφορεῖται καὶ διὰ τοῦτο οὐχ ὑπνοῦσιν· ἢ ἐν τῇ νυκτὶ ἐπιτελεῖται, καί ἐστιν οὗτος ἀγαθὸς ὕπνος καὶ κατὰ φύσιν, ὡς ἤδη ἡ αἰτία εἴρηται πρόσθεν· ἢ ἐν τῇ ἡμέρᾳ ἐπιτελεῖται μόνον· οὗτος δὲ ἧττόν ἐστιν ἀγαθὸς, ὡς πρὸς τὸν ἐν νυκτὶ ἐπιτελούμενον. τῶν δὲ ἄλλων καλλίων ἐστὶν οὗτος. τί γὰρ ὅτι πολλάκις διά τινα ἐπιτεταμένην ὀδύνην ἢ φροντίδα τινὰ οὐκ 3) ἐκοιμήθησαν ἐν τῇ νυκτὶ, καὶ ὅπερ ἐν τῇ νυκτὶ σφάλμα γέγονε, δέον ἐν τῇ ἡμέρᾳ ἀναπληρωθῆναι τὸ 4) σφάλμα, καὶ ἀνάπαυλαν καὶ ἄνεσιν γενέσθαι τῶν δυνάμεων· πλὴν καὶ τοῦτο δεῖ σε εἰδέναι, ὅτι καὶ τῆς ἡμέρας κάλλιόν ἐστιν ἐν τῷ ἑωθινῷ ὑπνῶσαι, ἐπειδὴ τὸ ψυχρότερόν ἐστι τὸ ἑωθινὸν τῆς ἡμέρας.

Ὁ δὲ τρόπος τῆς χρήσεως τοῦ ὕπνου ἐστὶν, ἵνα εἱρμῷ τινι καὶ ἀκολουθίᾳ καὶ συνέχεια φυλάττηται ἐν τῷ ὕπνῳ, καὶ μὴ διακόπτεσθαι τὸν ὕπνον. ὁ γὰρ εἱρμῷ τινι καὶ ἀκολουθίᾳ γινόμενος ὕπνος χρηστὴν ὑγρότητα ἐνδείκνυται. ὁ δὲ διακοπτόμενος ὕπνος δηλοῖ λεπτὴν τὴν ὑγρότητα καὶ εὐδιαφόρητον. καὶ καθ᾽ ἣν διεφορήθη, διακόπτεται ὁ ὕπνος καὶ διϋπνίζονται· ἢ πολλάκις διακόπτεται ὁ ὕπνος ὑπὸ φροντίδος πολλῆς. τί γάρ; κοιμᾶται καὶ αὐτὴ ἡ φροντὶς διϋπνίζει αὐτὸν, καὶ πάλιν κοιμᾶται, καὶ πάλιν ἡ φροντὶς διϋπνίζει αὐτὸν καὶ οὕτως διακόπτεται ὁ ὕπνος 5) αὐτῶν.

1) καὶ L. 2) προαιρέσ. L. 3) ἐκοιμήθη M. 4) σφαλὲν M. A. 5) αὐτῶν om. M. A.

Διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥραν ἥνπερ καὶ ὑγιαίνοντι διεχώρει· πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. —

1) Μεμαθήκαμεν ὅτι τριττή ἐστιν ἡ 2) πέψις· ἔστι γὰρ πρώτη ἡ χυλοποίησις, ἧς 3) περίττωμά ἐστιν ἡ κόπρος, δευτέρα δὲ πέψις ἡ ἐν ἥπατι γινομένη, ἡ ἐξαιμάτωσις, ἧς περίττωμά ἐστι τὸ οὖρον, τρίτη πέψις ἐστὶν ἡ ἐν ἑκάστῳ μορίῳ, ἤγουν ἡ ἐν τῷ παντὶ σώματι πέψις καὶ ἐξομοίωσις, ἧς περίττωμά ἐστιν ἡ ἄδηλος διαπνοή. νῦν οὖν περὶ τοῦ περιττώματος τῆς πρώτης πέψεως διαλέγεται, λέγω δὴ τῆς κόπρου. καὶ τοῦτο σημειοῦται ἀπὸ ἕξ τινων, ἀπὸ τῆς ποσότητος, ἀπὸ τῆς συστάσεως, ἀπὸ τοῦ καιροῦ, ἀπὸ τῆς χροιᾶς, ἀπὸ τῆς ὀσμῆς, ἀπὸ τοῦ τρόπου τῆς ἐκκρίσεως.

Ἀπὸ τῆς ποσότητος, πῶς τὸ κατὰ φύσιν διαχώρημα, οὐ πρὸς τὴν ποσότητα τῆς παρεχομένης τροφῆς δέον προσέχειν, ἀλλὰ πρὸς τὴν φύσιν αὐτῆς τῆς περιεχομένης τροφῆς. 4) τινὰ μὲν γὰρ τῶν τροφῶν πολὺ μὲν τρέφουσι καὶ πολὺ ἔχουσι τὸ χρηστὸν, ὀλίγον δὲ τὸ περίττωμα, ὥσπερ κρέα καὶ ὄρνεα, καὶ τὰ τοιαῦτα, τινὰ δὲ τοὐναντίον ὀλίγον τρέφουσιν, ἐπειδὴ ἐλάχιστον ἔχουσι τὸ χρηστὸν, ὥσπερ καὶ λάχανα καὶ φακὴ καὶ τὰ ὄσπρια. καὶ τοῦτο ἔστιν ὅπερ λέγει ὁ Ἱπποκράτης, πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων.

Ἀπὸ δὲ τῆς συστάσεως, τὸ κατὰ φύσιν διαχώρημα οὔτε ἔξυγρον καὶ ὑδαρὲς θέλει εἶναι, οὔτε μὴν σκληρὸν καὶ συνεστραμμένον, ἀλλὰ μέσως πως.

Ἀπὸ δὲ τοῦ καιροῦ, τὸ κατὰ φύσιν διαχώρημα δεῖ ἐν τῷ ἑωθινῷ καιρῷ τῆς ἡμέρας ἀποπατεῖσθαι. μετὰ γὰρ τὴν πέψιν καὶ τὴν διάκρισιν, τότε εἰς ἀποπάτησιν τρέπονται οἱ ἄνθρωποι.

Ἀπὸ δὲ τῆς χροιᾶς, δεῖ τὸ κατὰ φύσιν διαχώρημα ὅσον πρὸς ἑαυτὸ λευκὸν εἶναι, ἐπειδὴ καὶ ὁ χυλὸς τοι-

---

1) περὶ διαχωρημάτων L. in mg. 2) περίττωσις M. A. 3) περίττωσις M. 4) Fort. τινὲς sive τῶν τροφίμων. Sed Stephanus saepius σολοικίζει.

οὗτός ἐστιν. ἀλλ' ἐπειδὴ ἀπὸ χολῆς χρώννυται, δεῖ αὐτὸ ὑπόξανθον εἶναι καὶ ὑπέρυθρον.

Ἀπὸ δὲ τῆς ὀσμῆς, τὸ κατὰ φύσιν διαχώρημα οὐ θέλει εἶναι οὔτε δυσωδέστατον, οὔτε εὔοσμον. τὸ γὰρ δυσωδέστατον δηλοῖ μεγάλην σηπεδόνα ἐν τῇ γαστρὶ καὶ ἐν τοῖς ἐντέροις. τὸ δὲ εὐῶδες διαχώρημα δηλοῖ, ὅτι καὶ τὰ χρηστὰ μετὰ τῶν ἀχρήστων ἐκκρίνεται, ἀλλὰ δεῖ αὐτὸ 1) ὀλίγης μετέχειν δυσωδίας, ὥς αὐτός φησι καὶ ἥκιστα δυσῶδες.

Ἀπὸ δὲ τοῦ τρόπου τῆς ἐκκρίσεως, δεῖ τὸ κατὰ φύσιν διαχώρημα μήτε μετὰ τρυσμοῦ τινος ἢ πνεύματος ἢ μετά τινος ὀδύνης ἐκκρίνεσθαι, μήτε μετὰ τεινεσμοῦ τινος καὶ συντάσεως, ἀλλὰ δεῖ αὐτὸ ὁμαλῶς καὶ ἀδιακόπως ἐκκρίνεσθαι.

Λοιπὸν δὲ δεῖ ἡμᾶς καὶ τὴν αἰτίαν ἑκάστου ἀποδοῦναι. καὶ τέως τῆς κατὰ ποσότητα εἴπωμεν τὰ αἴτια. γίνεται πολὺ τὸ διαχώρημα ἢ δι' ἀσθένειαν τῆς 2) καθεκτικῆς δυνάμεως, μὴ ἰσχυσάσης κατασχεῖν, ἀλλ' ἐξεῶσαι, καὶ τοτηνικαῦτα καὶ τὰ χρηστὰ μετὰ τῶν ἀχρήστων συνεκκρίνεται, ἢ διὰ βλάβην τῆς ἀναδόσεως. βλάπτεται δὲ ἡ ἀνάδοσις ἢ δι' ἀσθένειαν τῆς ἐν ἥπατι ἑλκτικῆς, μὴ ἰσχυούσης ἕλξαι, ἢ δι' ἔμφραξιν ἢ φλεγμονὴν τῶν μεσαραϊκῶν φλεβῶν. τὸ τηνικαῦτα γὰρ ἐνδεὴς γίνεται ἡ ἀνάδοσις, καὶ ἐξ ἀνάγκης καὶ ὁ χυλὸς φέρεται μετὰ τῆς κόπρου καὶ συνεκκρίνεται καὶ πολὺ γίνεται τὸ διαχώρημα, ἢ δι' ἐπιῤῥοὴν χυμῶν τινων ἐπὶ τὴν γαστέρα ἀπὸ τοῦ παντὸς σώματος συῤῥυέντων. τί γὰρ ὅτι συνεκκρίνονται καὶ οἱ χυμοὶ 3) οὗτοι μετὰ τῆς κόπρου καὶ γίνεται πολὺ τὸ διαχώρημα. ὀλίγον δὲ γίνεται ἢ διὰ πλημμελῆ βλάβην τῆς καθεκτικῆς δυνάμεως, πλέον 4) κατέχουσα τοῦ δέοντος· ἀναδίδοται γὰρ τὸ πλεῖστον μέρος τοῦ χυλοῦ καὶ ὀλίγον γίνεται τὸ διαχώρημα, ἢ διὰ πλημμελῆ βλάβην τῆς ἑλκτικῆς δυνάμεως τοῦ ἥπατος, ἐπὶ πλέον τοῦ δέοντος ἕλκοντος, καὶ ἐντεῦθεν γίνεται ὀλίγον τὸ διαχώ-

1) μετ. ὀλίγ. M. 2) ἀποκριτικῆς M. A. 3) οὗτοι om. M. 4) κατέχουσιν M. Fort. κατεχούσης.

ρημα, ἢ διὰ θερμὴν δυσκρασίαν τῶν μεσαραϊκῶν φλεβῶν. σχεδὸν δὲ ἡ αὐτή ἐστιν αἰτία. καὶ ἐνταῦθα γὰρ ἕλκει ἡ θερμὴ δυσκρασία τὸ ὑγρὸν, ἤγουν τὸν χυλὸν, καὶ ἐξαναλίσκει καὶ δαπανᾷ πλέον τοῦ δέοντος, καὶ ὀλίγον γίνεται τὸ διαχώρημα.

Τῆς δὲ κατὰ σύστασιν ἀμετρίας, τίς ἡ αἰτία; τὸ δὑγρον καὶ ὑδαρὲς γίνεσθαι τὸ διαχώρημα, ἢ σκληρὸν καὶ ξηρόν. καὶ ὑγρὸν καὶ ὑδαρὲς γίνεται τὸ διαχώρημα δι' ἀσθένειαν τῆς ἀλλοιωτικῆς δυνάμεως, μὴ ἰσχυούσης ἀλλοιῶσαι καὶ χυμῶσαι καὶ πέψαι, ἀλλ' 1) ἐξεῶσαι. τὸ τηνικαῦτα γὰρ ἔξυγρον γίνεται τὸ διαχώρημα, ὥσπερ ἐν ταῖς κοιλιακαῖς διαθέσεσιν, ἢ διὰ πλημμελῆ βλάβην τῆς καθεκτικῆς δυνάμεως, μὴ τὸν δέοντα καιρὸν κατέχουσα ἐν ᾧ ὤφειλεν ἡ ἀλλοιωτικὴ 2) δύναμις ἐνεργῆσαι, ἀλλὰ πρὸ ὥρας 3) ἐξεῶσα φέρεται δὑγρον, ἢ δι' ἐνδεῆ ἀνάδοσιν. τί γὰρ ὅτι ἐνδεοῦς 4) [οὔσης] τῆς ἀναδόσεως γινομένης, φέρεται καὶ ὁ χυλὸς καὶ ἐξυγραίνει το διαχώρημα, ἢ διὰ κακοχυμίαν ἀπὸ τοῦ παντὸς σώματος ἐπὶ τὴν γαστέρα συῤῥέουσαν. τὸ τηνικαῦτα γὰρ συνεκκρίνονται τῷ περιττώματι καὶ ἐξυγραίνουσιν αὐτό. ξηρὸν δὲ γίνεται τὸ διαχώρημα ἢ διὰ θερμὴν δυσκρασίαν τοῦ ἥπατος καὶ τῶν
* περὶ τὴν γαστέρα χωρίων, καὶ ἐκδαπανώσης τὸ ὑγρὸν, ἢ διὰ πλημμελῆ βλάβην τῆς καθεκτικῆς δυνάμεως, πλέον τοῦ δέοντος κατέχουσα. τὸ τηνικαῦτα γὰρ ἀναδίδοται τὸ ὑγρὸν καὶ κερδαίνει τι ἐξ αὐτοῦ καὶ ξηρὸν γίνεται τὸ διαχώρημα.

Τῆς δὲ κατὰ τον καιρὸν, τοῦ πρὸ ὥρας ἐκκρίνεσθαι τὸ διαχώρημα αἰτία καθέστηκεν ἡ καθεκτικὴ δύναμις, διὰ πλημμελῆ βλάβην, τῆς ἀποκριτικῆς πρὸ ὥρας ἐπεγειρομένης καὶ ἀποκρινούσης τὸ διαχώρημα, ἢ δι' ἐπιῤῥοὴν 5) καὶ κακοχυμίας φερομένης ἐπὶ τὴν ἀποκριτικὴν δύναμιν καὶ 6) μαστιζούσης αὐτὴν, πρὸ ὥρας ἐπεγειρομένη, πρωϊαίτερον ἐκκρίνει τὸ διαχώρημα, ὀψιαίτερον δὲ ἀπωθεῖται ἡ κόπρος, ἢ διὰ πλημμελῆ βλάβην τῆς καθε-

1) ἐξεώσης L. Fort. ἐξεωσάσης. 2) δύναμις om. L. 3) Fort. ἐξεώσασα. 4) οὔσης om. M. 5) καὶ om. M. 6) μὴ βασταζούσης L.

κτικῆς δυνάμεως, πλέον τοῦ δέοντος 1) κατέχουσα, τυχὸν μετὰ τὴν πέψιν, ἢ διὰ πλημμελῆ βλάβην, τῆς ἀποκριτικῆς μὴ ἐπεγειρομένης εἰς τὸν δέοντα καιρὸν καὶ ἀποκρινούσης τὸ διαχώρημα, ἀλλ᾽ ἐμβραδυνούσης.

Ἀπὸ δὲ τοῦ χρώματος, ὅσον πρὸς ἑαυτὸ ἔδει λευκὸν εἶναι, ἐπειδὴ καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα λευκά εἰσιν, ἀλλὰ καὶ ὁ χυλὸς λευκός. ἀλλ᾽ ἐπειδὴ δύο ἀγγεῖα ἀπὸ τῆς χοληδόχου κύστεως ἐκφύονται, καὶ τὸ μὲν μεῖζον φέρεται ἐπὶ τὰ ἔντερα, τὸ δὲ μικρότερον ἐπὶ τὴν γαστέρα, χάριν τοῦ χρωννύειν τὴν κόπρον, διὰ τοῦτο δεῖ τὴν κόπρον ὑπόξανθον καὶ ὑπέρυθρον εἶναι.

Ἀπὸ δὲ τοῦ τρόπου τῆς ἐκκρίσεως, ὅτι δεῖ εὐφόρως ἐκκρίνεσθαι καὶ ὁμαλῶς. τὸ δὲ μετὰ τρυσμοῦ καὶ πνευμάτων καὶ 2) τεινεσμῶν γίνεται τρόπῳ τοιούτῳ· τὸ μὲν μετὰ τρυσμοῦ δηλοῖ περιουσίαν φλέγματος ἐν τοῖς ἐντέροις καὶ τῷ ἀπευθυσμένῳ ἐγκειμένην. τηνικαῦτα γὰρ ἀποστενοῖ τὴν διέξοδον τοῦ διαχωρήματος. λοιπὸν καὶ προσαναλύει τι μέρος τοῦ φλέγματος, καὶ τῇ τοιαύτῃ κινήσει τίκτονται πνεύματά 3) τινα, καὶ ποιοῦσι τὸν τρυσμόν. τὸ δὲ μετὰ φυσῶν ἐκκρίνεσθαι δηλοῖ περιουσίαν πνευμάτων, ἢ ὑπὸ ψυχρᾶς δυσκρασίας τῆς γαστρὸς γεννηθέντων, ἢ διὰ τροφὰς τοιαύτας παρασχεθείσας. τὸ δὲ μετὰ τεινεσμοῦ ἐκκρίνεσθαι δηλοῖ ἢ φλεγμονὴν ἢ ἕλκος γινόμενον ἐν τοῖς τόποις ἐκείνοις. τί γὰρ ὅτι ἀπὸ τῆς φλεγμονῆς ἰχῶρές τινες 4) ἐπιστάζουσιν ἐπὶ τὸ ἀπευθυσμένον καὶ δάκνουσι καὶ ποιοῦσι τεινεσμόν.

Τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλία ὑγιαίνοι ἄν. —

Ἰστέον ὅτι κάτω κοιλίαν τὴν γαστέρα καὶ τὰ ἔντερα ἐκάλεσε νῦν πρὸς ἀντιδιαστολὴν τοῦ θώρακος. τί οὖν φησιν, ὅτι ἐὰν κατὰ φύσιν ὄντος τοῦ διαχωρήματος, ἐν τῇ διεξόδῳ ἡ γαστὴρ καὶ τὰ ἔντερα ὑγιῶς διάκεινται, πλὴν οὐκ ἀντιστρέφει. οὐδὲ γὰρ εἰ ὑγιῶς διάκεινται γαστὴρ καὶ τὰ ἔντερα, ἤδη καὶ τὰ διαχωρήματα κατὰ φύσιν εἰσίν.

---

1) κατεχούσης Mercur. τυχὸν] λοιπὸν M. 2) τεινεσμοῦ M. 3) τὰ πολλὰ M. 4) ἀποστάζουσιν M.

ἐνδέχεται γὰρ καὶ κακοχυμίαν τινὰ ἀπὸ τοῦ παντὸς σώματος συῤῥεῖν ἐπὶ τὴν γαστέρα καὶ ῥευματίζειν αὐτὰ καὶ ἐκκρίνεσθαι κακόχυμον.

Συμφέρει δὲ μήτε τρύζειν μήτε πυκνόν τε ὂν καὶ κατ᾽ ὀλίγον διαχωρέειν. —

Τὸ μετὰ τρυσμοῦ διαχώρημα 1) *κάκιστόν ἐστι. γίνεται γὰρ πνευμάτων τινῶν προσαναλυομένων καὶ συνεκκρινομένων τῷ διαχωρήματι. ἢ πολλάκις φλεγμονώδης τις ὄγκος ἐστὶ περὶ τὸ ἀπευθυσμένον, καὶ στενοχωρούμενον τὸ διαχώρημα μετὰ τρυσμοῦ διεξέρχεται. τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι κατὰ τὸν νόμον τῶν συμπλοκῶν ἓξ γίνονται ἀντιθέσεις. καὶ αἱ μὲν δύο, οὐ συνίστανται, αἱ δὲ λοιπαὶ τέσσαρες συνίστανται. καὶ εἰσὶν αἱ συνιστάμεναι αὗται, πολλὰ πολλάκις ὅπερ καὶ χειρίστη ἐστὶ πασῶν τῶν συζυγϊῶν. τί γὰρ ὅτι καὶ τὸ πολλὰ κενοῦσθαι καταβάλλει τὴν δύναμιν, ἀλλὰ καὶ τὸ πολλάκις τῇ συνεχεῖ ἐξαναστάσει καταβάλλεται ἡ δύναμις· πολλὰ ὀλιγάκις· αὕτη ἧττόν ἐστι κακόν· κατὰ γὰρ τὸ πολλὰ κενοῦσθαι καὶ μόνον λυπεῖ τὴν δύναμιν·* 2) *εἶτα ὀλίγα ὀλιγάκις· αὕτη πλεῖόν ἐστι χειρίστη, πλὴν καὶ αὕτη κατὰ μίαν ἀντίθεσιν λυπεῖ τὴν δύναμιν. τῇ γὰρ συνεχείᾳ τῆς ἐξαναστάσεως καταλύεται ἡ δύναμις.* 3) *εἶτα ὀλίγα ὀλιγάκις· αὕτη πασῶν καλλίστη ἐστὶν, ἐπειδὴ κατ᾽ ἄμφω οὐ λυπεῖ τὴν δύναμιν. τὸ δὲ πολλὰ ὀλίγα, καὶ τὸ πολλάκις ὀλιγάκις οὐ συνίστανται.*

Παχύνεσθαι χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου. —

Καλῶς ἔφη παχύνεσθαι καὶ οὐχὶ σκληρύνεσθαι· τὸ γὰρ παχὺ τῇ φύσει ἐστὶ, τὸ δὲ σκληρὸν 4) *ἐν δυσκρασίᾳ θεωρεῖται. τί οὖν ἔφη αὐτὸς ὅτι ἐὰν λεπτόν ἐστι τὸ διαχώρημα, δεῖ παχύνεσθαι αὐτὸ, ἐν τῇ κρίσει ἰούσης τῆς νόσου. σὺ δὲ εἰπὲ ὅτι ὥσπερ τὸ λεπτὸν παχύνεσθαι χρὴ, οὕτω καὶ τὸ παχὺ δεῖ λεπτύνεσθαι, ἐν τῇ κρίσει*

---

1) *κακόν* M. A. 2) *εἶτα — λυπ. τὴν δύν.* om. M. A. 3) Lacuna maxima in Cod. L. ab his verbis incipit, cujus finem indicabimus. Quae sequuntur, transscripsi e Cod. Ambros. M. 4) *οὐ* A.

ἰούσης τῆς νόσου. ἡ γὰρ φύσις ἐκ τῶν 1) ἀντικειμένω σπουδάζει ἐπὶ τὸ σύμμετρον ἄγειν τοῦ λεπτοῦ καὶ παχέος.

Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου.—

Ἰστέον ὅτι μετὰ τῶν ἄλλων περιττωμάτων εἰ καὶ 2) ἕλμινθες συνεκκρίνονται ἐν τῇ ἀκμῇ τοῦ νοσήματος, [ἡνίκα] πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου, ἀγαθόν ἐστι καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον. καὶ ὡς μὲν σημεῖον, ὅτι δηλοῖ τὴν ὕλην ἐκκρινομένην, ὡς δὲ αἴτιον, ὅτι δηλοῖ ἀποκαθαίρεσθαι σῶμα ἀπὸ τῆς νοσοποιοῦ αἰτίας. εἰ δέ γε ἀπέπτου οὔσης τῆς ὕλης ἐκκρίνονται ἕλμινθοι, κακόν ἐστι τουτέστιν ἐν τῇ ἀρχῇ καὶ ἀναβάσει τοῦ νοσήματος. δηλοῖ γὰρ μεγίστην σηπεδόνα καθ' ἣν ἕλμινθες γίνονται. καὶ ποιητικὸν μὲν αἴτιον τῶν ἑλμίνθων ἐστὶν αὐτὴ ἡ ἐπιφοιτῶσα διαπλαστικὴ δύναμις, καθ' ἣν γίνονται αἱ ἕλμινθοι. ὑλικὸν δὲ, οἱ 3) ὠμοὶ καὶ παχεῖς χυμοί. ὀργανικὸν δὲ 4) τοῦτο αἴτιον διάφορόν ἐστιν, ἐπειδὴ καὶ τὸ εἶδος τοῦ σχήματος τῶν ἑλμίνθων διάφορόν ἐστιν· αἱ μὲν γὰρ ἀσκαρίδες ἐν τῷ ἀπευθυσμένῳ γεννῶνται, αἱ δὲ πλατεῖαι ἐν τοῖς παχυτέροις ἐντέροις, αἱ δὲ στρογγύλαι ἐν τοῖς λεπτοῖς ἐντέροις. τελικὸν δὲ αἴτιον ἐν τοῖς παρὰ φύσιν οὐκ ἔστι ζητῆσαι, ἐπειδὴ 5) οὐ συνίσταται.

Περὶ δὲ τοῦ σχήματος τῶν ἑλμίνθων πολλὴ διαφωνία γέγονεν. τινὲς γὰρ λέγουσιν ὅτι πρὸς τὴν θέσιν τῶν ἐντέρων σχηματίζονται καὶ τοσοῦτον, ὅτι καὶ ἀνεμοῦνται αἱ στρογγύλαι, ὡς ἂν ἐν τοῖς λεπτοῖς ἐντέροις γενομένων αὐτῶν. ἕτεροι δὲ λέγουσιν, ὅτι καὶ αἱ πλατεῖαι ἀνεμοῦνται, εἰ 6) δὲ καὶ σπανίως. διὸ ἕτεροί φασιν, ὅτι ἐὰν πρὸς τὴν θέσιν τῶν ἐντέρων σχηματίζωνται, οὐκοῦν ἔμφραξις γενήσεται ἤπερ ἕλμινθοι, ἀλλὰ δεῖ εἰπεῖν ὅτι πρὸς τὴν θέσιν τῆς ὕλης σχηματίζονται αἱ ἕλμινθοι καὶ τὰ ἔντερα συμβάλλονται πρὸς τὸ σχῆμα· ὡς 7) γὰρ ὀρ-

---

1) ἐναντικειμένων A. 2) ἕλμινθαι A. saepius. in sequentibus fere semper ἕλμινθοι M. 3) ὁμοὶ Codd. 4) τοῦ M. 5) οὐ om. A. 6) δὲ om. A. 7) γὰρ om. M. συνάγουσι A.

γανικὸν συνεισάγουσί τι μέρος, ὅθεν καὶ ὡς 1) ἀκατίδες ἐκκρίνονται, καὶ ἐκτὸς ἀπειλοῦνται.

Ἀλλ' ἴσως ἐρεῖ τις, διὰ τί μόνον τῶν στρογγύλων ἑλμίνθων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, τὰς δὲ ἄλλας παρῆκε; καὶ λέγομεν ὅτι ἀμφότεροι ὑπὸ παχείας ὕλης γίνονται· ἐνταῦθα μέντοι περὶ ὀξέος νοσήματος αὐτῷ ὁ λόγος. ἐν δὲ ὀξεῖ νοσήματι, οὐκ ἔστιν εὑρεῖν τοσαύτην παχεῖαν ὕλην ὥστε ποιῆσαι πλατεῖαν ἕλμινθα ἢ ἀσκαρίδας, ἀλλ' ἐπ' ὀλίγον ἐστὶν εὑρεῖν παχεῖαν τὴν ὕλην καθ' ἣν αἱ στρογγύλαι γίνονται ἕλμινθαι, καὶ διὰ τοῦτο 2) αὐτῶν ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ὡς ἂν ὑπὸ ἥττονος παχείας ὕλης 3) γινομένων.

Λαπαρήν τε εἶναι τὴν κοιλίην καὶ εὔογκον. —

Καλῶς τὸ λαπαρὴν εἶναι τὴν κοιλίαν καὶ εὔογκον ἐπαινεῖ. τὸ γὰρ λαπαρόν ἐστι τὸ ὁμαλὸν καὶ τὸ μαλακὸν, ὅπερ ἀντίκειται τῷ συντεταμένῳ. τὸ δὲ εὔογκον δηλοῖ τὸ εὔσαρκον 4) ᾧπερ ἀντίκειται τὸ συντετηκός. ταῦτα οὖν βέλτιόν ἐστιν ἐν ταῖς νόσοις θεωρεῖσθαι, ὥς φησι καὶ ἐν ἀφορισμοῖς, ὅτι ὁκόσοισι περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι, τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν.

Ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα. —

Νῦν περὶ τοῦ παρὰ φύσιν διαχωρήματος διαλέγεται, καὶ παραδίδωσιν ἡμῖν τρεῖς διαφοράς. καὶ τέως λέγει διαφορὰν τοιαύτην, ὅτι ἐὰν τὸ διαχώρημα ὑδαρές ἐστιν ἢ λευκὸν ἢ ὠχρὸν ἢ ἀφρῶδες, πονηρά ἐστι ταῦτα πάντα. καὶ ἡ αἰτία ἑκάστου δήλη. τὸ μὲν ὑδαρὲς 5) ἀποτυχίαν χυλοποιήσεως καὶ χυμώσεως καὶ τῆς πέψεως, καὶ τὸν πρέποντα κόσμον οὐκ ἐδέξατο. τὸ δὲ λευκὸν δηλοῖ ἔμφραξιν τῶν ἀπὸ τῆς χοληδόχου κύστεως φερομένων ἀγγείων ἐπὶ γαστέρα, καὶ διὰ τοῦτο οὐ φέρεται χολὴ ἐπὶ

---

1) ἀκατίδες etiam vocantur κουβαρίδες, Aselli, Millepedes. ἀκτίδες A. 2) αὐτῶν om. M. 3) γινόμεναι M. 4) ὅπερ Codd. 5) Fort. om. δηλοῖ.

τὴν 1) γαστέρα, καὶ λευκὸν ἐκκρίνεται το διαχώρημα. τὸ δὲ χλωρὸν δύο σημαίνει, ἢ τὸ ὠχρὸν ἢ τὸ ἰῶδες, ἅπερ καὶ ταῦτα κάκιστά ἐστι. δηλοῦσι γὰρ ἢ ἐπιῤῥοὴν χολώδους ὕλης ἐπὶ τὴν γαστέρα, ἢ ἐν αὐτῇ τῇ γαστρὶ γινομένην κατὰ περιουσίαν, 2) καὶ οὕτως ἐκκρινόμενα. τὸ δὲ ἀφρῶδες καὶ τοῦτο διττόν ἐστι. γίνεται γὰρ ἀφρῶδες ἢ ὑπὸ πνευμάτων τινῶν συναναπλεκομένων ὑγρῷ, καὶ ὑμενούντων αὐτό. γίνεται ἀφρῶδες καὶ ὑπὸ θερμότητος καθάπερ καὶ ἐπὶ τῶν ἐκτός ἐστιν ἰδεῖν, ὅτι ἀφρὸς γεννᾶται ὑπὸ πνευμάτων ἡνίκα δραστήριος ἄνεμος πνεύσει ἐπὶ τὴν θάλασσαν, 3) συναναπλέκεται τῷ ὕδατι καὶ 4) ὑμενοῦντος αὐτό. καὶ γίνεται ἀφρὸς ἐν τοῖς κύμασιν. ὑπὸ δὲ τῆς θερμότητος γίνεται ἀφρὸς, καθάπερ ἐπὶ τῶν 5) ζωμευομένων κρεῶν ἐν τοῖς χαλκίοις ἢ ἐν ταῖς χύτραις τῇ περιουσίᾳ τῆς θερμότητος ἀφρὸς γίνεται.

Λέγει δὲ καὶ δευτέραν διαφορὰν τῶν παρὰ φύσιν διαχωρημάτων, ἥτις καὶ μᾶλλόν ἐστι χειρίστη, καί φησιν ὅτι κάκιστά ἐστι διαχωρήματα, ἡνίκα ἕπεται ὀλίγον τὸ διαχώρημα καὶ λευκὸν καὶ γλίσχρον, καὶ ὑπόχλωρον καὶ λεῖον. αὕτη δὲ ἡ διαφορὰ διττὴν ἔχει τὴν ἰδέαν. ἑκάστη δὲ ἰδέα ἐπὶ ἐκτήξει τῆς πιμελῆς γίνεται· ἡ δὲ αἰτία ἡ ἑτέρα ἐστὶν ἡ κατ᾽ ἐπίτασιν ἔκτηξις τῆς πιμελῆς, ἥτις ἐστὶ τὸ ὑπόχλωρον καὶ λεῖον. κατ᾽ ἐπίτασιν τῆς πιμελῆς γίνεται ἡ ἔκτηξις, καὶ οἷον ἐπὶ παλαιοπαθείᾳ ἐκτήξει τῆς πιμελῆς γίνεται. τοῦτο γὰρ ἐὰν ἀποτεθῇ στέαρ ἢ πιμελὴ, χλωρὸν γίνεται ἤγουν ὠχρόν. οὕτως οὖν καὶ ἐνταῦθα, ἐὰν ὑπόχλωρον εἴη τὸ διαχώρημα, ἐπὶ προγεγενημένῃ ἐκτήξει καὶ παλαιοπαθείᾳ τῆς πιμελῆς γίνεται· εἰ δὲ μὴ, τὸ χλωρὸν, τὸ ὠχρὸν νοήσωμεν· ἀλλὰ καὶ τὸ ἰῶδες τῷ αὐτῷ γίνεται τρόπῳ. τὸ δὲ λεῖον γίνεται, ἡνίκα κατὰ πᾶν ἑαυτῷ ἀλλοιωθῇ καὶ ὁμαλὸν γένηται· ἀλλὰ τὸ λεῖον ἢ κατὰ φύσιν γίνεται ἢ παρὰ φύσιν. καὶ τὸ μὲν κατὰ φύσιν, ὥσπερ ἡ χυλοποίησις καὶ ἡ ἐξαιμάτωσις. ταῦτα γὰρ κατὰ πάντα λεῖα καὶ ὁμαλὰ γίνονται, τῆς ἀλλοιωτι-

---

1) Ad duodenum intestinum Mercur. 2) κἂν M. 3) συναναπλέκονται A. Fort. συναναπλέκοντος sc. τοῦ ἀνέμου. 4) ὑμένου A. 5) ζωμένων A.

κῆς ἰσχυσάσης. τὸ δὲ παρὰ φύσιν λεῖον κάκιστόν ἐστι. δηλοῖ γὰρ δραστήριον τὴν νοσοποιὸν αἰτίαν, 1) καθ᾽ ὃν ἴσχυσε, πᾶσαν τὴν ὕλην πρὸς τὴν ἑαυτῆς κακίαν ἐκλειῶσαι. διὸ οὐ δεῖ ἐν τοῖς παρὰ φύσιν κατὰ πάντα ἑαυτῷ λεῖον εἶναι τὸ διαχώρημα, ἀλλὰ κατά τι καὶ ἁδρομερὲς ἔχειν. δηλοῖ γὰρ ὅτι κατά τι μὲν ἐκρατήθη ἡ δύναμις, λέγω δὴ κατὰ τὸ λεῖον, κατά τι δὲ κρατεῖ, λέγω δὴ κατὰ τὸ ἁδρομερές.

Τὸ δὲ γλίσχρον διαχώρημα γίνεται ἐπὶ τῇ ἐκτήξει τῆς πιμελῆς, ἀλλ᾽ ἔστιν ὅτε διαχώρημα γλίσχρον γίνεται, ἡνίκα καὶ τὰ ἐδηδεσμένα, τυχὸν αἱ παρεχόμεναι τροφαὶ, φύσει γλίσχραι ὦσι. τοτηνικαῦτα γὰρ γίνεται γλίσχρον τὸ διαχώρημα. διακρίνομεν δὲ τοῦτο τῇ ποιότητι· εἰ μὲν γὰρ διὰ τὴν ἔκτηξιν τῆς πιμελῆς γένηται γλίσχρον τὸ διαχώρημα, κατ᾽ ὀλίγον γίνεται ἡ ἔκκρισις. εἰ δὲ διὰ τὴν φύσιν τῶν τροφῶν, ἀθρόως γίνεται ἡ διέξοδος τῶν γλίσχρων διαχωρημάτων. ἀλλ᾽ ἴσως ἀπορεῖ τις λέγων, ὅτι ἐνδέχεταί ποτε καὶ 2) διὰ δραστήριον καὶ ἐπιτεταμένην ἔκτηξιν τῆς πιμελῆς γενέσθαι ἀθρόαν ἔκκρισιν τῶν γλίσχρων διαχωρημάτων. ἀλλὰ λέγομεν, ὅτι τοῦτο διαστέλλομεν τῇ δυσωδίᾳ. εἰ μὲν γὰρ διὰ τὴν ἔκτηξιν τῆς πιμελῆς γίνεται ἀθρόα ἡ ἔκκρισις τῶν γλίσχρων διαχωρημάτων, δυσωδέστατά εἰσιν. εἰ δὲ διὰ τὴν φύσιν τῶν παρεχομένων τροφῶν, οὐκ εἰσὶ δυσώδη οὕτως· εἰ δὲ διὰ παχεῖς καὶ ὠμοὺς χυμοὺς, ἐνδέχεται γὰρ καὶ τοιούτους ἐκκρίνεσθαι καὶ γλίσχρα τὰ διαχωρήματα. ἀλλὰ καὶ ἐπὶ τούτων ἧττον μετέχουσι δυσωδίας.

Λέγει δὲ καὶ τρίτην ἰδέαν διαχωρημάτων καί φησιν, ὅτι τὰ μέλανα διαχωρήματα καὶ τὰ πελιδνὰ καὶ τὰ ἰώδη καὶ τὰ κάκοσμα δηλοῦσι μεγίστην σηπεδόνα. τὸ μὲν γὰρ μέλαν διαχώρημα δηλοῖ περιουσίαν τῆς μελαίνης χολῆς, ἀλλ᾽ ὑφειμένως καὶ ἐπ᾽ ἔλαττον· τὸ δὲ ἰῶδες πάλιν περιουσίαν τῆς ἰώδους χολῆς δηλοῖ· τὰ δὲ κάκοσμα καὶ ἰώδη διαχωρήματα, ὡς προείρηται, δηλοῦσι μεγίστην σηπεδόνα. ταῦτα δὲ ἔστιν 3) ὅτε ἕκαστον ἰδίᾳ καὶ χωρὶς ἐκκρίνονται. ἔστι δὲ ὅτε καὶ συμπλέκονται ἀλλήλοις, ἡνίκα

---

1) Fort. καθὸ. 2) διά addidi. 3) ὅτι A.

λέγονται καὶ πολυποίκιλα, ἡνίκα καὶ αἷμα σύνεστι, καὶ ξύσματα λευκὰ καὶ μέλανα καὶ ἀφρώδη. παγκάκιστόν ἐστι τὸ τοιοῦτον διαχώρημα. δηλοῖ γὰρ εὐθέως ὅτι χρονίσαι ἔχει τὸ νόσημα. δηλοῖ γὰρ καὶ διάφορα πάθη, ἐπειδὴ καὶ διάφοροι κακοχυμίαι, καθ' ἣν πολυποίκιλα τὰ διαχωρήματα ἐκκρίνονται. καὶ 1) περιδονεῖται γὰρ πρὸς ἑκάστην κακοχυμίαν, ὅπερ παγκάκιστόν ἐστι. χρόνιον δὲ, ὅτι καὶ θερμὰ ἐκκρίνονται καὶ ψυχρὰ, καὶ τῇ ψύξει χρονίαν ἐνδείκνυται τὴν νόσον.

Λέγει καὶ τετάρτην διαφορὰν, ὅτι τὰ διαχωρήματα πάντως μετὰ πνευμάτων ἐκκρίνονται ἢ ἐπέχονται. καὶ ἐκκρινόμενα ἢ μετὰ ψόφου ἐκκρίνονται ἢ ἐπέχονται ἢ ἀψοφητί. καὶ εἰ μὲν μετὰ ψόφου, δηλοῦσιν ἢ παραφροσύνην ἢ μεγίστην ὀδύνην οὖσαν ἐν τοῖς ὑποχονδρίοις, εἰ μή τι ὁ ἄῤῥωστος ἑκὼν μετὰ ψόφου ἐκκρίνει· τότε γὰρ οὐδὲν δηλοῦσι. πλὴν δεῖ εἰδέναι, ὅτι τινὲς τῶν ἀνθρώπων ἀναισχυντοῦντες καὶ μὴ ποιούμενοι λόγον, ἐπὶ 2) οἱουδήποτε προσώπου τύχῃ, μετὰ ψόφου ἀπολύουσι τὰ πνεύματα, ὡς εἴρηται, μηδένα λόγον προσποιούμενοι, ἀλλ' ἀναιδῶς 3) μετὰ ψόφου τινὸς ἀπολύουσι τὰ πνεύματα· τινὲς δὲ αἰδέσιμοι καὶ λόγον ποιούμενοι τῶν θεωρούντων αἰσχυνόμενοι, μᾶλλον ἐπέχουσι τὰ πνεύματα, καὶ αἱροῦνται κινδύνοις περιπεσεῖν ἤπερ μετὰ ψόφου ἐᾶσαι ἢ ἀπολῦσαι τὰ πνεύματα. 4) ἐὰν οὖν τις τῶν αἰδεσίμων ἀνθρώπων ἐν τῷ νοσεῖν μετὰ ψόφου ἀπολύει τὰ πνεύματα, ἔσο γινώσκων, ἢ παραφροσύνην ὁ τοιοῦτος ἢ ὀδύνην μεγίστην ἐνδείκνυται, καθ' ἣν ἐπικήδεται ἀπολύειν ψοφώδη πνεύματα, ὥστε παρηγορηθῆναι αὐτὸν ἐκ τῆς ὀδύνης. εἰ δέ γέ ἐστιν ἐκ τῶν ἀναισχύντων 5) καὶ μη ποιούντων λόγον, ἀλλ' ἐν συνηθείᾳ εἰσὶν τοῦ μετὰ ψόφου ἀπολύειν τὰ πνεύματα, οὐδὲν κερδαίνεις ἐκ τῆς σημειώσεως ταύτης. οὐδὲ γὰρ συμβάλλεταί σοι πρὸς εὔκλειαν. δεῖ δὲ εἰδέναι, ὅτι ἐν τῷ καθόλου τὰ μετὰ ψόφου πνεύματα ἐκκρινόμενα ἐνδείκνυται ἢ παχέα πνεύματα ἐκκρι-

---

1) περιδοκεῖται A. 2) οὐδήποτε M. 3) ἀπολ. τὰ πν. μετὰ ψ. τιν. A. 4) ἐὰν — ἔσο om. M. 5) καὶ ἀδεσίμων add. A. Fort. μὴ αἰδεσίμων.

νόμενα, ἢ στενοχωρίαν τῶν ὀργάνων, δι' ὧνπερ διεξέρχονται τὰ πνεύματα. τί γὰρ ὅτι παχέων ὄντων τῶν διεξερχομένων πνευμάτων, ἐν τῇ διεξόδῳ στενοχωρούμενα καὶ ὡς ἀπὸ στενοῦ διεξερχόμενα διὰ τοῦ ἀπευθυσμένου ψόφον ἀπεργάζονται. κάλλιον οὖν ἐστι τὰ πνεύματα διεξέρχεσθαι καὶ ἐκκρίνεσθαι ἤπερ ἐπέχεσθαι. ἐπεχόμενα γὰρ τὰ πνεύματα μεγάλας ὀδύνας ἐμποιοῦσι καὶ ἐπάρματα ἀπεργάζονται, ὀδύνας μὲν, ἐπεχόμενα τῇ τάσει· τῇ γὰρ τάσει κίνδυνός ἐστι τοῦ ἀποῤῥαγῆναι καὶ λυθῆναι τὴν συνέχειαν τῶν μορίων. τὰ δὲ κυρτώματα ἤγουν τὰ ἐπάρματα, τῇ εποχῇ τῶν πνευμάτων γίνονται, ἡνίκα ἐμφραγῶσι τὰ πνεύματα καὶ 1) στεχθῶσιν ἐν τοῖς ὑποχονδρίοις· τὰς ὀδύνας καὶ τὰ ἐπάρματα οἱ ψόφοι τῶν πνευμάτων καὶ οἱ βορβορυγμοὶ λύουσι. κάλλιόν ἐστι τὰ πνεύματα μετὰ ψόφου ἐκκρινόμενα, μετὰ ψόφου καὶ οὔρου ἐκκρίνεσθαι μᾶλλον· δηλοῖ γὰρ ὅτι πάντα τὰ περιττώματα ἐκκρίνονται καὶ οὐδὲν ὑπολέλειπται αἴτιον τὸ ὀφεῖλον ἐνδελεχῆσαι.

Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧττον. —

Φησὶν ὁ ἐξηγητὴς, ὅτι οὐ προσδέχομαι τὸ λέγειν τὸν Ἱπποκράτην, ὅτι τὰ ποικίλα διαχωρήματα χρονιώτερά ἐστιν ὅλως, ἐπὰν ποικίλα, αὐτόθι ἐπίκειται ὁ θάνατος. ἀλλ' οὐδὲ τοῦτο δέχομαι τὸ λέγειν αὐτὸν ὅτι τὰ ποικίλα διαχωρήματα διαφόρους ἐνδείκνυνται διαθέσεις, ἐπειδὴ διάφορός ἐστιν ἡ κακοχυμία. ἐνδέχεται γὰρ μίαν διάθεσιν ὑπόκεισθαι καὶ ποικίλα ἐκκρίνεσθαι διαχωρήματα. οὕτως γὰρ ὑπόκειται εἷς πυρετὸς καὶ τῷ χρόνῳ κατὰ μέρος διάφορον ἐγέννησε κακοχυμίαν. οὕτως οὖν ἐπὶ τῶν ἐκτός ἐστιν ἰδεῖν, ὅτι ἑνὸς ὄντος τοῦ πυρὸς ἐν τῷ ἕψειν τὰ φάρμακα, τῷ χρόνῳ διάφορον χρῶμα ἀναδέχεται πρὸς τὴν ἕψησιν.

Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ τὰ κυρτώματα, ἢν νεαρά τε ᾖ καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐπιγενόμενος. —

Δεῖ εἰδέναι, ὅτι κυρτώματα καλεῖ ὁ Ἱπποκράτης τὰ ἐπάρματα ἤγουν τὰ οἰδήματα. οὕτω γὰρ εἴωθεν ὁ Ἱπ-

1) τεχθῶσιν M.

ποκράτης πάντα ὄγκον οἴδημα 1) καλεῖν. ἐὰν οὖν ἔστιν ἐπάρματα ἤγουν οἴδημα νεαρὸν τουτέστι πρόσφατον, βορβορυγμὸς γενόμενος λύει τὸ οἴδημα καὶ τὸ ἔπαρμα, τῇ ὑποχαλάσει διαφορουμένων τῶν πνευμάτων τῶν ἄνευ φλεγμονῆς. ἡ γὰρ φλεγμονὴ ἐπὶ παχείᾳ ὕλῃ γίνεται, καὶ ὁ βορβορυγμὸς οὐ λύει ἐπιγενόμενος. ἀλλὰ καὶ τὸ οἴδημα τὸ χρονιώτερον οὐ λύει, ἐπειδὴ τῷ χρόνῳ προσλαμβάνει ὑγρότητά τινα. ἀλλὰ δεῖ αὐτὸ ὡς εἴρηται πρόσφατον εἶναι ἤγουν τὸ ἔπαρμα καὶ νεαρόν· τότε γὰρ οἱ βορβορυγμοὶ ἐπιγενόμενοι λύουσιν αὐτό.

Οὖρον δὲ ἄριστόν ἐστιν, ὅταν λευκή τε ἡ ὑπόστασις ἔῃ καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον. —

Νῦν περὶ τῶν οὔρων διαλαμβάνει. τὸ δὲ οὖρον ὡς ἴσμεν, περίττωμά ἐστι τῆς δευτέρας πέψεως, καὶ ἵνα σαφῶς τοῖς λεγομένοις παρακολουθήσωμεν, ἐκ διαιρέσεως προαγάγωμεν τὸν λόγον οὕτως. τὸ οὖρον εἰς δύο διαιρεῖται· εἰ μὲν γὰρ ἐπιπολάζει καὶ ἄνω περιφέρεται, λέγεται νεφέλη, δίκην τοῦ ἐπιπροσθοῦντος 2) νέφους ἐπιπολάζοντος τῷ ἀέρι. ἢ βρίθει ἐν τῷ 3) κλοκίῳ καὶ ὑφιζάνει καὶ λέγεται ὑπόστασις. ἢ ἐν τῷ μέσῳ ἐστὶ καὶ λέγεται ἐναιώρημα. τὸ δὲ χύμα ἐστὶν αὐτὴ ἡ ὑγρότης τοῦ οὔρου. δεῖ γὰρ εἰδέναι, ὅτι αὐτοὶ οἱ τέσσαρες χυμοὶ ἐν τῷ ἥπατι γεννῶνται· καὶ οἱ μὲν δύο χυμοὶ ἔχουσι δοχεῖα καὶ καθαρτήρια, δι' ὧνπερ ἀποκαθαίρονται, ὁ μὲν μελαγχολικὸς ὑπὸ τοῦ σπληνὸς, ἡ δὲ ξανθὴ χολὴ ὑπὸ τῆς χοληδόχου κύστεως, τὸ δὲ αἷμα ἀναδίδοται διὰ τῶν φλεβῶν ἐπὶ τὸ πᾶν σῶμα διὰ τὴν θρέψιν· σὺν δὲ τῷ αἵματι ἀναδίδοται καὶ ὀῤῥῶδές τι ὑγρόν. ἀλλὰ καὶ φλέγμα συναναδίδοται 4) οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἑκάτερον δι' ἀναγκαίαν χρείαν. τὸ μὲν ὀῤῥῶδες ὑγρὸν, ἐπειδὴ τὸ αἷμα φύσει ἀργόν ἐστι καὶ δυσπόρευτον, συναναδίδοται τὸ ὑγρὸν ἵνα ποδηγήσῃ καὶ εὔρουν ποιήσῃ τὸ αἷμα, ὡς αὐτὸς Ἱπποκράτης ἀλλαχοῦ λέγει 5) ὅτι ὑγρασία τροφῆς ὄχημα. ταύτην οὖν τὴν χρείαν ποιεῖ τὸ

1) ὀνομάζειν A. 2) νέφως M. 3) κλοβίῳ M. κλωβίῳ A. Scripsi κλοκίῳ matula. 4) οὐχ — συναναδίδοται om. M. 5) Hipp. de aliment. sub finem.

ὀῤῥῶδες ὑγρόν. ἀλλὰ καὶ τὸ φλέγμα μεγίστην χρείαν ποιεῖται ἀναδιδόμενον σὺν τῷ αἵματι, ἵνα ὅταν λεῖψις τοῦ αἵματος γένηται ἐν ταῖς λιμαγχονίαις καὶ ἐν ταῖς περιστάσεσιν, αὐτὸ τὸ φλέγμα ἡμίπεπτον αἷμα φύσει τυγχάνον, τὴν χρείαν ποιεῖται τῆς τροφῆς. ἔγνωμεν οὖν ποίαν ἀποτελεῖ ἑκάτερον χρείαν. τὸ οὖν ὀῤῥῶδες ὑγρὸν μετὰ τὸ ποιῆσαι τῆς χρείαν, καὶ 1) ὁδηγήσει τὸ αἷμα, λοιπὸν ὡς περίττωμα φέρεται διὰ τῶν φλεβῶν ἐκείνων ἐπὶ νεφροὺς δι' ὧνπερ ἡ τροφὴ φέρεται ἐν αὐτοῖς, ἐπειδὴ χαίρουσιν οἱ 2) νεφροὶ τῇ ποιότητι τοῦ οὔρου, καὶ μετὰ τὸ ἐνεχθῆναι εἰς τοὺς 3) νεφροὺς, φέρεται ἐπὶ τὴν κύστιν καὶ οὕτως ἀπουρεῖται. καὶ τοῦτο τὸ ὀῤῥῶδες ὑγρὸν ἤγουν τὸ οὖρον λέγεται χύμα.

Σημειοῦται οὖν τὸ κατὰ φύσιν οὖρον καὶ λέγει, ὅτι δεῖ τὸ ἄρισπον οὖρον λευκὴν ἔχειν τὴν ὑπόστασιν καὶ λείην καὶ ὁμαλὴν παρὰ πάντα τὸν χρόνον. τὸ δὲ χύμα ἤγουν τὸ ὑγρὸν ὑπόπυῤῥον καὶ ὑπόξανθον δεῖ εἶναι. καὶ ἐπεξέλθωμεν ἑκάστου τὴν αἰτίαν, διὰ τί λευκὴ ἡ ὑπόστασις θέλει εἶναι. τοῦτο κατὰ δύο αἰτίας, πρῶτον μὲν ὅτι ἢ διαδιδράσκει μέρος τι τοῦ συναναδιδομένου φλέγματος, καὶ φέρεται μετὰ τοῦ οὔρου καὶ γίνεται λευκὴ ἡ ὑπόστασις, ἐπειδὴ λευκόν ἐστι τὸ φλέγμα· ἢ δι' ἕτερον τρόπον λευκὴ γίνεται ἡ ὑπόστασις, ἐπειδὴ περίττωμά ἐστι τῶν στερεῶν τῆς τρίτης πέψεως. ἐπειδὴ γὰρ τὰ στερεὰ ἀπὸ σπέρματος τρέφονται, τὸ δὲ σπέρμα λευκόν ἐστι φύσει. τοῦτο οὖν τὸ περίττωμα ἄγεται καὶ πλανᾶται τῇδε κἀκεῖσε, καὶ ἡ φύσις λοιπὸν σὺν τῷ οὔρῳ ἐκκρίνει αὐτὸ, καὶ ὑφίσταται καὶ λευκὴ γίνεται ἡ ὑπόστασις.

Καὶ λεῖον. —

Λεῖον λέγει τὸ ὁμοιομερὲς, τὸ κατὰ πάντα ἑαυτῷ ὅμοιον, καὶ μὴ τὸ μὲν αὐτοῦ πεπεμμένον ἐστὶ, τὸ δὲ ἄπεπτον, καὶ τὸ μὲν αὐτοῦ λεπτὸν, τὸ δὲ παχὺ, καὶ τὸ μὲν αὐτοῦ λευκὸν, τὸ δὲ οὐ λευκὸν, ἀλλὰ καὶ ὁμαλὸν αὐτὸ δεῖ εἶναι. ὁμαλὸν λέγει εἶναι τὸ κατὰ τὸν χρόνον,

---

1) ὁδηγήσῃ **M. Fort.** ὁδηγῆσαι. 2) *νέοι* **Codd.** 3) *νέους* **Codd.**

ὅτι δεῖ τὴν ὑπόστασιν ἀείσε τοιαύτην εἶναι τυχὸν κατὰ φύσιν. τοῦτο γὰρ ἐνδείκνυται ἰσχὺν καὶ ἐπικράτειαν τῶν δυνάμεων. τὸ δὲ χρῶμα ὑπέρυθρον καὶ ὑπόξανθον θέλει εἶναι τοῦ χύματος· καὶ ὑπέρυθρον μὲν, ἐπειδὴ ὀῤῥὸς μετὰ τοῦ αἵματος ἐκκρίνεται καὶ ἐξυδαροῦται τὸ αἷμα, καὶ οὐκέτι ἐρυθρὸν ἐκκρίνεται, ἀλλ᾽ ὑπέρυθρον. τὸ δὲ ὑπόξανθον, ἐπειδὴ καὶ μέρος τι τῆς χολῆς συνεκκρίνεται καὶ ἐξυδαροῦται, καὶ ὑπόξανθον ἐκκρίνεται τὸ οὖρον.

Εἶτα καὶ ἀποροῦσιν ὅτι ἐπὰν χολὴ συνεκκρίνεται καὶ γίνεται ὑπόξανθον τὸ οὖρον, διὰ τί καὶ ὁ μελαγχολικός ποτε οὐ συναναδίδοται, καὶ οὕτως χρώννυσι τὸ οὖρον; καὶ λέγομεν ὅτι ὁ μελαγχολικὸς βαρύς ἐστι καὶ βρίθει ὥσπερ κόνις ἤγουν στακτή. 1) καὶ ἄλλως τε δὲ ἀποκαθαίρεται καὶ φθάζει ἀποκαθαρθῆναι ὡς γεώδης καὶ βαρὺς, καὶ οὐ συναναδίδοται, χρῶσαι τὸ οὖρον ἐν τῷ κατὰ φύσιν.

Καὶ ἀποροῦσι πάλιν ὅτι τὸ κατὰ φύσιν οὖρον πῶς ἐπὶ πάσης ἡλικίας καὶ ὥρας καὶ χώρας τὸ αὐτὸ ἔχομεν λέγειν κατὰ φύσιν, εἴ γε διάφορός ἐστιν ἡ ἡλικία, καὶ ἑκάστης ἡλικίας διάφορός ἐστι καὶ ἡ κράσις, ἀλλὰ καὶ τοῦ θέρους ἄλλη ἐστὶ κράσις, καὶ ἐν χειμῶνι ἄλλη, καὶ ἐπὶ τῶν ἄλλων καιρῶν ὡσαύτως· ἀλλὰ καὶ ἑκάστη χώρα ἰδίαν κράσιν ἔχει. καὶ ἀπολογούμεθα οὕτως, ὅτι ἐπὶ τῶν τελείων αἱ τέλειαι σημειώσεις ἀποτελοῦνται. ἐπὶ οὖν τῶν ἀκμαστικῶν, τὸ κατὰ φύσιν ἁρμόζει μᾶλλον οὖρον. τοῦ οὖν εἴδους φυλαττομένου τοῦ κατὰ φύσιν οὔρου, διαφορὰς ἐπιδέχεται κατά τε τὸ χρῶμα καὶ τὴν σύστασιν παρὰ τὸ μᾶλλον καὶ ἧττον, καὶ ἐπὶ πάσης ἡλικίας καὶ ὥρας καὶ χώρας φυλάττεται τὸ κατὰ φύσιν οὖρον. οὕτως γοῦν ἐπὶ παίδων ἐπ᾽ ἔλαττον λευκότερα εὑρίσκονται τὰ οὖρα, καὶ οὐχ ὥσπερ ἐπὶ τῆς ἀκμαστικῆς ἡλικίας, οὕτως ὑπέρυθρον καὶ ὑπόξανθον· ἀλλὰ καὶ ἐπὶ τῶν γερόντων ἔτι μικρὸν λευκότερον ἐκκρίνεται. οὕτως γὰρ καὶ κατὰ τὴν ὑπόστασιν εὑρίσκομεν 2) γινόμενα. τῶν ἁβροδιαίτων ἢ πολλὰ ἐσθιόντων πολλὴ γέγονεν ἡ ὑπόστασις ἐν τῷ

1) καὶ om. A. 2) γινόμενον A.

οὔρῳ, καὶ οἷ λέγομεν 1) αὐτὴν παρὰ φύσιν· ἀλλὰ καὶ οἱ ὀλίγην τροφὴν λαμβάνοντες, ὀλίγη γίνεται αὐτῶν καὶ ἡ ὑπόστασις. καὶ οὐ λέγομεν ὅτι οὐκ ἔστι κατὰ φύσιν, ἐπειδὴ ἀποθεωροῦμεν εἰς τὴν ὀλιγότητα τῶν τροφῶν. ἀλλὰ καὶ οἱ μέσως πως διαιτώμενοι, μέσως πως καὶ ἡ ὑπόστασις ἐκκρίνεται.

Δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ 2) περὶ τοῦ παρὰ φύσιν διαλέγεται οὔρου ὁ Ἱπποκράτης. ἀλλὰ πρὸ τούτου τέσσαρά τινα δεῖ ἡμᾶς ζητῆσαι. πρῶτον διὰ τί τὸ οὖρον σημειούμεθα· δεύτερον, εἰ ἐπὶ πάντων τῶν νοσημάτων ἁρμόζει ἡ τῶν οὔρων σημείωσις, καὶ πάντα σημειούμεθα δι' αὐτῶν· τρίτον, τὸν πρέποντα καιρὸν ἐν ᾧ ἡ ἀπόθεσις τοῦ οὔρου γίνεται· καὶ τέταρτον, τί βούλεται λέγειν ὁ Ἱπποκράτης διὰ ῥησιδίου, ἐν ᾧ φησιν ὅτι παρὰ 3) πάντα τὸν χρόνον ἔστ' ἂν κριθῇ ἡ νοῦσος.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τὴν ἀπὸ τῶν οὔρων σημείωσιν ποιούμεθα, ἵνα γνῶμεν τὰς φυσικὰς δυνάμεις τὰς ἐν ἥπατι καὶ ἐν ταῖς 4) φλέβαις.

Δεύτερον δὲ, εἰ πάντα τὰ νοσήματα ἐκ τῶν οὔρων δυνάμεθα σημειώσασθαι. καὶ λέγομεν ὅτι οὐ πάντα, ἀλλα μόνα τὰ θρεπτικά. καὶ τὸ θρεπτικὸν, ἧπαρ καὶ φλέβες. κατὰ οὖν πρῶτον λόγον ἡ ἀπὸ τῶν οὔρων σημείωσις τὴν δευτέραν πέψιν ἤγουν τὴν ἐξαιμάτωσιν, τὸ πῶς διάκεινται αἱ ἐν αὐτοῖς δυνάμεις, δηλοῦσιν, εἰ μὴ ὅτε συμπαθήσωσι τό τε ἧπαρ καὶ αἱ φλέβες τοῖς ἀναπνευστικοῖς ἢ τῷ ἐγκεφάλῳ. καὶ ὡς ὁμοιοπαθοῦντα, συμβάλλεται ἡ τῶν οὔρων σημείωσις.

Τρίτον δεῖ ἡμᾶς ζητῆσαι τὸν πρέποντα καιρὸν τῆς ἀποθέσεως τῶν οὔρων. πρέπων καιρός ἐστι μετὰ τὸ κατὰ λόγον γενέσθαι τὴν δευτέραν πέψιν, λέγω δὴ τὴν ἐν ἥπατι, τυχὸν μετὰ τὴν κατὰ λόγον ἐξαιμάτωσιν, τότε ἐστὶν ὁ πρέπων καιρὸς τῆς ἀποθέσεως τοῦ οὔρου. παρὰ φύσιν δὲ καιρός ἐστιν 5) ἡ πρὸ πέψεως τῆς δευτέρας

1) αὐτὸ A. 2) περὶ om. Codd. 3) πάντων M. 4) Sic! 5) ὁ M. ἢ A.

ἀπόθεσις τοῦ οὔρου. οὐδὲν γὰρ ἐνδείκνυται πρὸς σημείωσιν· λεπτὸν γὰρ καὶ ἄπεπτον καὶ 1) ἀχόλωτον εὑρίσκεται, δίκην τῶν πολλὰ ἐσθιόντων. ἀλλὰ καὶ μετὰ χρόνον τῆς πέψεως ἐὰν ἀπωθεῖται τὸ οὖρον, παρὰ φύσιν ἐστὶ, καὶ οὐδὲν ἐνδείκνυται, ἐπειδὴ οὐ χολοῦται καὶ οὕτως ἐκκρίνεται. ἀλλὰ καὶ ἡ ἐν τῷ κλοκίῳ ἀπόθεσις, οὐ δεῖ ἐγχρονίζειν καὶ μετὰ μίαν ἡμέραν ἐνδείκνυσθαι. οὐδὲ τότε γὰρ συμβάλλεται εἰς σημείωσιν. τῷ γὰρ χρόνῳ ἀποψύχεται καὶ νεκροῦται καὶ χύσιν ὑφίσταται, ἀλλ' οὐδὲ ἡ πρόσφατος ἀπόθεσις συμβάλλεταί σοι εἰς σημείωσιν, ἐπειδὴ ἔτι ἀδιάκριτόν ἐστι καὶ συγκεχυμένον.

Τέταρτόν ἐστιν ἐν ᾧ δεῖ ἡμᾶς ζητῆσαι, τί βούλεται λέγειν ὁ Ἱπποκράτης, τὸ τοιοῦτον δεῖ εἶναι 2) παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος; καί τινές φασιν ὅτι παρὰ πάντα τὸν χρόνον λέγει, ὡς ἂν δεῖ 3) αὐτὸ παρὰ πάντα τὸν χρόνον τοῦ νοσήματος εἶναι κατὰ φύσιν, ὅπερ περὶ τὰ πράγματά ἐστιν. οὔτε γὰρ ἀρχὴ διαφανήσεται πρὸς σημείωσιν, οὔτε ἀνάβασις οὔτε ἀκμὴ, ἐὰν κατὰ φύσιν ἐστὶ τὸ οὖρον. λοιπὸν δὲ ὅτι κατὰ φύσιν ὄντος τοῦ οὔρου, οὐδὲν νόσημα ὑποστήσεται. καὶ λέγομεν ὅτι ταῦτα νόει λέγειν δυνατὸν Ἱπποκράτην, ὅτι ἐὰν μέλλῃ σωτήριον εἶναι τὸ νόσημα, ἐν τῇ ἀρχῇ δεῖ εἶναι ἴχνη τινὰ πέψεως ἐν τῷ οὔρῳ, ἵνα τυχὸν λευκότερον μέν ἐστι τὸ οὖρον, ἔχῃ δὲ καὶ τὴν ὑπόστασιν ἢ νεφέλιον· εἶτα ἐν τῇ ἀναβάσει δεῖ αὐτὸ πλεῖον χρώννυσθαι, καὶ τὴν ὑπόστασιν δεῖ ἐναιώρημα γενέσθαι. ἐν δὲ τῇ ἀκμῇ καὶ ἐν αὐτῇ τῇ κρίσει, δεῖ αὐτὸ κατὰ φύσιν εἶναι τυχὸν λευκὸν καὶ λεῖον καὶ ὁμαλὸν καὶ ὑπέρυθρον καὶ ὑπόξανθον.

Τούτων οὕτως εἰρημένων, σημειοῦται τὰ παρὰ φύσιν οὖρα. ταῦτα δὲ πολλὴν ἔχουσι τὴν διαφορὰν κατά τε τὸ χύμα καὶ τὸ παρέγχυμα, λέγω δὴ τὸ νεφέλιον καὶ τὸ ἐναιώρημα. ἀλλὰ πρότερον περὶ τοῦ χύματος διαλέγεται, πολλὰς 4) ἔχον παρεκτροπὰς, καί φησιν ὅτι τὸ ξανθὸν

1) ἄχλοτον A. 2) περὶ Codd. 3) αὐτῷ Codd. 4) Fort. ἔχοντος παρεντροπὰς A.

οὖρον καὶ πυῤῥὸν παρὰ φύσιν εἰσί. τὸ μὲν 1) γὰρ ξανθὸν ἐνδείκνυται περιουσίαν χολώδους ὕλης, ὅπερ κάκιστόν ἐστι. τὸ δὲ 2) πυῤῥὸν ἧττόν ἐστι κακὸν, ἐπειδὴ ἐνδείκνυται περιουσίαν αἵματος. τὸ δὲ αἷμα φίλιον ἡμῖν ἐστιν, ἀλλ᾽ ὅμως κακόν ἐστιν, ἐπειδὴ ἐνδείκνυται τὸ αἷμα λεπτὸν 3) ὂν καὶ ἄπεπτον καὶ ἀκατέργαστον καὶ τὸν πρέποντα κόσμον μὴ δεξάμενον. καὶ τοτηνικαῦτα ὡς λεπτὸν καὶ ὑδαρὲς συνεκκρίνεται τὸ ὀῤῥῶδες ὑγρὸν, καὶ ποιεῖ πυῤῥὸν τὸ οὖρον. ἀλλὰ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον οὖρον, κάκιστόν ἐστι. τὸ μὲν γὰρ πολὺ ἐνδείκνυται ἀπεψίαν, καὶ τῇ ἀπεψίᾳ ἐξ ἀνάγκης πολλὰ γεννῶνται τὰ περιττώματα. τὸ δὲ ὀλίγον ἐνδείκνυται, ὅτι οὐ πάντα τὰ περιττώματα κενοῦνται, ἀλλ᾽ ἐνδομυχοῦσι διαλανθάνοντα, καί 4) πού ποτε ἀθροίζονται. κακὰ οὖν εἰσι καὶ τὸ μέλαν καὶ τὸ πέλιον. ταῦτα γὰρ ἐνδείκνυται μεγίστην ζέσιν καὶ φλόγωσιν θερμότητος οὖσαν ἐν τῷ 5) βάθει ἢ ἐπιτεταμένην σηπεδόνα ἢ ἀπόψυξιν καὶ νέκρωσιν. ἀλλὰ καὶ τὸ λευκὸν οὖρον καὶ παχὺ δίκην τρυγίας κακόν ἐστιν, ἐπειδὴ ἐνδείκνυται μεγίστην ἀπεψίαν τῶν ὑλῶν, καθ᾽ ἣν ταῦτα ἐκκρίνεται· ἀλλὰ καὶ τὸ λεπτὸν καὶ ὑδατῶδες καὶ διαυγὲς καὶ στίλβον οὖρον κακόν ἐστι. καὶ τοῦτο γὰρ ἀπεψίαν ἐνδείκνυται. ἀλλὰ καὶ πνευμάτων τινῶν συναναπεπλεγμένων τῷ οὔρῳ, καὶ τῇ τάσει ποιοῦσιν αὐτὸ στίλβον δίκην ἀκόνης.

Ἀλλὰ καὶ τὸ 6) παρέγχυμα ἔχει διαφοράς. τὸ γὰρ νεφέλιον ἐνδείκνυται περιουσίαν πνευμάτων. ἀλλὰ καὶ τὸ 7) ἐναιώρημα 8) παρὰ φύσιν ἐστίν· ἐνδείκνυται γὰρ καὶ αὐτὸ περιουσίαν πνευμάτων, ἀλλ᾽ ἐπ᾽ ἔλαττον ὅθεν καὶ ἧττον κακόν ἐστιν. ἐνδέχεται δέ ποτε καὶ τὸ νεφέλιον καὶ τὸ ἐναιώρημα κατὰ κρᾶσιν μὴ εἶναι παρὰ φύσιν, ἀλλὰ κατὰ φύσιν. εἰ μὲν αὐχμηρά ἐστιν ἡ ἕξις τοῦ σώματος, καὶ τὰ σύστοιχα θερμότερα ἐπιτεταμένως, τότε νεφέλιον γίνεται· εἰ δὲ ὑφειμένη ἐστὶν ἡ ξηρότης τῆς

---

1) γὰρ om. M. 2) πυρὸν Codd. saepius. 3) ὄντα Codd. 4) τοῦ A. 5) βάσει A. 6) Ita vocat contenta. 7) ἐννεώρημα Codd. saepius. 8) παραφύσιον M.

ἕξεως, καὶ τὰ σύστοιχα ἧττόν ἐστι θερμὰ, ἐναιώρημα γίνεται ἡ ὑπόστασις.

Ταῦτα εἰρηκὼς λέγει καὶ ἕτερα παρὰ φύσιν οὖρα ἐν τῇ ὑποστάσει συνιστάμενα. καί φησιν ὅτι κακαί εἰσιν αἱ κριμνώδεις ὑποστάσεις. ἐπὶ γὰρ ἀνωμάλῳ ἐκταράξει ἐκκρίνονται, ἐπὶ πυρώδει καὶ φλογώδει θερμότητι γενομένης τῆς ἐκτήξεως. ἡ δὲ ἔκτηξις γίνεται τῆς νεοπαγοῦς σαρκὸς καὶ αὐτῆς τῆς σαρκὸς, καὶ λοιπὸν ἐν τοῖς τοιούτοις κριμνώδη ἐκκρίνονται ἐν τοῖς οὔροις· ἀλλὰ καὶ ἐπὶ παχεῖ αἵματι κριμνώδη ἐκκρίνονται ἐν τοῖς οὔροις. ἀνώμαλός ἐστιν ἡ ἔκτηξις, ὅτι τὰ μὲν λεπτὰ ἐμφέρονται, τὰ δὲ παχέα. 1) ἐρυθρὰ δέ ἐστι τὰ οὖρα, καὶ τὰ κριμνώδη τὰ ἐμφερόμενα κατὰ τὴν ὑπόστασιν· κριμνώδεις δὲ λέγονται αἱ τοιαῦται ὑποστάσεις δίκην τῶν κριμνῶν τῶν ἀπὸ τῶν πεφρυγμένων κριθῶν καὶ ἀλεσθέντων, καὶ διαλαθόντων τινῶν ἁδρομερῶν.

Λέγει καὶ ἑτέραν διαφορὰν, ὅτι καὶ ἡ πεταλώδης ὑπόστασις κακίστη ἐστί. καὶ αὕτη γὰρ ἐπὶ ἐκτήξει ἐκκρίνεται τῶν στερεῶν κατ᾽ ἐπίτασιν τῆς πυρώδους καὶ φλογώδους θερμότητος.

Ἀλλὰ καὶ τὰ πιτυρώδη κακά ἐστιν, ἐπειδὴ καὶ ταῦτα ἐπὶ ἐκτήξει τῶν στερεῶν μορίων ἐκκρίνονται, κατ᾽ ἐπίτασιν μεγίστην τῆς πυρώδους καὶ φλογώδους θερμότητος. πιτυρώδη δὲ ὀνομάζονται, ἐπειδὴ ἐοίκασι πιτύροις.

Καὶ ἀποροῦσί τινες, εἴ γε τὸ ὑπέρυθρον καὶ ὑπόξανθον ὑπό τε τοῦ αἵματος καὶ τῆς χολῆς χρωννύντων αὐτὸ τοιοῦτον γίνεται, ὑπέρυθρον μὲν ὑπὸ τοῦ αἵματος χρωννυμένου, ὑπόξανθον δὲ ὑπὸ τῆς χολῆς, τί δήποτε μὴ ὥσπερ τὸ 2) χρῶμα χρώννυται, καὶ ἡ ὑπόστασις χρώννυται καὶ γίνεται ὑπόπυῤῥον ἢ ὑπόξανθον, ἀλλὰ μένει λευκή; καὶ λέγομεν ὅτι οἱ τοιοῦτοι χυμοὶ λεπτομερεῖς εἰσι, καὶ λοιπὸν ἑτοίμως διεισκρίνονται καὶ διεισέρχονται εἰς τὸ ὀῤῥῶδες ὑγρὸν, καὶ 3) ἀναχύονται ἐν αὐτῷ, καὶ

---

1) Fort. omissum οὐ. 2) Conjecerim χύμα. 3) ἀνεχεύονται L. ἀνεχύνονται M. ἀναισχύνονται A. Conjeci ἀναχύονται.

διὰ τοῦτο χρώννυσιν αὐτὸ, ἡ δὲ ὑπόστασις κάτω ὑφίσταται. λοιπὸν δὲ καὶ παχεῖά ἐστι καὶ οὐ φθάνουσιν εἰσκριθῆναι ἐν τῇ ὑποστάσει ὥστε χρῶσαι αὐτὴν, καὶ διὰ τοῦτο λευκὴ εὑρίσκεται. καὶ πάλιν ἀποροῦσιν ὅτι ἐπὶ τῆς νεφελώδους ὑποστάσεως καὶ τοῦ ἐναιωρήματος, 1) ὅτι ἔχεται εἰπεῖν, ἐπειδὴ ταῦτα ἐμφέρονται καὶ ἐπιπολάζουσι. καὶ μὴν ὁρῶμεν λευκὰ καὶ αὐτὰ ὄντα. πρὸς ὃ ἀπολογούμεθα, ὅτι ταῦτα, λέγω δὴ τὸ νεφέλιον καὶ τὸ ἐναιώρημα, παχέα εἰσὶ, τὸ δὲ χύμα λεπτόν ἐστι καὶ ὑδατῶδες, καὶ διὰ τοῦτο εὐχερῶς εἰσκρίνονται καὶ χρώννυσιν αὐτό· τὸ δὲ νεφέλιον καὶ τὸ ἐναιώρημα παχέα εἰσὶ καὶ διὰ τοῦτο οὐ διεισέρχονται ἐν αὐτοῖς καὶ χρώννυσιν αὐτά.

Θανατωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδεα καὶ ὑδατώδη καὶ μέλανα καὶ παχέα. —

Ἐντεῦθεν ἐπὶ ἑτέρας διαφορὰς θανατωδῶν οὔρων τρέπεται, καὶ λέγει τρεῖς συζυγίας θανατωδεστάτων οὔρων, ὧν πρώτη ἐστὶν αὕτη· φησὶν, ὅτι θανατωδέστατα τῶν οὔρων εἰσὶ τά τε λευκὰ καὶ ὑδατώδεα καὶ δυσώδη· δεύτερον δὲ τὰ παχέα καὶ μέλανα· τρίτον δὲ τὰ λιπαρὰ καὶ ἐλαιώδη. εἶτα λοιπὸν δέον ἐστὶ καὶ τὴν αἰτίαν ἑκάστου εἰπεῖν. τὸ λεπτὸν καὶ δυσῶδες οὖρον ἐνδείκνυται ἐσχάτην ἀπεψίαν καὶ ἄκραν καταβολὴν τῶν ψυχικῶν δυνάμεων καὶ μεγίστην σηπεδόνα ἐν τῷ βάθει οὖσαν. τὸ δὲ λοιπὸν καὶ μέλαν οὖρον ἐνδείκνυται ἢ κατάψυξιν καὶ νέκρωσιν τοῦ ἐμφύτου θερμοῦ, ἢ πυρώδη καὶ φλογώδη θερμότητα. δεῖ γὰρ εἰδέναι ὅτι τὰ μέλανα οὖρα ἢ ἐπὶ καταψύξει καὶ νεκρώσει τοῦ ἐμφύτου θερμοῦ καὶ τοῦ αἵματος καὶ τῶν χυμῶν ἀπονεκρουμένων ἢ ἐπὶ μεγίστῃ καὶ φλογώδει καὶ πυρώδει θερμότητι, 2) ἐξυπεροπτώσῃ καὶ οἷον ἀποτεφρουμένῃ, τοῦ τε αἵματος καὶ τῶν χυμῶν γίνεται. τὸ δὲ παχὺ οὖρον ἐνδείκνυται περιουσίαν καὶ πλεονασμὸν παχέων χυμῶν, καὶ πνευμάτων συναναπλεκομένων αὐτοῖς. δεῖ δὲ εἰδέναι ὅτι τὸ λεπτὸν οὖρον καὶ μέλαν ἀδύνατόν ἐστιν εὑρεθῆναι, ἢ μέλαν 3) καὶ δυσῶ-

1) τί A. 2) ἐξυπεροπτῶσαν Codd. 3) ῒ A.

δες. ἀλλὰ ταῦτα τὰ οὖρα καθ' αὑτὰ μὲν καὶ ἰδίᾳ ὀλέθριά εἰσι, τουτέστι τὸ λευκὸν καὶ τὸ δυσῶδες μόνον. συμπεπλεγμένα δὲ ἔτι μᾶλλόν εἰσιν ὀλέθρια. τὸ δὲ λευκὸν καὶ παχὺ οὐκ ἔστι καθ' αὑτὰ ὀλέθρια. τὸ μὲν γὰρ λεπτὸν καὶ ὑδατῶδες, διότι ἐνδέχεται τῷ χρόνῳ ῥωσθῆναι τὰς φυσικὰς δυνάμεις, καὶ πέψαι καὶ χυμῶσαι καὶ εἰς τὸ κατὰ φύσιν ἐλθεῖν, καὶ μὴ εἶναι ὀλέθριον. ἀλλὰ καὶ τὸ παχὺ οὖρον, ἐπειδὴ παχεῖαν δηλοῖ τὴν ὕλην καὶ περιουσίαν πνευμάτων, χρόνιον μὲν δηλοῖ τὴν ὕλην καὶ τὸ νόσημα, οὐ μὴν ὀλέθριον. ἄλλως τε δὲ ἐνδέχεται παχέα ἐκκριθῆναι οὖρα ἐν τῇ ἀκμῇ τῆς νόσου καὶ 1) μὴ εἶναι ὀλέθρια, ἀλλ' ὑγιαστικά. δηλοῖ γὰρ ὅτι ἀποκαθαίρεται τὸ σῶμα δι' οὔρων, καὶ διὰ τοῦτο παχέα κενοῦνται τὰ οὖρα. ἢ οὐχ ὁρῶμεν καὶ ἄλλων παρὰ φύσιν ὑλῶν κενουμένων ἐν ταῖς παρακμαῖς ἐπὶ ἀπαλλαγῇ τῶν νοσημάτων; διὸ χολώδης ἔκκρισις πολλάκις γίνεται ἢ φλεγματώδης καὶ ἕλμινθες ἐκκρίνονται, καὶ οὐκ εἰσὶν ὀλέθρια, ἀλλ' ὑγιαστικά. παχὺ δὲ οὖρον ἀκουστέον τὸ ἄγαν παχύ.

Ἀλλὰ καὶ τὸ λιπαρὸν καὶ ἐλαιῶδες καὶ τὰ τοιαῦτα οὖρα ὀλέθριά εἰσι καὶ θανατώδη. δηλοῦσι γὰρ σηπεδόνα καὶ ἔκτηξιν τῆς πιμελῆς ὑπὸ φλογώδους θερμότητος γινομένην. αὗταί εἰσιν αἱ συζυγίαι τῶν οὔρων αἱ θανατώδεις, ὧν ἐνταῦθα μέμνηται Ἱπποκράτης, ἐφ' οἷς καὶ προσδιορισμοὺς τίθησι τέσσαρας τὸν ἀριθμὸν, ὧν πρῶτός ἐστιν 2) αὐτὸς, ὅτι ταῖς μὲν γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ μέλανα τῶν οὔρων κάκιστα· τοῖς δὲ παιδίοισι τὰ ὑδατώδη φησὶν, ὅτι ταῖς ἀκμαζούσαις γυναιξὶ καὶ ἀνδράσι τοῖς ἀκμάζουσι τὰ μέλανα τῶν οὔρων ὀλέθρια καὶ θανατώδη εἰσὶ, τοῖς δὲ παιδίοις τὰ λεπτὰ καὶ ὑδατώδη. διατί; ἐπειδὴ ἐπὶ τῶν παίδων ἐν τῷ κατὰ φύσιν παχέα ἐκκρίνονται τὰ οὖρα διὰ τὴν ἀδδηφαγίαν, ὅθεν τῷ πάχει καὶ μέλανα ὑποφαίνεται· ἐπὶ δὲ τῶν ἀκμαζόντων, τὰ λεπτὰ καὶ ὀλίγην ἔχοντα τὴν ὑπόστασιν εἰσὶ κατὰ φύσιν διὰ τὴν περιουσίαν τῆς κατὰ ποιότητα θερμότητος, συμπέττουσαν καὶ λεπτύνουσαν. ἐὰν οὖν ἐναλλὰξ γένηται καὶ

1) μὴν A. 2) Fort. οὗτος.

ἐπὶ τῶν παίδων λεπτὰ ἐκκριθῶσι καὶ ὑδατώδη, ἐπὶ δὲ τῶν ἀκμαζόντων τὰ μέλανα καὶ παχέα οὖρα, ἐπειδὴ ἐπὶ τῷ παντὶ ἐναντίον τοῦ κατὰ φύσιν ἐξετράπησαν, διὰ τοῦτο ὀλέθριά εἰσιν.

Δεύτερον λέγει προσδιορισμὸν τοιοῦτον, ὅτι ἐπὶ τῶν νοσημάτων 1) εὔφορός ἐστιν ὁ ἄνθρωπος καὶ 2) εὔπνους [καὶ ἄϋπνος] καὶ ἄδιψος καὶ μηδεμίας αἰσθάνεται δυσφορίας ἢ ἀνωμαλίας, 3) ἐκκρίνονται δὲ οὖρα λεπτὰ καὶ ὑδατώδη ἐπὶ πολὺν χρόνον, γίνωσκε ὅτι εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. δεῖ δὲ εἰδέναι ἐν τῷ καθόλου, ὅτι τὰ νοσήματα ἢ χρόνιά εἰσιν ἢ ὀξέα, καὶ τὰ μὲν χρόνια ἐπὶ ψυχρᾷ καὶ παχείᾳ ὕλῃ γίνονται. διὰ τοῦτο καὶ χρονίζουσιν, ἀλλὰ τῷ μήκει τοῦ χρόνου καὶ αἱ δυνάμεις καταβάλλονται· τὰ δὲ ὀξέα ἐπὶ θερμῇ καὶ λεπτῇ ὕλῃ γίνονται, ὅθεν καὶ κατ' ἔκρουν ἐκκρίνονται διὰ χολεμεσίας καὶ ἐκταράξεως γαστρὸς καὶ δι' ἐμέτων καὶ ἱδρώτων καὶ τῶν τοιούτων. τὰ δὲ χρόνια οὐ κρίνονται, ἀλλὰ λύονται κατὰ διαφόρησιν καὶ σύμπεψιν. εἰ δὲ καὶ κρίνονται, κατὰ ἀπόστασιν κρίνονται. δεῖ γὰρ εἰδέναι ὅτι χρονίου ὑποκειμένου νοσήματος, καὶ παχείας οὔσης τῆς ὕλης, καὶ παχέων οὔρων ὀφειλόντων ἐκκρίνεσθαι, ἐὰν λεπτὰ καὶ ὑδατώδη ἐκκρίνωνται τὰ οὖρα, δηλοῖ ὅτι ἀλλαχοῦ πέμπεται ἡ ὕλη, καὶ ἐνδομυχεῖ εἰς ἕτερον μόριον ἀσθενὲς γινόμενον, ὅπερ δι' οἰκείαν ἀσθένειαν ὑποδέξασθαι μὲν δύναται, ἀπωθῆσαι δὲ καὶ ἀποδιῶξαι οὐ δύναται, ἀλλὰ λοιπὸν ἐκεῖσε στέγεται καὶ ἐμφωλεύει ἡ τοιαύτη ὕλη, 4) ὅπερ τῷ χρόνῳ ἐξ ἀνάγκης 5) ἀποστάσεις γενέσθαι. αἱ δὲ ἀποστάσεις ἐπὶ μὲν τῶν ἄγαν χρονίων νοσημάτων, ἡνίκα καὶ ψυχρά ἐστιν ἡ ὕλη καὶ παχεῖα, ἀπὸ τοῦ διαφράγματος ἐπὶ τὰ κάτω γίνονται, διὸ ἐπὶ τὸν ὀμφαλὸν καὶ τὴν ὀσφὺν καὶ τοὺς λαγόνας καὶ βουβῶνας καὶ τοῖς τοιούτοις· ἐπὶ δὲ τῶν μὴ οὕτως χρονιζόντων ἐπὶ τὰ ἄνω αἱ ἀποστάσεις γίνονται ἤγουν ἐν τοῖς παρισθμίοις καὶ παρωτίσι καὶ μασχάλαις καὶ τοῖς τοιούτοις. εἰ δὲ

---

1) ἄφορος A. 2) ἄπνους A. καὶ ἄϋπνος om. M. 3) ἐκκρίνει A. 4) Fort. ὥστε sive ᾧπερ. 5) ὑπόστασις A.

μέσως πως, μέσως καὶ αἱ ἀποστάσεις γίνονται, ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω.

Τρίτος προσδιορισμός ἐστιν ὅτι ἐπὶ τῶν οὔρων παρὰ φύσιν ἐστὶ τὸ νεφελῶδες πάχος ἐν τῇ ὑποστάσει θεωρούμενον καὶ τὸ ἐναιώρημα, ἧττον δέ ἐστι παρὰ φύσιν. ἡ δὲ ὑπόστασις ὁμωνύμως τῷ γένει κατὰ φύσιν ἐστί. χειρίστη δὲ πασῶν, τὸ νεφελῶδές ἐστιν, ἐπειδὴ πλείω ἐνδείκνυται ἀπεψίαν καὶ περιουσίαν πνευμάτων. διὰ τοῦτο καὶ πλέον μετεωρίζεται. ἧττον δὲ χείριστόν ἐστι τὸ ἐναιώρημα. ἐπειδὴ δὲ τῶν οὔρων τὰ μὲν οὐδ᾽ ὅλως ἔχουσι πάχος ἐμφερόμενον ἐν αὐτοῖς, ἀλλ᾽ ἀδιάκριτόν ἐστι. τούτου οὖν τοῦ μὴ ἔχοντος πάχος τουτέστιν ὑπόστασιν, κάλλιόν ἐστι τὸ νεφελῶδες. τὸ γὰρ μὴ ἔχον τι πάχος οὖρον ἐν ἑαυτῷ χείριστόν ἐστι καὶ κάκιστον. δηλοῖ γὰρ ὅτι ἀλλαχοῦ ἀπασχολεῖται ἡ ὕλη καὶ ἐκεῖσε ἀποσκήπτει.

Τέταρτος προσδιορισμός ἐστιν ἐν ᾧ φησιν ὅτι τὰ μέλανα καὶ δυσώδη οὖρα οὐ πάντως τοῦ παντὸς σώματος ἐνδείκνυται τὸ πάθος, ἀλλά τινος μορίου, ἡνίκα τυχὸν ἕλκος ἐστὶ περὶ τοὺς νεφροὺς ἢ τοὺς οὐρητῆρας ἢ τὴν κύστιν. τοτηνικαῦτα γὰρ δυσῶδες ἐκκρίνεται τὸ οὖρον διὰ τὸ πῦον. καὶ μὴ 1) παραλογισθῇς ἐπὶ τοῦτο, ὅτι ἐπειδὴ δυσῶδες ἐξεκρίθη, πάντως καὶ ὀλέθριον. ἰδοὺ γὰρ ἐνδέχεταί ποτε ἐκκριθῆναι δυσῶδες οὖρον, καὶ μὴ εἶναι θανάσιμον, καθὼς καὶ αὐτὸς λέγει· μὴ ἐξαπατάτω δέ σε, ἤν τι καὶ αὐτὴ ἡ κύστις νόσημα ἔχουσα τοιαῦτα οὖρα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ᾽ αὐτῆς καθ᾽ αὑτήν.

Δεύτερόν ἐστιν ἐν ᾧ περὶ ἐμέτου διαλέγεται. ὁ δὲ ἔμετος πολλὰς ἔχει διαφοράς. ἀλλὰ πρότερον περὶ τοῦ κατὰ φύσιν ἐμέτου διαλέγεται. κατὰ φύσιν δὲ ἐμετός ἐστιν, ὁ ἄνευ 2) βλάβης τῶν ἐνεργειῶν γινόμενος καί φησιν, ὅτι κατὰ φύσιν ἔμετός ἐστιν, ὁ ἐξ ἐπιμιξίας χολῆς καὶ φλέγματος γινόμενος. καί φησιν, ὅτι κατὰ φύσιν ἔμετός ἐστιν ὁ τοιοῦτος ἵνα συμπλακῶσι. τὸ μὲν γὰρ

---

1) παραλογισθεὶς Codd. Fort. τούτῳ. 2) δὲ add. A.

φλέγμα ἐκ τῶν περισσῶν ἀπεψιῶν ἀθροίζεται ἐν τῷ στομίῳ τῆς γαστρὸς, ἡ δὲ χολὴ νῦν τίκτεται ἀπὸ τοῦ ὀξέος πυρετοῦ. ἐπὶ γὰρ ὀξέων νοσημάτων γυμνάζει τὸν λόγον, ἐπειδὴ ἀβιάστως γίνεται καὶ ἀβλαβῶς. 1) ἡ μὲν γὰρ χολὴ λεπτύνει καὶ διαχεῖ τὸ φλέγμα, ἐπειδὴ καὶ ἐχέκολλόν ἐστι· τὸ δὲ φλέγμα τῇ οἰκείᾳ ὑγρότητι καταπραύνει τὸ δηκτικὸν τῆς χολῆς. ὁ δὲ παρὰ φύσιν ἔμετος πολλὰς ἔχει διαφοράς. ἐὰν γὰρ ἰδίως καὶ χωρὶς ἐμεθῇ χολὴ ἢ φλέγμα, παρὰ φύσιν ἐστίν. εἰ μὲν χολὴ ξανθὴ ἐμεθῇ, τῇ δήξει καὶ τῇ ἀνίᾳ βλάπτει τὰ μόρια δι' ὧν παρέρχεται. αὕτη δὲ ἡ ξανθὴ χολὴ παχυνομένη λεκιθώδης γίνεται ἢ ὀῤῥώδης ὑγρότης συναναμίσγει καὶ ἴσχει ἐπιμιξίας τῇ ξανθῇ χολῇ, ἢ ὠχρὰ γίνεται χολή. ἑκάτερά ἐστι κακὰ ἐμούμενα διὰ τὸ πάχος. τί γὰρ ὅτι τῇ οἰκείᾳ θερμότητι τὸ λεπτὸν διαφορεῖται καὶ παχύνεται, καὶ παχυνομένων, δυσχερὴς γίνεται ὁ ἔμετος καὶ μετὰ σπαραγμοῦ, ὡς πολλάκις τῇ βίᾳ καὶ τῷ σπαραγμῷ καὶ αἵματος γίνεσθαι ἔμετον. ὁμοίως καὶ τὸ φλέγμα διά τε τὸ ψυχρὸν αὐτὸ εἶναι καὶ διὰ τὸ ἐχέκολλον πρῶτον μὲν ψύχει τὰ μόρια δι' ὧνπερ παρέρχεται. λοιπὸν δὲ καὶ 2) τὸ ἐχέκολλον μετὰ βίας τινὸς καὶ συντάσεως ὁ ἔμετος γίνεται. παρὰ φύσιν ἔμετοί εἰσι καὶ κάκιστοι, ἐὰν πρασοειδὴς ἐμεθῇ χολὴ, ἀλλὰ καὶ πέλια 3) καὶ μέλανα ἐμούμενα, κάκιστά εἰσιν. 4) οὐ μὴν ἀλλὰ καὶ τὰ δυσώδη κάκιστά εἰσι. ταῦτα δὲ καὶ ἰδίᾳ καὶ χωρὶς ἐμούμενα, κάκιστά εἰσιν· ἀλλὰ καὶ ἐὰν συμπεπλεγμένα ἅμα ἐμεθῶσι, παγκάκιστά εἰσι. δηλοῦσι γὰρ ποικίλην κακοχυμίαν καὶ ποικίλην διάθεσιν οὖσαν ἐν τῷ σώματι. τὰ γὰρ μέλανα ἐμούμενα καὶ πέλια ἐνδείκνυνται ἢ ψύξιν οὖσαν ἐν τῷ βάθει ἢ φλόγωσιν ἐξυπεροπτῶσαν τοὺς χυμούς. τὰ δὲ δυσώδη ἐνδείκνυνται μεγίστην σηπεδόνα. ἀλλὰ καὶ ἡ πρασώδης χολὴ ἐμουμένη κακίστη ἐστίν. αὕτη δὲ καὶ ἐν γαστρὶ γεννᾶται καὶ ἐν ταῖς φλεψὶ, καὶ καθ' ἑκάτερον διχῶς· ἢ γὰρ ἐπὶ ζέσει φλογώδει θερμότητος οὔσης ἐν τῇ γαστρὶ, πρασώδης γίνεται χολὴ, εἴτε διὰ τὰς προσφερομένας

---

1) εἰ M. 2) Fort. διὰ addendum. 3) ἢ A. 4) οὐ — εἰσι om. M.

τροφὰς τοιαύτας οὔσας καὶ ἀπεπτουμένας, κράμβας φημὶ καὶ σεῦτλα, πρασώδης γεννᾶται χολή. ὁμοίως καὶ εἰς τὰς φλέβας ἢ διὰ ζέσιν ὑπερβάλλουσαν ἐν αὐταῖς πρασώδης γνενᾶται χολὴ καὶ ἀντικαταῤῥεῖ εἰς γαστέρα καὶ οὕτως ἐμεῖται, ἢ διὰ τοιοῦτον περίττωμα ἀθροισθὲν ἐν αὐταῖς, κράμβαις φημὶ καὶ σεύτλων καὶ τῶν τοιούτων, πρασώδης γεννᾶται χολή. ἑκάτεροι οἱ τοιοῦτοι χυμοὶ κάκιστοί εἰσιν.

Σκοπεῖν δὲ χρὴ τῶν οὔρων αἱ νεφέλαι εἴτε κάτω ἔωσιν εἴτε ἄνω. —

Δεῖ δὲ εἰδέναι ὅτι ὁ Ἱπποκράτης ποτὲ καὶ τὴν ὑπόστασιν καὶ τὴν νεφέλην καταχρηστικῶς ὑπόστασιν καλεῖ, ὅπερ καὶ νῦν πεποίηκεν. ἔφη γὰρ ἐν οἷς αἱ νεφέλαι εἴτε ἄνω εἴτε κάτω ὦσιν. ἰδοὺ καταχρηστικῶς, εἴτε ἄνω εἴτε κάτω ὑπόστασιν καλεῖ καὶ τὴν νεφέλην καὶ τὴν ὑπόστασιν καί φησιν, ὅτι ἀπὸ τῶν ὑποστάσεων δεῖ ποιεῖσθαι τὴν σημείωσιν· αἱ γὰρ ὑποστάσεις ἀγαθαί εἰσι καὶ ὑγιαστικαί. τὸ γὰρ νεφέλιον καὶ τὸ ἐναιώρημα παρὰ φύσιν εἰσὶν, ἐπειδὴ συναναπεπλεγμένα εἰσὶ μετὰ πνευμάτων παχέων, καὶ διὰ τοῦτο μετεωρίζονται. εἶτα καὶ ἀποροῦσιν ὅτι καὶ πῶς ἀνωτέρω ἐπὶ τῶν ἀκμαζόντων ἔλεγεν, ὅτι ἡνίκα αὐχμηρὸν καὶ κατάξηρόν ἐστι τὸ σῶμα, νεφέλιον ἢ ἐναιώρημα ὑφίσταται ἐν τοῖς οὔροις, ἅτινα καὶ κατὰ φύσιν εἰσὶ, πῶς οὖν λέγει ἐνταῦθα ὅτι παρὰ φύσιν εἰσί; καὶ λέγομεν ὅτι πᾶσαι αἱ ἡλικίαι πάντως παχυμερεστέραις τροφαῖς κέχρηνται. διὰ οὖν τὴν παχυμερίαν τῶν τροφῶν πάντως ὑπόστασιν ἴσχουσι τὰ οὖρα. ὁ οὖν Ἱπποκράτης πρὸς τοῦτο ἀφεωρακὼς κατὰ φύσιν λέγει εἶναι τὴν ὑπόστασιν καὶ διὰ τοῦτο ἐπαινεῖ τὴν τοιαύτην σημείωσιν ὡς ἀσφαλῆ οὖσαν.

Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως ἀναπτύεσθαι καὶ εὐπετέως. —

Ἐντεῦθεν ἐπὶ τῶν κενουμένων παρὰ φύσιν εἰς σημείωσιν ἐτράπη ὁ Ἱπποκράτης καὶ σημειοῦται τὸ πτύελον καὶ πτύσμα. τὸ αὐτὸ δέ ἐστιν. οὐδὲ γὰρ ὥς τινες ὑπέλαβον ὅτι τὸ μὲν πτύελόν ἐστι τὸ κατὰ φύσιν, πτύσμα δὲ τὸ

παρὰ φύσιν, ἐπειδὴ αὐτὸς ἀδιόριστον καὶ πτύελον καὶ πτύσμα τὸ αὐτὸ καλεῖ. σημειοῦται οὖν τινα πάθη ἀπὸ τοῦ πτυέλου, πλευρῖτιν λέγω καὶ 1) *περιπνεύμονα. ταῦτα γὰρ τὰ πάθη ἀπὸ τοῦ πτυέλου διαγινώσκονται. τί δέ ἐστι πλευρῖτις, ἴσμεν καὶ νῦν εἰρήσεται. πλευρῖτις τοίνυν ἐστὶν φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἀπὸ χολωδεστέρου αἵματος γινομένη. περιπνεύμονος δέ ἐστι φλεγμονὴ τοῦ πνεύμονος ἀπὸ φλεγματικωτέρου αἵματος γινομένη. καὶ ἀποροῦσί τινες ὅτι εἰ πᾶν μόριον, ἐξ οὗ τρέφεται, ἐκ τούτου καὶ ἐπηρεάζεται, ἔδει τὸν πνεύμονα ἀπὸ χολωδεστέρου αἵματος ἐπηρεάζεσθαι καὶ τὴν φλεγμονὴν γίνεσθαι ἐκ ταύτης, καὶ μὴ ἀπὸ φλεγματώδους αἵματος· ὁμοίως καὶ ἡ πλευρῖτις ὑπὸ φλεγματικωτέρου αἵματος ἔδει βλάπτεσθαι ὡς νευρώδης οὖσα καὶ τὴν φλεγμονὴν συνίστασθαι, καὶ μὴ ἀπὸ χολωδεστέρου αἵματος. καὶ λέγομεν ὅτι οὐ πάντα τὰ μόρια ἐξ οὗ τρέφονται, πάντως καὶ βλάπτονται, ὥσπερ ἐνταῦθα ἐπὶ τῆς φλεγμονῆς. ὁ γὰρ πνεύμων μανός ἐστι καὶ ἀραιὸς, ἡ δὲ χολὴ ὡς λεπτομερὴς διεξέρχεται καὶ ἀποῤῥέει καὶ οὐ στέγεται, καὶ τοτηνικαῦτα οὐκ ἐμφράττεται καὶ* 2) *οὐ ποιεῖ φλεγμονήν. διὰ δὲ τὸ φλέγμα γίνεται ἡ περιπνευμονία, ἐπειδὴ παχύς ἐστιν οὗτος ὁ χυμὸς καὶ ὡς παχὺς ἐμφράττεται καὶ ποιεῖ τὴν περιπνευμονίαν. καὶ ἴσως ἐρεῖ τις, καὶ πόθεν φλέγμα εὑρίσκεται ἐν τῷ πνεύμονι, εἴ γε ἀπὸ χολωδεστέρου αἵματος τρέφεται; καὶ λέγομεν ὅτι ἢ ἀπὸ τῆς κεφαλῆς ἀντικαταῤῥεῖ φλέγμα καὶ φέρεται ἐπὶ τὸν πνεύμονα, ἢ ἐκ τῶν παρακειμένων μορίων φέρεται φλέγμα ἐπὶ τὸν πνεύμονα,* 3) *καὶ ἐμφράττεται καὶ ποιεῖ φλεγμονὴν κατὰ τὸν αὐτὸν τρόπον. καὶ ἐπὶ τῆς πλευρίτιδός ἐστιν ἰδεῖν* 4) *ὅτι κἂν ἀπὸ φλεγματικωτέρου αἵματος τρέφεται* 5) *ὁ ὑπεζωκὼς ὡς νευρώδης, ἀλλ' ὅμως ἀπὸ χολωδεστέρου αἵματος βλάπτεται. ἐπειδὴ γὰρ νευρώδης ἐστὶν ὁ ὑπεζωκὼς, οὐ διεισέρχεται τὸ φλέγμα,*

---

1) Pro *περιπνευμονίαν.* Et *περιπνεύμων* et *περιπνεύμονος* sequioris aetatis fuisse videntur formae. 2) *οὐ* om. M. 3) In hoc verbum desinit lacuna cod. L. p. 152. edit. nostrae. 4) *ὅτι* om. L. 5) *ὁ ὑπεζ.* om. L.

ὥστε ποιῆσαι ἔμφραξιν καὶ ποιῆσαι φλεγμονὴν, ἀλλ' ἡ χολὴ λεπτομερὴς οὖσα διεισέρχεται καὶ διεισδύνει, καὶ στέγεται καὶ ἐμφράττεται, καὶ ποιεῖ τὴν φλεγμονήν. ἀλλ' ἴσως 1) ἀπορήσει τις, ὅτι καὶ πόθεν ἡ χολὴ ἐν τῷ ὑπεζωκότι; καὶ λέγομεν, ὅτι ἢ ἀπὸ τῶν παρακειμένων μορίων φέρεται ἐκεῖσε χολὴ, καὶ ποιεῖ τὴν φλεγμονὴν, ἢ ὅτι ὑπόκειται προπεπονθὼς ὁ ὑπεζωκώς. καὶ τὸ τηνικαῦτα ἐπειδὴ πέπονθεν, ἀπεπτεῖται τὸ λόγῳ τροφῆς φερόμενον ἐν αὐτῷ, καὶ οὐ μόνον φλέγμα γεννᾶται, ἀλλὰ καὶ χολὴ, καὶ ποιεῖ τὴν φλεγμονήν. ἢ εἰπὲ ὅτι ἐν παντὶ μορίῳ διάφορος τίκτεται κακοχυμία. ἐνδέχεται 2) οὖν ἀθροισθῆναι χολώδη ὕλην ἐν τῷ ὑπεζωκότι καὶ ἐμφραγῆναι καὶ ποιῆσαι φλεγμονήν.

Τούτων οὕτως ἐχόντων, 3) σημειοῦται τὸ πτύελον ἀπὸ πέντε τινῶν, πρῶτον μὲν ἀπὸ τοῦ καιροῦ, δεύτερον ἀπὸ τοῦ τρόπου τῆς ἀναγωγῆς, τρίτον ἀπὸ τῆς κράσεως ὧν ἐπιδέχεται χρωμάτων, τέταρτον ἀπὸ τῆς συστάσεως, καὶ πέμπτον ἀπὸ τοῦ σχήματος.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. σημειοῦται τοίνυν το πτύελον ἀπὸ τοῦ καιροῦ, λέγων οὕτως, ὅτι ἄριστόν ἐστι τὸ πτύελον τὸ ταχέως ἀναπτυόμενον. τὸ δὲ ταχέως διττόν ἐστι. δηλοῖ γὰρ τὸν χρόνον τουτέστι τὴν ἀρχὴν τοῦ νοσήματος, κατὰ τὸ εἰρημένον ἐν ἀφορισμοῖς, πτύελον ἢν αὐτίκα ἐπιφαίνηται, βραχύνει καὶ τὰ λοιπά. ἢ τὸ ταχέως δηλοῖ τὸ συντόμως ἅμα τῇ βήξει τοῦ κάμνοντος 4) ἀναγόμενον καὶ ἀποπτυόμενον. ὅθεν καὶ ἡμεῖς οὕτως λέγομεν, ὅτι τάχιστα ἀναπτύει καὶ εὐανάγωγά εἰσι τὰ ἀναπτυόμενα. πλὴν δεῖ εἰδέναι ὅτι κατὰ τοῦ πρώτου ἁρμόζει ἡ ἀπὸ τοῦ καιροῦ σημείωσις, λέγω δὴ κατὰ τοῦ ἐν τῇ ἀρχῇ τῆς νόσου, ἐπεί τοι τὸ εὐθέως ἀναπτύεσθαι τοῦ δευτέρου ἐστὶ σημαινομένου, λέγω δὴ τοῦ ἀπὸ τρόπου τῆς ἀναγωγῆς, ὅτι τὰ ἀναγόμενα εὐπετῆ θέλει εἶναι καὶ ῥαδίως ἀνάγεσθαι. 5) δηλοῖ γὰρ εὐεπήκοον τὴν ὕλην καὶ ἀνωδυνίαν.

---

1) καὶ ἐνταῦθα ἐρεῖ M. A. 2) γὰρ M. A. 3) περὶ πτυέλου L. in mg. 4) ἀνάγοιτο μὴ L. 5) τὸ πτύελον καί ἐστι ἀγαθὸν add. M. A.

Ἀπὸ δὲ τῆς συστάσεως, δεῖ μήτε παχεῖαν εἶναι καὶ γλίσχραν τὴν ὕλην, μήτε λεπτὴν καὶ ὑδατώδη. τα γὰρ παχέα καὶ γλίσχρα ἔχουσι τὸ ἐχέκολλον καὶ δυσαπόσπαστον, 1) *καὶ οὐκ ἀνάγονται. εἶτα λοιπὸν μὴ ἀναγόμενα φέρονται ἐπὶ τοὺς σήραγγας τῆς τραχείας ἀρτηρίας, καὶ τῆς ἀρτηριώδους φλεβὸς καὶ ἐμφράττει αὐτοὺς, καὶ ἐντεῦθεν οὐ γίνεται ἡ πάροδος τοῦ πνεύματος, ἀλλὰ πνιγμωδῶς κινδυνεύουσι. τὰ δὲ λεπτὰ καὶ ὑδατώδη ἐν τῇ ἀνόδῳ ἀντιπερισχίζονται, καὶ ἔνθεν κἀκεῖθεν ἀντικαταῤῥεῖ, καὶ οὐκ ἀνάγεταί τι ἐξ αὐτῶν, ἀλλὰ μόνον κοπιᾷ ἡ δύναμις ἀκαίρως. δεῖ γὰρ εἰδέναι ὅτι πρῶτον μὲν ἡ δύναμις τῶν μεσοπλευρίων μυῶν ἢ ὅλου τοῦ θώρακος συμβάλλονται εἰς τὴν* 2) *ἀναγωγὴν, εἶτα τὸ πνεῦμα. τί γὰρ ὅτι ἐν τῇ συστολῇ τοῦ θώρακος ἐκθλίβεται, εἶτα ἐν τῇ ἐξωθήσει τοῦ πνεύματος τὰ ἀποκρουόμενα ἀκοντίζονται, δίκην βολίστρας, καὶ οὕτως ἀποπτύονται· ἀλλὰ δεῖ μέσως πως εἶναι κατὰ σύστασιν τοῦ παχέος καὶ γλίσχρου, καὶ τοῦ λεπτοῦ καὶ ὑδατώδους, ἵνα τὸ πνεῦμα ἐκπεμπόμενον προσκροῦον, καταστερεωθῇ αὐτὸ καὶ ἐμπέμπῃ τὴν ὕλην.*

Ἀπὸ δὲ τῆς κράσεως τῶν ἐπιμιγνυμένων χρωμάτων, δεῖ πᾶσι τοῖς ἀναγομένοις χυμοῖς, λέγω δὴ καὶ τῇ ξανθῇ χολῇ καὶ τῇ μελαίνῃ καὶ τοῖς πελιδνοῖς, συναναμεμίχθαι φλέγμα, εἰ μέλλει ἀγαθὸν εἶναι, ἵνα τὸ φλέγμα τῇ οἰκείᾳ ὑγρότητι ἐπιτέγξῃ καὶ κολάσῃ τὸ δηκτικὸν καὶ δακνῶδες αὐτῶν. χείριστα δέ εἰσι καὶ τὰ ποικίλα καὶ ἄκρατα ἀναγόμενα. δηλοῖ γὰρ πλείστην κακοχυμίαν οὖσαν ἐν τῷ σώματι καὶ διαφόρους τὰς διαθέσεις, ἅτινα καὶ ὀλέθριά εἰσι. τὰ δὲ μὴ ποικίλα, ἀλλὰ καὶ κεκραμμένα ὄντα, οὐκ εἰσὶ κακά. ἐν οὖν τοῖς ἀναγομένοις κρεῖττόν ἐστι τὸ αἷμα καὶ τὸ φλέγμα ἀνάγεσθαι. διὰ τί; ἐπειδὴ οὗτοι οἱ χυμοὶ ἀδήκτως καὶ ἀβιάστως ἀνάγονται, ἐπειδὴ πραεῖς εἰσιν. οὐδὲ γὰρ ἔχουσι τὸ δηκτικόν. ἡ δὲ ξανθὴ χολὴ καὶ ὁ μελαγχολικὸς κενούμενα ἄκρατα, εἴτε καθ' αὐτὰ, εἴτε καὶ συμπεπλεγμένα 3) *ἀλλήλοις, κακά εἰσιν. ἡ μὲν γὰρ ξανθὴ*

---

1) *τὸ δυσεκμόχλευτον* add. M. A. Videtur esse glossema. 2) *ἀγωγὴν* M. 3) *ἄλλοις* L.

χολὴ ἐν τῷ ἀνάγεσθαι δάκνει καὶ ἀνιᾷ καὶ ἑλκοῖ τοὺς 1) τόπους ἐκείνους τῇ οἰκείᾳ δριμύτητι, ἔστιν ὅτε δὲ καὶ πυρετοὺς ὀξεῖς ἐξάπτει. ὁ δὲ μελαγχολικὸς παχὺς ὢν καὶ γεώδης δηλοῖ ἐς μῆκος χρόνου ἐκταθήσεσθαι τὸ νόσημα, ὥστε τῷ μήκει μὴ αὐταρκέσαι τὴν δύναμιν, καὶ ἐπιστῆναι τὸν κίνδυνον. ἀλλὰ δεῖ αὐτὰ κεκρᾶσθαι, καθ' ὃν καὶ 2) αὐτὸς λέγει, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ. καὶ αὐτὸς μὲν ἐπὶ τῆς χολῆς ἔφη, ὅτι δεῖ τὴν χολὴν συναναμεμίχθαι τῷ 3) φλέγματι. σὺ δὲ καὶ ἐπὶ παντὸς χυμοῦ εἰπὲ, ὅτι δεῖ συναναμεμίχθαι αὐτοῖς φλέγμα, ὥστε κολάζεσθαι αὐτοὺς ὑπὸ τῆς ὑγρότητος τοῦ φλέγματος.

Ἀπὸ δὲ τοῦ σχήματος, ὅτι τὰ στρογγύλα ἀναγόμενα κάκιστά εἰσι. δηλοῖ γὰρ πάχος φλέγματος, καὶ μεγίστην φλόγωσιν ἐν τῷ βάθει οὖσαν. 4) περιφρύσσεται γὰρ πανταχόθεν τὸ φλέγμα καὶ ἐν τῷ ἀνάγεσθαι προσπταῖον τῇδε κἀκεῖσε καὶ περιφερόμενον, καταθραύονται τὰ ἄκρα πανταχόθεν, καὶ τὸ τηνικαῦτα στρογγύλα ἀποπτύονται. ἢ εἰπὲ ὅτι ἡ θερμότης περιφρύσσει τὰ πέριξ τοῦ φλέγματος, παχέος αὐτοῦ ὄντος, καὶ ἐν τῇ ἀναγωγῇ περιφερόμενον τῇδε κἀκεῖσε σφαιροῖ αὐτό.

Οὕτως σημειωσάμενος ἀπὸ τῶν πέντε τὰ κατὰ φύσιν πτύελα σημειοῦται καὶ τὰ παρὰ φύσιν, καὶ λέγει, ὅτι πάντα τἀναντία τούτοις κάκιστά εἰσι καὶ ὀλέθρια. καὶ ἄρχεται ἀπὸ τοῦ καιροῦ, καί φησιν ὅτι κάκιστά εἰσι τὰ μὴ ἐν τῇ ἀρχῇ ἀναπτυόμενα, ἀλλ' ἐν τῇ παρακμῇ. δηλοῖ γὰρ ἀσθένειαν καὶ καταβολὴν τῶν δυνάμεων, καὶ μὴ ὑπείκουσαν τὴν ὕλην, καὶ δηλοῖ ὅτι τῇ ἀσθενείᾳ μήποτε οὐκ 5) ἰσχύσῃ ἡ δύναμις ἐκταθῆναι μέχρι τῆς κρίσεως καὶ ἐν τῷ μέσῳ ἀποκάμῃ.

Ἀλλὰ καὶ ἀπὸ τοῦ τρόπου τῆς ἀναγωγῆς, λέγει ὅτι τὰ βραδέως καὶ δυσχερῶς ἀναγόμενα κάκιστά ἐστιν. ἐνταῦθα γὰρ οὐκ 6) εἴκει ἡ ὕλη, ἥτις δηλοῖ μεγίστην ὀδύνην τῶν περὶ τὸν θώρακα μορίων.

---

1) τύπους L. 2) αὐτὸ L. 3) αἵματι L. 4) περιφρίσσεται M. 5) ἰσχύσει M. 6) ὑπείκει M. A.

Ἀλλὰ καὶ κατὰ σύστασιν 1) *κάκιστά ἐστι, καὶ τὸ παχὺ καὶ τὸ γλίσχρον, καὶ τὸ λεπτὸν καὶ ὑδατῶδες.*

Εἶτα μέμνηται καὶ τῶν κακίστων χρωμάτων, καὶ λέγει ὅτι τὸ χλωρὸν ἀναπτυόμενον δηλοῖ μεγίστην ζέσιν οὖσαν ἐν τῷ πνεύμονι. δεῖ γὰρ εἰδέναι ὅτι τὸ 2) *ὀῤῥῶδες τοῦ αἵματος ἐξυπεροπτούμενον, ἡ ξανθὴ γίνεται χολή. εἶτα ταύτῃ τῇ ξανθῇ χολῇ ἐπιμίγνυται τὸ ὀῤῥῶδες ὑγρὸν, καὶ γίνεται ἡ ὠχρὰ χολή. καὶ πάλιν ἐὰν μεγίστη ἐστὶν ἡ ζέσις, καὶ ὑπερκαυθῇ ἡ ὠχρὰ χολὴ, τίκτεται ἡ ἰώδης. περὶ ταύτης τῆς ἰώδους χολῆς ὁ λόγος τῷ Ἱπποκράτει. ταύτην γὰρ ἐκάλεσε χλωράν. ἀλλὰ καὶ τὰ μέλανα ἀναπτυόμενα κάκιστά ἐστιν. ὁ δὲ μελαγχολικὸς γίνεται χυμὸς, ἢ τῆς ξανθῆς χολῆς ὑπεροπτουμένης, καθ' ἣν καὶ μέλαινα χολὴ ὀνομάζεται. γίνεται μελαγχολικὸς καὶ ἐκ τοῦ τρυγώδους τοῦ αἵματος ἐξυπεροπτουμένου, ὅστις καὶ κυρίως ἐστὶ μελαγχολικός. ἐὰν οὖν μέλανα ἀναπτύωνται, κάκιστά ἐστι· μεγίστην γὰρ ζέσιν δηλοῖ. ἔστι δ' ὅτε ἐνδέχεταί ποτε μέλανα τῇ ψύξει γενέσθαι τῷ λόγῳ τῆς νεκρώσεως. ἀλλὰ καὶ τὸ ἀφρῶδες πτύελον, παγκάκιστόν ἐστι. γίνεται δὲ ὑπὸ φλεγματικῆς οὐσίας καὶ ἀερώδους. τί γὰρ ὅτι ἡ θερμότης καταλεπτύνει καὶ καταθραύει εἰς λεπτὰ μόρια τὴν οὐσίαν τοῦ φλέγματος. ἐν γοῦν τῇ κινήσει πάντως τίκτονται πνεύματα καὶ γίνονται πομφόλυγγες ἐπὶ ἁδρομερεστέρᾳ καταθραύσει τοῦ φλέγματος· εἶτα ἡνίκα διαῤῥαγῶσιν αἱ πομφόλυγγες, γίνεται ἀφρός.*

3) *Δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ περὶ κορύζης καὶ πταρμοῦ διαλέγεται. κόρυζα δέ ἐστιν ἄπεπτος καὶ παχεῖα* 4) *φερομένη ὕλη ἀπὸ τοῦ ἐγκεφάλου* 5) *πρὸς τοὺς μυκτῆρας, ἐμφράττουσα αὐτοὺς, ὥσπερ καὶ κατάῤῥους ἐστὶ, φερόμενον δι' ὑπερώας ἐκεῖνο τὸ ὑγρόν. ὁ δὲ πταρμὸς γίνεται πνευμάτων τινῶν παχέων ἀπὸ τῆς κεφαλῆς καταφερομένων ἐπὶ τοὺς μυκτῆρας, καὶ ποιούντων ἦχον μέγαν. ὁ οὖν Ἱπποκράτης φησὶν, ὅτι ταῦτα τὰ συμπτώματα κακά εἰσιν ἐπὶ τῆς περιπνευμονίας. δηλοῦσι γὰρ ὅτι*

---

1) *κάκιστα* om. L. 2) *ῥοῶδες* L. 3) *περὶ κορύζης* L. in mg. 4) *ὕλ. φερ.* M. A. 5) *εἰς ῥῖνας* A.

πλείστη ἐστὶν ἡ κακοχυμία ἐν τῷ πνεύμονι, καὶ τοσαύτη ἐστὶν ὥστε ἠδυνήθη 1) πέμψαι ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν καὶ παχυνθῆναι καὶ ἀντικαταῤῥεῦσαι, καὶ ποιῆσαι ταῦτα τὰ συμπτώματα. κακὰ δέ εἰσι τὰ συμπτώματα ταῦτα ἐπὶ τῆς περιπνευμονίας, καὶ ὡς σημεῖον, καθ᾽ ὃν εἰρήκαμεν τρόπον, καὶ ὡς αἴτιον, ὅτι ἐν κινήσει θεωροῦνται. ἡ δὲ τοιαύτη κίνησις σύντασίς ἐστι τῆς ἀποκριτικῆς τοῦ ἐγκεφάλου 2) δυνάμεως. εἶτα διαλανθάνει μοῖρά τις καὶ φέρεται ἐπὶ τὸν πνεύμονα, καὶ κακοηθεστέραν τὴν περιπνευμονίαν ἐργάζεται. δεῖ γὰρ εἰδέναι, ὅτι μάλιστα κακόν ἐστι σύμπτωμα ὁ κατάῤῥους, ἤπερ ἡ κόρυζα καὶ ὁ πταρμός. ὁ μὲν γὰρ κατάῤῥους, αὐτόθεν δι᾽ ὑπερώας φέρεται ἡ ὕλη, καὶ διαλανθάνει καὶ φέρεται ἐπὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ οὕτως ἐπὶ τὸν πνεύμονα, καὶ ἐπιτείνει ἐπὶ τὸ κακὸν τὴν περιπνευμονίαν. ἐπὶ δὲ τοῦ κατάῤῥου καὶ τῆς κορύζης, ἔξω φέρεται ἡ ὕλη διὰ τῶν μυκτήρων, καὶ διὰ τοῦτο ἧττόν εἰσι κακά. καὶ πῶς οὐκ ἐμνημόνευσε τοῦ κατάῤῥου ὁ Ἱπποκράτης; λέγομεν, ὅτι συμπεριέλαβε τῇ κορύζῃ καὶ τὸν κατάῤῥουν. ἰστέον δὲ ὅτι τὰ συμπτώματα ταῦτα ἢ ἐξ ἀρχῆς συνεισβάλλουσι μετὰ τῆς περιπνευμονίας ἢ τελευταῖον ἐπιγίνονται. καὶ εἰ μὲν ἐξ ἀρχῆς συνεισβάλλουτι τὰ παθήματα, δηλοῦσι πολλὴν οὖσαν τὴν κακοχυμίαν. εἰ δὲ τελευταῖον ἐπιγίνονται, δηλοῦσιν ὅτι τοσαύτη ἐστὶν ἡ κακοχυμία, ὅτι καὶ ἀτμοὺς ἔπεμψεν ἐπὶ τὴν κεφαλὴν, καὶ παχυνθὲν καὶ ἀντικαταῤῥεῦσαν ἐποίησε τὰ πάθη ταῦτα· καὶ χείριστόν ἐστιν, εἰ τελευταῖον ἐπιγένωνται. τί γὰρ ὅτι τῷ μήκει πάντως ἠσθένησαν αἱ δυνάμεις καὶ οὐκ ἐξαρκοῦσι καὶ ἐντεῦθεν ἐπιγίνεται ὁ κίνδυνος. δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὅτι τὰ πάθη ταῦτα, λέγω δὴ ὁ κατάῤῥους καὶ ἡ κόρυζα καὶ ὁ πταρμὸς, ἐπὶ ἄλλων τινῶν νοσημάτων 3) οὐκ εἰσὶ κακὰ, ἀλλὰ καὶ ὠφέλιμα καὶ αἴτια σωτηρίας. τί γὰρ ὅτι ἑτέροις πυρεκτικοῖς νοσήμασιν ἐπιγινόμενοι ἐν τῇ παρακμῇ δηλοῦσιν ὅτι ἐῤῥώσθη ἡ δύναμις, καὶ ἐπεγερθεῖσα διὰ τῶν φυσικῶν ἐκροῶν ἀπεδίωξε τὴν ὕλην, καὶ ὅσον οὔπω λύεται τὸ νόσημα.

---

1) πέψαι M. 2) δυνάμεως om. M. A. 3) οὐκ om. L.

Ταῦτα εἰρηκὼς λέγει, ὅτι κάκιστόν ἐστι καὶ ἐν τοῖς περιπνευμονικοῖς καὶ ἐν τοῖς πλευριτικοῖς, ἐὰν ἡ ξανθὴ χολὴ παρὰ μέρος ἐμεθῇ, καὶ τὸ αἷμα δὲ ὁμοίως. τί γὰρ ὅτι φλεγμονὴ ὑπόκειται. ἐν δὲ τῇ φλεγμονῇ πάντως καὶ χολή ἐστι καὶ αἷμα. κάλλιον οὖν ἐστιν, εἰ συμμιγῆ καὶ κεκραμμένα ἀναπτύονται. δηλοῦσι γὰρ ὅτι ἐῤῥώσθη ἡ δύναμις καὶ ἴσχυσεν, ὥστε μίξαι αὐτὰ καὶ κεράσαι, ἀλλὰ καὶ τὴν ὕλην λεπτυνθεῖσαν, ὥστε καὶ τῇ λεπτομερείᾳ 1) διεισελθεῖν ἐν αὐτοῖς καὶ διακερασθῆναι.

Πάντα δὲ τὰ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ, κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται καὶ τὰ ἑξῆς. —

Ἔτι περὶ τοῦ πτυέλου διαλεγόμενος ὁ Ἱπποκράτης φλεγμονὴν τοῦ ὑπεζωκότος ὑποτίθεται, καὶ ὡς ἐπὶ πλευρίτιδι γυμνάζει τὸν λόγον καί φησιν, ὅτι αὕτη ἡ πλευρῖτις ἢ κατ᾽ ἔκρουν ἐστὶ, τουτέστι διὰ πτυέλων διαφορεῖται καὶ ἀνακαθαίρεται, καὶ οὕτως παύεται, ἢ τῷ χρόνῳ εἰς ἐμπύημα μεθίσταται. αὕτη δὲ ἡ κατ᾽ ἔκρουν φλεγμονὴ τοῦ ὑπεζωκότος ἤγουν ἡ κατ᾽ ἔκρουν πλευρῖτις διττή ἐστιν. ἢ γὰρ λόγῳ κρίσεως γίνεται, ἢ λόγῳ συμπτώματος. καὶ πόθεν ὀφείλομεν γνῶναι εἴτε λόγῳ κρίσεως γίνεται, εἴτε λόγῳ συμπτώματος; εἰ μὲν λόγῳ κρίσεως γίνεται, μετὰ τὸ ἀναπτυσθῆναι τὸ πτύελον, ῥαστώνη ἕπεται τῆς ὀδύνης· πρὸς τούτοις δὲ καὶ εὐφορία ἐπακολουθήσει. εἰ δέ γε 2) ἐπὶ τοῖς ἀναπτυομένοις μὴ ἐπιγένηται ῥαστώνη, ἔσο γινώσκων ὅτι λόγῳ συμπτώματος γέγονεν ὁ κατ᾽ ἔκρουν πτύελος, ὅπερ κάκιστόν ἐστιν. ἀλλ᾽ ἐπειδὴ τὸ κακὸν πλάτος ἔχει· ἔστι γὰρ ὑφειμένον κακὸν, ἔστι δὲ καὶ ἐπιτεταμένον, δεῖ ἡμᾶς ἐπεξελθεῖν ἕκαστα. εἰ μὲν γὰρ ὕφαιμα ὦσιν, ἐπ᾽ ἔλαττόν εἰσι κακά. εἰ δὲ μέλανα ἢ πελιδνὰ ὦσιν, ἐπιτεταμένως εἰσὶ κακά. εἰ δὲ μηδὲν ἀναπτύεται, ἢ καὶ ἀναπτυόμενα ἐλάχιστα πάνυ καὶ ὀλίγα ἀναπτύεται, καὶ ἐπὶ τούτοις τοῖς ἀναπτυομένοις μηδόλως παύσηται τὰ τῆς ὀδύνης, εἶτα καὶ φλεβοτομίᾳ χρωμένων ἡμῶν καὶ καθάρσει, ἢ καὶ πυ-

1) διεισελθῆναι M. A. ἀνακερασθ. M. A. 2) ἐν L.

ρίαις, μὴ ὑποχαλάσῃ τὰ τῆς ὀδύνης, ἴσο γινώσκων, ὅτι εἰς ἐμπύημα μεθίσταται ἡ τοιαύτη πλευρῖτις.

Ἐπειδὴ δὲ περὶ ἐμπυήματος ἡμῖν ὁ λόγος, εἰς τρία 1) περικλείσωμεν τὴν ὅλην πραγματείαν. καὶ ἐν μὲν τῷ πρώτῳ κεφαλαίῳ ζητήσωμεν, πόθεν ὀφείλομεν γνῶναι, πότε ἄρχεται γίνεσθαι ἡ πυοποίησις· ἐν δὲ τῷ δευτέρῳ ζητήσωμεν, ἐν ποίῳ καιρῷ ἡ ῥῆξις γίνεται τῆς πυοποιήσεως· ἐν δὲ τῷ τρίτῳ ζητήσωμεν, ποία ἐστὶν ἀγαθὴ πυοποίησις καὶ ποία κακίστη.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τὴν ἀρχὴν τῆς πυοποιήσεως γινώσκομεν, ἡνίκα ἄλογον ῥῖγος ἐπιγίνεται. ἄλογον δὲ ῥῖγος 2) ἐπιγίνεται, ἡνίκα μὴ περιοδίζει, ἀλλ' ἀτάκτως εἰσβάλλει· εἶτα ἐπὶ τῷ ῥίγει, ἐὰν καὶ πυρετὸς ἐπακολουθήσῃ καὶ μηκέτι αἰσθάνηται ὀδύνης, ἀλλὰ βάρους τινὸς συναίσθησις ἐγγίνηται αὐτῷ, ἐὰν ταῦτα οὕτως διαφανῶσιν, ἔσο γινώσκων ὅτι ἡ ἀρχὴ τῆς πυοποιήσεώς ἐστιν. εἶτα λοιπὸν δεῖ ἡμᾶς ζητῆσαι, διὰ τί γίνονται ταῦτα. καὶ τὸ μὲν ἄλογον ῥῖγος γίνεται τῷ λόγῳ τῆς πυοποιήσεως, ἀτμῶν τινων δριμέων ἢ ποιότητος φερομένης ἐπὶ τὰ παρακείμενα μόρια, καὶ δάκνοντα καὶ ἀνιῶντα 3) ταῦτα γίνονται τὰ ἄλογα ῥίγη. οὕτως γὰρ καὶ ἐπὶ τοῦ ῥίγους ἐλέγομεν, ὅτι γίνεται τὸ ῥῖγος, ἀτμῶν τινων δριμέων πεμπομένων ἐπὶ τὰ αἰσθητικὰ καὶ κινητικὰ μόρια, καὶ ἐπὶ τὴν ἐπιφάνειαν, καὶ δακνόντων αὐτὰ καὶ ἀνιώντων γίνεται ῥῖγος. ὁ δὲ πυρετὸς ἐπακολουθεῖ τῷ λόγῳ τῆς ἀνίας. ὑποστέλλεται τὸ ἔμφυτον θερμὸν ἐπὶ τὸ βάθος, καὶ τῇ ὑποστολῇ διπλασιαζόμενον τὸ ἔμφυτον θερμὸν, ὁμοτίμως ἐκθάλπει τὸ πᾶν σῶμα καὶ γίνεται ὁ 4) πυρετός. λοιπὸν δὲ ὅτι ἐξαναλίσκονται καὶ διαφοροῦνται οἱ ἀτμοὶ δριμεῖς, καὶ τοτηνικαῦτα ἐπιγίνεται ὁ πυρετός. τοῦ δὲ βάρους ἡ συναίσθησις γίνεται τρόπῳ τοιούτῳ· τὸ πρότερον καταμεμερισμένον ὑγρὸν εἰς διαφόρους χώρας τοῦ φλεγμαίνοντος μορίου, ἐν τῇ πυοποιήσει εἰς ἕνα καὶ τὸν αὐτὸν τόπον ἀθροίζεται τοῦ

---

1) περικλείσομεν M. 2) ἐστὶν M. A. 3) ταῦτα om. M. A. 4) ὑδερετός L.

φλεγμαίνοντος μορίου, καὶ τοτηνικαῦτα βάρους γίνεται συναίσθησις. οὕτως γοῦν καὶ ἐν ταῖς χειρουργίαις ἡμῶν χρωμένων, ἐν ταῖς ἀποστάσεσιν ἅμα τῇ διαιρέσει, ἀθρόα γίνεται ἡ διέξοδος καὶ ἔκκρισις τοῦ πύου, ὡς εἰς ἕνα τόπον ἀθροισθὲν τὸ πῦον· ἡνίκα δὲ θελήσωμεν 1) *ὠμοχειρούργητον ποιῆσαι τὴν χειρουργίαν ἐπὶ τῶν ἀποστημάτων, οὐ γίνεται ἀθρόα ἡ ἔκκρισις, ἀλλ' ὀλίγιστον ὑγρὸν καὶ λεπτὸν καὶ ὕφαιμον ἢ καὶ ἰχωρῶδες ἐκκρίνεται, διὰ τὸ τέως καταμεμερισμένον εἶναι τὸ ὑγρὸν εἰς διαφόρους χώρας τοῦ φλεγμαίνοντος μορίου.* —

Δεύτερον δέ ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ἡμᾶς εἰπεῖν τὸν χρόνον, ἐν ᾧ αἱ ῥήξεις γίνονται τῶν πυοποιήσεων, καί φησιν, ὅτι ἐν τῇ ἑβδόμῃ αἱ ῥήξεις γίνονται ὅπερ σπανίως 2) *τοῦτο ὤφθη γινόμενον ἢ ἐν τῇ εἰκοστῇ ἢ τῇ τριακοστῇ. τὰ δὲ ἐν τῇ ἑξηκοστῇ ἡμέρᾳ* 3) *ῥήγνυνται, τὰ δὲ καὶ ἐπέκεινα. δεῖ δὲ εἰδέναι ὅτι αἱ πυοποιήσεις καθόλου δύο εἰσὶν, ἡ μὲν ἀπὸ τοῦ πεπονθότος μορίου λαμβανομένη, ἡ δὲ ἀπὸ τῆς ὕλης, ἅτινα τῷ καιρῷ ἀφίστανται ἀπ' ἀλλήλων. καὶ ἀπὸ μὲν τοῦ πεπονθότος μορίου, ἐὰν θερμότερον καὶ ὑγρότερον καὶ σαρκωδέστερόν ἐστι τὸ πεπονθὸς τῇ φλεγμονῇ μόριον, τάχιστα γίνεται ἡ πυοποίησις· εἰ δὲ ψυχρότερόν ἐστι τὸ μόριον καὶ νευρωδέστερον, χρονία. ἀπὸ δὲ τῆς ὕλης, εἰ μὲν θερμή ἐστιν ἡ ὕλη καὶ χολώδης,* 4) *ταχεῖα γίνεται ἡ πυοποίησις καὶ ἡ ῥῆξις· εἰ δὲ ψυχρά ἐστιν ἡ ὕλη καὶ φλεγματικωτέρα, χρονιωτέρα γίνεται ἡ πυοποίησις καὶ ἡ ῥῆξις. καὶ ἁπλῶς εἰπεῖν, ἐὰν πάντα θερμὰ συνδράμωσιν, ἥ τε* 5) *ὥρα καὶ ἡ χώρα καὶ τὸ κατάστημα καὶ ἡ ἡλικία, καὶ ἐὰν ἡ δύναμις ἔῤῥωται, καὶ τὸ μόριον κύριόν ἐστι, ταχίστη γίνεται ἡ πυοποίησις. εἰ δὲ τἀναντία ψυχρὰ συνέλθωσι καὶ ἡ δύναμις ἀσθενὴς καὶ ἄκυρον μόριον, βραδεῖα γίνεται ἡ πυοποίησις, καὶ ἡ ῥῆξις.*

Τρίτον κεφάλαιόν ἐστιν, ἐν ᾧ δεῖ ζητῆσαι, ποῖαι ἀγαθαί εἰσι πυοποιήσεις καὶ ποῖαι κάκισται. ταῦτα δὲ

---

1) Abscessum findere nondum maturatum. 2) *τούτῳ* M. 3) *ῥηγνύμενα* L. 4) *τάχιστα* M. A. 5) *δύναμις* L.

διαγινώσκομεν ἀπὸ ἕξ τινων· πρῶτον μὲν ἀπὸ τῆς εὐπνοίας ἢ δυσπνοίας, δεύτερον ἀπὸ τῆς εὐφορίας ἢ δυσφορίας, τρίτον ἀπὸ τοῦ εὐπετῶς ἀνάγεσθαι τὸ πτύελον ἢ δυσχερῶς, τέταρτον ἀπὸ τοῦ ἄδιψον εἶναι τὸν κάμνοντα ἢ ἔκδιψον, πέμπτον ἀπὸ τοῦ ὁμαλῶς κεκρᾶσθαι τὸ σῶμα ἢ ἀνωμάλως, ἕκτον ἀπὸ τοῦ κατὰ φύσιν εἶναι τὰ διαχωρήματα· πρὸς δὲ τούτοις δεῖ 1) σκοπεῖν τὸ ἀναγόμενον, καὶ εἰ μὲν πῦόν ἐστι καθαρὸν, γίνωσκε ὅτι καλόν ἐστιν· εἰ δὲ μετὰ τοῦ πύου συμμεμιγμένον ἐστὶ χολῶδές τι ἢ ὠχρὸν, γίνωσκε ὅτι ὀλεθρία ἐστὶν ἡ πυοποίησις. εἰ δὲ σὺν τούτοις εἴη μεμιγμένα ἢ πελιδνὰ ἢ μέλανα, γίνωσκε ὅτι 2) ὀλεθριώτατός ἐστιν ἡ πυοποίησις. εἰ δὲ ὑπόπυῤῥά εἰσι καὶ ὑπόξανθα ταῦτα, μέσης εἰσὶ τάξεως, σὺν τοῖς ἓξ ἐκείνοις τοῖς ἀγαθοῖς ἐπιφαινόμενα ἀγαθά εἰσιν. εἰ δὲ σὺν τοῖς ἓξ τοῖς κακίστοις ἐπιφανῇ τὸ ὑπέρυθρον καὶ ὑπόξανθον, κακόν ἐστι. δεῖ δὲ εἰδέναι, ὅτι ἐκ τῶν ἓξ τῶν κακίστων καὶ τὸν καιρὸν τοῦ θανάτου 3) γνῶναι. εἰ μὲν τὰ ἓξ κακὰ ὁμοτίμως συνέλθωσιν, ἔσο γινώσκων, ὅτι ὑπόγυός ἐστιν ὁ θάνατος. εἰ δέ γε ὀλιγώτερα συνέλθωσι κακὰ σημεῖα, δύο τυχὸν ἢ τρία, γίνωσκε ὅτι τοσοῦτον ἀφέστηκεν ὁ θάνατος. καὶ τὸ μὲν εὐπετέως ἀνάγεσθαι τὰ πτύελα, ἀγαθόν ἐστιν, ἐπειδὴ δηλοῖ ὅτι ἐλεπτύνθη ἡ ὕλη καὶ ὑπήκοός ἐστιν, ἀλλὰ καὶ τὴν ἀποκριτικὴν δύναμιν ἐῤῥωμένην οὖσαν· ἀλλὰ καὶ ἡ εὐφορία ἀγαθόν ἐστι. δηλοῖ γὰρ καλῶς διάκεισθαι τὴν ζωτικὴν δύναμιν, ἀλλὰ καὶ τὰς ψυχικὰς διαθέσεις καλῶς διαγούσας, καθ' ἣν κινεῖται ὁ θώραξ. ἀλλὰ καὶ ἡ ἀνωδυνία 4) τυχὸν ἀγαθόν ἐστι. δηλοῖ γὰρ ὅτι οὐκ ἔστι μεγάλη ἡ φλεγμονὴ, οὐδὲ πολλὴ ἡ κακοχυμία. ἀλλὰ καὶ τὸ ὁμαλῶς κεκρᾶσθαι τὸ ὅλον σῶμα, ἀγαθόν ἐστι· δηλοῖ γὰρ ἐῤῥωμένον ὂν τὸ ἔμφυτον θερμὸν, καθὸ ἀκτινοειδῶς πᾶσι τοῖς μορίοις ὁμοτίμως ἐλλάμπει. κακὸν δέ ἐστι τὸ ἀνωμάλως κεκρᾶσθαι, τυχὸν τὰ ἄκρα κατεψυγμένα ἔχειν, τὸ δὲ βάθος διακαίεσθαι. δηλοῖ γὰρ, ὅτι ἐλάχιστόν ἐστι τὸ ἔμφυτον θερμὸν, καὶ μεγίστην τὴν φλεγμονὴν οὖσαν

---

1) ἐπισκοπεῖν M. A. 2) Sic! Codd. 3) Fort. ἔστι addendum. 4) τυχὸν om. M. A.

ἐν τῷ βάθει, καθ' ἣν τὸ ἔμφυτον θερμὸν συνάξαν ἑαυτῷ ἐπὶ τὸ βάθος συνένευσε. καὶ διὰ τοῦτο τὰ ἄκρα ψυχρά εἰσι, διὰ τὸ μὴ ἐλλάμπεσθαι αὐτὰ ὑπὸ τοῦ ἐμφύτου θερμοῦ. ἀγαθόν ἐστι καὶ τὸ μὴ διψᾷν τὸν ἄνθρωπον, ἐπειδὴ δηλοῖ ὅτι οὐκ ἔστι 1) ζέσις τοιαύτη οὐδὲ κακοχυμία, ὥστε ποιῆσαι δίψαν. καὶ ἀποροῦσιν ὅτι καὶ πῶς ἐνδέχεται, πλευρίτιδος ὑποκειμένης καὶ φλεγμονῆς ἀξιολόγου καὶ πυρετοῦ ὀξέος. ὅπου γὰρ πλευρῖτις, καὶ πυρετὸς ὀξὺς σύνεστιν. ὅπου δὲ πυρετὸς ὀξὺς, πάντως καὶ δίψος ἐπιγίνεται. καὶ πῶς λέγει ὅτι δίψος μὴ ἔχειν; καὶ λέγομεν, ὅτι δεῖ προσθεῖναι τὸ κάρτα, ἵνα τυχὸν οὕτως ἔχῃ, καὶ δίψαν μὴ ἔχειν κάρτα. δηλοῖ γὰρ ὅτι οὐ πάνυ παρενοχλεῖ ἡ ζέσις καὶ ἡ κακοχυμία, ἐπείτοι γε ἐπ' ἔλαττον 2) πάνυ διψῶσιν. ἀγαθὸν δέ ἐστι καὶ τὸ τὰ οὖρα καὶ τὰ διαχωρήματα κατὰ φύσιν ἐκκρίνεσθαι. δηλοῖ γὰρ ῥώμην καὶ ἰσχὺν τῆς πεπτικῆς δυνάμεως.

Πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ πεπαῦσθαι καὶ τὰ ἑξῆς. —

Ἐνταῦθα τὰ κακὰ καὶ ὀλέθρια ἀπαριθμεῖται ὁ Ἱπποκράτης καί φησιν ὅτι πάντα τὰ ἐναντία κακά ἐστιν. ἀλλὰ καὶ πνεῦμα μέγα τὴν ἀναπνοὴν ἐκάλεσεν ὁ Ἱπποκράτης. κακὸν οὖν ἐστιν ἐπὶ τῶν πλευριτικῶν μεγάλην τὴν ἀναπνοὴν εἶναι, ἐπειδὴ ἐνδείκνυται πολλὴν τὴν ζέσιν καὶ τὴν κακοχυμίαν καὶ δυσκρασίαν. καὶ ἀποροῦσιν, ὅτι πῶς ἐνδέχεται ἐπὶ τῆς πλευρίτιδος μεγάλην γίνεσθαι τὴν ἀναπνοὴν, εἴ γε φλεγμονή ἐστι τοῦ ὑπεζωκότος ὑμένος, καὶ ὀδύνη σύνεστιν, ὥστε μὴ δύνασθαι μέγα διασταλῆναι τὸν θώρακα. καὶ λέγομεν ὅτι περὶ τῆς φλεγμονῆς διαλεγόμενος, καὶ περὶ ἐμπυήματος αὐτῷ ὁ λόγος γέγονε. περὶ τὸν καιρὸν οὖν τῆς ῥήξεως 3) ἐλθὸν ἐνδέχεται ῥαγῆναι τὸ ἐμπύημα καὶ εἰς τὰ κενὰ τοῦ θώρακος ἐκχυθῆναι, καὶ τοτηνικαῦτα, μηδενὸς παρεμποδίζοντος, μεγάλην γενέσθαι τὴν ἀναπνοήν. ἰστέον δὲ ὅτι ἐγὼ οὐ δέχομαι τὸ πῦον μετὰ τοῦ ξανθοῦ καὶ ἐρυθροῦ ἀνάγεσθαι μέσης

---

1) ζέσ. τ. οὐδὲ om. L. Post δίψαν add. L. οὐδὲ ζέσις. 2) πάντως M. A. 3) ἐλθὼν L.

εἶναι τάξεως, καὶ μετὰ τῶν ἓξ ἐκείνων ἀγαθῶν ειναι· ἐὰν οὕτως ἐκκριθῇ τὸ πῦον, συμμεμιγμένον ἔχον ξανθὸν ἢ ἐρυθρὸν, εἶναι αὐτὸ κατὰ φύσιν. ἐγὼ δὲ οὐ δέχομαι τοῦτο κατὰ φύσιν εἶναι. ἡ γὰρ δύναμις ἡ πάντα ἐκεῖνα δυνηθεῖσα ἀγαθὰ ἀποτελέσαι, ἠδύνατο καὶ τὸ πῦον συμπέψαι, καὶ ὁλοκάθαρον ποιῆσαι, καὶ μὴ ἔχειν συμμιγὲς χολῶδες ἢ ἐρυθρόν. τοῦτο οὖν οὐκ ἔστι κατὰ φύσιν, ἀλλὰ παρὰ φύσιν καὶ ὀλέθριον τὸ συμμεμιγμένον μετὰ τοῦ πύου εἶναι ξανθὸν ἢ ἐρυθρὸν καὶ οὕτως ἀνάγεσθαι. ἐνδέχεται δὲ καὶ τοῦτο λέγειν τὸν Ἱπποκράτην, ὅτι μετὰ τὸ ἀνάγειν ξανθὸν ἢ ἐρυθρὸν πρότερον, ἐπανάγει τὸ πῦον μετέπειτα. δηλοῖ γὰρ ἐῤῥῶσθαι τὴν ἀλλοιωτικὴν δύναμιν, καί ἐστιν ἀγαθὸν σημεῖον τοῦτο.

Αἱ δὲ ἄλλαι ἐκπυήσεις αἱ πλεῖσται ῥήγνυνται αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριακοσταῖαι, αἱ δὲ τεσσαρακοσταῖαι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται. —

Δεῖ εἰδέναι, ὅτι πᾶσαι αἱ κενώσεις αἱ ἐν ταῖς κρισίμοις ἡμέραις γινόμεναι, ἀγαθαί εἰσι καὶ σωτήριαι. ἄλλας δὲ ἐκπυήσεις καλεῖ τὰς ἐν τοῖς τυχοῦσι μορίοις γινομένας ἀποστάσεις, καὶ ταύτας λέγει ῥήγνυσθαι· καὶ λέγομεν ὅτι ἄλλας ἐκπυήσεις λέγει οὐκ ἐν τοῖς τυχοῦσι μορίοις γινομένας ἀποστάσεις, ἀλλὰ περὶ τῆς πλευρίτιδος καὶ τῆς περιπνευμονίας αὐτῷ ὁ λόγος, οὐ κατὰ τόπον οὖν διαφερόντως ἐχούσας ἀποστάσεις, ἀλλὰ κατὰ τὴν ὕλην διαφερούσας, λέγω δὴ 1) τὰς ἐπὶ ψυχροτέρᾳ ὕλῃ καὶ παχυτέρᾳ γινομένας, ἐν αἷς ἐπάγει καὶ τὰς κρισίμους ἡμέρας καί φησιν, ὅτι αἱ μὲν ἐν τῇ εἰκοστῇ ἡμέρᾳ ῥήγνυνται, αἱ δὲ ἐν τῇ τριακοστῇ, αἱ δὲ ἐν τῇ τεσσαρακοστῇ, 2) αἱ δὲ ἐν τῇ ἑξηκοστῇ, αἱ δὲ καὶ ἐπέκεινα.

Λογιζόμενον ἀπὸ τῆς ἡμέρης, ἧς τὸ πρῶτον ἐπύρεξεν ὁ ἄνθρωπος, καὶ τὰ ἑξῆς. —

Τί βούλεται καλεῖν ἀπὸ τῆς πρώτης ἡμέρας; ἆρα ἀφ᾽ ἧς ἡμέρας ἐπύρεξεν ὁ ἄνθρωπος; καὶ λέγομεν ὅτι ἐκείνη ἡ ἀρχὴ τοῦ ὅλου νοσήματός ἐστιν. ἐνταῦθα δὲ λέ-

---

1) τὴν — γινομένην M. A. 2) αἱ — ἑξηκ. om. L.

γομεν ὅτι πρῶτον ἐπύρεξεν ὁ ἄνθρωπος, τουτέστιν ἀφ᾽ ἧς ἡμέρας τὰ ἄλογα ῥίγη γεγόνασι καὶ οἱ πυρετοὶ οἱ ἄλογοι, ἔσο γινώσκων, ὅτι ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἡ ἀρχὴ τῆς πυοποιήσεως γέγονεν, ἤγουν τοῦ ἐμπυήματος.

Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μόνον, στρέφειν τε καὶ καταμανθάνειν χρή. —

Δεῖ εἰδέναι, ὅτι δύο ὑμένες διαφράττουσι τὸν θώρακα ἀρχόμενοι ἀπὸ τοῦ στέρνου καὶ ἀφικνοῦνται μέχρι τῆς ῥάχεως, ὡς γίνεσθαι δύο κοιλίας ἐν τῷ θώρακι, καὶ διείργεσθαι ἀπ᾽ ἀλλήλων, ὥστε μὴ ἐπικοινωνεῖν ἑκάτερον θατέρου, ἀλλ᾽ ἀποκεχωρηκότας ἀπ᾽ ἀλλήλων, ὡς μὴ δύνασθαι μεθίεσθαί τι ἀπὸ τῆς δεξιᾶς κοιλίας ἐπὶ τὴν ἀριστερὰν, μήτε ἀπὸ τῆς ἀριστερᾶς ἐπὶ τὴν δεξιάν. ὅθεν τῆς μιᾶς πασχούσης κοιλίας τοῦ θώρακος, ἡ λεγομένη ἡμιφωνία γίνεται, τῶν δὲ δύο πασχουσῶν, ἡ ἀφωνία. μέσον δὲ ἐντέτακται ὁ πνεύμων. λέγει οὖν ἡμῖν ὁ Ἱπποκράτης σημεῖα πόθεν ὀφείλομεν γνῶναι, ποία ἐστὶν ἡ κοιλία, ἐν ᾗ τὸ ἀπόστημα ἐῤῥάγη. καί φησιν, ὅτι τοσοῦτον μέσος τέτακται ὁ πνεύμων, ὅτι ἐπὶ τῆς περιπνευμονίας εἰς ἀμφοτέρας τὰς κοιλίας ἐκχεῖται τοῦ θώρακος τὸ πῦον. ὅθεν οὐδὲ συμβάλλονται ἡμῖν τὰ νῦν σημεῖα πρὸς διάγνωσιν 1) ἐπὶ τῆς περιπνευμονίας, ἀλλὰ συμβάλλονται ἡμῖν, εἴτε ἐν τῇ δεξιᾷ πλευρᾷ συσταίη τὸ ἀπόστημα καὶ ἐκχυθῇ τὸ πῦον, εἴτε ἐπὶ τῆς ἀριστερᾶς πλευρᾶς. καί φησιν, ὅτι ἐκ δύο τινῶν 2) διαγινώσκομεν εἴτε εἰς τὴν δεξιὰν κοιλίαν ἐστὶ τὸ πῦον, εἴτε εἰς τὴν ἀριστερὰν, ἔκ τε τῆς παρὰ φύσιν ἡμῖν θερμότητος, καὶ ἐκ τῆς τοῦ βάρους ἐφολκῆς 3) ἐπὶ τῆς κατακλίσεως. καὶ ἀπὸ μὲν τῆς θερμότητος οὕτως· ἐκεῖνο τὸ μέρος τῆς πλευρᾶς, ἔνθα τὸ 4) πῦόν ἐστι, δυσκρατότερόν ἐστι καὶ θερμότερον ὑποπίπτει σοι τοῦ ἑτέρου πλευροῦ. ἀπὸ δὲ τῆς 5) αἰσθήσεως καὶ ἐφολκῆς τοῦ βάρους οὕτως· ὅτι εἰ μὲν ἐν τῇ δεξιᾷ κοιλίᾳ ἐστὶ τὸ πῦον, ἀνάκλινον τὸν κάμνοντα ἐπὶ τὴν ἀριστερὰν πλευρὰν, καὶ ἐὰν αἴσθηται ὁ

---

1) ἐκ L. 2) διαγινώσκεις M. A. 3) καὶ add. L. 4) μέρος L. 5) συναισθήσεως M.

κάμνων βάρους καὶ ὀδύνης ἐν τῷ ὑπερκειμένῳ, γίνωσκε ὅτι ἐν τῇ δεξιᾷ κοιλίᾳ ἐστὶ τὸ πῦον. εἰ δὲ τοὐναντίον 1) ἀνακλίνῃς ἐπὶ τὸ δεξιὸν πλευρὸν καὶ αἴσθηται βάρους καὶ ὀδύνης ἐν τῷ ὑπερκειμένῳ μέρει, γίνωσκε ὅτι ἐν τῇ ἀριστερᾷ κοιλίᾳ ἐστὶ τὸ πῦον.

Τοὺς δὲ σύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσδε τοῖς σημείοισιν καὶ τὰ ἑξῆς. —

Ἐπειδὴ προσεχῶς περὶ ἐμπυημάτων διελέγετο, πάλιν ἐπαναλαμβάνει περὶ τῶν ἐμπυημάτων, καὶ παραδίδωσιν ἡμῖν σημεῖα δηλωτικὰ, πόθεν ὀφείλομεν γνῶναι τοὺς ἐμπύους. καὶ τοῦτο ποιεῖ διὰ δέκα σημείων.

Ἐμπύημα δὲ λέγεται, ἡνίκα ἐν οἱῳδήποτε μορίῳ τοῦ σώματος ἀπὸ φλεγμονῆς ἢ ἀποστήματος ῥαγέντος ἀθροισθῇ ἀθρόον πῦον κἂν 2) ἐν γαστροκνήμῃ κἂν ἐν μηρῷ κἂν ἐν μασχάλῃ κἂν ἐν βραχίονι καὶ τοῖς ἑτέροις τοιούτοις. οἱ δὲ ἔμπυοι, εἰ μὲν ἀντενεχθῇ τὸ πῦον καὶ ἀνακαθαρθῶσι, περισώζονται· εἰ δὲ μὴ, εἰς φθίσιν μεθίστανται καὶ ἀπόλλυνται.

Σημειοῦται οὖν τοὺς ἐμπύους διὰ δέκα τινῶν δηλωτικῶν σημείων, ὧν πρῶτον σημεῖόν ἐστι τοῦτο. οἱ τοιοῦτοι ἀείσε πυρέττουσι λεπτὸν καὶ βραχὺν πυρετὸν οἷον ἑκτικόν. ἐν δὲ ταῖς νυξὶν αὔξεται καὶ ἐπιτείνεται αὐτοῖς ἡ τοῦ πυρετοῦ θερμασία, οὐ διὰ τὴν φύσιν τῆς νυκτὸς, ἀλλὰ κατὰ συμβεβηκός. διὰ γὰρ τὴν ἔκτηξιν κατεξηραμμένα αὐτοῖς ἐστι τὰ μόρια πάντα, καὶ οἷον ἀποτεφρωμένα. ἡνίκα οὖν πίωσιν, ἐξ αὐτοῦ τοῦ πόματος τοῦ ὑγροῦ 3) ἐπιτέγγονταί τινα μόρια, οὐδὲ γὰρ πάντα, καὶ ἄρχονται ἀτμίζειν, καὶ διαλάμπεται αὐτοῖς ἡ θερμότης, ἐπεὶ τὸ τέως ἐν τῇ γαστρί ἐστι τὸ πόμα, εἶτα μετὰ τὸ τραφῆναι αὐτοὺς ἡνίκα ἀνενεχθῇ ἡ ὅλη τροφὴ ἐν τῷ ἥπατι καὶ πεφθῇ καὶ ἐξαιματωθῇ καὶ πάλιν ἐν ταῖς φλεψὶν ἀνενεχθῇ καὶ 4) διανεμηθῇ ἐπὶ τὸ πᾶν σῶμα καὶ πάντα ὁμοτίμως 5) μετασχῶσι τῆς τροφῆς καὶ προστεθῇ αὐτοῖς,

---

1) *ἀνακλίνεις* L. 2) *γὰρ* add. L. 3) *ἤγουν βρέχονται* A. in mg. 4) *διανεμεθῇ* L. 5) *μετασχ. — ὁμοτίμως* om. L.

ὡς ἂν ἐπιτεγγόμενα ὁμοτίμως ἀτμίζουσι δριμεῖς τινας 1) ἀτμοὺς τῷ λόγῳ τῆς ξηρότητος, καὶ οὕτως διαφαίνεται αὐτῶν ἡ θερμασία. τοῦτο δὲ τὸ ἔργον ἐν ταῖς νυξὶ μάλιστα ἐπιτελεῖται, ἐπειδὴ ἐν ταῖς νυξὶν αἱ φυσικαὶ δυνάμεις δραστικῶς ἐνεργοῦσι καὶ αἱ πέψεις κατὰ λόγον γίνονται, ἡ χυλοποίησις, ἡ ἐξαιμάτωσις, ἡ ἀνάδοσις, ἡ πρόσθεσις, ἡ πρόσφυσις καὶ ἡ ἐξομοίωσις, ὥσπερ καὶ ἐπὶ τῆς 2) τιτάνου, ξηρᾶς αὐτῆς οὔσης, ἐγκατακεκρυμμένην ἔχει τὴν ἐν αὐτῇ θερμότητα. ὅθεν καὶ ἁπτομένης αὐτῆς, ξηρᾶς οὔσης, οὐδὲν βλαπτόμεθα· ἡνίκα μέντοι προστεθῇ 3) αὐτῇ ἐπιτηδεία ὕλη, λέγω δὴ ὕδωρ, τότε δημοσιεύεται αὐτῆς ἡ θερμότης, ὡς μηδὲ δύνασθαι αὐτῆς ἄνευ βλάβης ἅψασθαι τις.

Δεύτερον σημεῖον, οἱ τοιοῦτοι συνεχῶς ἱδροῦσι καὶ σχεδὸν ἀείσε νενοτισμένον εὑρίσκεται αὐτῶν τὸ σῶμα. τοῦτο δὲ γίνεται, ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, καὶ μὴ ἰσχυούσης κατασχεῖν τὴν τροφὴν, ὥστε καὶ ἀλλοιωθῆναι καὶ πεφθῆναι, ἀλλ' ἐξ αὐτῆς τῆς ἀπεπτουμένης τροφῆς διαδιδράσκει τι μέρος καὶ φέρεται ἐπὶ τὴν ἐπιφάνειαν καὶ ποιεῖ τοὺς ἱδρῶτας.

Τρίτον σημεῖόν ἐστιν ὅτι πρόθυμοί εἰσι τοῦ βήττειν. τοῦτο δὲ ποιοῦσιν ἵνα ἀπαλλαγῶσι τῆς ἐνοχλήσεως τῆς ἐκ τῆς κακοχυμίας καὶ τοῦ βάρους. 4) οἱ δὲ οὐδὲν 5) εὐεργετοῦσι, κἂν βήττωσιν· 6) οὐδὲν γὰρ ἀναφέρεται ἀξιόλογον. εἰ γὰρ ἀνήγετο, εἶχον ἂν ἀποκαθαίρεσθαι καὶ περισώζεσθαι. τοῦτο δὲ γίνεται διὰ τρεῖς αἰτίας· ἢ γὰρ διὰ τὸ εἶναι τὴν ὕλην παχεῖαν καὶ γλίσχραν ὑπὸ τῆς θερμότητος οὕτως κατασκευασθεῖσαν, ἢ διὰ τὸ στεγανὸν καὶ πυκνὸν τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, μὴ 7) διεισερχόμενον, ὥστε φέρεσθαι τὸ πῦον ἐπὶ τὰ βρογχία τοῦ πνεύμονος, καὶ οὕτως ἐκκρίνεσθαι, ἢ διὰ τὴν ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως, μὴ ἰσχυούσης ῥοίζῳ τὴν ἐκπομπὴν τοῦ πνεύματος ποιῆσαι, ὥστε ἀπω-

---

1) αυτους L. 2) τετάνου L. τάνου M. A. 3) αὐτὸ L. 4) οἱ δὲ om. L. 5) nihil levantur. 6) οὐδὲ — ἀξιόλογόν τι L. 7) διεισερχομένου M.

θῆσαί τι μέρος τῆς ὕλης. διὰ ταύτας τας τρεῖς αἰτίας οὐκ ἀνάγεται ἐπὶ τῶν ἐμπυημάτων τι ἀξιόλογον. ὀλίγιστον δὲ πάνυ ἀναπτύουσι, μηδὲν εὐεργετούμενοι.

Τέταρτον σημεῖόν ἐστι, κοιλαίνονται οἱ ὀφθαλμοὶ, καθάπερ καὶ πάντα τὰ μόρια ἰσχναίνονται ἐπὶ τῶν ὁπωσοῦν χρονίων νοσημάτων τά τε ὑγρὰ καὶ στερεά. τῷ γὰρ μήκει τοῦ χρόνου ἐκτήκονται καὶ δαπανῶνται καὶ ἰσχναίνονται, οὐ μόνον τὰ ὑγρὰ καὶ στερεὰ καταξηραινόμενα δαπανῶνται, καὶ σηπεδόνα ὑπομένουσιν, ἀλλὰ πολλῷ μᾶλλον πρότερον τὰ πνεύματα ἐκδαπανῶνται, καὶ διαφοροῦνται διὰ τὸ λεπτομερὲς καὶ κοῦφον. ἐπειδὴ οὖν οἱ ὀφθαλμοὶ ἔξογκοι γίνονται ὑπὸ πνευμάτων μάλιστα, ἐπὶ δὲ τῇ ἐκτήξει διαφοροῦνται τὰ πνεύματα, εἰκότως κοιλαίνονται αὐτῶν οἱ ὀφθαλμοί.

Πέμπτον σημεῖον τοῦτο, ὅτι ἐρυθραίνονται αὐτῶν τὰ μῆλα τοῦ προσώπου διχῶς· ἢ γὰρ τῇ βήξει, ἢ τῇ κακοχυμίᾳ. τῇ μὲν βήξει, ἐπειδὴ σύντονος κίνησίς ἐστιν ἡ βήξ. τῇ οὖν κινήσει θάλπεται τὸ πρόσωπον καὶ τὰ περὶ τὴν κεφαλὴν, καὶ τῇ θάλψει φέρονται αἱματικοὶ χυμοὶ περὶ τὰ μῆλα τοῦ προσώπου, ἐπειδὴ σαρκωδέστερά εἰσιν αὐτὰ 1) παρὰ πάντα τὰ μόρια τοῦ προσώπου καὶ ἐρυθραίνονται. ἢ ἐκ τῆς κακοχυμίας ἀτμοὶ δριμεῖς ἀναπέμπονται περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον. καὶ ἐπειδὴ σαρκώδη εἰσὶ τὰ μῆλα, ἐκεῖσε διαφαίνεται τὸ ἐρύθημα. ἐν τοῖς ἄλλοις δὲ μορίοις οὐ διαφαίνεται, ἐπειδὴ ὀστώδη εἰσὶ φύσει.

Ἕκτον σημεῖόν ἐστιν, ὅτι 2) γρυποῦνται αὐτῶν οἱ ὄνυχες διὰ τὴν δαπάνην καὶ ἔκτηξιν τῶν ὑποκειμένων σαρκῶν τοῖς ὄνυξι. τούτων 3) γὰρ δαπανωμένων καθὸ μὲν ἐπίκεινται τῷ ὀστῷ τῆς σκυταλίδος, κυρτοῦνται οἱ ὄνυχες, 4) καθὸ δὲ τὰ παρ' ἑκάτερα μέρη τῶν ὑποκειμένων σαρκῶν δαπανηθέντων, ἐπὶ τὰ ἐντὸς κοιλαίνονται, καὶ διεισέρχονται καὶ γρυποῦνται οἱ ὄνυχες. τὸ γὰρ τοιοῦτον σχῆμα τῶν ὀνύχων 5) γρύπωσις ὀνομάζεται.

---

1) περὶ M. 2) τρυποῦνται L. 3) οὖν M. A. 4) καὶ καθὸ τα M. A. 5) γρύπφ M. A.

Ἕβδομόν ἐστι σημεῖον, τὸ ἐπὶ αὐτῶν θερμοὺς εἶναι τοὺς δακτύλους τῆς χειρὸς, ὑπεναντίως τοῖς χρονίοις νοσήμασιν. ἐπὶ γὰρ τῶν χρονίων νοσημάτων, τῷ χρόνῳ ἀσθενοῦν τὸ ἔμφυτον θερμὸν, ψύχονται οἱ δάκτυλοι, ἐπειδὴ τῇ ἀσθενείᾳ οὐκ ἐπεκτείνεται, οὐδὲ ἐλλάμπει τὸ ἔμφυτον θερμὸν, καὶ διὰ τοῦτο ψυχρὰ εὑρίσκονται τὰ ἄκρα. ἐν μέντοι τοῖς ἐμπύοις θερμοὶ εὑρίσκονται οἱ δάκτυλοι, οὐ δι' ὅλου, ἀλλ' αἱ ἄκραι 1) τῶν δακτύλων, ἐπειδὴ ἐκεῖνα τὰ μέρη τῶν δακτύλων σαρκωδέστερά εἰσι. τὸ οὖν θερμὸν, ὡς ἐν σαρκωδεστέροις τόποις ὑπαρχόντων αὐτῶν, διὰ τὴν ἰκμάδα ἐκεῖσε συνελαύνεται τὸ θερμόν. ἡ γὰρ ἰκμὰς τροφή ἐστι τῆς 2) θερμότητος, καὶ διὰ τοῦτο θερμὰ εὑρίσκονται τὰ ἄκρα τῶν δακτύλων. ἢ τοῦτο ὅτι εὐκίνητοί εἰσιν οἱ δάκτυλοι, καὶ ὡς εὐκίνητοι τῇ κινήσει θάλπονται, ἢ ὅτι τὰ πέρατα τῶν φλεβῶν καὶ ἀρτηριῶν ἐκεῖσε ἀποπερατοῦνται. τὰ οὖν πνεύματα τῇ κινήσει ἐκεῖσε συναπελαύνονται καὶ διὰ τοῦτο θερμοὶ εὑρίσκονται οἱ δάκτυλοι.

Ὄγδοόν ἐστι σημεῖον, ὅτι οἱ πόδες 3) οἰδαίνουσι, χρονιζόντων αὐτῶν, ἐπειδὴ πόῤῥω ἀφίστανται οἱ πόδες καὶ ἀμοιροῦσι θερμοῦ. τούτου οὖν ἀμοιροῦντες, τὸ λόγῳ τροφῆς ἐκεῖσε φερόμενον οὐ πέττεται, καὶ ἀπεπτούμενον εἰς ὑγρότητά τινα καὶ εἰς πνεύματα ἀναλύεται, καὶ ἀθροιζόμενον ἐν τοῖς ποσὶν, οἰδαίνονται.

Ἔννατον σημεῖόν ἐστιν, ὅτι οἱ τοιοῦτοι ἀνόρεκτοί εἰσι. διὰ γὰρ τὴν ἀσθένειαν τῆς ὀρεκτικῆς δυνάμεως οὐκ ὀρέγονται, τῷ λόγῳ τῆς κακοχυμίας 4) βλαπτόμενοι.

Δέκατόν ἐστι σημεῖον ὅτι φλύκταιναι αὐτοῖς γίνονται δι' ὅλου τοῦ σώματος. γίνονται δὲ ἐκ τῆς κακοχυμίας, 5) αὐτοῖς ἐκριπτομένων ἀτμῶν τινων δριμέων. καὶ τὰ μὲν ἐν βάθει μόρια διεξέρχονται· ἐπειδὴ δὲ στεγανὸν καὶ πυκνόν ἐστι τὸ δέρμα, στέγονται ἐκεῖσε καὶ γίνονται αἱ φλύκταιναι· ἢ τοῦτο, ὅτι ἡ συνεκτικὴ ὑγρότης ἐκπί-

---

1) *τοῦ δακτύλου* M. 2) *ὑγρότητος* L. 3) *αὐτ. χρονιζ. οἰδαίν.* M. A. 4) *βλαπτομένη* M. A. 5) *αὐτῆς* L.

πτει, καὶ ἐκπίπτουσα τὸ δέρμα οὐ διεξέρχεται, ἀλλὰ στέγεται καὶ ὑμενοῦται τὸ δέρμα, καὶ γίνονται αἱ φλύκταιναι.

Δυνατὸν δέ ἐστι πρὸς τούτοις καὶ ἄλλα σημεῖα ἐφευρεῖν, ἅτινά ἐστι ταῦτα, τριχοῤῥοοῦσι, γαστρόῤῥοια αὐτοῖς γίνεται, καὶ δυσώδη εἰσὶ τὰ ἀναπτυόμενα.

Καὶ τριχοῤῥοοῦσι μὲν ἢ ὅτι ἐκ τῆς κακοχυμίας ἀτμοὶ δριμεῖς ἀναπέμπονται 1) περὶ τὴν κεφαλὴν, καὶ ἐκριζοῦσι τὰς τρίχας, ἢ ὅτι τῇ ἀτροφίᾳ καὶ τῇ 2) ἰσχνάνσει ξηραίνεται αὐτῶν τὸ δέρμα τῆς κεφαλῆς, καὶ ἐπὶ τῇ ξηρότητι στεγανὸν γίνεται καὶ οὐ διεξέρχεται λιγνὺς διὰ τοῦ δέρματος, καὶ τοτηνικαῦτα τριχοῤῥοοῦσι.

Γαστρόῤῥοια δὲ αὐτοῖς γίνεται, ἀσθενουσῶν τῶν φυσικῶν δυνάμεων, ἐκ τῆς κακοχυμίας μετασχοῦσαι, καὶ τὰ οἰκεῖα ἔργα οὐ δύνανται ποιῆσαι.

Δυσώδη δέ εἰσι τὰ ἀναπτυόμενα διὰ τὴν τοῦ πύου γένεσιν. τὸ γὰρ πῦον ἐνδείκνυται ὅτι μεγάλην ἔχει σηπεδόνα. ἐκ τούτων οὖν τῶν τριῶν διαγινώσκομεν τοὺς ἐμπυϊκούς.

Εἴρηται δὲ ἡμῖν μικρὸν ἔμπροσθεν πόθεν ὀφείλομεν διαγινώσκειν, πότε ἄρχεται γίνεσθαι ἡ πυοποίησις ἤγουν πότε 3) ἄρχεται εἰς πυοποίησιν τρέπεσθαι τὸ ἀπόστημα. ὅπερ διαγινώσκομεν ἐκ τοῦ ἀλόγου ῥίγους καὶ τοῦ ἑπομένου πυρετοῦ, καὶ ἐκ τοῦ βάρους 4) τῆς συναισθήσεως καὶ τῆς δυσπνοίας. καὶ ταῦτα μὲν ἀναμνήσεως χάριν προείρηται, ἐφ' οἷς παραδίδωσιν ἡμῖν σημεῖα ῥήξεως γινομένης, πόθεν ὀφείλομεν γνῶναι, εἰ ταχέως ἡ ῥῆξις γίνεται τοῦ ἀποστήματος ἢ βραδέως.

Καί φησιν ἐκ τεσσάρων τινῶν σημείων τοῦτο γινώσκομεν, ἀπό τε τῆς ὀδύνης, καὶ τῆς βηχὸς, καὶ τοῦ σιελισμοῦ, καὶ τῆς δυσπνοίας. εἰ μὲν γὰρ ταῦτα πάντα συνεχῶς ἐπιγίνονται καὶ σφοδρῶς καὶ συντεταμένως, γί-

---

1) ἐπὶ M. 2) ἰσχνότητι M. A. 3) ἄρχεσθαι L. 4) καὶ add. L. συνθέσεως M. A.

νωσκε ὅτι ταχέως ἡ ῥῆξις τοῦ ἀποστήματος γίνεται. εἰ δέ γε μήτε συνεχῶς γίνονται ταῦτα μήτε συντεταμένως, γίνωσκε ὅτι βραδέως 1) γενήσεται ἡ ῥῆξις.

Καὶ τίς ἡ αἰτία τούτων; εἰ μὲν ἐπιτεταμένη γίνεται ἡ ὀδύνη, τῇ ἀνίᾳ καὶ τῇ δήξει τῇ ἀπὸ τοῦ πύου, ἰχώρων τινῶν 2) δριμέων καὶ ἀνιαρῶν δακόντων τὸν περιέχοντα ὑμένα τὸ πῦον, καὶ κινδυνεύοντα 3) διαῤῥαγῆναι κατὰ τὴν αὐτοῦ συνέχειαν. αἰσθητικώτατος δέ ἐστι πάνυ, καὶ διὰ τοῦτο συντεταμένη ἡ ὀδύνη γίνεται, ὑγρότητός τινος ἐκ τοῦ πύου διηθουμένης καὶ φερομένης ἐπὶ λάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν καὶ φάρυγγα καὶ ἐπιγλωττίδα καὶ γλῶσσαν. καὶ γίνεται ὁ σιελισμὸς, ἀείσε ἀναπτύοντες τὸ ὑγρὸν ἐκεῖνο. ἡ δὲ βὴξ γίνεται, τοῦ πνεύματος 4) συνεξερχομένου, καὶ ἐπιπίπτοντος τοῦ ὑγροῦ, ὡς ἐν ἀσυνηθεστέροις τόποις εὑρισκόμενον, καὶ τῇ προσκρούσει γίνεται ἡ βήξ· οὐδὲν γάρ ἐστιν ἡ βὴξ ἢ μάχη ὑγροῦ καὶ πνεύματος. ἡ δὲ δύσπνοια γίνεται, ἢ ὅτι ὀδύνης ἐπιτεταμένης οὔσης, οὐ δύναται μέγα διασταλῆναι ὁ θώραξ, ἢ ὅτι ὑπόκειται φλεγμονὴ ἐν τῷ θώρακι, καὶ μοῖραν ἐναπολαμβάνει τῆς εὐρυχωρίας τοῦ θώρακος, ἐν ᾧ ὤφειλε τὸ πνεῦμα ἐμφιλοχωρῆσαι εἰσερχόμενον. τούτου οὖν ἐναπολειφθέντος, ἐξ ἀνάγκης ἡ δύσπνοια γίνεται.

Πρὸς τούτοις δὲ καὶ ἕτερα σημεῖα πέντε παραδίδωσι, δι' ὧν ὀφείλομεν γινώσκειν, πότε ἐστὶν ἀγαθὴ ἡ ῥῆξις, καὶ πότε κακίστη. εἰσὶ δὲ ταῦτα ἀπὸ τοῦ πυρετοῦ, ἀπὸ τῆς ὀδύνης, ἀπὸ τοῦ δίψους, ἀπὸ τῆς ὀρέξεως, καὶ ἀπὸ τοῦ ἀναγομένου πύου. εἰ μὲν γὰρ ἐπ' ἀγαθῷ ἡ ῥῆξις γίνεται, εὐθέως ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐν ᾗ ἡ ῥῆξις γένηται, 5) ἀπύρετοι σχεδὸν γίνονται, ἀλλὰ καὶ ἀνώδυνοι καὶ ἄδιψοι καὶ εὐόρεκτοι. ἀλλὰ καὶ τὸ ἀναπτυόμενον δεῖ λευκὸν εἶναι καὶ συνεστηκὸς καὶ λεῖον καὶ ὁμαλὸν, καὶ 6) μὴ μετέχειν δυσωδίας. εἰ δὲ μετὰ τὸ ῥαγῆναι τὴν ῥῆξιν μὴ παύσηται ὁ πυρετὸς, ἀλλὰ καὶ ἐπιγένηται, καὶ ἡ ὀδύνη ἐπιταθῇ καὶ τὸ δίψος καὶ πάντη ἀνόρεκτοι

---

1) γίνεται L. 2) δριμ. κ. ἀνιαρ. om. L. 3) ῥαγῆναι L. 4) διεξερχ. M. 5) ἀπύρεκτοι M. 6) μὴ om. L.

μείνωσι, καὶ τὸ ἀναπτυόμενον πῦον πολλῆς μετέχει δυσωδίας καὶ πολυποίκιλόν ἐστι, καὶ διαφόρους μετέχει κακοχυμίας, γίνωσκε ὅτι ἐπὶ κακῷ γέγονεν ἡ ῥῆξις. ὅσον γὰρ οὔπω ἀπόλλυται ὁ ἄνθρωπος. εἰ δέ γε τὰ μὲν γένωνται, τὰ δὲ μὴ γένωνται, πρὸς τὴν ἐπικράτειαν οὕτως δεῖ καὶ προσδέχεσθαι.

Αἱ δὲ ἀποστάσεις αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι καὶ τὰ ἑξῆς. —

Διαλεχθεὶς περὶ τῶν ἐμπυημάτων, ταυτὸν δὲ 1) εἶπε περὶ φλεγμονῆς τοῦ ὑπεζωκότος τῆς εἰς πῦον μεταβαλλούσης καὶ ῥαγείσης καὶ τοῦ πύου ἐκχυθέντος μεταξὺ θώρακός τε καὶ πνεύμονος, ἔτι γε μὴν καὶ περὶ τῆς γινομένης φθίσεως ἐπὶ τοῖς πάθεσι θώρακός τε καὶ πνεύμονος, νῦν βούλεται εἰπεῖν καὶ περὶ τῶν ἀποστάσεων τῶν γινομένων ἐν ταῖς περιπνευμονίαις. ἡ γὰρ φλεγμονὴ τοῦ πνεύμονος οὐ πάντως εἰς πυοποίησιν τρέπεται, οὐδὲ πάντως εἰς ἐμπύημα ἀποκαθίσταται, ἀλλ᾽ ἔστιν ὅτε εἰς ἀπόστασιν τρέπεται, τῆς ὕλης εἰς ἕτερα μετατιθεμένης μόρια. τὸ σύμπαν οὖν τοῦ λόγου ἐστὶ διαλαβεῖν περὶ τῶν ἐν 2) τοῖς πνευμονικοῖς γινομένων ἀποστημάτων. διμερὴς δὲ ἡ τοιαύτη σκέψις. καὶ ἐν μὲν τῷ πρώτῳ μέρει σημεῖά τινα παραδίδωσιν ὁ συγγραφεὺς οἷς τισι χρώμενοι διαγινώσκομεν, εἰ ὅλως μελέτη ἐστὶ 3) τῇ φύσει τῆς περιπνευμονίας ὑποκειμένης ἀπόστασιν ἐργάσασθαι. τὸ δὲ δεύτερον μέρος τοῦ λόγου, τὸ γνωρίσαι ἡμῖν ἐν ποίοις μέρεσι προσδοκᾶται ἡ ἀπόστασις.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου μέρους τοῦ λόγου. δεῖ τὴν ὕλην ὠμὴν εἶναι καὶ ἄπεπτον, καὶ τὸ νόσημα οὐκ ὀλέθριον, ἀλλὰ καὶ τὴν δύναμιν ἐπ᾽ ἔλαττον. εἰ γὰρ πεπεμμένη ἐστὶν ἡ ὕλη, εἰς ἀπόστασιν οὐ τρέπεται ἡ περιπνευμονία, ἀλλ᾽ ἢ κατ᾽ ἔκρουν ἐκκρίνεται ἡ ὕλη, ἢ κατὰ σύμπεψιν κατὰ μικρὸν τῷ χρόνῳ διαφορεῖται καὶ πέττεται ἡ ὕλη, καὶ οὕτως ἀπαλλάσσονται. τὸ δὲ νόσημα ὀλέθριον εἶναι, 4) ἐπειδὴ προφθάνει ὁ θάνατος τὴν ἀπό-

1) εἰπεῖν L. 2) τῇ περιπνεύμονι M. 3) τῇ φύσει om. L. 4) ἐπείτοι γε M. A.

στασιν. πρὸς τούτοις δὲ δεῖ καὶ πυρετὸν συνεχῆ εἶναι καὶ βραχὺν καὶ ἐπίμονον, ἀλλὰ καὶ ὀδύνην ἐπιτεταμένην καὶ μόνιμον. καὶ ὁ σιελισμὸς, 1) μὴ ἐκχωρέῃ τουτέστι μὴ ἀναπτύωσί τι, ἐπειδὴ ἀλλαχόσε ἡ ὕλη ἀπασχολεῖται καὶ χολῶδες οὐκ 2) ἐκχωρέουσι διὰ γαστρός. ἐὰν οὖν ταῦτα πάντα συνέλθωσι, γίνωσκε ὅτι εἰς ἀπόστασιν τρέπεται ἡ περιπνευμονία. εἰ δέ γε παύηται ὁ πυρετὸς, ἀλλὰ καὶ ἡ ὀδύνη παύσηται, ἀπόστασις οὐ γενήσεται, ἐπειδὴ δηλοῖ μηδεμίαν μοχθηρίαν παρενοχλοῦσαν. ἀλλὰ καὶ σιελισμὸς ἐὰν γένηται, εἰς ἀπόστασιν οὐ τρέπεται ἡ περιπνευμονία, 3) ἐπειδὴ διὰ τοῦ πτυέλου κενοῦται ἡ ὕλη καὶ ἀνακαθαίρεται ἡ περιπνευμονία. ἀλλὰ καὶ χολωδῶν ἐκκρινομένων διαχωρημάτων, οὐδ᾽ οὕτως εἰς ἀπόστασιν τρέπεται ἡ περιπνευμονία, ἐπειδὴ λεπτὴ καὶ θερμή ἐστιν ἡ ὕλη. ἐπὶ δὲ τῶν χρονίων νοσημάτων παχεῖαν δεῖ εἶναι τὴν ὕλην καὶ ὠμὴν καὶ ψυχρὰν, ἐν ὧτινι χρόνῳ καὶ ἡ ἀπόστασις γίνεται, καθὸ καὶ 4) αὐτὸς κατὰ λέξιν ἠνίξατο εἰπὼν, ὅτι ἀδιάκριτοι αἱ ὑποχωρήσιες. ἀδιακρίτους δὲ ὑποχωρήσεις καλεῖ· ἐνταῦθα τὰ λεπτὰ καὶ ὑδατώδη καὶ ὠμὰ ὑποχωρήματα καὶ μηδεμίαν ἔχοντα ἐπιμιξίαν χολώδους ὕλης. ἡ τοιαύτη ὑποχώρησις καὶ ὠμὴν ἐνδείκνυται τὴν ὕλην καὶ παχεῖαν, ἥτις πολλοῦ χρόνου δεῖται, ὥστε πεφθῆναι, ἐν ᾧτινι χρόνῳ, ὡς εἴρηται, ἡ ἀπόστασις γίνεται. ὡς γὰρ διαφόρως μεμαθήκαμεν, τὰ ὀξέα τῶν νοσημάτων, [ἢ] κατ᾽ ἔκρουν κενουμένης τῆς ὕλης, λύονται. τὰ δὲ χρόνια τῶν νοσημάτων ὡς ἐπίπαν κατ᾽ ἀπόσκηψιν καὶ ἀπόστασιν τρέπονται, καὶ οὕτως λύονται, εἰ μή τι ἄρα διὰ ῥώμην δυνάμεώς τινα τῶν νοσημάτων κατὰ σύμπεψιν ἀπαλλαγῶσι κατὰ μικρὸν συμπεττομένης τῆς ὕλης, καὶ οὕτως 5) πανομένης. ὅθεν ἀμέλει καὶ πέψεως ἡμῖν σημεῖα παραδίδωσιν, ἐπὶ τῆς περιπνευμονίας λέγων οὕτως, ὅτι ἐὰν περιπνευμονίας ὑποκειμένης, καὶ πεπεμμένη ἐστὶν ἡ ὕλη, καὶ τὰ οὖρα πολλὰ ἐκκρίνονται καὶ παχέα, καὶ τὴν ὑπόστασιν πολλὴν ἴσχει· ἐνδείκνυται γὰρ ὅτι ἡ περιπνευμονία οὐ τρέπεται

---

1) Fort. addas ἐάν. 2) ἐκχωρεύουσι M. 3) ἐπειδὴ — περιπνευμονία om. L. 4) αὐτὸ M. 5) πανόμενον L.

εἰς ἀπόστασιν, ἐπειδὴ κατ᾽ ἔκρουν ἐκκρίνεται ἡ ὕλη διὰ τῶν οὔρων. ἡ δὲ τοιαύτη ἔκκρισις τῶν οὔρων ἰσχὺν καὶ ῥώμην τῆς δυνάμεως ἐνδείκνυται, καθ᾽ ἣν ἰσχύσασα τὴν μὲν ὕλην ἐξέκρινε, τὸ δὲ ἐγκαταλιμπανόμενον πέττει καὶ αὐτὸ, καὶ οὕτως ἀπαλλάσσονται τῆς 1) περιπνευμονίας. εἰ δέ γε τοὐναντίον ὀλίγον ἐκκριθῇ τὸ οὖρον καὶ λεπτὸν καὶ ὑπόστασιν μὴ ἔχον, σχεδὸν παντὶ τρόπῳ εἰς ἀπόστασιν τρέπεται ἡ περιπνευμονία.

Ἐν δὲ τῷ δευτέρῳ μέρει τοῦ λόγου, παραδίδωσιν ἡμῖν σημείωσιν, 2) καθὼς ὀφείλομεν διαγνῶναι εἴτε ἐν τοῖς ἄνωθεν καὶ ὑπερκειμένοις μορίοις τοῦ θώρακος αἱ ἀποστάσεις γίνονται ἐπὶ τῇ περιπνευμονίᾳ, εἴτε ἐν τοῖς κάτω καὶ ὑποκειμένοις. καί φησιν, ὅτι ἐὰν ἄνευ προφάσεως γένηται ἀθρόον δύσπνοια ἐπὶ τῇ περιπνευμονίᾳ, καὶ γενομένη δοκῇ ὑποχαλᾷν, καὶ οἷον ὑφειμένη γίνεσθαι καὶ μειοῦσθαι, εἶτα πάλιν ἐπιταθῇ ἡ δύσπνοια, γίνωσκε ὅτι ἐν τοῖς ἄνωθεν καὶ ὑπερκειμένοις μορίοις, τυχὸν περὶ τὴν κεφαλὴν, ἡ ῥοπὴ τῶν χυμῶν καὶ τῆς ὕλης γέγονε, καὶ ἐκεῖσε περὶ τὴν κεφαλὴν αἱ ἀποστάσεις γίνονται. εἰ δέ γε μηδὲν τούτων εἴη παρενοχλοῦν, ἀλλὰ ζέσις καὶ φλόγωσίς τις περὶ τὸ στέρνον καὶ τὸ διάφραγμα, ἥντινα φλόγωσιν σύνηθες τῷ Ἱπποκράτει φλέγμα καλεῖν. καὶ νῦν οὕτως κατὰ τὴν λέξιν ἐκάλεσε τὴν φλόγωσιν φλέγμα. ἐὰν ὀδύνη ἐστὶν ἐν τοῖς τόποις ἐκείνοις καὶ σκληρία, γίνωσκε ὅτι ἐν τοῖς ὑποκειμένοις μορίοις αἱ ἀποστάσεις γίνονται.

Τίθησι δὲ καὶ προσδιορισμοὺς ἀναγκαίους, ὧν πρῶτον λέγει τοιοῦτον, ὅτι βέλτιόν ἐστι τὰς ἀποστάσεις ἐπὶ τὰ κάτω καὶ ἐν τοῖς σκέλεσι γίνεσθαι μᾶλλον, ἤπερ ἐν τοῖς ὑπερκειμένοις μορίοις. καὶ δήλη ἡ αἰτία. τοσοῦτον γὰρ ἀκινδυνότερόν ἐστι τὸ ἐν τοῖς σκέλεσι γίνεσθαι τὰς ἀποστάσεις, ὅσον καὶ ἀκυρότερά εἰσι τῶν ὑπερκειμένων διὰ τὸ πόῤῥω ἀφεστάναι 3) αὐτά.

Δεύτερον προσδιορισμὸν λέγει ὅτι αὗται αἱ ἀποστάσεις αἱ ἐν τοῖς σκέλεσι γινόμεναι, κάλλιόν ἐστι συριγ-

---

1) περιπνευμόνου M. 2) καθ᾽ ἣν M. 3) αὐτῶν L.

γοῦσθαι αὐτάς. εἰ γὰρ συριγγωθῶσιν, ὡς μονοειδῆ ἔχουσαι τὴν ἐπιῤῥοὴν τῆς ὕλης, ἐκεῖθεν ἀποῤῥεῖ καὶ ἐκκρίνεται, καὶ οὐ κατασπείρεται εἰς διάφορα μόρια ἡ ὕλη ἐκείνη, ὥστε βλάψαι αὐτὰ, ὡς ἂν ἐκεῖθεν διὰ τῶν συριγγωθέντων ἀποστημάτων τῆς ὕλης ἐκκρινομένης καὶ ἀποῤῥεούσης. ἄλλως τε δὲ καὶ διὰ τῶν συρίγγων αὐτῶν τῇ ἀενάῳ φορᾷ τῆς ὕλης καὶ τῇ ἀεὶ κενώσει ἀποκενοῦται πᾶσα ἡ ὕλη καὶ ἀνακαθαίρεται ἡ 1) *περιπνευμονία.*

Τρίτον προσδιορισμόν φησι τοιοῦτον, ὅτι αὗται αἱ ἀποστάσεις τὴν μὲν περιπνευμονίαν ἀπαλλάσσουσι προδήλως. ἔστι δ' ὅτε ἐὰν φανῶσι πέψεως σημεῖα ἐν τοῖς κενουμένοις, καὶ αὗται αἱ ἀποστάσεις τάχιστα λύονται καὶ ἀπολύονται. εἰ μὲν γὰρ ἐν τοῖς ἀναπτυομένοις 2) *σιελισμὸν φανῶσι πέψεως σημεῖα καὶ συμπεπεμμένα ἐστὶ, γίνωσκε ὅτι ἀπαλλάττονται αἱ ἀποστάσεις. εἰ δέ γε πρὸς τούτοις καὶ ἐν τοῖς οὔροις φανῇ χρηστὴ ὑπόστασις, γίνωσκε ὅτι ἐπὶ ἀπαλλαγῇ εἰσιν αἱ* 3) *ἀποστάσεις, καὶ ὅσον οὔπω ἀποπαύονται καὶ διαφοροῦνται. εἰ δέ γε μὴ φανῶσιν ἐν τούτοις πέψεως σημεῖα, μήτε ἐν τοῖς πτυέλοις, μήτε ἐν τοῖς οὔροις, ἀλλὰ τὰ τῆς ἀπεψίας καὶ τῆς ὠμότητος* 4) *ἐπικρατεῖ σημεῖα, γίνωσκε ὅτι εἰς χρόνον ἐκταθήσονται αἱ ἀποστάσεις. ὅθεν τῷ χρόνῳ καὶ χωλοῦνται αὐτῶν τὰ ἄρθρα κατὰ δύο αἰτίας. ἢ γὰρ διὰ τὴν εὐρύτητα ἐκεῖσε φέρονται οἱ χυμοὶ καὶ* 5) *αἱ ὕλαι, ὥστε περιέχεσθαι αὐτοὺς καὶ τοτηνικαῦτα χωλεύουσι διὰ τὴν εὐρύτητα ὑποδεχόμενα, διὰ δὲ τὴν κίνησιν ἐπὶ τῇ ἐπιτεταμένῃ κινήσει θάλπονται τὰ ἄρθρα, καὶ τῇ θάλψει ἐκεῖσε συῤῥέουσιν οἱ χυμοὶ καὶ ἡ ὕλη. καὶ ἐπὶ τούτῳ χωλοῦνται αὐτῶν τὰ ἄρθρα.*

Λέγει καὶ τέταρτον προσδιορισμὸν τοιοῦτον, ὅτι κακόν ἐστιν, ἐὰν, 6) *γενομένων τῶν ἀποστάσεων, ἐξαίφνης* 7) *ἀφανεῖς γένωνται, ἢν μὴ ὁ πυρετὸς παύσηται. δηλοῖ γὰρ ὅτι ἐν τῷ βάθει ἔῤῥευσεν ἡ ὕλη καὶ ἐν τοῖς κυριω-*

---

1) *περιπνεύμονος* M. 2) Fort. *σιελισμοῖς* i. q. *πτυέλοις*. 3) *ὑποστάσεις* L. 4) *ἐπιφαίνονται* L. 5) *ἡ ὕλη* M. 6) *γεννωμένων* L. 7) *ἀφανὴς γένηται* L.

τέροις μορίοις, καί ἐστιν ἐπικίνδυνον. εἰ δέ γε παύσηται ὁ πυρετὸς, παύεται δὲ οὕτως, ἀφανῶν γενομένων τῶν ἀποστάσεων· ἀφανεῖς δὲ γίνονται, ῥωσθείσης τῆς δυνάμεως καὶ ἰσχυσάσης. σὺν τούτοις δὲ 1) εἴη καὶ ὥρα θερινὴ καὶ ἡ ἡλικία ἀκμαστικὴ, καὶ τὸ χωρίον θερμὸν, καὶ τὰ ἐπιβαλλόμενα, καὶ τὰ ἐπιβληθέντα βοηθήματα 2) εἴη θερμὰ, πεπαίνεται ἡ ὕλη ἐν τοῖς ἀποστήμασι καὶ διαφορεῖται. σὺν τούτοις δὲ καὶ ὁ πυρετὸς ἀποπαύεται, καὶ ἐπ' ἀγαθῷ τρόπῳ ἀφανεῖς γίνονται αἱ ἀποστάσεις, ἐὰν ὁ πυρετὸς παυθῇ.

Τῶν δὲ 3) ἐμπυημάτων τῶν ἐκ τῶν περιπνευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται, ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσι καὶ τὰ ἑξῆς. —

Εἰκότως οἱ γέροντες ἀπόλλυνται ἐν ταῖς περιπνευμονίαις, οἱ δὲ νεώτεροι περισώζονται ἤπερ ἀπόλλυνται, ἐπειδὴ ἀσθενεῖς ἔχουσι τὰς δυνάμεις, 4) ὧν τινων χρείαν ἔχουσιν. ἀσθενῶν γὰρ ὑποκειμένων τῶν δυνάμεων, καὶ περιπνευμονίας οὔσης, οὐκ ἀνακαθαίρονται, ἀλλ' οὕτως ἀπόλλυνται οἱ γέροντες. οἱ δὲ νεώτεροι ἤγουν οἱ ἀκμάζοντες ἐῤῥωμένας ἔχουσι τὰς δυνάμεις, καὶ τῇ ῥώμῃ 5) ἀναπτύουσι, καὶ ἀνακαθαίρεται αὐτῶν ἡ περιπνευμονία, καὶ περισώζονται. ἐπὶ δὲ τῶν ἄλλων ἐμπυημάτων καὶ ἀποστάσεων τῶν ἐν τοῖς παρισθμίοις καὶ παρωτίσι συνισταμένων, οἱ ἀκμάζοντες μᾶλλον ἀπόλλυνται, οἱ δὲ γέροντες περισώζονται. καὶ τίς ἡ αἰτία ὅτι ἐπὶ μὲν τῶν ἀκμαζόντων, ἐπὶ 6) θερμῇ ὕλῃ καὶ χολώδει ταῦτα γίνονται. ἀλλὰ καὶ τὰς αἰσθήσεις περιττὰς ἔχουσι καὶ μεγίστας ὀδύνας ὑπομένουσι· διά τε οὖν τὸ θερμὸν τῆς ὕλης καὶ τὸ περιττὸν τῆς αἰσθήσεως καὶ διὰ τὰς μεγίστας ὀδύνας μὴ φέροντες, 7) ἀπόλλυσθαι. προφθάνει γὰρ ὁ θάνατος τὴν πυοποίησιν. ἐπὶ δὲ τῶν γερόντων οὐ γίνονται ἐπὶ θερμῇ ὕλῃ ταῦτα τὰ πάθη, ἀλλ' οὐδὲ ἠκριβω-

1) Fort. εἰ ᾖ. 2) ὦσι M. 3) ἐμπύων Hipp. 4) ὧν M. A. 5) ἐναποπτύουσι L. 6) θερμῆς ὕλης καὶ χολώδη L. 7) Fort. ἀπόλλυνται.

μένας ἔχουσι τὰς αἰσθήσεις· ἀλλ' οὐδὲ μέγισται ὀδύναι γίνονται ἐπ' αὐτῶν, καὶ τοτηνικαῦτα περισώζονται. 1) *ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν οἷς σὺν Θεῷ καὶ τὸ δεύτερον τμῆμα πεπλήρωται.*

ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία καὶ τὰ ἑξῆς. —

Ἐντεῦθεν ἄρχεται τοῦ τρίτου τμήματος ὁ Ἱπποκράτης καί φησιν, ὁκόσοισιν αἱ ὀδύναι ἤγουν αἱ ἀποστάσεις ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω 2) *γίνωνται, κάκισταί εἰσι. δηλοῖ γὰρ ὅτι ἀπὸ τῶν ἀκυροτέρων μορίων ἐπὶ τὰ κυριώτερα μετέστη ἡ ὕλη, πλὴν οὐ πάντως ὀλέθριαι. ἀλλὰ δεῖ συνελθεῖν καὶ τὰ ἄλλα σημεῖα, οἷον ἐάν ἐστιν ὀξὺς πυρετὸς καὶ δύσπνοια καὶ παραφροσύνη, καὶ σφοδρὰ ὀδύνη ἀπὸ τῶν κάτω χωρίων ἐπὶ τὰ ἄνω σύνεστι, τότε ὀλέθριαί εἰσιν αἱ τοιαῦται μεταστάσεις τῆς ὕλης. εἰ δὲ μηδὲν τούτων συνέλθῃ, γίνωσκε ὅτι αἱ ἀποστάσεις εἰς πυοποίησιν τρέπονται.*

Καὶ ταῦτα εἰρηκώς φησιν, ὅτι κάκιστόν ἐστι τὸ φλεγμαίνειν τὴν κύστιν, ἐπειδὴ ἡ κύστις νευρώδης ἐστὶ, καὶ διὰ τοῦτο μέγισται 3) *γίνονται αἱ ὀδύναι, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως τῶν νεύρων· πλὴν δὲ ὡς νευρώδης ἡ κύστις καὶ τὸν ἐγκέφαλον εἰς συμπάθειαν ἄγει, ἀλλὰ καὶ*

1) *ἐπεὶ — πεπλήρωται* om. L. 2) *γινόμεναι* L. 3) *αἱ ὀδ. γίν.* M. A.

σπασμοὺς ἐπιφέρει διὰ τὸ νευρῶδες· πρὸς τούτοις δὲ καὶ 1) ἐποχὴ οὔρων καὶ διαχωρημάτων γίνεται. ἡ δὲ ἐποχὴ τοῦ οὔρου καὶ τοῦ διαχωρήματος κατὰ δύο αἰτίας γίνεται· ἢ γὰρ δι᾽ ὀργανικὴν βλάβην ἢ δι᾽ ἐπιτεταμένην ὀδύνην. καὶ ὀργανικῶς μὲν οὕτως, φλεγμαίνοντος τοῦ τραχήλου τῆς κύστεως, ἀποστενοῦται ὁ οὐρητικὸς πόρος τῆς κύστεως, καὶ τοτηνικαῦτα ἐπέχεται τὸ οὖρον, εἶτα ἐπίκειται ὁ τράχηλος 2) τῆς κύστεως καὶ αὐτὴ ἡ κύστις τῷ ἐντέρῳ, λέγω δὴ τῷ ἀπευθυσμένῳ, ἐπὶ τῇ φλεγμονῇ 3) ἐπικείμενα ἐναπολαμβάνει τῇ διεξόδῳ 4) τῆς κόπρου καὶ οὐ συγχωρεῖ διεξελθεῖν τὴν κόπρον. καὶ ἐντεῦθεν ἡ ἐποχὴ γίνεται τῆς κόπρου ὀργανικῶς. διὰ δὲ ἐπιτεταμένην ὀδύνην οὕτως· ἐπειδὴ νευρώδης ἐστὶν ἡ κύστις, ἐπὶ τῇ φλεγμονῇ μεγίστας ὑφίσταται ὀδύνας. ἐπὶ οὖν τῇ σφοδρᾷ ὀδύνῃ ἡ φύσις συννεύει ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν καὶ ἐπὶ τὸ βάθος, καὶ οὐκ ἐπιτίθεται ταῖς οἰκείαις ἐνεργείαις. αἱ γὰρ φυσικαὶ ἐνέργειαι ἐν ἐπιτεταμένῃ κινήσει ἐπιτελοῦνται. ἡ δὲ κίνησις ἐπιτείνει τὸν ῥευματισμὸν καὶ 5) τὰς ὀδύνας. ἡ οὖν φύσις, ἵνα μὴ ἐπιταθῇ ἡ ὀδύνη, οὐκ ἐπιτίθεται 6) ταῖς εἰρημέναις ἐνεργείαις, τυχὸν τὴν ἀποκριτικὴν δύναμιν, ὥστε ἀποκρῖναι. καὶ τὸ τηνικαῦτα γίνεται ἡ ἐποχὴ τοῦ οὔρου καὶ τῆς κόπρου. ῥύεται δέ ποτε σπανίως τὴν φλεγμονὴν τῆς κύστεως, οὔρου παχέος καὶ πολλοῦ καὶ πεπυοποιημένου ἀπούρησις. δηλοῖ γὰρ ὅτι ἐπέφθη ἡ ὕλη καὶ οἱ χυμοὶ καὶ φέρονται ἐπὶ τὴν κοιλότητα τῆς κύστεως, καὶ σὺν τῷ οὔρῳ ἐκκρίνεται τὸ πῦον καὶ οἱ χυμοὶ καὶ οὕτως ἀνακαθαίρονται.

Περὶ κρισίμων.

Δεύτερόν ἐστι κεφάλαιον ἐν ᾧ περὶ κρισίμων ἡμερῶν διαλέγεται. ἐπειδὴ δὲ περὶ κρίσεως ἡμῖν ὁ λόγος, δεῖ ἡμᾶς πέντε τινὰ περὶ κρίσεως ζητῆται, πρῶτον, τί ἐστι κρίσις, δεύτερον, πόθεν ὠνομάσθη κρίσις, τρίτον, ποσαχῶς τελειοῦνται αἱ κρίσεις, καὶ τέταρτον, κατὰ πόσους

---

1) ἐποχὴν L. 2) τῇ κύστει M. τῶν ἐντέρων L. 3) ἐπικείμενον L. 4) τοῦ κόπρου L. 5) τὴν ὀδύνην M. 6) ὡς εἴρηται ταῖς οἰκείαις ἐνεργ. M. A.

τρόπους 1) τελειοῦνται αἱ κρίσεις, καὶ πέμπτον, ποῖαί εἰσιν αἱ κρίσιμοι ἡμέραι.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου, τί ἐστι κρίσις; κρίσις ἐστὶν 2) ὀξύῤῥοπος καὶ ἀθρόα ἐν νόσῳ μεταβολή.

Δεύτερον πόθεν ὠνόμασται κρίσις; ἐκ μεταφορᾶς τῶν ἐν τῷ δικαστηρίῳ κρινομένων. ὥσπερ γὰρ ἐκεῖσε ὁ καταδικαζόμενος ἐν μέσῳ ζωῆς καὶ θανάτου ἐστὶν, οὕτως ἰδών τις νοσοῦντα καὶ ἐν δυσφορίᾳ διάγοντα ἔφη, 3) ἐλέησον, οὗτος ὁ ἄνθρωπος κρίνεται μεταξὺ ζωῆς καὶ θανάτου.

Τρίτον ποσαχῶς τελειοῦνται αἱ κρίσεις; τετραχῶς. ἢ γὰρ ἐπὶ ἀπαλλαγῇ καὶ ὑγείᾳ τελειοῦνται αἱ κρίσεις, ἢ ἐπὶ μεγίστῃ μεταβολῇ ἐπὶ τὸ βέλτιον ἢ τοὐναντίον· ἢ γὰρ ἐπὶ ὄλεθρον καὶ θάνατον, ἢ ἐπὶ μεγίστῃ μεταβολῇ 4) ἐπὶ τὸ χεῖρον.

Τέταρτον κατὰ πόσους τρόπους γίνονται αἱ κρίσεις; κατὰ δύο. ἢ γὰρ κατ᾽ ἔκρουν κρίνονται τὰ νοσήματα ἢ κατ᾽ ἀπόσκηψιν. ὤφθη δέ ποτε καὶ ὕπνος μακρὸς καὶ 5) βαθὺς μεγίστην μεταβολὴν ἐπὶ τὸ βέλτιον ποιήσας, ὅπερ οὐδὲ κυρίως κρίσιν ὀνομάζουσι διὰ τὸ σπανίως γίνεσθαι καὶ ἐπὶ μόνων τῶν παίδων ὤφθη γινόμενον.

Πέμπτον, 6) ποῖαί εἰσιν αἱ 7) κρίσιμοι ἡμέραι, ἐν αἷς κρίνονται τὰ νοσήματα. ἐκεῖναί εἰσιν αἱ κρίσιμοι ἡμέραι, ἐν αἷς ταῦτα συνέλθῃ, ἐν αἷς πλεῖσται γίνονται κρίσεις καὶ βέβαιοι καὶ τέλειαι συνέλθωσιν, ἐκείνας καλοῦμεν κρισίμους ἡμέρας. τούτων δὲ τῶν κρινουσῶν ἡμερῶν αἱ μὲν τετραδικῶς ἀριθμοῦνται, αἱ δὲ 8) ἑβδομαδικῶς. καὶ ἰσχυρότεραι μέν εἰσιν αἱ ἑβδομαδικαὶ τῶν τετραδικῶν. τούτων οὖν τῶν ἑβδομαδικῶν αἱ μὲν κατὰ διέχειαν ἀριθμοῦνται, αἱ δὲ κατὰ συνέχειαν· καὶ αἱ μὲν ἑβδομαδικαὶ περίοδοι τὰς δύο ἔχουσιν ἑβδομάδας κατὰ 9) διέχειαν,

1) γίνονται M. A. 2) ἡ add. M. 3) ἔλεγεν M. μετ. ζωῆς κ. θαν. κρίν. M. A. 4) ἐπὶ τὸ χεῖρον om. M. A. 5) βραδὺς M. 6) ἐστὶ add. M. 7) κρίσεις L. ἐν αἷς — ἡμέραι om. M. A. 8) ἑβδοματικῶς M. 9) συνέχειαν L.

τὴν δὲ τρίτην ἀεὶ κατὰ συνέχειαν. ἑπτὰ γὰρ καὶ ἑπτὰ, τεσσαρεσκαίδεκα, καὶ ἑπτὰ γίνονται εἴκοσι μία. ἀλλὰ τὴν εἰκοστὴν ἔχομεν 1) κρίσιμον, καὶ οὐ τὴν εἰκοστὴν πρώτην, ὡς κατὰ συνέχειαν ταττομένης τῆς τρίτης ἑβδομάδος. αἱ δὲ τετραδικαὶ περίοδοι τὸ ἀνάπαλιν· αἱ μὲν δύο κατὰ συνέχειαν· εἰς γὰρ τὴν ἑβδόμην ἀπαρτίζουσιν, ὡς τῆς 2) τετάρτης τέλος οὔσης τῆς πρώτης τετράδος, 3) ἀρχῆς δὲ πάλιν τῆς δευτέρας τετράδος. ἡ δὲ τρίτη τετρὰς κατὰ διέχειαν, ὅθεν τὴν ἑνδεκάτην ἔχομεν κρίσιμον.

Ταῦτα εἰρηκὼς, προσδιορισμοῖς κέχρηται ὁ Ἱπποκράτης πρὸς τὴν ἤδη λεχθεῖσαν ὑπόθεσιν ὑπ᾽ αὐτοῦ, 4) ὧν πρῶτον προσδιορισμὸν λέγει τοιοῦτον, ὅτι αὗται αἱ ἡμέραι κρίσιμοι ὀνομάζονται, καὶ εἰσὶ διὰ τὸ πλείστας ἐν αὐταῖς γενέσθαι κρίσεις, καὶ βεβαίας αὐτὰς γενέσθαι καὶ ἐπὶ ἀπαλλαγῇ 5) τῶν νοσημάτων. εἰσὶ δὲ καὶ ἕτεραι κρίσεις, ὧν οὐκ ἐμνημονεύσαμεν, αἵτινες καὶ παρεμπίπτουσαι ὀνομάζονται, ὥσπερ ἡ τρίτη καὶ ἡ πέμπτη καὶ ἡ ἐννάτη ἡμέρα. ἔστι δ᾽ ὅτε καὶ ἡ ἕκτη ἡμέρα κρίνει, ἀλλ᾽ ἐπὶ κακῷ. εἰ δέ γε ὁ κρινόμενος ἐν τῇ ἕκτῃ ἡμέρᾳ τὸν κίνδυνον φεύξει, πάντως ὑποτροπιᾷ καὶ νοσεῖ.

Λέγει καὶ δεύτερον προσδιορισμὸν, ὅτι τίς ὁ παραλογισμὸς οὗτος, ὅτι ἐπὶ μὲν τῶν δύο τετράδων τὴν ἑβδόμην λέγομεν κρίσιμον, καὶ οὐχὶ τὴν ὀγδόην, καὶ ἐπὶ μὲν τῶν τριῶν ἑβδομάδων τὴν εἰκοστὴν, καὶ οὐχὶ τὴν εἰκοστὴν πρώτην· λείπει γὰρ ἡμέρα ἐν ἑκάστῃ ὑποθέσει; καὶ λέγει ὅτι οὐκ ἔστιν ἄπορος ὁ λόγος· οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι οὐδὲν τουτέων ἀτρεκέως. τὸν γὰρ ἐνιαυτὸν τξε´ ἡμέραις ἀριθμούντων ἡμῶν, πλείονας ἔχει. ἔχει γὰρ καὶ ἄλλο τέταρτον ἡμέρας καὶ ἑκατοστὸν μέρος, καθ᾽ ἣν καὶ τὸ 6) βίσεξτον ἀπαντᾷ γίνεσθαι. ὁμοίως δὲ καὶ ὁ μὴν οὐδὲ τριάκοντα ἡμερῶν ἐστιν, οὐδὲ εἴκοσι ἐννέα, ἀλλ᾽ εἴκοσι ἐννέα ἥμισυ καὶ ἄλλο μόριον, ὡς οἱ ἀστρονόμοι 7) ἀριθ-

---

1) κρισίμην M. 2) τετάρτης om. L. Fort. τέλους. 3) ἀρχὴν L. 4) ὃν L. 5) τοῦ νοσήματος M. A. 6) βίσεξστον Codd. Dies bissextus i. e. intercalaris. 7) ἀριθμοῦνται M. A.

μοῦσιν. ἐὰν οὖν οὐδὲ ὁ ἐνιαυτὸς ὅλησιν ἡμέρησιν ἀριθμεῖται, οὔτε οἱ μῆνες, οὐδὲν ἄκαιρον, καὶ ἡμᾶς τῇ μακρᾷ πείρᾳ καὶ τῇ τῶν παλαιῶν μαρτυρίᾳ τὴν ἑβδόμην λέγειν κρισίμην καὶ τὴν εἰκοστὴν, καὶ μὴ ἀποσώζειν ἀκριβῆ ἀπαρίθμησιν.

Τρίτος προσδιορισμός ἐστιν, ἐν ᾧ φησιν, ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων καὶ συνεχῶν πυρετῶν ἡμέρας ἀριθμοῦμεν ἐπὶ τῶν κρίσεων· τυχὸν ἡ τετάρτη ἡμέρα ἐπίδηλός ἐστι τῆς ἑβδόμης, καὶ ἡ ἑβδόμη τῆς ἑνδεκάτης, καὶ ἐφεξῆς ὡσαύτως. ἐπὶ δὲ τῶν περιοδικῶν νοσημάτων καὶ τῶν χρονίων, οὐκέτι ἡμέρας ἀπαριθμοῦμεν, ἀλλὰ περιόδους, τουτέστιν ἡ τετάρτη περίοδος ἐπίδηλός ἐστι τῆς ἑβδόμης περιόδου καὶ ἡ ἑβδόμη τῆς ἑνδεκάτης. καὶ ἰστέον 1) ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων εὐθέως ἐξ ἀρχῆς δυνατόν ἐστι τὴν ἔκβασιν προγνῶναι τοῦ νοσήματος, εἴτε ἐπὶ ἀγαθῷ γενήσεται ἡ κρίσις, εἴτε ἐπὶ κακῷ. ἐπὶ δὲ τῶν χρονίων νοσημάτων ἀδύνατόν ἐστιν εὐθέως ἐξ ἀρχῆς προγνῶναι τὴν ἔκβασιν τοῦ νοσήματος, ὁποία ἔσται. καὶ τίς ἡ αἰτία, ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων ἐξ ἀρχῆς γινώσκομεν τὴν ἔκβασιν, ἐπὶ δὲ τῶν χρονίων οὔ; καὶ λέγομεν ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων εὐθὺς ἐξ ἀρχῆς ἡ φύσις 2) ἀγωνίζεται καὶ τὰ αἴτια εἰσβάλλουσιν, ὡς ἔχουσιν ἰσχύος, καὶ οὕτως ἀγωνίζονται, ἐπειδὴ ὀξεῖά ἐστιν ἡ κίνησις. καὶ εἰ μὲν διαφανῶσι πέψεως σημεῖα ἐξ ἀρχῆς, γίνωσκε ὅτι τὰ αἴτια ἴσχυσαν καὶ ἐπὶ κακῷ γίνεται ἡ κρίσις. ἐπὶ δὲ τῶν χρονίων νοσημάτων, ἀδύνατόν ἐστιν ἐξ ἀρχῆς προγνῶναι τὴν ἔκβασιν τοῦ νοσήματος, ἐπειδὴ τὰ χρόνια νοσήματα ἐπὶ ψυχροτέρᾳ ὕλῃ καὶ παχυτέρᾳ γίνονται, καὶ τοτηνικαῦτα βραχεῖα πάνυ γίνεται ἡ κίνησις, ἐπειδὴ οὐδέν ἐστι τὸ κατεπεῖγον, ἀλλὰ χλιαρῶς καὶ βραχέως εἰσβάλλει καὶ ἡ φύσις καὶ ἡ ὕλη· διότι συμμετρεῖ ἑαυτὴν ἡ φύσις 3) καὶ τοτηνικαῦτα ἀδύνατόν ἐστιν ἐξ ἀρχῆς προγνῶναι τὴν ἔκβασιν ἐπὶ τῶν χρονίων νοσημάτων εἴτε ἀγαθὴ γενήσεται, εἴτε κακὴ καὶ ὀλέθριος. καί ἐστι τούτου παρά-

1) ὅτι ἐπὶ τ. ὀξέων om. L. 2) αγωνίζεται om. M. A. ἰσχὺν M. A. 3) καὶ — ὀλέθριος om. L.

δειγμα τοιοῦτον ἐπὶ τῶν ἐκτός. ἡνίκα δύο παλαισταὶ ἀγωνίζονται πρὸς ἑαυτοὺς, εἰ μὲν ὁ ἕτερος κατισχύει τοῦ ἑτέρου, εὐθέως ἐξ ἀρχῆς διαγινώσκομεν, ὅτι οὗτος ἰσχυρότερός ἐστι, καὶ νικῆσαι ἔχει, ὥσπερ ἐπὶ τῶν ὀξέων νοσημάτων. εἰ δὲ οἱ δύο ἀγωνισταὶ ἰσοσθενῶς ἔχουσι τὴν ἰσχὺν, ἀδύνατόν ἐστιν εὐθέως ἐξ ἀρχῆς εἰπεῖν τὴν ἔκβασιν, ποῖος ἔχει νικῆσαι. οὕτως ἔχει καὶ ἐπὶ τῶν χρονίων νοσημάτων. οἷον γὰρ ἰσοσθενὲς ἔχουσι τὴν προσβολὴν καὶ ἡ φύσις καὶ τὰ αἴτια. καὶ διὰ τοῦτο ἀδύνατόν ἐστιν εὐθέως ἐξ ἀρχῆς προειπεῖν 1) τι περὶ τῆς ἐκβάσεως. πλὴν ὁ Ἱπποκράτης πρὸς παραμυθίαν τοῦ λόγου λέγει, ὅτι ἐπιστήμων καὶ ἀκριβὴς ἰατρὸς ἐπιστάμενος τὰς ἡμέρας τῶν κρίσεων, ποῖαί εἰσιν αἱ κρίσιμοι καὶ ἐπίδηλοι καὶ ποῖαι θεωρηταὶ, οὐ μὴν ἀλλὰ καὶ τὰς ἀνταποδόσεις ὁ γινώσκων τῶν περιόδων, ποῖαί εἰσιν ἐπίδηλοι, ὅτι ἡ τετάρτη περίοδος ἐπίδηλός ἐστι τῆς ἑβδόμης, ἐκ τούτων προγινώσκει καὶ τὴν ἔκβασιν τῶν χρονίων νοσημάτων· ὡς γὰρ αὐτὸς λέγει, ὅτι οὐ λήσεται ὅπη τρέψηται τὸ νόσημα.

Τέταρτος προσδιορισμός ἐστιν, ἐν ᾧ φησιν, ὅτι ὡσαύτως καὶ ἐπὶ τῶν κυουσῶν γυναικῶν τὴν ἀπαρίθμησιν ποιεῖται τῶν ἡμερῶν ἐπὶ τῶν κρίσεων 2) εὐθὺς ἐξ ἀρχῆς. τί γὰρ ὅτι αἱ πλεῖσται τῶν γυναικῶν μετὰ τὴν γένναν ἐν τῇ 3) τρίτῃ ἡμέρᾳ πυρέττουσιν. οὐ δεῖ οὖν ἀπὸ τῆς τρίτης 4) τοῦ νοσήματος ἡμέρας τὴν ἀρχὴν ἀριθμεῖν, ἀλλ' ἐξ ἀρχῆς ἀφ' ἧς ἔτεκεν ἡ γυνὴ, ἐπειδὴ προϋπῆρχε τὸ αἴτιον. οὐδὲ γὰρ τῇ τρίτῃ ἡμέρᾳ ἠθροίσθη, ἀλλ' ὡς εἴρηται ἦν πρὸ τούτου, καὶ οὐ διεφαίνετο, ἐπειδὴ ἡ φύσις ἐπὶ τὴν δημιουργίαν τοῦ ἐμβρύου ἐναπησχολεῖτο. ὅταν οὖν 5) ἀπετέχθη τὸ ἔμβρυον, καὶ διὰ τῆς 6) λοχικῆς καθάρσεως ὀφειλούσης κενωθῆναι ἐκείνην τὴν ὕλην κινηθεῖσα ἀνῆψε τὸν πυρετόν. δεῖ οὖν ἐξ ἀρχῆς ἀφ' ἧς ἡμέρας ἔτεκεν ἡ γυνὴ, τὴν ἀπαρίθμησιν ποιεῖσθαι τοῦ νοσήματος, ἐπειδὴ 7) προῆν ἡ ὕλη καὶ μὴ ἀπὸ τῆς τρίτης ἡμέρας, ἀφ' ἧς ὁ πυρετὸς ἀνήφθη.

---

1) τι om. L. 2) εὐθέως M. 3) ἕκτῃ L. 4) ἡμέρ. ἀριθ. τ. ἀρ. τοῦ νοσήμ. M. A. 5) ἐτέχθη M. 6) λογικῆς Codd. Correxi. 7) πρώην Codd. Emendavi.

Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν· οἱ δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων βεβῶτες τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. —

Ἰστέον ὅτι ὁ Ἱπποκράτης οἶδε τὴν τρίτην ἡμέραν κρίνουσαν. ἔφη γὰρ, οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν. ἔμπροσθεν δὲ τῆς τετάρτης ἡμέρας ἡ τρίτη ἐστίν. ἡ γὰρ δευτέρα παρὰ πᾶσιν ὡμολόγηται, ὅτι οὐδέποτε κρίνει. οὐκοῦν περὶ τῆς τρίτης ἡμέρας νῦν λέγει ὁ Ἱπποκράτης. σκόπει δὲ ὅτι ἐνταῦθα [ὅτι] τὸ, εὐηθέστατοι τῶν πυρετῶν, ἐπὶ 1) ἀγαθῷ ἔλαβεν ἀντὶ τοῦ ἁπλούστατοι, ὑπεναντίως τοῖς ἀττικοῖς. οἱ γὰρ ἀττικοὶ 2) πάντως τὸ εὔηθες ἐπὶ κακῷ λαμβάνουσιν. οὕτω γοῦν εὐήθεις ἀνθρώπους καλοῦσιν ἀντὶ τοῦ τυχὸν, ὅτι δυσχερεῖς εἰσιν οὗτοι οἱ ἄνθρωποι. σπανίως δέ ποτε τὸ εὔηθες ἐπὶ ἀγαθῷ λαμβάνουσιν. ὁ μέντοι Ἱπποκράτης ἐπὶ ἀγαθῷ τὸ εὔηθες τέθεικε, καὶ ὅτι ἐπὶ καλῷ καὶ ἐπὶ ἀγαθῷ ἔλαβε, δηλοῖ τὸ ἀντιτάξαι αὐτὸν, οἱ δὲ κακοηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων δεινοτάτων, ἐντὸς τῆς τετάρτης ἡμέρας κτείνουσιν ἢ πρόσθεν, τυχὸν ἐν τῇ 3) τετάρτῃ ἡμέρᾳ. ἀσφαλέστατα δὲ σημεῖα καὶ βέβαια καὶ ἀγαθὰ λέγει ἐπὶ τῶν ἁπλουστάτων καὶ εὐηθεστάτων πυρετῶν ταῦτα· τὸ εὔπνουν εἶναι τὸν ἄνθρωπον, τὸ εὐόρεκτον εἶναι, τὸ πέττειν καλῶς καὶ δεόντως, τὸ ὑπνοῦν εἰς νύκτα, τὸ στρέφεσθαι ῥαδίως ἔνθεν καὶ ἔνθεν. ἐὰν οὖν ταῦτα συνδράμωσιν ἐντὸς τῆς τετάρτης ἡμέρας ἢ ἐν τῇ τρίτῃ, παύονται οἱ πυρετοί. δεινότατα δὲ σημεῖα λέγει ἐπὶ τῶν κακοηθεστάτων πυρετῶν, τὸ δύσπνουν εἶναι τὸν ἄνθρωπον, τὸ ἀνόρεκτον, τὸ μὴ καλῶς πέττειν, ἡ ἀγρυπνία, τὸ ὀδυνᾶσθαί τι τῶν ὑποχονδρίων, τὸ ἀλλοφάσσειν τουτέστι τὸ ληρεῖν, τὸ ἄλλο ἀντ᾽ ἄλλου φθέγγεσθαι καὶ τὰ τοιαῦτα. ἐὰν ταῦτα συνέλθωσιν ἐπὶ τῶν κακοηθεστάτων πυρετῶν, ἐντὸς τῆς τετάρτης ἀπόλλυνται ἢ πρόσθεν.

---

1) ἀγαθῶν L. 2) πάντες M. 3) Fort. τρίτῃ legendum.

Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν καὶ τὰ ἑξῆς. —

Τὸ λεγόμενόν ἐστι τοιοῦτον, ὅτι αἱ τρεῖς ἑβδομάδες τὴν εἰκοστὴν ἡμέραν ἀποτελοῦσι κρίσιμον τῶν δύο πρώτων ἑβδομάδων κατὰ διέχειαν ἀριθμουμένων, ὡς ποιεῖν τὴν τεσσαρεσκαιδεκάτην κρίσιμον. εἶτα ἡ τρίτη ἑβδομὰς κατὰ συνέχειαν ἀριθμουμένη τὴν εἰκάδα ποιεῖ κρίσιμον. εἰπὼν οὖν, μετὰ δὲ ταύτας ἐν τῷ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν, — φησὶν, ὅτι δεῖ κατὰ τὸν αὐτὸν τρόπον ἀριθμεῖν, καὶ ἡ τεσσαρακοστὴ καὶ ἡ ἑξηκοστὴ καὶ ἡ ὀγδοηκοστὴ εὑρίσκονται κρίσιμοι. τριακοστὴν δὲ τετάρτην ἐμνημόνευσεν, ἵνα δείξῃ σοι, ὅτι αἱ δύο 1) πρῶται ἑβδομάδες κατὰ διέχειαν ἀριθμοῦνται, ἡ δὲ ἑτέρα κατὰ συνέχειαν ἀριθμουμένη, ἡ τεσσαρακοστὴ ἡμέρα ὑπαντᾷ κρίσιμος. ἰστέον δὲ ὅτι καὶ τετραδικῶς καὶ ἑβδομαδικῶς ἀριθμούμεναι αἱ περίοδοι τὴν εἰκοστὴν ἡμέραν ἀπαρτίζουσι κρίσιμον. καὶ μάλιστα ταῖς τετραδικαῖς προσέχομεν τὸν νοῦν μέχρι τῆς εἰκοστῆς ἡμέρας. ἀπὸ δὲ τῆς εἰκοστῆς οὐκέτι ταῖς τετραδικαῖς περιόδοις προσέχομεν τὸν νοῦν, ἀλλὰ ταῖς ἑβδομαδικαῖς. ὅθεν 2) ἀπὸ τὴν εἰκοστὴν τριακάδα τετάρτην ἐμνημόνευσε. καὶ τίς ἡ αἰτία τούτου; καὶ λέγομεν ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων λεπτή ἐστιν ἡ ὕλη καὶ ὡς λεπτὴ ἐντὸς τῆς τετάρτης 3) πάντως τι πάσχει. καὶ διὰ τοῦτο τετραδικῶς ἀριθμοῦμεν μέχρι τῆς εἰκάδος, ἀπὸ δὲ τῆς εἰκοστῆς οὐκέτι τετραδικῶς, ἀλλ᾽ ἑβδομαδικῶς ἀριθμοῦμεν· ἐπειδὴ ὅσον χρονίζει τὸ νόσημα, τοσοῦτον καὶ ἡ ὕλη νωθροτέρα καὶ παχυτέρα γίνεται, καὶ διὰ τοῦτο καὶ τὸ νόσημα χρονιώτερον γίνεται. καὶ ἑβδομαδικῶς μὲν ἀριθμοῦμεν μέχρι τῆς ὀγδοηκοστῆς ἡμέρας. ἀπὸ δὲ τῆς ὀγδοηκοστῆς οὐκέτι ἡμέρας ἀριθμοῦμεν, ἀλλὰ μῆνας τέσσαρας, καὶ ἑπτὰ καὶ ἕνδεκα, καὶ δεκατέσσαρα. εἶτα λοιπὸν ἀπαριθμοῦμεν ἔτη τέσσαρα καὶ ἑπτὰ καὶ ἕνδεκα καὶ τεσσαρακαίδεκα. εἶτα καὶ τοῦτο πολύς ἐστιν ὁ Ἱπποκράτης ἐν ἀφορισμοῖς ἀποδεικνύων, ἐν οἷς φησιν ὅτι τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν αἱ μεταβολαὶ τῶν ὡρέων καὶ τῶν ἡλι-

1) αἱ add. L. 2) Sic! Fort. μετὰ. 3) πάντα M.

κιῶν ἀπαλλάσσουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν θηλέων ἐπὶ τῶν χρονίων νοσημάτων, ἀπαλλάσσεσθαι αὐτὰς ἐν ταῖς τῶν καταμηνίων ῥήξεσιν. αἱ δὲ ῥήξεις ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει γίνονται.

Κεφαλῆς δὲ ὀδύναι ἰσχυραὶ καὶ ξυνεχέες σὺν πυρετῷ ξυνεχεῖ καὶ ἰσχυρῷ, δεινὸν καὶ τὰ ἑξῆς. —

Ἐνταῦθα ὀξὺ ὑποτίθεται νόσημα καὶ τὴν ὕλην διάφορα ἐπηρεάζουσαν μόρια. ἀλλὰ τὸ τέως τὴν κεφαλὴν ὑποτίθεται ἐπηρεαζομένην καὶ σημειοῦται κεφαλαλγίαν, οὐ τὴν ἐπὶ πνεύμασι γινομένην. αὕτη γὰρ 1) τονώδης ἐστίν· ἀλλ' οὐδὲ τὴν ἐπὶ χολῇ γινομένην. αὕτη γὰρ δακνώδης ἐστίν· ἀλλ' οὐδὲ τὴν κατὰ συμπάθειαν τῶν μηνίγγων τὴν ἐπὶ φλεγμονῇ γινομένην. οὐδὲ γὰρ ὅλως μέμνηται φλεγμονῆς, ἀλλὰ κεφαλαλγίαν νῦν ὑποτίθεται τὴν ἐπὶ ἐμφράξει αἵματος καὶ πλήθει γινομένην. αὕτη γὰρ ἡ κεφαλαλγία χειρίστη ἐστὶ διὰ τὸ συνεχὲς καὶ ἐπίμονον τῆς ὀδύνης, ἔνδον οὔσης τῶν ἀγγείων τῆς αἱματικῆς ὕλης, καὶ μάλιστα κακίστη ἐστὶν ἡ τοιαύτη κεφαλαλγία, εἰ καὶ ὀξύς ἐστιν ὁ πυρετὸς διὰ τὸ κύριον τοῦ μορίου, πρωτίστου ὄντος. ἐγκέφαλος γάρ ἐστίν. καὶ ἀνέλπιστός ἐστιν ὁ κίνδυνος. εἰ γὰρ ἄνευ πυρετοῦ παγχάλεπός ἐστιν ἡ τοιαύτη κεφαλαλγία, πολλῷ μᾶλλον, εἰ καὶ ὀξὺς πυρετὸς σύνεστιν.

Εἶτα καὶ σημεῖα λέγει ἐπὶ τῆς κεφαλαλγίας τῆς ἄνευ πυρετοῦ ὀξέος, ἐφ' ᾧ ἀνέλπιστος ὁ θάνατος. καί φησιν ὅτι δύσπνους ἐάν ἐστιν ὁ ἄνθρωπος καὶ ἀνόρεκτος καὶ παραφροσύνη σύνεστιν αὐτῷ, ἔσο γινώσκων, ὅτι πάντως ἀπόλλυται ὁ ἄνθρωπος. εἰ δέ γε τυχὸν ἔμπνους ἐστὶν ὁ ἄνθρωπος καὶ εὐόρεκτος καὶ οὐ παραφρονεῖ, γίνωσκε ὅτι καὶ οὕτως οὐ πάντως περισώζεται, διὰ τὸ κύριον τοῦ μορίου. εἰ δέ γε καὶ περισώζεται, παραδίδωσιν ἡμῖν σημεῖα, ἐφ' ὧν λύεται τὸ νόσημα καί φησιν, ὅτι ἡ τοιαύτη κεφαλαλγία ἢ δι' ἐμπυημάτων 2) ἢ δι' αἱμοῤῥαγίας. τί γὰρ ὅτι φέρεται δι' ὑπερῴας ἐπὶ θώρακα καὶ 3) πνεύ-

---

1) *τρομώδης* L. 2) *ἢ δι' αἱμοῤῥαγ.* om. M. A. 3) *πνεῦμα* M. A.

μονα καὶ δεύτερον πλοῦν ὁδεύουσα ἡ φύσις, πυοποιεῖ τὴν τοιαύτην ὕλην, καὶ εἰς ἐμπύημα μεθίστησι, καὶ τῷ χρόνῳ ἀναπτύεται καὶ ἀνακαθαίρεται καὶ οὕτως περισώζονται.

Εἶτα καὶ λέγει ἡμῖν σημεῖα, ἐφ᾽ ὧν ὀφείλομεν γνῶναι εἴτε δι᾽ αἱμοῤῥαγίας ῥινῶν ἔχει γενέσθαι ἡ ἀπαλλαγὴ τῆς κεφαλαλγίας, εἴτε δι᾽ ἐμπυημάτων. καὶ παραδίδωσιν ἡμῖν 1) σημεῖα τρία, ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ χρόνου καὶ ἀπὸ τῆς ἡλικίας.

Καὶ ἀπὸ τοῦ τόπου, εἰ ἔμφραξις 2) γίνεται τῷ πλήθει τοῦ αἵματος ἢ ἐντὸς τοῦ περικρανίου ὀστοῦ ἐν τοῖς ἀγγείοις, ἢ ἐκτὸς τῆς κεφαλῆς. καὶ εἰ μὲν ἐντός ἐστιν ἡ ἔμφραξις, δεύτερον πλοῦν ὁδεύουσα ἡ φύσις εἰς τὰ παρακείμενα μόρια τουτέστιν ἐν ταῖς μήνιγξι πυοποιεῖ τὴν τοιαύτην ὕλην, καὶ διὰ ῥινῶν ἢ καὶ δι᾽ ὤτων ἐκκρίνεται τὸ πῦον, καὶ οὕτως περισώζονται. ὠράθη γὰρ πολλάκις τοῦτο γινόμενον· ἢ φέρεται δι᾽ ὑπερῴας ἐπὶ τὸν πνεύμονα καὶ εἰς ἐμπύημα μεθίστησι τὴν ὕλην, καὶ ἀνακαθαίρεται τὸ ἐμπύημα, καὶ περισώζονται. εἰ δὲ ἐκτός ἐστιν, ἐπειδὴ καὶ μύες καὶ ἀξιόλογοι φλέβες εἰσὶ, δῆλον ὅτι καὶ θερμότεροί εἰσιν οἱ τόποι ἐκεῖνοι, καὶ δεῖ διὰ ῥινῶν προσδοκᾷν τὴν ῥύσιν τοῦ αἵματος καὶ οὕτως παύεται ἡ τοιαύτη κεφαλαλγία.

Ἀπὸ δὲ τοῦ χρόνου, ἐὰν ὀξὺς 3) ὁ πυρετὸς εἴη καὶ πάντα ὀξυκίνητά εἰσι, δίψος καὶ τὰ λοιπὰ, γίνωσκε ὅτι δι᾽ αἱμοῤῥαγίας ἔχει 4) λυθῆναι καὶ τάχιον ἡ κεφαλαλγία. εἰ δέ γε βληχρός ἐστιν ὁ πυρετὸς καὶ ὑφειμένα πάντα, καὶ οὐδὲν κατεπείγει, γίνωσκε ὅτι χρονιωτέρα γίνεται ἡ ἀπαλλαγή.

Ἀπὸ δὲ τῆς ἡλικίας, ἐὰν θερμή ἐστιν ἡ ἡλικία, τυχὸν παιδικὴ ἢ ἀκμαστικὴ μετὰ καὶ τῶν ἄλλων συστοίχων, γίνωσκε ὅτι δι᾽ αἱμοῤῥαγίας παύεται τὸ νόσημα. εἰ δὲ

---

1) διὰ τριῶν σημείων M. 2) γένηται M. 3) εἴη ὁ πυρ. M. 4) παυθῆναι M. A.

παρακμαστική ἐστιν ἡ ἡλικία καὶ γεροντική, γίνωσκε ὅτι δι᾿ ἐμπυημάτων ἡ ἀπαλλαγὴ γίνεται τῆς κεφαλαλγίας.

Εἶτα καὶ γνωρίσματα ἡμῖν παραδίδωσι μελλούσης γίνεσθαι αἱμοῤῥαγίας διὰ ῥινῶν καί φησιν, ὅτι κνῶνται τὴν ῥῖνα, αἱ φλέβες αἱ ἐν τοῖς ὀφθαλμοῖς ἔνογκοι γίνονται, πυραυγῆ φαντάσματα ὁρῶσι πρὸ τῶν ὀφθαλμῶν καὶ τὰ τοιαῦτα.

Δεύτερον κεφάλαιόν ἐστιν, ἐν ᾧ ὑποτίθεται τὴν ὕλην τὴν δριμεῖαν καὶ διαβρωτικὴν οὐκέτι τὴν κεφαλὴν ἐπηρεάζουσαν, ἀλλὰ φερομένην εἰς τὸ ἀκουστικὸν νεῦρον καὶ ποιοῦσαν φλεγμονὴν χαλεπωτάτην. καὶ ἐπικίνδυνός ἐστιν ἡ τοιαύτη διάθεσις διά τε τὸ παράκεισθαι τὸν ἐγκέφαλον, τὴν τοιαύτην ἀρχὴν, καὶ διὰ τὸ τὴν δευτέραν αἴσθησιν ἐπηρεαζομένην εἶναι καὶ πάσχουσαν. τί γὰρ ὅτι καὶ ὀξὺς πυρετὸς συνεδρεύει καὶ σπασμὸς διὰ τὸν ἐγκέφαλον. ἀλλὰ καὶ παραφροσύνη γίνεται, καὶ διὰ τοῦτο χαλεπωτάτη καὶ ἐπικίνδυνός ἐστιν ἡ τοιαύτη διάθεσις. μάλιστα δὲ οἱ ἀκμάζοντες περιτυγχάνοντες τῇ τοιαύτῃ διαθέσει ἀπόλλυνται ἤπερ οἱ γέροντες. καὶ ἡ αἰτία δήλη ἐστίν. οἱ γὰρ ἀκμάζοντες μᾶλλον ἀπόλλυνται διὰ τὸ περιττὸν τῆς αἰσθήσεως. μεγάλας γὰρ ὑφίστανται καὶ σφακελώδεις καὶ σφοδροτέρας τὰς ὀδύνας, καὶ μὴ ὑποφέροντες ἀπόλλυνται. περισώζονται δὲ οἱ γέροντες, ἐπειδὴ οὐκ ἔχουσιν οὕτως ἠκριβωμένην τὴν αἴσθησιν, ἀλλ᾿ ἀσθενῆ καὶ ἀδρανῆ, καὶ οὐχ οὕτως μεγάλας καὶ σφακελώδεις ὑφίστανται τὰς ὀδύνας. εἰ δέ γε συμβαίη ποτὲ τὸν δεύτερον πλοῦν ὁδεῦσαι τὴν φύσιν καὶ πυοποιῆσαι τὴν ὕλην, μᾶλλον οἱ ἀκμάζοντες περισώζονται, ἐὰν ὑπενέγκωσι τὰς ἐν τῷ μέσῳ τῆς πυοποιήσεως ὀδύνας, ἤπερ οἱ γέροντες, ἐπειδὴ τοῖς ἀκμάζουσι καὶ πλούσιόν ἐστι τὸ ἔμφυτον θερμὸν καὶ ἡ δύναμις ἐῤῥωμενεστέρα ἐστὶ, καὶ τοτηνικαῦτα ὕλη ὡς 1) ὅλη μεταβάλλεται καὶ πέττεται ἡ ὕλη καὶ διαφορεῖται τῇ περιουσίᾳ τοῦ θερμοῦ καὶ τῇ ῥώμῃ τῆς δυνάμεως. οἱ δὲ γέροντες ἀπόλλυνται μᾶλλον, ἐπειδὴ οὐκ ἔστι περιουσία θερμοῦ ἐν αὐτοῖς, ἀλλ᾿ ἀμυδρά ἐστι καὶ

1) ὅλην M.

ἀνίσχυρος, ἀλλὰ καὶ ἡ δύναμις ἀσθενεστέρα ἐστὶν ἐπ᾽ αὐτῶν, καὶ τοτηνικαῦτα οὐ πέττεται οὐδὲ διαφορεῖται ἡ ὕλη, ὅθεν τῷ μήκει τοῦ χρόνου καὶ ὑποτροπιασμοὺς ὑπομένουσι καὶ οὕτως ἀπόλλυνται.

Τρίτον κεφάλαιόν ἐστιν, ἐν ᾧ ὑποτίθεται τὴν δριμεῖαν καὶ διαβρωτικὴν ὕλην φερομένην ἐπὶ φάρυγγα καὶ λάρυγγα. καὶ φάρυγξ ἐστὶν ἡ ἔνδον ἀχάνεια τοῦ στόματος, ἡνίκα ἐπὶ τὰ κάτω πιλοῦντες τὴν γλῶσσαν ὁρῶμεν αὐτὴν καὶ ψαύομεν, 1) ἥτινι ἀποπερατοῦνται καὶ οἱ δύο πόροι, ὅ τε τοῦ οἰσοφάγου καὶ ὁ τοῦ λάρυγγος. 2) ἐὰν ἐκεῖ ἐνεχθῇ ἡ ὕλη, χαλεπώτατόν ἐστι, μάλιστα συνεδρευόντων καὶ τῶν χαλεπῶν συμπτωμάτων, λέγω δὴ ὀξὺς πυρετὸς, δύσπνοια, δυσκαταποσία καὶ τὰ τοιαῦτα, ἐπειδὴ καὶ ἡ κατάποσις καὶ ἡ ἀναπνοὴ περὶ τὸ ζῆν ἡμῖν συμβάλλουσι. τούτων δὲ βλαπτομένων, ἀνέλπιστός ἐστιν ἡ ζωή. εἶτα καὶ διορίζει ἑκάτερον καὶ λέγει ἰδίᾳ καὶ χωρὶς τῆς τε λάρυγγος καὶ τῆς φάρυγγος πάθη. καὶ ὑποτίθεται ὁ Ἱπποκράτης τὴν ὕλην τὴν δριμεῖαν καὶ διαβρωτικὴν ἐπὶ φάρυγγα ἐνεχθεῖσαν καὶ καταλέγει τρεῖς διαφορὰς κυνάγχης ὁμωνύμως τῷ γένει ἀμφότερα τὰ πάθη κοινῶς πάσας. οἱ μέντοι ἐξηγηταὶ ὑπὸ διαίρεσιν ἀνάγοντες τὸν λόγον, τέσσαρας διαφορὰς λέγουσι 3) κυνάγχης, καὶ ἑκάστῃ ἰδίᾳ καὶ χωρὶς ὀνόματα ἐπιτιθέασι. φασὶ γὰρ ὅτι αὕτη ἡ δριμεῖα ὕλη φερομένη ἐπὶ λάρυγγα 4) ἢ εἰς τοὺς ἔνδον μύας τοῦ λάρυγγος φέρεται ἢ εἰς τοὺς ἐκτός. καὶ εἰ μὲν εἰς τοὺς ἔνδον, ποιεῖ φλεγμονὴν ἥντινα φλεγμονὴν καὶ οἱ ἐξηγηταὶ καὶ ὁ Ἱπποκράτης κυνάγχην ὀνομάζουσιν, ἥτις φλεγμονὴ οὔτε τῇ ὁράσει ὑποπίπτει οὔτε τῇ ἁφῇ. ἔνδον γάρ ἐστιν ἡ φλεγμονή. καὶ διὰ τοῦτο κακίστη ἐστὶ καὶ ἐπικίνδυνος. τῆς γὰρ φλεγμονῆς εἰς τοὺς ἔνδον μύας γινομένης, μεγίστη γίνεται ὀδύνη καὶ σφακελώδης, ἀλλὰ καὶ ἡ κατάποσις ἐμποδίζεται καὶ δυσχερὴς γίνεται, ἀλλὰ καὶ δύσπνοια παρακολουθεῖ, καὶ κινδυνεύουσι πνιγμωδῶς.

---

1) ἡ ἔνθα M. A. 2) ἐὰν om. Codd. 3) δυσπνοίας L. 4) καὶ — καὶ M. A.

Εἰ δέ γε εἰς τοὺς ἔξωθεν μύας ἐνεχθῇ ἡ ὕλη καὶ ἡ φλεγμονὴ εἰς αὐτὰ συσταίη εἰς τὰ 1) *περὶ τὸν τράχηλον καὶ αὐχένα χωρία, καλοῦσιν οἱ ἐξηγηταὶ τὴν τοιαύτην διάθεσιν παρακυνάγχην, ἥτις οὐδέ ἐστι χαλεπὴ ὥσπερ ἡ πρώτη. ἡ μὲν γὰρ ὀδύνη συνέστη διὰ τὴν φλεγμονὴν, ἀλλ' ὑφειμένη, ἀλλ' οὐδὲ ἡ κατάποσις κωλύεται οὕτως, ἀλλ' οὐδὲ δύσπνοια παρακολουθεῖ, ἐπειδὴ ἔξω ἐστὶν ἡ φλεγμονή. εἰ μέντοι χρονίζει, καὶ οὗτοι ἀπόλλυνται.*

Εἶτα ὑποτίθεται φερομένην τὴν ὕλην ἐπὶ φάρυγγα. καὶ ἐνταῦθα ἢ εἰς τοὺς ἔνδον μύας τῆς φάρυγγος φέρεται ἡ ὕλη ἢ εἰς τοὺς ἐκτός. καὶ εἰ μὲν εἰς τοὺς ἔνδον, οὐ γίνεται ὄγκος φλεγμονώδης, ἀλλ' ὄγκος ἐρυσιπελατώδης, ἔχων ἔρευθος, ὡς ἀπὸ χολωδεστέρου καὶ λεπτοτέρου αἵματος γινομένου τοῦ ῥευματισμοῦ, ὅντινα ἐρυσιπελατώδη ὄγκον συνάγχην ὀνομάζουσιν οἱ ἐξηγηταὶ ἰδίως, ἥτις οὐδέ ἐστιν ἐπικίνδυνος, ὥσπερ αἱ πρῶται διαθέσεις. αὕτη δὲ ἡ διάθεσις καὶ ὁρᾶται, ἀνοιγομένου τοῦ στόματος, οὐκ ἔστι δὲ ἐπικίνδυνος, ἐπειδὴ οὐδὲ οὕτως ὀδυνῶνται σφοδρῶς, οὔτε δύσπνοια παρακολουθεῖ, ἀλλ' οὐδὲ δυσχεραίνουσι περὶ τὴν κατάποσιν, εἰ μὴ ἐπ' ὀλίγον τι. εἰ δέ γε ὡς ἐλαχίστη τις μοῖρα τῆς ὕλης ἔλθῃ εἰς τοὺς ἔνδον μύας 2) *τῆς φάρυγγος, καὶ ποιήσῃ μικρὸν ἔρευθος, τὸ δὲ πλεῖστον τῆς ὕλης ἐνεχθῇ εἰς τοὺς ἔξω μύας, λέγεται τὸ πάθος παρασυνάγχη, ἥτις περὶ τὸν τράχηλον καὶ τὸν αὐχένα συνίσταται, ἥτις καὶ σαφῶς ὁρᾶται. αὕτη δὲ ἡ διάθεσις ἀκινδυνοτέρα πασῶν ἐστιν, ἐπειδὴ* 3) *οὐδὲ παρεμποδίζεται τῇ καταπόσει, οὔτε μὴν ὀδύνη παρακολουθεῖ, ἀλλ' οὐδὲ δύσπνοια ἕπεται, ἐπειδὴ ἐκτός ἐστιν ἡ φλεγμονὴ καὶ διὰ τοῦτο ἀκινδυνοτέρα ἐστὶν, εἰ μή τι, ὡς φησὶν Ἱπποκράτης, ἐξαίφνης ἀφανὴς γένηται ἡ τοιαύτη φλεγμονή. ἐὰν γὰρ ἐξαίφνης ἀφανὴς γένηται, δηλοῖ ὅτι ἐγκαταλιποῦσα ἡ ὕλη τὰ ἀκυρότερα μόρια καὶ τὰ ἐπιπολῆς, ἐπὶ τὸ βάθος καὶ ἐπὶ τὰ κυριώτερα μόρια ἔῤῥευσεν ἡ ὕλη. καὶ ὅσον οὔπω κίνδυνος ἕπεται ἀπειλῆς καὶ*

1) *παρὰ* M. 2) *τοῦ* L. 3) *οὐδὲν παρέμποδος γίνεται τῆς καταπ.* M. A.

θανάτου, εἰ μὴ 1) ἄρα ὅτι μετὰ τὸ ἐξαίφνης ἀφανῆ γενέσθαι 2) τὴν φλεγμονὴν καὶ πύου πλῆθος, ἀναγωγὴ γένηται, ἢ πτυέλου πλῆθος ἐκκριθῇ, καὶ οὕτως κενωθεῖσα ἡ ὕλη, ἐλευθερωθῶσι τοῦ κινδύνου.

Τοῖσι δὲ νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. —

Ἰστέον ὅτι ὁ Ἱπποκράτης τὴν ἀκμαστικὴν ἡλικίαν μέχρι τοῦ λε΄ 3) χρόνου εἶναι λέγει· πλὴν ὁ Ἱπποκράτης τὸ ὡς ἐπίπαν θεωρήσας, εἶπε τοῦτο, ἐπείτοι γε ἡ κρᾶσις ἐστὶν ἡ ἐπιτιθεῖσα τοὺς ὅρους ταῖς ἡλικίαις. πολλοὶ μὲν γὰρ θερμοὶ ὄντες τὴν κρᾶσιν καὶ μέχρι τῶν τεσσαράκοντα ἐτῶν καὶ πεντήκοντα ἤκμασαν κατὰ τὴν ἡλικίαν, ἄλλοι δὲ ψυχροὶ ὄντες τῇ κράσει μέχρι τῶν 4) τριάκοντα ἐτῶν ἤκμασαν.

Παραφρονῆσαι γὰρ κίνδυνος τὸν ἄνθρωπον καὶ ἀπολέσθαι. —

5) *Ἐπιχειροῦσί τινες καὶ ὅσον ἐκ τοῦ νῦν λεγομένου, καὶ λέγουσιν ἐν ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικὸν ὡς καὶ τῷ Γαληνῷ δοκεῖ. ἐὰν γὰρ, πυοποιουμένης τῆς ὕλης ἐν τῇ ἀκοῇ, παραφροσύνη ἐπακολουθῇ, διὰ τὸ 6) ἐπιπαράκεισθαι τὸν ἐγκέφαλον. ἡ δὲ παραφροσύνη βλάβη ἐστὶ τῶν ἡγεμονικῶν ἐνεργειῶν. οὐκοῦν ἐν ἐγκεφάλῳ ἐστὶ τὸ ἡγεμονικόν. ὁ δὲ νέος ἐξηγητὴς λέγει, ὅτι οὐ διὰ τὸν ἐγκέφαλον γέγονεν ἡ παραφροσύνη, ἀλλὰ διὰ τὸν πυρετόν. ἔφη γὰρ ὅτι ὀξὺς πυρετὸς σύνεστιν. ὁ δὲ πυρετὸς ἀπὸ καρδίας 7) ὁρμᾶται. διὰ δὲ τὸν πυρετὸν παραφροσύνη γίνεται. οὐκοῦν ἐν καρδίᾳ ἐστὶ τὸ ἡγεμονικόν.*

Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι ἀποτέμνεσθαι καὶ ἀποκαίεσθαι καὶ ἀποσχάζεσθαι, ἔστ' ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι. —

8) *Νῦν διαλέγεται ὁ Ἱπποκράτης ἀπὸ τοῦ γαργαρεῶνος καὶ σημειοῦται καὶ τὰ ἐν αὐτῷ συνιστάμενα πάθη, καὶ συμπλέκει τῷ σημειωτικῷ λόγῳ καὶ θεραπευτικὴν*

---

1) *ἄρα*] *τι* M. *μετὰ* om. L. 2) *τὸν ὄγκον* L. 3) *χρόνου* pro *ἔτους*. 4) *μ΄* M. A. 5) *περὶ ὠτὸς ὀδύνης* L. in mg. 6) *ἐπίκεισθαι* M. A. 7) *ὥρμηται* M A. 8) *περὶ γαργαρεώνων* L. in mg.

θεωρίαν. ἐπειδὴ οὖν πρόκειται αὐτῷ περὶ γαργαρεῶνος διαλεχθῆναι, πέντε τινὰ περὶ τοῦ γαργαρεῶνος ζητήσωμεν· πρῶτον τὴν οὐσίαν αὐτοῦ, δεύτερον τὴν χρείαν, τρίτον τὴν ἐνέργειαν, τέταρτον τὰ πάθη τὰ συνιστάμενα ἐν αὐτῷ, καὶ πέμπτον τὰς θεραπείας.

Καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. τίς ἡ οὐσία τοῦ γαργαρεῶνος; σαρκώδης ἐστί. κατά τινας δὲ ἁπλῆ ἐστι σὰρξ ἐκ τῆς πήξεως τοῦ αἵματος.

Ἡ δὲ ἐνέργειά ἐστι τοῦ 1) γαργαρεῶνος, τὸ δίκην πλήκτρου τὸ ἐκπνεόμενον πνεῦμα ἀπὸ θώρακος τυγχάνειν καὶ ἀποτελεῖν τὴν φωνήν. τί γὰρ ὅτι τοῦ πνεύματος 2) ἀπωθουμένου ἀπὸ θώρακος, δίκην πλήκτρου προσκροῦον ἐν τῷ γαργαρεῶνι μορφοῦται καὶ οἷον εἰδοποιεῖται καὶ ῥυθμίζεται, καὶ ποιεῖ τὴν ἀπήχησιν τῆς φωνῆς.

Ἡ δὲ χρεία διάφορός ἐστι. τί γὰρ ὅτι χρειώδης ἐστὶν ὁ γαργαρεὼν πρὸς τὰς ἀκρατεῖς καὶ ἀκολάστους καὶ ἀμέτρους τοῦ ἀέρος πνοάς, τυχὸν ὅτε θερμὸς εἰσπνεῖται ἄγαν ἀὴρ ἢ ψυχρός, τούτων ὁ γαργαρεὼν κολάζει τὴν ἀμετρίαν τοῦ ἀέρος καὶ ἄκρατον ἐν τῇ εἰσπνοῇ καὶ ἐν συμμετρίᾳ ἄγει, καὶ οὐκέτι πληκτικὸς εὑρίσκεται ὁ εἰσπνεόμενος ἀὴρ τῆς τραχείας ἀρτηρίας καὶ τοῦ 3) πνεύμονος καὶ τῆς καρδίας. ἀλλὰ καὶ καθ' ἕτερον τρόπον χρειώδης ἐστὶν ὁ γαργαρεών. τί γὰρ ὅτι ἀκαθάρτου εἰσπνεομένου ἀέρος, τυχὸν μετὰ κονιορτοῦ ἢ καπνοῦ, ἢ ἄλλως ἀκαθάρτου αὐτοῦ εἰσπνεομένου, ἀποκαθαίρεται δίκην ἰσθμοῦ τὸ ἀκάθαρτον, καὶ καθαρὰν τὴν εἰσπνοὴν τοῦ ἀέρος ποιεῖται.

Τὰ δὲ πάθη τὰ συνιστάμενα ἐν αὐτῷ διάφορά εἰσι. πάσχει γὰρ καὶ ὁμοιομερῆ πάθη, πάσχει καὶ ὀργανικά. καὶ ὁμοιομερῆ μὲν πάσχει, πάσας τὰς δυσκρασίας, ἡνίκα θερμαίνεται ἢ ψύχεται ἢ ξηραίνεται ἢ ὑγραίνεται. ἢ κατὰ συζυγίαν ἑκάστην δυσκρασίαν πάσχει, τυχὸν θερμαίνεται καὶ ὑγραίνεται ἢ θερμαίνεται καὶ ξηραίνεται

1) θωρακεῶνος L. 2) ἐξωθ. M. 3) πνεύματος τῆς L.

καὶ 1) τὰς λοιπάς. ἀλλὰ καὶ ὀργανικὰ πάθη πάσχει, 2) παντοίων τυχὸν ὄγκων. ὁ μέντοι Ἱπποκράτης ὀλίγων παθῶν ἐνταῦθα μέμνηται. φησὶ γὰρ ὅτι ὁ γαργαρεὼν ἢ ἰσχναίνεται καὶ ταπεινοῦται, καὶ λέγεται ἱμὰς ὅπερ ἐστὶ λῶρος, ἢ ὅλως ὀγκοῦται καὶ φλεγμαίνει δίκην κίονος καὶ λέγεται κιονὶς, ἢ 3) καταφερὴς γίνεται ὁ ῥευματισμὸς τῆς ὕλης, καὶ τὸ κάτω μέρος φλεγμαίνει καὶ λέγεται σταφυλὴ, ἐοικυῖα τῇ 4) ῥαγὶ τῆς σταφυλῆς. κακὰ δέ ἐστι τὰ πάθη ταῦτα, ἐπειδὴ μεγάλους καὶ τοὺς κινδύνους ἐπιφέρουσι κατὰ δύο τρόπους. τί γὰρ ὅτι πρῶτον μὲν κωλύεται ἡ κατάποσις καὶ ἡ ἀναπνοή. λοιπὸν δὲ καὶ κατ᾽ ἄλλον τρόπον εἰσὶ τὰ πάθη ταῦτα κακὰ, ὅτι κατὰ τὸ συνεχὲς μεταδίδοται τῷ ἐγκεφάλῳ τὸ πάθος καὶ ποιεῖ παραφροσύνας καὶ σπασμούς.

Λοιπὸν δὲ ἡ θεραπεία ζητείσθω, καί φησιν ὅτι ἐὰν ὅλως φλεγμαίνῃ ὁ γαργαρεὼν καὶ λέγεται κιονὶς, καὶ ἐπίφοβός ἐστιν ἡ θεραπεία, οὔτε 5) τομῇ χρεὼν ἐστι χρήσασθαι, οὔτε δὲ καύσει διὰ δύο αἰτίας. ἐπειδὴ γὰρ εὐαίσθητός ἐστιν ὁ γαργαρεὼν διὰ τὸ πλησιάζειν τὸν ἐγκέφαλον, διὰ τοῦτο μεγάλαι ἐπιγίνονται ὀδύναι καὶ ἐπὶ τῇ τομῇ καὶ ἐπὶ τῇ καύσει, ἀλλὰ δεόντως τοῖς στυπτικοῖς καὶ ἀποκρουστικοῖς χρήσασθαι βοηθήμασιν, ἅτινά ἐστι τὸ ὑδρορροσάτον ἢ τὸ ἀφέψημα τὸ ἀπὸ τῆς φακῆς καὶ 6) ξυλοκεράτων καὶ ἀκάνθης αἰγυπτίας καὶ στυπτηρίας καὶ τῶν τοιούτων. εἰ δὲ ἐπὶ τὰ κάτω ὁ ῥευματισμὸς τῆς ὕλης γένηται, ὥστε γενέσθαι σταφυλὴν, τότε ἀδεῶς χρῆσθαι καὶ τῇ τομῇ καὶ τῇ καύσει, μὴ ἐκ βάθους καὶ ἄνωθεν, ἐπείτοι γε ἄφωνος γίνεται ὁ ἄνθρωπος, ἐπειδὴ αὐτό ἐστι τὸ μορφοῦν τὴν φωνήν. ἀλλὰ δεῖ κάτω ἐν ᾧ ἐστιν ἡ φλεγμονὴ, τῇ τομῇ χρήσασθαι καὶ τῇ καύσει· πλὴν δέον προσέχειν τὴν φλεγμονήν. εἰ μὲν γὰρ μετά τινος νομώδους ἢ σήψεώς ἐστιν 7) ἡ φλεγμονὴ, τότε δεῖ ἀποτέμνειν ἢ καίειν κατὰ τὸ ἄνω μέρος τὸ 8) ἐναπομένον καὶ τοῖς εἰρημένοις στυπτικοῖς καὶ ἀπο-

1) τὰ λοιπὰ M. 2) παντοίως L. ὄγκον L. 3) κατωφερὴς M. 4) ῥογῇ M. A. 5) τομὴν L. 6) Cerasa. 7) ἡ φλεγ. om. M. 8) ἀπομένον M.

κρουστικοῖς δέον χρήσασθαι. εἰ δέ γε μηδὲν τούτων σύνεστιν, ἀλλὰ φλεγμονὴ μόνη, τότε δεῖ κατασχάζειν καὶ τέμνειν. τὸ τηνικαῦτα γὰρ διὰ τῶν τομῶν ἐκκενοῦται ἡ ὕλη καὶ ὑγιάζονται ἐπὶ τῇ κενώσει· πλὴν τοῦτο δεῖ σε ποιεῖν καὶ προκαθαίρειν δέον ἐστὶν ὑπηλάτῳ τὴν γαστέρα καὶ κενοῦν αὐτὴν καὶ 1) ἀρευμάτιστον ποιεῖν τὸν τόπον, καὶ εἶθ' οὕτως καίειν ἢ τέμνειν τὴν σταφυλὴν, καὶ χρῆσθαι τοῖς προειρημένοις βοηθήμασι. πλὴν δεῖ σε καὶ τοῦτο γινώσκειν ὡς πολλάκις μεγάλη ἐστὶν ἡ φλεγμονὴ, ὥστε πνιγμὸν ποιῆσαι, καὶ τὸ τηνικαῦτα οὐ δεῖ ἐγχειρεῖν τῇ θεραπείᾳ, ἐπειδὴ οὐ περιγίνονται τοῦ πάθους, ἀλλὰ πνιγμωδῶς ἀπόλλυνται. δέον οὖν ἐστιν ἐκφυγεῖν τὴν θεραπείαν καὶ μὴ ἐγχειρεῖν διὰ τὸ ἄμεμπτον καὶ ἀνέγκλητον φυλάξαι τὴν τέχνην.

Δεύτερόν ἐστι κεφάλαιον ἐν ᾧ ἐπαναλαμβάνεται περὶ τῶν ἤδη λεχθέντων ἀποστημάτων· ἀλλὰ πρὸ τούτου περὶ τῶν ἐξ ὑποστροφῆς γινομένων νοσημάτων κεφαλαιωδῶς διαλέγεται, καί φησιν ὅτι πυρετοὶ ἀθρόως παύονται, μὴ φανέντων τῶν λυτηρίων σημείων, μηδὲ ἐν κρισίμοις ἡμέραις γινομένων, ἀτελῶς καὶ ἐλλιπῶς, τυχὸν οὔρου 2) πλῆθος κένωσις, ἢ γαστρόῤῥοια ἢ αἱμοῤῥαγία, ἀλλ' 3) οὕτως ἀνεπαισθήτως ἀθρόως ἐπαύθησαν οἱ πυρετοὶ, τότε γίνωσκε ὅτι τὰ τοιαῦτα νοσήματα φιλυπόστροφά εἰσι κατὰ τὸ εἰρημένον τῷ Ἱπποκράτει, τὰ γὰρ ἀσήμως ῥαστωνήσαντα φιλυπόστροφά εἰσιν. εἰ δὲ φανέντων τῶν λυτηρίων σημείων, καὶ ἐν κρισίμοις ἡμέραις αὐτῶν φανέντων, τότε ἀσφαλὴς καὶ βεβαία γίνεται ἡ ἀπαλλαγὴ τοῦ νοσήματος.

Τούτων οὕτως προλεχθέντων, διαλέγεται περὶ τῶν ἄνωθεν αὐτῷ λεχθεισῶν ἀποστάσεων, ἀλλὰ πρὸ τούτου δέον ἐστὶν διαιρέσει τινὶ ἐπιμνησθῆναι, ἥντινα διαφόρως εἰρήκαμεν. ἔστι δὲ αὕτη. τῶν νοσημάτων τὰ μέν εἰσιν ὀξέα, τὰ δὲ χρόνια. τὰ δὲ χρόνια νοσήματα διαφόρως γίνονται· ἢ γὰρ δυσλύτως ἔχει τὸ μόριον τῷ πάθει ὥσπερ

---

1) εὐρεμάτιστον M. A. 2) Num πλήθους? 3) Fort. omissum εἰ.

περιπνευμονία καὶ 1) ἕλκος εἰς τὴν κύστιν καὶ νεφρῖτις καὶ τὰ τοιαῦτα, χρόνια ἐνδείκνυται τὰ νοσήματα 2) ἢ διὰ τὸ ὠμὴν καὶ παχεῖαν εἶναι τὴν ὕλην, χρόνια ἐνδείκνυται τὰ νοσήματα, ἢ διά τι περιστατικὸν τυχὸν διὰ λύπην ἐπίμονον καὶ συνεχῆ καὶ φροντίδα ὁμοίως ἐπίμονον, χρόνια γίνονται τὰ νοσήματα. ἐπὶ γὰρ τῶν τοιούτων παθῶν, διὰ τὸ ἀπασχολεῖσθαι τὴν φύσιν, οὐ συμπέττει τὴν ὕλην καὶ τοτηνικαῦτα χρόνια γίνονται τὰ νοσήματα. τὰ δὲ ὀξέα νοσήματα ἐπὶ θερμῇ καὶ λεπτῇ καὶ χολώδει ὕλῃ γίνονται. ἐὰν οὖν 3) ἀποστάσεις ἐπὶ τῶν παθῶν γίνωνται, τῷ τρόπῳ τούτῳ· ἐὰν 4) γὰρ λεπτή ἐστιν ἡ ὕλη καὶ θερμὴ καὶ ἡ δύναμις ἐῤῥωμένη, τότε 5) καὶ πάντως καὶ κατ᾽ ἔκρουν κενοῦται ἡ ὕλη διὰ τῶν φυσικῶν ὑπονόμων, καὶ κριτικῶς παύεται τὸ νόσημα. εἰ δέ γε ὠμή ἐστιν ἡ ὕλη καὶ παχεῖα καὶ γλίσχρα καὶ ψυχρὰ, ὑπόκειται δὲ καὶ ἀσθενὴς ἡ δύναμις καὶ καταβεβλημένη, οἱ τοιοῦτοι φθείρονται καὶ ἀπόλλυνται. εἰ δέ γέ ποτε σπανίως περισώζονται χρόνῳ τινὶ κατακερματιζομένης τῆς ὕλης καὶ εἰς λεπτὰ καταθραυομένης καὶ οἷον συμπεττομένης ἀπό τινος συστοίχου ὥρας θερμῆς ἢ ἡλικίας ἢ καταστήματος θερμοῦ γινομένου, λύεται τὸ νόσημα δι᾽ οὔρων τυχὸν 6) κατὰ σμικρὸν συμπεττομένης, σπανίως δὲ διὰ γαστρὸς καὶ οὕτως λύεται τὸ νόσημα καὶ 7) περισώζονται. εἰ δὲ ὠμῆς καὶ παχείας καὶ 8) γλίσχρου οὔσης τῆς ὕλης καὶ ἔῤῥωται ἡ δύναμις, τότε ἡ φύσις δεύτερον πλοῦν ὁδεύουσα ἀποδιώκει τὴν ὕλην ἀπὸ τῶν κυριωτέρων μορίων ἐπὶ τὰ ἀκυρότερα μόρια καὶ εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. καὶ εἰ μὲν ἐπ᾽ ἔλαττόν ἐστιν ἐῤῥωμένη ἡ δύναμις, ἐπὶ τὰ παρακείμενα μόρια πέμπει τὴν ὕλην, τυχὸν ἐπὶ τὰ παρίσθμια. εἰ δὲ ἐπὶ πλέον ἔῤῥωται, ἐπὶ τὰ ἄκρα ἀποδιώκει τὴν ὕλην καὶ οὕτως γίνονται αἱ 9) ἀποστάσεις. εἰ δέ γε λεπτῆς οὔσης τῆς ὕλης καὶ θερμῆς, ἀσθενής τε ἡ δύναμις, τότε μὴ ἰσχύουσα ἡ φύ-

1) ἕλκωσις M. A. 2) ἢ — νοσήματα om. L. 3) ἀποστασίαι M. 4) οὖν M. 5) πάντη τε add. M. 6) κατὰ — γαστρὸς om. L. 7) περισώζονται] διὰ γαστρὸς δὲ σπανίως L. 8) Sic! 9) ἀποστασίαι M.

σις ἀπωθῆσαι ἐπὶ τοὺς φυσικοὺς ὑπονόμους τὴν ὕλην, ἐξ ἀνάγκης διὰ τὴν οἰκείαν ἀσθένειαν ἐπὶ τὰ παρακείμενα μόρια πέμπει τὴν ὕλην, καὶ τότε πάλιν εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα, οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως. καὶ οἱ μὲν ἐξηγηταὶ ταῦτα καὶ μόνα ἡμῖν 1) παραδίδωσιν, ὁ μέντοι Ἱπποκράτης ἀπὸ τῆς ἡλικίας λαμβάνει τὴν ἔνδειξιν, καί φησιν ὅτι ἐπὶ τῶν ἀκμαζόντων, ὡς ἐπίπαν αἱ ἀποστάσεις γίνονται, ἐπ᾽ ἔλαττον δὲ ἐπὶ τῶν παρακμαζόντων, ἐπὶ δὲ τῶν γερόντων οὐδόλως γίνονται αἱ ἀποστάσεις. εἰ μὲν γὰρ ἀκμαστική ἐστιν ἡ ἡλικία 2) καὶ θερμὴ καὶ λεπτὴ ἡ ὕλη, ἀσθενὴς δὲ ἡ δύναμις, εἰς ἀποστασίαν τρέπεται τὸ νόσημα. εἰ δὲ ἀκμαστικῆς οὔσης τῆς ἡλικίας, ὠμὴ καὶ παχεῖα καὶ ψυχρὰ καὶ γλίσχρα ἐστὶν ἡ ὕλη, ἐῤῥωμένη δὲ ἡ δύναμις, πάλιν εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. ἐπὶ δὲ τῶν παρακμαζόντων ἐπ᾽ ἔλαττον γίνονται αἱ ἀποστάσεις. τί γὰρ ὅτι ὠμὴ καὶ παχεῖα καὶ ψυχρά ἐστιν ἡ ὕλη ἐπ᾽ αὐτῶν, ἐῤῥωμένη δὲ 3) τὸ τέως ἡ δύναμις καὶ διὰ τοῦτο εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα. ἐπὶ μέντοι τῶν γερόντων ἀμφότερά εἰσι καὶ ὠμὴ καὶ ψυχρὰ καὶ παχεῖα ἡ ὕλη, καὶ ἡ δύναμις ἀσθενὴς, καὶ τοτηνικαῦτα φθείρονται καὶ ἀπόλλυνται. ἀπόστασις γὰρ αὐτοῖς οὐ γίνεται. ταῦτα εἰρηκὼς θεώρημα 4) πάνυ ἀναγκαῖον καὶ ἀσφαλὲς ἐπάγει, καί φησιν, ὅτι ἐπὶ πάντων τῶν ἀποστάσεων τῶν ἤδη λεχθεισῶν συνεχεῖς καὶ ἀδιάκοποί εἰσιν οἱ πυρετοί. εἰ δὲ μετὰ τὸ ἤδη προγενέσθαι χρόνῳ τινὶ τὴν συνέχειαν τῶν πυρετῶν διαδέξηται διάλειμμα, εἶτα μετὰ τὸ διάλειμμα ἐπιγένωνται πλανῆταί τινες πυρετοὶ, γίνωσκε ὅτι εἰς τεταρταῖον πυρετὸν τελευτᾷ.

Ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρᾶσθαι κατισχναίνειν. —

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἐπὶ τῆς κιονίδος οὐ δεῖ χρῆσθαι τομῇ ἢ καύσει διὰ τὸ ἀφορήτους γίνεσθαι αἱμοῤῥαγίας, ἀλλὰ καὶ μεγίστας ὀδύνας καὶ παραφροσύ-

---

1) Fort. παραδιδοῦσιν. 2) καὶ — ἡλικίας om. L. 3) τὸ τέως om. L. ἀποστασίαν M. 4) πάνυ om. M. A.

νας καὶ σπασμοὺς καὶ τὰ τοιαῦτα. ἀλλὰ δεῖ ἐπὶ τῆς τοιαύτης διαθέσεως, λέγω δὴ ἐπὶ τῆς κιονίδος, τοῖς ἄλλοις μηχανήμασι χρῆσθαι, τυχὸν τοῖς ἀποκρουστικοῖς καὶ τοῖς στύφουσι καὶ τοῖς συμπέττουσιν ὁποῖά ἐστιν ἄκανθα αἰγυπτία καὶ ὄμφαξ καὶ 1) κικὶς καὶ φακὴ καὶ στυπτηρία σχιστὴ καὶ ἕτερα πλεῖστα βοηθήματα πρὸς τὸ πάθος ἁρμόζοντα. —

Ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. —

Καλῶς πάνυ καὶ θαυμασίως ἐχρήσατο τῇ λέξει, εἰρηκὼς διαχειρίζειν. πλατικωτέρως γὰρ τοῦτο πεποίηκε καὶ οὐκ εἶπεν, ἀσφαλὲς χειρουργεῖν. ἡ γὰρ χειρουργία, πᾶσα ἡ διὰ 2) τῶν χειρῶν γινομένη ἐπιμέλεια τοῖς νοσοῦσι, χειρουργία ὀνομάζεται παρὰ τὸ τὴν χεῖρα ὀργᾷν. καὶ γὰρ καὶ τὸ διακαίειν χειρουργία ὀνομάζεται καὶ τὸ διαβρέχειν καὶ καταπλάττειν καὶ τὸ διατέμνειν καὶ ἁπλῶς πάντα τὰ διὰ τῶν χειρῶν γενόμενα, χειρουργία λέγεται. ἐπειδὴ οὖν τὸ πλεῖστον τῶν ἰδιωτῶν χειρουργίαν τὴν διὰ τοῦ σιδήρου τομὴν καὶ μόνην καλοῦσι, τοῦτο ἐκφυγὼν ὁ Ἱπποκράτης, ἵνα μὴ ἁπλῶς καὶ ὡς ἔτυχεν, ὡς ὁμολογούμενον, λαμβάνωσιν οἱ ἄνθρωποι, ἐκτέμνουσι τὴν σταφυλὴν ἢ τὴν κιονίδα, ἔφη πλατικῇ τῇ φωνῇ ἀσφαλὲς διαχειρίζειν. δεῖ γὰρ καὶ ἐπὶ τῆς σταφυλῆς τοῖς προῤῥηθεῖσι βοηθήμασι χρήσασθαι, καὶ 3) ὅταν κατὰ τὸ κάτω μέρος ἔλθῃ ἡ ὕλη, καὶ ἐκεῖσε γένηται ἡ φλεγμονὴ, τότε δεῖ χρήσασθαι τῇ κατασχάσει καὶ τῇ τομῇ. —

Ὅστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεστηκῶς διακειμένου τἀνθρώπου, μήτε ὀδύνης ἐχούσης, μήτε διὰ φλεγμονὴν καὶ τὰ ἑξῆς. —

Φησὶν ὅτι ἐὰν ὁ πυρετὸς ἐπίμονός ἐστι καὶ συνεχὴς, ἄνευ ὀδύνης ὑποκειμένης ἐν τῷ βάθει καὶ ἄνευ φλεγμονῆς καὶ ἄνευ τινὸς ἄλλης προφάσεως, τότε γίνωσκε, ὅτι εἰς ἀπόστασιν τρέπεται τὸ νόσημα μετὰ οἰδήματος. ἰστέον δὲ ὅτι πάντες οἱ παλαιοὶ πάντα ὄγκον οἴδημα ἐκάλουν, ἀλλὰ μετὰ προσδιορισμοῦ. προσδιορίζονται γὰρ οὕτως,

---

1) κικίδες M. 2) αὐτῶν M. 3) ὅτε M.

οἴδημα μετὰ ζέσεως ὅπερ ἐδήλουν τὸ ἐρυσίπελας· οἴδημα ἐκάλουν ἐκεῖνον τὸν ὄγκον, τὸν 1) εἴκοντα τῇ ἁφῇ καὶ ἀνώδυνον ὅπερ ἐστὶ τὸ κυρίως οἴδημα. οἴδημα ἐκάλουν καὶ τὸ σκληρὸν καὶ ἀντίτυπον, ὅπερ ἐστὶν ὁ σκίρος. ἐνταῦθα μέντοι οἴδημα τὴν φλεγμονὴν 2) ἐκάλεσεν ὁ Ἱπποκράτης.

Μᾶλλον δὲ γίνονται αἱ τοιαῦται ἀποστάσεις καὶ ἐν ἐλάσσονι χρόνῳ τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. —

Οὐ τοῦτο λέγει ὁ Ἱπποκράτης, ὅτι ὡς ἐπίπαν ἐπὶ τῶν ἀκμαστικῶν αἱ ἀποστάσεις μάλιστα γίνονται, ἐπὶ δὲ τῶν γερόντων οὐ γίνονται ὅλως ἀποστάσεις, ἀλλὰ λέγει ὅτι μάλιστα καὶ ὡς ἐπίπαν ἐπὶ τῶν ἀκμαζόντων γίνονται αἱ ἀποστάσεις, διὰ τὸ πλούσιον τοῦ ἐμφύτου θερμοῦ. γίνονται δὲ καὶ ἐπὶ τῶν γερόντων, ἀλλὰ σπανίως διὰ τὴν ὀλιγότητα τοῦ θερμοῦ.

Καὶ ἐπιλαμβάνειν πεπλανημένῳ τρόπῳ. —

Ἀπορία ἐνταῦθα ἀναφύεται, ἥτις ἐν διαφόροις ἀπορεῖται· ἔχει δὲ οὕτως· διὰ τί ἐπὶ μόνου τοῦ τεταρταίου προηγοῦνται πλανῆται, ἐπὶ δὲ τῶν ἄλλων πυρετῶν τυχὸν τοῦ ἀφημερινοῦ ἢ ἐπὶ τοῦ τριταίου οὔ; καί ἐστι πρώτη λύσις αὕτη, ὅτι διὰ τοῦτο ἐπὶ τῶν τεταρταίων προηγοῦνται πλανῆται, ἐπειδὴ ἐν διαφόροις τίκτεται μορίοις, καὶ ἐν μὲν τούτῳ τῷ μορίῳ ἀπὸ χολῆς ἔχει τὴν γένεσιν, ἐν 3) ἑτέρῳ δὲ ἀπὸ φλέγματος, ἐν ἄλλῳ δὲ 4) ἀπὸ αἵματος τρυγώδους. καὶ ἐπὶ τούτῳ ἤγουν ἐπὶ τῆς ἐν ἑκάστῳ μορίῳ φερομένης καὶ ἐκπεμπομένης ὕλης, διάφοροι καὶ αἱ εἰσβολαὶ γίνονται. ὅταν μέντοι τύχωσι τὰ μέτρα τοῦ μελαγχολικοῦ, τότε ὁ τεταρταῖος 5) τύπος ἐπικρατεῖ καὶ τῷ λόγῳ τούτῳ προηγοῦνται πλανῆται. πιθανὴ δέ ἐστιν ἡ λύσις αὕτη, οὐ μὴν τὸ ἀληθὲς ἔχει. ὅσον γὰρ ἐπὶ τοῦτο, ἐὰν ἐν διαφόροις γεννᾶται ὁ μελαγχολικὸς, οὐκοῦν 6) καὶ διάφοροι τεταρταῖοι γενήσονται, πλέον δὲ δύο

---

1) εἰκότα L. 2) ἐδήλωσεν L. 3) ἑτέροις M. 4) τοῦ τρυγ. τοῦ αἵμ. M. A. 5) τόπος L. 6) εἰ add. L.

1) ἤτοι τὸ πλεῖστον τρεῖς τεταρταῖοι γενήσονται, ἅτινα καὶ σπανίως γίνονται. ἕτεροι δὲ ἑτέραν λύσιν λέγουσιν ἀπὸ τῆς γεννήσεως τοῦ μελαγχολικοῦ ὁρμώμενοι, ὅτι οὗτος ὁ χυμὸς ἐκ τοῦ τρυγώδους τοῦ αἵματος γίνεται, καὶ ἐφ᾽ ὅσον ἐν τῷ τέως 2) τρὺξ ἐστιν, ἀνάψει ἐφήμερον· γίνεται μελαγχολικὸς καὶ ἐκ τῆς ὑπεροπτηθείσης χολῆς καὶ ἐφόσον τοτέως ἐστὶν ἡ χολὴ, τριταϊκὸν ποιεῖται τὸν κλόνον καὶ περίψυξιν. γίνεται μελαγχολικὸς καὶ ἀπὸ τοῦ ἀπογεωθέντος φλέγματος, ἀλλ᾽ ἐφ᾽ ὅσον φλέγμα ἐστὶν, ἀφημερινὴν ποιήσει τὴν περίψυξιν. ὅταν μέντοι ἀναλάβωσι τὰ μέτρα τοῦ μελαγχολικοῦ, τότε τεταρταϊκὴν ποιοῦνται τὴν περίοδον. καὶ αὕτη δὲ τὸ πιθανὸν ἔχει μόνον. ὅσον γὰρ ἐπὶ τοῦτο, ἔχει τις εἰπεῖν, ὅτι 3) ἴσος γενήσεται τύπος παροξυσμοῦ πρὸ τοῦ τεταρταίου. εἰ μὲν χολή ἐστιν ἡ ἐξυπερωπτημένη, τριταϊκὸν 4) ποιεῖ τὸν παροξυσμὸν καὶ μόνον· εἰ δὲ φλέγμα, ἀφημερινόν. ἀλλὰ νῦν ὁρῶμεν ὅτι οἱ πλανῆται διάφοροι 5) ἢ καὶ πολλοὶ εἰσβάλλουσι, καὶ ἀτάκτως καὶ ἀλληνάλλως ὑπαντῶσιν οἱ παροξυσμοὶ ἐπὶ τῶν πλανήτων. διὸ λέγουσιν ἑτέραν λύσιν, ἥντινα δέον ἐστὶ πειθαρχῆσαι, ἀπὸ τῆς συστάσεως τοῦ χυμοῦ λαμβάνοντες τὴν λύσιν. φησὶ γὰρ ὅτι ἐφ᾽ ὅσον λεπτότερός ἐστιν ὁ μελαγχολικὸς χυμὸς, θερμότερος τέως ἐστὶ καὶ τὰ τῆς χολῆς ποιεῖ, καὶ ἑτοίμως διὰ τὴν λέπτυνσιν διεξέρχεται τὸ βάθος, καὶ φέρεται ἐπὶ τὰ αἰσθητικὰ νεῦρα καὶ ποιεῖ τὸν κλόνον καὶ τὴν τριταϊκὴν περίψυξιν. ἐφ᾽ ὅσον δὲ παχύς ἐστι, ψυχρὰς αὔρας πέμπει ἐπὶ τὰ αἰσθητικὰ νεῦρα καὶ περὶ τὴν ἐπιφάνειαν, καὶ ποιεῖ περίψυξιν 6) ἀφημερινήν. οὕτως γίνονται οἱ πλανῆται καὶ προηγοῦνται τῷ τεταρταίῳ. ὅταν μέντοι εἰδοποιηθῇ καὶ ἀποτελεσθῇ ὁ κυρίως μελαγχολικὸς, τότε λοιπὸν τεταρταϊκῶς παροξύνει, ὅθεν ἀμέλει τινὲς καὶ τέσσαρας μῆνας ἐτεταρταΐσαν, ἕτεροι δὲ καὶ ἑπτὰ καὶ ἐννέα· ἄλλοι δὲ καὶ ἐνιαυτὸν καὶ δύο ἔτη, τινὲς δὲ καὶ ἐκινδύνευσαν.

---

1) εἴτε M. 2) τρὺξ ἀναφανεῖ ἐφήμερος L. 3) ἴσως M. A. 4) ποιήσεται M. A. 5) εἰπεῖν L. ἀλληνάλλου M. 6) ἄμφω M. A.

Ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι καὶ τὰ ἑξῆς. —

Ἰστέον ὅτι καὶ νῦν περὶ τῶν ὀξέων νοσημάτων διαλέγεται, σημειούμενος αὐτὰ εἴτε δι᾽ ἐμέτων εἴτε δι᾽ αἱμοῤῥαγίας μέλλει γίνεσθαι ἡ κατ᾽ ἔκρουν κρίσις. καὶ πρῶτον λέγει κοινὰ σημεῖα ἀμφοτέρων τῶν κενώσεων, ὅτι κοινῶς ἐπ᾽ ἀμφοτέρων κεφαλαλγίαι γίνονται αὐτοῖς καὶ 1) δυσφορία καὶ τάραχος τῶν ὀφθαλμῶν. λέγει δὲ καὶ ἴδια σημεῖα ἑκάστου, καὶ πρῶτον 2) τῆς δι᾽ ἐμέτων γινομένης κενώσεως λέγει, ὅτι ἐπὶ τῶν δι᾽ ἐμέτων μελλόντων 3) κενοῦσθαι κριτικῶς σὺν τοῖς ῥηθεῖσι σημείοις καὶ ὀρφνώδη τινὰ ὁρῶσι πρὸ τῶν ὀφθαλμῶν. ἐπὶ γὰρ τῷ ἐμέτῳ χολή ἐστι πάντως ἡ ἔχουσα ἐμεθῆναι, ἐπειδὴ 4) ὀξὺ ὑπεθέμεθα νόσημα. ἐν οὖν τῇ τοιαύτῃ κινήσει φέρεταί τι μέρος τῆς χολώδους τοιαύτης ὕλης περὶ τὸν ἐγκέφαλον. ὁ οὖν ἐγκέφαλος δεχόμενος τὴν τοιαύτην χολώδη ὕλην δι᾽ οἰκείαν ἰσχὺν καὶ ῥώμην δυνάμεως ἀποδιώκει τὴν ὕλην εἰς τὰ παρακείμενα μόρια, καὶ λοιπὸν μέρος τι τῆς ὕλης πέμπεται ἐπὶ τοὺς ὀφθαλμοὺς διὰ τοῦ ὀπτικοῦ νεύρου μολύνον τὸ ὀπτικὸν πνεῦμα, καὶ τοτηνικαῦτα ὀρφνώδη ὁρῶσι πρὸ τῶν ὀφθαλμῶν. ὀρφνώδη δέ εἰσι τὰ μέλανα ὁρώμενα κατὰ φαντασίαν. καὶ μὴ ἀπορήσῃς, ὅτι πῶς ἐπὶ τῇ ξανθῇ χολῇ ὀρφνώδη τινὰ μελάσματα ὁρῶσιν. ὤφειλον γὰρ ξανθὰ ὁρᾷν. ἡ γὰρ χολὴ ξανθή ἐστι, πῶς οὖν μέλανά τινα ὁρῶσιν; οὐδὲ γὰρ ἀπορεῖ τις ἐπὶ τοῖ πυρὸς, ὅτι πῶς τοῦ πυρὸς ἐρυθροῦ ὄντος, μέλας ἐστὶν ὁ ἐξ αὐτοῦ γινόμενος καπνός. τί γὰρ ὅτι ἐκ τοῦ ξηρότερον εἶναι τὸ περίττωμα, καὶ γεωδέστερον τὸν καπνὸν τοῦ πυρὸς, διὰ τοῦτο μέλας φαίνεται. γίνεται δὲ αὐτοῖς καὶ καρδιωγμὸς τρόπῳ τοιούτῳ. φερομένη ἡ χολώδης ὕλη περὶ τὸν στόμαχον δάκνει αὐτὸν καὶ γίνεται ὀδύνη. οὐδὲν γάρ ἐστι καρδιαλγία ἢ δῆξις καὶ ἀνία καὶ ὀδύνη περὶ τὸν στόμαχον. καρδίαν γὰρ οἱ παλαιοὶ τὸν στόμαχον ἐκάλουν. οὐδέποτε γὰρ χολὴ ἀπὸ καρδίας ἐμεῖται, ἀλλ᾽ ἀπὸ τοῦ στομάχου καὶ

1) δυσφορίαι M. 2) Addam περὶ. γινομένης om. L. 3) κενοῦσθαι om. L. 4) ὀξὺν — νόσον M.

τῆς γαστρός. ἐπεὶ δὲ ἐν τῷ στομάχῳ ἀθροιζομένη ἡ χολὴ δῆξιν καὶ ἀνίαν καὶ περίτασιν ἀπεργάζεται, τοτηνικαῦτα τῇ δήξει καὶ τῇ ἀνίᾳ γίνεται αὐτοῖς συστολὴ καὶ περίψυξις τῶν ἄκρων μορίων, καὶ ῥῖγος. ἐπὶ δὲ τῇ δήξει καὶ τῇ τάσει καὶ τῇ ἀνίᾳ συστέλλει ἡ φύσις ἑαυτὴν καὶ συννεύει ἐπὶ τὸ βάθος. καὶ τοτηνικαῦτα 1) χηρεύοντες ἀπὸ τῆς φυσικῆς ἐλλάμψεως καὶ τοῦ ἐμφύτου θερμοῦ στερηθέντες περιψύχονται καὶ ῥιγῶσιν. ἀλλὰ καὶ τὰ ὑποχόνδρια αὐτῶν ἀνασπᾶσθαι δοκοῦσι καὶ ψυχρότερά εἰσιν ἐπὶ τῶν τοιούτων, τὰ δὲ ἄνω μέρη θερμότερα, ἐπειδὴ ἡ χολώδης ὕλη ἐπὶ τὰ ἄνω μόρια φερομένη, δῆλον καὶ ἡ φύσις μετὰ τῶν οἰκείων ὀχημάτων, αἵματος λέγω καὶ 2) πνεύματος, ἐκεῖσε ὥρμηται. καὶ διὰ τοῦτο 3) ὅσον ἐστέρηνται τῆς ἀπὸ τῆς φυσικῆς ἐπικουρίας, τὰ ὑποχόνδρια ψυχρότερά εἰσι, τὰ δὲ ἄνω ὡς ἐν ἀπολαύσει αὐτῆς τυγχάνοντα. λοιπὸν δὲ καὶ ἡ χολώδης ὕλη ἐκεῖσε ἤθροισται· διὰ τοῦτο θερμότερά εἰσι. πολλάκις δὲ αὐτὴ ἡ χολὴ παχυτέρα ἐστὶν, 4) ὥστε ἐμεθῆναι ἀδύνατον. τότε καὶ εὔκρατον παρέχομεν, ὥστε ἐμεθῆναι αὐτήν. τὸ γὰρ εὔκρατον κατακερματίζει αὐτὴν, καὶ σύγχυσιν ἐν αὐτῇ ποιεῖται καὶ ἐπιπολάζειν αὐτὴν ἀπεργάζεται, καὶ οὕτως ἀπεμεῖται ἡ χολή. οὕτως γὰρ καὶ ἐπὶ τῶν ἔξω ἐπιτηδεύομεν ἐπὶ τῆς ἰλύος, ἡνίκα ἀγγεῖον βουλόμεθα καθᾶραι ἔχον τρυγίαν ἢ σωλῆνας ἔχοντας 5) ἰλὺν, ἐπιβάλλομεν ὕδωρ καὶ ἀνατινάσσομεν, καὶ συναναμίγνυται ἡ ὕλη τῷ ὕδατι, ὁμοίως καὶ ἡ τρὺξ, καὶ οὕτως καθαίρομεν τὰ ἀγγεῖα καὶ τοὺς σωλῆνας. οὕτως οὖν καὶ ἐπὶ τῆς παχυτέρας χολῆς γίνεται. παρέχομεν τὸ εὔκρατον, καὶ 6) ποιεῖ τὴν χύσιν καὶ λεπτύνει αὐτὴν καὶ ἔκρουν ἀπεργάζεται, καὶ ὑπερπολάζουσα ἐμεῖται καὶ παύονται τὰ συμπτώματα. καὶ ταῦτα μὲν, ἐὰν ἔῤῥωται ἡ δύναμις· εἰ δὲ ἀσθενής ἐστιν ἡ δύναμις, καὶ διὰ τὴν ἀσθένειαν μὴ ἐμῆται ἡ χολὴ, καὶ τροφὰς παρέχομεν, οὐ τὰς βαρυνούσας δὲ, ἀλλὰ τὰς φαρμακώδεις, οἷον τυχὸν χυλὸν πτισάνης καὶ

---

1) χηρεύοντες om. L. στερηθέντα L. 2) φλέγματος M. A. 3) ὅσοι M. 4) καὶ διὰ τὴν παχύτητα οὐκ ἐμεῖται M. A. 5) ὕλην L. A. ὑλὴν M. Scripsi ἰλὺν. 6) ποιεῖται M. φύσιν pro χύσιν L.

μελίκρατον καὶ οινον κεκραμμένον. αἱ γὰρ τοιαῦται τροφαὶ ἔχουσι καὶ τὸ τρέφον, καὶ τὰ 1) φαρμάκου ποιεῖν. ἡ γὰρ πτισάνη καὶ τρέφει, ἀλλὰ καὶ ῥυπτική ἐστι. τὸ δὲ μελίκρατον καὶ αὐτὸ ἔχει τι καὶ τρόφιμον, ἀλλὰ καὶ τμητικὸν καὶ λεπτυντικόν. ὁ δὲ οἶνος καὶ τρέφει καὶ 2) τονεῖ καὶ στύφει. καὶ διὰ τῶν τοιούτων τροφῶν ῥωννυμένη ἡ δύναμις ἐπιγίνεται καὶ ἀπεμεῖ τὴν χολώδη ὕλην, καὶ παύεται ἡ καρδιαλγία.

Ἔστι δὲ ἕτερον σημεῖον κατὰ τὸν Γαληνὸν ἐπὶ τῶν ἐμεῖν μελλόντων, τὸ κραδαίνεσθαι ἐπὶ τῶν τοιούτων τὸ κάτω χεῖλος, διὰ τὸν ὑμένα τὸν ὑπαλείφοντα ἀπὸ τοῦ στομάχου καὶ μέχρι τοῦ κάτω χείλους φέρεσθαι. τοῦ γὰρ στομάχου δακνομένου καὶ ἀνιωμένου, δῆλον καὶ 3) ὁ ὑμὴν οὗτος διὰ τὴν κοινωνίαν ἐξ ἀνάγκης 4) κραδαίνεται ἐπὶ τῶν μελλόντων ἐμεῖν τὸ κάτω χεῖλος.

Τούτων δὲ οὕτως ἐχόντων, παραδίδωσιν ἡμῖν καὶ τὰ σημεῖα τῆς δἰ αἱμοῤῥαγίας γινομένης κριτικῶς κενώσεως, καί φησιν, ὅτι σὺν τῇ κεφαλαλγίᾳ 5) καὶ τῇ ταραχῇ καὶ συστροφῇ τῶν ὀφθαλμῶν, ἐπειδὴ ταῦτα κοινὰ ὑπῆρχον σημεῖα ἀμφοτέρων τῶν κενώσεων, ἐὰν μηκέτι ὁρῶσιν ὀρφνώδη καί τινα μελάσματα πρὸ τῶν ὀφθαλμῶν, ἀλλὰ μαρμαρυγάς τινας καὶ πυραυγῆ φαντάσματα ὁρῶσι, τότε γίνωσκε ὅτι δἰ αἱμοῤῥαγίας γίνεται ἡ κένωσις. εἰ μὲν γὰρ λεπτοτάτη τις καὶ ἀτμώδης ποιότης τῆς ὕλης ἐνεχθῇ ἐπὶ τὰ ὀπτικὰ νεῦρα, τότε τὰ πυραυγῆ καὶ τὰς μαρμαρυγὰς καὶ τὰ μελάσματα ὁρῶσιν. εἰ δὲ ἐνεχθῇ παχυτέρα ὕλη ἐπὶ τοὺς ὀφθαλμοὺς, ἐναπολαμβάνει τοὺς πόρους τῶν ὀπτικῶν νεύρων, καὶ τότε οὐ δύναται διεξελθεῖν τὸ ὁρατικὸν πνεῦμα, καὶ παντελῆ ποιεῖται ἀορασίαν. εἰ δέ γε 6) πρὸς τοῦτο κνῶνται 7) τῆς ῥινὸς, ἔστι δὲ καὶ ἐρυθρὰ τὰ μῆλα τοῦ προσώπου, γίνωσκε ὅτι δἰ αἱμοῤῥαγίας γίνεται ἡ 8) κένωσις ἐπὶ τούτων καὶ τὰ ὑποχόν-

---

1) φαρμακουποιεῖν M. Emendes τὸ φάρμακον πιεῖν aut τὰ τοῦ φ. ποιεῖ. 2) Fort. τονοῖ. 3) οὐ μὴν Codd. Dedi ὁ ὑμὴν. 4) κραδαίνεσθαι L. A. 5) καὶ τῇ ταραχῇ om. M. ἡ συστροφὴ M. 6) πρὸ τούτου M. 7) τὸ ἄκρον τῆς ῥινὸς M. A. 8) κεφαλαλγία M. A.

δρια ἀνασπῶνται. καὶ τοῦτο δὲ κοινὸν ὑπῆρχεν. ὁ μέντοι Ἱπποκράτης ὡς ἰδικὸν τέθεικεν αὐτὸ ἐπὶ τῶν αἱμοῤῥαγεῖν μελλόντων. ἁπλῶς οὖν καὶ ἐπὶ τούτων ἀνασπᾶται τὰ ὑποχόνδρια, τυχὸν ἄνευ ὀδύνης καὶ φλεγμονῆς. ἐὰν γὰρ ἁπτομένου σου τὰ ὑποχόνδρια ὦσι μαλθακὰ καὶ ὁμαλὰ, καὶ μήτε ὀδύνη σύνεστι, μήτε φλεγμονὴ, ἀλλ᾽ ἀνασπῶνται, ἔσο γινώσκων, δι᾽ αἱμοῤῥαγίας γίνεσθαι τὴν 1) κένωσιν.

Ἐκ τοῦ διανασπᾶσθαι τὰ ὑποχόνδρια καὶ τὸν τόπον ἤγουν διὰ ποίας ῥινὸς προγινώσκει ὁ Ἱπποκράτης τὴν αἱμοῤῥαγίαν γίνεσθαι καί φησιν, ὅτι ἐὰν τὸ δεξιὸν ὑποχόνδριον ἀνασπᾶται, γίνωσκε ὅτι ἐκ τοῦ δεξιοῦ μέλλει γενέσθαι μέρους ἡ αἱμοῤῥαγία· εἰ δὲ τὸ ἀριστερὸν, ἐκ τοῦ ἀριστεροῦ· εἰ δὲ τὰ ἀμφότερα ὑποχόνδρια ἀνασπῶνται, ἐξ ἀμφοτέρων τῶν ῥινῶν ἡ αἱμοῤῥαγία γίνεται. ἡ γὰρ φύσις ἔστ᾽ ἂν ἐῤῥωται καὶ ταῖς οἰκείαις δυνάμεσι κατὰ τὸν οἰκεῖον σκοπὸν κέχρηται, κατ᾽ εὐθυωρίαν καὶ κατ᾽ εὐθὺ τὰς ὕλας πέμπει καὶ ἀποδιώκει, ὥσπερ καὶ ἄριστος τοξότης κατ᾽ εὐθὺ τοῦ σκοποῦ 2) πέμπει τὸ βέλος, καὶ μὴ δι᾽ ἀφυΐαν τῇδε κἀκεῖσε περιάγεται.

Ἢν δὲ καὶ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. —

Ἐπειδὴ παράκειται ἡ καλουμένη ἀορτὴ τῷ στομάχῳ, μεταλαμβάνει τῆς δήξεως τῆς περὶ τὸν στόμαχον ἀθροιζομένης χολῆς. ἔστι δ᾽ ὅτε ἀναγγέλλεται καὶ αὐτῇ τῇ καρδίᾳ, καὶ διὰ τοῦτο καρδίαν τὸν στόμαχον ὀνομάζουσιν ἐκ τοῦ μεταδίδοσθαι ἐκ τοῦ σύνεγγυς τὴν δῆξιν 3) τῇ καρδίᾳ.

Ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ καὶ τὰ ἑξῆς. —

Ἰστέον, 4) ἔστι ῥῖγος τὸ λόγῳ κρίσεως γινόμενον, ὅπερ αὐτὸς ἐν ἀφορισμοῖς εἶπεν, ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις. ἔστι ῥῖγος καὶ τὸ προηγούμενον τοῦ πυρετοῦ ὡς ἐν τριταίοις. ἔστι ῥῖγος τὸ παρεμπῖπτον, τὸ

1) κεφαλαλγίαν M. A. 2) πέμπει om. L. 3) τῆς καρδίας L. 4) ὅτι M.

λόγῳ συμπτώματος γινόμενον. ἐνταῦθα δὲ ῥῖγος λέγει τὸ ἐπὶ τῇ δήξει τοῦ στομάχου γινόμενον. ἐπὶ γὰρ τῇ ἀθροίσει τῆς χολῆς ἐπὶ τὸν στόμαχον δάκνεται καὶ ἀνιᾶται, καὶ μεταλαμβάνει τῆς δήξεως ἡ ἀορτὴ καλουμένη ἀρτηρία, καὶ συστέλλεται τὸ ἔμφυτον θερμὸν καὶ συννεύει, ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν, ἐπὶ τὸ βάθος, καὶ ἀμοιροῦνται τὰ ἐπιπολῆς μόρια τῆς ἐλλάμψεως τοῦ ἐμφύτου θερμοῦ, περιψύχονται καὶ γίνεται τὸ ῥῖγος. —

Ἢν δέ τι καὶ πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμεῖται. —

Παρακελεύεται οὖν ἡμῖν ἀναμιμνήσκεσθαι τῶν συμβεβηκότων ὡς πολλάκις 1) τὰ γινόμενα ὠφελήσαντα. τί γὰρ ὅτι οὐκ ἐμεῖται καὶ ἡ χολὴ, ἢ διὰ πάχος ἢ 2) δι' ἀσθένειαν τῆς δυνάμεως. καὶ δεῖ καὶ σὲ μιμεῖσθαι τοῖς πράγμασι, καὶ χρήσασθαι, εἰ μὲν παχεῖά ἐστιν ἡ ὕλη, καὶ διὰ τοῦτο οὐκ ἐμεῖται, τῷ εὐκράτῳ. εἰ δὲ ἀσθενής ἐστιν ἡ δύναμις, δεῖ σε καὶ 3) τροφαῖς χρήσασθαι, ἔστι δ' ὅτε καὶ στερεωτέραις τροφαῖς χήσασθαι οἷά ἐστι μῆλα καὶ σταφυλαὶ καὶ σταφίδες καὶ ῥόοκοκκα. καὶ γὰρ ῥωννυμένη ἡ δύναμις, ἐπεγείρεται καὶ 4) ἀποδιώκει, καὶ ἀπεμεῖ τὴν χολώδη ὕλην.

Τουτέων δὲ οἷσι μὲν ἂν ὁ πόνος ἄρξηται τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι μάλιστα πιεζοῦνται καὶ πεμπταῖοι, εἰς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. —

5) Ἐνταῦθα ὁ Ἱπποκράτης πόνον τὴν κεφαλαλγίαν ἐκάλεσεν, εἰπὼν ἢν ἄρξηται πονέειν, τυχὸν 6) πονεῖν τὴν κεφαλήν. κεφαλαλγίαν δὲ ὑποτίθεται, οὐ μὴν λόγῳ κρίσεως γινομένην. αὕτη γὰρ τὸ μέγιστον μίαν ἡμέραν ἐπικρατεῖ, ὡς αὐτός φησιν, ὅτι ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἀλλὰ 7) καὶ κεφαλαλγίαν ὑποτίθεται τὴν λόγῳ συμπτώματος γινομένην, ἥτις ἕως τῆς ἑβδόμης παρεκτείνεται. τὸ δὲ ἀληθὲς εἰπεῖν, ὅτι καὶ τῇ λόγῳ κρίσεως ἁρμόζει κεφα-

1) αὐτὰ M. 2) διαθέσεως M. A. 3) εὐτροφῇ L. Fort. εὐτροφίᾳ. 4) διώκει M. 5) ἐντεῦθεν M. 6) ποιεῖν! Codd. 7) καὶ om. M.

λαλγίᾳ καὶ τῇ λόγῳ συμπτώματος. καὶ γὰρ καὶ λόγῳ συμπτώματός ἐστιν ἡ τοιαύτη κεφαλαλγία, 1) ἐπειδὴ ἐξ ἀρχῆς ἀπὸ τῆς πρώτης ἡμέρας λέγει γίνεσθαι τὴν κεφαλαλγίαν, καὶ μάλιστα ἐὰν ἐξ ἀρχῆς γενομένη ἐν τῇ τρίτῃ παύσηται, τότε καὶ λόγῳ συμπτώματος ἐπέχει. ἀλλὰ ἐπέχει ἡ τοιαύτη κεφαλαλγία, ἐπειδὴ μέχρι τῆς κρίσεως συνεκτείνεται, καὶ οὕτως ἀπαλλάσσονται. ὅτι δὲ μέχρι τῆς ἑβδόμης λέγει παρεκτείνεσθαι τὴν τοιαύτην κεφαλαλγίαν, αὐτὸς ἐπὶ λέξεώς φησιν ὅτι ὁκόσοισιν ἄρξηται ἡ κεφαλαλγία τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι 2) πιεζοῦνται, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσονται ἤγουν αὔξεται αὐτῶν ἡ κεφαλαλγία ἀπὸ τῆς πρώτης ἡμέρας καὶ γίνεται προσθήκη ἕως τῆς τετάρτης καὶ πιεζοῦνται καὶ κρατοῦνται, καὶ οὐκέτι ἀναβιβασμὸν δέχονται, ἀλλὰ στάσις γίνεται καὶ ἀκμὴ μέχρι τῆς ἑβδόμης, καὶ οὕτως ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ λύεται καὶ παύεται.

Εἶτα ἔφη, ὁκόσοι δὲ τῇ τρίτῃ ἄρξονται πονεῖν τὴν κεφαλὴν, πεμπταῖοι πιεζοῦνται καὶ ἀπαλλάσσονται ἢ ἐνναταῖοι ἢ ἑνδεκαταῖοι. ὅθεν τινὲς λέγουσιν ὅτι ἀπροσφόρως τοῦτο εἴρηκεν, ἐὰν ἀπὸ τῆς τρίτης ἄρξωνται τρὶς καὶ ἑπτὰ, δέκα. οὐκοῦν ἐν τῇ δεκάτῃ ἔχουσιν ἀπαλλαγῆναι. καὶ πῶς ἔφη, ἢ τῇ ἐννάτῃ ἢ τῇ ἑνδεκάτῃ ἀπαλλάσσονται; καὶ λέγομεν ὅτι τοῦτο ἔφη, ἵνα δείξῃ τὴν δεκάτην μηδέποτε κρίνουσαν, ἀλλὰ τὴν ἑνδεκάτην ἢ τὴν ἐννάτην 3) κρινούσας. καὶ διὰ τί μὴ μόνης τῆς ἑνδεκάτης ἐμνημόνευσεν ἢ μόνης τῆς ἐννάτης, ἀλλὰ τῶν δύο ἐμνημόνευσε; καὶ λέγομεν, τοῦτο παρὰ τὴν σύστασιν τῆς ὕλης ἀπὸ θεωρίας εἴρηκε καὶ τὸν τόνον τῆς δυνάμεως. ἐὰν γὰρ λεπτή ἐστιν ἡ ὕλη καὶ ἐῤῥωμένη ἡ δύναμις, τῇ ἐννάτῃ ἀπαλλάσσονται. εἰ δὲ παχυτέρα ἐστὶν ἡ ὕλη καὶ ἀσθενὴς ἡ δύναμις ὡς ἂν πλείονος χρόνου δεομένη, τῇ ἑνδεκάτῃ ἔφη 4) παύσασθαι, καὶ διὰ τοῦτο ἀμφοτέρων ἐμνημόνευσεν. εἶτα λέγει, οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, τουτέοισι τῇ τεσσαρεσκαιδεκάτῃ κρίνεται ἡ νοῦσος. καὶ πάλιν 5) ἐνίστανταί τινες λέγοντες, ὅτι ἐὰν

---

1) ἐπειδὴ — ἐπειδὴ om. M. A. 2) πιέζονται M. 3) κρίνουσαν M. 4) παύονται L. 5) ἀνίστανται M.

ψηφίσῃς ἀπὸ τῆς πρώτης ἡμέρας πέντε καὶ ἑπτὰ, δώδεκα, εἰς τὴν δωδεκάτην ἢ τὸ μέγιστον εἰς τὴν τρισκαιδεκάτην κρίνεται ἡ νοῦσος, πῶς οὖν ἔφη ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ κρίνεσθαι τὸ νόσημα; καὶ λέγομεν ὅτι τοῦτο εἴρηκεν, ἵνα δείξῃ μὴ εἶναι κρισίμους, μήτε τὴν δωδεκάτην μήτε τὴν τρισκαιδεκάτην, ἀλλὰ τὴν τεσσαρεσκαιδεκάτην. ἄλλως τε δὲ παχυτέραν ἔλαβε τὴν ὕλην, καὶ ἐν τῷ μέσῳ δεηθῆναι μιᾶς καὶ δύο ἡμερῶν ἐν τῇ πέψει, καὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ὑπαντῆσαι τὴν κρίσιν. καὶ διὰ τοῦτο τῆς τεσσαρεσκαιδεκάτης ἐμνημόνευσεν.

Καὶ τὰ ἄλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίγνηται, εἰς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. —

Λέγει ὅτι ἐὰν τῇ πέμπτῃ ἄρξωνται πονεῖν τὴν κεφαλὴν, καὶ μηδὲν πλημμεληθῇ ὑπὸ τοῦ ἀῤῥώστου, ἢ ἀμέλεια 1) γένηται ὑπὸ τοῦ ἰατροῦ, τῇ τεσσαρεσκαιδεκάτῃ ἀπαλλάσσονται ἡμέρᾳ. τὰ δὲ ἄλλα κατὰ λόγον καλεῖ τὰ ἀνωτέρω εἰρημένα, ἵνα ἀρίστη γένηται ἡ κατάκλισις, καὶ τὰ οὖρα καὶ τὰ διαχωρήματα, καὶ ἵνα εὔπνους ἐστὶν ὁ ἄνθρωπος, καὶ τὰ τοιαῦτα, ὡς ἀνωτέρω εἴρηται κατὰ λόγον ὑπαντῆσαι, γίνωσκε ὅτι τῇ τεσσαρεσκαιδεκάτῃ κρίνεται ἡ νοῦσος καὶ ἀπαλλάσσονται.

Γίνεται δὲ καὶ τὰ τοιαῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξίν. —

Ταῦτα τὰ πάθη μάλιστα γίνονται, τυχὸν ὁ ἔμετος, τοῖς ἀνδράσι καὶ ταῖς γυναιξίν. 2) εἰπὼν δὲ ἀνδράσι καὶ γυναιξὶ τὴν τελείαν ἡλικίαν ἐδήλωσε, λέγω δὴ τὴν ἀκμαστικήν. ἐν γὰρ τῇ ἀκμαστικῇ ἡλικίᾳ ἀθροίζεται ἡ χολὴ, καὶ διὰ τοῦτο ἐμεῖται. λέγει γὰρ καὶ ἀλλαχοῦ, ὅτι οἱ ἀκμάζοντες τριταίοις ἁλίσκονται.

Τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ τουτέοισι, μᾶλλον δὲ ἐν τοῖσι συνεχέσι πυρετοῖσι, καὶ μάλιστα ἐν τοῖσι γνησίοισι τριταίοισι. —

Νεωτέρους [φησὶ] τοὺς μειρακιώδεις τῇ ἡλικίᾳ τυχὸν ἐκάλεσε. τοῖς δὲ μειρακίοις οὐ γίνεται ἔμετος ὡς ἐπίπαν

---

1) γίνεται L. 2) εἰπὼν — γυναιξὶ om. L.

χολῆς. εἰ δὲ καὶ γίνεται, σπανιάκις, ἐπειδὴ ἐπ' αὐτῶν χολὴ οὐκ ἀθροίζεται, ἀλλὰ τὸ αἷμα μάλιστα πλεονάζει. εἰ δὲ καὶ ἐμοῦσι, σπανίως ποτὲ ἐν τοῖς συνεχέσι πυρετοῖς, συνεχεῖς δὲ εἶπε τοὺς συνόχους, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι περιπίπτει, ἐπειδὴ ἐπὶ τούτων φλέγμα οὐκ ἀθροίζεται.

Οἷσι δ' ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ τοῦ μὲν ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι. —

Ὅπερ λέγει, τοιοῦτόν ἐστιν, ὅτι τοιούτῳ τρόπῳ, κατὰ τὸν αὐτὸν τρόπον, τυχὸν περιεστηκῶς ὄντος τοῦ νοσήματος, ὡς ἤδη καὶ ἐπὶ τῆς κατ' ἔκρουν δι' ἐμέτων κρίσεως, καὶ ἐνταῦθα καὶ ἐπὶ τῆς αἱμοῤῥαγίας περιεστηκότι νοσήματι ὑποτίθεται γίνεσθαι τὰ σημεῖα τῆς αἱμοῤῥαγίας, τυχὸν τὸ συνεῖναι τὴν κεφαλαλγίαν, καὶ μηκέτι ὀρφνώδη ὁρᾶν πρὸ τῶν ὀφθαλμῶν, ἀλλὰ μαρμαρυγὰς καὶ λόφους ἀλεκτρυόνων καὶ πυραυγῆ τινα, ἀλλὰ καὶ τὸ ἀνασπᾶσθαι τὰ ὑποχόνδρια, καὶ τὸ κνᾶσθαι τὸ ἄκρον τῆς ῥινὸς, καὶ τὸ ἐρυθρὰ εἶναι τὰ μῆλα τοῦ προσώπου, τότε γίνωσκε ὅτι ἡ κατ' ἔκρουν κρίσις δι' αἱμοῤῥαγίας μέλλει γίνεσθαι. προστίθησι δὲ καὶ τοῦτο ἐνταῦθα, ὅτι ὅτε μέμνηται ὁ Ἱπποκράτης διὰ χολῆς ἔμετον, οὐ τὴν ἄκρατον λέγει χολὴν ἐμεῖσθαι, ἀλλὰ τὴν συμμεμιγμένην μετὰ φλέγματος· τότε γὰρ ἄριστόν ἐστιν ὁ ἔμετος. σπανίως δέ ποτε, 1) ἐὰν ἐμεθῇ ἄκρατος χολὴ ἅπαξ. ὁ δὲ ἐπίμονος ἔμετος τῆς ἀκράτου χολῆς μεγάλους τοὺς κινδύνους ἐπιφέρει. δήξεις γὰρ καὶ ἀνίας καὶ ἑλκώσεις ἀπεργάζεται, δι' ὧν παροδεύει μορίων.

Τοῖσι δὲ πέντε καὶ τριάκοντα ἐτέων καὶ γεραιτέροισι. —

Φησὶν ὅτι τοῖς παρακμάζουσι τῇ ἡλικίᾳ ὁ ἔμετος τῆς χολῆς γίνεται, τοῖς δὲ γέρουσιν οὐδόλως. καὶ λέγομεν ὅτι ἡ παρακμαστικὴ ἡλικία 2) οὐκέτι γεννητικὴ χολῆς, ἀλλ' ἡ ἀκμαστική. καὶ λέγομεν ὅτι τὴν προθησαυρισθεῖσαν ἀπὸ τοῦ θέρους ἢ τοῦ θερικοῦ καταστήματος χολὴν ταύ-

1) ὅταν M. 2) οὐκ ἔστι M.

την ἐμοῦσι. γίνωσκε δὲ ὅτι τινὰ τῶν ἀντιγράφων ἔχει, τοῖσι δὲ πέντε καὶ τριάκοντα, τινὰ δὲ τεσσαράκοντα ἔχει. καὶ διὰ μὲν τοῦ εἰπεῖν πέντε καὶ τριάκοντα τὸ πέρας τῆς ἀκμαστικῆς ἐδήλωσεν ἡλικίας, ἀρχὴν δὲ τῆς 1) παρακμαστικῆς. διὰ δὲ τοῦ εἰπεῖν τεσσαράκοντα ἐτῶν τὸ πέρας τῆς παρακμαστικῆς ἐδήλωσεν, ἀρχὴν δὲ τῆς 2) τῶν γερόντων ἡλικίας 3) ἐμνημόνευσεν.

Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται. —

Ἐνταῦθα γενόμενος ὁ Γαληνὸς λέγει τὴν αἰτίαν καὶ μόνην, καθ' ἣν σπῶνται οἱ παῖδες, λέγων ὅτι σπῶνται οἱ παῖδες διὰ τὴν εὐπάθειαν τῶν νεύρων. εὐπαθῆ γάρ εἰσι τὰ νεῦρα ἐπ' αὐτῶν, καὶ ἑτοίμως τοτηνικαῦτα σπῶνται. ἡμεῖς δὲ λέγομεν ὅτι ἐνταῦθα τὸν σπασμὸν ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπεὶ ὁ σπασμὸς ὀξύ ἐστι πάθος. ἐνταῦθα δὲ περὶ ὀξέων νοσημάτων αὐτῷ ὁ λόγος. ἡ δὲ αἰτία καθ' ἣν γίνεται ὁ σπασμὸς τοῖς παιδίοις, διάφορός ἐστι. γίνεται γὰρ αὐτοῖς ὁ σπασμὸς ἢ διὰ τὴν ἀσθένειαν τῶν 4) ψυχικῶν δυνάμεων, ἢ διὰ τὸ ἀδδηφάγα εἶναι, ἢ διὰ τὸ κλαυθμυρίζεσθαι αὐτά. καὶ διὰ μὲν τὴν ἀσθένειαν τῶν ψυχικῶν δυνάμεων οὕτως· τριττῶν γὰρ 5) ὄντων κατὰ γένος ἡμῖν δυνάμεων, 6) ψυχικῶν, ζωτικῶν, φυσικῶν, τὸ διττὸν γένος καλῶς καὶ ἐῤῥωμένως διάκειται ἐν τοῖς παισὶν, αἱ ζωτικαὶ καὶ φυσικαί. καὶ αἱ μὲν ζωτικαὶ ὡς δηλοῖ πλούσιον εἶναι ἐπὶ τῶν παίδων τὸ ἔμφυτον θερμὸν, κατὰ τὸ εἰρημένον ἐν ἀφορισμοῖς, τοῖσι δὲ παιδίοισι πλεῖστόν ἐστι τὸ ἔμφυτον θερμόν. ἀλλὰ καὶ αἱ φυσικαὶ δυνάμεις ἐῤῥωμέναι εἰσὶν, ὡς δηλοῖ τὸ τρέφεσθαι καὶ αὐξάνειν. κατὰ μέντοι τὰς ψυχικὰς ἀῤῥώστως διάκεινται τὰ παιδία. οὐ γὰρ λογίζονται δεόντως, οὔτε μὴν εὐκίνητα κατὰ τὰς πράξεις εἰσὶ, καὶ μάλιστα 7) κατὰ τοὺς πρώτους καιρούς. διὰ οὖν τὸ εὐκίνητον εὐπαθῆ καὶ εὐεπηρέαστά εἰσι τὰ νεῦρα ἐπ' αὐτῶν, καὶ διὰ τοῦτο σπῶνται.

Ἀλλὰ καὶ διὰ τὸ ἀδδηφάγα εἶναι πάλιν σπῶνται. ὑπὸ γὰρ τῆς ἀδδηφαγίας καὶ τῆς ἀπεψίας, ἀθροίζουσι

---

1) παρακμῆς M. 2) ὁμογερόντων M. A. 3) ἐμήνυσεν M. A. 4) νεύρων add. L. 5) Sic! 6) ψυχικῆς etc. M. 7) ἐν τοῖς etc. M.

χυμους παχεῖς καὶ γλίσχρους καὶ ψυχροὺς καὶ ὠμοὺς, καθ' ἣν εἴωθε τὸ νευρῶδες γένος τρέφεσθαι, καὶ τηνικαῦτα διὰ τὸ πάχος ἐμφράττονται τὰ νεῦρα καὶ οὕτως σπῶνται.

Ἀλλὰ καὶ διὰ τὸ κλαυθμυρίζεσθαι αὐτὰ σπῶνται. ἐν γὰρ τῷ κλαυθμυρίζειν κίνησις γίνεται τοῦ ἐγκεφάλου. τῇ οὖν κινήσει χύσις γίνεται τῶν πνευμάτων καὶ τῶν χυμῶν καὶ φέρονται ἐπὶ τὰ νεῦρα οἱ χυμοὶ καὶ ἐμφράττουσιν αὐτὰ, καὶ οὕτως σπῶνται.

Σπασμὸν δὲ ἐνταῦθα οὐ τὸν ἐπὶ ξηρότητι λέγει γίνεσθαι ἐπὶ τῶν παίδων, ὅστις καὶ ἀνίατός ἐστιν, ἀλλὰ τὸν ἐπὶ πλήθει καὶ ἐμφράξει ὑποτίθεται σπασμὸν, ὡς δηλοῖ τὸ ἐπάγειν αὐτὸν, ἢν καὶ ἀγρυπνῶσιν. ἡ δὲ ἀγρυπνία ξηρότητα ἐντίθησι τῷ σώματι, καὶ ἐπὶ 1) ξηρότητι γίνεται. πρὸς ὅ ἐστιν εἰπεῖν, ὅτι ἡ ἀγρυπνία οὐ μόνον ξηραίνει, ἀλλὰ καὶ ὑγραίνει. εἰ μὲν γὰρ ξηρὸν παραλάβῃ ἡ ἀγρυπνία τὸ σῶμα, τῇ διαφορήσει ἐπὶ πλέον ξηραίνει αὐτό· εἰ δὲ περιττωματικὸν καὶ ὑγρὸν, χύσιν ποιεῖται αὐτῶν τῶν ὑγρῶν, καὶ ὑγραίνει τὸ σῶμα ἡ ἀγρυπνία οὕτως καὶ φυλάττει. ὅτι δὲ περὶ τοῦ ἐπὶ πλήθει καὶ ἐμφράξει σπασμοῦ ὁ λόγος τῷ Ἱπποκράτει, δηλοῖ τὸ ἐπάγειν αὐτὸν, ἢν καὶ ἡ γαστὴρ ἐπέχηται. τοῦτο δὲ τὸ σημεῖον πληρώσεως. ἄλλως τε δὲ φύσει ἀδδηφάγα ὄντα τὰ παιδία, δίϋγρά εἰσι καὶ διὰ τοῦτο τὸν ἐπὶ πλήθει ὑφίστανται σπασμόν. ἰστέον δὲ ὅτι εἰ μὲν ἕν ἐστι τὸ σπασθὲν μόριον, μία ἔκφυσις πέπονθεν· εἰ δὲ διάφορά εἰσι τὰ μόρια τὰ σπασθέντα, διαφόρους δηλοῖ καὶ ἐκφύσεις πεπονθυίας. εἰ δὲ ὅλον τὸ σῶμα ἐσπάσθη, 2) τότε δηλοῖ τὴν πρώτην ἀρχὴν, λέγω δὴ τὸν ἐγκέφαλον, πεπονθυῖαν. δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι γίνεται σπασμὸς καὶ διὰ φόβον. ἀλλ' οὗτος ὁ φόβος ἢ μέγιστός ἐστιν ἢ ὑφειμένος. καὶ εἰ μὲν μέγας ἐστὶ καὶ φοβερὸς ὁ φόβος, ὥστε ὑπερβαίνειν τὴν αἴσθησιν, ὥσπερ βροντὴ μεγίστη ἢ ἀστραπὴ, καὶ 3) ἐκπλαγῇ ἡ αἴσθησις, τότε καὶ ἀπόλλυνται οἱ ἐκ-

1) ξηρότητα L. 2) λέγω L. 3) ἐκπληγῇ M.

φοβούμενοι. εἰ δὲ ὑφειμένος ἐστὶν ὁ φόβος, σπασμὸν ποιεῖται.

Καὶ τὸ χρῶμα μεταβάλλουσι χλωρὸν ἢ πελιδνόν. —

Ἰστέον δὲ ὅτι τὰ εἰρημένα τῷ Ἱπποκράτει περὶ τοῦ σπασμοῦ, τὰ μὲν αἰτίου λόγον ἐπέχουσιν, οἷον, ἡ ἐποχὴ τῆς γαστρὸς, ἡ ἀγρυπνία, ἡ ἀδδηφαγία, καὶ ὁ κλαυθμυρισμὸς, τὰ δὲ σημείου, οἷον τὰ χρώματα. εἰ μὲν γὰρ χύσις γένηται τοῦ αἱματικοῦ χυμοῦ, τότε ἐρυθρὸν τὸ χρῶμα γίνεται. εἰ δὲ ὁ φλεγματικὸς χυμὸς χυθῇ, συναναμίγνυται τῷ αἵματι, καὶ χλωρὸν 1) γίνεται χρῶμα. εἰ δέ γε 2) πιληθῇ καὶ ἀποσφιγγῇ ὁ αἱματικὸς χυμὸς, ὑποπέλιον γίνεται χρῶμα. εἰ δὲ ἔτι πλέον πιληθῇ ὁ αἱματικὸς χυμὸς καὶ ἀποσφηνωθῇ, 3) τότε μέλαν γίνεται χρῶμα.

Οἷά περ ἐν τῇσι φρενίτισι. —

Λέγει ὅτι ἐπὶ πληρώσει σπασμὸς τοῖς παιδίοις συμβαίνει γίνεσθαι τοῖς μέχρι ἑπτὰ ἐτῶν. τὰ δὲ πρεσβύτερα τῶν παίδων καὶ οἱ ἄνδρες τουτέστιν ἡ μειρακιώδης καὶ ἀκμαστικὴ ἡλικία τῷ ἐπὶ ξηρότητι σπασμῷ ὡς ἐπίπαν περιπίπτουσιν. εἰ δὲ ἐπὶ σπασμῷ τῷ ἐπὶ ξηρότητι ἐκεῖνα συμβῇ τὰ 4) ὅμοια σημεῖα ἐπιγενέσθαι, οἷά περ ἐπὶ τῶν φρενιτικῶν, οἷά εἰσι τὸ δοκεῖν κροκύδας ἐκλέγειν, καὶ ἀνασπᾷν ἀπὸ τῶν ἱματίων, καὶ καρφολογεῖν, καὶ κατὰ τὸ συνεχὲς τὰς χεῖρας ἐπὶ τὸ πρόσωπον ἀπάγειν, ἐὰν ταῦτα ἐπιφανῶσιν ἐπὶ τῷ σπασμῷ τὰ σημεῖα τοῖς ἀνδράσι, τότε γίνωσκε ὅτι καὶ ἐπιληψίαις ἐπιπίπτουσι καὶ ἀποπληξίαις καὶ οὕτως ἀπόλλυνται.

Καὶ τῶν ἄλλων τεκμαίρεσθαι ξύμπασι τοῖς σημείοισιν ὡς ἐφ᾽ ἑκάστοισιν ἕκαστα διαγέγραπται. —

5) Ἰστέον ὅτι ἄλλο ἐστὶ τὸ ξυντεκμαίρεσθαι καὶ ἄλλο σημείωσις. τὸ γὰρ ξυντεκμαίρεσθαι, τὸ μετὰ λόγου σημειοῦσθαι. ὁ δὲ λόγος αὐτὴν τὴν οὐσίαν ἀνιχνεύει τοῦ πράγματος. ἡ δὲ ἁπλῶς σημείωσις τῇ πείρᾳ ἕπεται, μὴ

1) ἀναδέχεται τὸ M. A. 2) πληθῇ M. A. Fort. ἀποσφιγχθῇ. 3) τὸ L. 4) ὅμοια om. M. 5) ἰστέον ὅτι om. L.

δυναμένης αἰτίαν ἀποδοῦναι τῆς σημειώσεως. θαυμάσαι δέ ἐστι τὴν μεγαλόνοιαν τοῦ Ἱπποκράτους, ὅτι διὰ δύο λέξεων τά τε καθόλου συμπεριέλαβε καὶ τὰ κατὰ μέρος. εἰρηκὼς γὰρ τὰ ἐφ᾽ ἑκάστοις, τὰ καθόλου ἐσήμανεν. εἰρηκὼς δὲ τὰ ἕκαστα, τὰ κατὰ μέρος ἐδήλωσε. διὰ γὰρ τοῦ ἐφ᾽ ἑκάστοις περὶ τῶν καθόλου διελέχθη οὕτως· διελέχθη γὰρ περὶ οὔρων, περὶ διαχωρημάτων καὶ ἱδρώτων καὶ ἐμέτων καὶ τῶν τοιούτων. διὰ δὲ τοῦ ἐπάγειν, ἕκαστα ἰδίᾳ γέγραπται, περὶ τῶν κατὰ μέρος 1) διελέχθη. καὶ ὅτι αἱ διαφοραὶ τούτων ἤδη 2) ἐγράφησαν. παραδέδωκε 3) γὰρ ἡμῖν οὔρου διαφορὰς, οἷόν ἐστι τὸ κριμνῶδες, τὸ πιτυρῶδες καὶ νεφελῶδες καὶ ἐναιώρημα καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ διαχωρημάτων διαφορὰς παραδέδωκεν. ἐμνημόνευσε γὰρ τρύζοντος διαχωρήματος καὶ ὑφαίμου καὶ μέλανος καὶ τῶν τοιούτων. ἀλλὰ καὶ ἱδρώτων διαφορὰς παραδέδωκεν. ἔφη γὰρ, ποῖοι κατὰ φύσιν εἰσὶν ἱδρῶτες, καὶ ποῖοι παρὰ φύσιν καὶ ὅτι οἱ μὲν θερμοί εἰσιν ἱδρῶτες, οἱ δὲ ψυχροὶ, καὶ ἢ δι᾽ ὅλου τοῦ σώματος γίνονται ἢ ἐν μέρει τοῦ σώματος. ἀλλὰ καὶ περὶ πτυέλου 4) διελέχθη διαφορᾶς ἀφρώδους καὶ ὑποπύου καὶ τῶν τοιούτων. ἀλλὰ καὶ ἐμέτου ἔφη διαφορὰς χολώδους καὶ φλεγματώδους, καὶ συναναμεμιγμένων τούτων καὶ τὰ τοιαῦτα. σκόπει οὖν μεγαλόνοιαν ἀνδρὸς, πόσα διὰ δύο λέξεων ἐσήμανεν. ἐκ τούτων οὖν ἁπάντων τῶν ἤδη εἰρημένων σημείων προγνώσῃ τοὺς τεθνηξομένους καὶ 5) σωθησομένους ἐπὶ τῶν ὀξέων νοσημάτων.

Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τούς τε περιεσομένους καὶ τεθνηξομένους καὶ τὰ ἑξῆς. —

Εἰπὼν ὀρθῶς προγινώσκειν ἐσήμανε τὸ ἀκριβῶς καὶ τὸ ἀεὶ καὶ ὡς ἐπίπαν προγινώσκειν. τὸν γὰρ τοιοῦτον οὐ λήσεται, ὅπῃ τρέψηται τὸ νόσημα, ἀλλὰ γινώσκειν καὶ τοὺς ἀπολλυμένους καὶ τοὺς περισωζομένους τῇ ἀκριβεῖ προγνώσει.

---

1) διηλέχθη Codd. 2) ἐγεγράφησαν M. A. 3) δὲ L. 4) διηλέχθη Codd. 5) ἐσομένους M. A.

Τὰ σημεῖα ἐκμανθάνοντα ταῦτα πάντα δύνασθαι κρίνειν. —

Ἀντὶ τοῦ ἐκμελετᾷν τὸ μανθάνειν εἶπεν, ὅτι δεῖ σε ἀεὶ ἐκμελετᾷν καὶ ἔχειν κατὰ νοῦν τὰ σημεῖα ταῦτα τὰ ὑπ᾿ ἐμοῦ λεχθέντα. ἐὰν γὰρ ἀείσε ἐκμελετᾷς αὐτὰ, δύνασαι καὶ κρίνειν, ποίας εἰσὶ δυνάμεως, εἴτε ἀγαθὰ 1) ἢ κακά. τὰ ἀγαθὰ ἀγαθά ἐστι, καὶ τὰ κακὰ κακά ἐστιν.

Ἐϊσλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας. —

Τὸ λεγόμενον ἐνταῦθα, τοιοῦτόν ἐστιν, ὅτι οὐ δεῖ προσέχειν τῷ ἀριθμῷ τὰ σημεῖα, ἀλλὰ τῷ ἀξιώματι καὶ τῇ δυνάμει τῶν σημείων. πολλάκις γὰρ ἓν σημεῖον ἀγαθόν ἐστι, πολλὰ δὲ κακὰ, καὶ περιγίνεται τὸ ἓν σημεῖον διὰ τὴν ἰσχύν. οὕτως γοῦν πολλάκις εἰσερχόμενος εἰς τὸν ἄῤῥωστον εὑρίσκω αὐτὸν εὔσφυκτον, καὶ τῇ εὐσφυξίᾳ εὔπνουν, πολλὰ δὲ σημεῖα κακὰ ἐν τοῖς κενουμένοις, τυχὸν δι᾿ οὔρων καὶ ὑποχωρημάτων καὶ ἱδρώτων, καὶ λέγω ὅτι διὰ τὴν ἰσχὺν τῆς εὐσφυξίας περιγίνεται ὁ ἄνθρωπος. καὶ ἰδοὺ ἓν σημεῖον τὸ κῦρος 2) εἶχε παρὰ τὰ πολλά. ἔστι δ᾿ ὅτε 3) σημειούμεθα ἐκ τῶν κενουμένων καὶ ἐκ τῶν ἐνεργειῶν. καὶ ἀναγκαιότεραι αἱ ἐκ τῶν ἐνεργειῶν σημειώσεις ἤπερ τῶν κενουμένων, ἐπειδὴ αἱ ἐνέργειαι ὑπὸ δυνάμεων ἐπιτελοῦνται. καὶ αἱ δυνάμεις τριτταί εἰσιν ἢ ψυχικαὶ ἢ ζωτικαὶ ἢ φυσικαί. καὶ αἱ μὲν ψυχικαὶ σημειώσεις τιμιώτεραί εἰσι καὶ τῷ ἀξιώματι καὶ τῇ δυνάμει τῶν ζωτικῶν. καὶ πάλιν αἱ ζωτικαὶ τιμιώτεραί εἰσι τῶν φυσικῶν. διὰ τοῦτο οὖν ὁ Ἱπποκράτης λέγει ὅτι δεῖ τὰς σημειώσεις οὐ τῷ ἀριθμῷ προσέχειν, ἀλλὰ τῷ ἀξιώματι.

Εὖ μέντοι χρὴ εἰδέναι περί τε τῶν τεκμηρίων καὶ τῶν σημείων. —

Παρακελεύεται ὁ Ἱπποκράτης τὸν ἰατρὸν καὶ τῷ λόγῳ κεχρῆσθαι καὶ τῇ πείρᾳ. ταῦτα δὲ ἔφη καὶ ὡς δογματικὸς καὶ ὡς ἐμπειρικός. διὰ γὰρ τοῦ εἰπεῖν αὐτὸν, ὅτι χρὴ εἰδέναι, 4) καὶ περὶ τῶν τεκμηρίων τὸ ἐπιστημονικὸν ἐδήλωσε τοῦ λόγου. διὰ δὲ τοῦ εἰπεῖν καὶ τῶν ἄλλων

1) εἴτε M. 2) ἔσχε M. A. 3) σημειούμενος M. A. 4) καὶ om. M.

σημείων, τὸ στοχαστικὸν τῆς πείρας ἐδήλωσε. δεῖ οὖν τὸν ἰατρὸν καὶ δογματικὸν εἶναι καὶ ἐμπειρικόν.

Ἐπειδὴ καὶ ἐν Λιβύῃ καὶ ἐν Δήλῳ καὶ ἐν Σκύθῃσι φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. —

Ἀποροῦσί τινες λέγοντες, ὅτι πῶς ὁ Ἱπποκράτης βραχυλόγος ὤν, ἐνταῦθα φαίνεται πολλῷ λόγῳ κεχρημένος. ἤδη γὰρ ἀνωτέρω εἰπὼν, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρᾳ ἠδύνατο εἰπεῖν καὶ ἐν πάσῃ χώρᾳ τὰ αὐτά ἐστι σημεῖα, καὶ ἐν τούτῳ ἀρκεσθῆναι, ἀλλὰ πολυλογίᾳ ἐχρήσατο καὶ ἑκάστην χώραν ἐμνημόνευσε, Λιβύην καὶ Δῆλον καὶ Σκυθίαν; καὶ λέγομεν ὅτι ἐπίτηδες τοῦτο πεποίηκεν, ἀποκρουόμενος ἀπορίαν μεγίστην. ἵνα γὰρ μήτις ἀπορήσῃ αὐτῷ, 1) ὁτιοῦν καὶ ἐν τῇ θερμοτάτῃ χώρᾳ καὶ ἐν τῇ ψυχροτάτῃ τὰ αὐτὰ σημεῖά ἐστι, τὰ ἀγαθὰ ἀγαθὰ, καὶ τὰ κακὰ κακά. ταύτην οὖν τὴν ἀπορίαν 2) προανακρουόμενος παραδειγματικῶς ἐμνημόνευσε καὶ τῆς θερμοτάτης χώρας καὶ τῆς ψυχροτάτης καὶ τῆς εὐκράτου, ὅτι ἐπὶ πάσης χώρας τὰ ἀγαθὰ σημεῖα ἀγαθά ἐστι καὶ τὰ κακὰ κακά ἐστι. καὶ διὰ τοῦ μνημονεῦσαι Λιβύης, τὴν θερμοτάτην χώραν ἐδήλωσε, διὰ δὲ τῆς Σκυθίας, τὴν ψυχροτάτην, διὰ δὲ τῆς Δήλου, τὴν εὔκρατον.

Ποθεῖν δὲ χρὴ οὐδενὸς νοσήματος τοὔνομα καὶ τὰ ἑξῆς. —

Ἴσως τις ἀπορεῖ ὅτι ὁ Ἱπποκράτης πάντα προθέμενος παραδοῦναι τὰ ὀξέα νοσήματα, οὔτε γὰρ τοῦ συνόχου ἐμνημόνευσεν οὔτε τοῦ καύσου, καίτοι καὶ αὐτῶν ὀξέων νοσημάτων ὄντων· 3) προσαπολογεῖται ὁ Ἱπποκράτης, λέγων ὅτι οὐ περὶ τὴν ὀνομασίαν τῶν νοσημάτων σπουδάζω ζητεῖν, ὅτι τοῦ δεῖνος νοσήματος ὀνομαστὶ οὐκ ἐμνημόνευσα, ἀλλὰ δεῖ σκοπεῖν, ἐάν τι τῶν 4) ἀναγκαίων παρέλειπα σημείων. περὶ γὰρ σημείων ὁ λόγος, οὐ περὶ ὀνομάτων. ἔστι δὲ εἰπεῖν ὅτι καὶ τούτων τῶν νοσημάτων ἐμνημόνευσε δυνάμει, κἂν μὴ ὀνομαστί. καὶ σύνοχον μὲν ἐμνημόνευσεν, ἡνίκα ἔλεγεν, οἵ τε γὰρ

1) cur. 2) προνοούμενος L. 3) προσαπολ. M. 4) ἀνάγκων L. παρέλιπεν M.

εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται, ὁ δὲ σύνοχος ἐντος τῆς τετάρτης κρίνεται. ἀλλὰ καὶ τοῦ καύσου ἐμνημόνευσεν, ἐν οἷς ἔλεγεν, ὅτι τινὰ τῶν νοσημάτων τῇ 1) ἑβδόμῃ κρίνεται, ὁ δὲ καῦσος τῇ ἑβδόμῃ κρίνεται πάντως. ἢ εἰπὲ ὅτι τοῦτο πεποίηκεν, ἐπειδὴ ἐγίνωσκεν, ὅτι οὐ παντὶ ἔθνει ἡ αὐτὴ ὀνομασία τῶν 2) ὀνομάτων ἐστὶν, ἀλλ᾽ ἑτέρως 3) ὠνόμασται, καὶ ἀλληνάλλως κέχρηνται τοῖς ὀνόμασι τῶν νοσημάτων. ἄλλως γὰρ παρὰ Σύροις καὶ ἄλλως παρ᾽ Αἰγυπτίοις καὶ ἄλλως παρὰ Ῥωμαίοις. καὶ διὰ τοῦτο τῶν μὲν ὀνομάτων κατεφρόνησε, τῶν δὲ πραγμάτων καὶ αὐτῶν τῶν σημείων φροντίδα καὶ σπουδὴν ἐποιήσατο, ἐν οἷς σὺν Θεῷ ἥ τε παροῦσα πραγματεία πληροῦται, καὶ τὰ σχόλια τοῦ προγνωστικοῦ. δόξα τῷ Θεῷ. ἀμήν.

1) τετάρτῃ M. 2) Fort. νοσημάτων. 3) ὀνομάζεται L.

ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΙΑΤΡΟΥ ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΝ.

---

1) *Ὅτι μὲν οὐ τὴν κοινὴν μόνον ἁπάντων ἀνθρώπων φύσιν, ὦ Γλαύκων, ἐπίστασθαι χρὴ τὸν ἰατρὸν, ἀλλὰ καὶ τὴν ἰδίαν ἑκάστου, πάλαι τε πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται καὶ ἡμῖν δὲ ἐπ᾽ αὐτῶν, ὡς οἶσθα, τῶν ἔργων τῆς τέχνης ἱκανῶς ἐσπούδασται.* —

Τὸ προοίμιον δύο ταῦτα ὑποτείνεται, πρῶτον μὲν, πόθεν ἡ τῆσδε συγγραφῆς ὑπόθεσις γέγονεν, ὅτι Γλαύκων ὁ τὴν αἰτίαν ποιησάμενος. δεύτερον δὲ δείκνυσι, ποῖα μὲν ἑρμηνεύεσθαι τῷ λόγῳ δυνατὸν, ποῖα δὲ ἀδύνατον. τὰ μὲν οὖν κοινὰ τῷ λόγῳ δυνατὸν παραδιδόναι, τὰ δ᾽ ἴδια οὐκέτι. τίς γὰρ δύναται τὸ ποσὸν καὶ τὸ ποιὸν τῆς ἐν ἑκάστῳ ἰδιότητος φωρᾶσαι; τινὲς μὲν οὖν ὑπέλαβον, 2) *αὐτὸν τὴν κοινὴν φύσιν ἐνταῦθα λέγειν τῶν ἀνθρώπων τὴν ὑγρὰν καὶ θερμὴν λέγοντες, ὅτι ἐν ἐπι-*

Codices.

A. Codex Ambrosianus L. 110. chartaceus, forma quart. saec. XV. olim Pinellianus, unicus est graecus, quem huius commentarii superstitem in itineribus meis reperi.

G. Versio latina Augustini Gadaldini Mutinensis medici.

1) Codex Ambrosianus Galeni verba haud raro omittit, quae apud Gadaldinum latine leguntur. 2) Galenum.

κρατείᾳ τοῦ ὑγροῦ καὶ θερμοῦ ὁ ἄνθρωπος ἔχει τὴν φύσιν. οὗτοι δὲ δοκοῦσί μοι τῶν ὑπ' αὐτοῦ τοῦ συγγραφέως εἰρημένων ἔν τε ταῖς περὶ κράσεων καὶ ταῖς ἄλλαις αὐτοῦ ἁπάσαις πραγματείαις ἐπιλελῆσθαι. σχεδὸν γὰρ ἀποφαίνεται πανταχοῦ τὰς τῶν ἀνθρώπων κράσεις, ὅτι εἶναι τέσσαρας μὲν ἁπλᾶς, τέσσαρας δὲ συνθέτους, καὶ πρός γε τούτων ἁπασῶν τὴν εὔκρατον. καὶ ἔστιν εὑρεῖν ταύτας ἁπάσας ἐπὶ τῶν ἀνθρωπείων σωμάτων. τί δήποτ' οὖν τὰς λοιπὰς παρέντες τὴν θερμὴν καὶ ὑγρὰν εἰρήκασιν, ἣν καὶ μοχθηρὰν ὑπολαμβάνει, καὶ σηπεδονωδῶν αὐτὴν ἀποφαίνεται νοσημάτων αἰτίαν εἶναι. ἡμεῖς δὲ λέγομεν, ὅτι τῆς φύσεως ὄνομα παρά τε τῷ Ἱπποκράτει, καὶ παρὰ τῷ Γαληνῷ κατὰ τεσσάρων φαίνεται σημαινομένων. σημαίνει γάρ ποτε τὴν κρᾶσιν ὅταν 1) λέγῃ· τῶν φύσεων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι· ποτὲ δὲ τὴν μορίων κατασκευὴν, ὥσπερ ὅταν λέγῃ· τινὰς εἶναι τὴν φύσιν στενοθώρακας, καὶ ἄλλους ὅσοι τὰ σκέλη οἷον ἐλαφρότερα καὶ πρὸς τὴν ἀναλογίαν 2) τῶν ἄλλων λεπτότερα ἔχουσι. σημαίνει δέ ποτε καὶ τὴν τῶν σωμάτων διοικητικὴν δύναμιν, ὅταν λέγῃ ὁ Ἱπποκράτης· φύσιες νούσων ἰητροί. σημαίνει δὲ καὶ τὴν ὁρμὴν τῶν ψυχῶν, ὅταν λέγῃ, φύσιες ζώων ἀδίδακτοι. ἐνταῦθα τοίνυν τὸ τῆς φύσεως ὄνομα φέρει οὐ κατὰ τῆς κράσεως, οὐδὲ κατὰ τῆς τῶν ψυχῶν ὁρμῆς, ἀλλὰ κατὰ τῶν λοιπῶν δύο. ἔστι γὰρ εὑρεῖν τῷ ὄντι κοινήν τινα δύναμιν ἐπὶ πάντων ἀνθρώπων, οἷον τὴν ἀλλοιωτικὴν καὶ τὴν ἀποκριτικὴν καὶ τὴν καθεκτικὴν καὶ τὴν ἑλκτικὴν, ἀλλὰ μὴν καὶ τὴν εὐαισθητικὴν καὶ τὴν κινητικὴν, καὶ πᾶς ἄνθρωπος πάσας ἔχει τὰς δυνάμεις, καὶ οὐχὶ παῖς μὲν ἔχει, ἀκμάζων δὲ οὐκ ἔχει, γέρων δὲ οὐκ ἔχει, ἀλλὰ 3) πάντες ὁμοίως αὐτὰς ἔχει ἐν θέρει καὶ ἐν πάσῃ ὥρᾳ καὶ χώρᾳ καὶ ἐν πάσῃ καταστάσει, ὥστε καὶ τὰς ὑπὸ τούτων γινομένας ἐνεργείας ἔχουσι. καὶ λέγονται ταῦτα εἶναι κοινὰ πάντων ἀνθρώπων ἅπασιν ὁμοίως ὑπάρχοντα. ἀλλὰ μὴν καὶ τὴν τῶν μορίων κατασκευὴν

---

1) λέγει A. 2) pro superiorum ratione G. Fort. legit ἄνω. λεπτοτέραν A. 3) πάντας A. Fort. ἔχουσι.

πάντες ὁμοίως ἔχουσιν. οὐ γάρ ἐστιν ὅστις οὐκ ἔχει κεφαλήν τε καὶ χεῖρα καὶ πόδας. οὐδὲ γὰρ εἴ τις τέρας ἐτέχθη, παρὰ τοῦτο τὸν καθόλου λόγον αἰτιᾶσθαι χρὴ, ὡς οὐχὶ ὑγιῶς εἰρημένον. ἅπαντες γοῦν οἱ κατὰ τὴν φύσιν ἔχοντες τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἁπλῶς ὅλον τὸ σῶμα διῃρημένον ἔχουσι τοῖς αὐτοῖς μορίοις, καὶ οὐ διαφέρουσι. αὕτη μὲν οὖν ἐστιν ἡ κοινὴ φύσις. ἔστι δὲ καὶ ἐν ἑκάστῳ ἰδία διαφορά. ἡ μὲν ἐν τῷ Πλάτωνι ἀλλοιωτικὴ διαφέρει τῆς ἐν τῷ Δίωνι διαφορᾷ τινι ἀῤῥήτῳ καὶ λόγῳ ὑποπεσεῖν μὴ δυναμένῃ. καὶ χρὴ διὰ τούτων ἰδίων ὑποχωροῦντας διὰ τὴν περὶ αὐτὰς δυσχέρειαν περὶ τῶν κοινῶν ποιεῖσθαι τὸν λόγον, ἵνα οὕτως ἐξ αὐτῶν ἐπὶ τὰ κατὰ μέρος ἐφαρμόζοντες τὸν λόγον, μὴ πάντα σφαλλώμεθα.

1) *Οὐ μὴν γράφειν γε δυνατὸν ὥσπερ τὴν κοινὴν, οὕτω καὶ τὴν ἰδίαν ἑκάστου, ἀλλ᾽ ὑπεναντίως ἔχει τὰ γράμματα πρὸς τὰς πράξεις ἄλλοθί τε πολλαχόθι καὶ οὐχ ἥκιστα ἐν τοῖς νῦν ὑπ᾽ ἐμοῦ προκειμένοις.* —

Διὰ μὲν τῶν εἰρημένων ἀνωτέρω τὴν κατὰ μέρος ηὔξησε χρείαν, διὰ δὲ τῶν νῦν λεγομένων τὴν τούτων θήραν τε καὶ κατάληψιν, ὡς ἀδύνατον οὖσαν ὑποπεσεῖν τῷ λόγῳ, δηλοῖ καί φησιν, ὑπεναντίως ἔχειν ὥσπερ τὰ κοινὰ πρὸς τὰ κατὰ μέρος, οὕτω καὶ τὰ γράμματα πρὸς τὰς πράξεις. ἐν μὲν γὰρ τῷ πράττειν τὰ τῆς τέχνης ἔργα καὶ μεταχειρίζεσθαι τὰ κατὰ μέρος ζητοῦμεν. εἰσιόντες γοῦν παρά τινι τῶν ἀῤῥώστων, οὐ τὴν κοινὴν θεραπεύομεν, ἀλλὰ τὴν ἰδίαν αὐτοῦ φύσιν. ἐν δὲ τοῖς λόγοις τὰ κατὰ μέρος ἀδύνατον μὲν λέγειν τε καὶ ἑρμηνεύειν, τῇ δὲ περὶ τῶν κοινῶν ὑπάγομεν αὐτὰ διδασκαλίᾳ· καὶ τοῦτό ἐστιν οὐ μόνον ἐν τῷ περὶ πυρετῶν λόγῳ, ἀλλὰ κἂν τοῖς ἄλλοις παθήμασι. καὶ γὰρ καὶ περὶ ἐκείνων μὲν τοῖς ἔργοις τὸ μερικὸν θεραπεύομεν, ἐν δὲ τοῖς λόγοις τὸ καθόλου διδάσκομεν.

---

1) κείμενον A. Sed κείμενον i. e. Galeni verba omisit. Statim sequitur ἐξήγησις.

Ἠξίωσας μὲν γὰρ ἡμᾶς ἰαμάτων τινά σοι καθόλου μέθοδον ὑποτυπώσασθαι καὶ τὰ ἑξῆς. —

Ἐνταῦθα πιστώσασθαι μᾶλλον τὸν ἑαυτοῦ λόγον βουλόμενος, ὅτι δὴ τὰ κατὰ μέρος ἐστὶν ἀδύνατον ἑρμηνεύειν τὸν λόγον, καὶ ταῦτα ἐπήγαγεν, ἐν ᾧ δείκνυσι μὲν 1) *ἑαυτὸν αἰτήσαντα θεραπευτικὴν αὐτῷ διὰ συντόμων γράψειν μέθοδον. ἀλλ' ἐπειδὴ ταύτην, φησὶν, οὐκ ἐνδέχεται προβῆναι, εἰ μὴ διὰ τεττάρων τούτων, ποσότητός τε καὶ ποιότητος, καὶ τρόπου χρήσεως καὶ τοῦ καιροῦ, χρὴ δηλονότι καὶ τούτους κατορθῶσαι. ἡ μὲν οὖν ποιότης ἀπὸ τῆς διαθέσεως εἴδους λαμβάνεται. εἰ μὲν θερμὸν τὸ νόσημα, ψυχόντων ἡμῶν, εἰ δὲ ψυχρὸν, θερμαινόντων, ὥσπερ γε καὶ εἰ ξηρὸν, ὑγραινόντων, καὶ εἰ ὑγρὸν, ξηραινόντων. ἀλλ' οὐκ* 2) *ἀρκεῖ ταῦτα μόνον ἡμᾶς εἰδέναι, ἀλλὰ καὶ τὸ ποσὸν χρὴ μετρῆσαι τῶν προσαγομένων βοηθημάτων, ὅπερ οὐκέτι ἀπὸ τοῦ εἴδους, ἀλλ' ἀπὸ τοῦ ποσοῦ τῆς διαθέσεως καὶ τοῦ κατὰ αὐτὴν μεγέθους λαμβάνεται. ἐγνωκὼς γὰρ εἰ τύχει, ὅτι δεῖ ψύξαι, εἰ* 3) *μὴ εἰδείημεν καὶ τὸ μέτρον ὁπόσον δεῖ ψύξαι, σφάλλεσθαι μὲν περὶ τὴν ἴασιν ἀναγκαῖον. ὡς ὅσοι γε τὸ ποσὸν ἠγνόησαν, ἢ ἀτελέστερον ἐχρήσαντο τοῖς βοηθήμασιν, ἤγουν καὶ εἰς ἐναντίαν τὸ σῶμα φέροντες τὴν δυσκρασίαν ἔλαθον. χρὴ δὲ καὶ τὸν τρόπον εἰδέναι τῆς χρήσεως, οἷον εἰ τύχει, στομάχῳ πάσχοντι πῶς δεῖ προσάγειν τὰ βοηθήματα, ἔσωθεν ἢ ἔξωθεν. πολλάκις γὰρ ἀθεράπευτος ὢν ὁ στόμαχος οὐκ ἀνέχεταί τινος τῶν προσφερομένων φαρμάκων ἔνδοθεν. ἐπὶ τούτου γοῦν ἀγαπῶμεν ἔξωθεν* 4) *προσάγειν τὴν ἴασιν· ἀλλὰ καὶ δυσεντερία, ἕλκος δὲ αὕτη ἐν ἐντέροις, ποτὲ μὲν διὰ τῶν κάτω, ποτὲ διὰ τῶν ἄνω τὸν τρόπον ἡμῖν τῆς χρήσεως ὑπαγορεύει. τοῦ μὲν γὰρ ἕλκους ἐν τοῖς λεπτοῖς ἐντέροις ὄντος, διὰ τῶν ἀνωτερικῶν βοηθημάτων τὴν θεραπείαν ποιούμεθα· κάτω δὲ ἐν τοῖς παχέσιν ὑπάρχοντος, τοῖς κατωτερικοῖς χρώμεθα. καί ἐστιν οὐχ ὁ τυχὼν οὗτος σκοπός. ἁπάντων μὲν τοιούτων ἐστὶ δυσδιαγνωστότατος ὁ καιρὸς, ὀξύτατος ὢν,*

---

1) Fort. *αὐτὸν*. 2) *ἄρχει* A. sufficit G. Unde scripsi *ἀρκεῖ. ἡμῶν* A. 3) *μὲν* A. *ἴδημεν* A. 4) *προσάγει* A.

καθὰ καὶ Ἱπποκράτης ἐν ἀφορισμοῖς ἀπεφήνατο εἰρηκὼς, ὁ δὲ καιρὸς ὀξύς. τῷ γὰρ ἀεὶ ῥεῖν τὰ ἡμέτερα σώματα, καὶ ἄλλοτε ἄλλως ἔχειν, ἀνάγκη καὶ τὰ βοηθήματα ἐπ᾽ αὐτῶν διάφορα εἶναι, καὶ ἄλλα καθ᾽ ἕκαστον καιρόν. οὐ δυνάμεθα γοῦν τὸν καιρὸν, ὀξύτατον ὄντα, καταλαβεῖν, οὐδ᾽ ἄν τις αὐτῷ συμπαρομαρτῆσαι δυνήσαιτο, ὥστε τὸ πρόσφορον εὐκαίρως προσαγαγεῖν βοήθημα. καὶ διὰ τοῦτο τὰς ἀποτυχίας ὁρῶμεν γινομένας οὐ μόνον τοῖς ἰδιώταις, ἀλλὰ καὶ τοῖς ἀρίστοις ἰατροῖς. ἀλλ᾽ οἱ μὲν ἰδιῶται παρὰ τὴν ἑαυτῶν ἀπειρίαν πταίουσι, οἱ δὲ τεχνῖται διὰ τὴν τοῦ πράγματος ἀκαταληψίαν. τεσσάρων τοίνυν τούτων ὄντων σκοπῶν, οἱ μὲν δύο κοινοί τε καὶ εὐδιάγνωστοι καὶ τοῖς ἰδιώταις, ὅ τε τρόπος τῆς χρήσεως καὶ ἡ ποιότης. τίς γὰρ οὐκ οἶδεν ὅτι τὸ θερμὸν δεῖ ψύχειν, καὶ τὸ ψυχρὸν θερμαίνειν; ἀλλὰ καὶ ὁ τρόπος τῆς χρήσεως, εἰ καὶ τῆς ποιότητός ἐστι δυσκολώτερος, ἀλλὰ οὐ πάντη 1) δυσφώρατος. τὰ δὲ λοιπὰ δύο ἴδιά τε καὶ δυσδιάγνωστα, ὅ τε καιρὸς καὶ ἡ 2) ποσότης καὶ οὐκ ἐνδέχεταί τινα πάθος τι κωλῦσαι, μὴ τούτοις τοῖς σκοποῖς χρησάμενον. ἐν αὐτοῖς γὰρ ἤδη τοῖς ἔργοις τὴν τέχνην αὐτῶν ἐξ ἀνάγκης δεόμεθα. εἰ τοίνυν ἀναγκαῖόν ἐστι διὰ τούτων ποιεῖσθαι τὰς θεραπείας, καὶ δίχα τούτων οὐκ ἐνδέχεται τὴν ἴασιν ἐπιτελεσθῆναι, ἐπεὶ ἑκάστου ἰδία ἐστὶ, τὰ δὲ ἴδια γράφειν ἐστὶ δυσχερὲς, ἐξ ἀνάγκης ἐπὶ τὰ κοινὰ τρεπόμεθα, καὶ ταῦτα διδάσκομεν προηγουμένως εἰς τὰς θεραπείας οὐδὲν ἡμῖν συμβαλλόμενα, κατὰ δεύτερον δὲ λόγον. ἐκεῖνα γὰρ τοῖς κατὰ μέρος ἐφαρμόζοντες, ὀλιγάκις ἀποτυγχάνομεν.

Καὶ μὲν δὴ καὶ μέγα τὸ ποσὸν εὐστόχως συναρμοσθὲν εἰς δύναμιν ὁ αὐτὸς ἀνὴρ ἔγραψε καὶ τὰ ἑξῆς. —

Καλῶς προστέθειται τῷ λόγῳ τὸ εὐστόχως. στοχαστικὸν δέ ἐστι τὸ ποσόν. καὶ οὐκ ἄν τις δύναιτο σταθμίσασθαι τοῦτο κατὰ ἀκρίβειαν, ἀλλὰ ἕκαστος ὡς ἂν ἔχῃ φρονήσεως, οὕτω πλησίον τοῦ ἀκριβοῦς ἀφικνεῖται. καὶ ταύτῃ

1) δυσφόρατος A. 2) ποιότης A. quantitas G.

πολλοὶ 1) τῶν ἰατρῶν τῶν πέλας διήνεγκαν τῶν ἀφρονεστέρων ἐκείνων, ὄντες ἀμείνονες τοῦ ποσοῦ καταστοχάζεσθαι· 2) τῶν δ' εἰς δύναμιν ἐπὶ τῶν βοηθημάτων παραληπτέον, ἢ ἐπὶ τῆς τοῦ κάμνοντος δόσεως, ἢ ἐπὶ τοῦ ἰατρεύοντος. ἐπὶ μὲν τῶν βοηθημάτων οὕτως, ὅταν προσάγωμεν σώματι νοσοῦντι ἢ τροφὴν ἢ φάρμακον, χρὴ τούτων ἐξετάζειν οὐ τὸν ὄγκον, ἀλλὰ τὴν δύναμιν 3) *..... καὶ ἐν μικροῖς πολλήν. ἀμέλει γοῦν τῶν ἑρπετῶν ἰὸς ἐλάχιστος μὲν τῷ ὄγκῳ, μέγιστος δὲ τῇ δυνάμει· ἕρπει γοῦν αὐτίκα περὶ τὴν καρδίαν, παρὰ ἧπαρ, παρ' ἐγκέφαλον, καὶ ταῖς ἀρχαῖς τὸ ὅλον συνδιαφθείρει. λάχανα πολὺν μὲν ὄγκον ἔχει, δύναμιν δὲ ἐλαχίστην· σφόδρα γὰρ ὀλίγην παρέχει τῷ σώματι τροφήν. διὰ τοῦτο πολλοὶ τῶν ἰδιωτῶν 4) θαυμάζουσι.

Ἱπποκράτης μὲν καὶ τοῦτο πρῶτος ἁπάντων ὧν ἴσμεν γέγραφεν καὶ τὰ ἑξῆς. —

Ἀτέχνους μέν φησι τοὺς ἀλόγως μετιόντας τὴν τέχνην, καθὰ καὶ ὁ Πλάτων ἐμφαίνει λέγων· 5) τέχνην δ' ἐγὼ οὐ καλῶ, ὃ ἂν εἴη ἄλογον πρᾶγμα, τεχνίτας δὲ, τοὺς ταῖς Ἱπποκρατείαις μεθόδοις κατὰ τῶν νοσημάτων ὁπλιζομένους. ἔχουσι τοίνυν οἱ τεχνῖται πλέον τῶν ἀτέχνων ἐκ τῆς τοιαύτης διαγνώσεως, καθὰ καὶ ὁ Ἱπποκράτης ἐν προγνωστικῷ δείκνυσι λέγων· προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖς νοσέουσι τά τε παρόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι, πιστεύοιτ' ἂν γινώσκειν τὰ τῶν νοσεόντων πράγματα. ἐκ δὲ τούτων ἐν ἐκείνοις ἀποδείκνυσι καὶ τὴν θεραπείαν ἄριστα αὐτῷ προβησομένην. ἀλλὰ πόθεν αὐτῷ ἡ διάγνωσις ἔσται; ἢ δηλονότι ἐκ τοῦ εὐμεθόδως τῇ τέχνῃ χρήσασθαι. τὸ δὲ εὐμεθόδως οὐδ' ἕτερόν ἐστιν ἢ κατὰ διαίρεσιν ὀρθὴν, ὥστε τὰ γένη λαβόντα καὶ τῶν οἰκείων διαφορῶν εἰς εἴδη τέμ-

1) Excellentes medici cacteris imprudentioribus praestant G. unde emendavi ἀφρονεστέρων. Codex εὔφρον. 2) Fort. τὸ. 3) quippe multa invenire licet, quae in magna mole parvam vim, vel in parva magnam obtineant. G. Desunt igitur: ἔστι γὰρ εὑρεῖν πολλὰ ἐν πολλῷ ὄγκῳ ὀλίγην δύναμιν κατέχοντα. 4) G. asteriscum, lacunae signum, adpinxit. 5) In Phaedro.

νοντα, οὕτως εἴς τι καταντᾷ ἄτομον, ὃ μηκέτι τομὴν ἐπιδέχεται. τοῦτο καὶ Μνησίθεος πεποίηκε, φιλοσοφίαν τε καὶ τὴν ἄλλην παιδείαν ἠκριβωμένος, καὶ κατὰ τὴν ἰατρικὴν δὲ τὰ πρωτεῖα φέρων. οὗτος 1) πρώτως ἐπεχείρησε μεθ' Ἱπποκράτην μεθόδῳ τὴν ἰατρικὴν συστήσασθαι, τοιαύτῃ διαιρέσει χρώμενος. καὶ εἰ δοκεῖ, τὴν ἐκείνου διαίρεσιν εἰς μέσον παραγάγωμεν. ἔλεγε τοίνυν ὁ Μνησίθεος, ὅτι ὁ ἰατρὸς ἢ τοῖς ὑγιαίνουσι φυλάττει τὴν ὑγείαν, ἢ τοῖς νοσήσασι θεραπεύει τὰς νόσους. ἀλλὰ τὴν μὲν ὑγείαν φυλάττει διὰ τῶν ὁμοίων, τὴν δὲ νόσον ἀναιρεῖ διὰ τῶν ἐναντίων, καὶ διὰ παντὸς τὰς αἰτίας τῶν νοσημάτων ἐκκόπτει. αὗται δὲ αἰτίαι ἢ τῷ πολλῷ πλεονάζουσι ἢ τῷ ποιῷ. τὸ δὲ ποσὸν ἢ ἐν πνεύμασιν ἢ ἐν ὑγροῖς θεωρεῖται, καὶ τὸ ποιὸν αὖθις ἢ δακνῶδές ἐστιν ἢ ἁλμῶδες ἢ ὀξῶδες ἢ δριμὺ ἢ θερμὸν ἢ ψυχρόν. ἀλλὰ καὶ τούτων ἕκαστον αὖθις 2) αἰτίων γίνεται. ἢ γὰρ οἱ χυμοὶ τοιοῦτοι γεγόνασιν, ἢ ὑπὸ τῆς ἐξαρχῆς φύσεως, 3) ἀντοχηθείσης κατὰ τὴν πρώτην σύμπηξιν τοῦ ζώου, ἢ ὑπό τινος ἐπικτήτου κράσεως πλημμεληθείσης ὕστερον. *

Καὶ γὰρ ὥρα τρέπει τὰς τῶν χυμῶν ἰδέας. τίς γοῦν ἀγνοεῖ, ὅτι τοῦ θέρους ὁ καιρὸς εὔφορός ἐστι χολῆς, φλέγματος δὲ ὁ χειμὼν, καὶ μήν γε καὶ αἵματος τὸ ἔαρ, μελαγχολικοῦ δὲ χυμοῦ τὸ φθινόπωρον. ἀλλὰ μὴν καὶ ἡ χώρα 4) ταὐτὰ δύναται ταῖς ὥραις καὶ ἡλικίαις, καὶ τὸ τῆς διαίτης εἶδος τοιοῦτον ἢ τοῖον ὑπάρχον. ἀλλὰ μὴν καὶ οἱ πόνοι τρέπουσι τοὺς χυμούς. οὗτοι δὲ συνίστανται ἢ περὶ ψυχὴν ἢ περὶ σῶμα, * 5) τῆς δὲ ψυχῆς, ἢ λαγνείαις ἀλόγοις χρώμενοι. καὶ γὰρ καὶ ἀφροδισίων κατάκορος χρῆσις, τὸ τῆς ψυχῆς ὑποκείμενον πνεῦμα διαφοροῦσα, λέγοιτ' ἂν εἶναι 6) ψυχηγὸς πόνος. ἀλλὰ μὴν καὶ 7) φροντίδες καὶ λύπαι τὰς εἰρημένας τῶν χυμῶν ἐργά-

---

1) Fort. πρῶτος. μεθ' Ἱπποκράτους A. 2) Fort. αἴτιον. Sed et horum singula ab aliis rursus causis fieri. G. 3) ἀντιχηθείσης A. Gadaldinus hoc verbum non vertit. Itaque probabiliter idem legit. Emendavi. Lacuna et in A. et apud G. notatur. 4) ταῦτα A. eadem G. 5) Lacunam notat G. 6) animalis labor G. Fort. ψυχικός. 7) φροντίδαι A.

ζονται ποιότητας. καὶ οὗτος ὁ Μνησίθεος διαιρῶν ἐπὶ ταῦτα κατήντησε μεθ' ἃ λοιπὸν οὐκ ἔστι διελθεῖν. ἀλλ' ἐπειδὴ πρὸς φιλόσοφον διαλεγόμενος τὸν Γλαύκωνα, γένους ἐμνημόνευσε καὶ διαφορῶν καὶ εἰδῶν 1) ἀτόμων, ἐν οἷς ἐκεῖνος διεπέπλαστό γε καὶ ἐσπαργάνωτο, καὶ ταῦτα σχεδὸν εἰπεῖν ἐτρέφετο, παρὰ Πλάτωνος αὐτὰ μανθάνων, διὰ τοῦτό φησιν, ὅτι τὴν τούτων ὑπόμνησιν ἐποιήσαμεν, οὐχ ἵνα σε διδάξω τὰ σά. τοῦτο γὰρ ἂν εἴη γελοῖον· ἀλλ' ὅτι 2) [μὴ] καὶ πρὸς τὴν τῶν διδασκομένων ἐπαγγελίαν ἡ τοιαύτη διαιρετικὴ χρησιμεύει μέθοδος, καὶ ὅτι 3) δι' αὐτῆς κατ' αὐτῆς πταισμάτων αἱ τῶν ἰατρῶν ἀποτυχίαι γίνονται, ὧν ἠξίους μαθεῖν τὰς αἰτίας. νῦν γοῦν ἄκουε, φησίν. ἡ τῶν διαιρέσεων διαφωνία καὶ ἡ τῶν πολλῶν ἰατρῶν ἀποτυχία ἐκ τοῦ μοχθηροῦ τῆς διαιρέσεως γίνεται κατὰ τρόπους τρεῖς, τινῶν μὲν ἀρκεσθέντων τοῖς πρώτοις γένεσι, μηκέτι αὐτὰ τεμόντων εἰς ἕτερα εἴδη κατὰ μέρος, ὥσπερ οὖν καὶ οἱ μεθοδικοὶ πεποιήκασι, 4) στεγνὸν μόνον καὶ ῥοῶδες καὶ ἐπιπεπλεγμένον ἀξιοῦντες εἰδέναι καὶ μηκέτι ταῦτα διαιροῦντες. τινὲς μὲν τὰ γένη διεῖλον· ἀτελῶς μέντοι προῆλθεν αὐτοῖς ἡ διαίρεσις, καὶ οὐδὲ μέχρι τῶν ἀτόμων, ὥσπερ οὖν οἱ περὶ τὸν Ἐρασίστρατον φαίνονται πεποιηκότες. ἄλλοι δὲ καὶ ἄλλως διεῖλον, ἀντιθέντες οὐσιώδεσι διαφοραῖς 5) τὰς ἀπὸ συμβεβηκότων, ὥσπερ ἀμέλει καὶ Ἀρχιγένης ἐποίησεν. ἐκεῖνος γὰρ ἔλεγεν, ὅτι τῶν πυρετῶν οἱ μέν εἰσι σφοδροὶ, οἱ δὲ χρόνιοι· ἔστι δὲ τὸ μὲν σφοδρὸν τῆς οὐσίας τῶν πυρετῶν οἰκεῖον· τῆς γὰρ θερμότητός ἐστι χαρακτηριστικόν, ἥτις ἐστὶν οὐσία τοῦ πυρετοῦ· τὸ δὲ χρόνιον συμβεβηκός· συμβέβηκε γὰρ τοῖς πυρετοῖς ἢ ἐπὶ πολὺν ἢ ἐπ' ὀλίγον ἐκτείνεσθαι χρόνον. ἔλεγε τοίνυν ὅτι τῶν πυρετῶν οἱ μέν εἰσι σφοδροὶ, οἱ δὲ χρόνιοι, δέον τῷ μὲν σφοδρῷ τὸ ἀμυδρὸν ἀντιτιθέναι, τῷ δὲ χρονίῳ τὸ ὀλιγοχρόνιον. οὕτως οὖν περὶ τὰς διαιρέσεις σφαλλόμενοι καὶ τὴν τῶν αἱρέσεων συνεστήσαντο διαφωνίαν.

---

1) καὶ G. 2) cruce signat hanc negationem A. et om. G. 3) Fort. διὰ τῶν. 4) γυμνὸν A in mg. στεγνὸν. Strictum G. 5) ταῖς A.

Οστις δὲ καὶ τὰ κατὰ φύσιν ἅπαντα καὶ τὰ παρὰ φύσιν εἰς τὴν τοιαύτην ἀνάγων μέθοδον, ἐξ ἁπάντων τούτων τῶν κατὰ τὴν διαίρεσιν ἀνενδεῆ λαμβάνοι τὴν ἔνδειξιν, μόνος ἂν οὗτος εἰς ἀνθρωπίνην δύναμιν ἀναμάρτητος εἴη περὶ τὰς ἰάσεις καὶ τὰ ἑξῆς. —

Ἡμεῖς τοίνυν τὴν τοῦ Μνησιθέου παραδεδώκαμεν διαίρεσιν, καὶ τῶν κακῶν περὶ τούτων ἀπεδείξαμεν τὴν μοχθηρίαν. φέρε καὶ τὴν κατ᾽ αὐτὸν τὸν συγγραφέα παραδώσωμεν, δι᾽ ἧς ἀξιοῖ πάντα κατὰ φύσιν, καὶ πάντα παρὰ φύσιν εἰδέναι, καὶ ἀφ᾽ ἑκάστου τινὰ λαβεῖν ἔνδειξιν. τὰ μὲν οὖν κατὰ φύσιν ἢ στοιχεῖά ἐστιν ἢ κράσεις ἢ χυμοὶ ἢ μόρια ἢ δυνάμεις ἢ ἐνέργειαι ἢ ἡλικίαι. ἀλλὰ μὴν καὶ ὧραι καὶ χῶραι καὶ 1) νεώτεραι καταστάσεις. τούτων δ᾽ ἕκαστον ὑποδιαιρεῖται. τῶν γὰρ στοιχείων τὸ μὲν θερμὸν, τὸ δὲ ψυχρὸν, τὸ δὲ ξηρὸν, τὸ δὲ ὑγρόν. καὶ τῶν κράσεων ἐννέα διαφοροὶ, τέσσαρες μὲν ἁπλαῖ, τέσσαρες δὲ σύνθετοι, καὶ πρὸς τούτοις ἡ εὔκρατος. καὶ τῶν χυμῶν ὁ μέν ἐστιν αἱματικὸς, ὁ δὲ φλεγματικὸς, ὁ δὲ ξανθοχολικὸς, ὁ δὲ μελαγχολικός. καὶ τῶν μορίων τὰ μὲν ἄρχει, τὰ δὲ ἄρχουσιν ὑπηρετεῖ, τὰ δὲ συμφύτους μόνον 2) ἔχει δυνάμεις, τὰ δὲ συμφύτους ἅμα καὶ ἐπιῤῥύτους. τὰ μέν ἐστιν ὁμοιομερῆ, τὰ δὲ ὀργανικά· καὶ τῶν ὁμοιομερῶν τὰ μὲν ἐνεργὰ, τὰ δὲ χρειώδη. καὶ πάλιν τῶν ὀργανικῶν, τὰ μὲν ἐνεργὰ, τὰ δὲ χρειώδη.

Καὶ τῶν δυνάμεων αἱ μέν εἰσί φυσικαὶ, αἱ δὲ ψυχικαί. καὶ τῶν ψυχικῶν, αἱ μέν εἰσιν αἰσθητικαὶ, αἱ δὲ κινητικαὶ, αἱ δὲ ἡγεμονικαί. καὶ τῶν αἰσθητικῶν, ἡ μὲν ὀπτικὴ, ἡ δὲ ἀκουστικὴ, ἡ δὲ ὀσφραντικὴ, ἡ δὲ γευστικὴ, ἡ δὲ ἁπτική. αἱ μὲν κινητικαὶ τοῖς κινουμένοις διαιρεῖται μορίοις. τοσαῦται γάρ εἰσι κατ᾽ εἶδος αἱ κινητικαὶ δυνάμεις, ὅσα καὶ τῶν κινουμένων μόρια. 3) * καὶ αὕτη μὲν ἡ τῶν ψυχικῶν δυνάμεων διαίρεσις. τῶν δὲ φυσικῶν, ἡ μέν ἐστι ζωτικὴ ἡ ἐκ καρδίας ὁρμωμένη καὶ διὰ τῶν ἀρτηριῶν ἐπὶ παντὶ σώματι χορηγουμένη, αἱ δὲ τῷ ὄντι

---

1) νεώτεροι A. 2) ἔχον A. 3) G. e conjectura addit: Rectricum (sc. facultatum) alia imaginatrix, alia cogitatrix, alia memoratrix existit.

φυσικαί. καὶ τούτων αἱ μὲν πρῶται, αἱ δὲ δεύτεραι. καὶ τῶν πρώτων ἡ μὲν διαπλαστικὴ, ἡ δὲ γεννητικὴ, ἡ δὲ αὐξητική. τῶν δὲ δευτέρων, αἵτινες καὶ ταῖς πρώταις ὑπηρετοῦσιν, ἡ μὲν ἑλκτικὴ, ἡ δὲ καθεκτικὴ, ἡ δὲ ἀλλοιωτικὴ, ἡ δὲ ἀποκριτική. ἡ τῶν 1) ἐνεργειῶν ὑποδιαίρεσις ἡ αὐτή ἐστι τῇ τῶν δυνάμεων· ὅσαι γὰρ δυνάμεις, 2) τοσαῦται καὶ ἐνέργειαι.

Τῶν δὲ ἡλικιῶν ἡ μὲν παιδικὴ, ἡ δὲ ἀκμαστικὴ, ἡ δὲ παρακμαστικὴ, ἡ δὲ γεροντική. καὶ τῶν ὡρῶν ἡ μὲν ἐαρινὴ, ἡ δὲ θερινὴ, ἡ δὲ φθινοπωρινὴ, ἡ δὲ χειμερινή. καὶ τῶν χωρῶν ἡ μέν ἐστι θερμοτέρα, ἡ δὲ ψυχροτέρα, ἡ δὲ ξηροτέρα, ἡ δὲ ὑγροτέρα. 3) καὶ τῶν καταστάσεων ὁμοίως. καταστάσεις δὲ λέγομεν τὰς μερικὰς τοῦ ἀέρος μεταβολὰς, αἵτινες οὐκ ἐξ ἀνάγκης σύμφωνοι γίνονται τῇ ὥρᾳ. ἐπεί τοι πολλάκις ἐστὶν εὑρεῖν ἐν θέρει χειμερινὴν κατάστασιν καὶ ἐν χειμῶνι θερινὴν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. αὕτη μὲν οὖν ἡ τῶν κατὰ φύσιν διαίρεσις.

Μεταβῶμεν δὲ λοιπὸν ἐπὶ τὸ ἕτερον τμῆμα τὸ τῶν παρὰ φύσιν. ταῦτα γὰρ κατὰ γένος εἰσὶ τρία· τὰ μὲν γὰρ ποιεῖ, τὰ δὲ γίνεται· τὰ δὲ 4) ἕπεται. ποιεῖ μὲν τὰ αἴτια, γίνεται καὶ τὰ νοσήματα, ἕπεται δὲ τὰ συμπτώματα. τῶν δὲ αἰτίων, τὰ μέν ἐστι προκαταρκτικὰ, τὰ δὲ προηγούμενα, τὰ δὲ συνεκτικά. καὶ τῶν νοσημάτων, τὰ μέν ἐστιν ὁμοιομερῆ, τὰ δὲ ὀργανικὰ, τὰ δὲ κοινά. καὶ τῶν ὁμοιομερῶν τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ τὰ μὲν κατὰ ψιλὴν ποιότητα, τὰ δὲ μεθ' ὕλης ἐπιῤῥύτου. καὶ τῶν ὀργανικῶν τὰ μὲν παρὰ τὴν διάπλασιν, τὰ δὲ παρὰ τὸν ἀριθμὸν, τὰ δὲ παρὰ τὸ μέγεθος, τὰ δὲ παρὰ τὴν σύνθεσιν. καὶ τῶν παρὰ τὴν διάπλασιν, τὰ μὲν παρὰ τὸ σχῆμα, τὰ δὲ παρὰ τὸν πόρον, τὰ δὲ παρὰ τὴν κοιλότητα, τὰ δὲ παρὰ τὴν τραχύτητα, τὰ δὲ παρὰ τὴν λειότητα. καὶ τῶν παρὰ τὸν ἀριθμὸν, τὰ μὲν ἐλλείπει, τὰ

---

1) ἐνεργειῶν om. A. G. lacunae nota. 2) τοσαῦται καὶ om. A. G. lacunae nota. 3) G. addit: alia calidior et siccior, vel calidior et humidior, vel frigidior et siccior, vel frigidior et humidior; alia temperata. 4) ἔπε A.

δὲ πλεονάζει, καὶ τῶν ἐλλειπόντων τὰ μὲν 1) ὅλα ἐλλείπει, τὰ δὲ 2) μέρη. καὶ τῶν πλεοναζόντων τὰ μὲν ἐκ τοῦ γένους τῶν κατὰ φύσιν, τὰ δὲ ἐκ τοῦ γένους τῶν παρὰ φύσιν. καὶ τῶν παρὰ τὸ μέγεθος, τὰ μὲν ἐνδεῖ, τὰ δὲ ὑπερβάλλει. καὶ τῶν παρὰ τὴν θέσιν, τὰ μὲν γίνονται ἐκ τῆς κατὰ φύσιν θέσεως τῶν 3) μορίων ἐξαλλαττομένης, τὰ δὲ τῆς πρὸς ἄλληλα κοινωνίας παραβλαπτομένης. αὕτη καὶ τῶν νοσημάτων ἡ διαίρεσις. τῶν δὲ συμπτωμάτων, τὰ μὲν ἐν βλάβαις ἐνεργειῶν θεωρεῖται ὥσπερ ἀπεψία καὶ ἀμβλυωπία καὶ ἥτις ἄλλη βλάβη, τὰ δὲ ἐν διαθέσει σωμάτων, ὥσπερ ὅταν] ἄχροια καταλάβῃ τὸ σῶμα, ὥσπερ ἐπὶ τῶν ἰκτέρων, καὶ ἥτις ἄλλη διάθεσις, τὰ δὲ ἐν ἐκκρινομένοις καὶ ἐπεχομένοις, ὥσπερ ἐν διαῤῥοίαις καὶ ἐπισχέσει γαστρὸς, ἐν ἰσχουρίαις τε καὶ τῷ καλουμένῳ διαβήτῃ. τῆς δὲ βλάβης τῶν ἐνεργειῶν ἡ μέν ἐστι παντελὴς, ἡ δὲ ἀμυδρὰ, ἡ δὲ πλημμελής. καὶ εἰς τοῦτο ἡμῖν ἡ τοῦ συγγραφέως τελευτάτω διαίρεσις, 4) ἀρξαμένη ἀπὸ τῶν γενικωτάτων, προελθοῦσα δὲ ἐπὶ τὰ ἄτομα διὰ μέσων τῶν ὑπ' ἀλλήλων εἰδῶν, ἃ γένη μέν ἐστι τῶν μετὰ ταῦτα, εἴδη δὲ τῶν πρὸ αὐτῶν, καὶ διὰ τοῦτο καὶ τῆς τῶν παραλλήλων προσηγορίας τετύχηκεν.

Ἀρξώμεθα οὖν ἀπὸ τῶν πυρετῶν, ἐπειδὴ καὶ σὺ τῆς τούτων ἰάσεως μάλιστα ἠξίου σοι τὴν μέθοδον λεχθῆναι καὶ τὰ ἑξῆς. —

Ἐντεῦθεν λοιπὸν ἄρχεται τὸ ὑπὸ τοῦ Γλαύκωνος αἰτηθὲν ποιεῖν. καὶ πρῶτόν γε τῆς θεραπείας τὴν μέθοδον παραδίδωσι τῶν ἐφημέρων πυρετῶν. ἐφημέρους δὲ καλοῦσι πυρετοὺς τοὺς ἐπὶ τῷ πνεύματι θερμαινομένους, οἵτινές εἰσιν ἁπλούστατοι καὶ εὐηθέστατοι, καὶ μιᾶς ἡμέρας χρόνον εἰς γένεσιν ἔχοντες ἀρκοῦντα. γίνονται δὲ οὗτοι ἢ ὑπὸ σωματικῶν κινήσεων ἢ ὑπὸ ψυχικῶν, σωματικῶν μὲν, ἐν κόποις καὶ στεγνώσεσι καὶ μέθαις, ψυχικῶν δὲ, ἔν τε 5) φροντίσι καὶ λύπαις καὶ θυμοῖς καὶ τοῖς τοιούτοις. ἐκ τούτων γὰρ ἁπάντων συντριβόμενον

---

1) ἄλλα A. tota G. 2) μέρει A. 3) μοροίων A. ἐξαλλατομένων A. 4) ἀρξάμεναι A. 5) φροντίσεσι A.

1) [τὸ πνεῦμα] καὶ δριμύτερον ἑαυτοῦ γινόμενον, μεταδίδωσι τῇ καρδίᾳ τῆς θερμασίας καὶ ἀνάπτει πυρετόν. εἰσὶν οὖν ἅπαντες οὗτοι, ὡς εἰρήκαμεν, εὐήθεις, ὥσπερ οὖν καὶ ἐπὶ βουβῶσι. δεῖται δὲ ὁ λόγος ὁ ἐπὶ τούτων προσδιορισμοῦ. τῶν γὰρ ἐπὶ βουβῶσι πυρετῶν οἱ μέν εἰσιν ἐφήμεροι, γίνονται δὲ, προηγησαμένης τινὸς αἰτίας ἐναργοῦς κατὰ τὸ σῶμα, οἷον ἢ προσπταίσαντός τινος, ἢ ἄλλως ἕλκος ἔχοντος. ἐπειδὴ γὰρ ἀεὶ τὰ ὀδυνώμενα ῥευματίζεται, σπουδάζουσιν αἱ ὕλαι φέρεσθαι παρὰ τὸ ἡλκωμένον, 2) εἶτα κατὰ τὴν πάροδον ἐντυγχάνουσαι τῷ ἀσθενεστέρῳ τῶν μορίων κατασκήπτουσιν εἰς αὐτὸ, καὶ κακοῦσι, καὶ εἰς ὄγκον αἴρουσι. καλεῖται δὲ τὸ τοιοῦτον βουβών· πολλάκις δὲ, πλήθους ὄντος ἐν τῷ σώματι, καὶ κινδυνεύοντος ἀποπνίξαι τὴν δύναμιν, ἡ φύσις οἷον ἀπομάχεται, καὶ διαλακτίζει, βουλομένη αὐτὸ 3) ἀπωθεῖσθαι. ἐπειδὴ τοίνυν οὐ δύναται διὰ τῶν αἰσθητῶν ἐκκρίσεων τὴν κένωσιν αὐτοῦ ποιήσασθαι, πέμπει αὐτὸ περὶ τὰ ἀσθενέστερα τῶν μορίων, τὰς ἀδένας λέγω, ὥσπερ εἴ τινές εἰσι πολέμιοι πόλιν πολιορκοῦντες, ἣν φυλάττουσι διάφοροι στρατηγοὶ, διώκονται μὲν ὑπὸ τῶν 4) ἰσχυροτέρων, ἐπιτίθενται δὲ τοῖς ἀσθενεστέροις, ὑφ' ὧν οὐκέτι δύνανται διώκεσθαι. οὕτω καὶ οἱ χυμοὶ, διωκόμενοι ὑπὸ τῆς ἐῤῥωμένης δυνάμεως, ἐπὶ τὰ ἀσθενέστερα τῶν μορίων ἔρχονται, τοὺς ἀδένας λέγω, οἵτινες οὐ μόνῳ τῷ τῆς ἀσθενείας λόγῳ ἐπιτηδείως ἔχουσι πρὸς τὴν τῶν ὑλῶν ὑποδοχὴν, ἀλλὰ καὶ διὰ τὴν οἰκείαν ἀραιότητα. χαῦνοι γὰρ ὄντες καὶ τοὺς πόρους ἀναπεπταμένους ἔχοντες, ἑτοίμως εἰσδέχονται τὸ πλῆθος εἰς ἑαυτούς. οὗτοι τοίνυν οἱ ἐπὶ τῷ πλήθει γινόμενοι πυρετοὶ οὐκ εἰσὶν εὐήθεις, ἀλλ' ἐκ τῶν ἐπὶ σήψεσι πυρετῶν γινόμενοι κίνδυνον ἐπιφέρουσιν, οὐ τὸν τυχόντα. καὶ χρὴ προσέχειν ἀκριβῶς τὸν νοῦν, μήπως λάθωμεν τοὺς ἐπὶ σήψει πυρέττοντας ἀφυλάκτως διαιτῶντες, ἐκ τοῦ νομίζειν ἐφήμερον αὐτοὺς ἔχειν πυρετὸν, τῆς τοιαύτης ἀπάτης γινομένης ἐκ τῆς ὑπὸ βουβῶνος κοινωνίας ἐπί τε τῶν ἐπὶ σήψει καὶ τῶν ἐφημέρων,

---

1) spiritus i. e. πνεῦμα add. G. asterisci nota. 2) εἰ τὰ A. 3) G. deponere, i. e. ἀποθέσθαι. 4) ἰσχνοτέρων A. a potentioribus G.

ὡς εἰρήκαμεν, γινομένων. τοὺς τοίνυν ἐφημέρους πυρετοὺς οὐκ ἔστι χαλεπὸν θεραπεῦσαι, ἀλλὰ καὶ πάνυ ῥάδιον. εὐθὺς γὰρ μετὰ τὴν τοῦ παροξυσμοῦ παρακμὴν, λουτροῖς μὲν κελεύομεν αὐτοὺς χρήσασθαι κἀπὶ τὴν συνήθη δίαιταν αὐτοὺς ἀπάγομεν. οἱ δὲ μεθοδικοὶ οὐχ οὕτως πως, ἀλλὰ τούτους παραλαβόντες κελεύουσιν ἐπὶ τρεῖς ἡμέρας ἀσιτεῖν, φυλάττεσθαι τὸν διὰ τρίτης ἀξιοῦντες παροξυσμόν. ὑπολαμβάνουσι γὰρ ἅπαντα σχεδὸν τὰ νοσήματα διὰ τρίτης παροξύνειν. οὗτοι τοίνυν μέγιστα τοὺς οὕτω κάμνοντας βλάπτουσι, δριμυτέρους αὐτοὺς ἑαυτῶν 1) ἀποτελοῦντες, καὶ τῇ ἀπὸ τοῦ πυρετοῦ δριμύτητι τὴν ἀπὸ τῆς ἀσιτίας ἐπιτιθέντες δυσκρασίαν. οὐ μόνον δὲ τοῦτο πταίουσιν, ἀλλ' ἵνα τι δόξωσι ποιεῖν, εἰ μὴ μάτην ἀνιέναι περὶ τὸν κάμνοντα, 2) καταιονήσεσί τε χρῶνται ἀκαίροις, καὶ ἐμβροχαῖς καὶ καταπλάσμασιν, ὑφ' ὧν οὐδὲν μόνον ὁ κάμνων ὀνίναται, ἀλλὰ καὶ βλάπτεται, καὶ διὰ τοῦτό φησιν ὑπ' αὐτῶν ὁ Γαληνὸς χειροποίητον γίγνεσθαι τὸ νόσημα.

Τὰ μὲν δὴ τῆς θεραπείας τοῖς τοιούτοις πυρετοῖς πρόχειρα, τὰ δὲ τῆς διαγνώσεως ἀκριβείας πλείονος δεῖται καὶ τὰ ἑξῆς. —

Ἡ διάγνωσις ὁδός ἐστιν ἐπὶ θεραπείαν, καὶ δίχα ταύτης οὐκ ἐνδέχεταί ποτε κατορθῶσαι τρόπον ἰάσεως. οὐκοῦν ἀναγκαῖον [εἰπεῖν] ἐφήμερον πυρετὸν τὸν μέλλοντα θεραπεύειν πρότερον τὴν αὐτοῦ διάγνωσιν εἰπεῖν. πρόχειρον μὲν οὖν εἰπεῖν, ὅτι οἱ μὲν ἐφήμεροι ὑπὸ προκαταρκτικῆς αἰτίας γίνονται, οἱ δὲ ὑπὸ σήψει οὐκέτι, καὶ ταύτῃ διακρῖναι τούτους ἀπ' ἐκείνων. ἀλλ' ἐπειδὴ συμβαίνει πολλάκις τὸν ἐπὶ σήψει πυρετὸν 3) εἰσβάλλειν σύν τινι τῶν προκαταρκτικῶν αἰτιῶν, ὡς ἐκ τούτου πολλάκις ἀπατωμένους τοὺς ἀγυμνάστους τῶν ἰατρῶν ὑπολαμβάνειν ἐφήμερον εἶναι τὸν πυρετὸν, κἀντεῦθεν ἀφυλάκτως διαιτῶντας μεγάλως πταῖσαι, καὶ κίνδυνον οὐ τὸν τυχόντα τῷ κάμνοντι περιποιῆσαι, διὰ τοῦτο κάλλιόν

1) ἀπολοῦντες A. ἀποτελοῦντες qui reddant G. 2) καταιονισθέσι A. χρώμενον A. 3) εἰσβάλλει A.

ἐστιν ἅπασαν ἀκριβῶς τῶν ἐφημέρων τὴν φύσιν παραστῆσαι διὰ τῶν καλουμένων σημείων τῶν τε παρόντων καὶ τῶν προγεγονότων. τούτων δὲ τὰ μέν ἐστι μέγιστα καὶ κυριώτατα, τὰ δὲ δευτέραν ἔχει τὴν φύσιν. καὶ χρὴ 1) κάλλιστα μὲν τοῖς μεγίστοις πιστεύειν, ἤδη δὲ προστιθέναι καὶ τὴν τῶν ἐλαχίστων ψῆφον. ταῦτα γὰρ προστιθέμενα βεβαιοῖ τὰ μείζονα. μέγιστα δ' ἐστὶ σημεῖα, ὅσα ἀπὸ τῶν ἀρχῶν λαμβάνεται. ἀρχαὶ δὲ τρεῖς, ὡς πολλάκις μεμαθήκαμεν, ἐγκέφαλος, καρδία καὶ ἧπαρ. ὁ μὲν οὖν ἐγκέφαλος οὐ πάνυ 2) μεγάλως ἡμῖν εἰς τὴν τοῦ πυρετοῦ συμβάλλεται διάγνωσιν, καρδία δὲ καὶ ἧπαρ, καὶ ταῦτ' εἰκότως, εἴ γε καρδίας μὲν ἴδιον πάθος ὁ πυρετός. δηλοῦται δὲ ταύτης ἡμῖν ἡ διάθεσις διὰ τῶν σφυγμῶν. ἀλλὰ καὶ τῶν χυμῶν ἐστιν ἡ θερμασία τῶν ἐν ταῖς φλεψὶ καὶ τῷ ἥπατι, οἵτινες δηλοῦνται διὰ τῶν οὔρων. οὐκοῦν τὰ μέγιστα σημεῖα ἐν πυρετοῖς οὖρά τέ ἐστι καὶ σφυγμοί. τὰ δὲ λοιπὰ κατάκλισις, καὶ κατακλίσεως διαφοραί, ὅσα περὶ τὸ πρόσωπον φαίνεται τετραγῳδημένα κατὰ τὸ προγνωστικὸν ὑφ' Ἱπποκράτους, ἀναπνοὴ καὶ ὁ ταύτης 3) ἀριθμὸς, καὶ εἴ τις ἐνέργεια κατά τι μόριον βέβλαπται, καὶ τὰ ἐκκενούμενά τε καὶ ἐπεχόμενα, καὶ εἴ τι μόνον ὄγκον ἔχει ἤ τινα ὀδύνην. ταῦτα πάντα δεῖ προσθεῖναι τῇ ἀπὸ τῶν μεγίστων διαγνώσει. οὐκοῦν χρὴ τὰ μὲν οὖρα κατὰ τὸν ἐφήμερον πυρετὸν 4) ὑπόστασιν λευκὴν, λεῖαν καὶ ὁμαλὴν καὶ τῇ τῶν ὑγιαινόντων ὁμοίαν, ὀλίγον δὲ μόνον κατὰ τὸ χρῶμα καὶ τὴν σύστασιν παρατετράφθαι διὰ τὴν ἀπὸ τοῦ πυρετοῦ θερμασίαν δριμύτερά πως γεγονότα καὶ μηδὲν σήψεως ἔχοντα σημεῖον. ἔστι δὲ τοῦτο ἡ ἀνωμαλία τῆς ὑποστάσεως. τοιαῦτα μὲν οὖν ἔστω τὰ οὖρα. ἀλλὰ καὶ ὁ σφυγμὸς μέγας μένει καὶ ταχύτερος καὶ πυκνότερος διὰ τὴν θερμασίαν, ὁμαλὸς μέντοι καὶ μηδεμίαν ἐνδεικνύμενος ἀνωμαλίαν μηδὲ τὴν συστολὴν ἐπιταχύνων, ὃ μάλιστα τῶν ἐπὶ σήψει ἐστὶν ἴδιον, ἐπειγομένης τῆς δυνάμεως διὰ τῆς συστολῆς ἐκκρῖναι τὰ σηπεδονώδη καὶ λιγνυώδη περιττώματα. εἰ δὴ καὶ

1) Fort. μάλιστα. maxime G. 2) μεγάλη A. 3) rhythmus G. 4) Addas ἔχειν.

ἔχοιεν ἀνωμαλίαν οἱ σφυγμοὶ, μετρία τις αὕτη γενέσθω. γίγνονται δέ ποτε διὰ τοὺς ἐπὶ στεγνώσει γινομένους ἐφημέρους. ἐπὶ τούτων γὰρ ἀποκεκλεισμένων τῶν πόρων καὶ μηκέτι τῶν εἰωθότων διαφορεῖσθαι κενουμένων, ἡ δύναμις ὑπ' αὐτῶν βαρουμένη ποιεῖ τινα κατὰ τὸν σφυγμὸν ἀνωμαλίαν. ταῦτα μὲν οὖν ἐστι τὰ μέγιστα. εἰ δὲ καὶ πάντα τὰ εἰρημένα αὐτοῖς συμβαίνοιεν, τηνικαῦτα χρὴ βεβαιοῦν τὴν διάγνωσιν, ἐπειδὰν μὲν ἐπιστημονικωτέρα γένοιτο αὕτη, εἰ καὶ τὸν πυρετὸν ὁ κάμνων εἴποι γεγενῆσθαι αὐτῷ ὑπό τινος προκαταρκτικῆς αἰτίας ἢ τῆς τῶν περὶ 1) *αὐτόν. καὶ χρὴ τηνικαῦτα θαῤῥοῦντα εὐθέως μετὰ τὴν λύσιν τοῦ παροξυσμοῦ ἐπὶ τὸ λουτρὸν ἀπάγειν. οὐ μὴν οὐδὲ ἐν αὐτῇ τῇ λύσει τοῦ νοσήματος ἀμελητέον τῆς διαγνώσεως, ἀλλὰ δὴ κἂν τῷ λουτρῷ, καὶ μετὰ τὸ λουτρὸν, προσέχειν τοῖς σημείοις, ἐν μὲν τῷ λουτρῷ, εἰ μή τις αὐτοῖς γίνεται φρίκη. αὕτη γὰρ ἐπὶ τῶν ἐπὶ σήψει πέφυκε γίνεσθαι, σηπεδονωδῶν περιττωμάτων ὑπὸ τῆς τοῦ λουτροῦ* 2) *ἀλέας* * *χρωμάτων καὶ φερομένων περὶ τὰ αἰσθητικὰ μόρια καὶ δακνόντων αὐτὰ καὶ ταύτῃ* 3) *τῇ φρίκῃ ποιούντων. ἀλλὰ καὶ μετὰ τὸ λουτρὸν ἐπιθεῖναι δεῖ τοὺς δακτύλους τῇ ἀρτηρίᾳ καὶ πυνθάνεσθαι αὐτῆς, μή τινα τῶν παρὰ φύσιν ἔχει διάθεσιν τὸ σῶμα. εἰ γὰρ ἀληθῶς τῆς τῶν ἐφημέρων ἐστὶ φύσεως ὁ πυρετὸς, οὐδένα παρὰ φύσιν* 4) *ἐνδείξεται τρόπον ὁ σφυγμὸς, ἀλλὰ κατὰ πάντα τὸν τῶν ὑγιαινόντων φυλάξει ῥυθμὸν, οὐχ ὥσπερ ἐπὶ τριταίων καὶ τεταρταίων καὶ πάντων τῶν ἐπὶ σήψει. ἐπ' ἐκείνων γὰρ οὐδ' ἐν τῷ διαλείμματί ἐστιν εὑρεῖν τὸν σφυγμὸν ἐοικότα πάντῃ* 5) *τῷ κατὰ φύσιν, ἀλλὰ πάντως ἔχοντά τι σημεῖον σήψεως. ἐπὶ μέντοι τῶν ἐφημέρων σὺν τῇ τοῦ παροξυσμοῦ λύσει καὶ τὰ νοσοποιὰ αἴτια παύεται, καὶ οὐδὲν λείψανον ἔτι μένει τῆς τὸν πυρετὸν* 6) *ἐργασαμένης. ἀλλὰ καί τισιν αὐτῶν νοτίδες χρησταὶ φαίνονται, καί τισιν ἱδρῶτες. καὶ ἄξιον ζητήσεως, πόθεν, τοῦ πυρετοῦ ἐπὶ πνεύμασιν ὄντος, ἱδρὼς ἐκκρίνε-*

---

1) *αὐτῶν* A. 2) *ἐλέας* A. *χρωμάτων*] Fort. *χεομένων*. quum fundantur G. 3) Fort. *τὴν φρίκην*. 4) *ἐνδείξηται* A. 5) *τῶν* A. 6) Om. *διαθέσεως*, affectionis G.

ται; καὶ λέγομεν ὅτι τὸ πνεῦμα τὸ ἤδη θερμανθὲν ἐκκρινόμενον, καὶ εὑρίσκον περὶ τὴν ἐπιφάνειαν χυμόν τινα, λεπτύνει τοῦτον καὶ εἰς ἱδρῶτας ἀναλύει καὶ ἑαυτῷ συνεκκρίνεσθαι ποιεῖ. τινὲς δὲ λέγειν ἐπεχείρησαν, ὅτι τὸ πνεῦμα ἐπείγεται μὲν διαφορηθῆναι, εἶτα πυκνότερον τῇ ἐπιφανείᾳ ἐντυγχάνον στέγεται καὶ εἰς τὴν τοῦ ὕδατος ἐπανέρχεται φύσιν, κἀντεῦθεν ἱδρὼς ἐκκρίνεται. τοῦτο δέ ἐστιν ἀνόητον, πρῶτον μὲν ὅτι τὸ τοιοῦτον σύμπτωμα οὐ πνεῦμα, ἀλλ᾽ ἀτμὸς πέφυκεν ὑπομένειν. ἔπειτα δὲ καὶ δῶμεν τὸ πνεῦμα δύνασθαι τρέπεσθαι εἰς ὕδωρ, ἀλλὰ τραπὲν οὐκέτι δυνήσεται ἐκκριθῆναι. εἰ γὰρ οὕτως ἐπυκνώθησαν οἱ πόροι, ὡς πνεύματι μὴ εἶναι βατοὶ, πολλῷ μᾶλλον 1) οὐ συγχωρήσουσι τῷ ὑγρῷ ἐξιέναι· παχύτερον γὰρ ἀεὶ τοῦ πνεύματος τὸ ὑγρὸν, ὥστε ταύτην μὲν οὐ παραδεκτέον τὴν ἐξήγησιν, τὴν δὲ ὑφ᾽ ἡμῶν εἰρημένην. διαφέρει καὶ νοτὶς ἱδρῶτος τῷ ποσῷ· ἱδρὼς μὲν γάρ ἐστιν ὁ πολὺς, αἱ νοτίδες δὲ ὀλίγαι. χρὴ οὖν προσέχειν ἅπασι τούτοις τοῖς σημείοις μετὰ βαλανεῖον. καὶ μέντοι καὶ τὰ οὖρα πάλιν ἐπισκέπτεσθαι καὶ προσέχειν, εἰ πολλῷ κρείττονα νῦν γεγόνασι· πάντως δὲ δηλονότι 2) εἴ τι σύμπτωμα κατὰ τὸν πυρετὸν ἐγένετο, τοῦτο καὶ νῦν λυθήσεται. καὶ ὃ ἐπὶ πᾶσι τούτοις 3) κολοφωνεῖ, τοῦ κάμνοντος εὐφορία. αὕτη γὰρ μάλιστα τὴν τοῦ ἐφημέρου πυρετοῦ διάγνωσιν βεβαιοῖ. ἐπὶ γὰρ τῶν ἐπὶ σήψει πάντως ἄλυς τις γέγονε, καὶ σηπεδονωδῶν τινων σπερμάτων φερομένων ἐπὶ τὸ στόμα τῆς γαστρὸς καὶ τὸ τοιοῦτον ἐργαζομένων σύμπτωμα. εἰ τοίνυν ταῦτα τὰ εἰρημένα ὑφ᾽ ἡμῶν σύμφωνα εἴη, καὶ συνφθέγγονται ἀλλήλοις ἐνδεικνύμενα τὴν τοῦ ἐφημέρου πυρετοῦ φύσιν, χρὴ θαῤῥοῦντας λούειν καὶ τρέφειν τὴν συνήθη δίαιταν. δοτέον δ᾽ αὐτοῖς καὶ οἶνον, μετροῦντας τούτου τὸ μέτρον πρὸς τὸ τοῦ κάμνοντος ἔθος, καὶ τὴν παροῦσαν χρείαν. τοῦτο γάρ ἐστιν ὅ φησιν, ὅσον τοῖς παροῦσι μέτριον.

Ἡμεῖς δ᾽ ὡς οἶσθα πειρώμεθα λέγειν αὐτοῖς τὸ προηγησάμενον αἴτιον, οὐ περιμείναντες ἔρεσθαι τὸν κάμνοντα.—

---

1) εἰ συγχωρήσωσι A. 2) εἴτοι A. 3) καλοφονεῖ A. quod Colophonem imponit G. Fort. κολοφωνία sc. ψῆφος.

Τῶν νοσοποιῶν αἰτίων, ὡς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, τὰ μέν ἐστι προκαταρκτικὰ, τὰ δὲ προηγούμενα, τὰ δὲ συνεκτικά. δεῖ τὸν ἰατρὸν εἰδότα 1) προαγορεύειν * . . . . τὰ δὲ προκαταρκτικὰ παρὰ τῶν καμνόντων πυνθάνεσθαι. νυνὶ δὲ καὶ αὐτῶν, ὡς ἐνδέχεται, βούλεται παραδοῦναι διάγνωσιν ἡμῖν ὁ Γαληνὸς, ὅπως ἂν αὐτὰ προαγορεύοντες εὐκλεεῖς τε γινώμεθα, καὶ μήτε ὑπὸ τῶν ἀῤῥώστων ἀπατώμενοι περὶ τὰς θεραπείας ἀποτυγχάνωμεν. ἀλλὰ τῶν προκαταρκτικῶν τὰ μέν ἐστι ψυχικὰ, τὰ δὲ σωματικά. οὐκοῦν πρότερον παραδῶμεν τὴν τῶν ψυχικῶν διάγνωσιν. ἔστι δὲ ταῦτα θυμὸς, λύπη, φροντὶς, ἀγρυπνία. χρὴ δὲ ἐκεῖνο πρότερον εἰπεῖν, ὅτι ταῦτα ἐπὶ τὸν κάμνοντα περιέχουσιν. ἀμέλει τοι πολλάκις πολλοὶ πυρέττοντες, ἐπιθυμοῦνται ἢ λυποῦνται ἢ φροντίζουσιν ἢ ἀγρυπνοῦσιν· ἢ τοίνυν ἔτι δρᾷ ταῦτα τὰ αἴτια, ἢ ταῦτα μὲν οἴχεται, ἡ δὲ ἀπ᾽ αὐτῶν διάθεσις ἐν τῷ σώματι μένει. εἰ μὲν τῶν αἰτίων παρόντων τὴν ἐπίσκεψιν ποιούμεθα, οὐδὲν ἔσται χαλεπὸν διαγινώσκειν αὐτὰ τῶν σφυγμῶν 2) ἁπτόμενον· οὗτοι γὰρ ἡμῖν τὰ τῆς καρδίας παραδιδόασιν. 3) ἑκάστου δὲ τούτων ἐν τῷ περὶ σφυγμῶν ἐμάθομεν τὴν διαφοράν. εἴρηται γὰρ ἐν ἐκείνοις, τίς μὲν ὁ τῶν θυμουμένων, τίς δὲ ὁ τῶν λυπουμένων σφυγμὸς, καὶ τίς μὲν ὁ τῶν πεφροντικότων, τίς δὲ ὁ τῶν ἀγρυπνησάντων. οὐ μὴν 4) ἀρκεῖσθαι μόνον χρῆσθαι τοῖς σφυγμοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις δεῖ χρῆσθαι σημείοις, ὅσα Ἱπποκράτης ἐν τῷ προγνωστικῷ κατέλεξεν ἀπὸ χρώματος, ἀπὸ κατακλίσεως, ἀπὸ τῆς ἀναπνοῆς καὶ τῶν ταύτης εἰδῶν· εἰ δὲ τὰ αἴτια πεπαυμένα εἴη, 5) μένει λείψανον ἀπ᾽ αὐτῶν πάντως ἐν τῷ σώματι ὥστε μετρίως ἐκ τῶν σφυγμῶν διαγινώσκεσθαι· εἰ δὲ μὴ οὗτοι ἡμῖν ἀρκέσειεν, χρὴ 6) τοῖς λοιποῖς τὴν διάγνωσιν ποιήσασθαι.

Κοινῶς μὲν γὰρ ἅπασι τὰ οὖρα πυῤῥότερα. —

Ἐν τῇ περὶ κρίσεων πραγματείᾳ ὁ περὶ τῶν χρωμάτων διώρισται λόγος. καὶ ἀκριβῶς ἐν ἐκείνοις εἴρηται, τί

---

1) προσαγ. A. Om. A. G. τὰ μὲν οὖν προηγούμενα καὶ τὰ συνεκτικά. 2) ἁπτόμενος A. ἤτοι pro οὗτοι A. 3) ἕκαστον A. 4) Fort. ἀρκεῖ. 5) μὲν εἰ λείψ. A. 6) τοῦ λοιποῦ A.

μέν ἐστι τὸ πυῤῥὸν, τί δὲ τὸ ἐρυθρὸν, τί δὲ τὸ ξανθὸν, τί δὲ τὸ ὠχρὸν, καὶ τί δὲ τὰ τούτων ὑφειμένα, τῇ προσθήκῃ τῆς ὑπὸ προθέσεως δηλούμενα, ὑπόπυῤῥον, ἢ ἄλλως λέγεται καὶ ὑπόξανθον καὶ ὕπωχρον, ἐρυθρόν τε καὶ ὑπέρυθρον. ἐνταῦθα μέντοι 1) πρὸς εἰσαγομένους ὁ παρὼν γέγραπται λόγος, ὁλοσχερέστερον ἅπαντα ταῦτα τὰ προειρημένα πυῤῥὰ καλεῖ, καί φησι πυῤῥὰ εἶναι τὰ οὖρα 2) κοινῶς πᾶσιν, οὐ τοῖς τὸν ἐφήμερον πυρέξασι πυρετὸν ἁπλῶς, ἀλλὰ ὅσοι πυρέττουσιν ἢ ἐπὶ θυμῷ ἢ ἐπὶ τοῖς εἰρημένοις ψυχικοῖς πάθεσιν. ἐπεί τοι μετὰ μικρὸν μαθησόμεθα, ὅτι τοῖς ἐπὶ πυκνώσει πυρέττουσι καὶ τοῖς ἐπὶ βουβῶσιν οὐ πυῤῥότερα τὰ οὖρά ἐστιν, ἀλλὰ μᾶλλον λευκότερα.

Πρόσεστι δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας· ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ φροντίσασι· καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης καί τις ἀήθης ἄχροια. —

Διορίζει μὲν ἐνταῦθα λύπην τοῦ θυμοῦ. ὃ βούλεται δὲ εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι ἐπ' ἀμφοτέρων μέν ἐστι καὶ θερμότης καὶ ξηρότης, ἀλλ' ἐπὶ μὲν τῶν λυπουμένων ἡ μὲν ξηρότης πλείων, ἡ δὲ θερμότης ἐλάττων, ἐπὶ δὲ τῶν θυμουμένων, ἀνάπαλιν 3) * .... δριμύτερα μὲν διὰ τὴν ξηρότητα, θερμότερα δὲ διὰ τὴν θερμασίαν· ἐπὶ μέντοι τῶν θυμουμένων οὐκ ἔστιν οὕτως εὑρεῖν, ἀλλὰ θερμὰ μέν ἐστιν, οὐ μὴν δριμέα, τουτέστιν οὐ ξηρά. τινὲς δὲ καὶ ἄλλως ἐξηγήσαντο, λέγοντες, ὅτι ἐπὶ τῶν λυπουμένων τὰ οὖρα ἐκκρινόμενα τὴν τοῦ κάμνοντος αἴσθησιν 4) * ἀνθρωπίαν καὶ δάκνει μᾶλλον, ἧττον δὲ θερμαίνει, θερμαίνει δὲ ὅμως, ἐπὶ δὲ τῶν θυμουμένων ἀνάπαλιν· ἐν αὐτῷ μὲν τῷ ἐκκρίνεσθαι μᾶλλον μὲν θερμαίνει τὸ δακνῶδές τε καὶ δριμὺ οὐκ ἔχει. καί ἐστιν ἐξήγησις αὕτη ἀληθὴς, ὥστε τὰς δύο παραληπτέον· ἀλλ'

---

1) Addas ἐπειδή. 2) κοινὴν A. 3) G. addit: caliditas major, siccitas minor. Igitur urinae in tristantibus apparent acriores etc. 4) molestare G. Fort. ἀνατρέπει.

ἐπειδὴ πολλὴν ἐν τούτοις τοῖς σημείοις κοινωνίαν εὗρε, θυμοῦ τε καὶ λύπης, ἔτι δὲ καὶ 1) δι' ἄλλων ἐπιδηλοτέρων σημείων παραδίδωσιν αὐτῶν τὴν διαφοράν. ἐπὶ μὲν γὰρ τῶν λυπουμένων ἰσχνότης, φησὶ, γίνεται τοῦ παντὸς σώματος καὶ μάλιστα τῶν ὀφθαλμῶν. ἐπειδὴ γὰρ ἐν τούτοις πολὺ περιέχεται πνεῦμα, τὸ πάλαι αὐτοὺς εἰς ὄγκον αἶρον, τοῦτο τοίνυν ὑπὸ τῆς λύπης διαφορηθὲν 2) συμπίπτειν αὐτοὺς ποιεῖ. ἐπὶ δὲ τῶν θυμουμένων, οὐκ ἔστι τοῦτο εὑρεῖν, ἀλλὰ μᾶλλον καὶ τὸ σῶμα φαίνεται ὀγκωδέστερον, τῆς φύσεως ἔξω τὴν τροπὴν ποιουμένης μετά τινος συντονίας, 3) ταύτῃ δὲ δηλονότι ἑπομένων τοῦ τε πνεύματος καὶ τοῦ αἵματος. ἀλλὰ μὴν ἐπὶ τῶν λυπουμένων ἐστὶν εὑρεῖν ὠχρότερον καὶ ἁπλῶς ἄχρουν τὸ σῶμα. τῷ γὰρ τὴν ἔμφυτον θερμασίαν εἰς τὸ βάθος συννεύειν καὶ καταλιμπάνειν τὰ ἐπιπολῆς, ἐξ ἀνάγκης τῇ ἀπουσίᾳ τοῦ αἵματος ἄχροια γίνεται, ὅπερ ἐπὶ τῶν θυμουμένων οὐκ ἔστι διὰ τὴν εἰρημένην ἐπ' αὐτῷ αἰτίαν.

Ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά. μάλιστα δὲ τοῖς ὀφθαλμοῖς διορίζειν χρὴ καὶ τὰ ἑξῆς. —

Λύπην μὲν οὖν ἤδη 4) [προσήκει] διώρισε τοῦ θυμοῦ τῇ τε εἰρημένῃ διαφορᾷ, ἐπὶ τῶν οὔρων τε καὶ μέντοι καὶ τῇ ἰσχνότητι καὶ τῇ κοιλότητι ὀφθαλμῶν, καὶ τῇ ἀχροίᾳ. ταῦτα γίνεται καὶ ἐπὶ τῶν πεφροντικότων. τίνι οὖν ταῦτα διορισόμεθα; αὐτὸς μὲν αὐτὸ παρεσιώπησεν, εἰρηκὼς τοσοῦτον μόνον, ὅτι τοῖς ὀφθαλμοῖς αὐτὰ διορίζειν, ὅπως δὲ χρὴ διορίζειν, μηκέτι προσθείς. ἡμεῖς δ' αὐτὸ προσθῶμεν, ὅτι ἐπὶ τῶν λυπουμένων ἐστὶν εὑρεῖν τοὺς ὀφθαλμοὺς οἷον ἠρεμοῦντάς τε καὶ ἀκινητίζοντας, ἐπὶ δὲ τῶν φροντισάντων κινουμένους τε καὶ περιφερομένους. 5) ἀγγέλλουσι μὲν γὰρ ἡμῖν οἱ ὀφθαλμοὶ τὰ τῆς ψυχῆς πάθη, 6) θύραι ὄντες τοῦ ἐγκεφά-

---

1) *δι'* addidi. 2) *συμπίπτει — ποιεῖν* A. 3) *αὕτη* A. 4) G. om. Fort. add. *ὡς*. 5) *ἀτελοὺς ἐπὶ* A. *ἀγγέλους ἐπὶ* G. 6) *θηρεύοντες* A. quum sint fenestrae G. unde conjeci: *θύραι* s. *θυρίδες ὄντες*.

λου, ἐν ᾧ κατοικεῖ ἡ ψυχὴ, καί ἐστιν αἰσχρὸν, ἐπὶ μὲν τῶν ὑγιαινόντων τοὺς φυσιογνώμονας ἀπὸ τῆς τῶν ὀφθαλμῶν διαθέσεως ἐπιγινώσκειν, ὁποῖά τέ ἐστι τὰ τῆς ψυχῆς ἤθη, ἡμᾶς δὲ ἐν ταῖς νόσοις ὄντας μὴ προαγορεύειν, ὅπου καὶ ἐναργέστατα καὶ σφόδρα κατάδηλοι γίνονται τούτων αἱ τροπαὶ συναμειβομένων ταῖς διαθέσεσι τῆς ψυχῆς. τὸ δὲ ὁπωσοῦν φροντισάντων προσέθηκεν, ἐπειδὴ διάφοροι φροντίδος αἰτίαι. ὁ μὲν γὰρ ἐπὶ χρήμασι ποιεῖται τὰς φροντίδας, ὁ δὲ ἐπὶ παισὶν, ὁ δὲ ἐπὶ τῇ τῶν κρειττόνων θεωρίᾳ, καὶ ἁπλῶς ἵνα γενικώτερον αὐτὰ διαστειλώμεθα, οὕτως εἴπωμεν· ἡ φροντὶς ἢ διὰ τὰ κρείττονα γίνεται 1) [ἢ διὰ τῶν χειρόνων] ἢ διὰ τὰ ἔτι χείρονα, καὶ ἁπλῶς εἰπεῖν μοχθηρά. καὶ χρὴ γινώσκειν, ὅτι ἡ μὲν τῶν χειρόνων φροντὶς, σὺν τῷ σώματι καὶ τὴν ψυχὴν καταβάλλει, 2) [ἡ δὲ τῶν κρειττόνων φροντὶς τὴν ψυχὴν ἀνάγει τε καὶ αὔξει.] καὶ ῥωμαλεωτέραν, ὡς εἰπεῖν, αὐτὴν αὐτῆς ἀπεργάζεται. 3) ταῦτα οὖν διοριστέον καὶ *φροντίδι λυπουμένων.

Τοὺς δὲ ἐπ' ἀγρυπνίᾳ πυρέξαντας διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος καὶ τὰ ἑξῆς. —

Τὴν ἀγρυπνίαν ἀπὸ τῶν εἰρημένων διορίζειν τινὰ, οὐ χαλεπόν. ἔχει μὲν γάρ τι κοινὸν πρὸς αὐτὰ τὴν χροίαν, ἀλλὰ καὶ διαφέρον, ὅτι μετὰ τοῦ ὕποιδον εἶναι τὸ σῶμα, γίνεται ἡ τοιαύτη ἄχροια· γίνεται δ' αὕτη διὰ τὸ μὴ πεπέφθαι καλῶς τὰ σιτία. ἐμάθομεν γὰρ πολλάκις, ὅτι κατὰ τοὺς ὕπνους ἡ φύσις ἐν τῷ βάθει συννεύσασα καὶ σχολάζουσα τοῖς σιτίοις, ἄμεινον καὶ τὰς πέψεις ἐργάζεται καὶ τὰς θρέψεις. ἐνταῦθα τοίνυν τῇ ἀγρυπνίᾳ ἐξ ἀνάγκης ἕπεται ἀπεψία, ταύτῃ δὲ ἀτροφία, ὅθεν οὐδὲ τὸ εὐανθές ἐστι τοῦ αἵματος ἐπὶ τῆς ἐπιφανείας ἰδεῖν. ἀλλὰ καὶ ὑπὸ τῆς ἀπεψίας περιττώματα 4) ἀναλυόμενα εἰς πνεύματα, καταλαμβάνοντα τὴν ἕξιν, ὑδαλεωτέραν αὐτὴν ἀπεργάζεται. οὗτοι δὲ καὶ τὰ βλέφαρα δυσκίνητα

---

1) Om. G. 2) ἡ — φροντὶς om. A. 3) Hoc igitur modo cogitantes a tristantibus distinguere oportet. G. Fort. ταύτῃ οὖν διορ. τοὺς φροντίζοντας τῶν λυπ. 4) ἀλυώμενα A.

ἔχουσι, διὰ τὸ πεπληρῶσθαι κατὰ τῆς περιττωματικῆς ὑγρότητος. καὶ χρὴ προσέχειν ἀκριβῶς τὸν νοῦν. ἐνταῦθα μὲν τὰ βλέφαρα δυσκίνητα λέγομεν εἶναι, 1) ἐπὶ δὲ τῶν λυπουμένων οὐ τὰ βλέφαρα, ἀλλὰ τὴν ἔνδον τὴν κόρην. ἔστι τοίνυν ἐπὶ τούτων τὰ βλέφαρα, ὡς εἰρήκαμεν, ὑγρότερα, ἐπὶ δὲ τῶν προειρημένων, θυμοῦ καὶ λύπης, ξηρά. ἔστι μέντοι τι κοινὸν εὑρεῖν ἐπί τε τῶν ἀγρυπνούντων καὶ τῶν λυπουμένων καὶ τῶν φροντιζόντων, τὴν τῶν ὀφθαλμῶν κοιλότητα. ἀλλὰ ἐπὶ μὲν τῶν λυπουμένων καὶ τῶν πεφροντικότων τὴν αἰτίαν εἰρήκαμεν. ἐπὶ δὲ τῶν ἀγρυπνούντων ἐστὶν ἥ 2) αὐτή. πῶς; διὰ γὰρ τὴν ἀπὸ τῆς ἀγρυπνίας ξηρότητα, δαπανᾶται αὐτοῖς καὶ τὸ ὀπτικὸν πνεῦμα. ἐπὶ δὲ τῶν θυμουμένων οὐκ ἔστι τοῦτο εἰπεῖν. τοὐναντίον γὰρ πολλοὶ καὶ προπετεστέρους ἔχουσι τοὺς ὀφθαλμοὺς, ὥσπερ οὖν καὶ τὸ ὅλον σῶμα εὐτονώτερον καὶ θερμότερον. ἀλλὰ μὴν καὶ οἱ σφυγμοὶ ἐπὶ τούτων οὐκ εἰσὶ μικρότεροι, ὡς ἐπὶ τῶν εἰρημένων ἁπάντων. ἐπ' ἐκείνων μὲν γὰρ ἡ τῆς δυνάμεως ἰσθένεια μικρότητος αἰτία γίνεται, ἐπὶ δὲ τοῦ θυμοῦ τοὐναντίον καὶ συντονία δυνάμεώς ἐστιν· ὅθεν ἀνάγκη τὸν σφυγμὸν 3) μέγαν γίνεσθαι, συμβαλλομένης εἰς τὸ μέγεθος αὐτῷ καὶ τῆς θερμασίας. ἐκεῖνο δὲ χρὴ μόνον εἰπεῖν ὅτι τινὲς τῶν θυμουμένων ὠχροὶ γίνονται καὶ τρομώδεις, οὐ τοῦ θυμοῦ τὴν τοιαύτην αὐτοῖς ἐργαζομένου διάθεσιν, ἀλλά τινος φόβου συμπεπλεγμένου τῷ θυμῷ, ὃς καταβάλλων τὴν δύναμιν τήν τε ἄχροιαν καὶ τὸν τρόμον ποιεῖ.

Τῶν δὲ ἐπὶ κόποις πυρεττόντων τὸ δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν καὶ τὰ ἑξῆς.—

Πληρώσας τὸν περὶ ψυχικῶν παθῶν λόγον, καὶ παραδοὺς ἑκάστου αὐτῶν τὴν ἰδιότητα, μεταβαίνει λοιπὸν ἐπὶ τὰ σωματικὰ πάθη καὶ λέγει, πῶς χρὴ διαγινώσκειν ὑπὸ κόπου γεγονότα πυρετόν. ἐπὶ τούτων τοίνυν φαίνεται τὸ δέρμα ξηρότερον ὑπὸ τῆς ἀμέτρου κινήσεως διαφορηθέν. εἰ μὲν οὖν ὁ κόπος εἴη πολὺς, ἄχρι τῆς παρακμῆς ἡ τοιαύτη φαίνεται ξηρότης· εἰ δὲ μέτριος ὁ κόπος,

---

1) ἐπειδὴ A. 2) αὐτή πως. A. 3) μέγα A. συμβαλλόμενον A.

ἡ μὲν ξηρότης ἄχρι τῆς ἀκμῆς. τὸ ἐντεῦθεν δὲ ὑπὸ τῆς θερμασίας ἀναλυομένης τῆς ὑγρότητος, ἐκκρίνεται δὲ διὰ ἱδρώτων, ποιεῖ 1) αὐτὸ ὑγρότερον καὶ μαλακώτερον. ἀλλὰ καὶ ἐπὶ τῶν σφυγμῶν ἐστιν εἰπεῖν τινα διαφοράν. ἐπὶ μὲν γὰρ τοῖς ἀμέτροις κόποις καταλυομένης τῆς δυνάμεως, μικρὸς ὁ σφυγμὸς γίνεται, ἐπὶ δὲ τοῖς συμμέτροις μέγας, τῆς 2) τε θερμασίας παρούσης καὶ τῆς δυνάμεως οὐκ ἀδυνατούσης αὐτὸν ποιῆσαι.

Οἱ δὲ ἐπὶ πυκνώσει τοῦ δέρματος γινόμενοι πυρετοὶ, πυκνοῦται δὲ τοῦτο ἢ ψυχόμενον καὶ τὰ ἑξῆς. —

Γίνεται δὲ πυρετὸς ἐφήμερος, στεγνωθέντος ποτὲ τοῦ δέρματος, ἀλλ' οὐκ ἐπὶ πάσης κράσεως. ἐφ' ὧν μὲν γάρ ἐστι τὸ διαπνεόμενον ἀτμῶδες καὶ χρηστὸν, τοῦτο συναγόμενον οὐ πυρετὸν, ἀλλὰ πληθώραν γεννήσει. τοῦτο δὲ γίνεται ἐπὶ τῶν θερμοτέρων καὶ ξηροτέρων. ἐφ' ὧν δὲ τὸ διαπνεόμενον καπνῶδές ἐστι καὶ δριμὺ, τοῦτο, πυκνωμένου τοῦ δέρματος, καὶ μηκέτι διαφερόμενον συνάγεταί τε καὶ θερμαίνεται, καὶ συνεκθερμαίνει ἑαυτῷ πᾶσαν τὴν ὕλην ἐπιτηδείως ἔχουσαν εἰς τὸ ἐξαφθῆναι. γεννᾷ οὖν καὶ τοὺς ἐπὶ σήψει πυρετοὺς, εἰ πλῆθος εἴη χυμοῦ ἐν τῷ σώματι, σαπῆναι δυνάμενον. εἰ δὲ μὴ, ποτὲ τὸ πνεῦμα θερμαινόμενον ἐφήμερον ἐργάζεται πυρετόν. 3) * .... ἡ δὲ πύκνωσις αὕτη γίνεται ὑπὸ ποιότητος ἤτοι ἁπλῆς ἢ συνθέτου· ὑπὸ μὲν ἁπλῆς, ἢ ψύξεως ἢ ξηρότητος. καὶ γὰρ ἐν χειμῶνι καὶ ψυχρᾷ καταστάσει ἔστιν ἰδεῖν τὸ τοιοῦτον γινόμενον. ἀλλὰ καὶ ξηροτριβία καὶ ἔκκαυσις, ξηραίνουσα τὸ δέρμα, πυκνότερον αὐτὸ ποιεῖ. ἐνίοτε δὲ οὐκ ἔστιν ἐπὶ ποιότητος 4) ἁπλῆς, ἀλλὰ σύνθετος ἡ πυκνοῦσα τὸ δέρμα, ὥσπερ ἐπὶ τῶν στυφόντων ἔχει. ταῦτα γὰρ ψυχρά τε ἅμα καὶ ξηρὰ τὴν φύσιν ὑπάρχει. καὶ πολλοὶ πολλάκις ἀλειψάμενοί τινι τῶν στυφόντων ἐλαίων, ἢ εἰς ὕδωρ στυπτηριῶδες, 5) τὴν τοιαύτην ἐπέμειναν διάθεσιν. διαγνώσεις τούτων τοίνυν διττὰς

1) sc. τὸ δέρμα. 2) δὲ A. 3) G. addit: Sic igitur a densitate febrem fieri ostendimus. 4) ἁπλῇ A. 5) se lavantes G. λουόμενοι.

ἡμῖν παραδίδωσιν ὁ Γαληνός· 1) οὐδὲ γὰρ ἂν ἡ τούτων πύκνωσις — μίαν μὲν ἀπὸ τῆς ἁφῆς, ὥσπερ εἰ λαβὼν ῥοῦν καὶ ἀναλύσας ὕδατι, 2) τρίψαις τὰς χεῖρας· εὑρεθήσονται μὲν τηνικαῦτα πεπυκνωμένοι οἱ δάκτυλοι, τῶν ἐν αὐτοῖς πόρων οἷον συναχθέντων τε καὶ πυκνωθέντων. ἐπὶ μὲν οὖν τῶν κόπων ἐστὶν εὑρεῖν τὸ δέρμα ξηρότερόν τε ἅμα καὶ ἄνικμον. ἐπὶ δὲ τῶν στεγνωθέντων οἷον πεπιλημένον τε καὶ πεπυκνωμένον. μία μὲν οὖν αὕτη τούτων διάγνωσις.

Δευτέρα δὲ κατὰ τὸν νόμον τὸν Ἱπποκράτειον προβαίνουσα, ὅτι ἐπὶ τῶν Ἱπποκράτους χρόνων οὔπω ἡ περὶ τῶν σφυγμῶν ἠκρίβωτο θεωρία, οὐδ᾽ ἀπ᾽ αὐτῶν τὰς τῶν πυρετῶν ἐποίουν σημειώσεις, ἀλλ᾽ ἐπιτιθέντες τὴν χεῖρα κατά τε τῶν ἄλλων μορίων τοῦ σώματος, καὶ μάλιστα κατὰ τοῦ θώρακος, ὅς οἰκητήριόν ἐστι τῆς καρδίας, ἧς ἴδιόν ἐστι πάθος ὁ πυρετὸς, ἐσπούδαζον ποιεῖσθαι τὰς διαγνώσεις. ἐπὶ τοίνυν τούτων τῶν πυκνωθέντων ἐπιβαλλόντων ἡμῶν τὴν χεῖρα, πρῶτον μὲν ἡ θερμασία μικρὰ φαίνεται, διὰ τὸ μὴ συγχωρεῖσθαι πρὸς τοὐκτὸς ἰέναι, τῶν πόρων ἀποκεκλεισμένων. χρονισάντων μέντοι, καὶ ταύτῃ τὸ δέρμα θερμηνάντων, καὶ ἀραιότερον αὐτὸ πεποιηκότων, τῇ πολυχρονίᾳ τῆς χειρὸς ἐπιβολῇ ἐπαναδίδωσιν ἡ θερμασία καὶ μείζων φαίνεται, καὶ ἐλέγχεται τηνικαῦτα οἵα ἐστίν.

Οὐ μὴν οὐδὲ πυῤῥὰ τὰ οὖρα τοῖς τοιούτοις, οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. —

Πυῤῥὰ νῦν φησι τὰ ὠχρά. οὐκ ἔστιν οὖν τοῖς τοιούτοις ὠχρὰ τὰ οὖρα, ἐπειδὴ τὸ εἰωθὸς ὑγρὸν διαφορεῖσθαι διὰ τῶν ἀδήλων πόρων, νῦν οὐκέτι διαφορούμενον συνάγεταί τε καὶ φέρεται παρὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας, καὶ τῷ οὔρῳ συνεκκρινόμενον, τῷ πλήθει κολάζει αὐτοῦ τὸ χρῶμα, ὅπερ αὐτῷ ἐκ τῆς ἐπιμιξίας τῆς χολῆς ὑπῆρχε. καὶ χρή γε τοῦτο γινώσκειν, ὅτι ἀραιουμένου ὄντος τοῦ δέρματος, καὶ πολλῆς τῆς διαφορήσεως

---

1) Haec Galeni verba om. G. 2) τρίψας A.

γινομένης, ἐλάττονά ἐστι τὰ οὖρα. 1) εἰ δὲ τὸ δέρμα πυκνότερον εἴη, τοὐναντίον γίνεναι πλείονα τὰ οὖρα. καὶ διὰ ταύτην τὴν αἰτίαν θέρους μέν ἐστιν ὀλίγα τὰ οὖρα, χειμῶνος δὲ πλείονα, καίτοι ἐν μὲν τῷ θέρει πλείονι πόματι χρώμεθα, ἐν δὲ τῷ χειμῶνι ἐλάττονι. ἀλλὰ τῇ διαφορήσει τὸ τοιοῦτον συμβαίνει, ὡς εἰρήκαμεν. οὐκοῦν ἐπὶ τούτων πλείονα μὲν αὐτοῖς ἐστι τὰ οὖρα ἤπερ τοῖς ἄλλοις ἐφημέροις ἐπὶ ἄλλῳ τινι τῶν αἰτίων γινομένοις. ἀλλ' οὐδὲ τὸ σῶμα ἐπὶ αὐτῶν ἔστιν εὑρεῖν ἰσχνὸν, πολλάκις δὲ καὶ 2) ὀγκωδέστερον, τῆς διαφορήσεως γινομένης, ὥστε μηδὲ τὴν τῶν ὀφθαλμῶν ἐν αὐτοῖς κοιλότητα διαφαίνεσθαι. οὐκοῦν οὐδὲ οἱ σφυγμοὶ μειωθήσονται, τῆς δυνάμεως ἐῤῥωμένης, διὰ τὸ μὴ σεσυλῆσθαι τῇ διαφορήσει ταύτῃ τὸν τόνον.

Οὗτοι μόνοι πάντων τῶν πυρετῶν στεγνόν εἰσι πάθος. —

Τοῦτο οὐκ ἀκαίρως προσέθηκεν ὁ Γαληνὸς, ἀλλὰ πρὸς τοὺς μεθοδικοὺς ἀποτεινόμενος, οἵ γε πάντα τὰ πάθη ἔλεγον εἶναι ἢ στεγνὸν ἢ ῥοῶδες ἢ ἐπιπεπλεγμένον, ὥσπερ ἐν τῷ περὶ αἱρέσεων εἴρηκεν. ἅπαντα μὲν πυρετὸν στεγνὸν πάθος ὑπελάμβανον εἶναι. διό φησι πρὸς αὐτοὺς, ὅτι εἰ δεῖ πυρετὸν καλεῖν στεγνὸν νόσημα, μόνον τοῦτον δεῖ καλεῖν τὸν ἐπὶ πυκνώσει διὰ δέρματος γιγνόμενον.

Τοῖς δὲ ἐπὶ βουβῶσι πυρετοῖς ἐφημέροις οἱ σφυγμοὶ μέγιστοι γίνονται. —

Τοὺς δὲ ἐπὶ βουβῶσι πυρετοὺς ἔξεστι διαγινώσκειν πρῶτον μὲν ἀπὸ τῶν σφυγμῶν. ἐπὶ γὰρ τούτων διὰ τὸ πλῆθος τῆς θερμασίας μεγάλοι γίνονται οἱ σφυγμοὶ καὶ παχεῖς καὶ πυκνοί. ὅτι δὲ ὁ βουβὼν οὐδὲν ἕτερόν ἐστιν ἢ φλεγμονή τινος τῶν ἀδένων, οὐδένα οἶμαι ἀγνοεῖν. ἐπὶ γὰρ τούτων, ὡς ἀνωτέρω εἰρήκαμεν, ὅταν ἢ ἕλκος ἢ ἄλλη τις ὀδύνη γένηται, ἐπεγείρεται μὲν ἡ φύσις, οἷον ἐπειγομένη τῷ πάσχοντι μορίῳ ἐπαμῦναι, καὶ πρὸς αὐτὸ φέρεται, σὺν αὐτῷ δὲ δηλονότι, τὸ ἑαυτῆς ὄχημα, τό, τε

1) οὐ A. 2) ὀγκωδέστεροι A.

αἷμα καὶ τὸ πνεῦμα, καὶ ταῦτα τοῖς ἀδέσιν ἐντυγχάνοντα ὡς ἀσθενεστέροις, ἐκεῖσε κατασκήπτει καὶ φλεγμονὴν αὐτοῖς ἐμποιεῖ. καλεῖται δὲ τὸ τοιοῦτον βουβών. ἐπὶ τούτων τοίνυν ἐπὶ τὴν ἀκμὴν ἔστιν ἰδεῖν νοτίδας τὸ δέρμα διαβρεχούσας θερμὰς καὶ ἡδείας. τοιοῦτος γάρ ἐστιν ὁ αἱματικὸς χυμὸς, ὅστις τὴν ἐν αὐτοῖς ἐποίησε φλεγμονήν. ὅταν δὲ λέγωμεν ἡδεῖαν ἰκμάδα, τὴν ἧττον μοχθηρὰν λέγομεν. οὐδὲ γὰρ ἐνδέχεται πυρετῷ οὕτως ἡδεῖαν αὐτὴν εἶναι, ὡς εἰ καὶ χωρὶς πυρετοῦ ἐγεγόνει, ἀλλ' ὅτι, ὡς ἐν πυρετοῖς, τὸ δακνῶδες καὶ δριμὺ ταύτης κεκόλασται. ἔστι δὲ ἐπὶ τῶν τοιούτων καὶ τὸ πρόσωπον 1) ἐρυθρότερον· ἑκάτερον δὲ τούτων ποιεῖ τὸ αἷμα, ἀλλὰ τὸ μὲν ἔρευθος τῷ 2) χρόνῳ μαθεῖ, τὸν δ' ὄγκον τῇ στάσει.

Καὶ τὰ οὖρα ὑπόλευκα. —

Ζητητέον δὲ διὰ ποίαν αἰτίαν ἐπὶ τούτων λευκὰ γίνονται τὰ οὖρα. ὁ μὲν οὖν 3) Ἀγγελεύας [ἀγγεῖα] φησὶ φέρεσθαι ἐπὶ τὴν κύστιν, δι' ὧν μεταδιδόναι τὴν ὕλην ἐκ τῆς τῶν ἀδένων τροφῆς. λευκότης δ' αὕτη δηλονότι. ἕκαστον γὰρ τῶν μορίων πρὸς τὴν ἑαυτοῦ φύσιν ἀλλοιοῖ καὶ τὴν ὑποκειμένην αὐτῷ τροφήν. αὕτη τοίνυν, φησὶ, φερομένη παρὰ τὴν κύστιν καὶ μεμιγμένη τῷ οὔρῳ, λευκὸν αὐτὸ ποιεῖ. τοῦτο δὲ πολλαχῶς ἔστιν ἀνατρέψαι, πρῶτον μὲν, ὅτι εὕρημά τι ζητεῖ παρ' ἡμῶν ἐν ταῖς ἀνατομαῖς μὴ φαινόμενον. οὐδὲ γὰρ φαίνεται κοινὰ τοῖς βουβῶσιν ἀγγεῖα πρὸς τὴν κύστιν. ἀλλ' εἰ καὶ τοῦτο δῶμεν, οὐ δυνήσεται τὸ σμικρὸν ἐκεῖνο τῆς τῶν ἀδένων τροφῆς μέρος, ὅλον χρῶσαι τὸ οὖρον. κἀκεῖνο δὲ αὐτὸν ἐρησόμεθα, τὰ ἀγγεῖα ταῦτα πότερον ἀναστομοῦνται ἐπὶ τὴν κύστιν ἢ οὔ; εἰ μὲν οὖν οὐκ ἀναστομοῦνται, οὐδὲν οἴσει παρ' αὐτὴν, ὥστε οὐδὲ τῷ εἰρημένῳ χρώματι 4) χρώσει τὸ οὖρον. εἰ δὲ ἀναστομοῦνται, καὶ αἷμα ἐπιφέρει, καὶ συμβαίνει τὸ οὖρον οὕτως ἐρυθρὸν γίνεσθαι

1) rubicundior, et melioris habitus. G. 2) Gadald. proponit colore i. e. χρώματι. 3) ἀγγεῖα om. et A. et G. De Angeleua nihil habemus compertum. Fort. ἀγγεῖα cum nomine aliquo alio in ignoto hoc viro latent. 4) Fort χρῶσαι.

τῇ τοῦ αἵματος ἐπιμιξίᾳ. τὸ δὲ πάντων ἀπορώτατον· χρὴ προσθεῖναι, ὅτι τὰ οὖρα λευκὰ φαίνεται, οὐ μόνον ἐφ᾽ ὧν ἡ φλεγμονὴ παρὰ τοὺς ἐν τοῖς μηροῖς ἐστιν ἀδένας, ἀλλὰ κἀπὶ τῶν ἐν μασχάλῃ ἐχόντων τινὰ ὄγκον, καὶ περὶ τὰ ὦτα, καὶ περὶ τῶν ἄλλων ἁπάντων ἀδένων ὁμοίως. τί οὖν ἐχρῆν πρὸς ταῦτα λέγειν; ἡμεῖς τοίνυν φαμὲν, ὅτι συμβαίνει τὰ οὖρα τοιαῦτα εἶναι διὰ τὸ τὴν χολὴν φερομένην περὶ τοὺς ἀδένας τούτους μίγνυσθαι τῷ αἵματι τῷ ἐν αὐτοῖς ἐσφηνωμένῳ, καὶ λοιπὸν κατὰ στέρησιν ταύτης τὰ οὖρα λευκὰ φαίνεται, ὥσπερ εἴ ποτε κἀπὶ τῶν κεφαλαλγούντων ὁρῶμεν τὰ οὖρα λευκὰ γιγνόμενα, διὰ τὸ τὴν χολὴν ὡς λεπτομερεστέραν ἄνω φέρεσθαι πᾶσαν, ὡς μηδὲ χρωννύναι λοιπὸν τὸ οὖρον. κἀνταῦθα τοίνυν ἐστὶ τοῦτο εἰπεῖν, ὅτι τῆς χολῆς ἀπουσίᾳ τὰ οὖρα τὴν τοῦ ὀῤῥώδους περιττώματος δείκνυσι φύσιν. λευκὸν δὲ τοῦτό ἐστι κατὰ φύσιν. ἐκεῖνο μέντοι χρὴ προσθεῖναι τὸ ἐν τοῖς ἔργοις τῆς τέχνης ἡμῖν πολλάκις ὀφθὲν, ὅτι τινῶν πυρεξάντων τὸν ἐπὶ βουβῶσιν ἐφήμερον πυρετὸν, φαίνεται τὰ οὖρα χολωδέστερα. τοῦτο δὲ γίνεται, ὅταν καὶ τὸ ὅλον σῶμα θερμότερον καὶ ξηρότερον εὑρεθείη καὶ χολωδέστερον, καὶ αὐτὸς ὁ ἐν τοῖς ἀδέσιν ὄγκος ἐρυσιπελατώδης, αἵματος χολωδέστερον 1) αὐτοῖς πεποιηκότος.

Κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις ἡ ὁμαλότης τοῦ σφυγμοῦ. —

Τὴν ὁμαλότητα τὴν ἐν τῷ σφυγμῷ κοινὴν ἐπὶ πάντων εὑρίσκεσθαι 2) πυρετῶν, ἐπεὶ οὔπω κατελύθη ἐπὶ τούτων ἡ δύναμις, ἀλλ᾽ ἔτι ἐῤῥωμένη ἐστὶ, ὥστε καὶ ἐῤῥωμένη οὖσα ὁμαλοὺς ποιήσεται τοὺς σφυγμούς. —

Παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγοι τινὲς τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν. —

Τοῦτό φησι διὰ τοὺς ἐπὶ πυκνώσει τοῦ δέρματος γινομένους 3) πυρετούς· ἐπὶ τούτων γὰρ ἀποκλειόμενα τὰ

1) Fort. *αὐτόν*. 2) Fort. add. *φησί*. 3) *πυρετοὺς* om. A.

εἰωθότα διαφορεῖσθαι τὴν δύναμιν βαρεῖ, καὶ ταύτῃ τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἀπεργάζεται.

Θεραπεύειν δὲ χρὴ λουτρῷ μὲν ἅπαντας. —

Ἀκολούθως ὁ συγγραφεὺς παραδοὺς ἡμῖν τὴν τοῦ ἐφημέρου πυρετοῦ διάγνωσιν, καὶ τὴν τῶν ποιούντων αὐτὸν αἰτίων ἀπ᾽ ἀλλήλων διάκρισιν, μεταβαίνει λοιπὸν ἐπὶ τὸν τῆς θεραπείας τρόπον, ὃς καὶ κοινός ἐστι καὶ διάφορος, εἴ γε καὶ οἱ ἐφήμεροι αὐτοὶ κοινὸν μὲν ἔχουσι τὸ ἐπὶ πνεύματι θερμαινομένῳ ἀνάπτεσθαι, διάφορον δὲ, τὴν τῶν αἰτιῶν ἐναλλαγήν. κἀπὶ τῆς 1) θεραπείας λουτρὸν μὲν ἐπὶ πάντων παραλαμβάνομεν. πρὸς δὲ τὰς ποιούσας τῶν πυρετῶν αἰτίας τὸν τρόπον τῆς χρήσεως ἐναλλάττοντες, οὕτως ἑκάστῳ κατάλληλον ποιούμεθα τὴν ἴασιν.

Ἀλλ᾽ ἐπειδὴ τοῦ λουτροῦ τὴν μνήμην ἐποιησάμεθα, φέρε ὀλίγα περὶ αὐτοῦ διαλεχθῶμεν, τελεωτάτην μὲν ἔχοντες τὴν περὶ αὐτοῦ θεωρίαν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι, βραχέα δὲ, ὅσα πρὸς εἰσαγομένους εἰπεῖν, ἀναμιμνήσκοντες.

2) Ζητήσωμεν οὖν τῆς τῶν λουτρῶν διαφορᾶς τὰ μέρη, καὶ τῶν μερῶν ἑκάστου τὴν δύναμιν. τῶν τοίνυν λουτρῶν τὰ μέν ἐστι θειώδη, τὰ δὲ 3) στυπτηριώδη, τὰ δὲ ἁπλῶς ἄλλην τινὰ μοχθηρὰν ἔχοντα ποιότητα, τὰ δὲ τῶν ποτίμων ὑδάτων. ἐνταῦθα τοίνυν περὶ τῶν ποτίμων ἡμῖν ὁ λόγος γενέσθω, ἃ πέφυκε τὰ μὲν τραχέα ὁμαλύνειν, τὰ δὲ περιττώματα διαφορεῖν, τὰς δὲ 4) συγκράσιας σβεννύναι, καὶ τὰς δυνάμεις ἀναῤῥωννύναι. τοῦ δὲ βαλανείου τρία ἐστὶ τὰ μέρη· πρῶτος μὲν γάρ ἐστιν ὁ θερμὸς ἀὴρ, καὶ δεύτερος, ἡ τοῦ θερμοῦ ὕδατος δεξαμενὴ, καὶ τρίτη ἡ τοῦ ψυχροῦ. καί τινες ἀμεθόδως ὑπελάμβανον, ὅτι μία δύναμίς ἐστιν ἡ τοῦ βαλανείου, ὥστε καὶ ἐξαπατᾶσθαι, ὅτι θερμὴν καὶ ὑγρὰν ἔχει καθόλου τὴν δύναμιν. ἡμεῖς μέντοι τῇ τῶν θερμῶν διαφορᾷ προσέ-

---

1) θερμασίας A. quam lectionem secunda manus correxit. λουτρῷ A. 2) Περὶ διαφορᾶς λουτρῶν In mg. A. 3) πτηριώδη A. 4) Imtemperaturas G. Fort. δυσκρασίας.

χοντες, διάφορον αὐτοῦ καὶ τὴν δύναμιν ἀποφαινόμεθα. ὁ μὲν γὰρ θερμὸς ἀὴρ διαφορεῖ μᾶλλον, ἧττον δὲ ὑγραίνει· ἡ δὲ θερμὴ κολυμβήθρα, τοὐναντίον μᾶλλον μὲν ὑγραίνει, ἧττον δὲ διαφορεῖ, διαφορεῖ δ' ὅμως. τὸ δὲ ψυχρὸν ὕδωρ τήν τε γενομένην δυσκρασίαν ἀπὸ τοῦ λουτροῦ παραμυθεῖται καὶ σβέννυσι· καὶ μέντοι καὶ πυκνοῖ τοὺς πόρους, ὥστε μὴ συγχωρῆσαι ταῖς δυνάμεσιν 1) ἀποπτῆναι. τούτων τοίνυν οὕτως εἰρημένων, οὐδὲν ἂν εἴη χαλεπὸν ἐφαρμόσαι ταῖς διαφόροις αἰτίαις τοῦ ἐφημέρου διαφόρου λουτροῦ χρῆσιν.

Ἀλλὰ τοὺς ἐπὶ πυκνώσει τοῦ δέρματος ἢ ἐπὶ βουβῶσιν, οὐδ' εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίσαι κελεύσειας, οὐδὲν βλάψεις. —

Καὶ τοῦτο εἰκότως. δέονται γὰρ οὗτοι διαφορήσεως πλείονος, 2) εἰ μὲν ἐπὶ πυκνώσει, ὅτι διὰ τὴν πύκνωσιν ταύτην τὰ εἰωθότα διαφορεῖσθαι ἔνδον 3) ἐναποκεκλεῖσθαι τῷ σώματι. εἰ δὲ ἐπὶ βουβῶσιν, ὅτι πλῆθός ἐστιν αἵματος, ἐξ οὗ καὶ τὴν ἐπίῤῥοιαν εἰς τὸν βουβῶνα γεγενῆσθαι, ὡς μικρῷ ἀνωτέρω εἰρήκαμεν.

Τοὺς δ' ἄλλους ἅπαντας ὅτι τάχιστα τοῦ ἀέρος ἀπάγειν.—

Τοὺς θυμωθέντας φησὶ, τοὺς λυπηθέντας, τοὺς ἀγρυπνήσαντας, τοὺς φροντίσαντας, ἐπειδὴ κοινὸν ἐπὶ πάντων τούτων ἐστὶν ἡ ξηρότης, καὶ δέονται οὗτοι τοῦ ὑγρανθῆναι. ἐπιτρέψωμεν αὐτοῖς ἐνδιατρίψαι τῷ θερμῷ ὕδατι, δυναμένῳ τὰ γεννηθέντα ὑπὸ τοῦ πυρετοῦ καπνώδη περιττώματα διαφορῆσαι, καὶ μέντοι καὶ χρηστὴν ἀντ' ἐκείνων ἐνθεῖναι ὑγρότητα.

Ἐλαίῳ χλιαρῷ τε καὶ πολλῷ καὶ μαλακαῖς χερσὶν ἐπιτρίβειν ἐπιπλέον, μάλιστα μὲν τοὺς κοπωθέντας. —

Εἰδέναι χρὴ, ὅτι τὸ ἔλαιον χαλαστικὴν ἅμα καὶ διαφορητικὴν ἔχει δύναμιν, ἀλλ' οὕτως μὲν ἁπλῶς τοὺς τοῦ σώματος πόρους 4) [ἐμπλάττει]· ἐντεῦθεν ἀπολαμβάνει

1) ἀποπτύναι A. 2) qui ex cutis densitate febricitant. G. 3) Fort. ἐναποκέκλεισται. 4) ἐμπλάττει conjeclt G.

τε αὐτοὺς καὶ κωλύει τὴν διαφόρησιν τῷ γλίσχρῳ τῆς οὐσίας. μετὰ δὲ ἀνατρίψεως μετρίας θερμαίνεται καὶ ἀντιθερμαίνει τὸ σῶμα, καὶ ἀραιοῦν ἐπὶ διαφόρησιν τὰ περιττώματα προτρέπεται. ἐπειδὴ τοίνυν ἐπὶ τῶν κεκοπωμένων μετρία τις γίγνεται φλεγμονώδης διάθεσις, ἔν τε τοῖς μυσὶ καὶ τοῖς ἄρθροις, ὡς δηλοῖ καὶ ἡ μετὰ τοὺς κόπους ὀδύνη, διὰ ταύτην τὴν αἰτίαν κέχρηται τῇ ἀλοιφῇ τοῦ ἐλαίου χλιαρᾷ. τὸ γὰρ τοιοῦτον μάλιστα πέφυκε χαλᾷν, καὶ μέντοι καὶ μαλάττειν ἐπὶ πλείονα χρόνον. ἀλλὰ καὶ μαλακὰς βούλεται τὰς ἀνατριβούσας εἶναι χεῖρας. καὶ γὰρ αἱ σκληραὶ σκληραίνειν τε καὶ ξηραίνειν καὶ ἀνιᾷν πεφύκασιν. οὕτως μὲν ἐπὶ τῶν κοπωθέντων δαψιλῶς χρηστέον τῷ ἐλαίῳ, τοῦ χαλάσαι μόνον χάριν. κατὰ δεύτερον δὲ λόγον ἐπὶ τῶν στεγνωθέντων αὐτῷ χρώμεθα, δυναμένῳ τοὺς πόρους διανοῖξαι καὶ διαφορῆσαι τὰ περιττώματα. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ περὶ τῶν ἐπὶ βουβῶσιν, ἔνθα πλῆθος ὑπῆρχε, μετρίας δεῖται διαφορήσεως.

Καὶ λούειν δὲ πολλάκις, εἰς ὅσον ἐγχωρεῖ, τοὺς τοιούτους.—

Τοὺς τοιούτους φησὶ τοὺς προσεχῶς εἰρημένους, τοὺς κοπωθέντας δηλαδὴ καὶ στεγνωθέντας καὶ τοὺς ἐπὶ βουβῶσι πυρέξαντας. οὗτοι γὰρ δέονται ἐπὶ πλείονα χρόνον τῷ λουτρῷ. καλῶς γὰρ προσέθηκε τῷ λόγῳ τὸ εἰς ὅσον ἐγχωρεῖ. δυνάμεως γὰρ ἀντιπραττούσης, οὐκ ἂν παραληφθείη οὐχ ὅτι λουτρὸν, ἀλλ᾽ οὐδὲ τῶν ἄλλων οὐδὲν βοηθημάτων.

Ἐσθίειν δὲ τοὺς μὲν ἐπὶ κόποις ἐνδέχεται πολλάκις. —

Ἀκολούθως μετὰ τὸ λουτρὸν ἐπὶ τὸν τρόπον μεταβαίνει τῆς διαίτης. καὶ ταύτην αὖθις ἐμμεθόδως ὁρίζει. τοῖς μὲν κεκοπωμένοις, ἐπειδὴ 1) πλεῖον ἢ προσῆκε διεφορήθησαν, ἀντεισαγαγεῖν βούλεται τὸ λοιπὸν καὶ πολλάκις αὐτοῖς 2) παρέχει. τοῖς δὲ στεγνωθεῖσι καὶ ἐπὶ βουβῶσι πυρέξασιν οὐκέτι, διότι πλῆθός ἐστιν ἐφ᾽ ἑκατέρου τούτων.

---

1) πλείων A. 2) sc. τροφήν.

Ἀλλὰ καὶ οἶνον πίνειν, εἰς ὅσον ἂν καὶ τούτου κρατεῖν δύνανται. —

Ἐπειδὴ καὶ ἀναθρέψειν βούλεται τοὺς κεκοπωμένους, 1) ἀσθενοῦς ἐπ᾽ αὐτῶν ὑπαρχούσης τῆς δυνάμεως, ἐπινοεῖ τὸν οἶνον δυνάμενον τάχιστα μὲν ἐν γαστρὶ χυλοποιηθῆναι, τάχιστα δὲ ἐν ἥπατι εἰς αἷμα μεταβληθῆναί τε καὶ θρέψαι ὅλον τὸ σῶμα. τὸ δὲ τοῦ οἴνου μέτρον ἀπὸ τῶν συστοίχων ἁπάντων 2) λαμβάνω, καὶ πρῶτον ἀπὸ τῆς δυνάμεως. εἰ μὲν γὰρ 3) αὐτὴ ἀσθενὴς εἴη, ἧττον δώσομεν αὐτῇ τὸν οἶνον· εἰ δ᾽ ἰσχυρὰ, πλείονα ὅσον καὶ πέψαι δύναται. ἀλλὰ καὶ ἀπὸ τῆς ἡλικίας· εἰ μὲν γὰρ γεροντικὴ, πλείονος δεῖται· εἰ δὲ τῶν ἀκμαζόντων, ἥττονος· καὶ ἡ μὲν θερμοτέρα κρᾶσις, ἐλάττονος· ἡ δὲ ψυχροτέρα, πλείονος· ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ ἔθους· εἰ μὲν γὰρ οἰνοπότης ἐν τῷ καιρῷ τῆς ὑγείας ἐτύγχανε, πλείονα αὐτὸν δώσομεν· εἰ δ᾽ οὐχ ὑπῆρχε τοιοῦτος, ἔλαττον· καὶ ἐν θέρει μὲν ἧττον, ἐν χειμῶνι δὲ πλεῖον, καὶ μᾶλλον ἐν Σκυθίᾳ πλεῖον, ἐν Αἰθιοπίᾳ δὲ ἧττον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Τοὺς δ᾽ ἐπὶ βουβῶσι πυρέξαντας εἴργειν οἴνου. —

Ἐπὶ τούτων γὰρ ὁ αἱματικὸς χυμὸς ἐκ τῆς τοῦ οἴνου 4) δόσεως διπλασιαζόμενος ἔτι πλείονα δὴ ὄγκον ἐργάζεται.

Τῶν στεγνωθέντων δὲ ἢ ψυχθέντων τοὺς μὲν ἐπ᾽ ὀλίγον τοῦτο παθόντας ἥκιστά τε πληθωρικοὺς οὐ χρὴ κωλύειν οἴνου. —

Ἐπὶ δὲ τῶν στεγνωθέντων ἀκριβέστερον δεῖ προσέχειν, εἰ 5) δεῖ καὶ τῷ οἴνῳ κεχρῆσθαι ἢ οὐ δεῖ πάμπαν. δεῖται δὲ ὁ λόγος προσδιορισμοῦ. εἰ μὲν γὰρ εἴη πολλὴ ἡ στέγνωσις καὶ τὸ σῶμα πληθωρικὸν, οὐ δώσομεν τὸν οἶνον. εἰκὸς γάρ ἐστιν ὑπ᾽ αὐτοῦ τὰς ὕλας χυθείσας διπλασιασθῆναι καὶ τοῖς μορίοις ἐπελθεῖν, καὶ πλήθει ἔμφραξιν ἐργάσασθαι. εἰ δ᾽ ὀλίγη εἴη ἡ στέγνωσις, καὶ

1) ἀσθενεῖς A. 2) assumit G. Fort. λαμβάνει. 3) Fort. αὕτη. 4) Fort. πόσεως. potione G. 5) δὲ A.

μηδὲ πλῆθος χυμοῦ ὑποκέοιτο, τηνικαῦτα δώσομεν τὸν οἶνον, ἵνα τῇ ἀμετρίᾳ τῆς θερμότητος τούς τε πόρους ἀραιώσῃ, καὶ ῥώσῃ τὴν δύναμιν ἥτις ῥωσθεῖσά γε μᾶλλον ἐπιτίθεται τοῖς αὐτὰ λυμαινομένοις αἰτίοις.

Τοὺς δ' ἐπ' ἀγρυπνίαις ἤ τινι πάθει ψυχικῷ πυρέξαντας ἐπὰν λούσῃς, ὑγραινούσῃ τε καὶ εὐχύμῳ τροφῇ διαιτᾶν. —

1) Ἐπὶ πάντων μὲν χρὴ δηλονότι παραλαμβάνειν δίαιταν εὔχυμον. αὐτὸς μέντοι κατ' ἐξαίρετον αὐτῆς ἐπὶ τῶν ψυχικῶν παθῶν ἐμνημόνευσεν, εἰδὼς ὅτι ταῦτα μάλιστα καταβάλλει τὸ σῶμα, καὶ οὐδέν ἐστιν οὕτως δυνάμενον κωλῦσαι τὰς φυσικὰς δυνάμεις, ὡς ἡ τῶν ψυχικῶν παθῶν ἀμετρία. καὶ διὰ ταύτην τὴν αἰτίαν, ὅσοι μὲν ἔξω τούτων εἰσὶν, ἀφροντιδέστεροι ὄντες καὶ τῶν ἄλλων ψυχικῶν παθῶν ἀπηλλαγμένοι, πάντα τὰ προσφερόμενα αὐτοῖς πέττουσί τε καὶ μεταβάλλουσι, καὶ περιγινόμενοι αὐτῶν κέρδος ἐξ αὐτῶν οὐκ ὀλίγον τῷ σώματι πορίζονται. ὅσοι μέντοι ἢ λυποῦνται ἢ φροντίζουσιν, οὗτοι καὶ τὰ λίαν εὔπεπτα οὐ πέττουσιν ἢ σὺν χρόνῳ καὶ μόγις. ἐπειδὴ τοίνυν ἐπὶ τῶν ἐφημέρων πυρετῶν, τῶν διὰ ψυχικὸν πάθος γεγενημένων, οἱ χυμοὶ δριμύτεροι γεγόνασι καὶ ἡ τοῦ σώματος ἕξις ὅλη ξηροτέρα, διὰ τοῦτο βούλεται τροφὴν αὐτοῖς παρέχειν εὔχυμόν τε καὶ ὑγρὰν καὶ δυναμένην μεταβάλλειν, οὐ μόνον κατὰ ποιότητα, ἀλλὰ καὶ κατὰ ποσότητα.

Οἶνον δὲ μάλιστα τοῖς ἀγρυπνήσασιν ἀδεῶς διδόναι. —

Ἐπειδὴ κατὰ τὴν ἀγρυπνίαν τό τε ὅλον σῶμα ἐξήρανται, καὶ μέντοι καὶ συμβαίνει πολλάκις ἀπεψίαν γίνεσθαι, 2) ἐξῆς πολλὰ τίκτεσθαι περιττώματα. διὰ τοῦτο τὸν οἶνον ἐπὶ τούτων ἀδεέστερον δίδωσιν, ὡς ἂν δυνάμενον καὶ τὸ ἐξηρασμένον ὑγρᾶναι σῶμα, καὶ τὰ περιττώματα προτρέψασθαι πρὸς ἔκκρισιν, τῷ τὰς φυσικὰς ἐκροὰς εὐροωτέρας ποιῆσαι. φυλακτέον δὲ μᾶλλον ἐπὶ

---

1) Hoc scholion in cod. A. sequitur demum proximum.
2) Fort. ἐξ ἧς.

τούτων κεφαλαλγίαν. ὁ γὰρ οἶνος ταχέως εἰς ἀτμοὺς μεταβαλλόμενος καταλαμβάνει τὸν πεπονθότα τόπον καὶ πληροῖ καὶ διατείνει καὶ τὴν ὀδύνην ἐπαύξει, καὶ μάλιστα ὅτι αὐτὴ 1) ἡ ὀδύνη συμπράττει τῇ ἐπὶ τὸ πεπονθὸς μόριον αὐτοῦ φορᾷ, πεφυκότων, ὡς πολλάκις μεμαθήκαμεν, τῶν ὀδυνωμένων ῥευματίζεσθαι. ταύτην μέντοι τὴν κεφαλαλγίαν οὐ μόνον ἐπὶ ἠγρυπνηκότων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων φυλακτέον, ἐφ᾽ ὧν τὴν τοῦ οἴνου παραλαμβάνομεν πόσιν.

Ἀλλὰ καὶ τοῖς ὀργισθεῖσιν ἢ λυπηθεῖσιν ἢ φροντίσασιν οἶνον διδόναι. —

Ὀργὴν μέν φησι τὸν μέτριον θυμόν. ὅτι δὲ χρὴ ἐπὶ τούτων καὶ τῶν λυπηθέντων καὶ τῶν πεφροντικότων τὸν οἶνον διδόναι, δυνάμενον ὑγρανθῆναι καὶ ἐπιτῆξαι τὴν ὑπ᾽ αὐτῶν προσγινομένην τῷ σώματι ξηρότητα, οὐδεὶς ἂν 2) ἀμφιβάλλοι.

Τοῖς θυμωθεῖσι δὲ, ἡνίκα ἂν παντελῶς ἔξω τοῦ πάθους ὦσι, πρότερον δ᾽ οὐκ ἀσφαλὲς οἴνῳ χρῆσθαι. —

Καὶ τοῦτο εἰκότως· εἴ γε ὁ θυμὸς ζέσις τίς ἐστι τοῦ περικαρδίου αἵματος καὶ συμπράττει δηλονότι τῇ ζέσει ταύτῃ ἡ τοῦ οἴνου πόσις.

Πειρᾶσθαι δὲ καὶ τὸ ἐναντίον ἀντεισάγειν ἀεὶ τῷ λυπήσαντι. —

Ἐπειδὴ κοινόν ἐστιν ἐπ᾽ ὀργῆς καὶ θυμοῦ καὶ φροντίδος καὶ λύπης, αὐτὸ τοῦτο τὸ λυπεῖσθαι. πάντες γὰρ οὗτοι ἔχουσί τινα λύπην, οἱ μὲν θυμωθέντες, ὅτι 3) ἠδίκηνται, οἱ δὲ φροντίσαντες, ὅτι αὐτοῖς οὐκ 4) ἀπέβη τὸ ζητούμενον, οἱ δὲ λυπηθέντες αὐτόθεν. διὰ ταύτην τὴν αἰτίαν καὶ κοινὴν αὐτοῖς ἀντεισάγει θεραπείαν, τὴν ἀπὸ τῆς ἡδονῆς. αὕτη γὰρ χέουσα τοὺς ἐν τῷ σώματι χυμοὺς, καὶ μάλιστα τὸν αἱματικὸν, εἰς ἅπαντά τε τὰ μόρια ἐκτείνει καὶ τῇ τούτου παρουσίᾳ τὸ ὅλον ὑγραίνει σῶμα,

---

1) τῇ ὀδύνῃ A. 2) ἀμφιβάλλῃ A. 3) ἠδίκονται A. 4) ἀπέθη A. abiit G.

καὶ μέντοι καὶ τῶν προκειμένων ἀπαλλάττει παθῶν. χρὴ δὲ καταστοχάζεσθαι τῆς τοῦ κάμνοντος φύσεως καὶ πρόσφορον αὐτῷ ποιεῖσθαι τὴν 1) θυμηδίαν, εἰ μέν τις εἴη φιλολόγος καὶ φιλοΐστωρ, ἐκδιηγούμενον κατορθώματα τῶν ἱστοριῶν, ἢ ἕτερα ἐπὶ τοῦτον λέγοντα· εἰ δὲ φιλοσόφοις ἐντραφεὶς μαθήμασι, φιλοσόφους ἀνερευνοῦντα λογισμοὺς, καὶ φιλοσόφων ἐκδιηγούμενον κατορθώματα. εἰ δὲ θεᾳ σχολάζων, αὐτὸν μὲν οὐδὲν τοιοῦτον ἐπὶ τούτου λέγειν, ἄλλους δὲ παρασκευάζειν τὴν τοιαύτην ποιεῖσθαι διήγησιν. πολλάκις δὲ καὶ παρ' αὐτὰς τὰς θέας 2) αὐτῶν ἀποστελοῦμεν. καὶ ἁπλῶς πρὸς τὸν τοῦ κάμνοντος τρόπον καὶ τὴν τῆς ἡδονῆς ἐπινοητέον διαφοράν.

Τῶν δὲ ἄλλων πυρετῶν οἱ μὲν ἐπὶ φλεγμοναῖς, οἱ δ' ἐπὶ χυμοῖς ἀνάπτονται. —

Εἰρήκαμεν ὅτι τῶν πυρετῶν οἱ μὲν ἐπὶ πνεύμασι γίνονται, οἱ δὲ ἐπὶ ὑγροῖς, οἱ δὲ ἐπὶ στερεοῖς. διείλεκται δὲ πρότερον περὶ τῶν ἐπὶ πνεύμασι συνισταμένων, καὶ παραδέδωκεν αὐτῶν τὰς διαγνώσεις καὶ τὰς θεραπείας. μεταβαίνει λοιπὸν ἐπὶ τοὺς ἐπὶ χυμοῖς. περὶ γὰρ ἑκτικῶν οὐδὲν ποιήσεται λόγον ἐν τούτοις, ἐπειδὴ καὶ ὁ Γλαύκων τῶν ὡς ἐπὶ πολὺ γινομένων νοσημάτων ᾔτησεν αὐτῷ γραφῆναι τὴν ἴασιν. ὁ δ' ἑκτικὸς οὐκ ἔστι τῶν ὡς ἐπὶ τὸ πολὺ γινομένων. τῶν τοίνυν ἐπὶ χυμοῖς οἱ μὲν ἐν τῷ παντὶ σώματι τὸν χυμὸν ἔχουσι σηπόμενον, καὶ συνεχεῖς γίνονται· οἱ δὲ ἐν ἑνὶ μορίῳ 3) ἔμφραξιν ἐργαζόμενοί τινων πόρων, ὅθεν καὶ περιοδίζοντες γίνονται πυρετοὶ, καὶ φλεγμονὴν ἢ ἄλλον τινὰ ὄγκον ποιοῦνται. καὶ πάλιν τῶν πυρετῶν οἱ μέν εἰσι διαλείποντες, οἱ δὲ συνεχεῖς· διαλείποντες μὲν ὅσοι τὴν ὕλην ἔχουσι τῶν ἀγγείων ἐκτός· 4) συνεχεῖς δὲ ὅσοι τὴν ὕλην ἔσω τῶν ἀγγείων ἔχουσι. τούτων δὲ αὐτῶν πάλιν οἱ μετὰ τῶν συμπτωμάτων εἰσβάλλουσιν, οἱ δὲ χωρὶς συμπτωμάτων. οὐκοῦν ἐνταῦθα οὐ διαλέξεται περὶ τῶν ἐπὶ φλεγμοναῖς γινομένων πυρετῶν, ἀλλὰ περὶ τῶν ἄλ-

---

1) θυμιδίαν A. 2) Fort. αὐτούς. 3) ἔμφασιν A. obstructionem G. 4) συνεχεῖς — ἔχουσι om. G.

λων, καὶ 1) πρότερον περὶ τῶν διαλειπόντων, ὕστερον δὲ περὶ τῶν συνεχῶν· καὶ πάλιν πρότερον περὶ τῶν χωρὶς συμπτωμάτων. διαλέξεται δὲ καὶ περὶ τῶν συμπτωμάτων ἐν τοῖς ἑξῆς. οἱ τοίνυν διαλείποντες πυρετοὶ ἢ ἐπὶ φλέγματι σηπομένῳ γίνονται καὶ ποιοῦσι τὸν καλούμενον ἀμφημερινὸν πυρετὸν, ἢ ἐπὶ τῇ ξανθῇ χολῇ καὶ ποιοῦσι τὸν τριταῖον, ἢ ἐπὶ τῷ μελαγχολικῷ χυμῷ καὶ ποιοῦσι τὸν τεταρταῖον. καὶ τούτων ἔχει παραδοῦναι διαγνώσεις τε καὶ θεραπείας. καὶ πρότερόν γε περὶ τριταίου, ἐπειδὴ οὗτός ἐστι τῶν ἄλλων εὐηθέστερός τε καὶ ἐπιεικέστερος, καὶ μέντοι καὶ τοῖς ἀνθρώποις ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνων.

Καί εἰσιν οἱ μὲν ἐπὶ φλεγμοναῖς, οἷον συμπτώματά τινα τῶν φλεγμαινόντων μορίων. —

Ἐπειδὴ ὁ πυρετὸς αὐτὸς οὐδέν ἐστι σύμπτωμα. οὔτε γὰρ ἐν ἐκκρινομένοις καὶ 2) ἐπεχομένοις ἔχει τὴν φύσιν, οὔτε ἐν διαθέσει σωμάτων, οὐ μὴν οὐδὲ βλάβη ἐστὶν ἐνεργείας, ἀλλὰ μᾶλλον αὐτὸς βλάπτει τὴν ἐνέργειαν, νόσημα ὄν. διὰ δὲ τοῦτο νῦν οὐκ ἠξίωσεν αὐτὸν ἁπλῶς εἰπεῖν σύμπτωμα, ἀλλ' οἷον σύμπτωμα. οὐ γάρ ἐστι σύμπτωμα, ἀλλ' ὅτι καθάπερ σύμπτωμα τοῖς νοσήμασιν ἀκολουθεῖ. οὕτω καὶ ταῖς φλεγμοναῖς ἐνταῦθα ὁ πυρετὸς ἕπεται δίκην συμπτώματος. ἐπὶ μέντοι τῶν ἄλλων πυρετῶν, τῶν προηγουμένως γινομένων, οὐκέτι ἕπεται, ἀλλ' αὐτὸς πρῶτος γίνεται, ἄλλα δέ τινα αὐτῷ συμπτώματα πάντως ἀκολουθεῖ.

Τούτων δέ τινες μὲν ἄνευ συμπτωμάτων, οἵπερ δὴ καὶ ἐπιεικέστατοί εἰσι. —

Ζητητέον πῶς φησιν ἐνταῦθά τινας τῶν πυρετῶν εἶναι δίχα συμπτώματος. οὐδὲν γάρ ἐστι νόσημα, ὃ μὴ βλάπτει τὴν ἐνέργειαν, ἐπείτοι καὶ οὗτός ἐστιν ὁ τοῦ νοσήματος ὅρος, διάθεσις παρὰ φύσιν βλάπτουσα τὴν ἐνέργειαν. ἔστι δὲ ἡ βλάβη τῆς ἐνεργείας, σύμπτωμα. πῶς οὖν αὐτὸς ἐνταῦθα λέγει πυρετούς τινας εἶναι δίχα συμ-

---

1) πρότερον — πρότερον om. G. Patet igitur, Gadaldini codicem recentem quoque fuisse et mendosum. 2) ἐπὶ χεομένοις A.

πτωμάτων; πρὸς τοῦτό φαμεν, ὅτι τῶν συμπτωμάτων τινά ἐστιν εἰδοποιὰ τῶν 1) νοσημάτων καὶ συνεισβάλλει πάντως αὐτοῖς καὶ καλεῖται ὑπὸ τῶν ἐμπειρικῶν παθογνωμονικὰ, ὡς ἂν τῆς τῶν παθῶν ἰδέας χαρακτηρίζοντα τὴν φύσιν αὐτῶν, ὥς τ' ἐπὶ τῆς πλευρίτιδος ἥ τε βὴξ καὶ ὁ πυρετὸς καὶ ἡ δύσπνοια καὶ τὸ νυγματῶδες ἄλγημα. τινὰ δὲ ἐξ ὑστέρου ἐπιφαίνεται ἀλλότρια, περὶ ὧν ἐνταῦθα λέγειν αὐτὸν ἐροῦμεν, 2) ἅτε ἐξ ἀνάγκης ἐπιφαινομένων. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι τῶν πυρετῶν οἱ μὲν μετὰ συμπτωμάτων εἰσβάλλουσιν, οἱ δὲ δίχα συμπτωμάτων. συμπτώματα δὲ λέγομεν οὐ τὰ τυχόντα, ἀλλὰ ὅσα οὕτως ἐστὶ μοχθηρὰ καὶ κακοήθη, ὡς τῇ ἀπηνείᾳ καταβάλλειν μὲν τὴν δύναμιν, περιέλκειν δὲ ἅπασαν ἐφ' ἑαυτῷ τὴν τέχνην τῷ σφοδρῷ τῆς ἐνοχλήσεως. ἐνταῦθα τοίνυν περὶ τῶν πυρετῶν διαλέξεται, οἷς οὐδὲν τοιοῦτον σύνεστι σύμπτωμα, ὕστερον δὲ καὶ περὶ τῶν λοιπῶν διαλέξεται.

Ἐν οἷς μάλιστα εἰ οἷόν τε κατὰ τὴν πρώτην ἡμέραν διαγνωστέον οἷός τίς ἐστιν ὁ πυρετός. —

3) Εἰσιόντας παρὰ τὸν ἄῤῥωστον ἐν τῇ πρώτῃ τῶν ἡμερῶν δεῖ ζητεῖν εὐθέως, εἰ χρόνιόν ἐστι τὸ νόσημα ἢ ὀξύ. τοῦτο γὰρ ἡμῖν συμβάλλεται, εἰς τὸ τυπῶσαι τὸ εἶδος τῆς διαίτης. εἰ γὰρ πλησίον ἐστὶν ἡ ἀκμὴ, ὅπερ ἐπὶ τῶν ὀξέων γίνεται, λεπτότερον διαιτήσομεν, ἢ καὶ ἐπὶ ἀσιτίᾳ φυλάξομεν, ἵνα μὴ τροφὴν δόντες μερίσωμεν τὴν δύναμιν εἴς τε τὴν τῆς τροφῆς κατεργασίαν καὶ εἰς τὴν τοῦ νοσήματος ἐπιμέλειαν. καὶ εἰ μὲν τῆς τροφῆς 4) καταφρονήσασα πρὸς τὸ νόσημα ἀγωνίσηται, συμβαίνει ταύτην ἀπεπτηθεῖσαν ὕλην γίνεσθαι τοῦ πυρετοῦ κἀντεῦθεν ἰσχυρότερον γεγονὸς τοῦτο ἐπιθέσθαι τῇ δυνάμει καὶ καταβάλλειν ταύτην. εἰ δὲ περὶ τὴν τῆς τροφῆς κατεργασίαν ἀπασχοληθείη τὸ νόσημα, ἅτε μηκέτι τὸν ἀγω-

---

1) πυρετῶν, superscr. νοσημάτων A. 2) Fort. οὐ περὶ τῶν. non de iis G. 3) εἰσιόντων A. 4) καταφρονήσασαν A. nam si alimentum sumptum negligentes adversus morbum certaverint G. Fort. καταφρονήσαντες — ἀγωνίσωνται legit G.

νιζόμενον ἔχον, ἰσχυρότερον αὐτοῦ γίνεται καὶ κακοῖ τὴν φύσιν. εἰ δὲ πόῤῥω εἴη ἡ ἀκμὴ, ἁδρότερον διαιτήσομεν, ἵνα μὴ τῷ χρόνῳ ὑπὸ τῆς ἀσιτίας καταλυθεῖσα ἡ δύναμις ἀτονωτέρα ἑαυτῆς περὶ τὸν καιρὸν τῆς ἀκμῆς γένηται, ὅτε μάλιστα ὁ τῆς φύσεώς ἐστιν ἀγὼν πρὸς τὸ νόσημα. καὶ τοῦτο Ἱπποκράτης προσεσχηκὼς, εἶπεν· οἷσι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, λεπτῶς διαιτᾷν· οἷσι δὲ ὕστερον, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου σμικρὸν ἀφαιρετέον· ἔμπροσθεν δὲ πιοτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

Καὶ πότερον τῶν διαλειπόντων καλουμένων ἢ τῶν συνεχῶν. —

Διαλείπων μέν ἐστι πυρετὸς ὁ διάλειμμα καθαρὸν ἔχων. γίνεται δὲ τοῦτο, τῆς ὕλης ἔξω τῶν ἀγγείων οὔσης. συνεχὴς δὲ, ὁ μηδεμίαν ἀνακωχὴν παρέχων τῇ φύσει. γίνεται δὲ οὕτω, τῆς ὕλης ἔσω τῶν ἀγγείων οὔσης. τὸ μὲν οὖν χρόνιον ἢ ὀξὺ ζητητέον διὰ τὸ τῆς διαίτης εἶδος, ὡς εἰρήκαμεν, τὸ δὲ διαλείποντα εἶναι πυρετὸν ἢ συνεχῆ, διὰ τὸν καιρὸν τῆς αὐτῆς. χρὴ εἰδέναι ὅτι δεῖται μὲν ἡ δύναμις ἀεὶ τροφῆς ἀναπληρούσης αὐτὴν τὴν τοῦ διαπεφορημένου βάσιν. ἀλλὰ ταύτην μάλιστα δοτέον, ὅτε δύναται αὐτὴν πέψαι καὶ κατεργάσασθαι. πέττει δὲ, ὅτε καθαρά ἐστι, καὶ οὐδὲ ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας ἐνοχλεῖται. οὐκοῦν ἐν τῷ λείμματι δοτέον αὐτήν. ἐν τῷ γὰρ παροξυσμῷ εἰ δῶμεν, ἡ μὲν δύναμις καταβέβληται ὑπὸ τῆς τοῦ πυρετοῦ δυσκρασίας, καὶ οὐ δύναται αὐτῆς περιγενέσθαι. 1) ἡ δὲ μὴ πεφθεῖσα τροφὴ ὕλη γίνεται τοῦ πυρετοῦ. καὶ τοῦτό ἐστιν, ὅ φησιν Ἱπποκράτης ἐν ἀφορισμοῖς· τοὺς δὲ παροξυσμοὺς ὑποστέλλεσθαι χρή. τὸ προστιθέναι γὰρ βλάβη. δοτέον τοίνυν τὴν τροφὴν ἐν τοῖς λείμμασιν. ἀλλὰ ταῦτα μέν ἐστιν εἰπεῖν ἐπὶ τῶν διαλειπόντων. ἐπὶ δὲ τῶν συνεχῶν, τί ἄν τις καὶ δράσαι; οὐ γάρ ἔνεστιν εὑρεῖν ἐπὶ τούτων 2) ἀνετικὸν καιρὸν, ἀλλὰ συνεχὴς ὁ πυρετός ἐστιν. ὅμως κἀπὶ τούτων, ἐπειδὴ γίνεται μειοπυρεξία διάλειμμα μιμουμένη, τηνικαῦτα τὴν

1) εἰ A. 2) αἰνετικὸν A.

τροφὴν δοτέον, οὐχ ὅτε ἐπὶ παροξύνουσιν, ἐπεὶ τὰ εἰρημένα πάντως συμβήσεται.

Παντελῶς γὰρ ὀλίγοι πυρετοὶ τῆς τετάρτης ἡμέρας δέονται πρὸς ἀκριβῆ διάγνωσιν. —

Τοῦτό φησι διὰ τοὺς συνθέτους. τοὺς μὲν γὰρ ἁπλοῦς ἐνδέχεται κατὰ τὴν πρώτην ἡμέραν διαγινώσκειν· ἀλλ' ἐπειδὴ σύνθετοί τινές εἰσιν, οἳ κατὰ τὴν πρώτην ἡμέραν οὕτω τυγχάνουσιν εἰσβάλλοντες, ἐνίοτε δὲ οὐδὲ κατ' αὐτὴν τὴν δευτέραν, ἐπὶ τούτων ἀνάγκη περιμένειν τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν ἐνίοτε πρὸς τὴν τῆς διαγνώσεως ἀκρίβειαν.

Μακρότερον δὲ καὶ σαφέστερον ἑτέρωθι πάντα λέλεκται.—

Ἐνταῦθα, φησὶ, βραχέα σοι διαλέξομαι περὶ τῆς τῶν τοιούτων πυρετῶν διαγνώσεως. 1) τὴν δὲ τελεωτέραν περὶ αὐτῶν θεωρίαν ἔχομεν ἐν τῷ δευτέρῳ λόγῳ τῆς περὶ κρίσεως κἀν τῷ περὶ διαφορᾶς πυρετῶν. χρὴ μέντοι γινώσκειν ὅτι τῶν ἐνταῦθα σημειώσεων οὐδέν ἐστι τελειότερον. πᾶσαν γὰρ τὴν περὶ αὐτῶν ἀνελλιπῶς ἐν τούτοις παραδέδωκε τέχνην.

Τοὺς μὲν οὖν μετὰ ῥίγους εἰσβάλλοντας οὐκ ἂν ἀπὸ τρόπου τῶν κατὰ περίοδον ἐνοχλούντων ὑπολάβοις εἶναι. —

Εἰσελθὼν παρὰ τὸν ἄῤῥωστον εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν εὗρον αὐτὸν ῥίγει συνεχόμενον. ἐγένετό μοι τοῦτο γνώρισμα, τοῦτον τοιοῦτον εἶναι πυρετὸν ἐπὶ σήψει· 2) τῶν γὰρ χωρὶς σήψεως οὐδεὶς ἐπιφέρει ῥῖγος· ἀλλὰ διαλείποντα. πλὴν οὐκ ἀρκεῖ μοι ταῦτα μόνον μαθεῖν, ἀλλὰ καὶ ὕστερον ζητῶ τὸ τοῦ πυρετοῦ εἶδος, πότερον τριταῖός ἐστιν ἢ τεταρταῖος ἢ ἀμφημερινός. ὁ μὲν οὖν τριταῖος ἔχει τὸ ῥῖγος ἐξ ἀρχῆς σφοδρότερον, αἴσθησις δὲ ἐπ' αὐτῷ γίνεται, οἷον νύττοντός τινος καὶ κεντοῦντος, ὅπερ γίνεται διὰ τὴν τοῦ χυμοῦ λεπτομέρειαν καὶ δριμύτητα. ὁ δὲ τεταρταῖος κατὰ τὰς ἀρχὰς ἰσχυρὸν οὐκ ἔχει

1) ἂν add. A. ἔχωμεν A. 2) τῷ A.

τὸ ῥῖγος, ἐπειδὴ ψυχρός ἐστιν ὁ χυμὸς καὶ γεώδης καὶ δυσκίνητος. προϊόντος μέντοι τοῦ χρόνου, ἐπειδὴ λεπτύνεται ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας, ἰσχυρότερον αὐτοῖς γίνεται. καὶ 1) οἱ μὲν ἰδιῶται ταράττονται ἐπὶ τούτων καὶ νομίζουσι χαλεπώτερον αὐτοῖς γίνεσθαι τὸ νόσημα, τοῦ ῥίγους ἐπιταθέντος. ὁ μέντοι τεχνίτης τοῖς Ἱπποκράτους ὀφθαλμοῖς προσέχων ἀποφαίνεται προκόπτειν ἐπὶ τὸ κρεῖττον τὸν πυρετόν· μὴ γὰρ ἂν γεγενῆσθαι σφοδρὸν ἐπὶ τεταρταίου ῥῖγος, εἰ μὴ πέψεως φανῇ σημεῖον.

Σὺν τῷ μηδ᾽ εὐθὺς ἀπ᾽ ἀρχῆς τὰ πολλὰ τὸν πυρετὸν τοῦτον εἰσβάλλειν, ἀλλ᾽ ἑτέρων προηγησαμένων συμπίπτειν. —

Τὰ πολλὰ προσέθηκεν, ἐπειδὴ ὁ τεταρταῖος ἔστιν ὅτε καθ᾽ ἑαυτὸν εἰσβάλλει, μὴ προηγησαμένων ἑαυτοῦ τῶν πλανήτων πυρετῶν. τοῦτο δὲ γίνεται, ὅταν ὁ σπλὴν ἀτονήσας περὶ τὴν ἑλκτικὴν τοῦ μελαγχολικοῦ ἐνέργειαν, ἐάσῃ τοῦτον συναναφέρεσθαι τῷ αἵματι. κἀντεῦθεν πλεονάσαντος αὐτοῦ καὶ σαπέντος, γίνεται τεταρταῖος. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πλανῆται αὐτῶν προηγοῦνται. διὰ τοιαύτην αἰτίαν ὁ μελαγχολικὸς χυμὸς διττὴν ἔχει τὴν γένεσιν· γίνεται γὰρ ἢ ἀπὸ τρυγώδους αἵματος ἢ ἀπὸ τῆς ξανθῆς χολῆς ὑπεροπτωμένης. ἐπειδὴ τοίνυν οὐχ ὁμοτίμως ἅπασα ἡ ξανθὴ χολὴ ὑπεροπτᾶται, ἀλλὰ τὸ μὲν αὐτῆς θᾶττον, τὸ δὲ βραδύτερον, καὶ ἁπλῶς ἡ ὑπερόπτησις αὕτη ἄτακτος γίνεται, διὰ τοῦτο περὶ τὴν μεταβολὴν ἄτακτοι καὶ οἱ πυρετοὶ γίνονται, μηδεμίαν τάξιν φυλάττοντες, ἀλλά ποτε μὲν περὶ τὴν ἕω εἰσβάλλουσιν, ἄλλοτε δὲ περὶ τὴν ἑσπέραν, καί ποτε μὲν διὰ δύο, ποτὲ δὲ διὰ τριῶν * .... 2) καθ᾽ ἑκάστην ὡς ἂν ἡ μεταβολὴ τοῦ ξανθοχολικοῦ χυμοῦ ἡ ἐπὶ τὸ μέλαν τύχῃ γεγονυῖα.

Ὁ δ᾽ ἀμφημερινὸς οὐδὲ χωρὶς τοῦ τὸ στόμα τῆς γαστρὸς πεπονθέναι τὰ πολλὰ συνίσταται. —

Ὁ ἀμφημερινὸς πυρετὸς, ἐπειδὴ ἐπὶ φλέγματι σηπομένῳ γίνεται, τοῦτο δὲ τὸ φλέγμα μάλιστα συνάγεται

1) εἰ μὲν ἰδιώτας A. 2) ἐνίοτε δὲ addit G. e conjectura.

περὶ τὴν γαστέρα καὶ τὸν στόμαχον, ἔνθα καὶ ἡ πρώτη πέψις ἐστί. τὸ φλέγμα, διὰ ταύτην τοίνυν τὴν αἰτίαν, ἐν τῷ στομάχῳ τῆς γαστρὸς καὶ τῇ γαστρὶ πλεονάζον, ὅταν τύχῃ ποτὲ σαπὲν, ἀμφημερινὸν ἐπάγει πυρετόν. αὐτὸ δὲ τὸ στόμα μόνον εἶπε τῆς γαστρὸς, οὐχ ὡς ἐν τῇ γαστρὶ μὴ ὄντος τοῦ φλέγματος, ἀλλ' ὅτι ἐν ἀμφοτέροις ὄντος αὐτοῦ, τὸ στόμα μᾶλλον 1) αἰσθάνειαι διὰ τὸ τῆς αἰσθήσεως ἀκριβές.

Εἰ δὲ μετὰ βραχέος ἄρξεται τοῦ ῥίγους, τότε δεῖ καὶ μᾶλλον τοῖς ἄλλοις γνωρίσμασι τὸν νοῦν προσέχειν καὶ τὰ ἑξῆς. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι εἰ μὲν σφοδρὸν εἴη τὸ ῥῖγος, ὑποπτεύειν δεῖ, τῷ τοιούτῳ τριταῖον προηγεῖσθαι. εἰ δὲ μὴ εἴη σφοδρὸν, οὔπω χρὴ τριταῖον ὑπολαβεῖν. ἐνδέχεται γὰρ τοῦτο γενέσθαι καὶ διὰ τεταρταῖον καὶ διὰ ἀμφημερινόν. καὶ γὰρ καὶ ἐπὶ τούτων γίνεταί τις ψύξις, ἣν νῦν ἐκάλεσε μέτριον ῥῖγος. ἀλλὰ κἀπὶ τῶν ἡμιτριταίων γίνεται τὸ τοιοῦτον. ῥῖγος μὲν γὰρ ὅλως ἐπ' αὐτῶν γίνεται διὰ τὸν ξανθοχολικὸν χυμόν. κολάζεται μὲν τούτου ἡ σφοδρότης διὰ τὴν τοῦ φλέγματος ἐπιμιξίαν. ἔστι δ' ὅτε κἀπὶ τῶν συνεχῶν γίνεται μικρότερον ῥῖγος, ὡς ἐπὶ καύσωνος. συμβαίνει γὰρ ἐνίοτε τὴν χολὴν, λεπτομερεστάτην οὖσαν, μὴ δύνασθαι πᾶσαν ἐν τοῖς ἀγγείοις στέγεσθαι· ἐκπίπτει δὲ αὐτῆς ὀλίγον ἔξω τῶν ἀγγείων, καὶ τοῦτο ποιεῖ μέτριον ῥῖγος, ὥστε οὐκ ἀρκέσει σοι ἡ τοῦ ῥίγους σμικρότης εἰς ἀκριβῆ διάγνωσιν, ἀλλὰ δεῖ προσέχειν λοιπὸν τοῖς ἄλλοις σημείοις. τὰ δ' ἄλλα σημεῖα λαμβάνεται ἢ ἀπὸ τῶν κατὰ φύσιν ἢ ἀπὸ τῶν παρὰ φύσιν, ἢ ἀπὸ τῶν προηγησαμένων ἢ ἀπὸ τῶν συνεισβαλλόντων. ἀπὸ μὲν τῶν κατὰ φύσιν, ζητούντων 2) [ἡμῶν] τὴν τοῦ κάμνοντός κρᾶσιν, 3) εἰ ξηροτέρα, καὶ τὴν ἡλικίαν, εἰ ἀκμαστική. αὕτη γὰρ τοῦ τοιούτου χυμοῦ ἐστιν εὔφορος· καὶ τὴν ὥραν εἰ θέρος, καὶ τὴν χώραν εἰ θερμὴ καὶ ξηρὰ, καὶ τὴν κατάστασιν ὁμοίως. ἀλλὰ καὶ τὰ παρὰ φύσιν ζητη-

1) αἰσθάνεσθαι A. 2) ἡμῶν om. A. 3) ἢ A.

τέον 1) ἐστὶ, τὸ ποσὸν τῆς θερμασίας καὶ τὸ ποιόν. καὶ τὸ μὲν ποσὸν, ἐπειδὴ ἡ ὕλη, εὐέξαπτος οὖσα, πολλὴν ἀνάπτει τὴν θερμασίαν· τὸ δὲ ποιὸν ὅτι δεῖ ταύτην εἶναι δριμεῖαν, καὶ διαβρωτικήν. ἀλλὰ καὶ αἱ τῶν ἀρτηριῶν κινήσεις δηλοῦσι. μέγιστοι γὰρ ἐπ᾽ αὐτῶν οἱ σφυγμοὶ καὶ σφοδρότεροι καὶ ταχεῖς καὶ πυκνοί. καὶ τοῦτο εἰκότως, εἴ γε καὶ θερμότης ἐστὶ τὴν χρείαν κατεπείγουσα. καὶ ἡ δύναμις οὐ καταβέβληται διὰ τὸ τοῦ χυμοῦ κοῦφον καὶ ἐπίλειον· οὐ μὴν οὐδὲ ἀνώμαλοι. ἡ γὰρ ἀνωμαλία δυνάμεώς ἐστιν ἀσθενοῦς ἔγγονος, πλὴν τῆς πυρεκτικῆς. εἰρήκαμεν δὲ ἐν τῷ περὶ σφυγμῶν, ὅτι πυρεκτικὴν ἀνωμαλίαν καλεῖ ὁ Γαληνὸς τὸ τὰ πέρατα τῆς διαστολῆς εἶναι ταχύτερα τῶν μέσων. κατὰ μὲν γὰρ τὸ ἔσω πέρας ἐπιταχύνει πρὸς τὴν διαστολὴν ἐπειγομένη, ἵνα καταψύξῃ τὴν ἀπὸ τοῦ πυρετοῦ δυσκρασίαν, κατὰ δὲ τὸ ἔξω ἔτι μᾶλλον ἐπιταχύνει, ἐπειγομένη τε πρὸς τὴν συστολὴν, δι᾽ ἔκκρισιν τῶν ἐκ τοῦ πυρετοῦ γεννηθέντων λιγνυωδῶν περιττωμάτων, καὶ ἵνα δευτέραν ποιήσηται διαστολήν. ἀλλὰ καὶ δίψα αὐτοῖς ἐστι πολλὴ καὶ χολώδης ἔμετος. οὕτω μὲν οὖν ἀπὸ τῶν κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν καὶ τῶν συνεισβαλλόντων διέγνωμεν τὸν τριταῖον· ἔτι δὲ ἀπὸ τῶν προηγησαμένων τὸν βίον, εἰ φροστιστικὸς ἢ ἀγρυπνητικὸς ἢ ἀσιτίαις εἰωθὼς χρῆσθαι ἢ γυμνασίοις πλείοσι. ταῦτα γὰρ πάντα πρὸς τὴν τοῦ ξανθοχολικοῦ χυμοῦ γένεσιν συμφύτως ἔχει, 2) ὃς τὸν προκείμενον εἰς ἐπίσκεψιν ἀνάπτει πυρετόν. ἐπὶ δὲ τούτοις ἅπασι δεῖ καί τινα στοχαστικὴν προστιθέναι διάγνωσιν, αὐτὴν μὲν καθ᾽ ἑαυτὴν οὐκ ἀρκοῦσαν τὸ ἀκριβὲς παραδοῦναι, συνεισφέρουσα μέντοι τοῖς εἰρημένοις σημείοις. δεῖ γὰρ προσέχειν, εἰ κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐγένετο τριταϊκῶν νοσημάτων ἐπιδημία. ὥσπερ γὰρ ἐν ταῖς τοῦ ἐνιαυτοῦ ὥραις ἄλλοτε ἄλλοι τῶν καρπῶν εὐφοροῦσιν, οὕτως ἡ τῶν νοσημάτων ἐστὶν εὐφορία. εἰ τοίνυν εὔφορος ἢ τριταϊκὰ νοσήματα, σημεῖον καὶ τοῦτο τὸ τίθεσθαι τοῦ καὶ τὸ παρὸν ἡμῖν νόσημα τοιοῦ-

1) ἐστὶ τὸ ποιὸν, τὸ μὲν ποσὸν. Vitiose G. Inde atque aliunde claret, Ambrosianum codicem et Gadaldini librum inter se discrepare. 2) ὡς A.

τον εἶναι, οἷον καὶ τὰ κοινά. δηλοῖ γὰρ ὅτι κοινή τίς ἐστιν αἰτία, ἡ τοῦ ἀέρος ἀλλοίωσις, 1) ἀλλ' ὅτι καθόλου ὃ τὴν τοιαύτην εἰργάσατο τροπὴν, ἐφ' ᾗ τὸν τριταῖον συνέβη γενέσθαι. ἐκ τοίνυν τῶν κοινῶν καὶ τὰ κατὰ μέρος γινώσκομεν.

Δίψος δὲ αὐτὸν ἔχει σφοδρόν. —

Τὸ δίψος γίνεται διὰ τὸ θερμὸν καὶ ξηρὸν τοῦ χυμοῦ, ἱδρὼς δὲ ἐπὶ τούτοις ἀκολουθεῖ, ἐπειδὴ λεπτὸς ὢν ὁ χυμὸς ῥᾳδίως ἀναλύεται καὶ φερόμενος περὶ τὴν ἐπιφάνειαν, ἱδρῶτί τε αὐτὴν διαβρέχει καὶ τοῦ μερικοῦ παροξυσμοῦ τὸν κάμνοντα ἀπαλλάττει.

Ὁ δὲ τεταρταῖος, χρὴ γὰρ καὶ τούτου τὰ γνωρίσματά σοι γράψαι, καὶ τὰ ἑξῆς. —

Παραδεδωκὼς ἡμῖν τὴν τῶν τριταίων πυρετῶν διάγνωσιν, βούλεται λοιπὸν καὶ τὴν τῶν τεταρταίων παραδοῦναι. εἰκότως δὲ μετὰ τοὺς τριταίους οὐ περὶ ἀμφημερινῶν, ἀλλὰ περὶ τεταρταίων διαλέγεται, ἐπειδὴ τοῖς τριταίοις οὗτοι πολλὰ κοινωνοῦσι, πρῶτον μὲν κατὰ τὸ ῥῖγος, ἔπειτα καὶ ὅτι ἑκάτερος τῶν πυρετῶν ἐστιν ἀκίνδυνος. τὸ δ' ἀληθέστερον, ὅτι ὁ μὲν ἀμφημερινὸς πυρετὸς ἐπὶ φλέγματι γίνεται, ψυχρῷ καὶ ὑγρῷ τὴν φύσιν ὑπάρχοντι, ὁ δὲ τριταῖος ἐπὶ τῷ χολώδει, θερμῷ ὄντι καὶ ξηρῷ. καί εἰσιν αἱ ποιότητες αὐτῶν κατὰ διάμετρον ἀλλήλαις ἐναντίαι. ὁ μέντοι μελαγχολικὸς χυμὸς, εἰ καὶ τῇ ψύξει διαφέρει, τῇ γοῦν ξηρότητι κοινωνεῖ. καὶ ταῦτα μὲν ὕθλος ἐστὶ λήρων σοφιστῶν, λογικῆς ἐχομένων ζητήσεως. μεταβῶμεν δὲ λοιπὸν ἐπὶ τὴν τούτων διάγνωσιν καὶ ποιησώμεθα ταύτην ὁμοίως ἀπὸ τῶν κατὰ φύσιν, ἀπὸ τῶν παρὰ φύσιν, ἀπὸ τῶν προηγησαμένων ἁπάντων, ἀπὸ τῶν παρόντων. ἔστω τοίνυν ἐπὶ τούτων ἡ μὲν φύσις τοῦ κάμνοντος μελαγχολικωτέρα, ἡ δὲ ἡλικία παρακμαστικὴ καὶ ἡ ὥρα τοῦ ἔτους φθινόπωρον, ἐν τούτῳ γὰρ ὁ μελαγχολικὸς γεννᾶται χυμὸς διὰ τοιαύτην αἰτίαν· ἐν μὲν τῷ θέρει τὸ λεπτομερὲς ἀεὶ διαφορεῖται, 2) ἐπιλαβὸν δὲ

1) Fort. ἢ ἄλλο τι. vel aliud quid universale G. 2) ἐπιλαβὼν A.

τὸ φθινόπωρον καὶ τῇ ψύξει πυκνῶσαν τὴν ἐπιφάνειαν ἀπέκλεισεν. ἐκωλύθη δὲ δηλονότι τὰ δυσδιαφόρητα καὶ παχέα, ἃ μελαγχολικὰ μᾶλλόν ἐστιν ἤ τινος τῶν ἄλλων χυμῶν. ἀλλὰ καὶ τὸ χωρίον 1) ἐστὶ ψυχρὸν καὶ ξηρὸν, καὶ ἡ παροῦσα δὲ τοῦ ἀέρος κατάστασις ἀνώμαλος. καλῶς γὰρ περὶ τούτου τῷ Ἱπποκράτει διώρισται· ὅτε μὲν θάλπος, ὅτε δὲ ψύχος ποιέει, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή. ἀναγκαῖον γάρ ἐστι τηνικαῦτα τὰ μὲν λεπτομερῆ ὑπὸ τοῦ θάλπους διαφορεῖσθαι, τὰ δὲ παχέα στέγεσθαι ὑπὸ τοῦ κρύους. καὶ ταῦτα σηπόμενα τὸν τεταρταῖον ἐπάγει πυρετόν. ταῦτα μὲν οὖν τὰ κατὰ φύσιν. ζητητέον δὲ καὶ τὰ παρὰ φύσιν, οἷον τὸ ῥῖγος. ἔστι γὰρ ἐπὶ τούτων οὐ τὸ νυγματῶδες, ἀλλὰ τὸ ὀστοκοπῶδες, βαρουμένων καὶ οἷον θλιβομένων τῶν ὀστῶν ὑπὸ τῆς τοῦ χυμοῦ βαρύτητος. ζητητέον δὲ καὶ τὰ προηγησάμενα. ταῦτα γὰρ ἅπαντά σοι τὴν τοῦ τεταρταίου φύσιν ἀκριβῶς ἐνδείξεται.

Ἱκανῶς γὰρ ἀραιοὶ καὶ βραδεῖς αὐτῶν οἱ σφυγμοὶ γίνονται. —

Ἀραιοὶ μὲν γίνονται διὰ τὴν ψύξιν, βραδεῖς δὲ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν, βαρουμένης ὑπὸ τῆς τοῦ χυμοῦ παχύτητος.

Σώζεται δὲ ὅμως καὶ τότε ἡ ἴδιος βραδύτης τε καὶ ἀραιότης. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι εἰ καὶ κατὰ τὴν ἀνάβασιν καὶ κατὰ τὴν ἀκμὴν ταχύτεροι καὶ πυκνότεροι γίνονται οἱ σφυγμοὶ ἐπὶ τούτων, ἀλλ' οὐκ ἀφίστανται τῆς ἰδίας αὐτῶν ἀραιότητος καὶ βραδύτητος, ἀλλ' ὅσῳ μὲν ἐπὶ τῶν παροξυσμῶν πυκνοῦνται καὶ ταχύνονται. καὶ δύναιτο ἄν τις αὐτοὺς λέγειν τοιούτους γεγενῆσθαι, τοῖς κατὰ τὰς ἀρχὰς τῶν τεταρταίων παραβάλλων. οὐ μὴν ὁμοία ἐστὶν αὐτῶν ἡ πυκνότης ἢ ἡ ταχύτης τῆς ἐπὶ τῶν τριταίων γινομένης, ἀλλὰ ἀπολείπεται πολλῷ.

1) Esto G.

Τὴν γὰρ κοινὴν ἁπάντων τῶν πυρετῶν ἐν μιᾷ προσβολῇ τῆς ἀρτηρίας ἀνωμαλίαν ἐναργεστάτην ἐστὶν εὑρεῖν ἐν τούτῳ. —

Ἄξιον ζητῆσαι, τί δήποτε ἡ πυρεκτικὴ ἀνωμαλία, ἔν τε τοῖς τριταίοις ὑπάρχουσα κἂν τοῖς τεταρταίοις, ἐπὶ τῶν τεταρταίων μάλιστά ἐστιν εὐδιάγνωστος. καὶ λέγομεν ὅτι ἐπὶ μὲν τῶν τριταίων, διὰ τὸ τῆς διαστολῆς ὅλης τάχος τὸ τῶν πυρετῶν ἴδιον λανθάνει τὴν αἴσθησιν. πολλῆς γὰρ οὔσης τῆς θερμότητος, καὶ τὰ μέσα τῆς διαστολῆς ἐστι 1) ταχύτερα, ὥστε τὰ πέρατα μὴ πολλῷ τῶν μέσων εἶναι θάττονα. ἐνταῦθα μέντοι ἐπειδὴ οὐκ ἔστιν ἡ θερμασία τοσαύτη, οὐκ ἀνάγκη γενέσθαι τὴν ὅλην διαστολὴν ταχεῖαν, ὥστε, βραδυτέρας οὔσης καὶ ἐν χρόνῳ πλείονι κινουμένης, εὐδιάγνωστον ἔσται τὸ τῆς πυρεκτικῆς ἀνωμαλίας σημεῖον.

Πολλῷ γάρ τινι τήν τε ἀρχὴν τῆς κινήσεως καὶ τὸ τέλος ὠκύτερον εὑρήσεις τῶν μέσων. —

Σημειωτέον ἐνταῦθα, ὃ κἂν τῷ πρὸς 2) Τεύθραν περὶ τῶν σφυγμῶν ἐλέγομεν, ὅτι ἡ τῶν πυρετῶν ἴδιος ἀνωμαλία ἐστὶν αὕτη, τὸ τὰ πέρατα τῆς διαστολῆς εἶναι ταχύτερα τῶν μέσων, καὶ μᾶλλον τοῦ ἐντὸς τὸ ἐκτός. ἀλλὰ τοῦτον τὸν λογισμὸν πολλάκις εἰρήκαμεν, οὐχ ὥσπερ τινὲς ἔλεγον, τὸ ἔξωθεν μόνον εἶναι τῆς διαστολῆς. καὶ ἐν ἐκείνοις ὑπεσχόμεθα δεῖξαι τὸν Γαληνὸν τοῖς ὑφ' ἡμῶν εἰρημένοις συμφωνοῦντα. ἐνταῦθα γοῦν ταυτόν φησιν ἐναργῶς οὕτως, ὡς ἂν μηδένα λαθεῖν.

Ἀλλὰ καὶ τὰ τῆς θερμασίας γνωρίσματα διαφερόντως αὐτοῖς ἔχει. —

Ὥσπερ ἐσημειοῦτο τὸν τριταῖον ἀπὸ τοῦ ποιοῦ καὶ τοῦ ποσοῦ τῆς θερμασίας, οὕτως καὶ τὸν τεταρταῖον. φησὶ γὰρ ὅτι τὸ δριμὺ καὶ διακαές, ὅπερ ὑπῆρχε τοῖς τριταίοις, οὐκ ἔστιν ἐπὶ τούτοις εὑρεῖν. ψυχρὸς γάρ ἐστιν ὁ τὸν τεταρταῖον ποιῶν χυμός.

---

1) παχύτερα A. celeriora G. 2) τεῦφραν G.

Καὶ εἰ σπλὴν μέγας εἴη καὶ ἄτακτοι πυρετοὶ προηγήσαντο. —

Τὴν μὲν αἰτίαν, δι' ἣν ἄτακτοι πυρετοὶ προηγοῦνται τοῦ τεταρταίου, φθάσαντες εἰρήκαμεν· ὁ δὲ σπλὴν γίνεται μέγας, ὅταν ὁ μελαγχολικὸς πλεονάσῃ χυμὸς τοσοῦτον, ὥστε καὶ τὸν σπλῆνα πολλὴν αὐτοῦ μοῖραν ἕλκοντα, καὶ αὐξανόμενον ὑπ' αὐτοῦ, ὅμως ἔτι καταλιμπάνειν ἐν τῷ σώματι πολὺ αὐτοῦ μέρος, ἐφ' ᾧ σηπομένῳ γίνεται ὁ τοιοῦτος πυρετός. καὶ μεθ' ἱδρῶτος παύεται, τοῦτο σημεῖόν ἐστι διακριτικὸν οὐ τεταρταίου ἀπὸ τριταίου. ἐδείξαμεν γὰρ καὶ ἐπ' ἐκείνων γίνεσθαι τὸν ἱδρῶτα, ἀλλὰ τεταρταίων πρὸς ἀμφημερινούς. ἐπὶ μὲν γὰρ τῶν ἀμφημερινῶν ἢ οὐδ' ὅλως γίνονται ἱδρῶτες, ἢ εἰ καὶ γένοιντο, σφόδρα ὀλίγοι. παχὺς γὰρ ὢν ὁ χυμὸς καὶ χολώδης, οὐ πέφυκεν ἀναλύεσθαι εἰς ἱδρῶτας. ὁ μέντοι ξανθοχολικὸς, ἅτε λεπτομερὴς ὢν, ῥᾳδίως ἀναλύεται, καὶ δεύτερος μετ' ἐκεῖνον ὁ μελαγχολικὸς, ἐπειδὴ τὸ ξηρὸν ἔχει 1) ἐμβαλλόμενον αὐτῷ εἰς τοῦτο. ἀμέλει τοι πολὺς μέν ἐστιν ἐπὶ τῶν τριταίων, ἥττων δὲ ἐπὶ τῶν τεταρταίων καὶ ἀμφημερινῶν.

Παυσαμένων δὲ τοῦ πυρέττειν, εἰ τὸ τοῦ πυρετοῦ σημεῖον ἔτι παραμένοι. —

Τεχνικώτατα ὁ συγγραφεὺς οὐδένα τῶν τοῦ παροξυσμοῦ καιρῶν παραλιμπάνει. λαμβάνει γοῦν τὰς σημειώσεις ἀπὸ τῆς ἀρχῆς, ζητῶν ἐν αὐτῇ τὸ ῥῖγος ὁποῖον ἐγένετο, ἀλλὰ καὶ ἀπὸ τῆς ἀναβάσεώς τε καὶ τῆς ἀκμῆς, τοὺς σφυγμοὺς εἰρηκὼς ἐν τούτοις εἶναι τοῖς καιροῖς πυκνοτέρους τε καὶ ταχυτέρους, ἀλλὰ μὴν καὶ ἀπὸ τῆς παρακμῆς μεθ' ἱδρῶτος αὐτοὺς ἀποφηνάμενος παύεσθαι. νῦν δὲ ἀπὸ τοῦ 2) διαλείμματος ἐπάγει διάγνωσιν. εἰ γὰρ παρείη αὐτοῖς, φησὶ, πυρεκτικὴ ἀνωμαλία, καὶ πεπαυμένη τοῦ πυρέττειν, 3) εἶεν ἂν οὗτοι τεταρταῖοι πυρετοί. ἀλλὰ τοῦτο μέν ἐστι κοινὸν τριταίοις τε καὶ τεταρταίοις καὶ ἀμφημερινοῖς. ἐκείνῳ δὲ μάλιστα δεῖ προ-

1) Fort. συμβαλ. 2) διαλύματος A. 3) οἷον A.

προσέχειν τὸν νοῦν, ὅτι οἱ 1) σφυγμοὶ ἐπὶ τούτων ἐν τῷ ὑγιαίνειν ὄντων, ὑπομένουσι 2) δὲ τοιοῦτον ἐκ τῆς τοῦ πλεονάζοντος χυμοῦ ποιότητος.

Ἀμφημερινὸν δὲ πυρετὸν τοῖσδ᾽ ἂν μάλιστα γνωρίσαις· ὑγροτέραν γὰρ εἶναι χρὴ τὴν θερμασίαν. —

Μετὰ τὴν τοῦ τριταίου καὶ τεταρταίου διάγνωσιν, ἑπόμενον λοιπόν ἐστι καὶ τὸν ἀμφημερινὸν εἰς μέσον ἀγαγόντας διαγνῶναι ἀκριβῶς. καὶ ἦν μὲν 3) ἕτοιμον εἰπεῖν, πάντα ἐπὶ τούτου τὰ ἐναντία δεῖ ζητεῖν τοῖς ἐπὶ τῶν τριταίων εἰρημένοις. εἴ γε 4) ἐκεῖνοι ἐπὶ θερμῷ καὶ ξηρῷ χυμῷ συνέβαινον, οὗτοι δὲ ἐπὶ τῷ φλέγματι, ψυχρῷ ὄντι καὶ ὑγρῷ. οὐδὲν δὲ ἄτοπον σαφοῦς ἕνεκα διδασκαλίας καὶ τὰ κατὰ μέρος προσθεῖναι τῆς μεθόδου ἐχόμενα, λέγω δὲ, τῶν τε κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν, τῶν τε προηγησαμένων καὶ τῶν παρόντων, ἅπερ κατὰ τὴν λέξιν ἐστὶν εὑρεῖν ἐναργῶς 5) ἐκτεθειμένα. χρὴ τοίνυν ἐπὶ τούτῳ εἶναι τὸ ποιὸν τῆς θερμασίας ὑγρότερον, μετά τινος δριμύτητος, ἀλλ᾽ ὑγρότερον μὲν * . . . 6) δριμύτερον δὲ διὰ τὴν προσγινομένην αὐτῇ σηπεδόνα.

Οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν εὐθὺς ὑποπιπτούσης, ἀλλ᾽ ἐγχρονιζούσης τῆς χειρός. —

Ἐπὶ τούτων γὰρ ἡ θερμασία διὰ τὸ πάχος τοῦ χυμοῦ κρύπτεται κατὰ τὸ βάθος καὶ οὐ διελέγχεται τῇ ἁφῇ, οἵα ἐστὶ κατὰ τὴν πρώτην προσβολήν. χρονιζούσης μέντοι τῆς χειρὸς, καὶ τῇ θερμότητι καὶ τῇ ὁμιλίᾳ τὸ σῶμα θερμαινούσης καὶ ἀραιούσης ἅμα τοὺς πόρους 7) καὶ τὴν ὕλην λεπτυνούσης, 8) * τῇτε ἐπαναδιδόσει τὴν ἑαυτῆς κακίαν.

Καπνώδη γὰρ θερμασίαν ἀτμῷ πολλῷ συμμιγῆ δόξαις.—

Ὥσπερ γὰρ ἐπὶ τῶν ὑγρῶν ξύλων ὁρῶμεν, ὅτι ταῦτα τῇ φλογὶ ἐπιβαλλόμενα πρῶτον καταπνίγει αὐτὴν, καὶ

---

1) χυμοὶ A. σφυγμοὶ in mg. χυμοὶ G. quod correxit. 2) δὴ G. conjecit. 3) ἔτυμον A. 4) ἐκείνοις A. 5) ἐκτεθειμένου A. 6) διὰ τὴν τοῦ χυμοῦ φύσιν add. G e conject. 7) κατὰ A. 8) reditione sua suam ipsius malitiam offendit G. Fort. τῇδε ἐπαναδώσει τὴν etc.

νικᾷν ἐθέλει μᾶλλον ἢ νικᾶσθαι· διὸ καὶ καπνὸς ἐξ αὐτῶν ἀναδίδοται, τοῦ πυρὸς οἷον καταπνιγομένου. οὕτως κἀπὶ τῶν ἀμφημερινῶν ἐστιν ἰδεῖν τὴν θερμασίαν τοιαύτην ὑπάρχουσαν, ὑπὸ τῆς πολλῆς ὑγρότητος οἷον καταβαπτιζομένου τοῦ ἐμφύτου θερμοῦ.

Ἀλλὰ καὶ οἱ σφυγμοὶ τούτοις μικρότεροι τῶν ἐν τεταρταίοις εἰσὶ πλέον ἢ ἐκεῖνοι. —

Ὃ βούλεται εἰπεῖν, τοῦτό ἐστιν, ὅτι οἱ μὲν τεταρταῖοι μικρότερον ἔχουσι τὸν σφυγμὸν τῶν τριταίων, οἱ δὲ ἀμφημερινοὶ τῶν τεταρταίων, 1) *[ἤ πως οἱ τεταρταῖοι τῶν τριταίων]. ὑποκείσθω γὰρ, εἰ τύχει, δύο δακτύλοις εἶναι τὸν σφυγμὸν ἐπὶ τῶν τεταρταίων μικρότερον τοῦ ἐπὶ τῶν τριταίων, εὑρεθήσεται ὁ* 2) *τοῦ ἀμφημερινοῦ τοῦ ἐπὶ τῶν τεταρταίων μικρότερος, οὐ δύο μόνοις, ἀλλὰ τρισὶν ἢ τέτρασι δακτύλοις, ὥστε καὶ ἐκ τούτων συνάγεσθαι τὸν τῶν ἀμφημερινῶν σφυγμὸν μικρότερον εἶναι τοῦ τῶν* 3) *τεταρταίων, *.... εἰ καὶ ψυχρός ἐστιν ὁ χυμὸς καὶ γεώδης, ἀλλ' οὐ πολὺς, ὥστε καταλῦσαι τὴν δύναμιν. ἐπὶ δὲ τῶν ἀμφημερινῶν, ἐπειδὴ καὶ ψυχρός ἐστι καὶ ὑγρὸς, καὶ μέντοι καὶ πολὺς τῷ τε ποσῷ καὶ τῷ ποιῷ καταβαπτίζων αὐτὴν, ἐξ ἀνάγκης μικρότερον ποιεῖ τὸν σφυγμόν.*

Ἀραιότεροι δ' αὖ πάλιν οἱ ἐν τοῖς ἀμφημερινοῖς τῶν ἐν τριταίοις. —

Ἀσαφῶς ἑρμηνεύεται τὸ χωρίον. ἡμεῖς δὲ αὐτὸ σαφηνίσομεν. ἀραιὸς μὲν γάρ ἐστιν ὁ σφυγμὸς ἐπί τε τῶν ἀμφημερινῶν καὶ τῶν τεταρταίων, ὡς πρὸς τριταῖον παραβαλλόμενος. ἀλλὰ πολλῷ μὲν μᾶλλόν ἐστιν ἀραιότερος ὁ τῶν τεταρταίων, ὀλίγον δὲ ὁ τῶν ἀμφημερινῶν. δύο γὰρ, εἰ τύχει, δακτύλοις τοῦ ἀμφημερινοῦ ἀραιοτέρου ὄντος τοῦ τῶν τριταίων, ὡς ἐπὶ τῶν τεταρταίων ἐστὶ δύο δακτύλοις καὶ αὖθις ἀραιότερος τοῦ τῶν ἀμφημερινῶν, ὡς πάλιν συνάγεσθαι τὸν τῶν τεταρταίων σφυγμὸν ἀραι-

---

1) Om. G. 2) *τὸν ἀμφημερινὸν* A. 3) *τριταίων* G. quinque profecto vel sex digitis. et hoc merito. add. G.

'ότερον εἶναι τοῦ τῶν τριταίων κατὰ τὴν παροῦσαν ὑπόθεσιν τέτρασι δακτύλοις. ἄμεινον δ' ἂν εἴη προσθεῖναι καὶ τὴν αἰτίαν. ἐπειδὴ γὰρ οἱ τεταρταῖοι τῶν ἀμφημερινῶν μείζονα τὸν σφυγμὸν ἔχουσι, διὰ τοῦτο ἡ φύσις ἀρκεσθεῖσα τῷ εἰσενεχθέντι ἀέρι, ὑπὸ τοῦ μεγέθους τῆς διαστοτῆς ἀραιότερον ἐποίησε τὸν σφυγμόν. ἐπὶ δὲ τῶν ἀμφημερινῶν, * 1) ὁ καὶ κατὰ τὸ μέγεθος καὶ πυκνότητα οἱ μὲν τεταρταῖοι τῶν ἀμφημερινῶν μείζονα μὲν τὸν σφυγμὸν ἔχουσιν, 2) ἀραιότερον δὲ, οἱ δ' ἀμφημερινοὶ τῶν τεταρταίων 3) μικρότερον μὲν, πυκνότερον δὲ τοσοῦτον, ὅσον τοῦτόν φησιν οἱ τῶν τεταρταίων, ἀλλὰ τῶν ἀμφημερινῶν· ἡ δὲ βραδύτης ἐπὶ ἀμφοτέρων ἐστὶν ἡ αὐτή.

Ἧττον δὲ διψώδης ὁ πυρετὸς οὗτος. —

Ὁ μὲν τριταῖος σφοδρὸν ἔχει τὸ δίψος, ἐπειδὴ τὰς δύο ποιότητας ἐκέκτητο τὰς συμβαλλομένας εἰς τὸ τοιοῦτον σύμπτωμα, θερμότητός φημι καὶ ξηρότητος. δεύτερος δὲ μετ' ἐκεῖνον ἐστὶ διψώδης ὁ τεταρταῖος, ἐπειδὴ καὶ ἡ ξηρότης αὐχμὸν ἐμποιοῦσα δίψαν οἶδ' ἐπάγειν, ὁ δὲ φλεγματικὸς οὐδὲν τοιοῦτον ἐκτήσατο σύμπτωμα.

Καὶ ἡ γλῶσσα καὶ τὸ σύμπαν σῶμα ξηρότατον μὲν ἐν τριταίοις, ὑγρότατον δ' ἐν τούτοις ἐστὶ τοῖς πυρετοῖς.—

Ἐπὶ τῶν ἀμφημερινῶν ἥ τε γλῶττα καὶ ὅλον τὸ σῶμά ἐστιν ὑγρότερα διὰ δύο αἰτίας, ὅτι τε πολὺ φλέγμα ἐκ τῶν προηγησαμένων ἁπάντων ἐπὶ τούτων πλεονάζει, καὶ ὅτι τοῦτο ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας 4) χεόμενον, ὅτι μάλιστα οἱ σμικρότεροι, ἐπὶ τῆς παιδικῆς ἡλικίας καὶ τῆς γεροντικῆς ὀφείλει ὁ τοιοῦτος μάλιστα γίνεσθαι πυρετός· ἀλλ' ἐπὶ μὲν τῆς γεροντικῆς, ἐπειδὴ τὸ φλέγμα ἀθροίζεται ἐν 5) αὐτῇ διὰ τὰς συνεχεῖς ἀπεψίας ὑπὸ τῆς ἀσθενοῦς γινομένης δυνάμεως· ἐπὶ δὲ τῆς παιδικῆς,

1) G. addi vullt: τοὔμπαλιν, ὥστ' ὅσον καὶ etc. 2) ἀραιότεροι A. δ' add. G. 3) μικρότεροι — πυκνότεροι A. G. τὸ δὲ τοσοῦτον ὅσον τούτων, φησὶν, οὐ τῶν τριταίων. G. Totus locus in codd. graec. valde est corruptus. 4) Verba male inter se cohaerent. Locus subaeratus. 5) τῇ A.

εἰ καὶ θερμοτέρα ἡ φύσις ἐστὶ καὶ ὑγροτέρα, ἀλλ' οὖν διὰ τὴν ἀδδηφαγίαν συνάγεται αὐτῇ ὠμότερα περιττώματα, ἐφ' οἷς σηπομένοις ὁ ἀμφημερινὸς γίνεται.

Καὶ λουτροῖς συνεχέσι καὶ μάλιστα τοῖς ἐπὶ τροφῇ. —

Τὰ γὰρ μετὰ τὴν τροφὴν βαλανεῖα, τὰ μὲν κατὰ τὴν ἐπιφάνειαν διαφορεῖ περιττώματα, τὸ δὲ ἐν τῇ γαστρὶ καὶ ἥπατι, κατέργαστον 1) αἴτιον ὂν, ἕλκει, τῆς τοῦ λουτροῦ θερμασίας τῷ τάχει τῆς ἀναδόσεως συντελούσης, κἀντεῦθεν ἡ τῶν 2) * ἡμῶν αὐτῶν γίνεται γένεσις. ἀμέλει τοι καὶ διὰ ταύτην τὴν αἰτίαν ἡμεῖς ἐπὶ τῶν ἔργων τῆς τέχνης, εἴ τινα βουληθείημεν ὑγραίνειν, μᾶλλον αὐτῷ τὰ ἑσπερινὰ λουτρὰ ἐπιτάττομεν.

Οὐ μὴν οὐδὲ παύουσι τὰς παρακμὰς τούτων τῶν πυρετῶν οἱ ἱδρῶτες. —

Ἐπὶ μὲν τῶν ἀμφημερινῶν, ἐπειδὴ πλῆθός ἐστι ἐν τῷ βάθει πολὺ τῆς σηπεδονώδους ὕλης, ἔστι δὲ καὶ κολλώδης ὁ τοιοῦτος χυμὸς, ἱδρῶτες μὲν οὐ γίνονται· μένοντα δὲ ἐν τῷ βάθει τὰ περιττώματα, τὸν δεύτερον αὖθις ἀνάπτει παροξυσμὸν, ὅθεν οὐκ ἔστιν ἐπ' αὐτῶν εὑρεῖν καθαρὸν διάλειμμα, οἷον ἐπὶ τριταίων τε καὶ τεταρταίων ὁρᾶται γινόμενον, ἐφ' ὧν ἱδρὼς πολὺς γεγονὼς τὸν ἤδη γεγονότα παροξυσμὸν ἔλυσεν.

Ὅθεν οὐδ' εἰς ἀπυρεξίαν ἔρχονται σαφῆ, πλὴν ὀλίγων δή τινων. —

Ἐφ' ὧν γάρ ἐστι τὸ φλέγμα ὀλίγον καὶ οὐδὲ παχὺ πάνυ, ἔστι δὲ καὶ 3) οὐ τοῦ σώματος ἕξις ἀραιοτέρα, ἐπὶ τούτων συμβαίνει καὶ ἱδρῶτας γενέσθαι καὶ καθαρὸν διάλειμμα. ὃ δὲ ἡμεῖς ἐν τοῖς τῆς τέχνης ἔργοις ἑωράκαμεν, 4) εἰπεῖν εἰρημένον ἤδη καὶ τοῖς παλαιοτέροις, ἐπ' αὐτῶν δὲ καὶ κατὰ τὸ σπάνιον ὅτι γίνεται πολλάκις ἀμφημερινὸς πυρετὸς ἐπὶ φλέγματι σηπομένῳ ἢ κατὰ τὴν γαστέρα ἢ κατὰ τὰ ἔντερα. καὶ παύεται ὁ τοιοῦτος

1) Fort. ἔτι. adhuc. G. 2) χυμῶν ὠμῶν G. succorum crudorum. 3) οὐ] Fort. ἡ. 4) Fort. add. δεῖ.

ἐντὸς τετάρτης ἢ πέμπτης ἡμέρας, κλυσμάτων μόνον κενωσάντων τὸ τοιούτου πυρετοῦ αἴτιον.

Τὰ δὲ οὖρα τὰ μὲν ἐπὶ προήκουσιν αὐτοῖς γιγνόμενα τοὺς καιροὺς τῆς ὅλης νόσου διδάσκει. —

Ἀνωτέρω ἔλεγεν, ὅτι μέγιστά ἐστι σημεῖα πυρετῶν οἵ τε σφυγμοὶ καὶ τὰ οὖρα. ἔν τε τῇ σημειώσει τῶν τριταίων καὶ τῶν τεταρταίων καὶ τῶν ἀμφημερινῶν οὐδαμοῦ τὴν ἀπὸ τῶν οὔρων παρείληφε διάγνωσιν. ἐνταῦθα γοῦν αὐτὴν ταύτην τάττει καί φησιν, ὅτι ταῦτα μὲν δύναται ἐνδείκνυσθαι καὶ τὸν τῆς καθόλου νόσου καιρὸν, οὐ μὴν ἀλλὰ τὸ εἶδος τοῦ πυρετοῦ· πλείονα μὲν ἄπεπτα 1) [εἰ] εἴη παντελῶς, τὴν ἀρχὴν ἐμφαίνει τοῦ νοσήματος· εἰ δὲ ἀμυδρὸν ἔχει πέψεως σημεῖον, τὴν ἀνάβασιν. εἰ δὲ ὑπόστασιν ἔχει λευκήν τε καὶ λεῖαν καὶ ὁμαλὴν, τὴν ἀκμήν. εἰ δὲ 2) τελειότητα ἔχει πέψεως, τὴν παρακμήν. ἀλλὰ ταύτην μὲν προϊόντος τοῦ χρόνου ἔστιν ἰδεῖν. κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς φαινόμενα δείκνυσιν ἡμῖν, ὁποῖός τίς ἐστιν ὁ προκείμενος πυρετός.

Τοῖς μὲν ἀμφημερινοῖς ἢ λεπτὰ καὶ λευκὰ ἢ παχέα καὶ θολερά. —

Λευκὰ μὲν καὶ λεπτὰ φαίνεται τὰ οὖρα διὰ τὰς ἐμφράξεις, ἐπειδὴ τὸ παχύτερον, μὴ δυνάμενον δι' οὔρων κενοῦσθαι, μόνῳ τῷ ὑδατώδει συγχωρεῖ διηθεῖσθαι. καὶ ἔστι τὰ τοιαῦτα οὖρα λεπτὰ μὲν διὰ τὴν ἔμφραξιν, λευκὰ δὲ διὰ τὸ τοῦ ὀῤῥώδους χυμοῦ χρῶμα. ἀεὶ δὲ ἡ δύναμις, ἐπικειμένη ταῖς ἐμφράξεσιν, ἐκφράξει τινὰ ἀγγεῖα, καὶ συνεκκρίνεται καί τινα τῶν παχέων ὑγρῶν τοῖς οὔροις, κἀντεῦθεν θολερὰ φαίνονται τὰ οὖρα καὶ παχέα, ἀλλὰ μὴν καὶ ἐρυθρά. τὸ γὰρ παχὺ τοῦτο ἐμπεφραγμένον πάντως ἐκκέκαυται ὑπὸ τῆς ἐν αὐτῷ γινομένης σήψεως.

Τοῖς δὲ τριταίοις ἢ πυῤῥὰ ἢ 3) ὑπόξανθα. —

Ἐπὶ δὲ τῶν τριταίων τὰ οὖρά ἐστι ξανθά τε καὶ ὑπόπυῤῥα, τῷ τοῦ ξανθοχολικοῦ χρώματι σύμφωνα.

---

1) εἰ addendum. 2) τελειότατα A. 3) ὑπόπυῤῥα Galen.

Τοῖς δὲ τεταρταίοις πολυειδῆ μὲν, ἀλλ᾽ ἄπεπτα πάντα.—

Ἐπὶ δὲ τῶν τεταρταίων ἄλλοτε μὲν ἄλλα ἔστιν εὑρεῖν, ἐπειδὴ ὁ τεταρταῖος αὐτὸς ἐκ διαφόρων ἔχει χυμῶν τὴν γένεσιν, ἢ τοῦ τρυγώδους αἵματος, ὡς εἰρήκαμεν, ἢ τῆς ξανθῆς χολῆς ὑπεροπτωμένης. ὁποῖα δ᾽ ἂν εἴη τὰ οὖρα, πάντως ἄπεπτά ἐστι. παραχρῆμα γὰρ ὁ χυμὸς οὐκ ἂν 1) ἥξοι ἐν τῇ ἀλλοιωτικῇ δυνάμει, παχύς τε ὢν καὶ δυσαλλοίωτος.

Τοὺς συνεχεῖς δ᾽ ἂν γνωρίζοις μάλιστα μὲν ἐκ τοῦ μηδὲν αὐτοῖς παρεῖναι σημεῖον, ὧν εἴπομεν. —

Παραδεδωκὼς τὴν τῶν διαλειπόντων πυρετῶν διάγνωσιν, βούλεται λοιπὸν καὶ τὴν τῶν συνεχῶν παραδοῦναι. ῥᾷστον μὲν οὖν αὐτοὺς γνωρίσαι, τῷ μηδὲν αὐτοῖς παρεῖναι τῶν σημείων, ἃ τοῖς διαλείπουσιν ἀκολουθεῖ. ταῦτα δέ ἐστι ῥῖγος, ἱδρῶτες, διάλειμμα καθαρόν. τούτων μὲν οὐδὲν τοῖς συνεχέσι πυρετοῖς ἐστιν εὑρεῖν συντρέχον, ὅμως καὶ διὰ σημείων ἄλλων τινῶν ἐνδέχεται τὴν τούτων φύσιν λαβεῖν, πρὸς τὸ μηδὲ τὸ μέγεθος αὐτῶν ἀνεπίσκεπτον καταλιπεῖν.

Καὶ εἰ μὴ παύοιτο δὲ τῶν τεττάρων καὶ εἴκοσιν ὡρῶν ἐντὸς ὁ πυρετός. —

Χρὴ γινώσκειν, ὁ μὲν τριταῖος οὐδέποτε τῶν δύο καὶ δέκα ὡρῶν ἔξω παρατείνει τὸν μερικὸν παροξυσμὸν, ὁ δὲ ἀμφημερινὸς τῶν ἑκκαίδεκα, ὁ δὲ τεταρταῖος τῶν εἰκοσιτεσσάρων. ταῦτα λέγομεν ἐπὶ τῶν γνησίων, ἐπεὶ πολλάκις ἐστὶν εὑρεῖν νόθον τριταῖον, καὶ τὴν εἰκοστὴν τετάρτην ὥραν ὑπερβαίνοντα· ἀλλ᾽ ἐπὶ τῶν γνησίων ἡμῖν ὁ λόγος γενέσθω. τούτων γὰρ ἐγνωσμένων, οὐδέν ἐστι χαλεπὸν καὶ τοὺς μὴ τοιούτους διαγινώσκειν. εἰ τοίνυν ὑπερβαίνει τὰς εἴκοσι τέσσαρας ὥρας κατέχων, πρὸς τῷ μηδὲν τῶν εἰρημένων ὑπάρχειν τοῖς διαλείπουσι παρεῖναι, 2) ἴσθι τὸν τοιοῦτον μὴ εἶναι διαλείποντα, ἀλλὰ συνεχῆ.

---

1) ἥξῃ A. 2) ἴσα A. scito G.

Εἰ δὲ καὶ ἀνώμαλον ποιήσαιτο τὴν αὔξησιν, οὗτος μέν γε καὶ πρὸς τοῖς ἄλλοις. —

Τοῦτο τὸ σημεῖον οὐχ ἁπλῶς συνεχῶν ἐστι γνώρισμα, ἀλλ' ὅτι ἐπὶ 1) πολὺν ἐκτανθήσεται χρόνον τὸ νόσημα. τὰ γὰρ τῆς αὐξήσεως τῶν τοιούτων πυρετῶν ἀνώμαλα, ἐπὶ χυμοῖς φιλεῖ διαφόροις καὶ ποικίλοις γίγνεσθαι, ἐφ' ὧν πλείονα χρόνον ἡ φύσις δηλονότι χρῆται εἰς ἀκριβῆ πέψιν τε καὶ κατεργασίαν.

Καὶ μὲν δὴ καὶ εἰ τὸ ἴδιον τῶν πυρετῶν σημεῖον ἐν τοῖς σφυγμοῖς ἐναργὲς ἔχοιεν. —

Τοῦτό φησιν οὐχ ὡς τῶν διαλειπόντων ἐστερημένων τῆς πυρεκτικῆς ἀνωμαλίας, ἀλλ' ὅτι ἐπὶ τούτων μάλιστα φαίνεται, διὰ τὸ μηδὲ διαπνεῖσθαι καθ' ἑκάστην ἡμέραν τὰ τοῦ παροξυσμοῦ αἴτια, ἀλλ' ἔνδον ἐν τῷ βάθει κεκρυμμένα ἐνοχλεῖν τε καὶ καταλύειν τὴν δύναμιν. ἀμέλει τοι καὶ πλείων ἐπὶ τούτων ὡσαύτως, φησὶ, 2) γίνεται ἀταξία τε καὶ ἀνωμαλία καὶ ἀρυθμία, 3) ἐπιδεικνύμενα δῆλον ὅτι συνεχὴς ὁ πυρετὸς, ἀλλὰ καὶ ὅτι μέγεθος ἀξιόλογον ἔχει.

Εἰ δὲ καὶ τοιοῦτοι μείναντες ἐν τῇ τρίτῃ τῶν ἡμερῶν. —

Τοῦτο τὸ σημεῖον οὐκέτι καθόλου πάντων ἐστὶ συνεχῶν γνώρισμα πυρετῶν, ἀλλὰ μόνον τῶν καύσων καὶ τούτων τῶν χρονίων. εἰ γὰρ ἐπὶ τούτων, διὰ τρίτης ἐπιπαροξυνόντων, πέψεως σημεῖον μήπω φανῇ, τὸν τοιοῦτον ἀνάγκη πυρετὸν εἰς χρόνου μῆκος ἐκταθῆναι.

Εἰ δὲ καὶ ἡ τετάρτη τῶν ἡμερῶν ὁμοία φαίνοιτο τῇ τρίτῃ. —

Ὁμοίαν φησὶν εἶναι τὴν τρίτην τῇ [τε] τετάρτῃ, οὐ κατὰ μέγεθος τοῦ παροξυσμοῦ. τοῦτο γὰρ ἐπὶ τῶν καύσων οὐ γίνεται, ἀλλὰ μᾶλλον ἡ πέμπτη τῆς τρίτης ἐστὶν ὁμοία, ὥστε οὐ κατὰ τὸν παροξυσμὸν τοῦτό φησιν, ἀλλὰ

---

1) *πολὺ* A. 2) *γίνεσθαι* A. 3) *ἐπιτεινομένων* ex emendat. A. *ἐπιδεικομ.* δὲ. *δηλονότι*] *οὐ μόνον* G.

καὶ κατὰ τὴν ἐν τοῖς διαχωρήμασί τε καὶ τοῖς οὔροις 1) ἀπεψίαν.

Καὶ ὁ πυρετὸς οἷον σμυχόμενος εἴη. —

Τουτέστι περὶ τὸ βάθος ἔχων, οὐδὲ ῥαδίως ὡς ἐκλάμπειν δυνάμενος περὶ τὴν ἐπιφάνειαν. τοῦτο δὲ γίνεται ὑπὸ τῆς τοῦ φλέγματος ἐπιμιξίας, ψυχροῦ τὴν φύσιν ὑπάρχοντος καὶ δυσεξάπτου καὶ μᾶλλον 2) ὑποτυφωμένου. διὸ καὶ χρόνιόν ἐστι δεομένης τῆς τοῦ χυμοῦ τοῦ τοιούτου παχύτητος πλειόνων ἡμερῶν 3) εἰς πέψιν.

Καὶ τὸ πρόσωπον ἥ τε σύμπασα τοῦ σώματος ἕξις. —

Καὶ τοῦτο γνώρισμα πλήθους ἐστὶ χυμῶν, καὶ πολυχρονίου πυρετοῦ σημεῖον. γίνεται δὲ ἐπὶ τούτων τὸ ὅλον σῶμα οὐκ ἰσχνὸν πρὸς τὴν τοῦ πυρετοῦ ἀναλογίαν, ἀλλὰ μᾶλλον ὀγκώμενον, τῷ τοὺς πάλαι οἷον πεπηγότας χυμοὺς νῦν ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας χεομένους καὶ ἀναλυομένους εἰς πνεύματα πλείονα τόπον ἐπιλαμβάνειν καὶ τὸ ὅλον διαιρεῖν σῶμα.

Ἐν μὲν οὖν τοῖς διαλείπουσιν ὀξύτατός τε ἅμα καὶ ἐπιεικέστατος ὁ τριταῖος. —

Ὀξύτατος μέν ἐστιν ὁ τοιοῦτος πυρετὸς διὰ τὴν λεπτομέρειαν τῆς ἐργαζομένης αὐτὸν ὕλης, ἑτοιμότατα δυναμένης πεφθῆναι καὶ λεπτυνθῆναι· ὅτι δὲ ὀξύτατος, καὶ ἐπιεικέστατός ἐστιν· οὐδὲ γὰρ φθάνει καταλῦσαι τὴν δύναμιν αὐτῆς, θᾶττον ἀφιστάμενος, ἄλλως τε καὶ ὡς πολλάκις εἰρήκαμεν κουφότατος ὤν, οὐ βαρύνει αὐτήν.

Μακρότατος δὲ καὶ ἀκίνδυνος ὅσον ἐφ᾽ ἑαυτῷ ὁ τεταρταῖος. —

Μακρότατος δὲ διὰ τὸ πάχος τοῦ μελαγχολικοῦ χυμοῦ, πλείονος εἰς πέψιν δεομένου χρόνου· ἀκίνδυνον δὲ διὰ τὸ μῆκος τὸ τῶν διαλειμμάτων. μίαν γὰρ ἡμέραν ἐν τῷ πυρετῷ καμοῦσα ἡ φύσις, τὰς λοιπὰς δύο ἀναπαύει

---

1) εὐπεψίαν A. 2) ὑποτυφώμενα et postea ὀγκώμενα saepius 3) ἡ πέψις A.

τε καὶ τὸν οἰκεῖον ἀνακτᾶται τόνον. καλῶς δὲ προσέθηκε τῇ λέξει τὸ, ὅσον ἐφ᾽ ἑαυτῷ. συμβαίνει γὰρ ἐνίοτε 1) τὸν χρόνον ἀποκαμεῖν τὴν δύναμιν· ἄλλως τε ἐν τοῖς χρονίοις νοσήμασιν ὡς τὰ πολλὰ οἱ κάμνοντες πλημελοῦσι περὶ τὴν δίαιταν, 2) ἀπολιγωρήσαντες πρὸς τὴν ὑπὸ ἰατρῶν ἐπιταττομένην αὐτοῖς ἀκρίβειαν. κἀκ τῆς τοιαύτης πλημελείας εἰκός ἐστι κίνδυνον οὐ σμικρὸν ἀκολουθῆσαι, οἷον οὐκ ἂν λέγοιτο γίνεσθαι κατὰ τοῦ τεταρταίου φύσιν, ἀλλὰ κατά τι τῶν ἔξωθεν αὐτῷ κατὰ τύχην συμβεβηκότων.

Ὁ δὲ ἀμφημερινὸς μακρὸς καὶ οὐκ ἀκίνδυνος. —

Εἰκότως μακρὸς μέν ἐστιν, ὅτι καὶ τὸ φλέγμα παχὺ καὶ δυσδιαφόρητον ἐφ᾽ ᾧ γίνεται, οὐκ ἀκίνδυνον δὲ, ὅτι, τῆς συνεχείας τῶν παροξυσμῶν μηδεμίαν ἡμέραν τελείαν διδούσης ἀνάπαυσιν τῇ δυνάμει, κίνδυνον ἀπειλεῖ φθορᾶς. καθ᾽ ἑκάστην γὰρ ὁ τοιοῦτος εἰσβάλλων ἀνακωχὴν ἀρκοῦσαν οὐ παρέχει 3) τὴν φύσιν, ἀλλὰ καὶ ὅτι τὸ στόμα τῆς γαστρὸς ἐπὶ τούτων πεπονθὸς, συνεχεῖς ἀπειλεῖ συγκοπάς. εἰ δὲ πρὸς τοῖς εἰρημένοις οὐδὲ παύεται ταχέως, ἀλλὰ εἰς χρόνου μῆκος ἐκτείνεται, εἰκότως ἐξ ἁπάντων τούτων ἔχει τὸ ἐπικίνδυνον.

Τοῦτο μὲν δὴ κοινὸν ἁπάντων ἐστὶ πυρετῶν. —

Φησὶ δ᾽ ἁπάντων τῶν πυρετῶν τόδ᾽ εἶναι τὸ λεπτότατον τῆς διαίτης εἰς τὸν τῆς ἀκμῆς ἀποτίθεσθαι χρόνον.

Οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, διοριζέσθω σοι κατ᾽ ἀρχάς. —

Τὴν διαίρεσιν ἀνωτέρω εἰρήκαμεν, ὅτι τῶν πυρετῶν οἱ μὲν ἐπὶ πνεύμασιν, οἱ δὲ ἐπὶ ὑγροῖς, οἱ δὲ ἐπὶ στερεοῖς, καὶ τῶν ἐπὶ χυμοῖς, οἱ μὲν χωρὶς συμπτωμάτων, οἱ δὲ μετὰ συμπτωμάτων, καὶ τούτων οἱ μὲν συνεχεῖς, οἱ δὲ διαλείποντες, νῦν ὕστερόν τι βούλεται προσθεὶς τελειοτάτην αὐτὴν ποιήσασθαι. ὥσπερ γὰρ οὐδὲν τῶν ὄντων ἐκφεύγει τὴν τοῦ νοθεύεσθαι φύσιν, κατ᾽ εἶδος λέγω·

1) Fort. τῷ χρόνῳ. 2) ἀποολιρήσαντες A. 3) Fort. τῇ φύσει.

κἂν γὰρ μὴ πάντα τὰ κατὰ μέρος νοθεύηται, ἀλλ' οὖν οὐκ ἐνδέχεται πάντως τὸ εἶδος μὴ εὑρεθῆναί τι νοθευόμενον. οὕτως εἰ τύχει δύο ἐναντίων ὄντων τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος, ἑκάτερον νοθεύεται τῇ τοῦ ἑτέρου ἐπιμιξίᾳ καὶ ἔστιν εὑρεῖν ἀκριβὲς λευκὸν, καὶ ἕτερον λευκὸν, οὐκ ἀκριβὲς δὲ, τῷ μεμίχθαι αὐτῷ μοῖράν τινα τοῦ μέλανος μετρίαν, ἥτις διὰ βραχύτητα λανθάνει τὴν αἴσθησιν. οὕτω δὴ κἀπὶ τῶν ἄλλων ἁπάντων ἔχει. ὥσπερ οὖν ἐπὶ τούτων εἰρήκαμεν, οὕτω κἀν τοῖς πυρετοῖς ὁρᾶται γινόμενον. ἀκριβεῖς μὲν γὰρ λέγονται καὶ γνήσιοι πυρετοὶ καὶ ἀμιγεῖς. ὅσοι δέ τινα οὐσίαν ἔχουσιν ἀλλοιοτέραν ἐπιμεμιγμένην, οὗτοι νόθοι εἰσί. καὶ χρὴ διὰ πολλοῦ πεποιῆσθαι τὴν τούτων διάγνωσιν, εἰδότας ὅτι τὸ τῆς θεραπείας διάφορον οὐκ ἔστιν ὀλίγον.

Ὁ μὲν γὰρ ἀκριβὴς τριταῖος τὸ μακρότατον ἐν ἑπτὰ περιόδοις κρίνεται. —

Τοῦτο διέταξεν Ἱπποκράτης. οὕτως ἡ τῶν πραγμάτων ἔχει ἀλήθεια. τῶν γὰρ ἀκριβῶς τριταίων ἔσχατος ὅρος ἐστὶν ἡ τεσσαρεσκαιδεκάτη ἡμέρα. καὶ ἐσωτέρω μὲν ταύτης ἐνδέχεται κριθῆναι τὸν τριταῖον, ἐξωτέρω δὲ προβαίνειν ἀδύνατον 1) ἀκριβὲς καὶ γνήσιον. ὅτι δὲ ἡ τῶν ἑπτὰ περιόδων συνδρομὴ τεσσαρεσκαίδεκα μόνας ἡμέρας ἀποτελεῖ, ἔξεστι γνῶναι λογισαμένῳ τὰς περιόδους. ἔστι γὰρ ἡ μὲν πρώτη περίοδος τρίτη τῶν ἡμερῶν· ἡ δὲ δευτέρα, πέμπτη· ἡ δὲ τρίτη, ἑβδόμη· ἡ δὲ τετάρτη, ἡ ἐννάτη· ἡ δὲ πέμπτη, ἡ ἑνδεκάτη· ἡ δὲ ἕκτη, ἡ τρισκαιδεκάτη, καὶ παρέσται ἡ τεσσαρεσκαιδεκάτη, τὸ λοιπὸν τῆς ἑβδόμης οὖσα περιόδου.

Σπλήν τε μέγιστος ἐξήρθη καὶ ὑποχόνδριον διεφυσᾶτο.—

Τοῦτο συνέβαινε γίνεσθαι διὰ τὰς συνεχεῖς ἀπεψίας, ἐξ ὧν ὁσημέραι τικτομένου φλέγματος, καὶ εἰς πνεύματα ἀναλυομένου παχέα, ὅ τε σπλὴν ηὔξετο καὶ τὸ ὅλον δὲ σῶμα τοιοῦτον ἦν.

Καί τις ἤδη καὶ ὕποιδος ἦν ἄχροια περί τε τὸ πρόσωπον καὶ οὐχ ἥκιστα τοῖς σκέλεσιν. —

---

1) Fort. ἀκριβῆ sc. τριταῖον.

Ἄχροια μὲν, διὰ τὸ μηκέτι τὸν αἱματικὸν ἐπανθεῖν χυμὸν, βαπτομένου τοῦ χρώματος αὐτῶν ὑπὸ τῆς τοῦ φλέγματος ἐπιμιξίας· ὕποιδος δὲ, διὰ τὴν τῶν φυσωδῶν καὶ παχέων πνευμάτων περιουσίαν, ἅπερ ἐγένετο μὲν καὶ κατὰ τὸ σύμπαν σῶμα, μάλιστα δὲ διεφαίνετο περί τε τὸ πρόσωπον καὶ τὰ σκέλη, ἀλλὰ περὶ μὲν τὸ πρόσωπον, διὰ τὸ τοῦ μορίου ἀσαρκότερον· περὶ δὲ τὰ σκέλη, τινὲς μὲν ἐπεχείρησαν εἰπεῖν, ὅτι συγγένειαν ἔχουσι ταῦτα πρὸς τὰ ὑποχόνδρια, ὡς δηλοῖ 1) τῶν ἐπὶ τῶν ὑδερικῶν παρεγχύσεων ταῦτα οἰδίσκεσθαι. κἀνταῦθα τοίνυν φασὶ, τῶν ὑποχονδρίων διαφυσωμένων, οἰδαίνει. ἡμεῖς δὲ λέγομεν, ὅτι τὰ σκέλη ὡς ἀτιμότερα ὄντα καὶ πόῤῥω τοῦ ἐμφύτου τὴν θέσιν ἔχοντα τὰς ἑαυτῶν δυνάμεις οὐ πάνυ τι ἐῤῥωμένας ἔχει. καὶ συμβαίνει μὲν τηνικαῦτα τὸ ὅλον σῶμα πάσχειν, ἐξαιρέτως ταῦτα, διὰ τὴν φυσικὴν αὐτῶν ἀσθένειαν, ὡς καὶ τὸ λόγῳ τροφῆς εἰς αὐτὰ φερόμενον 2) ἀναπτεῖσθαί τε καὶ εἰς πνεύματα μεταβαλλόμενον καὶ ἐξαίρει αὐτά. ἀλλά τινες ζητοῦσι, τί δήποτε μὴ κἀπὶ τῶν χειρῶν τὸ αὐτὸ τοῦτο συμβαίνει, εἴ γε καὶ αὗται τοῖς σκέλεσίν εἰσιν ὁμογενεῖς. κῶλα γάρ εἰσιν οἵ τε πόδες καὶ χεῖρες. καὶ λέγομεν ὅτι αἱ χεῖρες ὡς γειτνιάζουσαι τῇ καρδίᾳ, θερμαίνονται ὑπ᾽ αὐτῆς, καὶ διὰ τοῦτο τὸ τοιοῦτον οὐχ ὑπομένουσι σύμπτωμα.

Ὥστε δεῖσαί τε ἡμᾶς ἀμφὶ τῷ μειρακίῳ καὶ δεηθῆναι μειζόνων βοηθημάτων. —

Ἐφοβήθημέν φησιν ἐπὶ τοῦ τοιοῦτον πυρέξαντος πυρετὸν, μήπως εἰς ὕδερον αὐτῷ μεταπέσῃ τὸ πάθος, τῆς τοῦ παντὸς κράσεως σώματος αὐτῷ καταψυχομένης, καὶ τῆς δυνάμεως ὑπὸ τοῦ μήκους τοῦ πυρετοῦ καταβαλλομένης.

Ἦν μὲν δὴ τοῦ ἔτους τὸ μεταξὺ Πλειάδων τε δύσεως καὶ τῆς προγεγενημένης ἰσημερίας. —

Ἐνταῦθα εἰς μέσον φέρει τὴν τοῦ μειρακίου διήγησιν τοῦ τὸν νόθον τριταῖον πυρέξαντος, ἵνα δι᾽ αὐτοῦ τό τε

1) Fort. τὸ. 2) ut inconcoctum relinquetur G. ἀπεπτεῖσθαι.

πρᾶγμα διδάξῃ, καὶ τὴν διδασκαλίαν σαφεστέραν ποιήσηται. χρὴ εἰδέναι ὅτι ἰσημερίαι εἰσὶ δύο, ἡ μὲν κατὰ τὸ ἔαρ, ἡ δὲ κατὰ τὸ φθινόπωρον γινομένη. ἐνταῦθα τοίνυν κατὰ τὸ φθινόπωρον γεγενημένην φησὶ, προγεγενημένην δὲ αὐτὴν εἶπεν ὡς πρὸς τὴν τῶν πλειάδων δύσιν. ἀλλ' ἵνα μὴ εἰς μακρὸν ἐκτρεπώμεθα λόγον, ζητοῦντες, τί μέν εἰσι πλειάδες, ποία δὲ αὐτῶν ἡ δύσις, ποία δὲ ἀνατολὴ, καὶ ταύτῃ τοὺς ἀκροωμένους συγχέωμεν, τοσοῦτον εἰπόντες μεταβῶμεν ἐπὶ τὸ προκείμενον, ὅτι ὁ πυρετὸς οὗτος ἤρξατο περὶ τὰ μέσα τοῦ φθινοπώρου, ὥστε τέως ἀπὸ τῆς ὥρας τοῦ ἔτους νοθεύεσθαι. ἔδει γὰρ αὐτὸν, εἴπερ ἔμελλεν εἶναι γνήσιος, ἐν θέρει πεποιῆσθαι τὴν ἀρχήν.

Ἤρξατο δὲ μετὰ φρίκης ὁ πυρετὸς τῷ μειρακίῳ. —

Καὶ τοῦτο σημεῖον τοῦ νόθον εἶναι τὸν τριταῖον, τοῖς μὲν ἀκριβέσι τριταίοις ῥίγους ἰσχυροῦ συνόντος ἀεὶ, τοῖς δὲ ἀμφημερινοῖς περιψύξεως, ὧν ἀμφοτέρων μέση ἐστὶν ἡ φρίκη.

Περὶ αὐτὴν σχεδὸν τὴν ἕω, ὥστε μήτε τῇ θερμασίᾳ τριταίῳ τι δόξαι ἐοικέναι. —

Κἀντεῦθεν νοθεύεται. ἔδει γὰρ αὐτὸν, γνήσιον ὄντα, κατὰ τὸ μέσον τῆς ἡμέρας εἰσβάλλειν, ὅτε κατὰ κορυφὴν ἡμῶν ὁ ἥλιος ὑπάρχων, ἐκθερμαίνῃ τὰ τῇδε καὶ τὸν τοιοῦτον ἀπογεννᾷ χυμὸν, ὑφ' οὗ γνήσιος πέφυκε γίνεσθαι τριταῖος. ἦν δὲ κατάδηλος αὐτοῦ καὶ ἡ θερμασία, μὴ τοσοῦτον ἔχουσα τὸ πυρῶδες καὶ δριμὺ, ὥσπερ οἱ γνήσιοι αὐτὸ ἔχουσιν. ἀλλ' οὐδὲ ὁ σφυγμὸς 1) τούτων μέγιστος καὶ παχύτατος καὶ πυκνότατος, ὡς τοῖς ἀκριβέσι τριταίοις, ἀλλὰ πάντα μὲν μειώμενα ἔχων τῇ τοῦ φλέγματος ἐπιμιξίᾳ, ὥστε οὐδὲ χολὴ ἐπὶ τούτου ἐμεῖται, διὰ τὸ μηδὲ μόνην χολὴν πλεονάζειν, ἀλλὰ σὺν τῷ φλέγματι ἱδρῶτες μὲν, βραχεῖς δὲ ἐγένοντο, οὐ μὴν τοσοῦτοι, ὅσοι ἐπὶ τῶν εἰλικρινῶν τριταίων.

---

1) huic G. τούτῳ.

Τῆς γὰρ ἐπιούσης νυκτὸς ὀλίγον πρὸ τῆς ἡμέρας νοτίδες ἐγίγνοντο. —

Ἐκ τούτων δὲ δῆλον ὅτι ὁ μὲν πρῶτος παροξυσμὸς γέγονεν ὡρῶν τριάκοντα ἑπτά· ὁ δὲ δεύτερος, ὡρῶν εἴκοσι τεσσάρων. ἔδει δέ γε, 1) ὡς ἔφην, ὑπεργνήσιος τριταῖος, ὡς ἀνωτέρω εἰρήκαμεν, ἐξωτέρω τῆς δύο καὶ δεκάτης ὥρας μὴ προβῆναι τοῦτον τὸν παροξυσμὸν, τοῦ 2) δευτέρου γενέσθαι χρονιώτερον, ἢ ὅτι πλείων ἔτυχὲν οὖσα ἐπὶ τούτου ἡ ὕλη, ἢ ὅτι τὸ μειράκιον ἐπλημμέλησέ τι ἢ ἐν αὐτῷ τῷ πυρετῷ, ὡς μήπω τῆς φύσεως αὐτοῦ ἐγνωσμένης ἢ καὶ πρὸ τοῦ πυρετοῦ.

Ἦν δὲ τὸ μειράκιον ἡλικίᾳ μὲν ἀμφὶ τὰ ὀκτωκαίδεκα ἔτη. —

Ἐνταῦθα δείκνυσιν, ὅτι ἀπὸ τῆς κράσεως καὶ ἀπὸ τῆς ἡλικίας καὶ ἀπὸ τῆς ἄλλης διαγωγῆς τῷ τοιούτῳ μειρακίῳ ὁ φλεγματικὸς ἐπλεόναζε χυμός. καὶ ἀποροῦσί τινες λέγοντες, τί δήποτε μὴ 3) δεῖν ταῦτα ἢ μᾶλλον ὑπολαμβάνειν νόθον ἀμφημερινὸν, καὶ οὐχὶ νόθον τριταῖον; καὶ λέγομεν, ὅτι κωλύει τὸ διὰ τρίτης εἰσβεβληκέναι τὸν παροξυσμὸν, ὡς εἴ γε καθ' ἑκάστην ἡμέραν εἰσέβαλεν, ὑπελάβομεν ἂν μᾶλλον ἔχειν τὸ κῦρος τὸν ἀμφημερινὸν ἤπερ τὸν τριταῖον.

Συνεισέβαλλε δὲ αὐτῷ καὶ ὁ σφυγμὸς σκληρός. —

Τοῦτο μάλιστα ἐγένετο ὑπὸ τῆς τοῦ χυμοῦ ψύξεως, τῇ τοιαύτῃ ποιότητι πηγνυούσης τὸ τῆς ἀρτηρίας σῶμα, καὶ σκληρὸν ἐργαζομένης τὸν σφυγμόν. ἀμέλει περὶ μὲν τὴν πρώτην καὶ δευτέραν ἡμέραν, ἐπειδὴ οὔπω κινηθεὶς ἦν ὁ τοιοῦτος χυμὸς, ὀλίγῳ τινὶ σκληρὸς ἦν ὁ σφυγμός· ὕστερον δὲ λυθέντος αὐτοῦ καὶ χυθέντος ὑπὸ τῆς πυρετοῦ θερμασίας, σκληρότερος ὁ σφυγμὸς ἐγένετο. ἔστι δὲ εἰπεῖν, ὅτι καὶ ἀπὸ τῆς τῶν ὑποχονδρίων διατάσεως ἔσχε τὸ σκληρόν τε καὶ τεταμένον.

---

1) ὡς ἔφην om. G. Fort. εἰ ἦν. 2) Contigit autem G. Fort. om. δέ. 3) δεῖ ταύτῃ G.

Καὶ τοιοῦτος παρέμενεν ἄχρι τῆς κατὰ τὸ ἔαρ ἰσημερίας. —

Ἐνταῦθα δὲ λοιπὸν ἤρξατο μαλάττεσθαι, καὶ ἐπὶ τὴν τοῦ νοσήματος ἀνάβασιν ἰέναι. καὶ μείνας κατὰ τὴν ἀνάβασιν τεσσαράκοντα ἡμέρας ἀπηλλάγη τοῦ πυρετοῦ οὐ κριτικῶς· οὐδὲ γὰρ ἀθρόως, ἢ ἀγωνιστικῶς 1) ἐλύθη τὸ νόσημα, ἀλλὰ κατὰ βραχὺ συνεπέφθη, ὡς ἐκ τῶν σημείων ἐνῆν μαθεῖν. οἵ τε γὰρ σφυγμοὶ ἐνηλλάττοντο, καὶ ὁ παροξυσμὸς μετριώτερος ἐγένετο, καὶ πέψεως ἐν τοῖς οὔροις ἐφαίνετο χρηστὰ σημεῖα, καὶ ὑπόστασις λευκὴ καὶ λεία καὶ ὁμαλή.

Τοιοῦτος ὁ ἐναντιώτατος τῷ ἀκριβεῖ τριταίῳ. —

Ἐναντιώτατόν φησι τὸν γνήσιον καὶ νόθον. 2) ἐπεὶ τῷ τριταίῳ γνήσιος ἀμφημερινός ἐστιν ἐναντιώτατος, ὡς ἂν τοῦ μὲν ὑπὸ χυμοῦ θερμοῦ καὶ ξηροῦ γινομένου, τοῦ δὲ ὑπὸ φλέγματος, ψυχρὰν καὶ ὑγρὰν ἔχοντος τὴν φύσιν. ἀλλὰ νῦν τὸν ὑφηγημένον πυρετόν φησιν ὡς νόθον ἐναντιώτατον εἶναι τῷ ἀκριβεῖ τριταίῳ, πολλῶν ἄλλων δηλονότι νόθων ὑπαρχόντων, παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον τῆς τοῦ φλέγματος ἐπιμιξίας, καὶ 3) τούτων οὖν πάντων μάλιστα τῶν νενοθευμένων.

Οὐκοῦν οὐδὲ χρόνιοι ὁμοίως τεταρταίῳ καὶ ἀμφημερινῷ οἱ οὐκ ἀκριβεῖς. —

Ὁ μὲν τριταῖος νοθευόμενος χρονιώτερος γίνεται, τεταρταῖος δὲ καὶ ἀμφημερινὸς οὐχ οὕτως, ἀλλὰ ὅσον νοθεύεται, τοσοῦτον καὶ τὸ τοῦ χρόνου μῆκος ἐπὶ τούτων μειοῦται. καὶ τοῦτο εἰκότως. ὁ μὲν γὰρ τριταῖος ἐπὶ ξανθῆς χολῆς λεπτομεροῦς γινόμενος νοθεύεται δηλονότι παχυμεροῦς ταύτης γινομένης. ὑπὲρ δὲ τῶν τεταρταίων καὶ τῶν ἀμφημερινῶν, ἐπειδὴ φύσει παχεῖά ἐστιν ἡ ὕλη, εἰ μέλλει νοθεύεσθαι· νοθεύεται γὰρ ὑπὸ χολῆς λεπτομεροῦς ἐπιμιξίας, κἀντεῦθεν οὐδὲ τοσαύτης δεομένης πέψεως, εἰς ὀλίγον ἐξ ἀνάγκης παρατείνει χρόνον.

Ταῦτα μὲν ἐν τοῖς κατὰ περίοδον πυρέττουσι σκοπεῖσθαι. —

1) λέλυθε A. 2) ἐπὶ A. γνησίῳ add. G. 3) Fort. τοῦτον.

Ἐπὶ τῶν ἄλλων διαλειπόντων φησὶ τὰ εἰρημένα σημεῖα τὸν τῆς ἐκβάσεως προμαντεύεσθαι καιρὸν, οἷον εἰ τὸ ῥῖγος ἐπὶ τριταίῳ κλονῶδες, ὀλιγοχρόνιος ὁ τοιοῦτος πυρετός· εἰ μὴ κλονῶδες, ἀλλὰ μᾶλλον φρικῶδες, πολυχρόνιος, κἀπὶ τῶν ἄλλων κατὰ τὸν αὐτὸν τρόπον. ἐπὶ δὲ τῶν συνεχῶν, τούτους γάρ φησιν ἄλλους πυρετοὺς, ἐπειδὴ ῥῖγος οὐκ ἔστιν οὐδ' ἱδρῶτες οὐδὲ διάλειμμα, πόθεν σκοπήσω τὸ μῆκος τοῦ χρόνου; ἐπὶ τούτων δεῖ προσέχειν τοῖς οὔροις καὶ τοῖς διαχωρήμασι, καὶ ταῖς περὶ ταῦτα πέψεσιν, ἢ θᾶττον ἢ βραδύτερον φαινομέναις. εἰ μὲν γὰρ φαίνοιντο θᾶττον, ὀξύτερον ἔσται τὸ νόσημα. εἰ δὲ βραδύτερον, χρονιώτερον. ἐπισκοπεῖν δὲ καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος, εἰ ἀραιόν ἐστι καὶ πυκνόν. τὰ μὲν γὰρ πυκνὰ μονιμωτέρους οἶδε ποιεῖν τοὺς πυρετοὺς, 1) τῷ στέγειν ἐν ἑαυτοῖς τὰ τούτων αἴτια, τὰ δὲ ἀραιὰ τοὐναντίον. χρὴ δὲ προσέχειν καὶ τῇ θερμασίᾳ. εἰ μὲν γὰρ πολλὴ καὶ εὐκίνητος, ὀξὺ τὸ νόσημα· εἰ δ' οἷον ὑποτυφωμένη καὶ δυσκίνητος, χρόνιος. προστίθει δὲ τούτοις καὶ τὰ ἀπὸ τῶν σφυγμῶν καὶ τῶν στοιχείων ἁπάντων. ὥρᾳ μὲν γὰρ θέρους εἰσβάλλοντος τοῦ πυρετοῦ, δεῖ προσδοκᾷν καὶ ταχεῖαν ἀπαλλαγήν· φθινοπώρου δὲ ἢ χειμῶνος, μακρὰν καὶ τῶν ἄλλων ὁμοίως.

Παρῆνηται μὲν οὖν, ὡς ἄν τινι δόξῃ τὸ πᾶν, οὐ μὴν πρός γε τὴν ἀλήθειαν ὧδ' ἔχει. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι δύναται μὲν καὶ τὰ εἰρημένα προαγορεῦσαι τὴν τοῦ νοσήματος 2) ἔκβασιν, ἅμα καὶ τὸν χρόνον. ἀλλὰ καὶ τὸ πάντων τούτων κεφαλαιωδέστερον οὔπω εἰρήκαμεν, πρᾶγμα ῥηθῆναι μὲν εὐκόλως δυνάμενον, γνωσθῆναι δὲ καὶ κατορθωθῆναι πολυχρονίου καὶ μακρᾶς πείρας δεόμενον, τὴν ποσότητα λέγω. δεῖ γὰρ σκοπεῖν οὐ μόνον τὸ τοῦ νοσήματος εἶδος, ἀλλὰ καὶ τὸ ποσόν. ἐκ γὰρ τούτου δυνησόμεθα μανθάνειν, εἴτε σωτήριον 3) τοῦ νοσήματος, εἴτε ὀλέθριον. μικροῦ γὰρ ὄντος τοῦ νοσήματος, ὁ κάμνων σωθήσεται· μεγάλου δὲ, τεθνήσεται. ἀλλὰ καὶ τούτων ἑκάτερον ὁπότε

---

1) τὸ A. 2) ἔνβασιν A. 3) Fort. τὸ νόσημα.

γενήσεται, ἐξ οὐδενὸς ἄλλου μαθεῖν ἐστιν ἢ ἐκ τῆς περὶ τὸ ποσὸν ἀκριβοῦς γνώσεως. οὐκοῦν χρὴ τὴν δύναμιν ἀεὶ τῷ νοσήματι ἀντεξετάζειν καὶ σκοπεῖν ὁπότερον . . . . 1) εἰ μὲν γὰρ ἡ δύναμις ἀσθενὴς, ἐκ τούτου στοχαζομένους ἡμᾶς δεῖ προλέγειν, ὅτι οὐ δύναται ἀντισχεῖν ἄχρι τῆς ἀκμῆς, ἀλλὰ ἀπαυδήσασα πρὸς τὴν τοῦ νοσήματος ἰσχὺν ἀπολείπεται· εἰ δὲ τοὐναντίον αὐτὴ μὲν εἴη εὔρωστος, τὸ δὲ νόσημα ἀσθενὲς, δυνήσεται διατελέσαι καὶ διαρκέσαι πρὸς τὸν ἀγῶνα καὶ περιγενομένη καὶ ἑαυτὴν σῶσαι καὶ τὸν ἄνθρωπον.

Οὐ μικρᾶς δεῖται τοῦτο τριβῆς τά τ᾽ ἄλλα καὶ τῷ μήτε γραφῆναι μήθ᾽ ὅλως διδαχθῆναι λόγῳ δύνασθαι τὸ ποσὸν ἑκάστου. —

Ἡ περὶ τὸ ποσὸν θεωρία, φησὶ, πολλῆς καὶ συνεχοῦς δεῖται μελέτης ἐν τῇ τοῖς ἔργοις τῆς τέχνης τριβῇ, ὡς ἂν καὶ διὰ ταύτης μόνης κατορθοῦσθαι δυναμένης, καὶ τῷ λόγῳ ἀδυνάτως ἑρμηνευθῆναι· καὶ μέντοι ὅτι καὶ χρήσιμός ἐστιν, εἰς ἃ εἰρήκαμεν. τοῦτο γάρ ἐστιν, ὅ φησι, τά τ᾽ ἄλλα, ἢ ὅτι κατὰ τὴν ἑαυτῆς φύσιν ἐστὶ δυσχερὴς, ὥστε 2) προτρεπτικόν ἐστι τῷ τοιούτῳ οὐδενὶ, εἰς τὸ ποσὸν τρίβεσθαι διὰ τὸ χρήσιμον τὸ ἑαυτοῦ, καὶ τὸ περὶ τοὺς λόγους ἀκατόρθωτον. ἤδη γὰρ φθάσαντες εἰρήκαμεν ἐν τῇ ἀρχῇ τοῦδε τοῦ συγγράμματος, ὅτι τὸ ποσὸν ἴδιον ἑκάστου, τὰ δ᾽ ἴδια γράφειν ἀδυνατοῦντες, διὰ τὸ ἄπειρα εἶναι, ἐξ ἀνάγκης ἐπὶ τὰ κοινὰ τρεπόμεθα, κἂν ᾖ τῇ χρείᾳ δεύτερα.

Καὶ εἴ τι ἄρα τὸ ἡμέτερόν ἐστιν, οὐχ ὑπ᾽ ἄλλου τινὸς εἰς τοσοῦτον ἀκριβείας ἥκει. —

Τὸ χωρίον εἴ γε ἔστιν ὁμοίως τοῖς παλαιοῖς ἐξηγηταῖς, οὐκ οἶδα. τὰς δὲ ἐκείνων ἐάσαντες φλυαρίας, τὸ ἀληθὲς εἴπωμεν. ὃ γὰρ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι εἴπερ ἄρα διεπρέψαμεν καὶ περιφανεῖς κατὰ τὴν ἰατρικὴν τέχνην γεγόναμεν, ἐξ οὐδενὸς ἡμῖν ἄλλου τοῦτο

---

1) utrum ex his fortius sit G. 2) Quare tanquam adhortatur hoc in loco Galenus. G.

προσεγένετο ἢ τοῦ περὶ ποσὸν ἠκριβῶσθαι. διὰ δὲ τοῦ εἰπεῖν εἰ ἄρα 1) μετριότητος ἤθους κέχρηται, μὴ βουλόμενος ἑαυτῷ τῆς εὐδοκιμήσεως καὶ τῆς παρὰ τῶν πολλῶν 2) ἐπαίνου εἶναι μαρτυρία.

Τὸν μὲν οὖν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς δυναστευόμενον, ὑγραίνειν τε καὶ ψύχειν. —

Μετὰ τὴν τῶν πυρετῶν διάγνωσιν, διαλειπόντων τε καὶ συνεχῶν, νόθων τε καὶ γνησίων, ἑπόμενόν ἐστι λοιπὸν καὶ θεραπείαν παραδοῦναι. προτιμάσθω δὲ τῇ τάξει ταύτῃ τριταῖος, ὥσπερ οὖν κἀν τῇ διαγνώσει τετίμηται. ἀλλὰ δεῖ τὴν θεραπείαν ποιεῖσθαι, δύο τινῶν σκοπῶν ἐχόμενον. χρὴ γὰρ ἐπὶ τῶν ἐπὶ χυμοῖς πυρετῶν, ὕλης τε πλεοναζούσης καὶ ποιότητος, τὴν μὲν ὕλην κενοῦν, τὴν δὲ ποιότητα ἀλλοιοῦν, τῷ δὲ ἐλλείποντι διδόναι. ἀμέλει τοι ἐπὶ μὲν τῶν τριταίων, ἐπειδὴ μάλιστα ποιότης ἐστὶν ἡ λυμαινομένη, πρὸς ταύτην 3) ἐνιστάμεθα ψύχοντές τε καὶ ἐνυγραίνοντες, ἧττον δὲ κενοῦμεν· ἐπὶ δὲ τῶν ἀμφημερινῶν, μᾶλλον πρὸς τὴν ὕλην ἀπομαχόμεθα τῆς ποιότητος, οὐ πάνυ τι 4) * δυναστεύουσι διὰ τὸ ψυχρὸν εἶναι καὶ ὑγρὸν αὐτὸν τὸν χυμόν.

Τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα. —

Τοῦτο δὲ τὸ κῶλόν ἐστιν Ἱπποκράτους, καὶ 5) πάντων μᾶλλον ἀληθείας ἐχόμενον. ἵνα δὲ μή τις ἡμᾶς σοφιστὴς παρακρούσηται λέγων, ὅτι τὰ ἐναντία τοῖς ἐναντίοις οὐ θεραπεύεται, ἀλλὰ μᾶλλον ἀναιρεῖται. καὶ γὰρ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ, καὶ τὸ ψυχρὸν ὑπὸ τοῦ θερμοῦ φθείρεται. πῶς ἂν λέγοιτο, τὰ φθειρόμενα θεραπεύεσθαι; διὰ τῶν τοιούτων δεῖ ἐκεῖνο προσθεῖναι, ὅτι τὰ ἐναντία ἐναντίων λέγεται ἰάματα ὡς πρὸς τὸ ὑποκείμενον αὐτοῖς σῶμα. τὸ γὰρ σῶμά ἐστι θεραπευόμενον. οὕτως καταχρώμενοι πολλάκις λέγομεν καὶ τὴν νόσον ἐναντίαν εἶναι τῇ ὑγείᾳ, καὶ τὸ ἀκριβὲς σκοποῦσι νόσος ἂν εἴη ἐναντία, τῇ μὲν θερμῇ ψυχρὰ λέγοιτο ἐναν-

---

1) Fort. μετριότητι. εἴθους A. 2) ἐπαίνων A. μαρτυρίας A. 3) ἐπιστάμεθα A. 4) Fort. δυναστευούσης. 5) πάντως A.

τία εἶναι· ἀλλὰ δηλονότι ταῦτα λέγομεν, πρὸς τὸ ὑποκείμενον ἀποβλέποντες σῶμα, ἐπειδὴ συμβαίνει αὐτῷ σώζεσθαι μὲν ὑπὸ τῆς ὑγείας, φθείρεσθαι δὲ ὑπὸ τῆς νόσου. ὅτι δὲ φθορὰ σωτηρίας ἐναντίον, οὐδεὶς ἂν, οἶμαι, τῶν νοῦν ἐχόντων ἀμφιβάλλοι.

Προτρέπειν οὖν χρὴ τὸν εἰς τὴν γαστέρα συῤῥέοντα κενοῦσθαι δἰ ἐμέτων. —

Ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν, ὅτι δεῖ τὴν κένωσιν ποιεῖσθαι ἢ αἰσθητὴν ἢ ἀναίσθητον. ἔστι δὲ αἰσθητὴ μὲν κένωσις, ἡ διὰ γαστρὸς, ἡ δἰ ἐμέτων ἢ δἰ οὔρων, δἰ αἱμοῤῥαγίας. ἀναίσθητος δὲ ἡ διὰ τῶν ἀδήλων πόρων. ὁρίσει δέ σοι τῶν τοιούτων ἕκαστον ἡ τοῦ χυμοῦ ῥοπὴ, τρεπομένη ποτὲ μὲν ἐν τῷ στόματι τῆς γαστρὸς, ὅτε καὶ χρὴ δἰ ἐμέτων αὐτὴν κενοῦσθαι, ποτὲ δὲ μᾶλλον ἐπὶ τὰ ἔντερα βρίθουσα, ἐνίοτε δὲ εὐκολωτέρως δἰ οὔρων κενουμένη, πολλάκις δὲ καὶ 1) ἐπιτηδειότητα ἔχουσα εἰς τὸ διαφορηθῆναι διὰ τῆς ἐπιφανείας καὶ τῶν κατὰ αὐτὴν πόρων.

Ἀλλὰ τὴν μὲν γαστέρα μαλακοῖς κλύσμασι κενοῦν. —

Ἐπὶ τῶν τριταίων ἐπειδὴ πολλὴ ξηρότης ἐστὶ, χρὴ κατακλύσματα παραλαμβάνειν, ὑγραίνειν καὶ μαλάττειν μᾶλλον δυνάμενα, οὐ 2) ξηραίνειν. ἐπιτεινομένη γὰρ ἐκ τῶν τοιούτων ἡ δυσκρασία μᾶλλον τῷ σώματι λυμαίνεται.

Τὰ δ᾽ οὖρα προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν ἐναποβρέχοντα. —

Ὥσπερ τῶν καθαιρόντων φαρμάκων ἄλλα πρὸς ἄλλον χυμὸν οἰκειότατον 3) ἔχοντα ἕκαστον ἕλκειν, οἷον, εἰ τύχει, σκαμμωνία μὲν τὴν ξανθὴν χολὴν, ἐπίθυμον δὲ τὸν μελαγχολικὸν χυμὸν, καὶ τὸ φλέγμα κολοκυνθὶς, οὕτω καὶ τῶν φαρμάκων ἕκαστον πρός τι τῶν τοῦ σώματος μορίων ἔχει φυσικὴν ἢ συμπάθειαν ἢ ἀντιπάθειαν. ἐπεὶ πόθεν αἱ κανθαρίδες 4) περιϊοῦσαι τὸν οἰσοφάγον καὶ στόμα

1) ἐπιτηδειότητι A. 2) ξηραίνει A. 3) Fort. ἔχει. 4) Fort. παριοῦσαι.

καὶ γαστέρα καὶ μεσαραϊκὰς φλέβας καὶ ἧπαρ καὶ νεφροὺς καὶ οὐρητῆρας, τὴν κύστιν ἕλκοι; πόθεν δὲ τὸν πνεύμονα μόνον λαγωὸς θαλάσσιος; ὥσπερ οὖν ταῦτα φυσικὴν ἀντιπάθειαν ἔχει, οὕτω καὶ ἄλλα πέφυκε, τὰ μὲν δι' οὔρων, τὰ δὲ διὰ γαστρὸς κενοῦντα περιττώματα. καὶ καλεῖται δὲ ὅσα δι' οὔρων τὰς ὕλας κενοῖ, διουρητικά. καὶ χρὴ ἐπὶ τῶν τριταίων αὐτοῖς κεχρῆσθαι, συλῶντας δι' αὐτῶν κατὰ βραχὺ τὴν τῶν πυρετῶν διάθεσιν.

Καὶ ἤν σοι πέψεως σημεῖα προφαίνηται, θαῤῥῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι. —

Τὸ ἀψίνθιον δύο δυνάμεις ἔχει, τὴν μὲν στυπτικὴν, τὴν δὲ καθαρτικήν. εἰ μὲν οὖν, ἔτι τοῦ χυμοῦ ἀπέπτου ὄντος, προσενέγκοιμεν αὐτὸ, τῇ στύψει μᾶλλον πυκνοῖ τὰς ὕλας, ὥστε μάχην τινὰ γενέσθαι, τῆς μὲν καθαρτικῆς αὐτοῦ δυνάμεως ἀποκρῖναι βουλομένης τὸν χυμὸν, τῆς δὲ στυπτικῆς κατεχούσης· κἀντεῦθεν ἔσω ταλαιπωρεῖ ἡ φύσις, ὑπὸ ἑκατέρου τούτων ἐνοχλουμένη. εἰ δὲ μετὰ τὴν πέψιν παράσχωμεν τὸ ἀψίνθιον, τηνικαῦτα ἥ τε καθαρτικὴ ἐνέργεια καὶ ἡ στυπτικὴ οὐκ ἀντιπράττει, μᾶλλον δὲ συμβάλλει. θλίβουσα γὰρ ἐκπυρηνίζει, ὥσπερ ταῖς χερσὶ σπογγίαν θλίψαντες τὰ ἐν αὐτῇ περιεχόμενα πρὸς τὸ ἐκτὸς 1) ἀποῤῥεῦσαι ποιήσαιμεν ὑγρά.

Καὶ μᾶλλον εἰ τῆς κόμης αὐτοῦ λαμβάνων ὅσον αὔταρκες ἀποβρέχοις. —

Χρὴ γινώσκειν ὅτι βοτανῶν τινων μὲν εὑρεῖν ἔστι τὰς ῥίζας δραστικωτέρας, τινῶν δὲ τοὺς 2) κλῶνας, ἄλλων δὲ τὰ σπέρματα, ὥσπερ οὖν ἄλλων τὰ φύλλα. ἐπὶ τοίνυν τοῦ ἀψινθίου ἡ κόμη δραστικωτέρα, ὡς ἂν λεπτομερεστέρα τῶν ῥιζῶν ὑπάρχουσα. χρὴ δὲ αὐτὴν παρέχειν ἢ ὕδατι προαποβρέχοντας καὶ 3) ἀποξύνοντας, ἢ καὶ τὴν οὐσίαν αὐτὴν κόψαντας καὶ μίξαντας ὕδατι θερμῷ ἢ μελικράτῳ, ἢ ὡς ἂν ὑπαγορεύῃ πρὸς τὸ παρὸν ἡ χρεία.

---

1) ἀπορεύσε A. 2) κλόνους A. 3) ἀποξύννυντας A. Fort. ἀποζεννύντας. decoquentes G.

Λουτρὰ δὲ θερμὰ δι' ὕδατος ποτίμου τὸ μὲν κενοῖ τῆς χολῆς ἀπάγοντα. —

Τῶν μὲν εἰρημένων ἕκαστον βοηθημάτων εἰ καὶ τὴν ὕλην ἐκένου, καὶ ταύτην κατὰ συμβεβηκὸς ἔψυχε τῇ τοῦ θερμαίνοντος ἀπουσίᾳ, ἀλλ' ἑτέραν 1) ἐνετίθει θερμὴν ποιότητα. τὸ μέντοι λουτρὸν καὶ τὴν ὕλην κενοῖ, καὶ τὴν ποιότητα οὐκ αὔξει, τὴν θερμήν 2) τε καὶ ξηράν. τοὐναντίον δὲ καὶ σβέννυσιν αὐτὴν τῷ ψύχειν τε καὶ χρηστὴν ἐντιθέναι τοῖς πόροις ὑγρότητα. ἤδη δὲ φθάσαντες εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν, ὅσα περὶ λουτροῦ δυνάμεως καὶ τῶν αὐτοῦ μερῶν ἔδει ῥηθῆναι.

Ὑγραίνει γὰρ καὶ ψύχει κατὰ δύναμιν, ὅσα τοιαῦτα λουτρά. —

Καλῶς προσέθηκε τὸ κατὰ δύναμιν, ἐπειδὴ καὶ τὰ θαλάττια καὶ τὰ νιτρώδη καὶ τὰ ἁλμυρὰ λουτρά· καὶ τὰ μὲν τὴν πρόχειρον φαντασίαν ὑγρά ἐστιν, οὐ μὴν ὑγραίνει, τοὐναντίον δὲ ξηραίνει. ἡ μέντοι τῶν ποτίμων ὑδάτων χρῆσις καὶ τὴν φαντασίαν ἅμα καὶ τὴν δύναμιν ὑγραίνουσαν ἔχει. ἐξεταζέσθω δὲ δηλονότι ἡ δύναμις ἐκ τῆς ἐνεργείας.

Ἀλλ' ὅτι μάλιστα θερμὸν περιχέοντας ἐμβιβάζειν τε τῷ ὕδατι καὶ διαβρέχεσθαι. —

Τοῦτο γὰρ δύναται καὶ τοὺς πόρους 3) ἀραιῶσαι, καὶ ταύτην διαφορῆσαι τὴν ὕλην, καὶ μέντοι καὶ τὰ στερεὰ μόρια ὑγρᾶναι.

Καὶ εἴ γε θέλοιεν νήχεσθαι ἐν αὐτῷ, συγχωρεῖν, εἰς ὅσον δύνανται. —

Καλῶς προσέθηκε τὸ, εἰ θέλοιεν. δεῖ γὰρ χαρίζεσθαί τι καὶ τῇ τοῦ κάμνοντος ἡδονῇ· καὶ παραλαμβάνει τὸν τοιοῦτον μὲν ἐπὶ κολυμβήθρας εὐρυτέρας, ὅπως ἂν εὐρυχωρίαν ἡ φύσις ἔχουσα εἰς τὸ νήχεσθαι καὶ ἀποτεί-

---

1) *ἀντίθει* A. introducebat G. 2) *τε καὶ*] *δὲ* A. 3) *ἀρμῶσαι* A. rarefacere G.

νεσθαι πρὸς τὸ ἡδὺ, καὶ μᾶλλον ἀπολάβοι τῆς τοῦ ὕδατος ποιότητος, ψυχομένη τε καὶ ὑγραινομένη.

Τοὺς δὲ φιλολουτροῦντας οὐδ᾽ εἰ δὶς τῆς ἡμέρας λούειν ἐθέλοις, οὐκ ἂν ἁμαρτάνοις. —

Ἱπποκράτης ἀπὸ τῶν ἐθῶν ἔνδειξιν 1) [ἔλαβεν], ὥστε τὸ μὲν πρῶτον λουτρὸν παραλαμβανέσθω διὰ τὴν διάθεσιν, τὸ δὲ δεύτερον διὰ τὴν ἀπὸ τοῦ ἔθους ἔνδειξιν.

Εἰ δὲ καὶ πέψεως σημεῖα τῆς νόσου φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. —

Ἱκανὸν ὂν φαίνεται τὸ λουτρὸν ἐπὶ τῶν τριταίων, καὶ πρὸ πέψεως 2) παραλαμβάνον. καὶ ἄξιον τῆς ζητήσεως, πῶς οὐκ ἐπιτείνει τὰς ἐμφράξεις. ἐν γὰρ τοῖς βαλανείοις εἰώθασιν οἱ χυμοὶ χεόμενοι καὶ ἐπὶ ταύταις τοὺς πυρετοὺς ἐπιτείνειν. λέγομεν τοίνυν ὅτι ἐπὶ τῶν τριταίων πυρετῶν, ἐπειδὴ μᾶλλον ἡ ποιότης ἤπερ ἡ ὕλη λυμαίνεται, διὰ τοῦτο καὶ πρὸ πέψεως τὸ λουτρὸν παρέλαβεν. ὅτι δὲ πρὸ πέψεως κελεύει λούεσθαι, αὐτὸς ἐδήλωσεν ἐπάγων, ὅτι μετὰ τὴν πέψιν πλεονάκις τοῦ δὶς 3) λούειν, οὐκ ἂν ἁμάρτοις. τηνικαῦτα γὰρ αἱ ὕλαι, 4) πεφθεῖσαι καὶ λεπτυνθεῖσαι ῥᾶον ἐκκρίνονται δι᾽ ἱδρώτων, ἀραιωθέντων τῶν πόρων.

Οἴνου δὲ πρὶν μὲν πέττεσθαι τὸ νόσημα παντάπασιν εἴργειν. —

Εἰκότως ἐμνημόνευσε μετὰ τὸ λουτρὸν τῆς χρήσεως τοῦ οἴνου, ἐπειδὴ τηνικαῦτα δίψης αὐτοῖς προσγενομένης ἐκ τῆς τοῦ βαλανείου θερμασίας, 5) παρέχειν ποτὸν, οὐχ ὕδωρ· τοῦτο γὰρ ἐμβραδῦνον τοῖς ὑποχονδρίοις ἄλλως βλάπτει· ἀλλ᾽ οἶνον, ἐπειδὴ δύναται οὗτος θᾶττον ἀναδιδόμενος, τάς τε ἐκκρίσεις προτρέπειν ἁπάσας καὶ τὰς δυνάμεις ῥωννύναι καὶ τοὺς χυμοὺς εἰς εὐκρασίαν μεταφέρειν, αὐτός τε εἰς αἷμα μεταβαλλόμενος, καὶ τοὺς ἀχρήστους μετακοσμῶν. ἀλλὰ χρὴ τοῦτον διδόναι οὐ πρὸ

---

1) ἔλαβεν om. A. G. Gadald. supplevit. 2) Fort. παραλαμβανόμενον. 3) Fort. εἰ λούοις sive λούων. 4) πευθεῖσαι A. 5) Fort. add. δεῖ.

τοῦ καιροῦ τῆς πέψεως. τηνικαῦτα γὰρ χέων τὰς ὕλας, ἐπιτείνει τὰς ἐμφράξεις· ἀλλὰ μᾶλλον μετὰ τὰς πέψεις, ἵνα τὰ εἰρημένα ἐργάσηται. χρὴ δὲ προνοεῖσθαι, ὅπως ἂν εἴη λεπτὸς καὶ εὐανάδοτος, καὶ πολλὴν ὕδατος ἐπιμιξίαν ἔχων, καὶ μὴ παλαιὸς, μηδὲ φύσει θερμὸς, καὶ τὸ χρῶμα λευκὸς μᾶλλόν ἢ μέλας. —

Σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις ἀκριβέσι. —

Καὶ τοῦτό φησιν, ἡ ποιότης ἔστω σύμφωνος τῇ τοῦ τριταίου πυρετοῦ ἐναντιώσει, ψυχρᾶς 1) οὖσα δυνάμεως. ἀλλὰ τὸ μὲν ποιὸν οὕτως ἡμῖν εἴρηται.

Τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον ὅσον πλεῖστον καλῶς πέψαι δύνανται. —

Ἕκαστον πέψαι δύναται, μήτε βαρυνομένης αὐτῷ τῆς γαστρὸς, μήτε ἀπεπτούσης, ἐπεὶ συμβήσεται πάλιν, 2) περιττωμάτων γενομένων ἐκ τῶν ἀπεψιῶν, διὰ περιόδου τινὸς καὶ κύκλῳ τὸν πυρετὸν αὐξάνεσθαι.

Τῶν δ᾽ ἄλλων, ὅ τε πτισάνης χυλός. —

Ἡ πτισάνη 3) χρησιμώτατόν ἐστιν ἐπὶ τούτων βοήθημα, δυναμένη τὸν πυρετὸν ψύχειν, καὶ ὑγραίνειν, καὶ τὴν ὕλην ἐκφράττειν. ἔχει γὰρ ῥυπτικὴν τὴν δύναμιν καὶ τρέφουσαν τὰς δυνάμεις.

Καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. —

Χόνδρον ἐκάλουν οἱ παλαιοὶ τὸν 4) ἄλικα. χρὴ δὲ τοῦτον παραλαμβάνειν, ἐφ᾽ ὧν ἡ θερμασία πολλὴ κατὰ τὴν γαστέρα ἐστὶ καὶ βουλόμεθα αὐτὸν ἐν ταύτῃ χρονίσαντα, μάχεσθαι πρὸς τὴν δυσκρασίαν, καὶ μάλιστα εἰ τὸ στόμα τῆς γαστρὸς εἴη ῥαδίως ἐκχολούμενον. δύναται γὰρ ὡς παχὺς καὶ 5) δύσφραστος κατασβέσαι τὴν ἐν αὐτῷ θερμότητα· φυλάττεσθαι μέντοι μὴ γαστρός ἐστιν ἐπὶ τούτων ἐπίσχεσις. οἶδε γὰρ τὸ τοιοῦτον ῥόφημα μᾶλλον αὐτὴν ἐπέχειν.

---

1) G. addit: et humidae, καὶ ὑγρᾶς. 2) περιττώματα A. 3) χρησιμωτάτη A. 4) alicam Latin. 5) Fort. δύσφρακτος. tenax G.

Καὶ οἱ πετραῖοι τῶν ἰχθύων. —

Τῶν ἰχθύων 1) *οἱ μέν εἰσιν* 2) *αἰγιαλοὶ, οἱ δὲ πετραῖοι, οἱ δὲ πελάγιοι. τούτων δὲ ἄριστοι μέν εἰσιν οἱ πετραῖοι, ἐπειδὴ τὰ* 3) *κύματα ταῖς πέτραις προσρηγνύμενα κινεῖσθαι συνεχῶς αὐτοὺς ποιεῖ, καὶ τὴν περιττωματικὴν αὐτῶν δαπανᾷν ψυχρότητα. οἱ δὲ αἰγιάλιοι χείριστοι, ἐπειδὴ τρέφονται τροφὴν ἰλυώδη, καὶ μάλιστα εἰ παράκειται πόλις ἐν τοῖς αἰγιαλοῖς, δεχομένης αὐτῆς τὰ περιττώματα καὶ τοὺς ὀχετούς. οἱ δὲ πελάγιοι μεσωτάτην ἔχουσι τὴν φύσιν, οὔτε οὕτως μοχθηρὰν, ὡς αἰγιάλιοι, οὔτε οὕτως* 4) *ἀπέριττον, ὡς πετραῖοι, τῶν μὲν τὸ ἰλυῶδες οὐκ ἔχουσι, τῶν δὲ τὴν ἐν κινήσει γυμνασίαν ἐξέκλιναν.*

Καὶ τῶν πτηνῶν τὰ μαλακόσαρκα. —

Τοὺς κατοικιδίους ὄρνεις φησὶ καὶ τοὺς φασιανούς. χρὴ δὲ ταῦτα μικρὰ παραλαμβάνειν, ὡς ἂν ὑγροτέρας ἔτι καὶ εὐπέπτου τῆς σαρκὸς αὐτῶν ὑπαρχούσης.

Καὶ τῶν μὴ τοιούτων τὰ πτερά· καὶ μὲν δὴ καὶ ἀλεκτρυόνων τοὺς ὄρχεις διδόναι. —

Καὶ τῶν μὴ τοιούτων φησὶ, τουτέστι τῶν μὴ μαλακοσάρκων, ἀλλά γε τῶν τελείων. ἀπορήσαντες γὰρ πολλάκις τῶν μικρῶν, τὰ πτερὰ τῶν τελείων προσάγομεν, ἐπειδὴ ταῦτα διὰ τὴν κατὰ τὴν πτῆσιν γυμνασίαν ἐστὶν ἀπέριττα. χρὴ δὲ ἐκεῖνο γινώσκειν, ὃ κατὰ τὴν πεῖραν ἡμῖν εὕρηται· τῆς μὲν οὖν γαστρὸς πολλὴν ἐχούσης θερμασίαν, μᾶλλον τὰ πτερὰ προστάττομεν, ὡς ἂν νευρωδέστερα ὄντα, καὶ δυσχερῶς φθειρόμενα. εἰ δὲ ἡ ἔμφυτος θερμασία ὀλίγη εἴη, τηνικαῦτα μᾶλλον τὰς κοιλίας παρέχομεν, ὡς ἂν σαρκωδεστέρας καί τινα χρηστὴν ἐχούσας θερμότητα. δοτέον δὲ καὶ τοὺς τῶν ἀλεκτρυόνων ὄρχεις, εὐχύμους τε ὄντας καὶ τροφίμους, καὶ τὸ περιττωματικὸν ἐλάχιστον ἔχοντας.

---

1) Gad. addit *θαλαττίων.* 2) Fort. *αἰγιαλεῖς* sive *αἰγιάλιοι.* 3) *χύματα* A. 4) *ἀπέριττοι* A.

Καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφάλους. —

Τοὺς πόδας παραλαμβάνει τῶν συῶν, ἐπειδὴ γυμναζόμενοι κατὰ τὴν βάδισιν, οὗτοι ἀπέριττοί εἰσιν. ἀλλὰ καὶ τοὺς ἐγκεφάλους χρὴ προσφέρειν φυλαττομένους, μή τινος ὁ στόμαχος ἀσώδης εἴη. οἶδε γὰρ τὸ τοιοῦτον ἔδεσμα καὶ κινεῖν τὸν στόμαχον. —

Ἀλλὰ καὶ ὠὰ συγχωρεῖν ῥοφεῖν καὶ μάλιστα τὰς λεκίθους. —

Τὰ ὠὰ ὅσα ἧττον ἕψεται, τοσοῦτον εὐπεπτότερα γίνονται· μᾶλλον δὲ ἑψόμενα, ἐπειδὴ κατὰ τὴν ἕψησιν τὸ ἐν αὐτοῖς λεπτομερὲς δαπανᾶται καὶ παχύνεται καὶ δυσπεπτότερα γίνονται. διὰ τοῦτο γάρ ἐστιν ὅ φησιν, ὠὰ συγχωρεῖν ῥοφᾶν. οὐ γὰρ ἁπλῶς ῥοφᾶσθαι δύνανται τὰ 1) ψυχρότερα, καὶ ἧττον ἡψημένα ὄντα. τούτων δὲ τῶν ὠῶν τὸ μὲν λευκόν ἐστι ψυχρότερον καὶ μᾶλλον δυσπεπτότερον, τὸ δὲ λεκιθῶδες εὐπεπτότερον, ὅθεν πρὸς τὸν τρόπον τῆς διαθέσεως ἑκατέρῳ προσφορῶς χρώμεθα.

Ἐν δὲ τοῖς οὐκ ἀκριβέσι προνοεῖσθαι χρὴ μάλιστα. —

Θεραπεύσας τοὺς γνησίους τριταίους, βούλεται λοιπὸν καὶ τῶν νόθων τὴν ἴασιν ἡμῖν παραδοῦναι. καὶ χρὴ, φησὶν, ἐπὶ τούτων τεχνικῶς προσέχειν τὸν νοῦν, ἐπειδὴ τῶν γνησίων εἰσὶ χρονιώτεροι, καί ἐστιν ἐπὶ τούτων ἄπορος ἡ θεραπεία. εἴτε γὰρ θρέψομεν διὰ τὴν δύναμιν, αὔξομεν τὸ νόσημα, εἴτε μὴ θρέψομεν διὰ τὸ νόσημα, καταβαλοῦμεν τὴν δύναμιν. χρὴ τοίνυν ἐπὶ τούτων τὴν δύναμιν τῷ νοσήματι παραβάλλοντας σκοπεῖν, ὁπότερον αὐτῶν μεῖζον, καὶ πρὸς τὸ κατεπεῖγον ἵστασθαι, μὴ θατέρου παντάπασιν ἀμελοῦντας.

Ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις οὐδὲ λούειν εὐθὺς κατ' ἀρχὰς ἀγαθόν. —

Ἐπειδὴ γὰρ ἐπὶ τούτων ἐστὶ περιττὸν φλέγμα, δέος μὴ διὰ τῶν βαλανείων, ὅσον ἐν αὐτῷ λεπτομερέστατον ἕστηκε, κενώσαντες τὸ λοιπὸν δυσδιαφόρητον ποιήσωμεν. ἄλλως

1) liquidiora G.

τε καὶ συμβαίνει, χύσεως γινομένης ἐν τοῖς λουτροῖς, ἀναμίγνυσθαι τὰ χρηστὰ τοῖς ἀχρήστοις, καὶ οὕτως ἐν τῷ παντὶ σώματι διαφθείρεσθαι χυμούς. ἀλλ' ἡνίκα ἂν ἴδῃ τε καὶ φαίνηται τὰ σημεῖα τῆς πέψεως, τουτέστιν ἐν τῇ ἀκμῇ 1) τῆς πέψεως, ποτὲ καὶ λελεπτυσμένος ὁ χυμὸς ἑτοίμως ὑπακούει πρὸς κένωσιν.

Οὐδὲ καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν. —

Τοῦτό φησιν, ἐπειδὴ φλέγμα περιττὸν αὐτοῖς ἐναποκείμενον, δύναται ἐν ταῖς ἡμέραις ταῖς ἐν μέσῳ καταστῆναι, ἀσιτίαν δὲ 2) παραλαμβάνομεν εἰς αἷμα μεταβαλλόμενον, τροφῆς λόγον ἀποσώζειν τοῖς μορίοις. χρὴ δὲ σκοπεῖν εἰ ἀντέχει πρὸς τοῦτο ἡ δύναμις, ἢ καὶ συνήθως εἶχεν ὁ κάμνων ἐν τῷ ὑγιαίνειν συνεχῶς ἐσθίειν. ἐπὶ τούτων γὰρ οὐκ * 3) ἐνδέχεται παρὰ μίαν αὐτῶν τρέφοντες, λεπτομερεστέραν τροφὴν παρέχοντες, ἵνα διὰ τῆς λεπτότητος τὸ ποσὸν κολάσωμεν.

Ἡσυχία δὲ καὶ θάλψις τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει. —

Οἶδε γὰρ ἡ κίνησις εἰς τὰ 4) ἐκτὸς τὴν φύσιν ἐπάγειν αὐτὴν, ἀπὸ τῆς τοῦ χυμοῦ πέψεως. δεῖ τοίνυν ἐπὶ τούτων ἡσυχίαν παραλαμβάνειν, ἀλλὰ καὶ θάλψιν τὴν διὰ καταπλασμάτων τῶν δυναμένων πέττειν τὸν ἐν τῇ γαστρὶ περιεχόμενον φλεγματικὸν χυμὸν, καὶ μέντοι καὶ χαλᾷν τὴν ἀπὸ τοῦ φλέγματος ἐγγενομένην τῇ γαστρὶ διάτασιν.

Καὶ ῥοφήματα τὰ εὔπεπτα. —

Ἐὰν γάρ τι τῶν δυσπέπτων παρασχῶμεν, κίνδυνος πρῶτον μὲν ἐπὶ τούτων κάμνειν τὴν δύναμιν· ἔπειτα καὶ ἀπὸ τῆς ἀπεψίας εἰς φλέγμα μεταβαλλούσης τοὺς χυμοὺς, ὁ προκείμενος χυμὸς αὐξανόμενος, 5) χρονιώτερος γίνεται.

---

1) morbi G. Fort. *τῆς νόσου.* 2) ac ad melius reduci, inediaque injuncta G. Fort. *παραλαμβανόμενον* sive Genit. absolut. 3) *ἐντέχεται* A. Locus est corruptus. Gadald: In his enim non alternis diebus, sed quotidie nutrire eum debemus etc. 4) *ἐντοσ* A. ad exteriora G. 5) febris add. G.

Καὶ κλύσματα τῆς κάτω γαστρὸς μὴ πάνυ μαλακά. —

Δεῖ γὰρ ἐπὶ τούτων κλύσμασι χρῆσθαι δριμυτέροις, ἵνα τὸν χυμὸν χολώδη ὄντα καὶ γλίσχρον ἐκμοχλεύσῃ καὶ κενώσῃ.

Καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μηδὲ τοῦτο παραλιπεῖν. —

Δεῖται γὰρ ὁ κάμνων δηλονότι φλεβοτομίας, εἰ πλῆθος εἴη καὶ εἰ ἀκίνδυνος τὴν ἡλικίαν, καὶ μάλιστα εἰ κατὰ ἐαρινὴν ὥραν ὁ πυρετὸς αὐτῷ συσταίη. δύναται γὰρ ἡ φύσις τοῦ λοιποῦ ῥᾷον περιγενέσθαι.

Ἀλλά τι καὶ τοῦ τμητικωτέρου καὶ θερμοτέρου τρόπου προσεπιλαμβανέσθω. —

Ἵνα τῇ μὲν θερμότητι τὸ ψυχρὸν τοῦ χυμοῦ κολάσωμεν, τῇ δὲ τμητικῇ δυνάμει τὸ παχὺ καὶ κολλῶδες αὐτοῦ λεπτύνωμεν καὶ εὔκριτον ποιήσωμεν.

Μάλιστ' ἂν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλός. —

Ἡ πτισάνη, ὅσον μὲν ἐπιρύπτει, συμβάλλεται τοῖς τοιούτοις πυρετοῖς, ἀλλ' ἐπειδὴ ψύχουσα καὶ ὑγραίνουσα τὴν ὕλην αὐτῶν ἐπαύξει, τουτέστι τὸ φλέγμα, συμφωνοῦσα τῇ αὐτοῦ κράσει, διὰ τοῦτο τοιαύτας ἐν αὐτῇ ποιότητας καθαιροῦμεν τῇ τοῦ πεπέρεως ἐπιμιξίᾳ, καὶ εἴ τι ἄλλο τις ἐπινοεῖν δύναται, θερμαίνειν τε ἅμα καὶ τέμνειν δυνάμενον.

Καὶ τἄλλα δὲ ὅσα οὖρα κινεῖ πλὴν τῶν ἄκρως θερμαινόντων τε καὶ ξηραινόντων. —

Ἐπεὶ πολὺ θερμαίνοντα καὶ ξηραίνοντα τὸν πυρετὸν ἐπαύξει τῇ ἑαυτῶν δριμύτητι. καὶ ἄλλως εἰκός ἐστι ταῦτα 1) *δαπανῶντα τὸ τοῦ φλέγματος ὑγρὸν καταλιπεῖν ἐν τῷ σώματι καὶ ὑπόλοιπον γεῶδές τε καὶ πολὺ τὴν φύσιν ὑπάρχον.*

Μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι συνεχέστατα μετὰ τὴν ἑβδόμην ἡμέραν. —

---

1) *δαπανώσεται* **A.**

Τὸ ἀψίνθιον ἐπὶ τούτων παρακελεύεται δίδοσθαι, ἐπειδὴ πέφυκε ῥωννύναι τὸν στόμαχον, ἀσθενῆ δηλονότι ἐν τοῖς ὑποκειμένοις ὄντα πυρετοῖς. εἰ γὰρ μὴ τοιοῦτος ἦν, πόθεν ἐν αὐτῷ συνηθροίζετο τὸ φλέγμα τοσοῦτον, ὥστε καὶ τὸν τριταῖον νοθεύεσθαι; 1) παρέχει μέντοι αὐτὸ μετὰ τὴν ἑβδόμην ἡμέραν διὰ τὰς εἰρημένας ἔμπροσθεν αἰτίας περὶ αὐτοῦ, εἰς ὅσα λυμαινόμενον πρὸ τῆς τοῦ χυμοῦ πέψεως.

Καί τι τῶν ἐπιεικῶν ὑπηλάτων χρῆσθαι. —

Ὑπήλατα καλοῦσιν ἀρχαῖοι, ὅσα δύναται μετρίας ποιεῖσθαι κενώσεις διὰ γαστρὸς, οἷόν ἐστι τὸ πολυπόδιον καὶ τὸ ἀλύπιον, ἥ τε λινοζῶστις. ἀλλὰ ταῦτα μὲν ἁπλᾶ, ἔστι δέ τινα καὶ σύνθετα, οἷον ἄλλαι τινὲς σκευασίαι, αἷς ἐπιβάλλονται σκαμμωνία καὶ κολοκυνθὶς καὶ ἀγαρικὸν καὶ ἐλατήριον.

Ὁ δ᾽ ἐπὶ σιτίοις ἔμετος ἐς τοσοῦτον ἄρα τοῖς ἐν τῷδε πυρετῷ χρονίζουσι χρήσιμος. —

Τοῖς παλαιοῖς ἐπινενόηνται οἱ μὲν πρὸ τῶν σιτίων βιαιότεροι, καὶ σπαραγμὸν ἐμποιοῦντες οὐκ ὀλίγον· οἱ δὲ μετὰ τὰ σιτία τὸ δραστήριον οὐκ ἔχοντες, οὐ πολλὴν βίαν ἐπάγουσι. χρὴ τοίνυν ἐπὶ τῶν ἀμφημερινῶν παραλαμβάνειν τοὺς μετὰ τὰ σιτία. ποιήσομεν δὲ αὐτοὺς δηλονότι χρήσασθαι λεπτύνουσι σιτίοις, καὶ μεταδεδωκότες ἢ μελίκρατον ἢ οἰνόμελι κελεύσομεν ἐμεῖν. ἀναφέρεται γὰρ πρῶτον μὲν τὰ δοθέντα σιτία, συναναφέρεται δὲ αὐτοῖς καί τις χυμὸς ἀπὸ τοῦ στόματος λεπτυνθείς. ὑπ᾽ αὐτῷ μὲν οὖν τῷ βοηθήματι τοῦ πυρετοῦ 2) ἀπαλλαγῆναι, κενωθέντος τοῦ φλέγματος, ἐφ᾽ ὧν τὸν πυρετὸν νοθεύεσθαι καὶ παρεκτείνειν εἰς μῆκος χρόνου συνέβαινεν.

Ἑξῆς δὲ περὶ τῶν τεταρταίων ἐροῦμεν. —

Μετὰ τὴν τοῦ τριταίου, νόθου τε καὶ ἀκριβοῦς, θεραπείαν, ἑπόμενόν ἐστι λοιπὸν ἐπὶ τὸν τεταρταῖον ἐλθεῖν,

---

1) *παρέχειν* A. praebet G. 2) liberantur G. Fort. om. *εἰκός*. Fort. *ἐφ᾽ ᾧ*.

διαγνωσθέντα μὲν ἤδη διὰ τῶν προλαβόντων, μόνης δὲ ἰάσεως δεόμενον. χρὴ τοίνυν ἐπὶ τούτων, ἐπειδὴ κατὰ τὴν ἀρχὴν ἄπεπτος ὢν ὁ χυμὸς θηριώδης ἐστὶ, μὴ ἀπομάχεσθαι πρὸς αὐτὸν, ἐπεὶ μᾶλλον 1) ἀγριούμενον ἐπιτίθεται τῷ κάμνοντι, ἀλλὰ παρηγορικωτέρῳ τρόπῳ κεχρῆσθαι. δεῖ τοίνυν ἐπὶ τούτων μὴ παρέχειν τὰ κενωτικὰ τοῦ μελαγχολικοῦ χυμοῦ φάρμακα. οὔπω γὰρ ἐπέφθη, παχὺς καὶ ἄπεπτος ὢν χυμός. καὶ δέος ἐστὶ μὴ τὸ καθάρσιον δυνηθῇ τὸν συνήθη καὶ οἰκεῖον αὐτῷ κενῶσαι χυμὸν τραπὲν κατὰ 2) τὸν χρηστὸν, καὶ διττῶς βλαβῇ τὸ σῶμα, τῇ τε ἀπουσίᾳ τοῦ χρηστοῦ, καὶ τῇ παρουσίᾳ τοῦ λυποῦντος. ἀλλ᾽ ἐπειδὴ ψυχρός ἐστι καὶ ξηρὸς ὁ τοιοῦτος χυμὸς, τοῖς τε θερμαίνουσι καὶ ὑγραίνουσιν ἐπὶ τούτου κεχρῆσθαι. ταῦτα γὰρ τῇ μὲν θερμότητι λεπτύνοντα, τῇ δὲ ὑγρότητι χέοντα, εὐόλισθον αὐτὸν ποιοῦντα ταχέως αὐτοῦ ποιεῖται τὴν κένωσιν.

Εἰ μή τι ἄρα πάνυ σφόδρα φαίνοιτο πλεονάζον αἷμα. —

Ἐπειδὴ καταρχὰς ἀπηγόρευσε τὴν κένωσιν γενέσθαι, προσδιορίζεται λέγων, ὅτι δεῖ ποτε καὶ, τοῦ νοσήματος ἔτι ἀπέπτου ὄντος, φλεβοτομεῖν, ὅταν εἴη πολὺ τὸ αἷμα. χρὴ δὲ προσέχειν ἀκριβῶς τὸν νοῦν. εἰ μὲν γὰρ μέλαν εἴη τὸ κενούμενον, θαῤῥοῦντας ἀδεέστερον δεῖ κενοῦν ἐπὶ πλέον· εἰ δὲ ξανθότερον, στέλλειν. * 3) χρὴ γάρ ἐστι τοῦτο καὶ δέος ἐπ᾽ αὐτοῦ κενωθέντος καταλυθῆναι τὴν δύναμιν. τέμνειν δὲ φλέβα τὴν κατ᾽ ἴξιν τοῦ σπληνὸς, τουτέστι τὴν κατὰ τὴν ἀριστερὰν χεῖρα κατ᾽ εὐθὺ τεταμένην τοῦ μορίου τούτου. καὶ χρὴ διαιρεῖν, οὐ τὴν ὠμιαίαν φλέβα. αὕτη γὰρ τὰ ἀπὸ κεφαλῆς μᾶλλον κενοῖ, καὶ διὰ τοῦτο ἐπὶ τῶν ὀφθαλμιώντων, ἢ ἄλλως τὴν κεφαλὴν ἀλγούντων, ἤ τι τῶν ἄνω μερῶν ὀδυνωμένων, ἐκείνην τέμνομεν. ἐπὶ δὲ τῶν κάτω, οὐ ταύτην, ἀλλὰ τὴν μασχαλιαίαν, δι᾽ ἧς τὰ κάτω δύναται κενοῦσθαι. ἐν ἀπορίᾳ δὲ ταύτης γινόμενοι, ἐπὶ τὴν μέσην τρεπώμεθα, ἥτις ἐκ συνόδου τῆς τε ὠμιαίας 4) γίνεται. καὶ ἀγαπήσομεν

---

1) Fort. ἀγριούμενος. 2) Fort τὸ. 3) Fort. χρεὼν. 4) G. addit καὶ τῆς μασχαλιαίας.

τηνικαῦτα τὴν κένωσιν ἀπὸ παντὸς σώματος ποιήσασθαι, τῶν τε ἄνω καὶ τῶν κάτω.

Καὶ δίαιταν ἐφεξῆς ἄφυσον καὶ χρηστὴν διαιτᾶσθαι. —

Οἶδε γὰρ τὰ φυσώδη περιττώματα τῷ σπληνὶ παρατιθέμενα αἴρειν τε αὐτὸν καὶ ἀπεψίας αἰτία γίνεσθαι, ἥτις τὰ μεγάλα τῷ σώματι λυμαίνεται· οὐδὲ λέγειν δέον.

Μαλάττοντας τὴν γαστέρα, καθ᾽ ὅσον οἷόν τε διὰ τῶν συνήθων. —

Χρή φησιν ἐπὶ τῶν τοιούτων ὑπάγειν ἀεὶ τὴν γαστέρα, μὴ φαρμακεύοντας αὐτὴν, ἐφ᾽ ὅσον ἐνδέχεται. 1) οἶδε γὰρ ἡ φαρμακεία δηλητηριώδη τινὰ τοῖς σπλάγχνοις ἐντιθέναι ποιότητα καὶ κακίαν, ἀλλὰ διὰ τῶν συνήθων. συνήθη δὲ καλεῖται ἐδέσματα, οἷον γάλα καὶ μέλι καὶ τὰ δι᾽ ἐλαίου καὶ γάρου ῥοφήματα καὶ λαχάνων ὅσα δύναται τὴν γαστέρα μαλάττειν. εἰ δὲ συνοίδαμεν, ὅτι οὐδὲν ἡμῖν ἀξιόλογον ἐπὶ τούτοις ἀποβαίνει, τηνικαῦτα λοιπὸν ἐξ ἀνάγκης ἐπὶ τὰ φαρμακώδη τρεπώμεθα, κλύσμασι κεχρημένοι καὶ πρῶτον μὲν μαλακοῖς, ἵνα πάλαι τὸν χυμὸν ξηρὸν ὄντα ὑγραίνωμεν, ὕστερον δὲ καὶ δραστηρίοις, ἐπειδὴ τὸ τοῦ χυμοῦ πάχος οὐκ ὀλιγάκις τινὸς βίας δεῖται καὶ 2) μοχθηρίας εἰς ἀποκένωσιν.

Χοιρείων δὲ εἴργειν αὐτοὺς κρεῶν καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα. —

Καθόλου γὰρ βούλεται πᾶσαν ἐπὶ τούτων τὴν δίαιταν εἶναι λεπτομερῆ, οὐ παχέων καὶ γλίσχρων χυμῶν γεννητικὴν, ἐπειδὴ ταῦτα τὰς ἐκκρίσεις ἐπέχει, καὶ τῷ μελαγχολικῷ χυμῷ προστιθέμενα διπλασιάζει τὸν πυρετόν.

Καὶ τῶν ψυχόντων καὶ τῶν ὑγραινόντων ἐδεσμάτων ἁπάντων, οἴνῳ δὲ χρῆσθαι. —

Τοῦτο ἅμα δεῖ νοῆσαι, οὐ διῃρημένως. ἐὰν γὰρ αὐτὸ διελόντες εἴπωμεν, ὅτι δεῖ τῶν ψυχόντων αὐτοὺς εἴργειν, καὶ τῶν ὑγραινόντων πάλιν, ὅσον μὲν ἐπὶ τοῖς ψύχουσιν

1) ᾧδε A. solet G. 2) Bene conjecit G. *μοχλείας.*

ἀληθής ἐστιν ὁ λόγος, ὅσον δὲ ἐπὶ τοῖς ὑγραίνουσιν οὐκέτι. ἐλέγομεν γὰρ ὅτι δεῖ τὸν χυμὸν, ξηρὸν ὄντα, ὑγραίνειν. ἀλλὰ τὸ ὅλον τοῦτο δεῖ αὐτοὺς ἀπέχειν τῶν ἅμα ψυχόντων καὶ ὑγραινόντων. εἰ δέ τι τῶν ὑγραινόντων εἴη τοῦ ψύχειν χωρὶς, οὐκ ἂν ἀπὸ τρόπου τοῦτο αὐτοῖς προταχθείη. ἀμέλει παρέχει τούτοις οἶνον λευκὸν καὶ λεπτὸν, καὶ ὑγραίνειν δυνάμενον, διὰ τὸ πάσας αὐτῶν προτρέψασθαι τὰς φυσικὰς ἐκροάς.

Καὶ τῶν πτηνῶν τοῖς εὐχύμοις καὶ οὐχ ἑλείοις. —

1) Ἃ γὰρ ἐν τοῖς ἑλείοις διατρίβουσι, περιττωματικωτέραν ἔχει τὴν σάρκα, ὡς ἀεὶ τροφὴν ἑλωδεστέραν ἐκ τοῦ ὕδατος τρεφόμενα.

Καὶ ἰχθύων τοῖς εὐπέπτοις τε καὶ μαλακοσάρκοις καὶ μηδὲν γλίσχρον ἔχουσιν. —

Τοὺς μὲν μαλακοσάρκους τῶν ἰχθύων αἱρεῖται, διὰ τὸ ῥᾷον αὐτοὺς πέττεσθαι. χρὴ δὲ τούτων αἱρεῖσθαι τοὺς ἔχοντας ἀπέριττον τὴν σάρκα καὶ μὴ γλίσχραν, οἷον τρίγλαι μὲν σκληραὶ, καὶ ὀνίσκοι οὐδὲν γλίσχρον ἔχουσι. κέφαλοι δὲ καὶ 2) σηπίαι, γλίσχρων εἰσὶ γεννητικοὶ χυμῶν.

Καὶ ταρίχει δὲ καὶ νάπυϊ χρῆσθαι. —

Ἄξιον ζητήσεως, πῶς αὐτὸς ἁπανταχοῦ τὰ ταριχηρὰ μελαγχολικὰ λέγων εἶναι, καὶ αὐτὰ προστάττει. φησὶ γὰρ, ὅτι τοὺς ἅλας αὐτοῖς ἐπιπάττοντες τὴν μὲν ὑγρότητα τὴν ἐν αὐτοῖς δαπανῶμεν, τὴν δὲ λοιπὴν αὐτῶν οὐσίαν ἐῶμεν, ξηράν τε καὶ ἄνικμον οὖσαν, καὶ εἰς μελαγχολικὸν χυμὸν 3) ἐπιτηδείαν μεταβληθῆναι. πῶς οὖν τοῖς τεταρταΐζουσι παρέχει, τοῦ τοιούτου πεπληρωμένοις χυμοῦ; καὶ λέγομεν ὅτι νῦν οὐχ ὡς τροφὴν, ἀλλ᾽ ὡς φάρμακον ταῦτα προσάγει. 4) διὸ καὶ νάπυ μίγνυσιν αὐτῶν τῇ ἐδωδῇ. χρὴ δὲ αὐτοῖς κεχρῆσθαι δι᾽ ἡμερῶν, ἵνα καὶ τῇ λεπτότητι λεπτύνῃ καὶ τῇ οὐσίᾳ μηδεμίαν ἀξιόλογον προσθήκην ποιήσηται.

---

1) τὰ A. 2) σηπεῖαι A. 3) ἐπιδείαν A. 4) δύο A.

Καὶ δι᾽ ἡμερῶν τινων τὸ διὰ τριῶν πεπέρεων προσλαμβάνειν. —

Αἱ γὰρ τοιαῦται τῶν ἀντιδότων, τῇ θερμότητι λεπτύνουσαι τοὺς χυμοὺς, οὐκ ὀλίγα συμβάλλονται.

Τρίψεων δὲ καὶ περιπάτων καὶ λουτρῶν καὶ τῶν ἄλλων τῶν συνήθων μὴ παντελῶς εἴργειν. —

Ἐπειδὴ δυνατόν ἐστι, διὰ τῶν κινήσεων τούτων 1) *ἀραιοῦντα τὸ δέρμα, καὶ τὴν ὕλην λεπτύνοντα, μέρος τι τοῦ χυμοῦ διαφορεῖν. εἰ δὲ δύναιντο τοῦ λουτροῦ ἀπέχεσθαι, μεγάλως αὐτοῖς τοῦτο συμβάλλεται, ἐπειδὴ* 2) *τὸ βαλανεῖον, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, συμβαίνει τὰ χρηστὰ τοῖς ἀχρήστοις συμμιγέντα, τῶν ὅλων ποιήσασθαι διαφθορὰν ἤγουν τὰ λεπτομερῆ διαφορηθέντα τὸ παραλειπόμενον δυσέκκριτον ἀπεργάσασθαι.*

Εἰ δ᾽ ἐν ἀκμῇ μάλιστα δοκοίη τοῦ νοσήματος εἶναι ὁ κάμνων, τότε χρὴ διαιτᾷν μὴ λεπτότερον. —

Ἀεὶ γὰρ τοῦτο παρακελευόμεθα, τὸ τῆς διαίτης λεπτότατον εἰς τὴν ἀκμὴν φυλάττειν, φησὶν, ἵνα μὴ περὶ τὴν πέψιν ἡ φύσις ἀπασχολοῖτο, τοῦ νοσήματος ἀμελοῦσα. 3) *χρὴ τοίνυν τηνικαῦτα λεπτῶς διαιτᾷν ἤπερ ἔμπροσθεν καὶ ὄπισθεν. ἔμπροσθεν μὲν γὰρ ἁδρότερον διαιτῶμεν, διὰ τὸ μὴ καταβληθῆναι τὴν δύναμιν, τῷ μήκει τοῦ χρόνου ταλαιπωρεῖσθαι* 4) *μέλλουσαν, ὄπισθεν δὲ ταλαιπωρηθεῖσαν ἤδη πάλιν ἀνακτήσασθαι βουλόμενοι, παχυμερεστέρᾳ διαίτῃ χρώμεθα.*

5) * *Εὐθὺς δὲ ἡσυχάζειν εἰς μακρὸν κελεύειν.* —

Ἐπειδὴ γὰρ ἤδη προπαρεσκεύασται ὁ χυμὸς, καὶ προλελεπτυσμένος ἑτοίμως ὑπακούει τοῖς κενωτικοῖς φαρμάκοις, δεῖ οὖν 6) *τοῖς δυναμένοις αὐτὴνι καθαίρειν. τοιοῦ-*

---

1) *ἀραιούντων* A. 2) Fort. om. *κατά*. 3) *χρῆται νῦν* A. 4) *μελλουσῶν* A. 5) Gad. scholion ad haec verba interpretanda habet: Solet enim motio naturae certamen interrumpere. Om. A. Quod sequitur scholion, ad verba Galeni pertinet *καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος σημεῖα καὶ τὰ ἑξῆς.* — 6) Addas *χρῆσθαι*.

τον δέ ἐστι τὸ ἐπίθυμον, καὶ ὅσα τὸν μελαγχολικὸν οἶδε τοῦ σώματος ἀπείργειν χυμόν.

Τηνικαῦτα δὲ συνεχῶς καὶ μηδενὸς κωλύοντος ἐλλέβορον λευκὸν διδόναι. —

Συνεχῶς ἐπὶ τούτων παρακελεύεται παρέχειν τὸν ἐλλέβορον, ἐπειδὴ κατὰ ἀκμὴν ὁ μελαγχολικὸς χυμὸς πεπεμμένος καὶ λεπτυνθεὶς ἀπὸ παντὸς τοῦ σώματος ἐς τὴν γαστέρα συῤῥεῖ, καὶ δέος ἐστὶ, μὴ 1) κακῶς ὤσῃ τὸ στόμα τῆς γαστρὸς καὶ λειποθυμίαν ἢ συγκοπὴν ἐργάσηται. χρὴ τοίνυν συνεχῶς τῇ τοῦ ἐλλεβόρου κενώσει κεχρῆσθαι. τὸν δὲ ἐλλέβορον ἐνδέχεται διαφόροις τρόποις παρέχειν, ποτὲ μὲν 2) ἀποζεννύντες αὐτὸν ἐν ὕδατι, τὸ 3) ἀπόζεμα διδόναι. ἔστι δὲ ὅτε αὐτοῦ τοῦ ἐλλεβόρου τὴν οὐσίαν κόπτοντες παρέχομεν ἢ λεπτομερεστέραν ἢ παχυμερεστέραν, ἧττον μέντοι βουλόμενοι κενῶσαι, λεπτομερεστέραν· φθάνει γὰρ ταχέως συνεκκριθῆναι τῷ χυμῷ τὸ φάρμακον, ἐμβραδύνον δὲ τὴν αὐτοῦ μᾶλλον ἐνέργειαν ἐνδείκνυται. ἔστι δὲ ὅτε τοὺς τοῦ ἐλλεβόρου 4) κλόνους λαβόντες, ἐπήγνυμεν αὐτοὺς ῥαφανίσι, καὶ ταύτας ἐῶμεν ἐν ὀξυμέλιτι βρέχεσθαι μίαν ἢ δευτέραν ἡμέραν, καὶ ὕστερον ἀφαιροῦντες τὸν ἐλλέβορον παρέχομεν αὐτοῖς τὰς 5) ῥαφανίδας ἐσθίειν, ἐμπεριεχομένης ταῖς ῥαφανίσι τῆς τοῦ ἐλλεβόρου ποιότητος.

Τοῦ τε διὰ τῶν ἐχιδνῶν φαρμάκου πίνειν διδόναι. —

Τὴν θηριακήν φησι τὴν συνήθη τούτοις παρέχεσθαι. αὕτη γὰρ λεπτύνουσα δύναται, εἴ τι λείψανον ἐστι τοῦ χυμοῦ τούτου, ἐκκρῖναι καὶ διαφορῆσαι καὶ μετασυγκρῖναι. χρῆσθαι δὲ μὴ μόνῃ ταύτῃ, ἀλλὰ καὶ ταῖς ἄλλαις ἀντιδότοις, ὅσαι πρὸς τοὺς πυρετοὺς εὐδόκιμοι ὦσιν. ἐπινενόηται γοῦν αὐτῷ τοιοῦτον ὅ τι φάρμακον ὀποῦ κυρηναϊκοῦ 6) λέγεσθαι. ὅτι δὲ καὶ ἄλλος ἐστὶν ὀπὸς κυρηναϊκὸς 7) ὁ καλούμενος μηδικὸς, εὔδηλον.

---

1) Fort. κακώσῃ. 2) ἀποξωνῦντες A. decoquentes G. 3) ἀπόζεμεν A. 4) Legendum κλῶνας. 5) ῥαφανίσιν A. 6) Fort. λέγεται. 7) Addam καί.

Ὅσοι δὲ κατ᾿ ἀρχὰς τῶν τοιούτων τι φάρμακον ἔδοσαν καὶ τὰ ἑξῆς. —

Ὥσπερ ἀπ᾿ ἀρχῆς κατὰ βραχὺ τὴν μείωσιν ἐποιησάμεθα, ἄχρις οὗ καταντήσαντες εἰς τὴν ἀκμὴν, εἰς ἀσιτίαν ἐλήξαμεν, οὕτω δὴ μετὰ τὴν ἀκμὴν οὐκ ἀθρόως ἀνάγειν αὐτοὺς ἐπὶ τὴν ἁδροτέραν δίαιταν, ἀλλὰ κατὰ βραχὺ καθ᾿ ἑκάστην ἡμέραν ὀλίγον προστιθέντας, ἵν᾿ οὕτως ἐκ προσαγωγῆς ἐθίσωμεν τὴν φύσιν ἀνέχεσθαι σιτίων παχέων καὶ δυναμένων τρέφειν τὸ σῶμα. οἶδε γὰρ ἡ ἀθρόα μεταβολὴ ταράττειν τὴν δύναμιν, ἄλλως τε καὶ ὅτι ἀσθενὴς οὖσα ὑπὸ τῆς προγεγενημένης τοῦ πυρετοῦ δυσκρασίας καὶ τῆς περὶ τὸ νόσημα μάχης, οὔπω δύναται τὰ ἰσχυρότερα τῶν σιτίων κατεργάσασθαι. καὶ χρὴ αὐτὴν ἐκβιβάζειν εἰς τὸ ὑγιεινὸν ἔθος κατὰ βραχὺ, τῷ ἀναληπτικῷ κεχρημένους τρόπῳ.

Αἵματος δ᾿ ἀφαίρεσις διά τε τὸ μέγεθος τοῦ νοσήματος καὶ οἷς πολὺ πλέον ἔρευθός ἐστι τοῦ κατὰ φύσιν. —

Χρὴ γὰρ ἐπὶ τούτων διελόντας τὴν φλέβα, διάπνοιάν τε ἐργάσασθαι, ὡς ἐκ τούτου τὴν τοῦ σηπεδόνος παῦσαι κακοήθειαν, καὶ μέντοι καὶ τοῦ αἵματος ἀφελόντας μέρος, ἐπιτρέψαι τῇ φύσει, 1) οἱ τῆς φλεβοτομίας ἀπαγορεύοιεν τοῦτο σκοποὶ, οἷον ὁ ὄγκος τοῦ σώματος, φλέβες τεταμέναι, δύναμις εὔρωστος, ἡλικία ἀκμαστικὴ, καὶ ὅσα ἄλλα δεῖ ζητεῖν ἐπὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως.

Ὑγραὶ δὲ δίαιται πᾶσι τοῖς ὀξέσι πυρετοῖς συμφέρουσιν.—

2) Ὅ γε νόμος τοῦ Ἱπποκράτους παρακελευομένου τῷ θερμῷ καὶ ξηρῷ νοσήματι τὴν ψυχρὰν καὶ ὑγρὰν ἀντιτιθέναι δίαιταν. ἀλλὰ τὴν μὲν ὑγρὰν ὠνόμασεν, ὡς ἂν ἀσφαλεστέραν αὐτῆς εἰδὼς τὴν χρῆσιν, τὴν μέντοι ψυχρὰν, ἐπειδὴ τὸ σφαλερὸν 3) πολὺ ἔχοι, παρεσιώπησε, δεομένην προσδιορισμῶν. δεῖ γὰρ τὰ ψυχρὰ παρέχειν μετὰ τὴν τοῦ νοσήματος πέψιν, δυνάμεως ἰσχυρᾶς ὑποκειμένης,

---

1) Fort. εἰ. Secare autem venam debemus, si sane scopi etc. G
2) ὁ γενόμενος A. 3) πολὴν A.

ἔθους ὑπαγορεύοντος, μηδενὸς τῶν κυρίων μορίων ἀσθενοῦς ὑπάρχοντος. καὶ πάντα ταῦτα ζητείσθω κοινῶς ἐπί τε τῶν 1) ἐχόντων ἁπάντων, καὶ μάλιστα τῆς τοῦ ψυχροῦ ὕδατος πόσεως, ἀγωνιστικωτάτης οὔσης ἐν τοῖς τοιούτοις πυρετοῖς.

Τῶν δὲ μετὰ συμπτωμάτων πυρετῶν οὐκέθ' ἁπλῶς οὕτως, ἀλλὰ μετρῆσαι χρή. —

2) Διειλεγμένος ἤδη περὶ πυρετῶν, νόθων τε καὶ γνησίων, νῦν ποιεῖ τὸ πάλαι ὑποδεχόμενον. αὐτὸς γὰρ ἀνωτέρω ὑπέσχετο, πρῶτον μὲν τῶν πυρετῶν τῶν ἄνευ συμπτωμάτων παραδώσειν τὴν θεραπείαν, ὕστερον δὲ καὶ τῶν μετὰ συμπτωμάτων. εἰρήκαμεν δὲ ἐν ἐκείνοις, ὅτι συμπτώματα νῦν φησιν, οὐ τὰ συνεισβαλλόμενα τοῖς νοσήμασιν ἐξ ἀνάγκης, ἀλλὰ τὰ ἐπιφαινόμενα· 3) δύνανται καὶ γενέσθαι καὶ μὴ γενέσθαι. χαλεπὸν μέντοι οὕτως ἐστὶν, ἐὰν γένηται, ὥστε τὸν ἰατρὸν ἀποστῆναι μὲν τῶν νοσημάτων, αὐτοῖς δὲ τὴν ὅλην προσενεγκεῖν ὠφέλειαν, καίτοι τῶν ἰατρῶν ἀεὶ τὰ νοσήματα προηγουμένως ἐθελόντων ἰᾶσθαι, ὧν θεραπευομένων, συνθεραπεύεται καὶ τὰ νοσήμασι γινόμενα συμπτώματα. ἀλλὰ διὰ τὴν τούτων κακοήθειαν ἀναγκάζονται πολλάκις, ὡς εἰρήκαμεν, ἀφέντες τὰ νοσήματα, τὸ πολὺ τῆς σπουδῆς περὶ τὴν τῶν συμπτωμάτων ἐπιδείξασθαι παραμυθίαν. χρὴ δ' ἔτι γινώσκειν, ὅτι μὲν ἡ τοῦ νοσήματος θεραπεία συμφωνεῖ τῇ τοῦ συμπτώματος ἀναιρέσει, καὶ τηνικαῦτα ὁ ἰατρὸς ἀγαπᾷ δι' ἑνὸς βοηθήματος δυναμένου πρὸς ἑκάτερα ἀνθίστασθαι, ποτὲ δ' ἀλλήλοις ἐναντιοῦται. καὶ τὸ τῶν συμπτωμάτων ἀναιρετικὸν αὐξητικὸν γίνεται τοῦ νοσήματος ἢ τὸ ἐναντίον. καὶ δεῖ τηνικαῦτα παραβάλλειν ἀλλήλοις * τοῦ τε νοσήματος καὶ τοῦ συμπτώματος, καὶ πρὸς τὸ κατεπεῖγον ἵστασθαι. κατεπείγει δὲ δηλονότι τὸ μᾶλλον καταλύον τὴν δύναμιν, κἀκείνου μὲν φροντίζειν, οὐ μὴν τοῦ ἑτέρου καταφρονεῖν.

Φέρε γὰρ εἴ τις πυρέττοι μὴ τῆς καλουμένης πληθωρικῆς διαθέσεως παρούσης. —

---

1) ψυχόντων conjec. G. 2) διηλεγ. A. 3) Fort. om. ἃ.

Πληθωρική ἐστι διάθεσις, ἡ τῶν τεσσάρων χυμῶν αὔξησις. ἔστι δ᾽ ὅτε καὶ τὴν τοῦ αἵματος ἀμετρίαν οὕτως ὀνομάζουσιν. συμβαίνει δ᾽ ἐνίοτε πληθωρικῷ τινι ἀνθρώπῳ πυρετὸν γενέσθαι, κακωθέντι τὸν στόμαχον ἢ ὑπὸ ἐμέτου μοχθηρῶν χυμῶν, τῇ διόδῳ κακούντων αὐτὸν, ἤγουν καὶ ὑπὸ διαφορᾶς σιτίων ἐξ ἀπεψίας διαφθαρέντων· δηλονότι τὸν στόμαχον δάκνοντα, δυσφορεῖν τε καὶ ἀλύειν αὐτὸν ποιεῖ. τί οὖν ἐνταῦθα χρὴ πρότερον θεραπεῦσαι, πότερον 1) * . . . . . *ἢ τὸ πλῆθος κενωτέον; ἀλλ᾽ οὐκ ἐνδέχεται τοῦτο δίχα βλάβης ἐργάσασθαι, θεραπευθέντος τοῦ στομάχου. οὐκουν ἄμεινον, ἐπὶ τὴν τούτου θεραπείαν πρῶτον ἐλθόντας, οὕτως ὕστερον τὰ τοῦ πλήθους κενωτικὰ παρασχεῖν.*

Ἀλλὰ καὶ εἰ σπώμενός τις ἅμα καὶ κενώσεως αἵματος εἴη χρήζων καὶ τὰ ἑξῆς. —

Ὅτι μὲν ὁ σπασμὸς κίνησίς ἐστιν ἀπροαίρετος ἐν προαιρετικοῖς ὀργάνοις γινόμενος, καὶ ὅτι μήκους ἀφαίρεσιν τὰ σπώμενα τῶν μορίων ὑπομένει, πολλάκις εἰρήκαμεν. ἀλλὰ καὶ ὅτι τὸ τοιοῦτον σύμπτωμα ἢ ὑπὸ πληρώσεως ἢ ὑπὸ κενώσεως γίνεται, οὐδεὶς ἀγνοεῖ. νῦν οὖν ὑποκείσθω γεγενημένος ὑπὸ πλήθει ὁ σπασμὸς, οὐκοῦν ἡ τούτου θεραπεία διὰ τῆς ἐναντιώσεως γίνεται, ὅ ἐστιν ἡ κένωσις. ἀλλ᾽ οὐ χρὴ τοσαύτην ποιήσασθαι τὴν κένωσιν, ὅσον ὑπαγορεύει τὸ πλῆθος, ἀλλὰ δεῖ μέτριον κενῶσαι, ἐάσαντες τὸ λοιπὸν 2) *τῶν σπασμῶν. δυναμένου διὰ τῆς* 3) *ἀμέτρου κενώσεως ξηραίνειν τε καὶ διαφορεῖν τοσοῦτον, ὅσον ἡ τοῦ* 4) *παραλελειμμένου πλήθους ἀναλόγως ἐνδείκνυται, καὶ μάλιστα ὅτι κενώσαντες ἀμέτρως, εἰκός ἐστι καταβληθῆναι τὴν δύναμιν ὑπό τε τοῦ συμπτώματος καὶ τῆς ἀμέτρου κενώσεως ἐνοχλουμένην.*

Οἷον δὲ σύμπτωμα καὶ τὴν τοῦ περιέχοντος ἀέρος ὑπολογιστέον 5) *κράσιν. —*

---

1) Numquid stomachum curare prius oportet G. addit. 2) *τῷ σπασμῷ* G. Legerim: *τῶν σπ. δυναμένων.* 3) G. proponit *ἐμμέτρου.* 4) *παραλελυμένου* A. Fort. *ἀναλογία.* 5) *κρίσιν* A.

Καλῶς προσέθηκε τὸ, οἷον σύμπτωμα, ἐπειδὴ ὁ περιέχων ἡμᾶς ἀὴρ, οὐκ ἐν τῷ σώματι περιεχόμενος, ἀλλ᾽ ἔξωθεν θεωρούμενος, τὰς ὑπ᾽ αὐτοῦ λαμβανομένας ἐνδείξεις ἡμῖν εἰς τὴν κένωσιν παρέχεται. χρὴ τοίνυν μήτε θερμοῦ τούτου καὶ ξηροῦ τυγχάνοντος, μήτε ψυχροῦ καὶ ὑγροῦ, τὴν κένωσιν ποιεῖσθαι. τούτων γὰρ ἑκατέρα τῶν κράσεων οὐκ ὀλίγα λυμαίνεται τοῖς σώμασιν. ἀλλ᾽ ἡ μὲν θερμὴ καὶ ξηρὰ συγκοπὴν ἐπάγουσα διὰ τῆς 1) ἐμμέτρου διαφορήσεως, ἡ δὲ ψυχρὰ καὶ ὑγρὰ, καταψύχουσα τὸ σῶμα καὶ μάλιστα ἐν ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν, 2) πνίγος ἀπειλεῖ. ἐπειδὴ γὰρ ἐμάθομεν, ὅτι κατὰ τὸν καιρὸν τοῦτον τὸ σῶμα περιψύχεται, ἅτε τῆς φύσεως ἐν τῷ βάθει συννευούσης, καὶ σὺν αὐτῇ τῶν ἐν αὐτῇ ὀχημάτων, τοῦ πνεύματός φημι καὶ τοῦ αἵματος, ἐν οἷς τὸ ἔμφυτον περιέχεται, διὰ τοῦτο 3) προστιθέμενον τῇ ψύξει ταύτῃ ἡ ἀπὸ τῆς κενώσεως τῆς ἀμέτρου ψύξις καὶ 4) ἡ ἀπὸ περιέχοντος, εἰς τοσοῦτον καταψύχει πολλάκις τὸν ἄνθρωπον, ὡς μηκέτι 5) ἂν δυνηθῆναι ἀνενεγκεῖν μηδὲ ἀνανεῦσαι μηδὲ τὴν ἀρχαίαν ἀνακτήσασθαι θερμότητα, καὶ κίνδυνον πολλάκις ἐπήγαγε τῇ τοιαύτῃ δυσκρασίᾳ.

Κατὰ ταὐτὰ δὲ καὶ τὰς 6) σχέσεις τοῦ σώματος χρὴ σκοπεῖν. —

Σχέσεις καλεῖ τοῦ σώματος τήν τε πυκνότητα καὶ 7) τὴν μαλακότητα καὶ τὴν σκληρότητα τῶν σαρκῶν. χρὴ ἐπὶ τούτων τοίνυν ζητεῖν, εἰ αἱ 8) σάρκες σκληραί εἰσι καὶ πυκναὶ καὶ μαλακαὶ καὶ ἀραιαί. εἰ μὲν γὰρ εἶεν μαλακαὶ, ῥᾳδίως ἐπὶ τούτων αἱ ἀτμίδες ἐκ τοῦ βάθους φερόμεναι, τιτρώσκουσί τε αὐτὰς καὶ 9) διαφορεῖσθαι. οὔκουν δηλονότι καὶ μετριωτέρας οἱ τοιοῦτοι δέονται κενώσεως. εἰ δὲ εἶεν σκληραὶ, τοὐναντίον συμβαίνει, καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπὶ τῶν παίδων φαμὲν εὐδιαφόρητον εἶναι τὴν ἕξιν, οὐχ ὅτι πάντως ἀραιοτέρους ἔχουσι τοὺς κατὰ τὸ δέρμα πόρους, ἀλλ᾽ ὅτι μαλακὴ τούτοις

---

1) ob immoderatam digestionem G. 2) πνῖγον A. Fort. πνιγμόν. 3) Fort. προστιθεμένη. 4) εἰ A. 5) ἐνδυνηθῆναι A. 6) ἕξεις Galen. 7) G. add. τὴν ἀραιότητα καί. 8) σάρκαι A. 9) ac digestionis sunt causae. G.

ἐστὶν ἡ σαρξ καὶ κρυώδης, ὑπὸ τῆς ἀμέτρου ὑγρότητος τοιαύτη γενομένη.

Ὁμοίως δὲ καὶ ὅσοι παχεῖς ὑπερβαλλόντως ἢ ἰσχνοὶ καὶ τὰ ἑξῆς. —

Παχεῖς ἐνταῦθά φησιν οὐ τοὺς εὐσάρκους, ἀλλ᾽ ὅσοι πλήθει πιμελῆς καλύπτονται, 1) ψυχρότητος ἀεὶ φιλούσης ἀπογεννᾷν τοιαύτην παχύτητα. δῆλον οὖν ἐστιν, ὡς κενωθέντες οὗτοι ἀμετρότερον εἰς ἔσχατον ἔρχονται ψύξεως, καὶ μάλιστα ὅτι συμβαίνει, τοῦ αἵματος κενωθέντος, τὰς ἐπικειμένας τοῖς ἀγγείοις σάρκας ἐπιπεσούσας κατ᾽ αὐτῶν, σύμπτωσίν τε τῶν φλεβῶν ἐργάσασθαι καὶ ταύτην πνιγμοῦ κίνδυνον ἐπάγειν. ἄξιον ζητήσεως, πῶς ἐπὶ τῶν ἰσχνῶν ἀπαγορεύει τὴν κένωσιν, καίτοι πολλάκις αὐτὸς ἀποφηνάμενος, ὅτι πολλῷ αἱματικώτεροι τῶν ἄλλων εἰσὶν οἱ ἰσχνοὶ, καὶ ὅσον ἐπὶ τούτων μᾶλλον ἀνέχονται τῆς ἀθρόας κενώσεως. καὶ λέγομεν, ὅτι ἐνταῦθα ἰσχνούς φησιν οὐ τοὺς ἐπ᾽ ὀλίγον, ἀλλὰ τοὺς ὑπερβαλλόντως. τοῦτο γὰρ ἐν τῇ λέξει προστέθειται, καὶ δῆλον ὅτι οἱ μὲν παχεῖς ὑπὸ τῆς κενώσεως βλάπτονται ὡς ψυχόμενοι, οἱ δὲ ἰσχνοὶ ὡς ξηραινόμενοι. οὔτε 2) γὰρ οἱ παῖδες οὔτε οἱ γέροντες ἀλύπως αὐτὰς φέρουσιν, οἱ μὲν παῖδες διὰ τὸ τῆς δυνάμεως ἀσθενὲς, οἱ δὲ γέροντες διὰ τὸ ψυχρὸν καὶ ξηρὸν τῆς κράσεως.

Τὰς δ᾽ ἀπὸ τῶν συμπτωμάτων τε καὶ νοσημάτων ἐνδείξεις οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν ἐργαζομένην ἕκαστον αἰτίαν χρὴ σκοπεῖν. —

Τεχνικωτάτῃ μεθόδῳ χρώμενος ὁ Γαληνὸς, ἐνταῦθα τά τε συμπτώματα καὶ τὰ νοσήματα θεραπεύει, τὰς ποιούσας αὐτὰ ζητῶν αἰτίας. συμβαίνει γὰρ ἐνίοτε τοῦ νοσήματος ἑνὸς ἢ συμπτώματος πολλὰς εἶναι διαφόρους αἰτίας, καὶ δῆλον ὅτι τὴν ποιήσασαν αἰτίαν ἀκριβῶς εἰδότα, καὶ πρὸς ἐκείνην ἐνιστάμενον, οὕτω κατάλληλον ποιεῖσθαι τὴν τῶν βοηθημάτων προσφοράν.

---

1) ψυχρότητι A. 2) γε proponit G.

Λειποθυμοῦσι γαρ ἐπί τε χολέραις καὶ διαῤῥοίαις καὶ δυσεντερίαις. —

Ἡ λειποθυμία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀθρόα διαφόρησις τοῦ ζωτικοῦ τόνου. γίνεται δ' αὕτη κατὰ γένος μὲν τριχῶς, κατὰ εἶδος δὲ, ὑπὸ πολλῶν αἰτίων. γίνεται γὰρ ἢ διὰ πλῆθος τῷ βάρει πνίγον τὴν δύναμιν ἢ διὰ κένωσιν ἄμετρον, συναισθάνειν 1) *ποιοῦσαν τοῖς ἀχρήστοις καὶ τὰ χρηστὰ, ἢ δι' ἀθρόαν μεταβολὴν κράσεως. καὶ πρότερον τὰς τῆς ἀμέτρου κενώσεως αἰτίας ἐκτίθεται κατὰ μέρος, ὕστερον δὲ τῶν λοιπῶν ἐφάπτεται. χολέρα δέ ἐστι χολῆς κένωσις, ἄνωθέν τε καὶ κάτωθεν. διάῤῥοια δὲ γαστρὸς φορὰ, ποικιλλομένη πάλιν καὶ αὕτη ταῖς ποιούσαις αἰτίαις. ἢ γὰρ ἐπὶ διαφθορᾷ γίνεται τῶν σιτίων ἢ ἐπὶ ἐμφράξει τῶν πρώτων φλεβῶν. ἀνάγκη γὰρ τότε, τῆς ἀναδόσεως μηκέτι γινομένης, ὑπάγεσθαι τὴν τροφήν. ἐνίοτε δὲ τῶν εἰρημένων οὐδέν ἐστιν. ἀπὸ δὲ τῶν τοῦ παντὸς σώματος εἰς τὴν γαστέρα συῤῥεόντων ὁ χυμὸς κενοῦται δι' ἐντέρων, ὥστε πρὸς τὴν διάφορον αἰτίαν διάφορον δεῖ προσάγειν καὶ τὴν θεραπείαν.*

Καὶ λειεντερίαις καὶ γυναικείῳ ῥῷ καὶ τραύμασιν, αἱμοῤῥοΐσι τε καὶ ἀναγωγαῖς αἵματος καὶ ταῖς διὰ ῥινῶν. —

Λειεντερία ἐστὶ ταχεῖα διέξοδος τῶν σιτίων, τοιούτων φερομένων, ὁποῖα κατεπόθη. γίνεται δὲ αὕτη ἢ ἐπὶ ἐσχάτῃ καταπτώσει τῆς καθεκτικῆς δυνάμεως, τῆς γαστρὸς ἀτονησάσης, ἢ κατὰ τὴν ἔνδον ἑαυτῆς ἐπιφάνειαν ἕλκωσιν ἐπιπόλαιον ἐχούσης 2) *σύμφορον. τηνικαῦτα γὰρ τὰ σιτία, τοῦ τῆς γαστρὸς σώματος ἁπτόμενα,* 3) *ἀνιᾷ τε αὐτὸ καὶ δάκνει καὶ εἰς κίνησιν ὀδυνηρὰν ἀνάγει, ὥστε μηκέτι κατέχεσθαι, ἀλλ' εὐθέως ὥσπερ διὰ σωλῆνός τινος ἀψύχου ἐκκρίνεσθαι, ὅθεν καὶ οἱ ἰδιῶται σωλῆνα τὸ πάθος ὀνομάζουσιν.*

Καὶ λοχείαις καθάρσεσιν ἀμέτροις. —

Χρὴ γινώσκειν ὅτι περὶ τὸ ἔμβρυόν εἰσι τρεῖς ὑμένες, ὁ μὲν καλούμενος ἀμνειὸς, ὁ δὲ ἀλλαντοειδής. ἔστι δὲ

1) *ποιοῦσα* A. 2) inutilem G. *ἀσύμφ.* 3) *ἀνιᾶται* A.

καὶ τρίτος ἄλλος, ὃν καλοῦσι χόριον· ὠνόμασται δὲ οὕτως, ἐπειδὴ πολλαὶ φλέβες καὶ ἀρτηρίαι κατ' αὐτόν εἰσιν ὥσπερ ἐν 1) *χορῷ τινι συνεληλυθυῖαι, καὶ δι' αὐτοῦ τρέφεται τὸ ἔμβρυον. τοῦτο τοίνυν τὸ χόριον πολλάκις μὲν σὺν τοῖς βρέφεσι κατάγεται, πολλάκις δὲ καὶ μετὰ τὴν ἀποκύησιν ὕστερον κατασπᾶται· εἴτε δ' οὕτως, εἴτ' ἐκείνως, ἀνάγκη αὐτὸ κατενεχθῆναι,* 2) *ἐπεὶ σηπόμενον κινδύνους οὐκ ὀλίγους ἐπιφέρει τῇ* 3) *γυνῇ. τηνικαῦτα τοίνυν αἷμα πολὺ ἐν τοῖς κατὰ τὴν μήτραν ἀγγείοις περιεχόμενον, ὃ καὶ κομίζεται μὲν ἀπὸ τοῦ παντὸς σώματος εἰς τροφὴν τοῦ ἐμβρύου, κατενεχθέντος δὲ τούτου,* 4) *μάτην ἐν αὐτοῖς περιεχόμενον συμβαίνει κενοῦσθαι, καὶ καλεῖται τὸ τοιοῦτον λοχεία κάθαρσις, ἥτις ἀμετροτέρα γινομένη πολλάκις λειποθυμίας ποιεῖ· ἐπήνεγκε δέ ποτε καὶ* 5) *ἀπεψία, ... ἀνάγκη γεννήσασα πολλὰ περιττώματα, καὶ ταῦτα ἐνίοτε δακνώδη. συμβαίνει δ' αὐτὰ ἢ* 6) *ἐπισχεθέντα ἢ ἐνεχθῆναι. εἰ μὲν οὖν ἐπέχοιτο ταῦτα, τῷ βάρει καὶ τῇ δήξει ποιεῖ τὴν λειποθυμίαν· εἰ δὲ φέροιντο, τῇ ἀμέτρῳ κενώσει τὸ τοιοῦτον ἐργάζονται.*

Καὶ ὑστερικῆς δὲ πνίξεως ἁπάσης λειποθυμία προηγεῖται. —

Φησὶ προηγεῖσθαι τὴν λειποθυμίαν, καίτοι ἡ πνὶξ πρῶτον γίνεται, καὶ οὕτως ἡ λειποθυμία ἀκολουθεῖ. καὶ λέγομεν ὅτι ἐνταῦθα καταχρηστικῶς ἐκάλεσε τὴν ὑστερικὴν ἄπνοιαν. διαφέρει γὰρ ἡ ἄπνοια πνιγὸς ὑστερικῆς, εἴ γε ἡ μὲν ἄπνοια γίνεται ἐπὶ σπέρματος περιουσίᾳ σηπομένου, καί τινας μοχθηρὰς ἀναθυμιάσεις πέμποντος παρὰ τὴν καρδίαν καὶ μάλιστα ψυχρὰς, καὶ κατασβεννύντος αὐτὴν, ὥστε καὶ ἄπνοιαν ἐργάσασθαι. συμ-

---

1) *χωρῷ* A. 2) *ἐπισηπόμενον* A. G. *ἐπισπώμενον* conjec. G. Equidem hariolor esse legendum *ἐπεὶ σηπ.* 3) Sic! 4) *μάτην ἐν αὐτοῖς περιέχεται* A. G. *περιεχόμενον* A. habet, quae lectio est erasa. G. correxit: *κατενεχθέντος δὴ τούτου συμβαίνει* etc. omissis, quae interjecta sunt, verbis. Ego, ni fallor, rectius emendavi. 5) *ἀπεψίαν* A. Intulit etiam quandoque ipsa inconcoctio animi dejectiones. nam inconcoctio necessario etc. G. 6) Fort. *ἐπισχεθῆναι.*

βαίνει δὲ ἐνίοτε, καὶ μελαγχολικὰς ἐξ αὐτοῦ φερομένας ἀναθυμιάσεις ἐπὶ τὸν ἐγκέφαλον ἀνατρέχειν καὶ ποιεῖν μελαγχολικὰ συμπτώματα. τοιοῦτον μέν ἐστιν ἡ ὑστερικὴ ἄπνοια· ἡ δὲ πνὶξ γίνεται ἐπὶ σπασμῷ, τῆς μήτρας ἀνεσπασμένης καὶ θλιβούσης κατὰ τὸ συνεχὲς ἔντερά τε καὶ γαστέρα καὶ διάφραγμα καὶ ἀναπνευστικὰ, οὐχ ὥσπερ τινὲς ὑπέλαβον, ὅτι τινὰ μόρια παρελθοῦσα ἡ μήτρα περὶ τὸν θώρακα γίνεται, μᾶλλον δὲ ἐν αὐτῷ τῷ θώρακι ὡς ἀπολαβοῦσα αὐτὸν ποιήσει τὸν πνιγμόν. τοῦτο γὰρ ἀνόητόν ἐστιν· 1) ἐπὶ τοίνυν τῆς ὑστερικῆς ἀπνοίας προηγεῖται πάντως λειποθυμία. καὶ γὰρ οὐδὲν 2) ἕτερόν ἐστιν ἄπνοια ἢ λειποθυμίας ἐπίτασις. καὶ ἀνάγκη τὸ μετριώτερον τοῦ χαλεπωτέρου πάθους ἀεὶ προηγεῖσθαι, ὥστε πρότερον μὲν λειποθυμοῦσιν, ὕστερον δὲ, τοῦ πάθους ἐπικρατοῦντος, καὶ ἡ ἄπνοια ἕπεται. ταῖς δὲ πνίξεσιν, ἃς καὶ ἀναδρομὰς καλοῦσιν, ὡς εἰρήκαμεν, ἡ λειποθυμία ἕπεται.

Προηγεῖται δὲ ἀποπληξίας. —

Ἡ γὰρ ἀποπληξία παντελὴς ἀναισθησία καὶ ἀκινησία τοῦ σώματος οὖσα, προηγουμένην αὐτοῖς ἔχει τὴν λειποθυμίαν, ἐφ᾽ ἧς ἔστι καὶ μετρίως αἰσθάνεσθαι. ἀμέλει τοι πολλάκις ἡ λειποθυμία, ἢ μᾶλλον οἱ λειποθυμοῦντες, ὥσπερ ἐκ βάθους τινὸς ἀκούειν ὑπολαμβάνουσι τῶν λεγομένων, καίτοι σφόδρα βοῶνται, ὡς ἀτρέμα λαλούντων αἰσθάνεσθαι.

Καὶ κακοήθους ἐπιληψίας καὶ διαφορήσεων καὶ συγκοπῶν καὶ μαρασμῶν. —

Ἐπιληψία πάλιν ἐστὶ σπασμὸς τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν, ἀλλ᾽ οὐ παντελοῦς. ἔστι δὲ καὶ κακοήθης ἡ τοιαύτη, ὅταν συνεχῶς γίνηται, ὡς ἀνίστασθαι καὶ καταπίπτειν, ἐφ᾽ ὧν συμβαίνει, τὴν δύναμιν καταλυθεῖσαν τὸ τῆς λειποθυμίας ὑποστῆναι πάθος.

---

1) ἐπεὶ A. 2) ἔντερον A.

Ἀλλὰ καὶ συμβάλλει καταβολαῖς πυρετῶν οὐκ ὀλίγαις καὶ μάλισθ' ὅταν ἄκρως ᾖ ξηρόν. —

Ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν συμβαίνει ποτὲ λειποθυμίαν γενέσθαι κατὰ δύο τρόπους, ἢ τῷ ἀμέτρῳ καὶ ἀθρόῳ τῆς δυσκρασίας, ἢ καὶ ὅτι τηνικαῦτα συῤῥέοντες εἰς τὸ βάθος οἱ χυμοὶ πνιγμὸν καὶ λειποθυμίαν ἐπιφέρουσιν.

Καὶ καυσώδει καὶ κακοήθει πυρετῷ συνεισέβαλέ ποτε. —

1) * Συνεισβάλλει ποτὲ ὁ καῦσος, τῇ ἀμετρίᾳ τῆς διαφορήσεως γινομένης λαύρου τοῦ πυρετώδους θερμοῦ, τὴν λειποθυμίαν ἐπάγει, εἰ καὶ μάλιστα κατὰ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ διὰ τὴν εἰρημένην αἰτίαν.

Καὶ ὅσοι διὰ μέγεθος φλεγμονῆς ἥπατος ἢ κοιλίας ἢ στομάχου πυρέσσουσι. —

Οἱ φλεγμονὰς, φησὶν, ἔχοντες ἔν τινι τούτων τῶν μορίων ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν, λειποθυμοῦσιν εἰκότως. συῤῥέοντες γὰρ οἱ χυμοὶ καὶ θλίβοντες τὸ ἔμφυτον θερμὸν, ἤδη θλιβόμενον ὑπὸ τῆς φλεγμονῆς, τῷ διπλασιασμῷ τῆς θλίψεως τὴν λειποθυμίαν ἐργάζονται, μάλιστα δὲ οἷς πλῆθος ὠμῶν χυμῶν καὶ ἀπέπτων. τηνικαῦτα γὰρ ἡ δύναμις ἂν 2) ἐπιχειρήσαι τούτους ἀπώσασθαι, διὰ τὸ γλίσχρον αὐτῶν καὶ παχὺ μὴ ἀνεχομένων ὑπακούειν, ὥστε καταλυθεῖσα ἐξ ἀνάγκης λειποθυμήσει.

3) Καί τις ἔμφραξις ἐπικαίρου μορίου. —

Λειποθυμοῦσι δὲ καὶ ὅσοις τὸ στόμα τῆς γαστρὸς ἄῤῥωστον. —

Ἐπὶ τούτων γὰρ διὰ τὴν φυσικὴν ἀσθένειαν ἀπὸ τοῦ παντὸς σώματος εἰς τὸ 4) στόμα τῆς γαστρὸς οἱ χυμοὶ συῤῥέοντες, πρὸς τὴν ἑαυτῶν φύσιν καὶ τὴν λειποθυμίαν

---

1) *συνεισβάλλει ποτὲ* e textu ejicit legitque *γινομένου λαύρου* G. 2) *ἐπιχειρήσῃ τούτοις ἀπόσασθαι* A. 3) G. ad haec verba scholion habet hoc: Haec enim in consensum sympatheiamve ducentes principia, animi defectionem faciunt. 4) *σῶμα* A.

ἐργάζονται. εἰ μὲν γὰρ εἶεν οὗτοι παχεῖς ἢ γλίσχροι, τῇ θλίψει καταλύουσι τὴν δύναμιν· εἰ δὲ δριμεῖς ἢ δακνώδεις ἤ τινα ἄλλην 1) μοχθηρὰν ἔχοντες ποιότητα, διὰ τὴν τοιαύτην δυσκρασίαν τὰς συγκοπὰς ἐπιφέρουσιν.

Καὶ μὲν δὴ καὶ ψυχικῶν παθῶν ἰσχύϊ λειποθυμοῦσί τινες. —

Χρὴ εἰδέναι ὅτι τὰ ψυχικὰ πάθη, εἰ μὲν ἐπιγένοιντο σφόδρα ἀσθενεῖ δυνάμει, 2) καταλύοντα αὐτὴν, θάνατον ἐπάγει, φθάνοντα τὴν λειποθυμίαν. εἰ δὲ ὁπωσοῦν ἡ δύναμις ἀντέχοι, ἀσθενὴς δὲ ἡ αἰτία εἴη, τὴν λειποθυμίαν ἐργάζεται. ἡ μὲν οὖν λύπη τῇ ἀμέτρῳ ψύξει καὶ 3) τῷ τοὺς χυμοὺς εἰς τὸ βάθος συννεύειν καὶ καταπνίγειν τὴν φύσιν, ποιεῖ τὴν λειποθυμίαν, ἡ δὲ ἡδονὴ 4) τῇ φύσει σκεδαννύουσα καὶ διαφοροῦσα τὸ ἔμφυτον θερμόν.

Καὶ θυμωθέντες ἐλειποθύμησαν. —

*Ἄξιον ζητῆσαι, πῶς αὐτὸς ἑαυτῷ δοκεῖ ἐναντιοῦσθαι. φησὶ γὰρ ἐν ἑτέροις, ὅτι θυμωθεὶς οὐδεὶς ἀπέθανε, καὶ τοῦτο εἰκότως. ἐπὶ γὰρ τοῦ θυμοῦ ἡ δύναμις συντονωτέρα ἑαυτῆς μᾶλλον γίνεται, ὥσπερ ἔφαμεν, τὸν λυπήσαντα ἀντιλυπῆσαι σπουδάζουσα. καὶ διὰ τοῦτο καὶ φέρεται τηνικαῦτα ἔξω τὸ ἔμφυτον θερμὸν, οἷον δι᾽ ἑαυτοῦ σπουδάζον ἀμύνασθαι τὸν πολέμιον. ἐνταῦθα δὲ τὴν λειποθυμίαν ἐπὶ τῷ θυμῷ γίνεσθαί φησι. λέγομεν τοίνυν, ὅτι ἐπὶ τῶν θυμουμένων, ἐπειδὴ τὸ πνεῦμα καὶ τὸ ἔμφυτον θερμὸν ἔξω 5) ῥέπει, εἰ μὲν εἶεν ἰσχυροὶ τὴν δύναμιν, ἀντέχουσι καὶ οὐ λειποθυμοῦσιν· εἰ δὲ εἶεν ἀσθενεῖς, ὥστε μηκέτι μὴ δύνασθαι τὸν τῆς δυνάμεως τόνον * 6) οἷον, τοιοῦτο λειποθυμοῦσι, καὶ μάλιστα ὅταν ἀραιοὶ τύχωσιν ὄντες τὴν ἕξιν. διὰ τοιαύτην αἰτίαν τοὺς μέν ἐστι τῶν θυμουμένων εὑρεῖν ἐρυθροτέρους, τοὺς δὲ ὠχροὺς καὶ τρομώδεις, τρομώδεις μὲν διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, μηκέτι δυναμένης ὀχεῖν τὰ μόρια, ἀλλ᾽ ἀτάκτως*

---

1) *μοχθηρίαν* A. 2) *καταλύονται* A. 3) *τὸ* A. *καταπήγνειν* A. 4) naturam dissipando G. 5) *ῥύπτει* A. proruit G. 6) ut non amplius facultatis tenorem possint conservare G Fort. *σώζειν*, *τοιοῦτοι*.

αὐτὰ κινούσης· 1) ὠχρὰ δὲ, διὰ τὸ συνεζεύχθη τῷ θυμῷ καί τινα φόβον, οἷον τοιοῦτον αὐτοῖς ἀπεργάζεται χρῶμα. ἔστι δὲ κἀκεῖνο εἰπεῖν, ὅτι ὁ θυμὸς λειποθυμίαν ποιῶν εἰς θάνατον οὐδέποτ᾽ ἄγει· μέτριος μὲν γὰρ οὐδὲ λειποθυμίαν, μὴ 2) δυνάμενος μηδὲ αὐτὴν τείνεσθαι. εἰ γὰρ ἔχοι τὸ ποιοῦν, οὕτως ἀνάγκη καὶ τὸ γινόμενον ἔχειν. ἀλλὰ μὴν ἡ τῆς λειποθυμίας ἐπίτασις οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ θάνατος. οὐκ ἄρα ἐστὶ θάνατος ἐπὶ τῶν 3) λυπουμένων, ὥστε τὸν λόγον ἀληθῆ εἶναι τὸ, θυμωθεὶς οὐδεὶς ἀπέθανε, κἂν τύχῃ λειποθυμήσας.

Ἀλλὰ καὶ νοτίδες ἔσθ᾽ ὅτε μὴ κατὰ καιρὸν τοῖς οὕτως ἔχουσιν ἐπιφαίνονται. —

Τοῖς οὕτως ἔχουσι, φησὶν, ἐν τοῖς ἀσθενοῦσι τὴν δύναμιν, καὶ ψυχικοῦ πάθους ὑπομένουσιν ἀμετρίαν· ἐπὶ τούτων γὰρ ἀρκοῦσι καὶ 4) μετρίαν νοτίδα ἐπάγειν λειποθυμίαν. εἰ δὲ εἶεν ἰσχυρότεροι, οὐκέτι νοτίδες ἰσχυραὶ τοῦτο 5) ποιῆσαι, ἀλλὰ ἱδρώτων ἀμετρίᾳ τῇ κενώσει τὴν λειποθυμίαν ἐπάγουσιν.

Ἀλλὰ καὶ διὰ μέγεθος ὀδύνης ἐκλύσεις γίνονται δήξεών τινων ἢ στρόφων. —

Οἶδε γὰρ ἡ τῆς ὀδύνης ἀμετρία διαλύειν τὴν δύναμιν.

Ἢ εἰλεῶν ἢ κωλικῆς διαθέσεως ἐξαίφνης ἐμπεσούσης. —

Εἰλεός ἐστιν 6) ἔμετος κόπρου· γίνεται δὲ ὑπὸ φλεγμονῆς ἀπολαβούσης τὰ ἔντερα καὶ μὴ συγχωρούσης τῇ κόπρῳ τὴν συνήθη ὁδὸν πορεύεσθαι. καὶ ἔστι τὸ τοιοῦτον σημεῖον τοῦ πάθους ἐπικίνδυνον καὶ ὀλιγάκις σωτήριον. καταλύει γὰρ τὴν δύναμιν τῇ τε ἀμετρίᾳ τῆς ὀδύνης καὶ τῇ ποιότητι τῆς κόπρου τὸν στόμαχον καὶ τὰ πεπτικὰ ὄργανα 7) ἐπιθολούμενα· ὅτι δὲ καὶ αἱ κωλικαὶ ὀδύναι σφοδρόταταί εἰσιν, οὐ δέομαι λέγειν. γίνονται δὲ

1) Fort. ὠχροί. Fort. διότι sive Infinit. 2) δυνάμει A. 3) G. correxit θυμουμένων. 4) Fort. μετρίαι νοτίδες. 5) Om. δύνανται Fort. ἀμέτρῳ κενώσει. 6) ἔμμετρος G. 7) Fort. ἐπιθολούμενον.

δὲ ὑπὸ φλέγματος παχέος, μεταξὺ τῶν δύο χιτώνων τοῦ 1) * καύσου περιεχομένου, καὶ ἀναλυομένου εἰς πνεῦμα, καὶ στρόφους δὲ καὶ 2) διατάσεις ἀμέτρους ἐπιφέροντος.

Ἀλλὰ καὶ νεῦρον τρωθὲν καὶ μυὸς κεφαλὴ λειποθυμίαν ἤνεγκεν. —

Ὅτι καὶ ῥοωδέστερα τῶν ἄλλων αὐτοῦ τυγχάνει μερῶν γίνονταί ποτε ἕλκη ἐν τοῖς τοιούτοις.

Τὰς γὰρ ἐν τοῖς πάθεσι συνεδρευούσας οὐχ οἷόν τε χωρὶς ἐκείνων ἰάσασθαι. —

Χρή φησιν ἐπὶ τούτων τὰ κῶλα δεσμεῖν τουτέστι χεῖράς τε καὶ σκέλη· ἀλλ' ἐπὶ μὲν τῶν κάτωθεν γενομένων κενώσεων, τὰς χεῖρας δεσμοῦμεν, ἵνα τῇ ὀδύνῃ τὰς ὕλας ἐκεῖσε προσκαλεσώμεθα, καὶ οἷον ἀντισπάσαντες ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω τὴν κένωσιν 3) εἵρξωμεν. εἰ δὲ διὰ τῶν ἄνω ἡ κένωσις γένηται, τοὐναντίον τὰ σκέλη χρὴ δεσμεῖν, εὖ εἰδότας, ὅτι εἰ κατὰ τῶν αὐτῶν χωρίων τοὺς δεσμοὺς ἐπιβάλλομεν, ὅθεν ἡ κένωσις γίνεται, οὔτε οὐδὲν ὠφελήσομεν, ἀλλὰ καὶ μᾶλλον προσεπιβλάψομεν τὸν κάμνοντα, τὰς αἱμοῤῥαγίας αὐξάνοντες.

Τὸ δὲ σύμπαν ἀντισπᾷν ἢ ἐπὶ τὰ κοινὰ τοῖς πεπονθόσιν.—

Ἐνταῦθα γενικούς τινας ἐκτίθεται τρόπους τῆς ἀντισπάσεως. χρὴ γάρ φησι τὴν ἀντίσπασιν ποιεῖσθαι ἢ ἐπὶ τὰ πέμψαντα ἢ ἐπὶ τὰ κοινωνοῦντα, οἷον, εἰ τύχει, κοινωνίαν ἔχουσιν οἱ τιτθοὶ πρὸς τὰς μήτρας διά τινων φλεβῶν, αἵτινες τὸ πάλιν συναγόμενον ἐν ταῖς ὑστέραις αἷμα, κατὰ τὴν κύησιν εἰς τροφὴν τοῦ ἐμβρύου χορηγούμενον, νῦν ἐπὶ τοὺς τιτθοὺς μεταφέρουσιν, ὅπως ἂν εἰς γάλακτος ἰδέαν μεταβάλλοι τὸ καὶ πάλιν ἔξω γεγονὸς καὶ τρέφοιτο τὸ παιδίον. εἰ τοίνυν εἴη κατὰ τὴν ὑστέραν ἡ κένωσις, τοῖς τιτθοῖς τὰς σικύας προσβάλλοντες κωλύομεν αὐτὴν γενέσθαι. αὕτη μὲν οὖν ἐστιν ἡ διὰ τῶν κοι-

---

1) G. emend. κώλου. 2) διαστάσεις A. 3) εἴξωμεν A. arceamus G.

νωνούντων μερῶν γινομένη ἀντίσπασις. ἐπὶ δὲ τὰ πέμψαντα ποιησώμεθα ταύτην, ὅταν τὰ ὑποδεξάμενα κυριώτερα εἴη τῶν ἀποστειλάντων. εἰ γὰρ ἀνάπαλιν ἔχει, τὰ μὲν πέμψαντα κύρια, τὰ δ' ὑποδεξάμενα ἀτιμότερά τε καὶ ἀκυρότερα, οὐκέτι τὴν ἀντίσπασιν ἀπὸ τοῦ σκοποῦ τούτου λαμβάνομεν.

Τὰς δὲ διὰ τῶν ῥινῶν ἥπατι καὶ σπληνὶ κατὰ τὴν αἱμοῤῥαγοῦσαν ῥῖνα. —

Ζητητέον, τί δήποτε ἔκ τε τοῦ δεξιοῦ μυκτῆρος ἢ ἀριστεροῦ φερομένου τοῦ αἵματος, τὸ μὲν ἐκ τοῦ δεξιοῦ τοῦ ἥπατος εἶναι λέγομεν, τὸ δὲ ἐκ τοῦ ἀριστεροῦ τοῦ σπληνός. πᾶσαι γὰρ αἱ κομίζουσαι φλέβες τὸ αἷμα ἐκ τοῦ ἥπατος φέρονται. οὐ γὰρ δὴ, ὥς τινες ὑπελάμβανον ἐκ τοῦ ἐγκεφάλου δύο καταφέρεσθαι φλέβας. τοῦτο γὰρ ἐκ τῆς ἀνατομῆς διελέγχεται. πῶς οὖν λέγομεν, ὅτι κατ' εὐθυωρίαν φέρεσθαι τὸ αἷμα, κατὰ ἴξιν, ὥς φησιν Ἱπποκράτης; οὐδὲ γὰρ φαίνεται, οὐδὲ ἀπ' αὐτοῦ τοῦ ἥπατος φερομένη κατὰ εὐθεῖαν 1) φλέβα ἐπὶ τὸν δεξιὸν μυκτῆρα, ἀλλὰ ἀποσχίδες τινὲς οὖσαι, ὧν ἕκαστον τῶν μορίων κατὰ τὸ δεξιὸν ἀπολαύει. τοῦτο τοίνυν 2) ἐπιλυσόμεθα τοῦτον τὸν τρόπον. Ἰστέον ὅτι ἐκ τριῶν τινων σύγκειται τὸ ἡμέτερον σῶμα, ὡς πολλάκις εἰρήκαμεν, λέγω δὲ, στερεῶν, ὑγρῶν καὶ πνευμάτων. καὶ ταῦτα λαβοῦσα ἡ φύσις τὸ ὅλον συντέθεικε σῶμα, καὶ τοῦτο καὶ γυῖα, καὶ ἔτεμε κατά τινα γραμμὴν διορίζουσαν αὐτοῦ τὰ δύο μέρη, ἥτις φαίνεται κατά τε τὸ χεῖλος καὶ τὸ στέρνον. τοῦτο δὲ ἐποίησεν, ἵνα μὴ, τοῦ ἑνὸς πάσχοντος μέρους, συμπάσχοι τὸ 3) μέρος πᾶν, καὶ διὰ τοῦ μέρους ἡ τοῦ παντὸς ἐνέργεια βλάπτοιτο. ἀμέλει ἐπὶ τῶν ἡμιπλήγων ὁρῶμεν τοῦτο γινόμενον. τῶν γὰρ ἀριστερῶν πολλάκις παραλυθέντων μερῶν, τὰ δεξιὰ ὑγιαίνει, ἢ το ἀνάπαλιν. τὰ τρία τοίνυν ταῦτα, λέγω δὲ τὰ στερεὰ καὶ ὑγρὰ καὶ τὰ πνεύματα, συμπάσχουσιν ἄλληλα, καὶ τοῦ ἑνὸς κινουμένου, καὶ τὰ ἄλλα συγκινεῖται. καὶ τοῦτό ἐστιν ὃ Ἱπποκράτης ἔλεγε· — σύμπνοια μία καὶ σύῤῥοια μία,

---

1) Fort. φλέψ. 2) ἐπιλησόμεθα A. solvemus G. 3) Fort. σῶμα.

καὶ πάντα συμπαθέα — τὴν μὲν σύμπνοιαν ἐπὶ τῶν πνευμάτων λαμβάνων, τὴν δὲ σύῤῥοιαν ἐπὶ τῶν ὑγρῶν, καὶ τὰ συμπαθέα ἐπὶ τῶν στερεῶν, καὶ τὴν σύμπνοιαν δὲ μίαν καὶ τὴν σύῤῥοιαν μίαν τῶν δεξιῶν πρὸς τὰ δεξιὰ, καὶ τῶν ἀριστερῶν πρὸς τὰ ἀριστερά. ἐπειδὴ οὖν μεμαθήκαμεν εἶναι πνεῦμα ἐν τῷ ἡμετέρῳ σώματι, καὶ χρὴ γινώσκειν, ὅτι τοῦτο ἐν παντὶ μορίῳ τοῦ σώματός ἐστι, καὶ οὐδέν ἐστιν, ὃ μὴ μετέχει τούτου, ἀλλὰ φοιτᾷ καὶ διὰ σαρκὸς καὶ δι᾽ ὀστέου. λεπτομερέστατον γάρ ἐστιν, ὡς μηδὲν ἄβατον αὐτῷ εἶναι. διὰ πάντων τοίνυν φοιτῶν ἑαυτῷ, συνεχὲς 1) [δὲ] τὸ μὲν ἐν τοῖς δεξιοῖς 2) τῶν ἐν τοῖς δεξιοῖς, τὸ δὲ ἐν τοῖς ἀριστεροῖς τῶν ἐν τοῖς ἀριστεροῖς. ἐὰν τοίνυν ἐν τῷ σπληνὶ τύχῃ τις οὖσα διάθεσις, ἡ ἐν αὐτῷ δύναμις ἀποκριτικὴ ἐπανίσταται, τὸ 3) λοιπὸν ἀπελάσαι. συνάγεται οὖν πρὸς ἑαυτὴν ὁ σπλὴν καὶ οἷον συστέλλεται· αὕτη γὰρ τῆς ἀποκριτικῆς ἡ ἐνέργεια· καὶ συναγόμενος κινεῖται, καὶ κινούμενος συγκινεῖται ἑαυτῷ τὸ πνεῦμα, ἅτε λεπτομερὲς ὑπάρχον τὴν ἄνω διώκει φορὰν, καὶ πρόεισιν ἅμα μὲν διὰ τῶν ἀγγείων, ἅμα δὲ καὶ διὰ τῶν ἀδήλων πόρων. καὶ διερχόμενον τὸ πνεῦμα, εὐρύνει τὰς ὁδοὺς, εἶτα γενόμενον περὶ τὰ ἀριστερὰ μέρη τοῦ ἐγκεφάλου, τὸν ἀριστερὸν μυκτῆρα ἀραιόν τε καὶ εὐρύτερον ποιεῖ καὶ ἑτοιμότερον εἰς αἱμοῤῥαγίαν. ὁ τοίνυν χυμὸς, ἐλαυνόμενος ὑπὸ τῆς ἐν τῷ σπληνὶ δυνάμεως ἀποκριτικῆς, παλινδρομεῖ ἐπὶ τὸ ἧπαρ· ἔπειτα ἡ ἐν τῷ ἥπατι δύναμις, οὐκ ἀνεχομένη φέρειν αὐτὸν, ἀπελαύνει. ὁ δὲ διὰ τῶν φλεβῶν ἀναφέρεται, καὶ φερόμενος περὶ τὴν κεφαλὴν εὑρίσκει τὸν ἀριστερὸν μυκτῆρα ἀνεῳγμένον, καὶ δι᾽ αὐτοῦ ἐκκρίνεται. ὁμοίως δὲ κἀπὶ τοῦ ἥπατος ἔχει. ὅταν γὰρ ἐν αὐτῷ ἡ διάθεσις οὖσα τύχῃ, τὸ ἐν αὐτῷ πνεῦμα κινούμενον καὶ ἐπὶ τὰ ἄνω φερόμενον, τὸν δεξιὸν αὐτῷ μυκτῆρα παρασκευάζει. χρὴ τοίνυν τὸν βουλόμενον ἀντισπᾷν τὴν ῥινῶν αἱμοῤῥαγίαν, ἐπὶ μὲν τοῦ μυκτῆρος δεξιοῦ, τῷ ἥπατι τὴν σικύαν ἐπιτιθέναι, ἐπὶ δὲ τοῦ ἀριστεροῦ τῷ σπληνὶ, ἐπὶ δὲ τῶν ἀμφοτέρων, ἀμφοτέροις· τὸ γὰρ πνεῦμα ἐκ τῶν ἄνω κάτω φερόμενον, συνορμᾷν

1) ἐστὶ conj. G. 2) τῶν G. bis in τῷ mutavit. 3) noxium G.

ἑαυτῷ ποιεῖ τοὺς χυμοὺς, καὶ ταύτῃ κωλύει τὴν διὰ ῥινῶν κένωσιν.

Ἰᾶται δὲ καὶ ὁ οἶνος ὕδατι ψυχρῷ κεκραμένος τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις. —

Ἐπειδὴ τῇ ἀμέτρῳ διαφορήσει λειποθυμία γίνεται, δηλονότι δεόμεθα τροφῶν, αἵτινες τὸ λοιπὸν ἀντεισάξουσι τῷ σώματι. ἀλλ' εἰ μὲν αὗται αἱ τροφαὶ ἑαυτὰς πέττειν τε καὶ μεταβάλλειν ἐπεφύκεσαν, καὶ προστίθεσθαι τῷ σώματι, ἐκείνας ἂν ἐπελεξάμεθα εἰς τὰ παρόντα τὰς μάλιστα 1) θρέψαι, οἷόν ἐστι τὸ χοίριον κρέας καὶ ἄρτος καὶ ὅσα τροφιμώτατα τῶν ἐδεσμάτων ἐστίν. ἀλλ' ἐπειδὴ δύναμίς ἐστιν ἡ τὰς εἰρημένας ἁπάσας ἐνεργείας διοικοῦσα, καὶ ταύτης χωρὶς οὐκ ἂν ἡ τροφὴ προστεθείη τῷ σώματι, δῆλον ὅτι πρὸς τὸν αὐτὸν τόνον καὶ τὴν τροφὴν προσάξομεν. οὐκοῦν ἐπειδὴ νῦν ἀσθενὴς ὑπόκειται, δεόμεθα 2) οὐ τῶν τροφιμωτάτων· ταῦτα γὰρ δύσπεπτά τέ εἰσι καὶ οὐκ εἴκοντα εὐχερῶς τῇ ἀλλοιωτικῇ δυνάμει· ἀλλὰ τῶν 3) δυναμένων ταχέως μὲν πεφθῆναι καὶ ἀκαμάτως, ταχέως δὲ ἀναδοθῆναι. παρέχομεν οὖν αὐτῷ τὸν οἶνον, δυνάμενον μὲν τάχιστα ἀλλοιωθῆναι καὶ ἀναπληρῶσαι τὴν βάσιν τοῦ διαπεφορημένου. χρὴ δὲ κιρνᾶν αὐτὸν ὕδατι ψυχρῷ, ὅπως ἂν καὶ τῇ ψύξει συναγάγῃ καὶ διεσκορπισμένας τὰς δυνάμεις καὶ τόνον περιποιήσῃ τῷ σώματι. εἰ δὲ καὶ ἀπὸ τοῦ παντὸς σώματος ἐπὶ τὴν γαστέρα σύῤῥοια γίνοιτο, τηνικαῦτα μάλιστα συμβάλλεται ἡ τῷ ψυχρῷ ὕδατι κεκραμένου οἴνου χρῆσις. ἀναδιδόμενος γὰρ ὁ τοιοῦτος οἶνος συναναφέρει ἑαυτῷ καὶ τὰς ὕλας καὶ ποιεῖ αὐτὰς τὴν ἐναντίαν ὁδὸν φέρεσθαι, ὥστε κωλῦσαι τὴν ἐπὶ τὴν γαστέρα φοράν.

Ἔστω δὲ καὶ οἶνος ἐπὶ μὲν τοῖς εἰς τὴν γαστέρα ῥεύμασι θερμός τε καὶ λεπτός. —

Ὁ γὰρ τοιοῦτος εὐχερῶς ἀναδιδόμενος ἅπαντα τοῖς ἐπὶ τὴν γαστέρα φερομένοις ῥεύμασι καὶ τῇ βίᾳ τῆς ανα-

1) τρέψαι A. Omiss. δυναμένας. 2) οὐ om. G. 3) δυνάμεων A.

δόσεως συναναφέρει ἑαυτῷ, κινούμενα πλημμελῶς τε καὶ ἀτάκτως.

Ἐπὶ δὲ ταῖς αἱμοῤῥαγίαις παχύς τε καὶ μέλας καὶ στρυφνός. —

Χρὴ δὲ ὡς ἐπὶ τὸ πλεῖστον φυλάττεσθαι, παρούσης αἱμοῤῥαγίας, οἶνον διδόναι. εἰ δὲ ἄρα χρεία γένοιτο, μὴ δυναμένων ἡμῶν ἄλλως ἀνακτήσασθαι τὴν δύναμιν, εἰ μὴ διὰ τῆς τοῦ οἴνου χρήσεως, δοτέον αὐτὸν παχύν τε καὶ στρυφνὸν, ἵνα τῷ μὲν πάχει παχύτερον τὸ αἷμα ποιήσῃ καὶ δύσῤῥουν, τῇ δὲ στύψει πυκνώσῃ τοὺς πόρους, ὥστε πανταχόθεν κωλῦσαι τὴν τοῦ αἵματος ἔκκρισιν. ἔστω δὲ, φησὶ, καὶ ὁ οἶνος μέλας, ἐπειδὴ τῶν οἴνων οἱ μέλανές εἰσι φύσει παχύτεροι.

Καὶ ταῦτα καὶ τὰ ψύχοντα καὶ ἐφ᾽ ὧν ἐπιπολῆς καὶ τὰ ἑξῆς. —

Ἐπὶ μὲν τῶν μορίων τούτων, ἐπειδὴ 1) *φύσει νευρώδη ἐστὶ καὶ οὐδὲν ἐξ αὐτῶν ἔχει πρόβλημα, κωλῦον τὴν τοῦ ψυχροῦ ἐπὶ τὸ βάθος φορὰν, κωλύειν τοῖς ψύχουσι χρῆσθαι, δηλονότι γενομένης ἐξ ἑνὸς τούτων τῆς κενώσεως, ἢ τῆς μήτρας ἐπὶ τοῦ γυναικείου καταμηνίου, ἢ τοῦ στομάχου ἐπὶ τῆς χολέρας, ἢ τῆς γαστρὸς ἐπὶ τῆς διαῤῥοίας, ἢ τοῦ θώρακος ἐπὶ τοῦ αἵματος ἀναγωγῆς ἢ πύου. κέχρηται μέντοι τοῖς στύφουσι μόνοις, ἵνα διὰ τούτων* 2) *πυκνώσῃ τοὺς πόρους, εἴρξῃ τὴν κένωσιν. ἐπὶ δὲ τῆς κεφαλῆς πρὸς τούτοις προστίθησι καὶ τὰ ψύχοντα, ἐπειδὴ ταύτης ὀστοῦν προβέβληται, μὴ συγχωροῦν τοῖς ψύχουσιν ἀμέσως ὁμιλεῖν αὐτῷ τῷ ἐγκεφάλῳ καὶ λυμαίνεσθαι.*

Καὶ κατὰ τοὺς μυκτῆρας φλεβῶν εἴη τις ἐῤῥωγυῖα, τῶν ἐπεχόντων τὸ αἷμα φαρμάκων ἐπιτιθέναι. —

Ἐφ᾽ ὧν ἐστι τοῦ ἀγγείου ῥῆξις, ὡς διὰ τούτου γίνεσθαι τὴν αἱμοῤῥαγίαν, ἐπὶ τούτων χρὴ τοῖς καλουμένοις ἰσχαίμοις φαρμάκοις κεχρῆσθαι. ταῦτα δὲ συστέλλει τὰς

---

1) *φησι* A. 2) *πυκνώσῃς* A. Fort. *πυκνώσας.*

αἱμοῤῥαγίας, ἢ τὸ στύφειν τε καὶ πυκνοῦν, ὃ ποιεῖ τὸ ὀξύκρατον καὶ ἡ τοῦ ψυχροῦ ὕδατος χρῆσις, ἢ τὸ παρεμπλάττειν, ὥσπερ τὸ διὰ τοῦ πομφόλυγος καὶ ἀμύλης καὶ ψιμμιθίου καὶ λιβανωτοῦ καὶ ἀλόης καὶ ὠοῦ τὸ λευκὸν, ἢ τὸ καίειν τε καὶ ἐσχαροῦν, ὡς τὰ διὰ τῆς χαλκίτεως, καὶ μίσυϊ καὶ χαλκάνθῳ, ἐφ᾽ ὧν ἐσχάρα γεγονυῖα τόν τε πόρον ἀπολαμβάνει, δι᾽ οὗ τὸ αἷμα φέρεται καὶ τὴν αἱμοῤῥαγίαν ἀνίστησι. καὶ χρὴ δηλονότι πρὸς τὴν χρείαν ἑκάστῳ τούτων κεχρῆσθαι. λέγειν δὲ νῦν οὐκ εὔκαιρον τὴν ἐπιδέξιον ἑκάστου χρῆσιν.

Λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτηδειότατα. —

Ταῦτα γὰρ ἐπὶ τὰ ἐκτὸς ἕλκοντα τὴν ὕλην, οἷον ἀντίσπασιν ἐργάζεται, καὶ κωλύει τὰ ὑγρὰ διὰ γαστρός τε καὶ ἐντέρων ἐκκρίνεσθαι. χρὴ δὲ εἰδέναι, ὅτι ἐφ᾽ ὧν ἐστι πλῆθος ὕλης ἐν τῷ σώματι περιεχόμενον, ἐπ᾽ ἐκείνων τὰ βαλανεῖα μᾶλλον προτρέπει τὴν γαστέρα. χέοντα γὰρ τὰς ὕλας καὶ εὐρωτέρας αὐτὰς ποιεῖ καὶ δυναμένας πάσας ἐπὶ τοὺς ἀδήλους προτρέψασθαι πόρους, τὰς ὑπολοίπους ἐν τῷ βάθει ποιεῖ φέρεσθαι διὰ γαστρὸς καὶ ἐντέρων. ἐπίσχεσιν δὲ ἡμεῖς παύομεν διὰ βαλανείου χρήσεως τῷ καθεῖναι αὐτοὺς εἰς τὴν κολυμβήθραν, καὶ ἐπαναγαγεῖν εἰς εὐκρασίαν, ᾗ χαίρουσιν αἱ δυνάμεις. τηνικαῦτα παρ᾽ αὐτὰ ῥωσθεῖσαι κατὰ συμβεβηκὸς ἐπανίστανται καὶ τὰς ἐπεχομένας φυσικὰς ἐκροὰς συνήθως ποιοῦνται. τοῦτο δὲ γίνεται, ὅταν ἐπὶ τῇ τῆς ἀποκριτικῆς δυνάμεως [ὡς] ἀσθενείᾳ, ἡ τῆς γαστρὸς ἐπίσχεσις γένοιτο.

Τὰς δ᾽ αἱμοῤῥαγίας δεινῶς παροξύνει. —

Τῷ θερμαίνειν δηλονότι καὶ 1) καίειν τὰς ὕλας.

Καὶ ὅσοι διὰ πλῆθος ἱδρῶτος λειποθυμοῦσι. —

Καὶ τοῦτο εἰκότως. εἰ γὰρ 2) καὶ φύσει τῇ ἀμετρίᾳ τῶν ἱδρώτων ἡ λειποθυμία ἐγένετο, πέφυκε δὲ τούτους

---

1) χέειν G. quia fundunt. 2) Legendum arbitror ὡς φησί. G.

ἐπιτείνειν τὰ βαλανεῖα, δῆλον ὅτι ἐναντιώτατα ἂν εἴη τούτοις.

Ἀλλὰ μηδὲ διαδεῖν τὰ κῶλα. —

Χρὴ γὰρ ἐπὶ τούτων ἡσυχίαν μάλιστα παραλαμβάνειν, εἰδότας ὅτι καὶ ἡ τυχοῦσα κένωσις, θερμαίνουσα τούτους, δύναται μάλιστα τοὺς ἱδρῶτας ἐπιτείνειν καὶ κίνδυνον ἐπάγειν.

Τοῖς δ' ἐπὶ πλήθεσιν οὐκέθ' ὁμοίως. —

Παραμυθησάμενος τὴν ἐπὶ ταῖς ἀμέτροις κενώσεσι γενομένην λειποθυμίαν, μεταβαίνει λοιπὸν ἐπὶ τὴν ἑπομένην λειποθυμίαν, 1) εἴ γε καὶ ἡ ποιήσασα αἰτία καθάπαν ἐναντίως ἔχει. χρὴ οὖν ἐπὶ τούτων τὰ κῶλα ἰσχυρῶς ἀνατρίβειν, τουτέστι πόδας καὶ χεῖρας, ἵνα ἀπὸ τοῦ βάθους ἐπὶ τὴν ἐπιφάνειαν τὸ πλῆθος ἐπισυρώμεθα, καὶ ταύτῃ τὸ βάθος ἐλευθερώσωμεν. χρὴ δὲ τὰ κῶλα οὐ μόνον ἀνατρίβειν, ἀλλὰ καὶ θερμαίνειν, ὡς ἂν τῆς θερμότητος πεφυκυίας ἐπισπᾶσθαι τὰ ῥεύματα. καὶ μέντοι καὶ διαδεῖν, καὶ τῆς ὀδύνης αὐτὸ δυναμένης ποιεῖν· καὶ τροφῆς ἀπέχειν. καὶ γὰρ ἄτοπόν ἐστιν ἐπὶ πλῆθος πλῆθος ἐπισωρεύειν περιττωμάτων, ὑπὸ τῆς δοθείσης τροφῆς γεννωμένων. δεῖ δὲ εἴργειν αὐτοὺς καὶ τῆς τοῦ οἴνου πόσεως, τρέφοντος τε αὐτοῦ, καὶ ταύτῃ πλῆθος ἐμποιοῦντος, καὶ μέντοι καὶ τῇ θερμότητι χέοντος τὰς ὕλας, καὶ πλείονας εἶναι ποιοῦντος.

Καὶ λουτρῶν, εἰ πυρέττοιεν. —

Καλῶς προσέθηκε τὸν προσδιορισμόν. εἰ γὰρ μὴ πυρέττοιεν, οὐ παντάπασιν αὐτοὺς εἴρξομεν λούσασθαι, ἀλλ' ἐπιτρέψομεν αὐτοὺς ἐν τῷ βαλανείῳ εἰσελθόντας ἐνδιατρίψασθαι τῷ ἀέρι, δυναμένῳ καὶ διαφορεῖν, καὶ ἀπὸ τοῦ βάθους ἐπὶ τὴν ἐπιφάνειαν τὸ πλῆθος 2) ἐφέλκεται.

Ἀρκεῖ δ' αὐτοῖς μελικράτου διδόναι πόμα. —

---

1) G. addit: oppositamque curationem adhibendam asserit.
2) Fort. ἐφέλκεσθαι.

Μελίκρατον παρέχει, ἵνα λεπτύνῃ τὸν χυμὸν τὸν ὑποκείμενον καὶ εὔρουν αὐτὸν ποιήσῃ. ἀμέλει τοι καὶ μίγνυσιν 1) *αὐτὸν, ὅσα θερμῆς καὶ λεπτυντικῆς ἐστι δυνάμεως, οἷον θύμον, φλισκούνιον, ὕσσωπον, ὀρίγανον.*

Ἐπιτήδειον δὲ καὶ ὀξύμελι. —

Καὶ τοῦτο γὰρ οἶδε λεπτύνειν τοὺς χυμοὺς καὶ εἰς ἔκκρισιν προτρέπεσθαι.

Καὶ τὰς ἐφ᾽ ὑστέραις πεπονθυίαις ἐκλυομένας ὡσαύτως ἰᾶσθαι. —

Τὴν αὐτήν φησι παραλαμβάνειν θεραπείαν ἐπὶ τῶν γινομένων λειποθυμιῶν καὶ διὰ τὰς τῶν ὑστερῶν ἀναδρομὰς, οἵαν κἀπὶ τοῦ πλήθους 2) *παρέλαβον. δῆλον γὰρ ὅτι καὶ αὗται ἀνέδραμον, σπώμεναι διὰ πλῆθος,* 3) *πληρῶσαν τὰ ἀρτήματα αὐτῶν. φυλάττεσθαι δὲ ἐπὶ τούτων τὴν τοῦ ὀξυμέλιτος χρῆσιν. ὑστεραλγὲς γάρ ἐστι τοῦτο, φησὶν Ἱπποκράτης, καὶ βλάπτει [οὐ] τὴν βλάβην, οὐ τὴν τυχοῦσαν, τὸ μόριον τοῦτο, νευρωδέστερον ὄν. τὸ γὰρ ὄξος, ξηρὸν καὶ ψυχρὸν ὑπάρχον τὴν κρᾶσιν, ἐναντιοῦται τῇ μήτρᾳ, ὁμοίως κεκραμένῃ προστιθέμενον, καὶ* 4) *διπλασιάζον αὐτῆς τὴν δυσκρασίαν.*

Δεῖν καὶ τρίβειν σκέλη μᾶλλον ἢ χεῖρας. —

Βουλόμεθα γὰρ ἀνεσπασμένην τὴν μήτραν κατάγειν· ὥς γε δεῖ τὰ κάτω μόρια τρίβειν, ἵνα τῇδε τὰς ὕλας ἐπισυρόμενοι, καὶ τὴν μήτραν σὺν αὐταῖς εἰς τὸν οἰκεῖον ἐπισπασώμεθα τόπον. τοῦτο δὲ αὐτὸ ποιοῦσι καὶ σικύαι προσαγόμεναι τοῖς βουβῶσιν, ἕλκειν πεφυκυῖαι 5) *ὠμὸν χυμὸν, ἀλλὰ δὴ καὶ αὐτὰ τὰ μόρια. καὶ ἄλλως τε καθὼς προείρηται, τῇ ῥοπῇ τῶν χυμῶν ἀκολουθεῖ καὶ ἡ μήτρα. πλὴν ἐκεῖνο χρὴ προσδιορίσασθαι, ὅτι τῆς μήτρας καθ᾽ ἓν μόριον αὐτῆς παρεσπασμένης καὶ παρακεκλεισμένης, καὶ κατὰ τὸν ἕνα βουβῶνα θετέον τὴν σικύαν.* * 6) *προ-*

---

1) Fort. *αὐτῷ.* 2) *παρελάβομεν* G. susceperamus. 3) *πληρώθηται* A. 4) *διαπλησιάζον* A. 5) *οὐ μόνον χυμοὺς* G. proponit. 6) Fort. *πρὸς ἄνω δ᾽ εἰ τύχει ἀνεσπασμένης.* quum vero sursum adacta atque attracta sit G. *μὴ* om. G.

σαγομένη δὲ τύχη ἀνεσπασμένη, ὥστε ὅλην αὐτὴν ὁμοτίμως ἄνω γενέσθαι, τηνικαῦτα τοῖς δύο μορίοις τὰς σικύας [μὴ] ἐπιβάλλομεν.

Καὶ ταῖς μὲν ῥισὶν ὀσφραντὰ δυσωδέστατα. —

Ἐντεῦθεν ὁρμώμενοί τινες ἐπιχειροῦσι λέγειν, ὅτι καὶ αὐτὸς ὁ Γαληνὸς φαίνεται δοξάζων, τὴν μήτραν εἶναι ζῶον, καί φασιν αὐτῷ ἑαυτὸν ἐναντιοῦσθαι. πανταχοῦ γὰρ ἀπαγορεύει τὸ δόγμα τοῦτο καὶ 1) διαλόγων αὐτό. φαίνεται δὲ οὕτως ὁ Πλάτων ἐν Τιμαίῳ λέγων· ζῶόν ἐστιν ἐκ τοῦ τινα δύναμιν ὀρεκτικὴν ἔχειν τοῦ σπέρματος, 2) οὗ μὴ τυχοῦσα, ἁπανταχοῦ ἀλύεται τοῦ σώματος, ἐπιζητοῦσα τὸ ἐραστόν· εἶτα γενομένη ποτὲ περὶ τὸν θώρακα, πνιγμοὺς ἐπιφέρει. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς προλαβοῦσιν ἤδη ἐλέξαμεν. φασὶ δὲ οὗτοι κατὰ τὸν Ἀριστοτελικὸν λόγον, ὅτι ὅσα ἢ τῶν πέντε αἰσθήσεων ἢ τέσσαρα ἢ τριῶν ἢ δύο καὶ μιᾶς αἰσθήσεως μόνης μετέχει, ταῦτα λέγει εἶναι ζῶα, καὶ ὅσα μὲν τὴν πρώτην αἴσθησιν ἔχει, καὶ ταῦτα καὶ τὰς λοιπὰς ἁπάσας ἐξ ἀνάγκης κέκτηται. πρώτη δ' ἐστὶν ἡ ὅρασις. 3) ταύτῃ πάντως ἀκούει, καὶ ὀσφραίνεται καὶ γεύεται καὶ ἅπτεται· οὐ μὴν ὅσα ἀκούει, ταῦτα πάντως ὁρᾷ, ἀλλὰ τὰ μὲν τὴν αἴσθησιν τὴν 4) ἀκουστικὴν, τὴν δὲ ὄψιν οὐ πάντως. ἔστι δέ τινα, ἃ οὐδὲ τὴν ἀκουστικὴν ἔχει, ἀλλὰ τὰς μετ' αὐτὴν, ὄσφρησιν καὶ γεῦσιν καὶ τὴν ἁφὴν, τινὰ δὲ τὰς δύο μόνας, ὥσπερ αἱ θαλάττιαι χῆμαι. σπόγγοι δὲ τὴν ἁπτικὴν ἔχουσι μόνην. εἰ τοίνυν καὶ ἡ μήτρα τὴν ὀσφραντικὴν ἔχει, δηλονότι ἔχοι ἂν καὶ τὴν 5) γαστέρα, ὥστε καὶ τρεῖς ἔχουσα αἰσθήσεις, κυρίως λέγεσθαι, καὶ εἶναι ζῶον. ὅτι δὲ τὴν ὀσφραντικὴν ἔχει, δῆλον ἐκ τοῦ καὶ αὐτὴν ἀνωτέρω μὲν 6) ἰοῦσαν, ὡς αὐτός φησιν ἐν τῷ θώρακι, τῶν δυσωδῶν προσφερομένων ἰωμένην φεύγειν τε καὶ καταλιμπάνειν αὐτὰ, προστρέχειν δὲ τοῖς εὐώδεσι κάτωθεν προσαγομένοις. αὕτη

1) διελέγχει legendum esse arbitratur G. Recte. 2) οὐχὶ A. 3) Ergo quae hanc habent, omnino etiam audiunt G. Deesse aliquot verba in cod. A. videntur. 4) sc. ἔχει. 5) gustatorium G. γευστικήν. 6) existens G. ἐοῦσα.

μὲν ἡ τούτων ἀπορία, δριμεῖα 1) δή τις οὖσα καὶ οὐκ εὔλυτος· ἡμεῖς δὲ τὴν αὐτὴν ἐπιλυσώμεθα τῷδε τῷ τρόπῳ. χρὴ εἰδέναι, ὅτι εἰ τὴν ὀσφραντικὴν εἶχεν ἡ μήτρα, κάτωθεν ἂν αὐτῶν προσφερομένων ᾐσθάνετο. νῦν δὲ ἄνωθεν προσφέρεται. καὶ πῶς δύναται, διὰ τοσούτων παριόντα μορίων, φέρεσθαι περὶ τὴν μήτραν; ἀλλ' εἴποιμεν ἂν ὅτι κατὰ τὸν θώρακα οὕπως 2) αὐτὸν ἀντιλαμβάνεται, ὅπερ ἐν τοῖς προλαβοῦσιν ὑφ' ἡμῶν ἐδείχθη ἀδύνατον. πῶς γὰρ δύναται ἔντερα καὶ γαστέρα καὶ διάφραγμα καὶ τἄλλα τὰ τῇδε μόρια ὑπερβᾶσα, κατὰ τὸν θώρακα γενέσθαι; λέγομεν τοίνυν, ὅτι ὁ ἐγκέφαλος, αἰσθανόμενος τῶν δυσωδῶν, ἀνιᾶται πρὸς 3) αὐτῶν καὶ συστέλλεται, καὶ σὺν αὐτῷ τὸ ὀσφραντικὸν πνεῦμα· κατὰ τὸ συνεχὲς τῇ ἀνίᾳ ταύτῃ καὶ τὰ λοιπὰ μόρια συστελλόμενα, οὕτω τῇ συστολῇ ταύτῃ ὠθεῖται, καὶ οἷον ἐκθλίβει τε καὶ ἀπελαύνει καὶ κατωτέρω τὴν μήτραν προτρέπεται. ἀλλ' εἴποι τις ἄν, τί δήποτε μὴ προσάγομεν ἄλλα τινὰ θερμὰ καὶ δυσώδη; καὶ λέγομεν, ὅτι μάλιστα τούτοις τοῖς 4) εἴδεσι τὰ κύρια τῶν μορίων φυσικῶς χαίρουσιν, ἐπειδὴ σὺν τῷ θερμαίνειν ἔχει τινὰ καὶ συμπεπτικὴν δύναμιν, πεφυκυῖαν ἐγείρειν καὶ τῇ λεπτομερείᾳ τῇ ἐν αὐτοῖς ἐκθεραπεύειν τε καὶ ἐκνοσηλεύειν πάθη.

Καὶ ψυχρὸν ὕδωρ τοῖς διακαιομένοις τὸν στόμαχον. —

Ἐν καιρῷ φησιν, εἰ μὴ τὸ μόριον ἀσθενὲς ὑπάρχει, μήτε φλεγμονὴ κατά τι τῶν κυρίων, μηδὲ ἄπεπτον πλῆθος χυμῶν. ταύταις γὰρ ἁπάσαις ταῖς διαθέσεσιν οὐ μετρίως λυμαίνεται.

5) *Ὀνίνησι δὲ μεγάλως τοὺς τοιούτους στομάχους καὶ ἡ τῶν ἀκρωτηρίων τρίψις.* —

Ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται. —

Ἐπειδὴ καὶ μοχθηρία χυμοῦ δηλητηριώδει τινὶ ποιότητι προσκαθημένη τῷ στόματι τῆς γαστρὸς, ἐπάγει λει-

1) δέ τε οὖσαν A. 2) Fort. αὐτὰ ea G. 3) αὐτὸν A. 4) εἰδέσι A. suavibus G. ἡδέσι. 5) Gadald. ad haec verba scholion addit.

ποθυμίαν. χρὴ πρῶτον μὲν τοῦτο κατακεραστικῷ τρόπῳ ποιῆσαι πραϋτέραν. καὶ τοῦτο ποιήσει τὸ θερμὸν ὕδωρ, κατακιρνῶν μὲν ὡς ὕδωρ, ὡς δὲ θερμὸν διαλύον καὶ διαχέον, ὥστε εὔκριτον ποιήσηται. προσήκει διδόναι καὶ ὑδρέλαιον, ἵνα τῇ ἀπὸ τοῦ ἐλαίου ἄσῃ κινήσαντες ἔμετον, κενώσωμεν τὸ λυποῦν αἴτιον.

Εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ πρότερον. —

1) *Εἰ μὴ δύναιντο, φησὶν, ἐμεῖν, τῶν χυμῶν ἔτι παχέων ὄντων καὶ μὴ δυναμένων ἑτοίμως ἀνενεχθῆναι, χρὴ ἐπὶ τῶν τοιούτων* 2) *θαλπόντων τὸν στόμαχον διαλύειν τε αὐτοὺς καὶ εἰς ἔκκρισιν ἐπιτηδείους ποιεῖν. θάλπειν δὲ καὶ τὰ κῶλα, ἐπειδὴ πέφυκε τὸ στόμα τῆς γαστρὸς τούτοις θερμαινομένοις συνθερμαίνεσθαι. εἴποι δ' ἂν ὅτι καὶ μέρος τῆς ὕλης ἐπὶ τὰ κῶλα προσκαλεσάμενοι, δώσομεν τῇ ἀποκριτικῇ δυνάμει τὸ λοιπὸν ῥαδίως ἀπώσασθαι.*

Εἴωθε δὲ πολλάκις τὸ ἔλαιον οὐκ εἰς ἔμετον μόνον ὁρμᾷν. —

Τοῦτο ποιεῖ διὰ τὴν ἐπιμιξίαν τῶν ἄλλων τῇ 3) *δήξει διανιστάντων τὴν ἀποκριτικὴν δύναμιν καὶ τῇ λεπτομερείᾳ τρεπομένων τὰς κρίσεις.*

Μάλιστα δὲ τοῖς προσθέτοις βαλάνοις τοῦτο πειρᾶσθαι δρᾷν. —

Πρόσθετα καλεῖται τὰ ὑπὸ τῶν ἰατρῶν σκευαζόμενα 4) *βαλάνια μετρίως ἐρεθίζειν δυνάμενα. φεύγει δὲ ἐπὶ τούτων τὴν τῶν ἐνετήρων χρῆσιν, εἰδὼς ὅτι ἐκ τούτων ἀναπέμπεταί τις ἀεὶ μοχθηρὰ ποιότης περὶ τὸν στόμαχον, καὶ κακοῖ αὐτόν. ἀμέλει ἐφ' ὧν ἐστιν ἀσθενὴς ὁ στόμαχος,* 5) *μέλλοντες ἐνετῆρι κεχρῆσθαι, πρῶτον παρέ-*

---

quod A. omisit: Quoniam calefactus stomachus a toto corpore in se ipsum excrementa attrahit: ob id recalefacere jubet artus, ut illuc materias alliciat stomachumque ipsum liberum constituat.

1) *εἰ μὴ* om. A. 2) Fort. *θάλποντα.* 3) *δόξῃ* A. mordicatione G. Fort. *προτρεπομένων.* 4) *βαλανεῖα* A. *φεύγειν* A. 5) *μέλλοντος* A.

χομεν εὔκρατον ὕδωρ πίνειν, ἵνα τοῦτο πρὸ πάντων τ
ἀπὸ τοῦ 1) κλύσματος ποιότητι μὴ συγχωρῇ αὐτῇ ἀμέσω
ὁμιλεῖν τῷ στομάχῳ. νῦν δὲ καὶ μᾶλλον εὔκαιρον φεύ
γειν τοὺς ἐνετῆρας, ἐπειδὴ ὑπόκειται ἡ λειποθυμία γε
νομένη ἐπὶ μοχθηρᾷ ποιότητι χυμῶν καὶ δέος ἐστὶ, μ
διπλασιασθῇ αὕτη ἐκ τῆς ὑπὸ τοῦ κλύσματος ἀναθυμιά
σεως ποιότητος.

Φλέγματος δὲ πολλοῦ καὶ ψυχροῦ κατὰ τὸ στόμα τῆ γαστρὸς ἠθροισμένου, καταντλεῖν μὲν ἐπὶ πλεῖστον. —

2) Τῷ μὲν ἐλαίῳ καταιονῶν τούτους, τὸ δὲ τῇ αὐτο
θερμότητι χαλάσαν καὶ χέαν τὸν χυμὸν, εὐρούστερο
ἐργάσηται. προσπλέκει δὲ καὶ ἀψινθίου, ἵνα τὸ στόμ
τῆς γαστρὸς, ἀεὶ δεόμενον τονοῦσθαι, καὶ ἐκ τούτου φυ
λάξῃ τὸν τόνον.

Τοῖς δὲ διὰ μέγεθος φλεγμονῆς ἢ διὰ κακοήθειαν σφοδρο πυρετοῦ λειποθυμοῦντας. —

Ἡ φλεγμονὴ πολλάκις μὲν ἐν κυρίῳ μορίῳ γινομέν
ποιεῖ τὴν λειποθυμίαν. πολλάκις κἂν ἐν ἀκύρῳ γένητ
τόπῳ, διὰ τὸ οἰκεῖον μέγεθος ἀμετρίαν ὀδύνης ἐπάγουσ
διαλύει τὸν κάμνοντα καὶ λειποθυμίαν ποιεῖ. ἀλλὰ μὴ
καὶ πυρετοὶ κακοήθεις εἰσὶν, ὅτε συνεισβάλλουσιν ἑα
τοῖς ἔχουσι λειποθυμίαν, ἥτις γίνεται τῷ λόγῳ τοῦ συ
ῥεῖν τοὺς χυμοὺς πάντας εἰς τὸ βάθος καὶ καταπνίγε
τὴν δύναμιν. χρὴ τοίνυν ἐπὶ τούτων τὰ κῶλα τρίβειν κα
θάλπειν καὶ διαδεῖν, ἵνα διὰ τούτων ἁπάντων ἀπὸ το
βάθους ἐπὶ τὴν ἐπιφάνειαν τὴν ὕλην ἐπισυρώμεθα.

Ἐγρηγορέναι τε κελεύων.

Ὅτι κατὰ τοὺς ὕπνους εἰς τὸ βάθος αὐλίζονται πάν
τες οἱ χυμοὶ, ἔστι γε καὶ ἐξ ἄλλων πιστώσασθαι πολλῶ
μᾶλλον δὲ ἐκ τοῦ καθεύδοντας τὴν ἐπιφάνειαν περιψυ
χεσθαι, ὡς καὶ πλειόνων τηνικαῦτα δεῖσθαι περιβλημα
των, ἢ εἰ ἐγρηγορότες ἐτύγχανον. τούτου τοίνυν δειχθέ

---

1) *καύματος* A. a clystere G. 2) G. asteriscum praefixit. Fo
ἐργάσεται.

τος, ἐξ ἀνάγκης ἡ σύῤῥοια 1) διπλασιασθεῖσα κατὰ τὸ βάθος ἔκ τε τῶν ὕπνων κἀκ τῆς τοῦ παροξυσμοῦ εἰσβολῆς τῷ πλήθει καταπνίξει τὴν φύσιν. διὸ κάλλιστόν ἐστιν, ἐξεγείρειν αὐτοὺς 2) νίπτοντας καὶ ἐγρηγορότας παρασκευάζοντας.

Καὶ σιτίου δὲ παντὸς ἀπέχεσθαι καὶ πόματος. —

Καὶ τοῦτο εἰκότως. οὐ γὰρ ἐγεγόνει φλεγμονῆς μέγεθος οὐδὲ κακοήθης πυρετὸς, εἰ μὴ πλῆθος ἄμετρον ὑπῆρχε χυμῶν, ἐφ᾽ ᾧ τρέφειν ἀλογώτατον, αὐξάσης ἀεὶ τῆς τροφῆς τὴν τῶν χυμῶν περιουσίαν.

Καὶ τοὺς διὰ ξηρότητα δὲ συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς. —

Περὶ τῶν θερμοτέρων καὶ ξηροτέρων κράσεων πάσας τὰς αἰτίας μεμαθήκαμεν ἐν τῇ θεραπευτικῇ μεθόδῳ, τελεώτερον περὶ τούτου θεωρίαν ἐν ἐκείνοις ἀποδεδωκότος τοῦ συγγραφέως. ὅτι δὲ καὶ λειποθυμοῦσί τινες ἐξ αὐτῶν, ἐν ἐκείνοις εἴρηται, καὶ νῦν οὐδὲν ἧττον λέγεται. διπλασιασθεῖσα γὰρ ξηρότης ὑπό τε τῆς κράσεως τῆς φυσικῆς τοῦ κάμνοντος καὶ τῆς τοῦ πυρετοῦ δυσκρασίας, καταβάλλει τὴν δύναμιν. χρὴ τοίνυν αὐτοῖς παρέχειν τροφὴν ὑγραίνουσάν τε ἅμα καὶ δυναμένην παραμυθεῖσθαί τε καὶ κατασβεννύειν πολὺν αὐχμόν. ποιεῖν δὲ τοῦτο ἐνίοτε μὲν πρὸ δύο ἢ τριῶν ὡρῶν τῆς τοῦ παροξυσμοῦ εἰσβολῆς, πολλάκις καὶ κατὰ αὐτὴν τὴν ἀρχήν. τοῦτο γάρ ἐστι μάλιστα τὸ τοῦ Γαληνοῦ εὕρημα, ἐφ᾽ ᾧ καὶ μεγάλα σεμνύνεται, μηδενὸς τῶν πρὸ αὐτοῦ τὸ τοιοῦτον ἀποφηναμένου, ἀλλὰ καὶ Ἱπποκράτους ἀπαγορεύοντος· τοὺς δὲ παροξυσμοὺς ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάβη. κελεύει δὲ τοῦτο μετὰ τὴν τροφὴν, κρατεῖσθαι τούς τε πόδας καὶ τὰς χεῖρας, εἰδὼς ὅτι πολλὴν ἔχει κοινωνίαν ταῦτα πρὸς τὸν στόμαχον, ὥστε καὶ θερμαινομένοις αὐτοῖς ἐκεῖνον συνθερμαίνεσθαι, καὶ πέττειν τὴν 3) προσε-

---

1) διαπλασθεῖσα A. duplicata G. 2) sobrios G. νήφοντας.
3) Pro προσενεχθεῖσαν.

νεγκαμένην τροφὴν, καὶ ταχέως ἀποπέμπειν ἐπὶ τὸ ἧπαρ καὶ τὸ λοιπὸν σῶμα.

Μετρίας δὲ τῆς συγκοπῆς προσδοκωμένης, οὐδ᾽ οἶνου δεῖ.—

Εἰ μεγάλην ἔσεσθαι προσδοκῶμεν τὴν λειποθυμίαν, κάλλιον αὐτοῖς παρασχεῖν οἶνον ἢ μετὰ χόνδρου ἢ μετὰ ἄρτου· 1) τὸν μὲν οἶνον οὐκέτι δώσομεν, μίξομεν δὲ τῷ χόνδρῳ τὸν ἄρτον μετὰ τῶν στυφουσῶν ὀπωρῶν 2) τινος. αὗται μὲν 3) τῇ ὑγρότητι τὴν ξηρότητα παραμυθήσονται, τῇ δὲ στύψει τὴν δύναμιν ῥώσουσιν, ἐφ᾽ οἷς δηλονότι τοῦ παροξυσμοῦ εὐφορώτερον εἰσβάλλοντος, ὥστε μὴ λειποθυμίαν ἐπάγειν, χρὴ 4) λοιπὸν ταῖς μὲν τροφαῖς ταῖς εἰρημέναις κεχρῆσθαι, μηκέτι δὲ 5) αὐταῖς προσπλέκειν τὰς ὀπώρας, ἐπειδὴ συνήγαγέ τις ἐξ αὐτῶν μοχθηρὰ κακοχυμία, δυναμένη τοὺς πυρετοὺς ἐπαυξάνειν τε καὶ διπλασιάζειν.

Ταῦτα μὲν δὴ πράττειν, εἰ προγνοίης τὸ μέλλον ἔσεσθαι. —

Κάλλιον μέν ἐστι τὸν ἐσόμενον προεωρακότας χειμῶνα προπαρασκευάσασθαί τε πρὸς αὐτὸν καὶ τὸ σῶμα δυσπαθὲς ἀπεργάσασθαι, ὡς μὴ ῥᾷον εἶξαι τῷ προσδοκωμένῳ συμπτώματι. τοῦτο δὲ γενήσεται διὰ τῆς εἰρημένης ἀγωγῆς. εἰ δὲ ἐν αὐτῷ γενώμεθα τῷ κινδύνῳ, χρὴ τηνικαῦτα θερμὸν οἶνον παρέχειν, ἵνα τῷ τάχει τῆς ἀναδόσεως θρέψῃ τε καὶ ῥώσῃ τὰς δυνάμεις ἁπάσας. προσπλέξομεν δὲ καὶ τῷ οἴνῳ μικρόν τι χόνδρου ἢ ἄρτου, ἵνα τὴν τροφὴν ἑδραιοτέραν ποιήσωμεν. ὁ γὰρ οἶνος, ὥσπερ τάχιστα τρέφει, οὕτω καὶ θᾶττον διαφορεῖται, καὶ διὰ τοῦτο προσπλέκομεν αὐτῷ τὰ εἰρημένα, τὴν τῆς τροφῆς κάθεξιν ἀσφαλεστέραν τε καὶ χρονιωτέραν μηχανώμενοι.

Γνωριοῦμεν δὲ τὰς τοιαύτας ἐμφράξεις ταῖς τ᾽ ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν. —

---

1) si vero mediocrem G. addit secundum Galeni verba. εἰ δὲ μετρίαν. 2) τινα A. 3) τὰ ὑγρότατα A. humiditate G. 4) λείπον A. 5) αὐτοὺς A. Fort. συνάγεται.

Τοῦτο διαγνωστικὸν ἐν τῷ μέσῳ κατέσπειρε θεώρημα, πολλῆς ἀληθείας ἐχόμενον. γίνονται γὰρ ἐπὶ ταῖς ἐμφράξεσι πᾶσαι μὲν ἀνωμαλίαι, μάλιστα δὲ ὅσαι δυνάμεώς εἰσιν οἰκείας. τοῖς γὰρ 1) *ἐμφράξασιν αἰτίοις ἡ δύναμις ἐπικειμένη, καί ποτε μὲν νικῶσα, ποτὲ δὲ νικωμένη, εἰ μὲν νικηθείη, μικρόν τε καὶ ἀμυδρὸν* 2) *ἐργάσεται τὸν σφυγμόν· εἰ δὲ νικήσαι, μέγαν τε καὶ σφοδρόν. καὶ τοῦτο πολλάκις γενόμενον ἀνώμαλον ἐν πλείοσι πληγαῖς ποιήσει τὴν τῆς ἀρτηρίας κίνησιν. σκοπεῖν δὲ χρὴ, μὴ πληθωρικὴ παρείη διάθεσις. ἔστι γὰρ ἡ εἰρημένη ἀνωμαλία καὶ ταύτης κοινή. διακρίνομεν δ' αὐτὴν δηλονότι τοῖς ἤδη παραδεδομένοις ἡμῖν περὶ πλήθους σημείοις.*

Γίνονται δὲ καὶ διαλείποντες ἐπὶ ταῖς μεγάλαις τῶν τοιούτων διαθέσεων. —

Ὅτι μὲν διαλείπων ἐστὶ σφυγμὸς, ὅταν, προσδοκωμένης κινήσεως, ἡσυχία γένηται, φθάσαντες ἤδη * 3) *τὰ τὸ περὶ σφυγμῶν βιβλίον εἰρημένα. ἐνδέχεται δὲ τοῦτο λαβεῖν ὡς κοινὸν τῆς ἐμφράξεως καὶ πλήθους, ἐπειδὴ ἐφ' ἑκατέρου τούτων ἡ δύναμις ἀσθενοῦσα, καὶ οἷον ἐξασθενήσασα πρὸς τὴν τῆς ἀρτηρίας κίνησιν, διαναπαύσασθαι σπουδάζει καὶ διαλείποντα ποιεῖ τὸν σφυγμόν. ἐνδέχεται δὲ αὐτὸν νοῆσαι καὶ ὡς διακριτικὸν τῆς τε* 4) *πληρωτικῆς διαθέσεως καὶ τῆς ἐμφράξεως, ἐπειδὴ μᾶλλον οἱ διαλείποντες ἐπὶ τῆς πληθώρας γίνονται, ὡς ἂν καὶ μᾶλλον τῆς ἐμφράξεως βαρούσης τὴν δύναμιν, εἴ γε ἡ μὲν ἔμφραξις ἐν ἑνὶ μορίῳ περιέχεται, τὸ δὲ πλῆθος ἐν ὅλῳ τῷ σώματι περινοστοῦν ὅλην καταβάλλει τὴν δύναμιν.*

Ἀπόχρη δὲ τούτοις ἐν μὲν τῷ παραυτίκα τοῖς ὀσφραντικοῖς ἀνακτήσασθαι. —

Ἐπειδὴ, τῶν παρὰ φύσιν ὑγρῶν κενουμένων ἔν τε ταῖς ὑδερικαῖς παρακεντήσεσι καὶ ταῖς τῶν 5) *ἀποστη-*

---

1) *ἐμφράξεσιν* A. 2) *ἐργάσηται* A. 3) jam in libro de pulsibus diximus G. Fort. *ἐν τῷ π. σφ. βιβλίῳ εἰρήκαμεν.* 4) Fort. *πληθωρικῆς.* 5) *ἀπὸ στομάτων* A.

μάτων 1) λειποθυμίαις, καὶ σὺν τοῖς ἀχρήστοις, πολὺν ἐκκρίνεσθαι ζωτικὸν τόνον. χρὴ τούτους, ἐν αὐτῇ μὲν λειποθυμίᾳ ἔτι ὄντας, ὀσφρητικοῖς ἀνακτᾶσθαι, 2) τὰ εὑρισκόμενα κατὰ καιρὸν αὐτοῖς, οἷον ῥόδα ἢ κρίνα, ἢ κατὰ τὴν Ἀλεξάνδρειαν λωτάρια. καὶ χρὴ γινώσκειν ὅτι καὶ τοῦτο κάλλιστα τοῖς παλαιοῖς εἴρηται, ὅτι τοῦ ἡμετέρου σώματος ἐκ τριῶν οὐσιῶν συγκειμένου, τῆς τε ὑγρᾶς καὶ τῆς στερεᾶς καὶ τῆς ἀερώδους, ἑκάστη τούτων ἐκ τοῦ αὐτῆς ὑγιοῦς τε καὶ οἰκείου τρέφεται, τὰ μὲν στερεὰ διὰ τῆς στερεᾶς τροφῆς, τὰ δ' ὑγρὰ τῇ τῶν πομάτων προσθήκῃ, τὰ δὲ πνεύματα διὰ τῆς τοῦ ἀέρος εἰσφορᾶς. καὶ τοῦτό ἐστιν, ὃ Ἱπποκράτης ἔφασκεν, ἴσχοντα, ἰσχόμενα καὶ ἐνορμῶντα, καὶ ἄλλως· πνεύματος τροφὴ, ῥῖνες, στόμα, βρόγχος. ἀναπνεῖ γὰρ ἡ μὲν καρδία διὰ στόματος καὶ ῥινὸς, ἐγκέφαλος δὲ, ἐπειδὴ καὶ οὗτος ἐδείχθη ἀναπνοῇ χρώμενος, διὰ μυκτήρων μόνον. κἀντεῦθεν ἡ προσθήκη τοῦ 3) αἵματος αὔξει τὸ ἔμφυτον θερμὸν, ἀερῶδες ὑπάρχον. διὰ τοῦτο τοίνυν τὰ ὀσφραντικὰ τοῖς μυκτῆρσι προσάγομεν, ἵνα οἱ ἐξ αὐτῶν ἀποῤῥέοντες ἀτμοὶ, λεπτομερεῖς τε ὄντες καὶ ἐπιτήδειοι εἰς πνεύματος ἀρίστου οὐσίαν μεταβληθῆναι, ἀντὶ τοῦ διαφορηθέντος ζωτικοῦ πνεύματος ἀντεισάγωσιν. ἄλλως δὲ καὶ τῇ στύψει δύνανται συνάγειν τε καὶ σφίγγειν τὸ ἐν ἡμῖν πνεῦμα, ὥστε κατὰ μὲν τὴν οὐσίαν τὴν ἑαυτῶν αὐτίκα τὸ πνεῦμα τρέφουσι, κατὰ δὲ τὴν στυπτικὴν ποιότητα διαλύεσθαι * 4) μὲν χωροῦν τε, ἀποκλείουσί τε καὶ τονοῦσι, καὶ ῥωμαλεωτέραν ἐργάζονται. ταῦτα μὲν οὖν ἐν αὐτῇ τῇ λειποθυμίᾳ δεῖ προσάγειν. ὕστερον δὲ, ταύτης πεπαυμένης, τροφαῖς εὐπέπτοις ἀναγκαῖόν ἐστι τὴν διαπεφορημένην ἀναλαμβάνειν δύναμιν, ῥοφήματα διὰ χόνδρου οἴνῳ μεμιγμένῳ προσάγοντες, καὶ ὅσα τῆς ὁμοίας ἐστὶ δυνάμεως.

Εἰ δὲ καὶ διὰ λύπην ἢ χαρὰν ἢ φόβον ἢ θυμὸν ἢ ἔκπληξιν ἐκλυθεῖεν. —

1) abscessuum ruptionibus sectionibusve G. πολλὴν A. 2) Fort. τοῖς εὑρισκ. 3) πνεύματος G. judicat esse legendum. 4) μὲν suprascripto μὴ. Locus vitiatus. eos, qui dissolvi periclitantur G. Fort. legit τοὺς κινδυνεύοντας.

Ἐπὶ τῶν ψυχικῶν παθῶν ἡ λειποθυμία γίνεται, ἢ διαφορηθέντος τοῦ ζωτικοῦ τόνου, ὡς ἐπὶ τῶν θυμουμένων τε καὶ ἀθρόως ἡδομένων, ἢ καταπνιγέντος τε καὶ καταψυχθέντος, ὡς ἐπὶ τῶν λυπουμένων τε καὶ φοβουμένων, ἢ ἀπὸ πατάγου, ὃ συμβαίνει ἀπὸ τῶν ἀθρόως ἐντυχόντων τινὶ τῶν φοβερῶν. ἀποπαγέντων γὰρ αὐτῶν, οἷον ἀκίνητον μένει τὸ πνεῦμα, μὴ δυνάμενον μηκέτι φέρεσθαι ἢ ἐντὸς, ὡς ἐπὶ τοῦ 1) φόβου τε καὶ λύπης, ἢ ἐκτὸς, ὡς ἐπὶ τοῦ θυμοῦ τε καὶ τῆς ἡδονῆς. ἐπὶ τούτων γοῦν, ἐπειδὴ πανταχόθεν, εἴτε πιλούμενον εἴτε χεόμενον, ἐλλείπει τὸ πνεῦμα, κάλλιόν ἐστι τοῖς ὀσφραντιτοῖς αὐτοὺς ἀνακτήσασθαι, διὰ τὴν εἰρημένην περὶ αὐτῶν αἰτίαν· ἐμεῖν δὲ πάντας ἀναγκάζειν 2) τοὺς μὲν ἐπὶ τῇ ἡδονῇ, ἵνα ἀντισπάσωμεν καὶ ἔνδον τὴν φύσιν προσκαλεσώμεθα, καὶ συγχωρήσωμεν αὐτὴν διὰ τῆς ἐπιφανείας 3) ἐκρεῖν· τοὺς δ' ἐπὶ λύπῃ, ἵνα κενώσωμεν τὸ περιεχόμενον ἐν τῷ στόματι τῆς γαστρὸς, ἀπὸ τῆς συννεύσεως τῶν χυμῶν πληρωθέντι. τὰ αὐτὰ χρὴ νοεῖν ἐπί τε τοῦ θυμοῦ καὶ φόβου. καὶ γὰρ καὶ ὁ θυμὸς ὁμοίως τοῖς ἡδομένοις ἐπιφέρει 4) τὸν θάνατον, διὰ τῶν ἐκτὸς παρασυλῶν τὴν δύναμιν, καὶ ὁ φόβος παραπλησίως τῇ λύπῃ, εἰς τὸ βάθος συνάγων τὴν φύσιν, ἄλλως τε διὰ τοὺς ἔκπληξιν ὑπομείναντας, ὁ ἔμετος οὐδὲν τῶν εἰρημένων ποιῶν, 5) οἷα καὶ ἀνακαλεῖται τὴν δύναμιν, νύττων τε αὐτὴν καὶ ἐρεθίζων, καὶ οἷον ἐξ ὕπνου βαθέως ἐγείρων.

Αἱ δὲ ἐπὶ τοῖς κωλικοῖς πάθεσιν ἢ τοῖς εἰλεοῖς ἤ τινι τῶν οὕτω μεγάλας ἐπιφερόντων ὀδύνας ἑπόμεναι λειποθυμίαι. —

Ἡ μὲν κωλικὴ διάθεσις γίνεται, φλέγματος ἐν τῷ κόλπῳ περιεχομένου μεταξὺ τῶν δύο τοῦ ἐντέρου χιτώ-

1) G. in mg. ἀπὸ παγάτου. Gad. legere se velle dicit ἀποπαγέντος. Equidem nihil video in hoc loco esse mutandum, quamvis saepissime in hoc vitiosissimo unicoque codice textum mutare fuerim coactus, cui necessitati variae meae lectiones erunt argumento. 2) φόνου G. 3) τοῖς A. 4) ἐρεῖν A. 5) Gad. emendat τὴν λειποθυμίαν. 6) οἷα καὶ delenda censet et post δύναμιν addendum ἀλλὰ G. Gadaldino non assentior; credo tamen, locum medela egere.

νων, ὅπερ ἂν λυόμενον καὶ διατεῖνον στρόφους τε ἐμποιῇ καὶ ἀμέτρους ὀδύνας, καὶ ταύτῃ λειποθυμίαν ἐπιφέρει. τοῦτο δὲ, φησὶ, γίνεται καὶ ὑπὸ φλεγμονῆς, ἀπολαβούσης τὰ ἔντερα καὶ οὐκέτι συγχωρούσης τῇ κόπρῳ τὴν συνήθη ὁδὸν φέρεσθαι. ἀμέλει καὶ ἐπὶ τῶν ὀλεθρίων εἰλεῶν ἔστιν ἰδεῖν καὶ κόπρον 1) ἑπομένην. γίνονται δὲ ἐπὶ τούτων στρόφοι τε καὶ ἄμετρος ὀδύνη. χρὴ τοίνυν ἐπὶ τούτων ἀμφοτέρων, εἰ μὲν ἀσθενὴς ἡ δύναμις ὑπόκειται, καὶ τὴν τῆς ὀδύνης ἀμετρίαν μὴ φέρουσα διαλύοιτο πρὸς αὐτῆς, τοῖς ναρκωτικοῖς χρῆσθαι, ἃ τὴν ὀδύνην παύει, οὔτι τὴν διάθεσιν ἀνελεῖν. ἀλλ᾽ ἐπειδὴ ἐκ τῆς ψύξεως τῶν βοηθημάτων τούτων εἰκός ἐστι δύσκρατον τὸν τόπον γεγονότα πάλιν ἐπηρεάζεσθαι, διὰ τὴν ἐκ τῆς δυσκρασίας αὐτῷ προσγενομένην ἀσθένειαν, ἄμεινόν ἐστι μετὰ τὴν τῆς ὀδύνης παῦσιν τοῖς θερμαίνουσι καὶ κατασυγκρίνειν δυναμένοις ἀνασκευάσαι καὶ ἐκμοχλεῦσαι τοῦ μορίου τὸ πάθος. 2) οἷον οὖν μὴ ἐχρήσαντο τούτοις, εἰς ὕστερον οἱ τοιοῦτοι αἴτιοι γεγόνασι τοῦ συνεχέστερον ῥευματίζεσθαι τὸ κῶλον. χρὴ δὲ ἐπ᾽ αὐτῶν καὶ τρίβειν τὰ σκέλη καὶ τὰς χεῖρας, ἵνα ἀπὸ τοῦ βάθους ἐπὶ τὰ ἐκτὸς προτρεπώμεθα τὰς ὕλας.

Ἡ δ᾽ ἐξ ἥπατος μὲν ὁρμωμένη, θρεπτικὴ δ᾽ ὀνομαζομένη, ταῖς αἱματώδεσι διαχωρήσεσι. —

Ἕν τι τῶν κατὰ τὸ ἧπαρ γινομένων παθῶν ἐστιν ἡ καλουμένη ἀτονία, ἥτις ἐπὶ ψύξει γίνεται τοῦ ἥπατος, χωρὶς ὄγκου τινός. αὕτη δὲ ἡμῖν γνωρίζεται ἐκ τῶν διαχωρήσεων. ἐκκρίνεται γὰρ ἐπὶ τούτων πρῶτον μὲν ὑδατώδη τὰ διαχωρήματα, πλύμασι κρεῶν νεοσφαγῶν ὅμοια, ὕστερον δὲ παχέα· καὶ τοῦτο εἰκότως. ἐπειδὴ γὰρ ἀτονεῖ τὸ ἧπαρ, οὐκέτι τὴν οἰκείαν ἐνέργειαν ἀμέμπτως ἐπιτελεῖ, καὶ οὐκέτι ἐκ τούτου αἱματοποιήσει τελέως ἢ οὐχὶ ἡμίπεπτον αὐτὸν ποιήσασα, ἀφίησιν ὀῤῥωδέστερόν τε καὶ ὑδατώδη, καὶ μόνον τὸ τοῦ αἵματος ἔχον χρῶμα. ὕστερον δὲ, ἐπειδὴ τοῦ χυμοῦ μέρος παχύτερον ὂν οὐκ ἐκκρίνεται, ἀλλ᾽ ἐναπομείνει κατὰ τὸ ἧπαρ, τῷ χρόνῳ 3) τούτου ση-

---

1) evomi G. ἐμουμένην. 2) Fort. οἱ μὲν. 3) τοῦ τε A.

πομένου τε καὶ ὑπεροπτωμένου, πυρετούς τε ἐπάγει, καὶ πολὺ γεγονὸς ἐκ τῆς κατὰ βραχὺ συναγωγῆς ἐκκρίνεται, τῇ τοῦ ἐλαίου τρυγὶ παραπλήσιον, ἣν ἀμόργην ὀνομάζουσιν.

Οἷον εἴ τις ἀλγοίη τὴν κεφαλὴν, εἰ μὲν ἀσώδης εἴη καὶ καρδιώττοι. —

Ἐπειδὴ κεφαλῆς ἄλγημα σύμπτωμά ἐστι, καὶ πολλάκις ἰσχυρὸν γενόμενον πρὸς ἑαυτὸν τὴν ἅπασαν ἐπιστρέφει τέχνην, φέρε καὶ τούτου παραδῶμεν τὴν θεραπείαν, ζητήσαντες αὐτοῦ πρότερον τὴν ποιητικὴν αἰτίαν, καὶ οὕτω πρὸς ἐκείνην ἁρμοσάμενοι. γίνεται γὰρ οὐ καθ᾽ ἕνα τρόπον, ἀλλὰ πολλαχῶς, ἤτοι κατὰ ἰδιοπάθειαν, 1) ἢ ὑπὸ πλήθους ἢ ὑπὸ ποιότητος δριμείας καὶ δακνώδους, ἢ ὑπὸ πολλῶν ἀτμῶν ἢ ὑπὸ φλεγμονῆς. εἰ μὲν οὖν κατὰ συμπάθειαν κεφαλαλγία γένοιτο, τοῦ στομάχου πολλάκις ἢ γαστρὸς ἀναθυμιάσεις ἐπ᾽ αὐτὴν πεμπόντων, ἐκείνην κενώσαντες συνθεραπεύομεν καὶ τὴν κεφαλήν. κενοῦμεν δ᾽ ἐξ αὐτῶν ἢ φλέγμα ἢ χολήν. καὶ εἰ μὲν φλέγμα, 2) διὰ τῆς ἄσης, ἥτις 3) ὑγρότητα σηπεδονώδη πέφυκεν ἔσεσθαι. εἰ δὲ εἴη χολὴ, δηλοῦται διὰ τοῦ καρδιωγμοῦ· καρδιωγμὸς δέ ἐστιν ἡ τοῦ στόματος τῆς γαστρὸς ὀδύνη τε καὶ δῆξις. καρδίαν γὰρ ἐκάλουν οἱ παλαιοὶ τὸ στόμα τῆς γαστρὸς, ὡς ἂν εἰς συμπάθειαν ἄγον τὴν καρδίαν. οὕτω μὲν οὖν, εἰ συμπάθοι ἡ κεφαλή· εἰ δὲ ἴδιον ἔχει πάθος, τοῖσδε χρὴ διακρίνειν. εἰ μὲν γὰρ εἴη πλῆθος, βάρος ἐστὶ καὶ διάτασις· εἰ δὲ πνεῦμα πολὺ, διάτασις μὲν, οὐ μὴν βάρος· εἰ δὲ φλεγμονὴ, διάτασίς τε καὶ βάρος, ἀλλὰ σφυγματώδης ὀδύνη τοῦ τε πλήθους καὶ τοῦ πνεύματος αὐτὴν διορίζουσα. εἰ δὲ ποιότης εἴη μόνη, οὔτε βάρος οὔτε τάσις ἐστὶν οὔτε σφυγματώδης ὀδύνη, ἀλλὰ δῆξις μόνη. 4) εἰ δὲ ποιότης αὐτῇ περιέχεται, ποτὲ μὲν ἐνοχλεῖ, οὐ τῷ πλήθει λυποῦσα, ἀλλὰ τῇ δριμύτητι, ποτὲ δὲ ἐν ἀτμοῖς ἢ πνεύμασι δακνωδεστέροις τὴν φύσιν.

---

1) *ἢ κατὰ συμπάθειαν, καὶ εἰ κατ᾽ ἰδιοπάθειαν* G. addenda esse suspicatur. 2) Fort. om. *δηλοῦται.* 3) *διὰ* addam. 4) G. emendat: *ἡ δὲ π. αὐτὴ — μὲν ἐν χυμοῖς οὐ.* — Mihi bene verba se habere videntur.

χρὴ τοίνυν διεγνωκόσι τὴν ποιοῦσαν αἰτίαν καὶ πρὸς αὐτὴν ἁρμοσαμένην τὴν τῆς κεφαλαλγίας ποιεῖσθαι θεραπείαν.

Τὴν δ' ἐπ' ἀσθενείᾳ τοῦ μορίου τὸ μὲν πάντῃ τοῦ σώματος ἀντισπᾷν. —

Ἐπειδὴ τρία τῶν ἐπὶ τὴν κεφαλὴν φερομένων ῥευμάτων ἐστὶν αἴτια, πλῆθός τε περιεχόμενον ἐν τῷ παντὶ σώματι καὶ πυρετὸς θερμότατος διαλύων καὶ χέων τοὺς χυμοὺς εἰς ἀτμοὺς, καὶ πέμπων παρ' αὐτὴν ἀναθυμιάσεις, εἴτε κατὰ τὴν τῆς κεφαλῆς ἀσθένειαν κατὰ πρώτην γενομένη φύσιν, 1)* εἴτε ὕστερον ἔκ τινος 2) πλημμεληθεὶς ἐπίκτητος ἀποτελεσθεῖσα. τὴν μὲν ἐπὶ τῷ πλήθει νῦν οὐκ ἀξιοῖ 3) θεραπείαν, ἑτοίμως θεραπεύεσθαι δυναμένην διὰ τῶν τὸ πλῆθος κενούντων βοηθημάτων· τὰς δὲ λοιπὰς δύο προχειρίζεται, καὶ πρότερόν γε τὴν ἐπὶ τῇ ἀσθενείᾳ. πέφυκε γὰρ ἀεὶ πάντως ἀῤῥωστία τόπου, ῥευμάτων εἰς ἑαυτὴν ἐπισπαστικὴ γίνεσθαι. χρὴ τοίνυν διττὴν ποιεῖσθαι τὴν ἴασιν, τὸ μὲν 4) ἀπάγοντα τοῦ μορίου τὸ περιττὸν, τὸ δὲ καὶ τὴν ἐν αὐτῷ δυσκρασίαν, ὑφ' ἧς ἡ ἀσθένεια ἐγένετο, μεταβάλλοντα καὶ ταύτην εἰς εὐκρασίαν μετάγοντα. οὐκοῦν πρότερον ἀντισπάσει χρῆσθαι, 5) δεσμοῦντες τὰ κῶλα, καὶ τρίβοντες, καὶ κλύσμασι δριμυτέροις ὑποβιβάζοντες τὴν ὕλην. ταῦτα γὰρ ἅπαντα διδάξει τε καὶ παιδαγωγήσει αὐτὴν ἐπὶ τὰ κάτω φοράν. συνεργεῖν δὲ χρὴ τὸ τηνικαῦτα καὶ διὰ τῶν ἄνωθεν αὐτὴν ὠθούντων καὶ συνεκθλίβοντας. τοῦτο δὴ ποιήσομεν διὰ τοῦ προσάγειν τῇ κεφαλῇ κατὰ τὸν τῆς ἀντισπάσεως καιρὸν τὰ στύφοντα. ἐπὰν δὲ παυσώμεθα τὸν χυμὸν ἀντισπῶντες, ἐπειδὴ πάντως ἤθροισταί τι κατὰ τὴν κεφαλὴν παχύτερον, τῶν στυπτικῶν φαρμάκων τὸ μὲν λεπτομερέστερον ἐκκρινόντων τοῦ χυμοῦ, ὅσον δ' ἦν αὐτοῦ παραλειπόμενον παχὺ, τοῦτο κατεσχηκότων, ἀναγκαῖον κεχρῆσθαι τοῖς διαφοροῦσι καὶ τοῖς παράγουσιν, ἵνα καὶ τοῦτο κενώσωμεν. ὕστερον λοιπὸν ἐπειδὰν τοῦ παρόντος ἀπαλλάξωμεν πάθους τὸν πεπονθότα τόπον,

1) *εἰς* A. 2) ex aliquo errore G. Fort. *πλημμελείας*. 3) Fort. *θεραπεύειν*. 4) *ἀπάγοντος* A. 5) Fort. accusativi ab om. *χρή*.

χρησώμεθα καὶ δυναμένοις ἐντιθέναι τῇ κεφαλῇ τόνον, ὅπως ἂν μηκέτι τῷ αὐτῷ πάθει ἁλῷ.

Ἀλλὰ καὶ σπονδύλιον ἢ ἕρπυλλον ἐναφέψοις ἢ γλήχωνος κόμην. —

Ταῦτα γὰρ ἅπαντα θερμαίνουσάν τε καὶ λεπτυντικὴν ἔχει δύναμιν, συμβαλλόμενα εἰς τὸ κενῶσαι καὶ διαφορῆσαι τὸ περιεχόμενον. σημειώσασθαι δὲ χρὴ ὅτι τῷ ἡδυόσμῳ καὶ τῷ σισυμβρίῳ ἐχρήσατο, τονῶσαι βουλόμενος, καὶ μέντοι καὶ διαφορῆσαι. ἀλλ' ἀνωτέρω μὲν χλωροῖς αὐτοῖς ἐχρήσατο, ὡς ἂν τῆς στυπτικῆς ἔτι μετέχωσι δυνάμεως, ἐνταῦθα δὲ ξηροῖς. ξηρανθέντα μὲν γὰρ ταύτην ἀποτίθενται, ἐνεργεστέραν δὲ λοιπὸν ἔχει τὴν λεπτομερῆ καὶ διαφορητικὴν δύναμιν. ὅμως οὐδὲ ξηρανθέντα πάντη ἀπήλλακται τῆς τονούσης δυνάμεως, ὥστε πρὸς ἀμφότερα νῦν αὐτοῖς χρήσασθαι συμφέρει, πρός τε τὸ κενῶσαι τὸ περιττὸν καὶ πρὸς τὸ ῥῶσαι τὴν δύναμιν.

Καὶ ἢν ἀγάγῃς τὸν ἄνθρωπον ἐπὶ λουτρὸν, ἀνατρίβειν ξηραῖς σινδόσι τὴν κεφαλήν. —

Αὗται γὰρ τραχύνουσαι τὴν κεφαλὴν, δύνανται βιαίως ἐκμοχλεῦσαι τοὺς ἐν αὐτῇ περιεχομένους 1) [χυμοὺς], κἂν ὦσι παχεῖς. ἀμέλει χρὴ τούτων ἐπιπάττειν τὴν κεφαλὴν ἁλσὶ καὶ νίτρῳ, ξηραίνειν τε καὶ λεπτοποιεῖν δυναμένοις. καὶ μηδὲ διαβρέχειν ἐλαίῳ τὴν κεφαλήν. οὐ γὰρ ὑγρᾶναι πρὸς τὸ παρὸν, ἀλλὰ ξηρᾶναι μᾶλλον ἡμῖν ἐστιν ὁ σκοπός.

Τῆς δ' ἐπὶ μεγέθει τῶν πυρετῶν τῆς μὲν ἰαμάτων δεομένης. —

Τὴν κεφαλαλγίαν ἔλεγε τριχῶς γίνεσθαι, ἢ διὰ πλῆθος τοῦ παντὸς σώματος, ὅπερ οὐ χαλεπόν φησι θεραπεῦσαι, κενώσαντας τὸ σῶμα, ἢ ἐπὶ τῇ ἀσθενείᾳ τῆς κεφαλῆς. καὶ ταύτην ἐθεράπευσεν ἢ ἐπὶ θερμασίᾳ πυρετικῇ, τοὺς χυμοὺς 2) χεούσῃ καὶ πεμπούσῃ τούτους περὶ τὴν κεφαλήν. καὶ ταύτην ὑστάτως νῦν ἰᾶται τῷ λόγῳ, προσάγων τῷ μορίῳ τὰ ψύχοντα, ἵνα 3) τε παύσῃ

---

1) *χυμοὺς* om. A. 2) *χυούσῃ* A. 3) τῇ A.

τὴν ἀπὸ τῶν ἀτμῶν θερμὴν δυσκρασίαν, καὶ ἵνα τονώσας τὴν κεφαλὴν ἀποκρούσηται τὰ μέλλοντα πρὸς αὐτὴν φέρεσθαι περιττώματα.

Τῆς δὲ κρίσιμον αἱμοῤῥαγίαν ἢ ἔμετον δηλούσης. —

Ἐπειδὴ περὶ κεφαλαλγίας ἦν ὁ λόγος αὐτῷ, γίνεται δὲ αὕτη ποτὲ ὡς ἀγαθὸν σημεῖον, προηγούμενον κρίσεως, καὶ ὅσον οὔπω δηλοῦσα τὸν τῆς φύσεως ἀγῶνα. διὰ τοῦτο παρακελεύεται, μὴ κωλύειν ταύτην, εἴγε οὐδὲ σύμπτωμά ἐστιν, ἀλλὰ σημεῖον ἀγαθόν. συμπτωμάτων δὲ ὑπέσχετο θεραπείαν παραδώσειν. οὐκοῦν τὴν τοιαύτην κεφαλαλγίαν ἰασόμεθα. διακόψομεν γὰρ οὕτω τὴν κρίσιν καὶ τὴν τῆς φύσεως ὁρμὴν τὴν κατὰ τοῦ νοσήματος. κρίσις δέ ἐστιν ἡ ἀθρόα μεταβολὴ ἐν ταῖς νόσοις ἐπὶ τὸ κρεῖττον. εἰ γὰρ ἐπὶ τὸ χεῖρον γένοιτο παντελῶς 1) * γεγονυίας, εἰ δ' ὀλεθρίως ἢ ἐπικινδύνως, τὴν τοιαύτην οὐκέτι κρίσιν ἁπλῶς, ἀλλὰ ἀτελῆ κρίσιν ὀνομάζομεν, ὥσπερ καὶ τἄλλα τὰ πρὸ τῶν κρίσεων, ἃ τοὺς μὲν πολλοὺς ἐκφοβεῖ, χρηστὸν δέ τι δηλοῖ. τὰ ἄλλα φησὶ συμπτώματα τὰ πρὸ τῆς κρίσεως οἷον ἀγρυπνίαν, δίψος, ῥιπτασμὸν, παραφροσύνην, 2) ἄλυν καὶ ὅσα τοιαῦτα, τοὺς μὲν ἰδιώτας φοβεῖ, τῷ δὲ τεχνίτῃ προδηλοῖ τὴν τῆς φύσεως νίκην. καὶ τοῦτό ἐστιν ὅ φησιν Ἱπποκράτης· μηδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον. κάλλιστον δέ τοι γνωρίζειν σῶμα ταραττόμενον δύνασθαι ὑπὸ τῆς φύσεως παρασκευαζομένης. οὐκ ἄκαρπόν σοι, φησὶν, ἔσται τὸ διαγινώσκειν, ὅτι ἡ παροῦσα ταραχὴ τὴν κρίσιν προαγορεύει καὶ τὸν τῆς φύσεως ἀγῶνα. τηνικαῦτα γὰρ ἱκανῶς μὲν γενομένης τῆς κρίσεως, οὐδὲν 3) καινοτομήσεις, ἐλλειπέστερον δὲ ἢ ἀμετρότερον γενομένης, ἢ συνεργήσεις ἢ κωλύσεις.

Σκεπτέον δὲ πρῶτον μὲν τὸ τῶν πυρετῶν εἶδος. —

Ἐνταῦθα βούλεταί σοι παραδοῦναι καὶ τὰ σημεῖα, δι' ὧν γενήσει διαγνωστικὸς, ὅτι τὸ νόσημα οὐ λυθήσεται, ἀλλὰ μᾶλλον κριθήσεται, ὅτι τῶν πυρετῶν οἱ μὲν λίονται,

---

1) **Fort.** *γεγονυῖα ἢ ὀλεθρ.* 2) **fastidium G.** *ἄσην.* 3) **innovabis G.** *κενωτομήσεις* **A.**

κατὰ βραχὺ συμπεττομένης τῆς ὕλης, καὶ τοῦ μὲν αὐτῆς διὰ τῶν ἀδήλων πόρων διαφορουμένου, τοῦ δὲ κατὰ τῶν οὔρων ὑπόστασιν ἐκκρινομένου· οἱ δὲ ἀθρόως κρίνονται. τοὺς μὲν οὖν κρινομένους ἀνάγκη θερμούς τε εἶναι καὶ διακαεῖς καὶ ὀξέως κινουμένους. ἐπὶ τούτων γὰρ 1) λεπτοὶ ὄντες ὁρμῶσι, καὶ εὐκίνητοι τὴν φύσιν ὑπάρχοντες ἐπαγείρουσι δύναμιν, καὶ ἐρεθίζουσιν αὐτὴν, ὥστε ἀθρόαν αὐτῶν ἔκκρισιν ποιήσασθαι. εἰ δὲ εἶεν οὕτω παχεῖς καὶ γλίσχροι, καὶ ὁ πυρετὸς αὐτοῖς οὐκ ἄγαν σφοδρὸς, τηνικαῦτα λύεσθαι μᾶλλον ἢ κρίνεσθαι τοσούτοις χρὴ προσδοκᾶν.

Δεύτερον δὲ εἰ σωτήριον εἴη τὸ νόσημα. —

Τοῦτο τὸ σημεῖον οὐχ ἁπλῶς κρίσεώς ἐστι μόνης προγνωστικὸν, ἀλλὰ καὶ ἀγαθῆς κρίσεως. διαγνωσόμεθα δὲ, εἰ τὸ νόσημα σωτήριόν ἐστι, παραβάλλοντες δηλονότι τὸν τόνον τῆς δυνάμεως τῷ μεγέθει τοῦ νοσήματος. ἰσχυροτέρου μὲν γὰρ ὄντος τοῦ παρὰ φύσιν, ὀλέθριον αὐτό φαμεν εἶναι· τῆς δὲ δυνάμεως μᾶλλον ἰσχυρᾶς οὔσης, καὶ τοῦ νοσήματος οὐ πάνυ μεγάλου τυγχάνοντος, σωτήριον ἂν εἴη τὸ σημεῖον τοῦ τοιούτου νοσήματος.

Τρίτον ἐπὶ τοῖσδε τὸν καιρὸν τῆς ὅλης νόσου σκοπεῖν. —

Εἰρήκαμεν πολλάκις, ὅτι καθάπερ αἱ ἡλικίαι τέτρασιν ὁρίζονται καιροῖς, οὕτω καὶ τὰ νοσήματα, ἀρχῇ τε καὶ ἀναβάσει καὶ ἀκμῇ καὶ παρακμῇ· καὶ ὅτι κατὰ μὲν τὴν ἀρχὴν ἄπεπτός ἐστιν ἡ ὕλη πάντως, κατὰ δὲ τὴν ἀνάβασιν ἤρξατο μὲν πέττεσθαι, οὐ μὴν τελείως πέττεται· ἐν δὲ τῇ ἀκμῇ τέλειά ἐστι πέψεως σημεῖα. τούτων τοιούτως ἡμῖν εἰρημένων, χρὴ γινώσκειν ὅτι καθάπερ τις ἀθλητὴς οὐ σπουδάζει εὐθὺς ἀπ' ἀρχῆς καταβάλλειν τὸν ἀνταγωνιστὴν, ἔτι τῆς ἐκείνου δυνάμεως ἐῤῥωμένης· κίνδυνος γὰρ οὕτως οὐ καταβαλεῖν, ἀλλὰ καταβληθῆναι τὴν δύναμιν, ἀλλὰ πρότερον αὐτὸν μαλάττει τε καὶ διαλύει, καὶ ἀτονώτερον ποιήσας, οὕτως ὕστερον ἐπιτίθεται, προπαρασκευάσας αὐτὸν εὐάλωτον εἰς τὸ πάθος, οὕτω καὶ

1) sc. οἱ χυμοί.

ἡ φύσις οὐκ ἀνέχεται ποιήσασθαι τὸν τοῦ νοσήματος ἀγῶνα, τῆς ὕλης ἀπέπτου τυγχανούσης ἔτι, μηδὲ εἰκούσης αὐτῇ, βουλομένη τὰς ἐκκρίσεις ποιήσασθαι, ἀλλὰ πρότερόν ἐστι 1) καλὸν αὐτὴν ἐκπέμπειν τε καὶ λεπτύνειν, καὶ εὐρωστέραν ἐργασαμένην, οὕτως ὕστερον ἐπανίστασθαι, καὶ ἀθρόας ἀπωθεῖσθαι ἢ διὰ γαστρὸς ἢ δι' ἐμέτων ἢ δι' ἱδρώτων. ταῦτα δὲ δηλονότι γίνονται κατὰ τὸν τῆς ἀκμῆς καιρὸν, ἐν ᾧ καὶ ἡ τελεία πέψις ἐστὶ τοῦ νοσήματος, ἐνίοτε δὲ καὶ κατὰ τὴν ἀνάβασιν σύμπτωμά τι γεγονὸς βίαιον, προαρπάζει τὴν φύσιν. καὶ ἔστιν ἡμῖν καὶ τοῦτο σημεῖον τοῦ, εἰ γένοιτο κρίσις, μὴ ἀγαθὴν αὐτὴν εἶναι νομίζειν μηδὲ τελείαν, παραβαθέντος τοῦ τῆς φύσεως νόμου.

Δυσφορία προηγεῖται κρίσεως ἁπάσης. —

Ἐκ τῆς τῶν χυμῶν κινήσεώς τε καὶ 2) ζητήσεως ἀτάκτως κινουμένων, καὶ 3) * ἄλλο ἐπ' ἄλλων φερομένων μορίων, καί ποτε περὶ τὸν στόμαχον, 4) ἐφ' ὃν συμβαίνει τοὺς τοιούτους δυσφορεῖν. καὶ τοῦτό ἐστιν, ὅ φησιν Ἱπποκράτης· ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. σημεῖον δὲ τίθεται τῆς παρούσης κρίσεως καὶ τὴν τῆς ἡμέρας φύσιν. εἰδέναι γὰρ χρὴ ὅτι τῶν ἡμερῶν εἰσί τινες μεγίστην ἔχουσαι δύναμιν, ὡς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑπομνήμασιν ἔδειξεν, οἷον ἑβδόμη καὶ ἐννάτη καὶ ἑνδεκάτη καὶ τεσσαρεσκαιδεκάτη· αὗται γὰρ κρίνειν πεφύκασιν· εἰσὶ δὲ καὶ ἄλλαι, μὴ τοιαύτην ἔχουσαι τὴν ἰσχὺν, ὥσπερ ἕκτη καὶ ὀγδόη. γινώσκειν μὲν, 5) ὅτι κατὰ τὰς εἰρημένας, κἂν οὐ 6) μεγάλη γένοιτο ταραχὴ, δύναται τελεία γενέσθαι κρίσις, ἐπικυρουμένης τῆς κρίσεως ὑπὸ τῆς κατὰ τὴν ἡμέραν ἰσχύος. ἐν δέ γε τῇ ἕκτῃ καὶ τῇ ὀγδόῃ, εἰ μέλλει τελεία γενέσθαι κρίσις, χρὴ πάντως πολλὴν ταραχὴν γενέσθαι, ὅπου πολλάκις οὐδ' ἐπὶ ταῖς ἀμέτροις ταραχαῖς ἠκολούθησε τελεία κρίσις, ἀλλ' ἤτοι ἀτελῶς ἢ κακῶς ἔκρινε. τὸ

---

1) *μᾶλλον* A. supersc. *καλόν*. Fort. *κάλλιον*. 2) *ζέσεως*, ebullitione G. 3) *ἄλλοτε ἐπ' ἄλλο* G. emendavit. 4) *ἐφ' ὃν* mutat in *αὐτὸν* G. Equidem legerim *ἐφ' ὧν*. 5) Om. *χρή*. 6) *κἂν εἰ* A.

δὲ κακῶς δύο σημαίνει· ἢ γὰρ ἐπὶ ὀλέθρῳ τοῦ κάμνοντος, ἤγουν μετὰ κινδύνων, οἷον λειποθυμίας καὶ συγκοπῆς, ἢ καὶ τῶν τοιούτων ἁπάντων, ὅσα βραχεῖαν ἡμῖν σωτηρίας ἐν τοῖς νοσήμασιν ἐλπίδα παρέχει.

Φέρε δὴ καὶ τὴν ἡμέραν εἶναι κατὰ τὸ τῆς ταραχῆς μέγεθος.—

Τὰ μὲν εἰρημένα πάντα σημεῖα ἢ προγνωστικὰ μελλούσης ἐτύγχανον κρίσεως, ἢ διαγνωστικὰ παρούσης. τὰ δὲ νῦν μέλλοντα λέγεσθαι καὶ τὸν τρόπον ἡμῖν 1) δηλώσουσι κρίσεως, οἷον εἰ διὰ γαστρὸς ἢ δι' ἱδρώτων ἢ δι' ἐμέτων ἢ δι' αἱμοῤῥαγίας ἔσται. ἀλλὰ περὶ μὲν τῶν ἄλλων διαβαίνειν οὐκ εὔκαιρον. ἐπεὶ δὲ περὶ κεφαλαλγίας ἦν ὁ λόγος, ἥτις κοινόν ἐστι σύμπτωμα, προαγορεύσουσα ἔμετόν τε καὶ τὴν διὰ ῥινῶν αἱμοῤῥαγίαν, χρὴ διακρίνειν καὶ τοῦτο. διακρίνομεν δὲ αὐτὸ τοῖς εἰρημένοις ὑπ' αὐτοῦ σημείοις. καὶ πρῶτόν γε διαγνῶμεν, εἰ ὅλως κριτικὸν σημεῖον ἡ κεφαλαλγία ἢ σύμπτωμα. τοῦτο δὲ μαθησόμεθα ἐκ τῶνδε· πρῶτον μὲν, εἰ μὴ συνέβαλε τῇ ἀρχῇ τοῦ νοσήματος ἡ κεφαλαλγία, ἀλλὰ νῦν ἐπεφάνη πρὸ τῆς ταραχῆς. εἰ γὰρ εἴη τοῦτο, σημεῖον ἂν εἴη κρίσεως, καὶ οὐ σύμπτωμα. Ἱπποκράτης μέντοι φησὶν ὅτι πολλάκις συνεισέβαλε κεφαλαλγία τῇ ἀρχῇ τοῦ νοσήματος, καὶ ὁμοίως παρὰ τὴν ἀκμὴν ἐγένετο κρίσεως σημεῖον, ἐπιταθεῖσα δηλονότι. καί ἐστιν 2) ἡ μετὰ ταραχῆς κεφαλαλγία, σύμπτωμα δὲ νῦν κατὰ τὴν ἀκμὴν ἐπιταθῆναι, σημεῖον κριτικόν. ἐπὶ τούτοις δεῖ σκοπεῖν, εἰ τὸ ὑποχόνδριον αὐτοῖς ἀνέσπασται. τοῦτο γὰρ 3) τῆς φύσεως γίνεται, οἷον συνεπωθούσης διὰ τῆς ἄνω φορᾶς τὰ περιττὰ, καὶ ὥσπερ αὐτὰ ἀπώσασθαι 4) βουλομένης, συνεκπίπτει δὲ πολλάκις τῷ ὠθουμένῳ, καὶ οἷον αὐτῷ συνεπόμεθα. οὕτω καὶ ἡ φύσις ἀπομαχομένη διὰ τῶν ἄνω τὸν περιττεύοντα χυμὸν ἀπελάσαι συναγωνίζεται.

---

1) δηλώσωσι A. ἢ pro εἰ A. 2) ἥδε μετὰ ταραχὴν G. correxit. 3) Fort. γίνεται, τῆς φύσεως. 4) βουλομένη A.

Scholia

Augustini Gadaldini medici, in Stephani Atheniensis explanationes.

Pag. 239.] Sed et horum singula ab aliis rursus causis fieri. etenim succos etc. Legitur graece *ἀλλὰ καὶ τούτων ἕκαστον ἄλλων αὖθις αἰτίαι γίνεται. ἢ γὰρ οἱ χυμοὶ* etc. sed et horum singula aliorum rursus causae fiunt. vel enim succos etc. Ego vero arbitror ita esse legendum, *ἀλλὰ καὶ τούτων ἕκαστον ὑπ᾽ ἄλλων αὖθις αἰτίων γίνεται. καὶ γὰρ οἱ χυμοὶ.* ut sit vertendum quemadmodum ego transtuli. Nam quod humores verbi gratia calidiores vel frigidiores magis abundent, in causa est diaeta, aetas, anni tempus, regio et animi affectus: ut ex sequentibus mox apparet. Ac fortasse, ubi in codice et graeco et latino locus ille prior vacuus in eadem pagina habetur: desunt quae Stephanus de aetate, et victus ratione ex Mnesitheo narrabat: quomodo ab his ipsis humores alterentur.

Ibidem.] Ipsius vero animae). Videtur ex illa dictione (vero) eum superius dedisse exemplum laborum corporis: postea coepisse etiam declarare labores animales, inter quos etiam nimium venereorum usum Mnesitheus ponit, quanquam Galenus libro secundo de causis symptomatum capite primo inter corporeos motus eum collocat.

Pag. 241] Rectricum alia imaginatrix, alia cogitatrix, alia memoratrix existit. Totum hoc deerat in exemplari graeco. Ego autem, ut divisio perfecta fieret, adiungendum esse censui. Divisio autem quam hic ponit facultatum, ut aliae sint naturales, aliae animales, et sub animalibus etiam vitales ponantur: est Galeni tum in libro de symptomatum differentia capite tertio et quarto, tum in libro primo de Respirandi difficultate cap. 12. tum in libro de Curandi ratione per sanguinis missionem cap. 3. tum etiam in libro de Vocalium instrumentorum dissectione cap. 2. Sub naturali enim vitalem his in locis collocasse videtur Galenus.

Pag. 242] Actionum porro subdivisio etc.) Graece ita legitur: *ἡ δὲ ὑποδιαίρεσις ἡ αὐτὴ τῇ τῶν δυνάμεων. ὅσαι γὰρ δυνάμεις ἐνέργειαι.* Addendum autem iudicavimus pro huius loci emendatione, in priori quidem vacuo, *ἐνεργειῶν,* in posteriori autem *τοσαῦται καὶ.*

Pag. 243] Alia in laesionib. actionum considerantur.) Graece est, *τὰ μὲν ἐν βλάβαις, θεωριῶν ἐνεργεῖται.* facile tamen quisque corrigere potest *τὰ μὲν ἐν βλάβαις θεωρεῖται τῶν ἐνεργειῶν.* est enim literarum metathesis.

Pag. 244] Cum conteratur spiritus) in graeco cod. deest spiritus. ego tamen rem ipsam secutus, addendum esse existimavi.

Pag. 245] Quippe qui eorum febres acriores reddant.) Graece ita legitur: *δριμυτέρους αὐτοὺς ἑαυτῶν ἀποτελοῦντες.* Sed tamen legendum arbitror, *δριμυτέρους τοὺς πυρετοὺς αὐτῶν ἀποτελοῦντες* i. e. quippe qui eorum febres acriores reddant. nam hoc magis etiam Galeni verbis quadrat.

Pag. 247] Vel aliqua ex iis quae circa ipsum sunt. Graece *ἢ τῆς τῶν περὶ αὐτῶν.* Quid haec verba sibi velint, plane nescio, nisi forte declaratio sit causae procatarcticae, nempe quae sit non in ipso aegrotante,

sed circa ipsum ac extrinsecus, ut plerisque in locis ex Galeno habetur, ut totus hic locus ita graece sit legendus. *εἰ καὶ τὸν πυρετὸν ὁ κάμνων εἴποι γεγενῆσθαι αὐτῷ ὑπό τινος προκαταρκτικῆς αἰτίας, ἤ τινος τῶν περὶ αὐτὸν.* Locus tamen omnino obscurus est.

Pag. 249] Ex causis morbificis (ut in praecedentibus diximus) aliae sunt procatarcticae, aliae antecedentes, aliae coniunctivae. Antecedentes igitur atque coniunctivas oportet ut medicus sciens praenunciet, procatarcticas vero a laborantibus interroget. Graece ita habetur: *τῶν νοσοποιῶν αἰτίων ὡς ἐν τοῖς προλαβοῦσι εἰρήκαμεν, τὰ μέν ἐστι προκαταρκτικὰ, τὰ δὲ προηγούμενα, τὰ δὲ συνεκτικὰ, δεῖ τὸν ἰατρὸν εἰδότα προαγορεύειν, τὰ δὲ προκαταρκτικὰ παρὰ τῶν καμνόντων πυνθάνεσθαι.* Sed facile fuit librario rum culpa inter *συνεκτικὰ* et *δεῖ* omissa fuisse haec verba. *τὰ μὲν οὖν προηγούμενα καὶ τὰ συνεκτικὰ.* Quae nisi addantur, bonus sensus qui possit elici non video.

Pag. 251] Nunciant enim nobis oculi ipsos animi affectus, cum sint fenestrae cerebri, in quo anima habitat) Graece *ἀγγέλους ἐπὶ μὲν γὰρ ἡμῖν οἱ ὀφθαλμοὶ τὰ τῆς ψυχῆς πάθη θηρεύοντες τοῦ ἐγκεφάλου, ἐν ᾧ κατοικεῖ ἡ ψυχή.* Horum verborum sensus bonus meo iudicio elici non potest, nisi quaedam immutentur. Nos igitur coniectura quadam ducti, legimus *ἀγγέλλουσι μὲν γὰρ.* i. e. nunciant enim. et pro *θηρεύοντες* legimus *θύραι ὄντες,* id est cum sint ianuae seu fenestrae. Ex oculis enim tanquam ex fenestris intueri possumus, quemadmodum quisque animo sit affectus. Sic etiam Q. Cicero in lib. de petitione consulatus, frontem dixit esse animi ianuam.

Pag. 252] Ac sciendum est deteriorum rerum cogitationem cum corpore unâ etiam animum dejicere: praestantiorum vero cogitationem corpus quidem deiicere: at animam et recreare et augere, robustioremque etc) Graecum exemplar habet, *καὶ χρὴ γινώσκειν ὅτι ἡ μὲν τῶν χειρόνων φροντὶς σὺν τῷ σώματι καὶ τὴν ψυχὴν καταβάλλει, τὴν*

δὲ ψυχὴν ἀνάγει τε καὶ αὔξει, καὶ ῥωμαλαιωτέραν etc. Id est, ac sciendum est deteriorum rerum cogitationem cum corpore una etiam animam deiicere: at animam et recreare et augere, robustioremque etc. Quae verba quam inter se conveniant, tu vides. Ego verba aliqua addere, quae librariorum indiligentia, ut opinor, omissa sunt, non sum veritus. ea autem sunt *ἡ δὲ τῶν κρειττόνων, τὸ μὲν σῶμα καταβάλλει.* id est praestantiorum autem corpus quidem deiicere, at animam etc. ita enim iudicio meo integra ac vera habetur sententia. Sane quae sint deteriora, Galenus etiam declarat secundo libro de Crisibus capite secundo inquiens: Quod si (ut diximus) ociosam et socordem vitam egeris, vel laboriosam quidem, sed circa deteriora (graece *εἰς τὰ χείρω*) divitias, honorem, et civilem potentiam veritati praeferendo.

Pag. 254] Hoc autem fit in calidioribus humidioribusque corporibus) Graecus codex habet *τοῦτο δὲ γίνεται ἐπὶ τῶν θερμοτέρων καὶ ξηροτέρων.* id est, hoc autem fit in calidioribus sicciori busque. Ego tamen ratione motus, vocem *ξηροτέρων* corruptam esse, ac *ὑγροτέρων* illius loco legendum esse censui. Neque enim in calidis et siccis, quod difflatur vaporosum et utile est, sed in calidis et humidis. De hac autem materia copiosius libro de causis morborum capite tertio.

Pag. 257] Sed rubedo colore) Graece *ἀλλὰ τὸ μὲν ἔρευθος τῷ χρόνῳ.* Sed res ipsa indicat pro *χρόνῳ χρώματι* legendum esse.

Ibidem] Ac Angelleuas quidem ait a glandulis in vesicam vasa tendere, per eaque, etc.) Graece *ὁ μὲν οὖν ἀγγελλεύας φησὶ ἐπὶ φέρεσθαι τὴν κύστιν, δι' ὧν* etc. Hic deesse *ἀγγεῖα* id est vasa, facile quisque iudicare potest. Error autem hic forte ob dictionem *ἀγγελλεύας* contigit, de quo sane viro nunquam alias quicquam me legisse memini.

Pag. 260] Sed idem sane simpliciter corporis meatus oblinire) Graece *ἀλλ' οὕτως μὲν ἁπλῶς τοὺς*

τοῦ σώματος πόρους. Puto librariorum negligentia omissum fuisse ἐμπλάττει, id est oblinire, idque fortasse factum fuisse ob similitudinem quam ἁπλῶς cum ea dictione habet.

Pag. 263] Ut caloris mediocritate) Graece ἵνα τῇ ἀμετρίᾳ τῆς θερμότητος ut caloris excessu ac immoderatione. Fortasse tamen melior lectio est, συμμετρίᾳ id est mediocritate. Quamquam prior etiam lectio recipi potest, si recte intelligatur.

Pag. 265] Et synochi id est continentes fiunt.) Mendose legi graece συνεχεῖς, id est continuae, facile quisque medicae artis non ignarus, coniicere potest. Nam quae in toto corpore id est in omnibus arteriis et venis ac praecipue maximis et calidissimis, humorem habent putrescentem, continentes sunt, non simpliciter continuae: ut Galenus plerisque in locis praecipueque in secundo libro de differentiis febrium in fine, et nono meth. curativae cap. 3. et undecimo libro cap. 4. asserit. Secus autem est de periodicis febribus.

Pag. 270] Atque quandoque duobus interiectis diebus, interdum tribus, nonnunquam etiam singulis diebus. Nota illa asterisci non posteriori, sed priori dictioni, diebus) potius erit superponenda. Graece autem est, καὶ ποτὲ μὲν διὰ δύο, ποτὲ δὲ διὰ τριῶν καὶ καθ' ἑκάστην. Subintelligo ego) ἡμέραν vel ἡμερῶν, et ἡμέραν, ac si ita diceret, καὶ ποτὲ μὲν διὰ δυοῖν ἡμέραιν, ποτὲ δὲ διὰ τριῶν, ἐνίοτε δὲ καθ' ἑκάστην ἡμέραν.

Pag. 271] Vel ab aliis quae praeter naturam sunt. Addendum omnino in codice graeco ἢ ἀπὸ τῶν παρὰ φύσιν. [Non sunt omissa in codice meo Ambrosiano.]

Pag. 272] Sed et quae praeter naturam sunt, quaerenda sunt, ut caliditatis quantitas et qualitas: quantitas quidem etc.) Graece in meo codice est, ἀλλὰ καὶ τὰ παρὰ φύσιν ζητητέον ἐστὶ, τὸ ποιὸν, τὸ μὲν ποσὸν. Ego in hunc modum corrigo, ut etiam transtuli, ἀλλὰ

καὶ τὰ παρὰ φύσιν ζητητέον ἐστὶ, οἷον τὸ ποσὸν τῆς θερμασίας καὶ τὸ ποιὸν, τὸ μὲν ποσὸν. etc. Ita enim concinnum, ut ex sequentibus apparet, habebit sensum: cum prius intelligi nequaquam posset.

Pag. 277] Pulsus in his, dum sanitate fruuntur, hoc sustinere ob redundantis succi qualitatem) Graece legitur: *ὅτι οἱ χυμοὶ ἐπὶ τούτων ἐν τῷ ὑγιαίνειν ὄντων ὑπομένουσι δὲ τοιοῦτον ἐκ τῆς τοῦ πλεονάζοντος χυμοῦ ποιότητος.* Locus corruptus est. Ego vero *χυμοὶ* in *σφυγμοὶ* mutandum esse iudico, nam sermo est de pulsibus. videtur enim velle dicere, pulsus in quartanariis, dum liberi sunt a febre, inaequales etiam esse ob succi melancholici qualitatem. hoc ergo modo emendarem hunc locum, *ὅτι οἱ σφυγμοὶ ἐπὶ τούτων ἐν τῷ ὑγιαίνειν ὄντων ὑπομένουσι δὴ τοιοῦτον ἐκ τῆς τοῦ πλεονάζοντος χυμοῦ ποιότητος.*

Pag. 277] Sed humidiorem quidem ob succi naturam: acriorem vero ob adiunctam sibi putredinem) Locus in graeco mutilus. legitur enim *ἀλλ' ὑγρότερον μὲν, δριμύτερον δὲ δια τὴν προγινομένην αὐτῇ σηπεδόνα)* id est: Sed humidiorem quidem, acriorem vero ob adiunctam sibi putredinem. Debuerat autem priori etiam membro addi causa. Addo igitur ego, coniectura fortasse non aberrans: *διὰ τὴν τοῦ χυμοῦ φύσιν.* ut sic legatur, *ἀλλ' ὑγρότερον μὲν διὰ τὴν τοῦ χυμοῦ φύσιν* id est sed humidiorem quidem ob succi naturam, quae sane humida est.

Pag. 279] Quoniam enim quartanae quotidianis maiorem habent pulsum: ob id natura pro ingresso aere, magnitudine dilatationis contenta, maiorem fecit pulsum. Quoniam igitur, quantum ad magnitudinem et frequentiam spectat, quartanae quotidianis maiorem quidem habent pulsum, sed rariorem, quotidianae vero quartanis minorem quidem, sed frequentiorem: iccirco dicit, tanto quanto his non de tertianis, sed de quotidianis intelligens. Graece *ἐπειδὴ γὰρ οἱ τεταρταῖοι*

τῶν ἀμφημερινῶν μείζονα τὸν σφυγμὸν ἔχουσι, διὰ τοῦτο ἡ φύσις ἀρκεσθεῖσα τῷ εἰσενεχθέντι ἀέρι ὑπὸ τοῦ μεγέθους τῆς διαστολῆς, ἀραιότερον ἐποίησε τὸν σφυγμόν. ἐπὶ δὲ τῶν ἀμφημερινῶν, ὃ καὶ κατὰ τὸ μέγεθος καὶ πυκνότητα οἱ μὲν τεταρταῖοι τῶν ἀμφημερινῶν μείζονα μὲν τὸν σφυγμὸν ἔχουσιν, ἀραιότερον δὲ οἱ ἀμφημερινοὶ τῶν τεταρταίων μικρότεροι μὲν, πυκνότεροι δὲ τοσοῦτον ὅσον τούτων φησὶ οἱ τῶν τεταρταίων, ἀλλὰ τῶν ἀμφημερινῶν. Alias cum hunc locum multis sane erroribus scatentem interpretarer, dempsi verba illa ἐπὶ δὲ τῶν ἀμφημερινῶν, ut qui ea cum caeteris connectere nequirem. immutavi etiam nonnulla, ut est videre in versione impressa. cum tamen deinceps rem accuratius perpendi, iudicavi eum meliori faciliorique modo castigari posse, hoc pacto: ἐπειδὴ γὰρ οἱ τεταρταῖοι τῶν ἀμφημερινῶν μείζονα τὸν σφυγμὸν ἔχουσι, διὰ τοῦτο ἡ φύσις ἀρκεσθεῖσα τῷ εἰσενεχθέντι ἀέρι ὑπὸ τοῦ μεγέθους τῆς διαστολῆς ἀραιότερον ἐποίησε τὸν σφυγμόν· ἐπὶ δὲ τῶν ἀμφημερινῶν, τοὔμπαλιν· ὥστ᾽ ὅσον κατὰ τὸ μέγεθος καὶ πυκνότητα, οἱ μὲν τεταρταῖοι τῶν ἀμφημερινῶν, μείζονα μὲν τὸν σφυγμὸν ἔχουσιν, ἀραιότερον δέ. οἱ δὲ ἀμφημερινοὶ τῶν τεταρταίων μικρότερον μὲν, πυκνότερον δέ· τὸ δὲ τοσοῦτον ὅσον τούτων, φησὶ οὐ τῶν τριταίων, ἀλλὰ τῶν ἀμφημερινῶν. hoc est: Quoniam enim quartanae quotidianis maiorem habent pulsum, ob id natura pro ingresso aere, magnitudine dilatationis contenta, rariorem fecit pulsum: in quotidianis vero, contra. Quare quantum ad magnitudinem et frequentiam spectat, quartanae quotidianis maiorem quidem habent pulsum, sed rariorem: quotidianae vero quartanis minorem quidem, sed frequentiorem. Illud vero (tanto quanto his) non de tertianarum, sed quotidianarum pulsibus dicit. Itaque minore mutatione facta, clarior etiam sensus evadit. Equidem nisi erratis plenum hoc meum graecum exemplar esse animadverterem, tam audax aliquando in eo immutando non essem.

Pag. 279] Tertiana quidem. Mendose legitur τεταρταῖος idest quartana, evidens error. [Recte in Cod. A.]

Pag. 283] Hoc signum non simpliciter continuarum est nota.) Graece *τοῦτο τὸ σημεῖον οὐχ ἁπλῶν συνεχῶν ἐστι γνώρισμα.* Sed lego ego *ἁπλῶς.* Error certe librarii est. [Recte A.]

Pag. 290] Maxime contrarium dicit legitimum et nothum.) Quandoquidem legitima quotidiana legitimae tertianae maxime contraria est. Locus graece mendosus: *ἐναντιώτατόν τέ φησι τὸ γνήσιον καὶ νόθον. ἐπεὶ τῷ τριταίῳ γνήσιος ἀμφημερινός ἐστιν ἐναντιώτατος.* Ego cum hunc locum transferrem, addidi *γνησίῳ,* sed forte etiam illud *ἐπεὶ.* i. e. quandoquidem in *καίτοι* idest quanquam, mutandum esset: ut esset sensus. Galenus quidem dicit maxime contrariam notham tertianae exquisitae. quanquam proprie maxime contraria est tertiana exquisita quotidianae exquisitae.

Pag. 293 ad verba Galeni] Bonae autem sunt et quae per has vias fiunt bilis purgationes] Exemplaria graeca impressa habent: bonae autem sunt et quae *διὰ τῶν κάτω,* idest per inferiora fiunt bilis purgationes. Sed cum nuper dixisset humorem, qui deorsum subit, per inferiora vacuandum esse, bis idem videretur dicere. Codex Stephani habet ut ego transtuli: *ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶνδε καθάρσεις τῆς χολῆς.* Franciscus Quirinus Hieronymi filius, vir ut nobilissimus, ita etiam singulari prope bonitate eximioque ingenio ornatus, ac bonarum literarum amator summus, nuper mihi librum hunc Galeni manuscriptum ac satis antiquum dedit: qui hoc in loco ita habet, *ἀγαθαὶ γὰρ καὶ αἱ διὰ τῶνδε τῆς χολῆς καθάρσεις* id est bonae enim sunt et quae per has vias (sudores inquam et urinas) fiunt bilis purgationes. quae sane lectio aliis praestat. quasi reddat rationem Galenus cur sudoribus et urinis iter sit praebendum.

Pag. 297] Hippocrates a consuetudinibus indicationem sumpsit) Manca est haec sententia in graeco: ac fortasse etiam aliquid ante haec verba legebatur.

deesse saltem videtur ἔλαβε vel quid tale. est enim graece, Ἱπποκράτης ἀπὸ τῶν ἐθῶν ἔνδειξιν, ὥστε etc.

Pag. 299] Ex piscibus marinis alii littorales etc.) Addidi ego marinis, quod de marinis sermo sit.

Pag. 303] ὑπήλατον, ait etiam Erotianus antiquus dictionum Hippocratis collector atque explanator, et Eustathius Homeri expositor quod inferiorem ventrem purgat: ab ὑπελαύνειν (ut Erotiano placet) vel etiam altius (ut Eustathio) ab eo verbo, a quo et ὑπελαύνειν derivatur, originem trahens, hoc est ab ὑπὸ et ἐλᾷν, quod verbum per translationem etiam purgare significat. unde ἐλατήριον, quod de omni medicamento ventris purgatorio dicitur, peculiariter vero de eo, quod ex cucumere agresti fit.

Pag. 304] Nondum enim concoctus fuit, crassus inconcoctusque succus.) Graece οὔπω γὰρ ἐπέφθη παχὺς καὶ ἄπεπτος ὢν ὁ χυμός. At certo videtur quando non est concoctus, ut omnino sit inconcoctus. considera.

Pag. 304] Quae ex congressu humeralis atque axillaris fit,) Graece legitur. ἥτις ἐκ συνόδου τῆς τε ὠμιαίας γίνεται. addo ego καὶ τῆς μασχαλιαίας idest et axillaris. neque aliter meo iudicio legi debet.

Pag. 305] Amolitioneque) graece legitur μοχθηρίας, id est pravitate. quod hoc in loco nullum habet sensum. Iudicavi ego legendum omnino esse μοχλείας. quod sententiae quadrat.

Pag. 305 ad verba Galeni] Et ab universis eduliis quae refrigerant et quae humectant.) Leonicenus legere voluit, quae refrigerant et exsiccant. Ut codices tamen graeci habent, non ut Leonicenus voluit omnino legendum esse: Oribasii, et Pauli, et Aetii, et Stephani testimonio comprobatur. Quin Alexander etiam Trallianus Galenum hoc in loco arguit, quod laborantem febre quartana a refrigerantibus et humectantibus abstinere iusserit. Cuius sane Tralliani ra-

tio convinci potest, si locus hic eo intelligatur modo, quo Stephanus intelligi voluit, idest, coniunctim, non disiunctim.

Pag. 306 ad v. Galeni] Ex volucribus autem quae non palustres sunt. Ita habent fere omnes codices manuscripti, et ita etiam Stephanus in explanatione videtur legisse. Impressi autem habent: Ex volucribus autem quae boni succi sunt, non palustres. Sed si aves illae, quae in paludibus degunt, boni succi non sunt, alterum horum videbitur abundare. Quanquam, sive hoc, sive illo modo legas, parum refert.

308] *μετασυγκρίνειν.* Quid hoc verbum significet, Galenus libro quarto meth. medendi, et libro quinto de Simp. pharmacorum facultatibus cap. vigesimo quinto docet. Caelius Aurelianus vertit, recorporare.

Ibidem] Quod autem alius sit liquor Cyrenaicus, et alius qui vocatur Medicus, perspicuum est) Graece *ὅτι δὲ καὶ ἄλλος ἐστὶν ὀπὸς κυρηναϊκὸς ὁ καλούμενος μηδικὸς, εὔδηλον,* idest quod autem alius sit liquor Cyrenaicus, et qui vocatur Medicus, perspicuum est. Ambigua verba. Videretur ergo idem esse et Cyrenaicum liquorem, et Medicum, cum tamen et regione inter se eos differre nomina ipsa indicent: et viribus inferiorem esse Medicum, aperte et Dioscorides, et Plinius, et Galenus plurimis in locis, et Paulus Aegineta, et Aetius asserant. Duas igitur dictiones, librarii fortasse incuria praetermissas addidi, quo locum hunc clariorem redderem.

Pag. 310] In frigidis) depravate legitur in graeco *ἐπὶ τῶν ἐχόντων,* idest in habentibus. nam vel *ἐπὶ τῶν ψυχόντων,* id est in refrigerantibus, vel *ἐπὶ τῶν ψυχρῶν,* id est frigidis, legi debet.

Pag. 311] Post moderatam vacuationem) Graece *διὰ τῆς ἀμέτρου κενώσεως* idest ex immoderata vacuatione. Porro antecedentia et subsequentia legendum esse indicant, post moderatam vacuationem, vel ex moderata vacuatione.

Pag. 313] Neque enim pueri. *οὔτε γὰρ οἱ παῖδες.* Sed certe, illud *γὰρ* in *γὲ* vel quid simile mutandum est. Neque vero pueri etc. ut sit nova sententia, non causae redditio.

Pag. 314] Quae una cum inutilibus utilia egredi faciat) Graece *συναισθάνειν ποιοῦσαν τοῖς ἀχρήστοις καὶ τὰ χρηστὰ* idest quae cum inutilibus utilia consentire faciat. Dum hunc locum converti, lineam quandam vidi dictioni *συναισθάνειν* subtensam, et in margine collatum *συνεκκενεῖν.* arbitratus igitur sum eam dictionem alicui fuisse suspectam, qui illius loco *συνεκκενοῦν* legendum censuerit: quem tunc sequutus sum. si tamen res consideretur diligentius, nec is dicendi modus improbandus videtur, quo per metaphoram utilia inutilibus consentire dicuntur.

Pag. 315] Sive autem hoc, sive illo modo necesse sit illud per avulsionem deorsum duci, pericula haud pauca mulieri infert) Graece: *εἴτε δ' οὕτως εἴτ' ἐκείνως, ἀνάγκη αὐτὸ κατενεχθῆναι ἐπισηπόμενον, κινδύνους οὐκ ὀλίγους ἐπιφέρει τῇ γυνῇ.* i. e. Sive autem hoc sive illo modo, necesse ipsum deorsum duci putrescens, pericula haud pauca mulieri inferre. Ego illud *ἐπισηπόμενον* muto in *ἐπισπώμενον,* neque enim satis video quo modo putrefieri possit tam cito secunda, dum cum infante egreditur, sed videtur mihi sensus hic esse: sive cum infante exeat chorion, sive postea etiam, si violenter ac per avulsionem detrahitur, necesse est, ut ex immodica evacuatione sanguinis, pericula non exigua sequantur.

Pag. 315] Tunc igitur accidit ut sanguis multus in vasis vulvae contentus, qui et a toto corpore ad nutriendum foetum asportatur, eo (hoc est chorio) deorsum ducto, evacuetur.) Graece: *τηνικαῦτα τοίνυν αἷμα πολὺ ἐν τοῖς κατὰ τὴν μήτραν ἀγγείοις περιεχόμενον, ὃ καὶ κομίζεται μὲν ἀπὸ τοῦ παντὸς σώματος εἰς τροφὴν τοῦ ἐμβρύου, κατενεχθέντος δὲ τούτου μύτην ἐν αὐτοῖς*

περιέχεται συμβαίνει κενοῦσθαι. In quibus verbis *κατενεχθέντος δὲ* usque ad finem, mendum esse suspicatus sum. nam sine ullo ordine ac sensu inculcata illic videntur *μήτην ἐν αὐτοῖς περιέχεται.* ea igitur inducenda esse duxi, ac ita legendum, *κατενεχθέντος δὴ τούτου συμβαίνει κενοῦσθαι.* ita enim concinnus sensus haberi potest.

Pag. 317] Et cum ardenti et maligna febre nonnunquam simul invasit etiam eos quibus extrema corporis vehementer sunt refrigerata in febrium invasionibus. *καὶ καυσώδει καὶ κακοήθει πυρετῷ συνεισέβαλέ ποτε καὶ τοῖς μεγάλως καταψυχθεῖσι τὰ ἄκρα τοῦ σώματος ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν.* Hic locus de iis intelligi iudicio meo debet qui in invasione causi maligni, extremis corporis partibus refrigeratis, lipothymiam incurrunt, ut etiam videre est textu p. 332. Aliqui tamen interpretes duo esse membra voluerunt, hoc est ut lipothymia et invadat cum febre maligna, et invadat etiam iis quibus per febrium accessiones extrema vehementer refrigerata sunt.

Pag. 317] Causus hoc est febris ardens, ob immodicam quandoque digestionem largo, nimirum existente febrili calore, defectionem animi inducit. Hic locus diu magnum mihi negotium exhibuit. legitur enim graece *συνεισβάλλει ποτὲ ὁ καῦσος τῇ ἀμετρίᾳ τῆς διαφορήσεως γινομένης, λαύρου τοῦ πυρετώδους θερμοῦ λειποθυμίαν ἐπάγει,* nesciebam enim quo referri deberet illud, *συνεισβάλλει ποτὲ,* nec syntaxin percipere unquam valui. cum tamen demum in vetusto quodam Bernardini Lauredani, adolescentis & nobilissimi & doctissimi, volumine, in quo varia Galeni aliorumque medicorum scripta graece continentur, loco verborum illorum *συνεισέβαλέ ποτε* quae in hoc textu Galeni leguntur, viderim *συνεισβάλλει ποτὲ,* conjectatus sane fui, fieri potuisse, ut haec ipsa verba olim quidem ab aliquo in margine fuerint posita e regione illorum quae in contextu habentur, quo in eorum fortasse locum

substituerentur: at deinde a librario indocto sine ullo iudicio (ut saepe usu venit) in principio explanationis transposita fuerit. Ea igitur inducenda esse existimo, atque ita hunc locum esse corrigendum, *ὁ καῦσος τῇ ἀμετρίᾳ ποτὲ τῆς διαφορήσεως, γινομένου λαύρου τοῦ πυρετώδους θερμοῦ, τὴν λειποθυμίαν ἐπάγει.*

Pag. 319] Non est ergo mors in irascentibus. Corrupte legitur *λυπουμένων* pro *θυμουμένων.*

Ibidem] Ileus est vomitus stercoris. corrupte etiam *ἔμμετρος* pro *ἔμετος* legitur. Sicuti in eodem comm. intra duas coli tunicas, male etiam in graeco causi legitur pro coli.

Pag. 320] Quae scilicet sanguinem (qui dudum in utero, praegnationis tempore, ut in foetus nutritionem dispensaretur, erat collectus) nunc ad mammas transferunt, ut in lactis formam transmutetur) graece *αἵτινες τὸ πάλιν συναγόμενον ἐν ταῖς ὑστέραις αἷμα κατὰ τὴν κύησιν εἰς τροφὴν τοῦ ἐμβρύου χορηγούμενον, νῦν ἐπὶ τοὺς τιτθοὺς μεταφέρουσι, οὕτως ἂν εἰς γάλακτος ἰδέαν μεταβάλλοιτο.* in quibus verbis si *πάλιν* in *πάλαι* & *οὕτως* in *ὅπως* mutetur, clara meo judicio reddetur sententia. [*ὅπως* A.]

Pag. 322] Per omnia igitur permeans continuus sibi ipsi est, qui quidem in dextera parte est, ei qui in dextera: qui vero in sinistra, ei qui est in sinistra) Graecus cod. habet *διὰ πάντων τοίνυν φοιτῶν ἑαυτῷ, συνεχὲς δὲ τὸ μὲν ἐν τοῖς δεξιοῖς τῶν ἐν τοῖς δεξιοῖς, τὸ δ' ἐν τοῖς ἀριστεροῖς τῶν ἐν τοῖς ἀριστεροῖς.* ego vero *ἑαυτῷ* cum *συνεχὲς* conjunxi, distinctionem inter *φοιτῶν* et *ἑαυτῷ* ponens et illud *δὲ* quod statim post *συνεχὲς* habetur, mutavi in *ἐστί.* nam in transcribendo, id quod est signum unius saepenumero pro altero a librariis incaute usurpatur; illa etiam duo *τῶν* mutavi in *τῷ,* ita enim postea perspectus habetur sensus. Nec tamen difficile omnino fuit, hunc in modum, hunc locum emendare.

Pag. 325] Sciendum autem est in quibus multitudo materiae in corpore continetur, in illis balnea magis ventriculum irritare. materias enim fundentia, fluidiores ipsas reddunt, atque eas omnes quae per occultos meatus provocari possunt, illac vocant: reliquas quae in profundo sunt, per ventrem ac intestina ferri faciunt) Graeca lectio non caret mendis. *χρὴ δὲ εἰδέναι, ὅτι ἐφ᾽ ὧν ἐστι πλῆθος ὕλης ἐν τῷ σώματι περιεχόμενον, ἐπ᾽ ἐκείνων τὰ βαλανεῖα μᾶλλον προτρέπει τὴν γαστέρα. χέοντα γὰρ τὰς ὕλας καὶ εὐροωτέρας αὐτὰς ποιεῖ, καὶ δυναμένας πάσας ἐπὶ τοὺς ἀδήλους προτρέψασθαι πόρους, τὰς ὑπολοίπους ἐν τῷ βάθει ποιεῖ φέρεσθαι διὰ γαστρὸς καὶ ἐντέρων.* An bonum sensum ego elicuerim, alii judicent.

Pag. 325] Ut ait, *καὶ φύσει.* Facilis lapsus. legendum arbitror *ὥς φησί.*

Pag. 327] Quippe quae non succos solum attrahere soleant, sed et ipsas etiam particulas. Graece *ἕλκειν πεφυκυῖαι ὠμὸν χυμὸν, ἀλλὰ δὴ καὶ αὐτὰ τὰ μόρια,* id est, quippe quae (scilicet cucurbitulae) crudum succum attrahere soleant. sed etc. Quid autem sibi velit illud *ὠμὸν χυμὸν* non video. Librarii ergo fuisse erratum conjeci, atque legendum esse *οὐ μόνον χυμοὺς,* id est non solum succos. Sensus enim tunc clarus est.

Pag. 328] Ut qui passim decretum hoc reprobet atque redarguat) Graece *πανταχοῦ γὰρ ἀπαγορεύει τὸ δόγμα τοῦτο καὶ διαλόγων αὐτό.* ego *διαλόγων* in *διελέγχει* mutandum esse arbitror, vel in *διελέγχων,* inducto illo *καί.* ut qui passim decretum hoc reprobet, ipsum redarguens. Quod mox ex Platone citatur, ex eodem nos correximus.

Pag. 333] Si magnam fore animi defectionem exspectamus, iis vinum exhibere satius est vel cum chondro, vel cum pane: si vero mediocrem, vinum quidem non amplius) etc. Deest in graeco exemplari, si

vero mediocrem quod facile ex Galeni verbis addi potuit.

Pag. 334 ad verb. Gal.] Nunc vero ad sermonem etc.) Tota haec pars cum subsequenti textu connectenda erat in graecis et in latinis exemplaribus.

Pag. 335] Spiritus) *αἵματος* graece, id est sanguinis, sed *πνεύματος* iudico esse legendum.

Pag. 336] Vel congelato) Graece *ἢ ἀπὸ πατάγου* et in margine *ἀπὸ παγάτου.* Ego *ἀποπαγέντος* lego id est congelato ac firmato. Et paulo inferius pag. 336. ut in metu et tristitia, corrupte sane graece legitur. *ὡς ἐπὶ τοῦ φόνου τε καὶ τῆς λύπης* pro *ὡς ἐπὶ τοῦ φόβου τε καὶ τῆς λύπης.* Et paulo mox animi defectionem, legitur *τὸν θάνατον,* id est mortem, cum tamen superius p. 318. dixerit ex iracundia nullum periisse. ego illa ratione motus, legi *λειποθυμίαν.* Et paulo inferius. Caeterum in iis qui terrorem sustinuerunt, vomitus facultatem revocat, neutrum ex praedictis faciendo, sed eam pungendo etc. Graece *ἄλλως τε διὰ τοὺς ἔκπληξιν ὑπομείναντας ὁ ἔμετος οὐδὲν τῶν εἰρημένων ποιῶν οἷα καὶ ἀνακαλεῖται τὴν δύναμιν, νύττων τε αὐτὴν καὶ ἐρεθίζων καὶ οἷον ἐξ ὕπνου βαθέως ἐγείρων.* Ego vero delenda esse censui *οἷα καὶ* et addendum *ἀλλὰ* post dictionem *δύναμιν.* ita enim sensus et evidens et concinnus habetur.

Pag. 338] Sed multipliciter. nam vel per proprium affectum vel a multitudine etc.) Graece, *ἀλλὰ πολλαχῶς ἤτοι κατ᾽ ἰθιοπάθειαν ἢ ὑπὸ πλήθους* etc. id est: Sed multipliciter vel per proprium affectum vel a multitudine etc. Facile sane potuit librarius ob vocum similitudinem aliqua omisisse: legendum ergo videtur ex divisione, *ἀλλὰ πολλαχῶς, ἤτοι γὰρ κατ᾽ ἰδιοπάθειαν ἢ κατὰ συμπάθειαν, καὶ εἰ κατ᾽ ἰδιοπάθειαν ἢ ὑπὸ πλήθους* etc.

Pag. 338] Haec autem ipsa qualitas interdum quidem in succis non multitudine, sed acrimonia mole-

stantibus, interdum quidem in vaporibus vel spiritibus natura a mordacioribus continetur. *εἰ δὲ ποιότης αὐτῇ περιέχεται, ποτὲ μὲν ἐνοχλεῖ οὐ τῷ πλήθει λυποῦσα, ἀλλὰ τῇ δριμύτητι, ποτὲ δὲ ἐν ἀτμοῖς ἢ πνεύμασι δακνωδεστέροις τὴν φύσιν*, quae ad verbum sic sonant. Si vero qualitas ipsi continetur, aliquando quidem vexat non multitudine molestans, sed acrimonia: aliquando autem in vaporibus vel spiritibus natura mordacioribus. At certe non videtur membrum aliud hoc esse, a superiori distinctum, sed potius superioris subdivisio. Nam cum nuper signa dederit doloris capitis a qualitate sola orti, mordicationem inquam solam sine gravitate, tensione aut pulsu: nunc declarat quomodo haec ipsa qualitas, vel in humoribus vel in vaporibus spiritibusve, continetur: qui sane humores et vapores spiritusve, non quantitate sed acrimonia officiunt. Clarius igitur hic locus intelligetur, si ita legatur: *ἡ δὲ ποιότης αὐτὴ περιέχεται, ποτὲ μὲν ἐν χυμοῖς οὐ τῷ πλήθει λυποῦσα, ἀλλὰ τῇ δριμύτητι, ποτὲ δὲ.* etc.

Pag. 343] Ex motione ebullitioneque succorum inordinate motorum, et interdum in alias particulas nonnunquam circa stomachum ipsum tendentium, contingit ejusmodi aegrotantes inquietari difficulterve tolerare. Graece *ἐκ τῆς τῶν χυμῶν κινήσεώς τε ζητήσεως ἀτάκτως κινουμένων καὶ ἄλλο ἐπ' ἄλλων φερομένων μορίων, καί ποτε περὶ τὸν στόμαχον ἐφ' ὃν συμβαίνει τοὺς τοιούτους δυσφορεῖν*: in quibus verbis multae videntur esse depravationes, ita ut nec syntaxis bona sit; ego igitur *ζητήσεως* in *ζέσεως* mutandum esse iudicavi: et *ἄλλο ἐπ' ἄλλων* in *ἄλλοτε ἐπ' ἄλλο*, et *ἐφ' ὃν* in *αὐτὸν* ut sic legatur, *ἐκ τῆς τῶν χυμῶν κινήσεώς τε καὶ ζέσεως ἀτάκτως κινουμένων καὶ ἄλλοτε ἐπ' ἄλλο φερομένων μόριον, καί ποτε περὶ τὸν στόμαχον αὐτὸν, συμβαίνει τοὺς τοιούτους δυσφορεῖν.*

Pag. 344] Haecque cephalalgia etiam post perturbationem est) Graece *καὶ ἔστιν ἡ μετὰ ταραχῆς κεφαλαλγία*, id est et est haec cum perturbatione cephalalgia. Meo tamen iudicio legendum esset *καὶ ἔστιν ἥδε*

μετὰ ταραχὴν κεφαλαλγία, ut transtuli. Sensus enim mihi esse videor quae ea cephalalgia quae symptoma est, id est quae una cum morbi initio invadit, quandoque fit etiam criseos signum, quando nimirum ante crisin intenditur: sed haec ipsa etiam post crisim perseverat, quanquam non ita intensa id quod in ea non evenit, quae signum duntaxat est criseos, nec fuit prius symptoma.

Pag. 344] Post haec considerare oportet, an hypochondrium ipsis sit retractum. Hoc enim evenit dum natura per superiorem viam excrementa veluti compellit, et tanquam propellere vult. Accidit autem saepenumero, ut dum aliquid pellimus ipsum una veluti insequamur. sic et natura, dum superfluum succum conatur per superiora abigere, suffragando concomitatur. Graeca ita habent: *ἐπὶ τούτοις δὲ σποπεῖν τὸ ὑποχόνδριον αὐτοῖς ἀνέσπαστο. τοῦτο γὰρ τῆς φύσεως γίνεται, οἷον συνεπωθούσης διὰ τῆς ἄνω φορᾶς τὰ περιττὰ, καὶ ὥσπερ αὐτὰ ἀπώσασθαι βουλομένη, συνεκπίπτει δὲ πολλάκις τῷ ὠθουμένῳ καὶ οἷον αὐτῷ συνεπόμεθα, οὕτως καὶ ἡ φύσις ἀπομαχομένη διὰ τῶν ἄνω τὸν περιττεύοντα χυμὸν ἀπελάσαι συναγωνίζεται.* Mendis scatent omnia, bonum tamen sensum an elicuerim, alii iudicent.

In primo Volumine

insunt:

APOLLONII CITIENSIS, STEPHANI, PALLADII, THEOPHILI, MELETII, DAMASCII, IOANNIS,

ALIORUM

SCHOLIA

IN

HIPPOCRATEM ET GALENUM

E

CODICIBUS MSS. VINDOBONENS. MONACENS. FLORENTIN. MEDIOLANENS. ESCORIALENS. ETC.

PRIMUM GRAECE

EDIDIT

FRIDERICUS REINHOLDUS DIETZ
Med. et Chir. Doctor, medicinae practicae in Academia Prussorum Albertina Professor Extraordinarius, nosocomii, quod ibi est, Clinices medicae nunc praefectus, pauperum partis Regimontii palaeopolitanae eiusque suburbiorum archiater.

VOLUMEN SECUNDUM.

REGIMONTII PRUSSORUM
APUD FRATRES BORNTRAEGER.
MDCCCXXXIV.

IMPRESSIT CONRADUS PASCHKE.

Praefatio.

Alterum scholiorum in Hippocratem et Galenum, sex fere mensibus interpositis, tandem in publicum prodit volumen, quod non tam diu sub prelo sudasset, nisi morte eheu! inopinata medici apud nos clarissimi, scholae clinicae antistitis, Dr. Elsneri, celebrioris patris celebris filii, quocum per octodecim menses et curis clinicis secundis gerendis et amicitiae vinculo fui conjunctissimus, et institutio clinica et administratio clinici nosodochii pro tempore mihi soli essent commissae. Praeterea magni proximae aestatis calores atque insolita ejusdem tempestatis siccitas hominibus nostratibus tot tantosque inflixerunt morbos, ut, typho et cerebrali et abdominali, morbillis, per urbem longe lateque grassantibus, horarum aliquot subsecivarum otia vix ac ne vix quidem Graecorum Asclepiadarum choragis mihi superarent consecranda.

Palladius.

Complectitur alterum volumen primo scholia Palladii, iatrosophistae Alexandrini, in sextum Hippocratis de morbis popularibus librum, quae graece esse edita in indice noni voluminis Charterii editionis Hippocratis et Galeni dicuntur quidem, sed non leguntur (Cf. Pallad. de febrib. ed. Bernard. praef.). Itaque primum graece illa scholia hic leguntur, quae Latio Iunius Paulus Crassus ex integriore meis codicibus libro manuscripto jam diu donaverat. Sectio enim secunda hujusce commentarii et aliquot capita (p. 88. et sqq. ed. nost.) graece in meis libris non extant, quae latine secundum Crassi versionem curavi imprimenda. Atque id quidem causae mihi fuisse videtur, cur Charterius hunc Palladii commentarium e codice Parisiensi 2295 non ediderit. Lacunas enim majores illum codicem graecum habere quum animadverteret Charterius, integrum adhuc librum graecum secum iri communicatum, fortassis sibi habuit persuasum. Equidem vero, quantum inveni, edidi, futuro editori, cui tam felici esse continget, ut integrum Sambuci (vid. II. p. 39. 40.) librum tandem detegat, gratulabundus. Quotquot egomet conspexi horum Palladii commentariorum codices, ad unum omnes ejusdem sunt prosapiae, ex eodem archetypo transscripti. Codices vero Palladii, quos evolutavi, hi sunt:

1. Codex Laurentianus Plut. LXXV. cod. 22. chartaceus, saec. XV.

2. Codex Laurentianus Plut. LXXV. cod. 21. membranaceus, saec. XIII. qui fragmentum horum scho-

liorum habet. Cf. p. 161. ed. nost. De his duobus codicibus vide Bandinium.

3. Codex Ambrosianus B. 113. bombycinus, saec. XIV. emptus Venetiis 1603 ab Archiepiscopo Philadelphiae, in quo sunt: Pauca ex Hippocrate, *ποδαπὸν δεῖ εἶναι τὸν μανθάνοντα τὴν ἰατρικὴν τέχνην* — Hippocratis *νόμος* — *ὅρκος* — *Ἀφορισμοὶ τοῦ Ἱπποκράτους γραφέντες παρὰ Θεοφίλου Πρωτοσπαθαρίου καὶ ἐπὶ τοῦ χρόνου τρίτου μετὰ τῶν σχολίων αὐτῶν* — Palladii scholia in VI. Epidem. Hippocratis librum — Hippocratis Prognostici sectio prima cum paucis scholiis — *ἐκ τοῦ περὶ φύσεων* — *ἐκ τοῦ περὶ φαρμάκων Ἱπποκράτους* — Epistolae Hippocratis — *ἐκ τοῦ κατὰ τὸν Ἱπποκράτην ὅρκον καθ᾽ ὅσον οἷόν τε Χριστιανὸν ὀμόσαι* — Damasceni liber de remediis purgantibus, mutilus fine — *βοηθήματα διάφορα συλλεγέντα ἀπὸ διαφόρων βίβλων ἰατρικῶν.*

4. Codex Parisiensis 2295. chartaceus, Telleriano-Remensis, saec. XVI, forma quart. *σχόλια τῆς ἕκτης ἐπιδημίας ἀπὸ φωνῆς Παλλαδίου σοφιστοῦ.* Desiderantur scholia in secundam sectionem graeca.

5. Codex Urbinas (in bibliotheca Vaticana) 64. membranaceus, saec. XIII, forma quart. Foliis constat 118. Theophili scholia in Aphorismos. fol. 49. *Σχόλια τῆς ἕκτης ἐπιδημίας ἀπὸ φωνῆς Γαληνοῦ* (!) *σοφιστοῦ.* Sunt Palladii. fol. 96. Hippocratis Prognosticon. fol. 104. Ejusdem epistolae et jusjurandum.

6. Codex Escorialensis foruli VI. seriei I. cod. 8. chartaceus, ex bibliotheca D. Diego de Mendoza,

saec. XVI. forma maxima, fol. 268. Omnia ea insunt in hoc codice, quae in codice Ambrosiano B. 113. addito post Palladii scholia Aretaeo Cappadoce inde a fol. codicis 162. usque ad finem. Mendoza, Hispaniarum apud Venetos legatus, hoc apographum e codice olim Veneto, nunc Ambrosiano (B. 113.) transscribendum curavit.

De Palladii aetate parum liquet. Vide Bernardi praefationem ad Palladii libellum de febribus, qui in plurimis libris Stephani auctoris prae se fert nomen. Septimo octavove saeculo qui eum vixisse asseverant, non ita multum a vera conjectura aberrare mihi videntur. Praeter Palladii scholia in Hippocratis Epidem. sextum librum ejusdemque librum de fracturis et synopsin de febribus Santalbinus Palladii nostri scholia in Hippocratis librum de morbis acutis Venetiis adhuc extare, se a viris doctis intellexisse refert. Ego vero nunquam haec scholia vidi. Extant autem Palladii scholia in Galeni librum de secta in Codice Laurentiano Plut. LXXIV. 11. bombycino, 12mo. (*Γαληνοῦ τὸ περὶ αἱρέσεως, σχόλια ἀπὸ φωνῆς Παλλαδίου.*), quae edidissem, nisi librum mendosissimum et temporum injuria turpissimum esse animadvertissem. Ideo apographum jam inchoatum, donec meliorem librum invenissen, seposueram. Quod quum factum non sit isteque Laurentianus horum scholiorum unicus superesse videatur codex, alii videant, num ex hoc libro solo haec scholia edere audeant. Molestum et spinosum sane erit negotium, quod in Sorani Ephesii codice et ipso pessimo exscribendo ipse aliquando suscepi, quoniam Sorani de arte obstetricia et de morbis mulierum liber et rebus et verbis his scholiis longe ante-

cellat tantique laboris atque operae pretium futurum sit dignissimum.

E Palladio sophista fragmentum *περὶ βρώσεως καὶ πόσεως* est Florentiae in 1) codice Laurentiano Plut. LXXIV. 2. membranacco, saec. XII, forma quart.

Quod nescio ex quo Palladii opere depromptum hic edere libet.

Ἐκ τῶν Παλλαδίου σοφιστοῦ περὶ βρώσεως καὶ πόσεως.

Δεῖ εἰδέναι ὅτι τὸ στόμα δεξάμενον τὴν τροφὴν μασᾶται αὐτὴν καὶ τέμνει καὶ καταλεαίνει διαφόροις ὀδοῦσι καὶ παραπέμπει τῷ οἰσοφάγῳ. ὁ δὲ οἰσοφάγος μέσος κεῖται τοῦ τε λάρυγγος καὶ τῶν σπονδύλων, διαδέχεται δὲ αὐτὸν τὸ κύτος τῆς γαστρὸς, ἐν ᾧ τὰ σιτία περιερχόμενα πέττεται καὶ χυλοῦται· εἶτα κατὰ διαφορῶν εἰς μίαν μεταβάλλεται ἰδέαν. ἰδέα δὲ τῆς γαστρὸς λευκή ἐστι. διὸ καὶ ὁ χυμὸς ὁ ἀπὸ τῶν σιτωδῶν λευκός ἐστι. μετὰ δὲ τὴν γαστέρα ἐστὶν ἡ καλουμένη δωδεκαδάκτυλος ἔκφυσις, ἥτις ἐκ τοῦ κατὰ τὸ μῆκος μέτρου τὴν προσηγορίαν ἀπείληφε. ταύτην δέ τινες μὲν ἐνόμισαν εἶναι μέρος τῆς γαστρὸς, τινὲς δὲ τῶν ἐντέρων, καὶ οὗτοι μᾶλλον ἀληθεύουσι. μετὰ δὲ τὴν δωδεκαδάκτυλον ἔστιν ἡ καλουμένη νῆστις, ἣ καὶ ἐκλήθη νῆστις διὰ τὸ πλῆθος τῶν εἰς αὐτὴν ἐμβαλλουσῶν ἀγγείων ἤτοι φλεβῶν, ἀνελκουσῶν

1) Apographum hujus codicis est cod. Parisiens. 2210, bombycinus, saec. XIV, exaratus manu Manuelis Pancratii.

ἀεὶ τὸ ἐν αὐτῇ, ὡς πάντοτε κενὴν αὐτὴν εὑρίσκεσθαι, μηδόλως περιέχουσάν τι. μετὰ δὲ ταύτην ἐστὶ τὰ λεπτὰ ἔντερα. ἀλλ᾽ ἐπειδὴ ἐν τούτοις τοῖς εἰρημένοις ἐντέροις 1) τινές εἰσιν· οὐ γὰρ δὴ κατ᾽ εὐθεῖαν κεῖνται. μεταξὺ τῶν ἑλίκων τούτων ἐστὶν οἷον ὑμενώδης τις ἅμα καὶ πιμελώδης οὐσία, ἣ καλεῖται ἐπίπλους, ἐφ᾽ ἣν ἐποχοῦνται αἱ λεγόμεναι μεσαραϊκαὶ φλέβες, αἳ φέρονται μὲν ἀπὸ τοῦ ἥπατος, ἐμβάλλουσι δὲ ὀλίγαι μὲν εἰς τὴν γαστέρα, πολλαὶ δὲ εἰς τὰ εἰρημένα μόρια. μετὰ δὲ τὰ λεπτὰ ἔντερα διαδέχεται τὴν κόπρον τὰ παχέα, ἐν οἷς πρῶτον μέν ἐστι τὸ τυφλὸν, ὃ πρώτως δέχεται τὴν κόπρον.

Joannes.

Commentarii in Hippocratis librum de natura pueri Joannis Alexandrini videntur esse, qui et in alios Hippocratis libros composuisse scholia dicitur. Palladii fuisse aequalem impune credas. Cf. Fabric. B. G. XII. p. 687 et 688. De codice unico vide edit. nostr. II. p. 205. Commentarii sunt manci.

Theophilus, Damascius, Stephanus, Meletius.

Fabric. B. Gr. XII. p. 648 et sqq. Theophilum medicum, Protospatharium sive armigerorum primum eundemque monachum ac philosophum in antiquis Codd. dictum reperio. Christianus certe fuit, ut variis in locis clarissime indicat vixitque circa tempora Heraclii imperatoris. —

1) Deesse aliquid mihi videtur. Fort. κοιλότητες.

Reliqua Theophili opuscula apud Fabricium recensita silentio praetereo. Edere enim mihi est consilium Theophili quae supersunt in corpore medicorum graecorum, quod utrum a me continuandum esse censeant necne, sicut inter me beatumque Cnoblochium, qui paulo post primum horum commentariorum volumen editum diem obiit supremum, erat pactum, ab ejus heredibus nondum sum certior factus. Libellum Theophili de pulsibus nondum graece editum primum tunc edam.

Fabric. loco laudat. *ὑπόμνημα εἰς τοὺς Ἱπποκράτους ἀφορισμοὺς*, commentarius in Hippocratis Aphorismorum libellos septem, sub Philothei nomine Latine editus Venetiis. 1549. 8. et Spirae 1581. 8. interprete Ludovico Corrado Mantuano. — — Observabis illum in uno codice bibliothecae Caesareae tribui Theophilo Protospathario, in alio Stephano Atheniensi, Theophili discipulo, de quo infra, et qui eum commentarium ut plura alia sua *ἀπὸ φωνῆς Θεοφίλου* sive ex ore magistri sui Theophili excepit. —

De Stephano Atheniensi cf. Fabric. B. Gr. XII. p. 693. et Commentar. in Hipp. et Galen. edit. nost. I. praefat. pag. XVI.

De Codd. quos adhibui, vide II. p. 236 et 237 et catalogos Vindobonenses et Monacensem. Elenchum innumerabilium Theophilei commentarii codicum hoc loco componere, a praefatione alienum est.

Hauserunt hi interpretes e Galeno et, nisi fallor, ex Asclepio, novo neque aliunde jam noto Hippocratis explanatore, qui II. p. 458. citatur et paulo post p. 470.

τοῦ παρόντος βιβλίου ἐξηγητὴς nuncupatur. Nomine Asclepii non addito, aliquoties in Stephani commentariis *ὁ ἐξηγητὴς τοῦ παρόντος βιβλίου* laudatur, quos locos omnes recentiorem Hippocratis interpretem, Asclepium dico, spectare puto. Forsitan qui in Stephani commentario in prognosticon saepius allegatur *νέος ἐξηγητὴς* (vid. praefat. I. p. XIX), hic idem ipse fuerit Asclepius. Locus de Asclepio classicus, ubi Hippocratem ex Hippocrate interpretatus esse fertur, est II. p. 458. Et Theophilus et Stephanus septimo aerae nostrae saeculo vixisse creduntur et Stephanus discipulus Theophili ejusque librorum editor fuisse perhibetur. Subnascitur autem mihi haud levis addubitatio, ut ita rem se non habere existimaverim. Nimirum modo Stephano, modo Theophilo synopsis scholiorumin Hippocratis aphorismos, quam edidi, in codicibus, qui frequentissimi sunt, adscribitur. Unde utrumque saltem auctorem aphorismos commentariis illustrasse, fit probabile. Theophilei autem commentarii breviores sunt, Stephani scholiis, e quibus e Codd. Ambrosiano et Escorialensi (vid. II. p. 236. 237.) et integras aliquot aphorismorum interpretationes et fragmenta plurima delibavi atque hic edidi, ac Theophilus Stephani explanationes fusiores in compendium redegisse tibi videbitur, si utrumque commentarium perlegeris. Stephanus igitur noster Theophili nostri discipulus aut non fuit aut Stephanus, cujus longiora sunt in aphorismos scholia, diversus ab altero Stephano, qui in Codd. Theophilei brevioris commentarii saepenumero dicitur auctor. Mihi vero constat, Stephanum, prognostici Galenique ad Glauconem libri interpretem (Vol. I. ed. nostr.), et Stephanum, aphorismorum interpretem (Fragmenta Vol. II. ed. nostr.).

unum eundemque esse. Perinde mihi constat, Theophilum Stephani explanationes contraxisse, unde in codice Ambrosiano longiora scholia inde ab aphor. 27. sect. III. Meletiique (qui et ipse Stephanus est) in codice Parisiensi copiosiora scholia inde ab aph. 10. sect. IV. in Theophilum ipsum abeunt, a Theophileis non amplius diversa. Solus codex Escorialensis scholia Theophileis fere semper longiora, quorum exempla in hac invenies editione, habet usque ad Aphor. 55. sect. VI, in quem mancus desinit. Et Theophili quidem codices tres, quos adhibui, Vindobonenses et Nanianus et Ambrosianus rebus etsi semper inter se conveniant, et verborum tenore et lectionibus, quae eandem exprimunt sententiam, haud raro discrepant. Ex quo facile possit probari, fusiorem Stephani commentarium a pluribus epitomatoribus, inter quos unus erat Theophilus, esse adhibitum ad synopsin scholiorum conscribendam nomenque Stephani propter auctoritatem majorem compendio sive synopsi illi esse praefixum. Theophilus autem Protospatharius in reliquis suis operibus Galeni doctrinas de corporis humani partibus earumque usu, de urinis, de excrementis, de pulsibus semper in summulam compellit, ut, sive Stephani sive Meletii sive alius sint, commentarios quoque in aphorismos in epitomen contraxisse recte dicatur.

Meletii scholiorum in aphorismos duo sunt codices Parisienses:

1. Cod. 2222. bombycinus, saec. XV. fol. 104. *Μελετίου ἰατροῦ καὶ φιλοσόφου ἐξήγησις εἰς τοὺς ἀφορισμούς.*

2. Cod. 2223. chartaceus, saec. XVI, fol. 158. olim Baluzianus, apographum codicis antecedentis.

Meletii scholia in latinum translata sunt sermonem a Pictreo quodam, quae versio in cod. Paris. 6854. manu scripta adhuc servatur. Cf. Vol. II. p. 240. ed. nostr. et Lefeburii de Villebrune praef. ad Hipp. aph. p. X. not. h. (Histor. litterar. Hippocr. in edit. Kühn. p. LXXVII).

Meletii scholia ad verbum eadem sunt cum Stephani scholiis codicis Ambrosiani. Meletii scholia usque ad sect. IV. aph. 10. a Theophileis differunt, in quae loco citato abeunt. Meletius utrum scholiorum in aphorismos auctor rectius sit dicendus, an Stephanus, quis est, qui asseverare, non dicam probare conetur? Et si Meletio haec scholia tribuuntur, idemne sit Meletius monachus, qui de natura hominis composuit librum latine a Nicol. Petrejo factum Venetiis. 1552, nondum claret.

Damascii scholia in aphorismos extant in cod. Monacensi et in cod. Parisiensi 2150. chartaceo, saec. XVI, olim Bigotiano, scripto ejusdem Darmarii, qui codicem Monacensem exaravit, manu. In fine enim cod. Paris. legitur: *ὑπὸ Ἀνδρέου Δαρμαρίου τοῦ Ἐπιδαυρίου υἱοῦ Γεωργίου ἐν τῷ ἔτει ,αφπη' Ἰουλίῳ κθ' ἐν πόλει τῆς Γερμανίας Ἀργεντίνῃ* (Argentorati). Hardtius in Catalogo suo MSS. Monacensium haec habet: Est hic commentarius in sectiones VII divisus et nunquam neque graece neque latine, quantum scio, editus. Fabricius in sua B. Gr. nullam mentionem facit hujus commentarii nec in 1)

---

1) Alterum exemplar est cod. Paris. 2150.

alia bibliotheca asservatum inveni. Cl. Ioecher in suo Eruditorum lexico memorat quidem, sed reticet, ubinam asservetur. Extare tamen alicubi, fors Matriti, antigraphum necesse est. — Koppius in editione sua Damascii *περὶ ἀρχῶν* codicem Monacensem memorat. Vix autem credo, probari posse, Damascium illum horum quoque scholiorum esse auctorem. Matriti non extat, quantum scio, archetypum hujus commentarii, ubi diligenter regiam bibliothecam perlustravi. Quid? ipsene Darmarius, scriptor graecus, commentarium hunc e Galeno, Theophilo, aliis, fortassis consarcinavit nomenque Damascii praefixit? Si plures ita consentiant, ego non dissentio. In Damascii commentario multi aphorismi sunt sine scholiis, quos Theophilus explanavit.

Scholia in Hippocratem aliqua anonyma hinc illinc habeo delibata, quae quum sint brevia atque ad diversos Hippocratis spectent libros, huic editioni, quae integros tantummodo complectitur commentarios, non putavi esse adnectenda. In Analectorum meorum medicorum fasciculo aliquo aptior iis erit locus.

Si quae menda typographica lapsu oculorum fuerint praetervisa textumque foedaverint, mihi ipsi, qui cunctas emendavi schedas, lector benevole, culpam et imputabis et benigne condonabis.

Indices verborum rerumque in usum eorum plerumque adjunguntur, qui libros non legere, sed perlustrare tantum solent, num quid ipsis idoneum in iis contineatur. Hippocrati sui sunt indices, cui qui ope-

ram navabunt legendo atque intelligendo medici, medius fidius hoc aevo non multi, et hos commentarios antiquos relinquere intactos non poterunt indicesque non desiderabunt. In eorum autem virorum usum hos commentarios et transscripsi et non sine magno labore edidi. Quibus si acceptam collocavero operam in his scholiis ad lucem protrahendis, mihi gratulabor, quod opus haud inutile feliciter ad finem perduxerim.

Scribebam
Regimontii Prussorum d. Octbr. mens. X.
MDCCCXXXIV.

ΣΧΟΛΙΑ

ΤΗΣ ΕΚΤΗΣ ΕΠΙΔΗΜΙΑΣ ΑΠΟ ΦΩΝΗΣ ΠΑΛΛΑΔΙΟΥ ΣΟΦΙΣΤΟΥ.

Ἀρχὴ τῶν προλεγομένων.

Ἄρτι ταῖς μεθόδοις τὰ ὀξέα τῶν νοσημάτων ἐκκόψαντες, καὶ τὰ τῇ φύσει πολέμια τῇ θεραπείᾳ σχολάσαντες, νῦν ἐρχόμεθα ἐπὶ ἑτέραν μὲν πραγματείαν. ἐπειδὴ γὰρ ὀξέων νοσημάτων ἐγένετο θεραπεία, ἴσως τις εἶχεν εἰπεῖν, ὅτι ἄχρηστός μοί ἐστιν ἡ θεραπεία, μὴ προηγησαμένης διαγνώσεως. διὸ τοίνυν ἐνταῦθα διάγνωσιν παραδίδωσι νοσημάτων, 1) *καίτοι οὐ πάντων.*

Τῶν γὰρ νοσημάτων τὰ μὲν σποραδικά. σποραδικὰ δὲ λέγονται, ἃ ἄλλοτε ἄλλως καὶ ὡς ἔτυχεν ἐπέρχονται, τῷ μὲν τριταῖος, τῷ δὲ ἀμφημερινὸς, πρὸς τὴν κρᾶσιν καὶ

Sigla Codicum.

L. Codex Laurentianus. Plut. LXXV. Cod. XXII. Chartaceus, forma maxima, saec. XV. constat foliis 71. Apographum meum ex hoc codice Florentiae anno 1829 ipse scripsi.

A. Codex Ambrosianus. B. 113. Bombycinus, forma quart. saec. XIV. optimae notae. Inde a fol. 85. usque ad fol. 171. Palladii scholia leguntur. Mediolani hunc codicem cum apographo meo ipse contuli.

C. Crassi versio latina.

1) *καίτοι*] *καὶ τὰς τῶν* L. A. Conjeci *καίτοι*.

δίαιταν καὶ βίον καὶ τὰ λοιπὰ τῶν συστοίχων τοῖς πλείστοις. σποραδικὰ δὲ 1) ἀπεδόθησαν οἱ ἀφορισμοὶ καὶ το προγνωστικὸν, 2) σχεδὸν καὶ τὰ ἐπιδημαϊκά. ἄλλα δέ εἰσι νοσήματα κοινὰ τὰ πολλοῖς τῶν ἐν τῇ πόλει 3) ἐπερχόμενα. τούτων δὲ τῶν κοινῶν τὰ μέν εἰσι συνήθη, ἃ γίνονται ἀπὸ τοῦ ὕδατος, ὃ πίνουσιν, 4) ἰλυώδους ἢ καθαροῦ ὄντος, καὶ ἐκ τοῦ τινας γάλακτος ἀδιαφόρως ἐσθίειν, καὶ ἀπὸ τῆς θέσεως τῆς πόλεως ἢ βορείας οὔσης ἢ νοτείας, καὶ 5) ὑψηλῆς ἢ ταπεινῆς. τὰ γὰρ ἐκ τούτων νοσήματα, ἔχει γὰρ καὶ τοῖς πολλοῖς καταφανῆ, ἔνθεν καὶ 6) ἔνδημα ὀνομάζονται. 7) τούτων δὲ ἀποδέδοται τῷ περὶ ἀέρων, τόπων, ὑδάτων.

Ἄλλα δέ εἰσι κοινὰ νοσήματα· 8) γίνεται δὲ ἐκ τῆς κατὰ ποιότητα μεταβολῆς τοῦ ἀέρος, ὡς ὀφείλων χειμὼν γενέσθαι ψυχρὸς καὶ ὑγρὸς, 9) [ἐὰν] γένηται θερμὸς καὶ ξηρὸς, 10) ἢ ψυχρότερος καὶ ὑγρότερος, ἢ θερμότερος καὶ ξηρότερος. ἐκ ταύτης οὖν τῆς μεταβολῆς γίνονται νοσήματα, ἀλλὰ ταῦτα 11) ἀήθεα καὶ ἐπίδημα καλεῖται. εἰ δὲ ὁ ἀὴρ κατὰ ποιότητα οὐ μόνον τραπῇ, ἀλλὰ καὶ μιάσματά τινα δέξηται ἢ ἀπὸ νεκρῶν τάφων ἢ ἀπὸ στασίμου ὕδατος, γίνονται καὶ ἐντεῦθεν νοσήματα· εἰ δὲ προσγένηται καὶ τοῖς πολλοῖς θνήσκειν, λοιμὸς τὸ πάθος ὀνομάζεται.

Περὶ τούτων οὖν τῶν ἐπιδήμων ἐν ταῖς ἄλλαις ἐπιδημίαις λέλεκται. ὡς ἐπιτοπολὺ δὲ ἐνταῦθα περὶ σποραδικῶν νοσημάτων βούλεται διαλεχθῆναι, καὶ ζητῆσαι αὐτῶν τίνα ποιοῦσι διάθεσιν γινομένην, σημείωσιν δηλοῦσαν. παραλιμπάνει γὰρ τὴν θεραπείαν, ἢ ὅτι οὐκ ἤρκεσεν αὐτῷ ὁ χρόνος καὶ διαγνῶναι καὶ θεραπεῦσαι, ἢ ὅτι τὰ ἐπίδημα ἔχουσί τινα κοινὴν θεραπείαν πρὸς τὰ ἄλλα τῶν νοσημάτων, ἔχουσί τινα καὶ ἰδιάζουσαν, κοινὴν μὲν, ὅτι νόθα ἐγένοντο νοσήματα· οἴδαμεν πῶς θεραπεύεται τ

---

1) exponunt C. 2) σχ. καὶ τὰ ἐπιδ. om. C. 3) ἐπερχομένων L. A. 4) ἰλεώδεος L. 5) ὑψηλοῦς L. 6) ἔνδυμα L. A. 7) περὶ addiderim et in seqq. ἐν sc. τῷ etc. 8) γίνονται A. 9) ἐὰν addidi. 10) καὶ L. 11) ἀήθοα L.

θερμασία, ὁμοίως καὶ ἡ ψυχρὰ, ἡ ξηρὰ καὶ ὑγρά· ἰδιάζουσαν δὲ ἀπὸ τῆς ποιούσης αἰτίας καὶ τῆς κράσεως καὶ τῆς ἕξεως τοῦ κάμνοντος. τὴν μὲν οὖν κοινὴν θεραπείαν ἐν τοῖς ἀφορισμοῖς παραδέδωκεν, εἴασε δὲ τὴν 1) μερικὴν, ὅτι τὰ καθ' ἕκαστα ἀπερίληπτα, ὅτι γε ἐν τούτοις ἐστὶ τὸ γυμνάζεσθαι τοὺς ἀκροατάς. οὗτος οὖν ὁ σκοπὸς τοῦ συγγράμματος, πολὺ δὲ τὸ χρήσιμον. ἡ δὲ διάγνωσις καὶ ἡ αἰτία παραδίδοται τοιούτων νοσημάτων ἐπιδήμων καὶ κακοήθων. οὐδὲ γὰρ τὰς ἄλλας μόνας καταστάσεις παραδίδωσιν ἐν τῇ πρώτῃ ἐπιδημίᾳ, ἐπείπερ ἐκεῖ πολλὰ διδάσκει.

2) Περὶ τοῦ γνησίου τοιαῦτα. ἑπτὰ γὰρ οὐσῶν ἐπιδημιῶν, πρώτη μὲν καὶ τρίτη, πάντῃ γνήσιαι Ἱπποκράτει τῇ τε λέξει καὶ τοῖς ἐνθυμήμασιν, ἀλλότριαι δὲ τῇ ἐπαγγελίᾳ· τὰ γὰρ θεωρήματα αὐτῶν, εἰς 3) διφθέρας ἐξέθετο Ἱπποκράτης, ὕστερον βουλόμενος κοσμῆσαι αὐτὰς καὶ κάλλει λέξεως. ἀλλ' ἐπειδὴ οὐκ ἔφθασεν, εὑρηκὼς αὐτὰ Θεσσαλὸς, ὁ υἱὸς αὐτοῦ, τῇ λέξει ἐκόσμησεν οὐκ ἀξίᾳ Ἱπποκράτους. ἡμεῖς οὖν οἱ ἰατροὶ περὶ πράγματα, οὐ περὶ λέξιν ἠσχολημένοι, ἐκλεγόμεθα αὐτὰς διὰ τὰ θεωρήματα.

Ἐπιγέγραπται μὲν οὖν συμφώνως τῷ σκοπῷ ἐπιδημία, οὐχ ὥς τινές φασιν, ὅτι ἐπειδὴ ἐκεῖνα ἐγράφη, ἃ ἐπιδημῶν ταῖς πόλεσιν ἔβλεπεν, ὥσπερ καί τις ἱστόρηται. τί γάρ; ἴσως ἐπιδημῶν ταῖς πόλεσιν, ἔβλεπε νοσήματα· ταῦτα δὴ ἀπεγράφετο κἀντεῦθεν ἐπιδημίας ἔγραψε τὸ σύγγραμμα· ἀλλ' Ἱπποκράτης ἐκ τῶν διδασκομένων ἐποιήσατο τὴν ἐπιγραφήν.

Διῄρηται δὲ ἡ μὲν πᾶσα πραγματεία εἰς ἑπτὰ κεφάλαια. ταῦτα δὲ τὰ μέρη ἐν τοῖς 4) Ἱπποκράτους χρόνοις οὐκ ἐζητοῦντο· ὅσα γὰρ ἦσαν τὰ διδασκόμενα, τοσαῦτα καὶ τὰ τμήματα.

---

1) μεριστὴν L. 2) C. male: quandoquidem ibi multa id genus de re legitima docet. 3) διαφθείρας L. in pellibus C. 4) Ἱπποκράτου L.

Ἡ δὲ τάξις τῆς ἀναγνώσεως σαφής. δεῖ γὰρ ἀεὶ τὰ κατὰ φύσιν τῶν παρὰ φύσιν προηγεῖσθαι. ἐντεῦθεν προταττέσθω τὸ περὶ ἀνθρώπου φύσεως καὶ παιδίου φύσεως. τὰ δὲ παρὰ φύσιν χρὴ προηγεῖσθαι τῶν σποραδικῶν, ἃ ἔχουσιν οἱ ἀφορισμοί. λοιπὸν τὰ ἔνδημα, ἃ ἐν τῷ περὶ ἀέρων, τόπων, ὑδάτων. ὕστερον δὲ τὰς ἐπιδημίας. ἄλλως τε δὲ τῶν νοσημάτων τὰ μὲν 1) ὡς ἐπιτοπολὺ, τὰ δὲ σπανίως, τὰ δὲ σπανιαίτατα συμβαίνει. τοῖς μὲν οὖν ὡς ἐπιτοπολὺ ἀποδίδοται τῷ προγνωστικῷ, τοῖς δὲ σπανίοις τῷ περὶ ἀέρων, τόπων, ὑδάτων, τοῖς δὲ σπανιαιτάτοις τῇ ἐπιδημίᾳ.

Ἀνάγεται δὲ τοῦτο τὸ σύγγραμμα ὑπὸ τὸ θεωρητικόν· θεραπεία γὰρ οὐ δίδοται, ἵνα καὶ ὑπὸ τὸ προκαταρκτικὸν ἀνάγεται. ἐν δὲ τῇ διδασκαλίᾳ ζητοῦμεν τὰ αἴτια τῶν νοσημάτων, ἔνθεν ὑπὸ τὸ αἰτιολογικόν. διδάσκει δὲ καὶ διαγνώσεις τῶν παθῶν· οὐκοῦν καὶ ὑπὸ τὸ σημειωτικόν. εἰ δὲ μνημονεύσει καὶ κράσεως καὶ ἕξεως, ὑπὸ τὸ φυσιολογικόν.

Ὁ δὲ τρόπος ὁ διδασκαλικός ἐστι μικτός. ποῦ μὲν γὰρ κέχρηται τῷ ἀφοριστικῷ, ὅταν κατεπείγηται ἐκ τῆς τοῦ νοσήματος κακοηθείας, ποῦ δὲ τῷ ὑφηγηματικῷ. ὁ δὲ μικτὸς, δεινότητα 2) * ἀπαθῶς ἀναγκάζεται αὐτῷ ἐξαπλῶσαι, φοβούμενος, 3) μή τι τῇ συντομίᾳ λαθήσεται. τάχα δὲ καὶ κατὰ τὸ ἀληθὲς οὐδὲ μικτός ἐστιν ἐνταῦθα, ἀλλ' ἐφεῦρεν αὐτῷ τινα τρόπον διδασκαλίας, καινότερον καὶ ὑψηλότερον.

α΄. Ὁκόσῃσιν ἐξ ἀποφθορῆς περὶ 4) ὑστέρην καὶ οἰδημάτων ἐς καρηβαρίην τρέπεται καὶ κατὰ τὸ βρέγμα αἱ ὀδύναι, καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν τῷ ὀγδόῳ ἢ δεκάτῳ μηνὶ ἐς ἰσχίον τελευτᾷ. —

Ἐνταῦθα πλείονες φέρονται γραφαί· ἢ γὰρ ὁπόσαις καὶ ὁκόσαις ἢ ὁκόσῃσι. μέμνηται δὲ καὶ ἀποφθορᾶς. ἀλλ' εἰ μὲν οὕτως μόνον ἔχει, τὴν ἀπὸ πρόθεσιν λαμβάνομεν,

---

1) ἢ L. 2) Fort. παθῶν. Sed misto utitur, ubi affectus saevitiam explicare cogitur. 3) μήτε L. 4) ὑστέρων L. καὶ om L. A.

τὴν δὲ φθορὰν, ὄνομα. εἰ δὲ ἔχει ἐξ ἀποφθορῆς, τὴν μὲν ἐξ πρόθεσιν, τὴν δὲ ἀποφθορὰν, ἓν μέρος λόγου καὶ ὄνομα. ἁπλῶς γὰρ τὸν 1) ἀμβλυσμὸν σημαίνει. μέμνηται δὲ καὶ ὑστέρας. καί τινες μὲν περὶ ὑστέρην, ἄλλοι ἀπὸ ὑστέρης γράφουσιν. ὑστέρα δὲ λέγεται ἡ μήτρα, ἢ ὡς ὑστέραν κειμένην τῶν κυρίων μορίων, ἢ ὡς ὑστέραν παρέχουσαν τὴν ἐνέργειαν. λέγεται δὲ καὶ μήτρα καὶ 2) δελφὺς καὶ γαστήρ. μέμνηται δὲ περὶ οἰδήματος. καὶ οἱ μὲν μεταγενέστεροι οἴδημα λέγουσι τὸν ἀπὸ φλέγματος ὄγκον, ὁ δὲ Ἱπποκράτης πάντα ὄγκον οἴδημα καλεῖ, διὰ δὲ τῶν ἐπιφερομένων διακρίνει. εἰ γὰρ εἴποι οἴδημα χαῦνον καὶ ἀνώδυνον, τὸ ὄντως οἴδημα λέγει· εἰ δὲ οἴδημα θερμὸν καὶ ὀδυνηρὸν καὶ ἀντίτυπον, τὴν φλεγμονὴν λέγει· εἰ δὲ οἴδημα καὶ ἀντίτυπον καὶ ἀνώδυνον, τὸν σκίρον. νῦν οὖν τὴν φλεγμονὴν οἴδημα καλεῖ. μέμνηται δὲ καὶ καρηβαρίας. ἔστι δὲ καρηβαρία, ὀδύνη τῆς κεφαλῆς ἐκ τῶν τεινόντων καὶ δακνόντων καὶ βαρούντων γινομένη, ἥτις 3) ὄντως ἐστὶ καρηβαρία. μέμνηται δὲ καὶ βρέγματα. ἔστι δὲ τὸ βρέγμα χαῦνον, ἀπὸ ὀστῶν, οἷς ἐπιτίθεμεν τὰς ἐπιβροχὰς, ὅτε θελήσομεν ὑγρᾶναι τὸν ἐγκέφαλον, ἔνθεν καὶ βρέγμα καλεῖται. κεῖται δὲ οὕτως ἡ κεφαλή· ἔχει τι μέρος ὑψηλότατον, ὃ καλεῖται κορυφή· ἔχει δὲ ἄλλο ταπεινότερον καὶ ἐμπρόσθιον, ὃ μέτωπον ὀνομάζεται· τούτων ἐστὶ μεταξὺ τὸ βρέγμα. ταπεινουμένη γὰρ ἡ κορυφὴ καὶ ὑψούμενον τὸ μέτωπον, ἀποτελοῦσιν αὐτό. 4) αὕτη μὲν οὖν ἡ τῆς λέξεως ἐξήγησις.

Ζητητέον δὲ τὴν διάνοιαν. λέγει οὖν ὅτι ἡ γυνὴ συλλαμβάνει καὶ κρατεῖ τὸ σπέρμα ἄχρι πέντε ἢ ἓξ μηνῶν καὶ προσδοκωμένης τῆς ἀποτέξεως, ἐξαίφνης ἐγένετο ἀμβλυσμὸς ἢ ἀπὸ προκαταρκτικῆς ἢ ἀπὸ προηγουμένης αἰτίας· προκαταρκτικῆς μὲν, θυμοῦ ἢ πηδήματος ἢ ψυχροῦ ἀέρος· προηγουμένης δὲ, 5) ἀπό τινος σώματος ἐγένετο μὲν ἀμβλυσμὸς, λοχεία δὲ κάθαρσις οὐκ ἐγένετο, ἀλλ' ἐπεσχέθη τὸ αἷμα, καὶ μεῖναν διέτεινεν ὀδύνην καὶ φλεγμονὴν εἰργάσατο· ταύτης γενομένης, καρηβαρία ἐπιγίνεται,

1) Id. q. ἀμβλωσμόν. 2) δελφὶς L. 3) οὕτως L. 4) nec est huiusce particulae enarratio C. male. Vertas: haec est verborum explanatio. 5) ab aliquo vitio corporis C.

μάλιστα δὲ περὶ τὸ βρέγμα· καὶ ταῦτα οὐκ ἂν παύσαιτο, εἰ μὴ εἰς τὸ ἰσχίον ἀποσκήψει ἡ ὕλη. αὕτη καὶ ἡ τοῦ λόγου διάνοια. Ζητητέον καὶ τὸν λογισμὸν, δι' ἣν αἰτίαν ταῦτα γίνεται. γενομένου τοίνυν ἀμβλυσμοῦ, λοχείας δὲ μὴ καθαρθείσης, καρηβαρία 1) συνέβη. καὶ ποία συγγένεια καὶ τῆς πόῤῥω ταύτης κειμένης μήτρας; οὐδὲ γὰρ ἔχει πλούσια νεῦρα ἡ μήτρα, οὐ προαιρετικὰ, οὐκ ἀποπερατώσεις 2) μυῶν. ὀλίγα δὲ ἔχει νεῦρα τὰ φέροντα αὐτῇ αἴσθησιν, πολλὰς μέντοι ἔχει φλέβας καὶ ἀρτηρίας ἐξ ὧν καὶ τὸ 3) χορίον συμπλέκεται· καὶ ἔδει καρδίαν καὶ ἧπαρ αὐτῇ συμπάσχειν, καὶ οὐκ ἐγκέφαλον. τί οὖν 4) ἀρνούμεθα τὸ μὴ τὴν μήτραν εἶναι νευρώδη; οὐδαμῶς. ἀλλὰ νεῦρα μὲν ἄντικρυς οὐκ ἔστιν, ὥσπερ δὲ νεῦρον διαστέλλεται καὶ συστέλλεται. διαστέλλεται μὲν ἐν τῇ κυήσει, συστέλλεται δὲ μετὰ τὴν σύλληψιν· κατὰ τοῦτο λέγεται νευρώδης. τίς οὖν ἡ αἰτία τοῦ ἐπὶ ὄγκου αὐτῆς γίνεσθαι καρηβαρίαν; φαμὲν, ὅτι ἡ μήτρα, ὥσπερ ἄνω καὶ κάτω καὶ ἔμπροσθεν ἔχει ἀρτήματα, οὕτως καὶ ὀπίσω παρὰ τὴν ὀσφύν. φλεγμαινούσης οὖν αὐτῆς, τείνονται καὶ αὐτὰ, ἔνθεν ὀδυνᾶται ἡ ὀσφύς· ὀδυνωμένη δὲ κατὰ τὸ συνεχὲς, παντὶ μεταδίδωσι τῷ 5) νωτιαίῳ, οὗτος δὲ τῇ ἑαυτοῦ πηγῇ, τῷ ἐγκεφάλῳ· ἔνθεν ἡ καρηβαρία. ἀλλ' 6) αὕτη οὐ πάντως ἀληθὴς ἡ ἐξήγησις. αὕτη γὰρ εἶπεν ὅτι τείνεται ἡ κεφαλὴ, ἡμεῖς δὲ λέγομεν ὅτι βαρεῖται. ἀλλά φαμεν τὴν ἀληθῆ ἐξήγησιν, ὅτι ἐπειδὴ φλεγμαίνει ἡ μήτρα, γίνεται πυρετὸς, οὐχ ὁ τυχὼν, ἀλλὰ σύνοχος· ἐπὶ αἵματι γάρ· ἐντεῦθεν πολλὰ πνεύματα καὶ ἀτμοὶ ἀναλυόμενοι τρέχουσι παρὰ τὴν ὀροφὴν 7) τοῦ παντὸς σώματος, καὶ βαροῦντα ποιοῦσι τὴν καρηβαρίαν. τοῦτο μὲν οὖν ἔστι. δι' ἣν δὲ αἰτίαν ἐκ πάσης τῆς κεφαλῆς μάλιστα τὸ βρέγμα ὀδυνᾶται, διὰ τρεῖς αἰτίας ἐπαίδευσε. λέγει γὰρ ἡ ἀνατομὴ, ὅτι διὰ τῆς χοάνης δύο μεγάλαι ἀρτηρίαι φέρονται περὶ τὴν κεφαλὴν, τελευτῶσαι περὶ τὸ βρέγμα. ἐπειδὴ οὖν νῦν ἐκ τοῦ πυρετοῦ πολὺ γεννᾶται πνεῦμα, τοῦτο τρέχει, ἔνθα καὶ ἐν τῷ κατὰ φύσιν πολὺ ἦν πνεῦμα,

---

1) συνέθετο L. 2) χυμῶν L. 3) χωρίον L. 4) ἀρνούμενα L. 5) νοτιαίῳ L. 6) αὐτὴ Codd. 7) τοῦ om. L.

λέγω δὴ εἰς τὰς ἀρτηρίας. ἐκεῖναι δεχόμεναι διατείνονται καὶ μεταδιδόασι τῷ βρέγματι, ἢ ὅτι ἡ φύσις ἰδοῦσα ὡς περιττωματικὸς ἔμελλεν εἶναι ὁ ἐγκέφαλος, τά τε τοῦ παντὸς σώματος δεχόμενος περιττώματα ὡς ὑψηλὸς, καὶ τὰ ἑαυτοῦ ὡς ψυχρὸς, πλείονας δέδωκε ῥαφὰς, καὶ οὐ μόνον ῥαφὰς, ἀλλὰ καὶ τοῦ βρέγματος τὰ ὀστᾶ χαῦνα καὶ μεγάλα, ἵνα ἐκεῖθεν διαφορῆται καὶ εἰσάγηται αὐτῷ βοηθήματα. νῦν οὖν πολλῶν γεννηθέντων πνευμάτων καὶ ἀνελθόντων περὶ τὴν κεφαλὴν, περιστρέφεται ἡ δύναμις, καὶ θέλοντα τὰ πνεύματα διαφορηθῆναι, οὐκ ἀπέρχονται περὶ τὰ σκληρότατα τῶν 1) *ὀστῶν, ἀλλὰ περὶ τὰ μαλακώτατα, καὶ θέλοντα διαπεράσαι τὸ βρέγμα, ἐκεῖνο μᾶλλον ὀδυνῶσιν. ἢ οὖν διὰ τοῦτο ἢ καὶ ὅτι τὸ βρέγμα πλείονας ἔχει ἀποπερατώσεις μυῶν καὶ νεύρων, ὡς εὐαίσθητον μάλιστα ὀδυνᾶται. ταῦτα μὲν οὖν καλῶς εἴρηται. τὸ δὲ* 2) *ἐπιφέρον ὅτι εἰς ἰσχίον τῷ δεκάτῳ μηνὶ τελευτᾷ, οὐδὲ ἐξηγήσατο ὁ Γαληνὸς λέγων, ὅτι οὐχ ὁρᾶται* 3) *τοῦτο ἐπὶ τῶν ἔργων τῆς τέχνης, ἀλλὰ μᾶλλον παρατέθειται. ἔνθεν οὐκ ἐζήτησεν, εἴτε περὶ ὄγδοον, εἴτε περὶ δέκατον μῆνά φησιν. τῶν δὲ λεγομένων τὰ μὲν ὡς ὑπερθετικὰ, τὰ δὲ ὡς συμπερασματικὰ διέλαβεν, ὅτι ὅσαις γυναιξὶν, ἀμβλυσμοῦ γενομένου καὶ λοχείας καθάρσεως μὴ συμβάσης, οἴδημα γένηται, καρηβαρία τε ταύτῃ ἕπεται καὶ ὀδύνη τοῦ βρέγματος, ταύταις εἰς τὸ ἰσχίον ἀποσκήψει. τῷ δὲ κειμένῳ προσθετέον τῷ, γυναιξὶν ἀμβλυσμοῦ γινομένου καὶ μὴ λοχείας δὲ καθάρσεως, καὶ τῷ σώματα τῶν ὑστερῶν δεῖ τάξαι, ἵνα μὴ σολοικοφανὲς ᾖ. ἡ δὲ πᾶσα ἀνάγνωσις τοιαύτη. ὅσαις γυναιξὶ, γενομένης φθορᾶς καὶ μὴ λοχείας καθάρσεως, οἴδημα γένηται τὸ ἐν τῇ ὑστέρᾳ, ταύταις καρηβαρία γίνεται καὶ μάλιστα κατὰ τὸ βρέγμα, καὶ περὶ ὄγδοον ἢ δέκατον μῆνα ἐς ἰσχίον ἀποπίπτει.* 4) * *εἰ δὲ μ. εἶτα τὸν ἀπὸ τῆς συλλήψεως λόγον εἴτε τὸν ἀπὸ τῆς συλλήψεως καὶ ἀμβλυσμοῦ μῆνα, οὐ ζητῶν. ψευδὴς γὰρ ὁ λόγος. τί δὲ ἔστι τὸ, ὁκόσαι ἄλλαι ἀπὸ*

---

1) *ὀστέων* A. 2) *ἐπιφέρων* L. 3) *τούτῳ* L. 4) Si vero M! C. *μ.* scripturae compendium pro *μῆνα* habuerim. *εἶτα* mutaverim in *εἴτε*, deleto puncto. Fort. *εἴτε μῆνα κατὰ τὸν* etc. *ἀμβλυσμῇ* L.

ὑστερέων; καὶ φαμεν, ὅτι ἃ εἴρηται ἐπὶ φλεγμονῇ ὑστέρας, ταῦτα καὶ ἐπὶ ἄλλου οἱουδήποτε αὐτῆς 1) πάθους, ἢ ὅτι πάσχει ὁ ἐγκέφαλος ἐπὶ ὑστέρῃ φλεγμαινούσῃ, καὶ πᾶν μόριον ἀσθενὲς ἐκ τῆς μήτρας ἐπηρεαζόμενον.

β΄. Οἱ φοξοὶ οἱ μὲν καρτεραύχενες, ἰσχυροὶ καὶ τὰ ἄλλα καὶ τοῖσιν ὀστέοισιν· 2) οἱ δὲ κεφαλαλγέες καὶ ὠτόῤῥυτοι· τουτέοισιν ὑπερῷαι κοῖλαι καὶ ὀδόντες παρηλλαγμένοι. —

Ὡς πρὸς ἀνάμνησιν αὐτῷ ταῦτα τὰ γεγραμμένα, οὐδὲ συνέχειαν ἔχουσι πρὸς ἄλληλα, εἰ μή πως εἴπομεν οὕτω, ὅτι οἰδήματος ὄντος ἐν τῇ μήτρᾳ, πάσχει ἡ κεφαλὴ, καὶ μάλιστα ἡ φοξή. σημεῖον γὰρ τοῦτο τὸ σχῆμα ἀσθενοῦς δυνάμεως. ἀλλ᾽ ἐπειδὴ εἰς τὸν λόγον 3) ἐνεπέσαμεν τοῦ φοξοῦ, καὶ ζητοῦμεν αὐτοῦ τὰ εἴδη, ἄκαιρον ἡγοῦμαι ζητῆσαι παρὰ φύσιν σχῆμα κεφαλῆς, μὴ ζητήσας τὸ κατὰ φύσιν. εἰ γὰρ διαβάλλεται μικρὰ καὶ μεγάλη κεφαλὴ, ἐν μεγάλῳ σώματι διαβάλλεται. δι᾽ ἣν δὲ αἰτίαν οὐ δύναμαι εἰπεῖν, εἰ μὴ προείπω διὰ τί ὁ στενὸς θώραξ καὶ ἀβαθὴς διαβάλλεται. ἰστέον οὖν ὅτι ἡ φύσις ἤθελε τὸν θώρακα οἰκητήριον ὡς καρδίαν καὶ πνεύμονα. ἔδει οὖν αὐτὸν εἶναι εὐρύν. εἰ δὲ στενωθείη, θλίβουσιν ἀλλήλων τὰ μόρια, καὶ πολλοῦ γενομένου πνεύματος, 4) κακίζεται τὸ ζῶον. διὰ ταῦτα καὶ ἡ μικρὰ κεφαλή· ἤθελε γὰρ αὐτὴν ὡς μεγάλην. εἰ γὰρ καὶ ἕν ἐστι μόριον τὸ περιεχόμενον, ἀλλ᾽ οὐ 5) πολὺ πνεῦμα, καὶ διὰ τοῦτο κακίζεται.

Ἀλλὰ μή τις ἐκ διαλεκτικῆς θεωρίας εἴπῃ ὅτι ἡ μικρὰ κεφαλὴ διαβάλλεται, ἡ μεγάλη ἐπαινεῖται. οὐδὲ γὰρ αὕτη ἐπαινεῖται, ἀλλὰ καὶ διαβάλλεται, καὶ μάλιστα εἰ ἀπὸ περιττωματικῆς ὑγρότητος. εἰ δὲ ἀπὸ πλήθους χρηστῆς ὕλης καὶ ἐῤῥωμένης δυνάμεως, ὡς ἀγαθὸν ἔχομεν διακρῖναι. εἰ γάρ ἐστι μεγάλη κεφαλὴ, ἀγαθὸν, σὺν 6) εὐῤῥύθμῳ τῷ σχήματι. ἀλλὰ ζητητέον, ποῖον τὸ εὔῤῥυθμον καὶ κατὰ φύσιν σχῆμα τῆς κεφαλῆς. ἰδοῦσα τοίνυν ἡ φύσις, ὡς ἡ

1) πάθος L. A. 2) ὑπερῷαί τε κοιλίαι τε καὶ ὀδοῦσι παρηλλαγμένοι. οἱ δὲ κεφαλ. L. A. 3) Fort. ἐνεπέσομεν. 4) κατίζεται L. suffocatur C. in mg. vitiatur. 5) οὐ fortasse inducendum. 6) ἀῤῥύθμῳ L. Idem mendum in sequentibus.

τοιαύτη λογικὴ ψυχὴ καὶ αἱ δυνάμεις αὐτῆς κατοικοῦσιν ἐν τῷ ἐγκεφάλῳ, ψυχὴ δὲ ἐκ περιφεροῦς κατερχομένη τοῦ οὐρανοῦ, οὐκ εἴασεν ἢ εἰς κυβοειδὲς ἢ εἰς τετράγωνον ἢ εἰς ἄλλο σχῆμα εἰσελθεῖν, ἐπειδὴ ἤμελλε ταράττεσθαι, ἐποίησε τὴν κεφαλὴν περιφερῆ, οἷόν τινα μικρὸν οὐρανὸν τῇ ψυχῇ, ἀλλ' οὐκ εἴασεν αὐτὴν περιφερῆ διὰ τὴν θέσιν τῶν ὤτων, ἀλλ' ἑκατέρωθεν αὐτὴν ἀτρέμα ἐπίλησε. τῆς δὲ παρ' ἑκάτερα τούτων πιλουμένης, τὸ ἐμπρόσθιον καὶ ὀπίσθιον μέρος ἐξ ἀνάγκης κυρτοῦται. καὶ εἴποτέ τι ταύτῃ γένηται πταῖσμα, τὸ φοξὸν συμβαίνει. καὶ ὀκτώ εἰσιν αὐτοῦ τὰ εἴδη· ἓν μὲν, εἰ ἔμπροσθεν ἢ ὄπισθεν 1) αὐξηθῇ, ἢ κατά τι μειωθῇ, ὃ οὐ πάνυ σύνηθες καλεῖν φοξὸν, καὶ ὅτε τὸ μὲν ἔμπροσθεν αὐξηθῇ, τὸ δ' ὄπισθεν μειωθῇ, ἢ τὸ μὲν ὄπισθεν αὐξηθῇ, τὸ δ' ἔμπροσθεν μειωθῇ. ταῦτα μὲν οὖν τὰ τέσσαρα εἴδη, συμπασχόντων ἀλλήλων τῶν μερῶν, συμβαίνει. ποτὲ δὲ ἡ μία μόνη πάσχει· τῆς πρόσω γὰρ ἀπαθοῦς οὔσης, ἡ ὀπίσω μειοῦται, ἢ τῆς ὀπίσω ἀπαθοῦς οὔσης, ἡ ἔμπροσθεν αὔξεται. πρὸς ταῦτα παραβαλλομένη ἡ κεφαλὴ, φοξὴ λέγεται. πολλάκις δὲ τῆς ὀπίσω οὔσης ἀπαθοῦς, ἡ ἔμπροσθεν αὔξεται, ὥσπερ καὶ τῆς ὀπίσω οὔσης ἀπαθοῦς, ἡ ἔμπροσθεν μειοῦται. ταῦτα μὲν οὖν τὰ εἴδη τῶν φοξῶν λέγει ὁ Ἱπποκράτης, ὅτι εἰ ἴδῃς φοξὸν σχῆμα, πάντως μὴ 2) διαβάλῃς αὐτὸ, ἀλλὰ ζήτησον εἴτε ἀπὸ δυνάμεως εἴτε ἀπὸ ἀσθενείας 3) ἐγένετο. καὶ παραδίδωσι σχῆμα, ὅτι ἐὰν ᾖ φοξὸς, καὶ ἰσχυρὸν καὶ μέγαν ἔχῃ τὸν τράχηλον, ἀγαθὸν, ἐπειδὴ ἡ ἐῤῥωμένη δύναμις μέγαν ἐποίησε τὸν ἐγκέφαλον, ἢ ὅτι 4) μέγας καὶ ὁ ἐξ αὐτοῦ νωτιαῖος, μεγάλοι ἐξ ἀνάγκης οἱ σπόνδυλοι οἱ περιέχοντες αὐτήν. καὶ διὰ τοῦτο ἀγαθόν· ἔνθεν γὰρ μεγάλα τὰ νεῦρα καὶ οἱ μύες, διότι εἰσὶν εἰς πάντα [εἰσὶν] ἰσχυροὶ, εἰς ψυχικὰς, εἰς ζωτικὰς δυνάμεις. ταῦτα γὰρ γίνονται ἀπὸ δυνάμεως ἰσχυρᾶς. οὐκ ἐχορηγεῖτο δὲ, μὴ εὖ ἔχοντος ἐγκεφάλου, οὐδὲ πολὺ αἷμα, μὴ καλῶς τοῦ ἥπατος, οὐ θερμασία, μὴ καλῶς τῆς καρδίας. διότι πάντα τὰ μόρια ἰσχυρὰ, μάλιστα δὲ τὰ ὀστᾶ. ταῦτα γὰρ πρὸς τὴν ἀναλογίαν γίνονται τοῦ νωτιαίου. ὥσπερ γὰρ αἱ τῆς νηὸς σα-

1) αὐξηθῇς L. 2) διαβάλλῃς L. 3) ἐγένετο om. L. 4) μέγαν L.

νίδες πρὸς τὸ μέγεθος τῆς τροπίδος γίνονται, οὕτως καὶ τὰ ὀστᾶ ἅπαντα κατὰ τὸ μέγεθος τῶν σπονδύλων. εἰ γὰρ μεγάλοι οἱ τοῦ τραχήλου σπόνδυλοι, μεγάλη καὶ ἡ ὠμοπλάτη, καὶ διὰ ταύτην ἡ κλεὶς, καὶ διὰ ταύτην ὁ βραχίων, καὶ διὰ τοῦτον ἡ πῆχυς καὶ κερκὶς, καὶ διὰ ταύτας 1) ἄκρα χειρῶν. ταῦτα μὲν περὶ τῶν ἄνω. εἰ δὲ μεγάλοι εἰσὶν οἱ σπόνδυλοι, μέγα καὶ τὸ ὀχοῦν αὐτοὺς ἱερὸν ὀστοῦν, καὶ διὰ τοῦτο ἰσχίον καὶ μηρὸς, καὶ διὰ μηρὸν κνήμη καὶ περόνη, καὶ διὰ ταῦτα ἄκρον ποδός. ὁρᾷς πῶς ἐπαινεῖται τὸ φοξόν. τί οὖν ἀεὶ ἐπαινεῖται; οὐδαμῶς. ἀλλὰ ψέγεται, ὅτι ἐστὶν ἀπὸ ἀσθενείας δυνάμεως 2) ἰσχυσάσης χαρίσασθαι τῇ κεφαλῇ τὸ εὔρρυθμον σχῆμα. καὶ πόθεν πάλιν διαγινώσκομεν; Ἱπποκράτης, βραχυλόγος ὢν, τὰ μὲν ἑπόμενα λέγει, σιωπᾷ δὲ 3) τὰ ἡγούμενα. ἔδει γὰρ αὐτὸν εἰπεῖν ὅτι οἱ ἔχοντες τὸ φοξὸν ἀπὸ ἀσθενείας 4) πασχούσης· ὁ δὲ μὴ εἰπὼν τοῦτο, ἐπάγει τὰ συμπτώματα, ὅτι κεφαλαλγής ἐστιν. ἀσθενοῦς γὰρ οὔσης τῆς δυνάμεως, ἐδήλωσε τὸ φοξὸν σχῆμα. παντὶ ῥεύματι παραχωρεῖ ἡ ἀσθένεια, ἔνθεν κεφαλαλγία συμβαίνει. πληροῦται μὲν γὰρ ὕλης ὁ ἐγκέφαλος, διὰ δὲ τοῦτον κατακλύζονται πᾶσαι αἱ αἰσθήσεις. ἀλλ᾽ Ἱπποκράτης μόνων τῶν 5) ὤτων ἐμνημόνευσεν, οὐ μάτην. ὁ γὰρ ἐγκέφαλος διὰ πασῶν τῶν αἰσθήσεων καθαίρεται, ἀλλὰ πολὺ μὲν διὰ ῥινὸς καὶ διὰ ὑπερῴας, ἐλάχιστον δὲ διὰ τῶν ὤτων. νευρώδη γὰρ καὶ σκληρὰ τὰ μόρια. φησὶν οὖν ὁ Ἱπποκράτης ὅτι 6) εἰ τὰ ὦτα, πάλαι ἀναισθήτως κενοῦντα τὸν ἐγκέφαλον, νῦν οὕτως πεπλήρωνται, ὡς μηκέτι μόνον ῥύπον, ἀλλ᾽ ὑγρότητα ἐκβάλλειν, πολλῷ μᾶλλον αἱ αἰσθήσεις, εἰς ὃ καὶ ἐν τῷ κατὰ φύσιν ὑγρότητα ἐκβάλλουσιν. ἔχουσι δὲ καὶ ἄλλο σύμπτωμα οἱ φοξοί. φοξὸν γὰρ σχῆμα διαβάλλει, οὐ τὸ τυχὸν, ἀλλὰ τὸ ἐπὶ τῇ μειώσει τῆς ἐμπροσθίας κοιλίας. εἰ οὖν μειωθῇ ἡ ἔμπροσθεν κοιλία καὶ ἐπὶ τὰ ὀπίσω ἀπέλθῃ, γίνεται 7) τὸ σύμπτωμα. ἐπαίδευσε γὰρ ἡ ἀνατομὴ, ὡς ἡ ἄνω γένυς συνήρθρωται τῇ κεφαλῇ, τῆς δὲ ἄνω γένυος, ἡ ὑπερῴα. εἰ γοῦν ἐπὶ τὰ

1) ἄκρας L. 2) Addam μή. 3) ταῦτα L. 4) Fort. πάσχουσιν. 5) ὀστέων L. A. de auribus C. 6) οἱ L. 7) τι A.

ὀπίσω ἀπῆλθεν ἡ κεφαλὴ, καὶ ἡ ἄνω γένυς ἐπὶ τα ἔσω ἀπέρχεται, ἔνθεν καὶ ἡ ὑπερῴα κοιλαίνεται. ἐπὶ τὰ ἔσω ἀπελθούσης τῆς ἄνω γέννος, ἡ κάτω μένει ἐπὶ τὰ ἔξωθεν, οἱ ὀδόντες οὐ φέρονται κατ᾽ ἀλλήλων, οἱ τομεῖς οὐ κατὰ τὸ μέσον, οἱ 1) κυνοδόντες οὐ κατὰ τῶν κυνοδόντων, οὐχ αἱ μύλαι κατὰ τῶν μυλῶν. διεστράφησαν γὰρ, οὐχ οἱ κάτω ἀπὸ τῶν κάτω, οὐδὲ οἱ ἄνω ἀπὸ τῶν ἄνω, ἀλλ᾽ οἱ ἄνω ἀπὸ τῶν κάτω.

γ΄. Ὁκόσοισιν ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε, τουτέοισι μέση ἵζει ἡ ῥίς· οἷσι ὅθεν ὀδόντες, ἄκρη σιμοῦται. —

Πάλιν οὗτος ὁ λόγος ἀπέσχισται τοῦ προειρημένου, 2) καὶ μὴ εἴπῃς, καὶ τούτου τινὰ συνέχειαν ἔχει· ὥσπερ ἐπὶ φοξοῦ σχήματος παρεσπάσατο ἡ γένυς, οὕτως καὶ νῦν πάσχει, ὡς καὶ τὴν ῥῖνα βλάπτει. 3) εἰρήκασί μοι τούτων αἱ ἀνατομαὶ, ὅτι ἡ ἄνω γένυς συνήρθρωται τῇ κεφαλῇ, τεσσαρακαίδεκα ἔχουσα ὀστᾶ, ἓξ μὲν κατὰ τοὺς ὀφθαλμοὺς, δύο δὲ κατὰ μύλας, δύο δὲ κατὰ τὴν ῥῖνα, δύο δὲ κατὰ τὸ ἄκρον 4) γένειον, 5) γένειον δὲ οὕτως κατὰ τὰ ἄλλα τὰ ὑποκάτω τῆς ῥινός. ἐπαίδευσέ με γὰρ καὶ τοῦτο ἡ ἀνατομικὴ θεωρία, ὅτι ἡ ῥὶς ἔχει μὲν παρ᾽ ἑκάτερα δύο ὀστᾶ, εν δὲ τῷ μέσῳ τινὰ χόνδρον, διαστέλλεται δὲ καὶ συστέλλεται. οὗτος δὴ ὁ χόνδρος, δεξιὰ μὲν καὶ ἀριστερὰ, τὰ τῶν 6) μήλων ὀστᾶ, ὑποκάτω δὲ ἔχει τὰ τῆς ὑπερῴας ὀστᾶ, ἄνω τοῦ γενείου, ἐξ ὧν στηρίζεται ἡ ῥίς. πολλάκις γοῦν ἐν τῇ ὑπερῴα 7) νομή. ὑπερῴα δέ ἐστι τὸ ἐσώτερον μέρος τοῦ οὐρανίσκου. 8) γίνεται οὖν ἐκεῖσε σῆψις, καὶ οὕτως κακοήθως, ὡς μὴ μόνον λεπίδας ἐκπεσεῖν ὀστέου, ἀλλὰ καὶ αὐτὸ τὸ ὀστέον ἢ ἀπὸ τῆς σήψεως ἢ καὶ ἀπὸ τοῦ ἰατροῦ. εἰ οὖν ληφθῇ ἐκεῖθεν ὀστέον, ἐν ᾧ ὀχεῖται τὸ μέσον τῆς ῥινὸς, ἔνθεν τὸ μέσον τῆς ῥινὸς 9) σιμοῦται. εἰ δὲ τοῦτο τὸ πάθος γένηται περὶ

---

1) *κυνώδοντες* L. A. 2) neque ullam cum eo continuationem habet C. perperam. 3) pro *εἴρηνται.* 4) *γέννον* Codd. 5) et duo alia palati infra nasum C. quae versio a textu graeco toto coelo abhorret. 6) molarium dentium C. Falso legit *μυλῶν.* 7) *νομῇ* L. 8) Ozaena narium est, de qua loquitur. 9) *σημειοῦται* Codd. Idem mendum in fine hujus explanationis.

τὸ γένειον, καὶ πέσῃ ὀστοῦν ἐκεῖθεν, οὐκέτι ὀχεῖται τὸ ἄκρον τῆς ῥινὸς, ἔνθεν ἐκεῖνο τὸ πρὸς τοῖς ὀδοῦσι τῆς ῥινὸς σιμοῦται.

δ'. Αἱ τῶν νηπίων ἐκλάμψιες ἔστιν οἷσιν ἅμα ἥβῃ 1) *μεταβολὴν ἴσχουσι καὶ ἄλλαι. —*

Νήπια λέγει οὐ τὰ ὑποτίτθια, ἀλλὰ τὰ παιδία, ὥσπερ καὶ 2) *Ἡρόφιλος· νήπια οὐ φαλακροῦνται,* 3) *οὐκ ἀγρυπνοῦσιν, ἀντὶ τοῦ παιδία. τῶν δὲ βιβλίων τὰ μὲν ἔχουσιν ἐκλάμψιες, καὶ οὐδὲν διαφέρει, ἄλλα δὲ ἐπιλήψιες. περὶ δὲ τῶν ἐπιληπτικῶν παθῶν γραφὴ ἑκάστη ἔχει τὴν ἐξήγησιν. εἰ γὰρ ἔχει ἐκλάμψιες, οὕτως λέγει· ἐπὶ τῶν παιδίων οὐ πάνυ διαλάμπει τὸ θερμὸν, ἀλλ' ἔστιν ἀχλυῶδες ἔκ τε τῆς σπερματικῆς ὑγρότητος, καὶ ἐκ τῆς ἀτάκτου διαίτης. ἔνθεν καὶ αἱ* 4) *αἰσθήσεις αὐτῶν ἀμβλύτεραι. ὅταν δὲ παραγένηται ἡ ἀκμὴ, ξηραινομένης τῆς ὑγρότητος, σωφρονούντων τε αὐτῶν κατὰ τὴν δίαιταν, καθαρὸν γίνεται τὸ θερμὸν καὶ εἰλικρινές. εἰ δὲ ἔχει ἐπιλήψιες, φαμὲν ὅτι πολλάκις ἢ ἐκ τῆς κράσεως ἢ ἐκ διαίτης φλέγμα πλεονάζον· μὴ δυνηθεὶς αὐτὴν θεραπεῦσαι μὴ πτοηθῇς. πολλάκις γὰρ ἐρχομένης τῆς ἥβης, θερμότερον γίνεται τὸ θερμὸν, ὥστε καὶ ἐπιτηδείως τῷ φλέγματι διαλύειν, καὶ λεπτύνει αὐτὸ, καὶ παύεται ἐν τῇ ἀκμῇ. εἰ δὲ εἴη συγγενὲς τὸ πάθος, οὐκ ἀκμὴ, οὐκ* 5) *ἰητρὸς θεραπεύει ἢ ἥβη, ὡς περιπνευμονίαν καὶ ἰσχιάδα. τοῦτο γάρ ἐστι τὸ εἰρημένον ὑπὸ Ἱπποκράτους, ἐς* 6) *νεφρὸν ὀδύνην βαρεῖαν. ἑτέρου δέ ἐστι λόγου* 7) *καὶ παραβέβληται. ψεύδεται γὰρ ὅτι τοῖς παισὶν ὀδύνη βαρείη οὐ γίνεται ἐς νεφρὸν, εἴ γε αὐτοῦ ἐστι λόγος ὁ λέγων, ὅτι τοῖς ἀκμάζουσι λίθοι γίνονται εἰς τοὺς νεφροὺς μάλιστα, τοῖς δὲ παισὶν ἐν τῇ κύστει.*

ε'. 8) *Ἐς νεφρὸν ὀδύνη βαρείη, ὅταν πληρῶνται σιτίου, ἐμέουσι φλέγμα· ὁκόταν δὲ πλεονάσωσιν αἱ ὀδύναι, ἰώδεα,*

---

1) *καταβολὴν* L. 2) *ἡρώφυλος* L. A. 3) non concipiunt C. ac si legisset *οὐ συλλαμβάνουσιν*. 4) *αἰσθήσει εἰς* L. 5) Ionicam formam habent et L. et A. 6) *νεφρῶν* L. 7) initium add. C. *ἀρχή*. 8) *ἐν* A, *νεφρῶν* L. A.

καὶ ῥάους μὲν γίγνονται, λύονται δὲ, ὁκόταν ἐμέσῃ τῶν κενωθέντων. ψαμμία τε πυῤῥὰ ὑφίστανται, αἱματώδεα δὲ 1) οὐρέουσι, νάρκη τε μηροῦ τοῦ κατ᾽ 2) ἴξιν. ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνάζεσθαι μὲν, μὴ ἐμπίπλασθαι δὲ, τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖσι καθαίρειν, λεπτύνειν τε ἅμα καὶ ἁπαλύνειν.—

Οὐ πρὸς διδασκαλίαν ταῦτα γράφων Ἱπποκράτης, ἀλλὰ πρὸς ὑπόμνησιν αὐτοῦ, διεσπασμένοις λόγοις παραδίδωσι. καὶ ἐμνημόνευσε μὲν ἐξ ἀρχῆς ὑστερικοῦ πάθους, καὶ φοξοτέρας κεφαλῆς, ὕστερον δὲ καὶ παθῶν τῆς ὑπερῴας, καὶ τοῦ πάθους τῶν παιδίων. νῦν δὲ θέλει διαλεχθῆναι περὶ τοῦ νεφριτικοῦ πάθους. ἀλλ᾽ ὥσπερ ἰσχιαδικὸν πάθος λέγεται πᾶν πάθος περὶ τὸ ἰσχίον γινόμενον, κυριωτέρως δὲ ἰσχίασις, ὅταν ἡ κοτύλη πληρωθῇ μύξης, οὕτως καὶ πᾶν περὶ τοὺς νεφροὺς πάθος λέγεται νεφρῖτις, εἴτε ὀργανικὸν εἴτε ὁμοιομερὲς εἴη. κυρίως δὲ λέγεται ὁ γενόμενος λίθος, εἴτε ἐν τῇ κοιλότητι, εἴτε ἐν τῇ οὐσίᾳ τοῦ νεφροῦ, ἥτις καὶ λιθίασις ὀνομάζεται. περὶ τούτου τοῦ πάθους θέλει νῦν διαλεχθῆναι ὁ Ἱπποκράτης, 3) πάλιν τῷ τόπῳ. τῆς οὖν διδασκαλίας μάθωμεν τὰ περὶ τὴν λέξιν καὶ τὴν διάνοιαν καὶ οὕτω τὸν λογισμόν. μέμνηται οὖν ὀδύνης βαρείης.

Τὸ τοῦ βαρέος ὄνομα ὁμώνυμόν ἐστι. λέγεται γὰρ βαρὺ καὶ τὸ βάρους ἔχον συναίσθησιν 4) ὃ ἐπὶ ἀμφοτέρων νῦν ὁ λόγος ἁρμόζει. μέμνηται δὲ καὶ φλέγματος. ἀλλ᾽ εἴωθε μὲν Ἱπποκράτης φλέγμα λέγειν τὴν φλόγωσιν, ποτὲ δὲ καὶ τὸν ψυχρὸν καὶ ὑγρὸν χυμὸν, ὥσπερ δὴ καὶ νῦν. μέμνηται δὲ καὶ σίτου. τοῦτο δὲ 5) κατὰ τριῶν φέρεται σημαινομένων. λέγεται γὰρ σῖτος ὁ χιλὸς, λέγεται σῖτος καὶ ἡ κόπρος, ὡς ἀπὸ σίτου 6) γενομένη, λέγεται σῖτος καὶ τὸ αἷμα τὸ μέλλον τρέφειν τὸ σῶμα. νῦν οἴδαμεν τὸ, τί ἐστι καὶ τὸ ἰῶδες ὅτι 7) ἤδη κακοήθους χολῆς. ταῦτα μὲν περὶ τῆς λέξεως αὐτοῦ.

---

1) ῥέουσι Hipp. 2) ἰξίον L. 3) iterum docendi methodo servata C. 4) et quod acerbum molestumque est C. addit. 5) μετὰ L. 6) γενομένου Codd. 7) Fort. εἶδος.

Λέγει δὲ ταῦτα Ἱπποκράτης, ὅτι γίνεται λιθίασις, καὶ ὀφείλεις ταύτην θεραπεῦσαι. γίνεται οὖν ἐπὶ τοῦ λίθου ὀδύνη βαρεῖα. μεμαθήκαμεν γὰρ ὅτι αὐτὴ ἡ κοιλότης τοῦ νεφροῦ 1) *οὐκ ἔχει νεῦρα, ἔνθεν οὐδὲ ὀδυνᾶται, ἀλλὰ βαρεῖται ἐκ τοῦ ἄχθους τοῦ λίθου. εἰ δὲ εἴπῃς ὅτι σφοδρὰν καὶ χαλεπὴν ἔχει τὴν ὀδύνην, τοῦτο γίνωσκε ὅτι ἐξῆλθεν ἐκ τῆς κοιλότητος ὁ λίθος, καὶ ἦλθε παρὰ τὴν οὐσίαν τοῦ νεφροῦ· αὕτη γὰρ ἔχουσα νεῦρα ὀδυνᾶται. ἀλλ' εἰ μὲν* 2) *εἴποι σοι ὁ κάμνων ὀπίσω τε καὶ ἐπὶ τὰς ψόας αἰσθάνεσθαι τὴν ὀδύνην, τότε ἡ οὐσία τῶν νεφρῶν ἐστιν ἡ ὀδυνωμένη. εἰ δὲ εἴποι σοι ἔμπροσθεν καὶ κάτω παρὰ τὸ ὑπογάστριον καὶ ταύτην ὡς ἐπιμήκη εἶναι τὴν ὀδύνην, τότε γίνωσκε ὅτι ἐκ τῆς κοιλότητος παρὰ τοὺς οὐρητῆρας ἦλθεν ὁ λίθος. τοιαύτη γὰρ ἥ τε θέσις καὶ τὸ σχῆμα τῶν οὐρητήρων. στενοὶ μὲν, ἐπιμήκεις δὲ ὑπὸ τὸ ὑπογάστριόν εἰσι τεταμένοι. πρώτη μὲν οὖν αὕτη ἡ διάγνωσις. Δευτέρα δὲ ἡ σημαίνουσα, ποῖος ὁ πεπονθὼς νεφρός·* 3) *ἡ νάρκη γὰρ γίνεται ὑπὸ τοῦ πλησίον μηροῦ. νάρκη δέ ἐστιν ἡ δυσαισθησία καὶ ἀκινησία καὶ ἡ κατάψυξις. ἀμφότερα γὰρ ἐδίδαξαν αἱ ἀνατομαὶ, ὡς ἐξ ὧν μορίων ὁ νεφρὸς δέχεται νεῦρα, ἐκ τούτου καὶ ὁ μηρός. πάσχοντος οὖν τοῦ νεφροῦ, καὶ τὰ νεῦρα πάσχοντα δυσαίσθητον καὶ δυσκίνητον ποιεῖ τὸν μηρόν. ἀλλὰ μὴν καὶ καταψύχεται ὁ μηρός. ἔδειξαν γὰρ αἱ ἀνατομαὶ, οἷον ὁ νεφρὸς ὑπὲρ τὴν ἀναλογίαν αὐτοῦ δέχεται φλέβας, ὅθεν δέχεται ὁ νεφρὸς, ἐκ τούτων καὶ ὁ μηρός. τρέχει οὖν ἡ φύσις παρὰ τὸν* 4) *μηρὸν ὡς ὀδυνώμενον· ἐντεῦθεν λειφαιμεῖ ὁ μηρὸς, ὡς τῶν ἀγγείων αὐτοῦ συννευσάντων, καὶ διὰ τοῦτο ψύχεται. γίνεται δὲ αὐτοῖς καὶ ἔμετος φλέγματος. εἴρηται γὰρ ἐν τῇ διαγνωστικῇ, ὡς ἐπὶ κωλικῆς καὶ νεφριτικῆς διαθέσεως ἐμοῦσι φλέγμα· ἀλλ' ἐπὶ κωλικῆς, ὁμολογουμένως· ἐπὶ δὲ νεφρίτιδος ὅτι ἐκ πολλῆς ὀδύνης γίνεται ταραχή. ἐντεῦθεν θλίβεται τὰ περὶ τὸν στόμαχον, καὶ ὅπου εἶχε τεθησαυρισμένον φλέγμα, ἐμεῖ αὐτό. ἔστι δὲ καὶ ἄλλη σημείωσις. ἐπὶ γὰρ πληρώ-*

---

1) quales nervos habeat C! 2) *εἴποι* superscr. *εἴπῃ* A. 3) *ἡ* om. A. 4) renem C. *νεφρὸν* rectius.

σει τοῦ στομάχου μᾶλλον ὀδυνῶνται. ὅπου γὰρ πολὺς χυλὸς ὁ ἐν τῇ γαστρὶ, διατείνει αὐτὴν, ἥτις διατεινομένη ὀδυνᾷ τὸν νεφρὸν, ὃς τεινόμενος ἐκ τῆς κόπρου θλίβει τὸν νεφρόν. ἀλλὰ μὴν καὶ πολὺ αἷμα ὂν ἐν τοῖς ἀγγείοις, ἐκεῖνο διατεινόμενον ὀδυνᾷ τὸν νεφρὸν, καὶ μᾶλλον ὅτε πολλὰ ἔχει ἀγγεῖα. εἰ δὲ κατακρατήσουσιν αἱ ὀδύναι, καὶ ἰώδης ἀνεμεῖται χολὴ, εἴτε ἐν τῷ στομάχῳ γεννηθεῖσα, εἴτε καὶ ἐξ ὅλου τοῦ σώματος ἐκεῖ ἐρχομένη. ἐπειδὰν γὰρ ἀγρυπνίαι πολλαὶ, νεφρίτιδες καὶ πόνοι ἐξ ὧν ἐκκαίεται ὁ στόμαχος, γεννᾷ πολλὴν χολὴν, ἥτις ἀνάγεται. πολλάκις δὲ οὐδὲ γεννᾶται ἐκεῖ, ἀλλὰ φέρεται. ἀσθενεῖ γὰρ ὁ στόμαχος ὡς 1) τῶν νεφρῶν παρακείμενος, ἔνθεν ὡς ἀσθενὴς καὶ ὡς εὐαίσθητος, πᾶν μὲν ἐπισύρεται ῥεῦμα, προτρέχει δὲ τὸ λεπτότερον. τί δὲ λεπτότερον χολῆς; ἔνθεν ὁ χολώδης οὗτος ἐμεῖται χυλός.

Περὶ λίθου καὶ πῶς οὗτος γίνεται.

Δεῖ γοῦν εἰδέναι ὅτι ὁ ἐν τῷ νεφρῷ λίθος, ἀπὸ θερμασίας ὑπεροπτώσης, ἥτις ἀπὸ ὕλης φλεγματικῆς, γίνεται καὶ ἀπὸ χρόνου καθὼς ἡ θερμασία ὑπεροπτᾷ τὴν ὕλην. ἔνθεν οὖν γίνονται καὶ τὰ διάφορα εἴδη τῶν λίθων. εἰ μὲν γὰρ πολλὴ ἡ θερμασία, ποιεῖ τὸν λίθον μέλαν· εἰ δὲ ἥττων, ἐρυθρότερον ἢ λευκότερον. καὶ ἀπὸ τῶν χυμῶν γίνονται λίθοι ἢ σανδαραχώδεις ἢ μέλανες ἢ ὠχρόλευκοι ἢ 2) πυρόξανθοι ἐκ τῆς ποικιλίας τῶν χυμῶν. καὶ γὰρ διαφόρως ὁ χρόνος χροΐζει τὸν λίθον. ὁ γὰρ πολὺς χρόνος, μελανὸν αὐτὸν ποιεῖ, ὁ δὲ ἥσσων, λευκότερον. ὥσπερ ἐπὶ ἄρτου ὀπτωμένου, οὕτως διαγνῶμεν τὸν λίθον.

Θέλομεν οὖν αὐτὸν θεραπεῦσαι. ἀλλ' ἴσως καὶ πρὸ τῆς θεραπείας ἡ φύσις τι ποιεῖ χρήσιμον. ποιεῖ δὲ τὰ μὲν ῥαστώνην, τὰ δὲ καὶ τελείαν φέροντα τὴν ἀπαλλαγήν. εἰ γὰρ κενώσει φλέγμα δι' ἐμέτου, ῥαστώνη γίνεται· κενοῦται γὰρ τὸ φλέγμα τὸ θλίβον τὸν στόμαχον, καὶ διὰ τοῦ στομάχου τὸν νεφρόν. καὶ τὸ πρότερον μὲν, εἰς

1) Fort. τοῖς νεφροῖς. 2) πυρόξανθος L.

πνεύματα ἀναλυόμενος, ἃ δεχόμενος ὁ νεφρὸς, ὡς ἀσθενέστερος, διετείνετο· τελείαν δὲ ἀπαλλαγὴν, εἰ κενωθῶσι τὰ ψαμμία, διάφορον ἔχοντα τὴν χροιὰν, παρὰ τὴν θερμασίαν καὶ τὴν ὕλην καὶ τὸν χρόνον. ἀλλ᾽ ἐπειδὴ Ἱπποκράτης νῦν νεφρῖτιν ὑποτίθεται ἐκ παχυτέρου αἵματος γινομένην, λέγει ὅτι εἰ κενωθῶσιν ἐρυθρὰ ψαμμία σὺν αἵματι δι᾽ οὔρων, ἀπαλλαγὴν ποιοῦσι, σὺ δὲ εἰπὲ ὅτι εἰ κενωθῶσι ψαμμία τὴν χροιὰν ἔχοντα τοῦ ποιοῦντος χυμοῦ. αὕτη μὲν οὖν ἡ ἐκ τῆς φύσεως θεραπεία. Εἰ δὲ μηδὲν ποιήσει ἡ φύσις, σὺ ὀφείλεις θεραπεύειν. ἐρχόμενος δὲ πρὸς τὴν θεραπείαν, πρότερον μὲν ἐπιμέλειαν ποιεῖσθαι τοῦ παντὸς σώματος, μήπως περιττωματικὸν ὂν πέμπῃ τῷ νεφρῷ. μετὰ δὲ τὴν θεραπείαν τοῦ παντὸς σώματος ἐλθὲ καὶ ἐπὶ τὴν τοῦ πάσχοντος νεφροῦ ἴασιν, καὶ τοπικοῖς χρῆσαι βοηθήμασι. τούτου εἷς κανών. Ἕτερος ὁ λέγων, μὴ μόνον θεραπεύσῃς τὸν νεφρὸν, ἀλλὰ καὶ προφυλάττεσθαι. πολλάκις γὰρ ἦλθε πρὸς αὐτὸν πρώτη ἡ ὕλη· εὑρεθεῖσα δὲ κατ᾽ ἀρχὰς ἡ φύσις ἐῤῥωμένη, ἀπεδίωξεν αὐτην, ὁμοίως δὶς καὶ τρίς. δέος οὖν μὴ ἀσθενήσῃ ἡ δύναμις, καὶ μηκέτι τὴν ὕλην ἐπιῤῥέουσαν ἀποδιῶξαι δύνασθαι, κἀντεῦθεν ὁ νεφρὸς ἑκτικὴν λαβὼν συνήθειαν, λίθον ἐργάσηται. προφυλάξαι οὖν αὐτὸν χρὴ τοῖς τονοῦσιν, ἵνα μηκέτι δέξηται τὴν 1) ἐπερχομένην ὕλην. Τρίτος κανὼν οὗτος. λάμβανε ἔνδειξιν καὶ ἀπὸ πάντων τῶν 2) στοιχείων.

Τούτων προειρημένων, ἴδωμεν τὴν θεραπείαν. καὶ τέως μὲν οὖν μιμησώμεθα τὴν φύσιν καὶ ποιήσωμεν αὐτὸν ἐμέσαι φλέγμα, μὴ ἐάσωμεν δὲ πολὺν σῖτον ἐν τῷ σώματι, πολὺν χιλὸν, διὰ τὴν διάτασιν τῆς γαστρὸς, μὴ πολλὴν κόπρον, διὰ τὴν διάτασιν τοῦ παρακειμένου 3) νεφροῦ. ὅτι γὰρ ἐπὶ ἐμφράξει κόπρου πολλάκις παροξύνεται νεφρίτης, ἐδήλωσεν ἔνεμα ὀδύνην παῦσαν νεφριτικοῦ. ἀλλὰ μὴν μηδὲ αἷμα πολὺ ἐάσωμεν ἐν τῷ σώματι, ἵνα μὴ τὰ πολλὰ ἀγγεῖα ὀδυνώμενα καὶ τεινόμενα τὸν νεφρὸν ὀδυνήσωσι. ταῦτα μὲν οὖν παραφυλακτέον. ἐρχόμενος δὲ

1) ὑπερχομένην L. 2) συστοίχων A. bene. 3) χιλοῦ Codd. male.

πρὸς τὴν θεραπείαν καὶ θέλων προνοήσασθαι τοῦ παντὸς σώματος, ἀσιτεῖν αὐτὸν κέλευσον, μήπως ἐκ τῆς πολλῆς τροφῆς φλέγμα συναγόμενον ποιήσῃ τὸν λίθον. κέλευσον οὖν αὐτὸν γυμνάζεσθαι. οἶδε γὰρ ἡ κίνησις λεπτῦναι καὶ ἐκδιαφορῆσαι παχύτητα χυμοῦ· ἀλλὰ χρὴ μὴ συντόνοις ἢ πολλοῖς κεχρῆσθαι γυμνασίοις, μήπως ἐκ τῆς πολλῆς κινήσεως ἐγειρομένη παρὰ φύσιν θερμασία ποιήσῃ τὸν λίθον, οὐ μόνον δὲ ἡ θερμασία αὐξηθῇ, ἀλλὰ καὶ ἡ ὕλη ἡ ἐκεῖ διαφορουμένη παχυτέρα γένηται, καὶ τὸ ὑπολειπόμενον αὐτῆς γεῶδες τραπῇ εἰς λίθον, ἀλλὰ συμμέτροις κέχρησο γυμνασίοις, καὶ τούτοις εἰωθόσιν ἐν ταῖς κατὰ φύσιν 1) πράξεσιν. τοῦτο γοῦν προφυλακῆς ἐστιν. οὐ γὰρ ἐτόλμα ὁ Ἱπποκράτης ἐν αὐτῷ τῷ πάθει καὶ τῇ χαλεπωτάτῃ ὀδύνῃ ἐπιτάξαι γυμνασίοις. καὶ ταῦτα εἰρηκὼς Ἡρωδικὸς, τοὺς πυρεταίνοντας 2) ἔκτεινας δρόμοις ἢ πάλῃσιν. ἀλλὰ ταῦτα προφυλακῆς εἰσι. καὶ θέλει τὸν κάμνοντα κατὰ πολλὴν σχολὴν γυμνάζεσθαι.

Ἔρχεται λοιπὸν ἐπὶ τὴν θεραπείαν τοῦ παντὸς σώματος, καὶ εἴ ἐστι πλῆθος αἵματος, φλέβα τάμνειν, οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν τῷ νεφρῷ πλησιάζουσαν, τὴν κατ᾽ ἰγνύαν. 3) ἐξ ἧς γὰρ ἀπὸ ἰσχίου δέχεται ὁ νεφρὸς, ἐκ 4) τούτου ἡ ἰγνύα. ἔχει δὲ καὶ κάτω πολλὰς ἀποσχίδας. ἀλλ᾽ ἡμεῖς τὴν ἀνωτέραν τέμνωμεν, ἵνα ταχέως γένηται μετάστασις τῆς ὕλης. ἔνθεν καὶ 5) τοῦ κατὰ λῆξιν μηροῦ τέμνομεν φλέβα. εἰ δὲ μὴ εἴη ὕλη, ἀλλὰ ποιότης, καθαίρωμεν. τίνι δὲ εἶχε καθᾶραι ὁ Ἱπποκράτης ἐν τοῖς τότε χρόνοις, ἢ ἐλλεβόρῳ, ὃν ἡμεῖς φεύγομεν διὰ τὸ περιττωματικὸν τῶν σωμάτων, ὁ δὲ Ἱπποκράτης παρελάμβανεν, ὡς ἐν καθαροῖς σώμασιν. εἰ δὲ καὶ πλῆθος εἴη καὶ ποιότης, τότε τοῖς ἀμφοτέροις χρησώμεθα, πρότερον μὲν 6) τῇ φλεβοτομίᾳ, ἵνα διάπνοιαν χαρισώμεθα, ὕστερον δὲ τῷ καθαρσίῳ. ἐντεῦθεν γὰρ καὶ αἱ ἀπὸ τῶν συ-

---

1) πράξεις Codd. 2) ἐκτείνας Codd. Ἡρόδικος. Fabric. B. gr. XIII. p. 183. Nerodicus C. 3) ἑξῆς Codd. ἰσχίος Codd. 4) Fort. ταύτης sc. φλεβός. 5) femoris e regione positi venam protundimus C. Equidem verba graeca latine reddam: extremam femoris venam. 6) τῆς φλεβοτομίας L.

στοίχων ἐνδείξεις γινέσθωσαν, ἀκμάζοντι, 1) ἐν εἰωθότι, ἐν ἐαρινῇ καταστάσει. ἀλλ' Ἱπποκράτης μόνης τῆς τῶν νέων μνημονεύσας ἡλικίας, δέδωκέ σοι ἂν καὶ τῶν λοιπῶν συστοίχων. ἐχρησάμεθα ἁπλῶς τῇ καθολικῇ θεραπείᾳ. ἐρχόμεθα παρὰ τὴν τοῦ νεφροῦ.

Καὶ χρησόμεθα ἀποζέμασι τοῖς διουρητικοῖς, τοῖς δυναμένοις θρύψαι λίθον, οἷον τὸ δαμασόνιον. λέγει δὲ καὶ Ἱπποκράτης ἐν τῇ θεραπείᾳ τοῦ νεφροῦ, λεπτῦναι ἅμα καὶ ἁπαλῦναι· καλῶς πάνυ. ἐπειδὴ γὰρ εἶπε ὅτι φλεβοτόμησον ἢ κάθαρον, εἴ ἐστιν ἀκμαστικὴ ἡλικία, ἴσως τις εἶχεν αὐτῷ εἰπεῖν, καὶ εἴ ἐστι παιδικὴ, μηδ' ἐν τούτῳ ἔχομεν τὰ τῆς θεραπείας οὐδαμῶς. ἀλλ' ὀφείλεις πάνυ καταθρύψαι τὸν λίθον, πρότερον μὲν ὅτι παιδικὴ ἡλικία ἡ πάσχουσα, ἔπειτα δὲ καὶ μέλλει λίθος διὰ τῶν οὐρητήρων παρέρχεσθαι. οὐρητῆρες δὲ στενοὶ καὶ μακροί· καὶ διὰ τοῦτο ὀφείλομεν τὸν χυμὸν ἁπαλῦναι τῇ ὑγρότητι, ἵνα μὴ ξηρὸς ὢν 2) ἐνισχεθῇ ἐν τοῖς οὐρητῆρσι, καὶ βραδέως ἐκκρινόμενος πολλὰς ὥρας ὀδυνήσῃ. μία μὲν οὖν αὕτη ἡ ἐξήγησις. Δευτέρα δὲ ὅτι πολλάκις ἡ 3) λιθίασις γίνεται ἀπὸ ὕλης μετὰ ποιότητος. καὶ πρὸς ἀμφότερα θέλομεν ἐνστῆναι. ἔνθα πολλάκις ψυχροῦ ὕδατος πόσις ἔπαυσε νεφρῖτιν, σβέσασα μὲν δυσκρασίαν ἐνοχλοῦσαν, ῥώσασα δὲ δύναμιν καταβεβλημένην ὑπὸ δυσκρασίας. δύναμις δὲ ῥωσθεῖσα ἢ ἔπεψεν ἢ ἀπεδίωξε τὴν ὕλην, καὶ ἐπαύσατο ἡ νεφρῖτις. πρὸς ἀμφότερα οὖν ὁ Ἱπποκράτης, πρὸς μὲν τὸ πλῆθος διὰ τῶν εἰρημένων. ἀλλ' ἐπειδὴ ἡ ποιοῦσα ὕλη τὸν λίθον οὐ μόνον πολλὴ ἦν, ἀλλὰ καὶ παχεῖα, τὸ μὲν πλῆθος ἐκένωσεν ἡ φλεβοτομία, τὴν δὲ σύστασιν αὐτοῦ νῦν λεπτύνομεν, τὴν δὲ ποιότητα καὶ τὴν δυσκρασίαν σβέννυμεν καὶ ἁπαλύνομεν. ἀλλ' ἐπειδὴ εἶδεν ὁ Ἱπποκράτης ὡς ἐπίπαν ὡς τὰ λεπτύνοντα πάντα θερμά εἰσι καὶ ξηρὰ, τὰ δὲ κατακιρνῶντα καὶ ἁπαλύνοντα ψυχρὰ καὶ ὑγρὰ, διὰ τοῦτο προσέθηκε τὸ αἷμα, ἵνα ποτὲ μὲν τοῖσδε, ποτὲ δὲ τοῖς χρήσῃ, πρὸς τὸ κατεπεῖγον ἐνιστάμενος, οὐδὲ θατέρου παντάπασιν ἀμελῶν.

---

1) ἂν L. 2) ἐνισχηθῇ L. 3) λιθίωσις Codd.

Ἔστι δὲ καὶ ἄλλη τρίτη αἰτία. εἶπε γὰρ εἰς ἀφορισμοὺς, ὅτι τὰ σώματα χρὴ ὅκου ἄν τις θέλῃ καθαίρειν, εὔῤῥοα ποιέειν. καὶ πολλῶν ἐκεῖσε λεχθεισῶν ἐξηγήσεων, μόνην 1) ἐδεξάμεθα, ὅτι ὅταν βούληται κενῶσαι εὔῤῥοον τὸ περιέχον, ὑγρᾶναι τὰ περιεχόμενα, ἵνα δι' εὐρέος ὀργάνου ταχέως ὀλισθαίνῃ τὸ κενούμενον. τοῦτο καὶ ἐνταῦθα λέγει, λεπτύνων τὸν μέλλοντα κενωθῆναι χυμόν. ἐπειδὴ δὲ δι' οὐρητήρων κενωθῆναι μέλλει τῶν στενῶν καὶ μακρῶν, εὔρυνον αὐτοὺς δι' ὑγρότητος. ἀλλ' Ἱπποκράτης ἐκ τοῦ γινομένου τὸ ποιὸν ἐδήλωσε. θέλων γὰρ εἰπεῖν ὕγρανον, ἐπειδὴ οἶδε τὸ ὑγραινόμενον ἁπαλύνεσθαι, 2) ἁπαλῷ εἶπεν ἀντὶ τοῦ ὑγραίνοντι. οὕτω μὲν οὖν καλῶς ἔγνωσται τῷ Ἱπποκράτει ἡ λιθίασις. ἀλλὰ μὴν καὶ ἐθεραπεύετο ἐπὶ τῶν αὐτοῦ χρόνων. ἐπειδὴ γὰρ οὐκ ἦν τότε πολὺ φλέγμα ἐκ τῶν συνεχῶν γυμνασιῶν, ἀλλ' ἦν ἐῤῥωμένη ἡ δύναμις, εὐχερῶς ἐνικᾶτο ἡ λιθίασις. ἐπειδὴ δὲ νῦν τρυφηλὴ μὲν τράπεζα, βλεννώδης δὲ συνάγεται χυμὸς καὶ πολλὴ ἀσθένεια, ἔνθεν μὲν γίνονται πολλαὶ λιθιάσεις· ἐκ δὲ τῶνδε, δυσίατα ἢ καὶ ἀνίατα σχεδὸν πάθη. ταῦτα μὲν οὖν οὐκ ἠγνόησεν Ἱπποκράτης. εἶπε γὰρ 3) γεγυμνάσθαι καὶ ἀσιτεῖν, ὧν νῦν οὐδὲν γίνεται. τοσαῦτα περὶ λιθιάσεως.

ϛ'. Γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν ἐπιπολὺ παραμένει· ὅταν δὲ μὴ ταχὺ 4) ἴῃ, ἐποιδέει. —

Ὀφείλομεν ἑπόμενοι τοῖς ἐξ ἀρχῆς ὁμολογηθεῖσι, σαφηνίσαι τὸν λόγον, ἀποδοῦναι δὲ καὶ τὴν διάνοιαν τοῦ λογισμοῦ. γυναικεῖον οὖν μεμνημένου ῥοῦν τοῦ Ἱπποκράτους, τρεῖς φαίνονται τρόποι σημαινόμενοι. λέγεται γὰρ γυναικεῖον μόριον, μήτρα, ὄρχις, τράχηλος, αἰδοῖον. λέγεται γυναικεῖον καί τι περὶ ταῦτα τὰ μόρια πάθος, ἡ ὑστερικὴ ἄπνοια. 5) λέγεται καὶ γυναικεῖον ἔργον, οὐ περὶ ἁφῆς τῆς ποιούσης ἀσχολεῖσθαι τὰς γυναῖκας οἷον ἱστὸν 6) ἢ ἠλακάτην, ἀλλὰ τὴν σύλληψιν, τὴν κυοφορίαν, τὴν

---

1) ἐδεξόμεθα Codd. 2) ἁπλῷ L. 3) Codd. γυμνᾶσθαι. 4) ἴῃ om. L. A. ἐπίδοι A. 5) aut mensium retentio add. C. 6) ἢ εἰλεκάτην Codd.

1) ἀπότεξιν, τὴν γαλουχίαν, πρό γε πάντων τὴν ἔμμηνον κάθαρσιν. καλῶς δὲ εἶπον πρὸ τούτων. ταύτης γὰρ εὐημερούσης, καὶ αἱ ἄλλαι προέρχονται. εἰ γὰρ καθαίρεται κατὰ λόγον ἡ μήτρα ἐν τῇ συλλήψει, 2) ὡς κατά τινος ἐραστοῦ ἔρχεται κατὰ τοῦ σπέρματος, καὶ ξηροτέρα οὖσα σφίγγει τὸ σπέρμα· ἐντεῦθεν καλῶς ἡ κυοφόρησις, καὶ ἄφθονον τὸ γάλα. περὶ ταύτης οὖν τῆς καθάρσεως νῦν διαλέγεται· ταύτην γὰρ ἐκάλεσε γυναικεῖον. λέγει γὰρ καὶ 3) ὑδαταινούσῃσι. καί τινες μὲν λέγουσι τὰς ἐχούσας ὕδερον· τοῦτο δὲ οὐκ ἔστιν· ἀλλὰ τὰς ἐχούσας ὀρωδέστερον καὶ ψυχρότερον καὶ ὑγρότερον καταμήνιον, ὑδαταινούσας. καὶ πάλιν τινὲς λέγουσιν ἐπὶ τῶν παρὰ φύσιν. τὸ γὰρ ἀληθὲς, ἐπὶ τῶν κατὰ φύσιν. εἰ γάρ ἐστι ψυχρότερον καὶ ὑγρότερον τὸ καταμήνιον, φανερὸν ἐκ τῆς κράσεως καὶ ἡλικίας καὶ ἕξεως καὶ χροιᾶς. πάντα μὲν γὰρ περὶ 4) ὀνομάτων λέγει ὁ Ἱπποκράτης, ὅτι εἰ καθαίρεται ἡ γυνὴ ψυχρότερον καὶ ὑγρότερον περίττωμα, ὡς ἐπιπολὺ 5) καθαιρεῖσθαι. τὸ γὰρ ἐπιπολὺ, ἢ πρὸς τὰς ἡμέρας ἀντὶ τοῦ μὴ δύο ἡμέρας μόνας ἢ τρεῖς, ἀλλὰ πλείονας, ἢ καὶ πρὸς τὰς ἡλικίας πάντῃ, τοῦ μὴ ἄχρι μόνης τῆς ἀκμῆς, ἀλλὰ καὶ περὶ τῆς παρακμῆς. εἰ γὰρ ἐπισχεθῇ τὸ καταμήνιον, οἴδημα ποιεῖ περὶ τὸ πρόσωπον, ὃ τὴν ὑδερικὴν διάθεσιν ἐργάζεται. καὶ νῦν αὕτη, ἢ ὅτι ψυχρὸν τὸ καταμήνιον ψύχει τὴν θερμασίαν, ἢ ὅταν τῷ πλήθει καταβαρῇ 6) καὶ καταπνίγῃ. μεμαθήκαμεν γὰρ ὅτι καὶ ἀθρόα φορὰ καὶ ἀθρόα ἐπίσχεσις ψύχει, κένωσις μὲν τῇ διαφορήσει, ἐπίσχεσις δὲ τῷ πλήθει καὶ τῷ ψύχει.

ζ'. Καὶ ἐν Κρανῶνι αἱ παλαιαὶ ὀδύναι ψυχραί· αἱ γὰρ νεαραὶ θερμαὶ, 7) αἱματίαι αἱ πλεῖσται καὶ τὰ ἀπὸ ἰσχίου ψυχρά. —

Κρανὼν μέν ἐστιν ὄνομα πόλεως. νῦν διαλέγεται Ἱπποκράτης περὶ ἐπιδήμου ἢ σποραδικοῦ 8) ὀνόματος. εἰ

---

1) ἀπόδειξιν L. 2) bonam emittet genituram C. male. 3) ὑδαταίνουσι Codd. 4) menstrua purgatione C. 5) Fort. καθαίρεσθαι, quod C. legit. 6) καὶ] γὰρ L. 7) αἵματι δὲ πλ. Codd. 8) Fort. νοσήματος. morbo C.

*γὰρ ἦν σποραδικὸν τοῦτο, ἦν ἀνάξιον νόσημα 1) μεγάλου μέλους ἢ ἄλλου τινὸς μορίου μερικοῦ παθόντος· ἐπειδὴ καθόλου λέγει ἐν Κρανῶνι, περὶ ἐπιδήμων μᾶλλον. λέγει οὖν ἱστορηκέναι ἐκεῖ Ἱπποκράτης νέας καὶ παλαιὰς ὀδύνας. καί τινες καταγελάστως ἐξηγήσαντο. ἐπειδὴ Ἱπποκράτης πρὸς ὑπόμνησιν αὐτοῦ ταῦτα ἐν διφθέραις 2) ἀπετίθετο, νέας μὲν λέγει ἃς πρὸ ὀλίγου εἶδε, παλαιὰς δὲ, ἃς πρὸ πολλοῦ χρόνου. 3) ἡμεῖς δὲ ἃ πρὸ πολλοῦ φαμεν, ὅταν τὴν ταχέως γινομένην ὀδύνην καὶ ταχέως παυομένην, νέαν λέγει, 4) τὴν δὲ ἀναμένουσαν πλείονα χρόνον, παλαιάν. πᾶσαι δὲ, ἀπὸ αἵματος, ἀλλὰ διαφόρου· αἱ μὲν γὰρ νέαι, ἀπὸ θερμοτέρου καὶ λεπτοτέρου, αἱ δὲ παλαιαὶ, ἀπὸ μελαγχολικωτέρου καὶ παχυτέρου. λέγει δὲ ἱστορηκέναι καὶ ψυχρὰ τὰ περὶ τὸ ἰσχίον, τουτέστι τείνοντα τὸ ἰσχίον, διάθεσιν τὴν ἀπὸ φλέγματος γινομένην. ἀλλ᾽ ὅταν γένηται περὶ τὸ ἰσχίον ψυχρὰ διάθεσις, ζητητέον πῶς γίνεται· οὐδὲν γὰρ 5) ἄτοπον ἀπὸ θερμασίας αὐτὴν γίνεσθαι, εἰ ἀναμνησθῶμεν τοῦ πρώτως καὶ κατὰ συμβεβηκός. πολλάκις γὰρ γίνεται περὶ τὸ ἰσχίον 6) * θέσει δυσκρασίᾳ, ἀλλ᾽ εὑρηκυῖα ψυχρὸν χυμὸν ἀνέλυσεν αὐτὸν, καὶ οὕτως πέμψας ἀτμοὺς ψυχροὺς, δέδωκεν ἔννοιαν ψύξεως ἐμφωλευούσης, ὥσπερ καὶ τὸ ἐναντίον, ψύξις ἐπεγένετο· πυκνώσασα δὲ τοὺς πόρους, θερμασίας δέδωκε συναίσθησιν. οὕτω καὶ ἐνταῦθα παρεσφάλη ἡμῖν τὰ τῆς θεραπείας. ὥσπερ γὰρ ἐπὶ τοῦ στομάχου χολὴ πλεονάζουσα καὶ διὰ τῶν ψυχόντων ὀφείλουσα θεραπευθῆναι, δέδοται τροφὴ καὶ οὐκ ἐπέφθη· ἦν γὰρ καταβληθεῖσα ἐκ τοῦ χυμοῦ ἡ δύναμις, ἡ δὲ ἀπεπτηθεῖσα φλεγμάτων δέδωκεν αἴσθησιν. οὕτως καὶ ἐνταῦθα πολλοὶ τοῖς διὰ κυμίνου καὶ ἀνίσου χρησάμενοι, ηὔξησαν τὰ τοῦ φλέγματος, ὀφειλόντων διὰ ψυχροῦ ὕδατος πόσιν σβέσαι τὴν χολήν. τοῦτο δὲ ἔπαθον, μὴ ζητήσαντες, τί τὸ πρώτως καὶ τί τὸ κατὰ συμβεβηκὸς, ὥσπερ φησὶ καὶ ὁ Γαληνὸς, ὅτι τὰ πνεύματα γίνονται ἐν τῇ γαστρὶ, τοῦ κατὰ φύσιν θερμοῦ*

---

1) *μεγλ᾽ μέλους* Codd. dignus magno membro C. 2) *ἀπετέθετο* L. 3) At nos longe aliter, scilicet, dolorem celeriter etc. C. Fort. *ὅτι* loco *ὅταν*. 4) *τὰ* L. 5) *ἄτομον* L. 6) calida C. *θρεμή*.

μειωθέντος. μειοῦται δὲ ἢ ἄντικρυς ἀπὸ ψύξεως ἢ ἀπὸ παρὰ φύσιν θερμασίας. ταῦτα οὖν ἅπαντα ζήτησον· ὑπαλλάττουσι γὰρ τὰ μέρη κατὰ τὴν θεραπείαν.

η΄. Τὰ ἐς ῥίγεα 1) ἰσχυρὰ ἰόντα οὐ πάνυ τι πρηΰνει, ἀλλ' ἢ ἐν ταῖς ἀκμαῖς. —

Περὶ ῥίγους ἐνταῦθα διαλέγεται. ῥῖγος δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ περίψυξις καὶ κλόνος. τοιοῦτον δὲ προηγεῖται μάλιστα τριταίου. ἀλλὰ περίψυξις μὲν, ὅταν δακνομένης τῆς φύσεως καὶ φευγούσης εἰς τὸ βάθος περιψύχεται τὰ ἄκρα· κλόνος δὲ, ὅταν δακνόμενα τὰ μόρια τοῦ σώματος ἐκ τῆς δριμείας χολῆς κλονεῖται. ἔστι δὲ τὸ ῥῖγος τριταῖον, τὸ μὲν προηγούμενον, ὡς ἐπὶ τοῦ τριταίου, τὸ δὲ συνεδρεῦον, ὡς ἐπὶ τοῦ ἠπιάλου. οὗτος γὰρ γίνεται ἐξ ὕλης ἡμισαποῦς, καὶ τὸ μὲν σεσηπὸς ποιεῖ τὸν πυρετὸν, τὸ δὲ ἀσαπὲς ποιεῖ τὸ ῥῖγος. ἔστι καὶ μετὰ πυρετοῦ, ὅταν προσδοκωμένης κρίσεως, ἀποδιώκηται ἡ ὕλη ἀπὸ τοῦ βάθους περὶ τὴν ἐπιφάνειαν, καὶ παριοῦσα δάκνει. περὶ τούτου νῦν διαλέγεται. περὶ γὰρ τοῦ ἀνεκθερμάντου νῦν οὐ γίνεται 2) μνήμη. καὶ ταῦτα μὲν οὕτως. ἰστέον δὲ ὅτι πολλάκις 3) οὐ γίνεται ἐν ἀρχῇ τούτου τριταῖος· τὸ γὰρ ἐν τέλει, μελαγχολικοῦ. ἐν γὰρ τῇ ἀρχῇ τοῦ τριταίου, χαλεπὸν τὸ ῥῖγος, πολλὴ ταραχή· μέλλει γὰρ ὅσον οὔπω γενέσθαι κρίσις. ἐν δὲ τῇ ἀρχῇ τοῦ τεταρταίου, ῥῖγος μὲν γίνεται, καὶ τοῦτο ὡς τὸ κοπῶδες μικρὸν καὶ ἀναίσθητον· τῷ δὲ ἑβδόμῳ εἴσω μηνὶ, ἄρχεται ἐπιτείνεσθαι τὰ τοῦ κόπου καὶ τοῦ ῥίγους· διὸ καὶ ἀγαθὸν σημεῖον. γινώσκεις γὰρ ὅτι τότε ἤρξατο λεπτύνεσθαι τὸ πάχος τοῦ χυμοῦ, καὶ ἀρξάμενον φέρεσθαι ἐπὶ τὰ ἔξω, δάκνει καὶ ποιεῖ τὸ ῥῖγος. τοῦτό ἐστὶ τὸ λεγόμενον ὑπὸ Ἱπποκράτους. καὶ διὰ τοῦτο ὑπερβατῶς ἀναγινώσκεσθαι χρὴ, ὅτι τὰ νοσήματα ἰσχυρὰ ἔχοντα ῥίγη, τουτέστι τὰ χρόνια. καὶ ἵνα σαφὴς ὁ λόγος γένηται, οὕτως αὐτὸ δεῖ νοῆσαι, ὅτι τὰ νοσήματα οὐ πάνυ τοι πρηΰνεται, εἰ μὴ ὅτε ἔλθοι ἰσχυρὸν ῥῖγος, ὅπερ γένηται ἐν τῇ ἀκμῇ.

---

1) ἰσχυρὰ om. Codd. 2) μνήμην L. 3) Negat. om. C.

θ'. Αἱ σχέσιες τῶν οὔρων ἢν ἐς χρηστὸν ἴωσι καὶ κοιλίη μὴ 1) ὑποδιέλθῃ καὶ ὕπνοι ἢν ἔωσιν. ἴσως δὲ καὶ ὁ τρόπος τοῦ πυρετοῦ, ἴσως δὲ καὶ τὰ ἐς κόπον. —

Περὶ οὔρων ἐπεχομένων διαλέγεται. ἐπέχεται δὲ τὸ οὖρον ἢ δι' ἔμφραξιν τῶν οὐρητικῶν ὀργάνων, ἢ δι' ἀσθένειαν δυνάμεως αὐτῶν, ἢ διὰ παραφροσύνην, ὡς πολλάκις αἰτεῖν αὐτοὺς ἀμίδα καὶ ἐπιλανθάνεσθαι, καὶ διὰ τὰς ἄλλας κενώσεις. ἡ γὰρ φύσις τρεῖς δέδωκε πέψεις τῷ παντὶ σώματι, καὶ ἑκάστῃ ὑπόνομον. πεττομένης γὰρ τῆς τροφῆς ἐν γαστρὶ, τὴν κόπρον κενοῦσι τὰ ἔντερα. τοῦ δὲ χυμοῦ μεταβαλλομένου ἐν τῷ ἥπατι, κενοῦται τὸ οὖρον. ἑκάστου δὲ μέρους τρεφομένου, ἱδρὼς τὸ περίττωμα προχεῖται. εἰ οὖν ἐνεχθῇ πολλὴ κένωσις μιᾶς κενώσεως, αἱ ἄλλαι ἐνδεῶς φέρονται· εἰ δὲ ἐνεχθῇ πολὺ οὖρον, ἐκεῖ δραμόντων τῶν πολλῶν περιττωμάτων, αἱ ἄλλαι δύο κενώσεις οὐ κενοῦσι πολὺ, ὅθεν καὶ εἶπεν ὁ ἀφορισμός· — οὔρησις νύκτωρ πολλὴ γινομένη μικρὰν τὴν ὑποχώρησιν σημαίνει. ταῦτα μὲν περὶ οὔρων.

Ἡ δὲ ὑπόθεσις τοιαύτη. εἰσέρχῃ πρὸς τὸν ἄῤῥωστον, πρὸ πάντων ζήτησον, εἰ ὀλέθριον ἢ σωτήριον εἴη τὸ νόσημα ἐκ τῶν εἰρημένων ἐν τῷ προγνωστικῷ. εὑρὼν ὅτι σωτήριον, καὶ ἆρα κατὰ βραχὺ συμπέττεται, ἢ ἀθρόως κρίνεται· εὑρὼν δὲ ὅτι ἀθρόως κρίνεται, ἀθρόως κρίνεται δι' ἀποστάσεως, ἢ δι' ἐκκρίσεως. ζήτει λοιπὸν διὰ ποίας 2) αἰτίας, διὰ ἱδρῶτος, διὰ γαστρὸς ἢ δι' οὔρων. ἐν γοῦν τῷ ταῦτα ζητῆσαι, λέγει ὁ κάμνων, τὸ οὖρόν μου οὐ φέρεται, ἡ γαστήρ μου ἐπέχεται. ἀκούω δὲ καὶ ἄλλου σημείου· λέγει γὰρ, ῥιγῶ· ἀγαθαὶ αἱ ἐλπίδες ἐντεῦθεν· ἡ γὰρ ὕλη φερομένη περὶ τὴν ἐπιφάνειαν δάκνει, καὶ σφοδρὸν τὸ ῥῖγος τοῦτο κριτικόν ἐστιν. ἔγνωμεν οὖν ὅτι καὶ δι' ἱδρώτων ἀπαλλαγὴ γίνεται. ἐπειδὴ δὲ τὸ οὖρον προνοίᾳ φύσεως ἢ κακοηθείᾳ νοσήματος ἐπείχετο, αὐτὸς δέδωκε τὸν προσδιορισμὸν, ἢν 3) αἴσχιστον ἴωσιν. ἀλλ' εἰ μὲν ἔχει ὦ σ ι ν, ἀντὶ τοῦ ἐκ τῶν προτεθέντων οὔρων. εἰ γὰρ ἔχει ἴ ω σ ι, ἀντὶ τοῦ

1) ὑποδιελύθῃ L. 2) vias C. ὁδούς. 3) εἰς χρηστὸν legit C. recte.

ὑπάρχοιεν οἱ πάσχοντές φησιν, ὅτε προηγήσατο ἀγαθὰ σημεῖα, τὰ ἀπὸ κατακλίσεως, τὰ ἀπὸ τοῦ προσώπου καὶ τοῦ σφυγμοῦ. ἔστι δὲ καὶ ἄλλο σημεῖον, ἀπὸ τοῦ ὕπνου. μᾶλλον γὰρ ὀφείλει εἶναι ἀγρυπνία, 1) ὅπου ἀγὼν, ὅπου τὰ νοσοποιὰ αἴτια. τὸ δὲ ἀληθὲς, οὕτω λέγει, ὅτι τὰ προηγησάμενα δύναται δηλῶσαι, εἰ διά τι χρηστὸν ἐπέχεται τὸ οὖρον· ἀλλ' οὐ μόνα ταῦτα, ἀλλὰ καὶ ἡ εὐφορία. ὕπνου δὲ μόνου ἐμνημόνευσε. δυνατὸν δέ σε καὶ ἐκ τοῦ τρόπου τοῦ νοσήματος γνῶναι. εἰ γὰρ εὔηθες τὸ νόσημα, μᾶλλον προνοίᾳ φύσεως οὐ κενοῦται τὸ οὖρον· εἰ δὲ κακόηθες, μᾶλλον διὰ τὴν αὐτοῦ κακοήθειαν. τὸ δὲ νόσημα δύναταί σοι δηλῶσαι, εἰ οὐ κενοῦται τὸ οὖρον, ποία μέλλει γενέσθαι κρίσις. εἰ γὰρ μὴ διαλείπων ὅπου ἐπαιδεύθη ἡ ὕλη ἔσω τῶν ἀγγείων μένειν, ἔνθεν καὶ διὰ τῶν ἔσω κενωθήσεται, ἢ γὰρ διὰ γαστρὸς, ἢ διὰ οὔρων. ζήτει δὲ καὶ τὰ προκαταρκτικὰ αἴτια τῶν αἰτίων, 2) διάφορον ποιοῦντα κένωσιν. εἰ γὰρ ὅπου γέγονεν ἀπὸ ἡλίου καύσαντος, μᾶλλον δι' ἱδρώτων ἡ κένωσις. ἐπυκνώθησαν γὰρ οἱ πόροι, ἐπαχύνθη ἡ ὕλη, ἥτις κάτω βρίθουσα διὰ γαστρὸς ἢ οὔρων κενωθήσεται. πολλῶν δὲ ὄντων προκαταρκτικῶν αἰτίων, παράδειγμα κόπος. ἴσως δὲ καὶ τὰ εἰς κόπον. τὸ ἴσως οὐκ ἔστι διστακτικὸν πάντως, ἀλλὰ ἐν διφθέραις ἀποσημειούμενος, οὐ πάντως ἀποφαίνεται.

ι. Ἀποστάσιες οὐ μάλα σὺν ῥίγεσιν, ἀλλ' οἷς ἐκ τῶν σκελέων ἐκθηλύνσιες, οἷον εἰ πρὸ νούσου ὁδοιπορήσαντες, ἐκ νόσου αὐτίκα, ὅτι ἶσον τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέστη, διὸ καὶ τῶν σκελέων ἐκθηλύνσιες. —

Ταύτης πάλιν ἔχεται τῆς ὑποθέσεως. εἰσῆλθε γὰρ πρὸς ἄῤῥωστον, εὗρε σωτήριον τὸ νόσημα καὶ κρινόμενον, οὐ λυόμενον. ζητεῖ λοιπὸν πῶς κριθήσεται. καὶ οὐδαμοῦ νοτὶς, ἵνα προσδοκήσῃ ἱδρῶτας, οὐδαμοῦ διάτασις γαστρὸς, ἵνα προσδοκήσῃ διάῤῥοιαν. εὗρε πάντως ὅτι ἀπόστασις γίνεται. λοιπὸν ζητῶ, ποῦ ἔσται ἡ ἀπόστασις. καὶ ἐν τῷ 3) με ζητεῖν, λέγει μοι ὁ κάμνων, πρὶν ἀῤ-

1) ὕπου L. 2) διάφορα L. 3) μοι Codd.

ῥωστήσω, πολλὰ περιεπάτησα καὶ ἤλγησά μου τοὺς πόδας. ἐκ τούτου γοῦν ἔγνων, ποῦ ἔσται ἡ ἀπόστασις, ὅτι παρὰ τοὺς πόδας ἤτοι τὰ ἄρθρα, πρῶτον μὲν ὅτι κοῖλα, τὸ δὲ κοῖλον, ῥευμάτων δεκτικόν· πρὸς δὲ τούτοις, ἐκ τῆς κινήσεως· θερμασία γὰρ ῥευμάτων προκλητική· πρὸς τούτοις, ἐξεθηλύνθησαν τῇ κενώσει· ἐκθήλυνσις δὲ, ἡ ἀσθένεια. γεγονότα οὖν ἀσθενῆ, προκαλοῦνται ῥεύματα. 1) ἑκάστου τῶν πάντων ἔγνων, ὅτι ἐκεῖ ἔσται ἡ ἀπόστασις. ἐντεῦθεν δύο ἀσθενείας τὸ μόριον ἐκτήσατο, μίαν μὲν ἐκ τῆς ὁδοιπορίας, ἑτέραν δὲ τὴν ἀπὸ τοῦ ῥευματισμοῦ. μία αὕτη ἡ ὑπόθεσις. ἑτέρα λέγουσά μοι, ποῦ ἔσται ἡ ἀπόστασις· ὑπόκειται γάρ που. καὶ ἐπὶ τούτῳ γέγονε κρίσις, ἀλλ' ἀτελής. τότε λέγομεν ὅτι ὀφείλεις κατὰ τρόπον παιδαγωγηθῆναι, καὶ οὐ παλινδρομήσει τὸ νόσημα. ταῦτα μὲν οὖν εἴπομεν, οὐκ ἐγένετο δὲ, ἀλλὰ διὰ τὴν περίστασιν ἐκινήθη· πολλὰ περιεπάτησε· πάλιν τὰ αὐτά. παρὰ τὰ ἄρθρα γὰρ ἔσται ἡ ἀπόστασις. διὸ καὶ εἶπεν ὁ ἀφορισμός· — οἷσιν ἂν ἐκ νούσων ἀνισταμένοισι στηρίζει ἡ νοῦσος, ἐκ νόσου αὐτίκα. ἐπειδὴ εἶπεν ὅτι μετὰ τὴν νοῦσον, μὴ ἐάσῃς αὐτὸν κινηθῆναι. * 2) τῇ οὖν παιδαγωγεῖν αὐτῷ ἤμελλες λέγειν, καὶ ἀεὶ περιΐστασθαι. διὰ τοῦτο προσέθηκε τὸ αὐτίκα. διὸ καὶ τῶν σκελέων ἐκθηλύνσιες. ἀσαφὲς δοκεῖ τοῦτο, πλὴν διὰ σαφήνειαν προσέθηκε τὸ αὐτίκα, ἑτέραν δὲ τὴν ἀπὸ τοῦ ῥευματισμοῦ, ἣν νῦν λέγει.

ια'. **Φύματα ἐξογκέοντα ἀποξέα καὶ κορυφώδεα καὶ ὁμαλως ξυμπεπαινόμενα καὶ μὴ περίσκληρα καὶ μὴ καταῤῥοπα καὶ τὰ μὴ δίκερα 3) ἀγαθὰ, τὰ δ' ἐναντία 4) ἀγαθὰ, τὰ δὲ ὡς πλεῖστον ἐναντία, κακά.** —

Καθὼς ἠλπίσαμεν μέλλουσαν ἔσεσθαι ἀπόστασιν, καὶ ἐγένοντο ἔξω ἐξανθήματα. ταῦτα δὲ 5) ἐπεὶ ἀναλογίαν

1) Fort. ἑκάστῳ. 2) tu eum gubernans dicere posses C. συ οὖν παιδαγωγῶν legit C. παιδαγωγῆν L. ἤμελλεν L. Locus corruptus. Hunc in modum sanaverim: δεῖ οὖν παιδαγωγεῖν, αὐτῷ ἤμ. λέγειν, καὶ ἀεὶ περιΐστασθαι; 3) ἀμείνω Hipp. 4) κακὰ Hipp. 5) ἐπειδὴ A.

σώζουσι τοῖς ἐν γῇ φυομένοις, καθὰ καὶ ἐκ τοῦ βάθους ἔρχονται παρὰ τὴν ἐπιφάνειαν, καλείσθωσαν φύματα. ταῦτα οὖν διέγνωμεν, εἴτε ἀγαθά εἰσιν εἴτε κακά· πρότερον οὖν εἰ ἐπὶ τὰ ἔξω πάνυ ἔλθωσι, σημεῖον τοῦτο ἐῤῥωμένης δυνάμεως, ἐλευθερωσάσης τὸ βάθος, ὑβρισάσης δὲ τὴν ἐπιφάνειαν. πρὸς τούτοις δὲ, μὴ ἔστωσαν πλατέα, ἀλλ᾿ ὀξέα. ταῦτα γὰρ ὁ ἰατρὸς ὁρῶν ἐπιπολῆς γινόμενα, μᾶλλον θεραπεύει ἢ τὰ ἐν βάθει διήκοντα. τὰ γὰρ πλατέα ἀπὸ φλεγματικοῦ γίνονται χυμοῦ, τὰ δὲ ὀξέα ἀπὸ χολῆς τρεχούσης ἐπὶ τὰ ἔξω. χολὴν δὲ λέγω, ἣν βαστάζει ἡ φύσις ἤπερ φλέγμα, διὰ τὸ λεπτὸν 1) ἀκίνητον. πάλιν μὴ ἔστω τὸ μὲν σκληρὸν, τὸ δὲ ἁπαλόν. ἀνώμαλον γὰρ σημεῖον καὶ ἀσθενεστέρας δυνάμεως, μὴ κατακρατησάσης ὁμοτίμως· ἔστω δὲ ὅλον ἁπαλόν· σημεῖον γὰρ τοῦτο πέψεως. ἔστω πάλιν ἐπὶ τὰ ἄνω ἢ κάτω νεῦον. ἄνω γάρ ἐστι τὰ κύρια μόρια, δύναμις δὲ ἐῤῥωμένη εἰς τὰ ἀσθενῆ ἀποδιώκει. πρὸς τοῦτο μὴ ἐχέτω δύο στόματα, μεριζομένης τῆς φύσεως ἐξ ἀσθενείας, ἀλλ᾿ ἓν ἵν᾿ ἐκεῖ σχολάσῃ ἡ φύσις. καὶ πάντα μὲν ταῦτα ἀγαθὰ, ἅπαντα δὲ κακὰ μὴ οὕτως ἔχοντα. καὶ εἰ τὰ μὲν 2) παρῇ, τὰ δὲ ἀπῇ, ἃ ἐν τῷ μέσῳ, γίνονται διαφοραί. οἶδε γὰρ Ἱπποκράτης καὶ ἔμμεσα ἐναντία.

ιβ΄. Τὸ θηριῶδες φθινόπωρον, καρδιαλγίαι καὶ τὸ φρικῶδες καὶ τὰ μελαγχολικά. —

Πολλῶν ζητουμένων λόγων ἐν τῷ σώματι, ζητεῖ καὶ τὰ ἔξωθεν τὰ ἀπὸ τοῦ ἀέρος. τεσσάρων ὄντων καιρῶν, ζητεῖ ποῖα νοσήματα τὸ φθινόπωρον ποιεῖ, καὶ διὰ τοῦτο, ποία ὕλη τίκτει χυμὸν, καὶ διὰ τοῦτο, ποῖος λόγος ποιεῖ τὴν κρᾶσιν, καὶ ποίας κράσεως. τὸ τοίνυν φθινόπωρον ξηρὸν μέν ἐστιν, ἀνώμαλον δὲ κατὰ τὴν ἑτέραν ἀντίθεσιν. διεδέξατο δὲ θερμὴν ὥραν, ἐν ᾗ πολλὴ γεννᾶται χολὴ, ἀλλ᾿ ὥσπερ ἐγεννᾶτο, καὶ διεφθείρετο ἤγουν διεφορεῖτο. ἐνταῦθα δὲ ἐγεννήθη ἀπὸ τοῦ θέρους, ἀπεκλείσθη δὲ ἀπὸ τοῦ φθινοπώρου. ὅθεν τὸ φθινόπωρον

---

1) mobilitatem C Fort. εὐκίνητον. Fort. etiam deest μᾶλλον ante βαστάζει. 2) παρεῖ — ἀπεῖ Codd.

τὰ μὲν δι᾽ ἑαυτοῦ, τὰ δὲ διὰ τὴν προλαμβάνουσαν ὥραν ποιεῖ νοσήματα. ἀλλ᾽ ἤρξατο ὁ Ἱπποκράτης καὶ ἐτελεύτησεν ἐκ τῶν πρεπόντων τῷ φθινοπώρῳ, ἐν δὲ τῷ μέσῳ τοῦ θέρους θηριώδη νοσήματα ποιεῖ τὸ φθινόπωρον. θηριώδη οὖν λέγει τὰ ἁπλῶς κακοήθη. ἐν τούτοις γὰρ ἐλεφαντίασις καὶ καρκῖνοι· ἢ θηριώδη, ὅτι ἐν αὐτῷ οἷον θηρία γίνονται, ἕλμινθες, ἀσκαρίδες. ἢ θηριώδη λέγει, ὅτι ὡς θηρία ποιεῖ τοὺς ἀνθρώπους. εἰ γὰρ τύχοι ἕλκος γενέσθαι ἐν τῷ πνεύμονι, ἢ διαβρωθέντος αὐτοῦ ἐν τῷ θέρει, χολὴ ἐξέρχεται τὸ φθινόπωρον, καὶ τῇ ἀνωμαλίᾳ καταλύει τὴν φύσιν, ἔνθα πτερυγώδεις οὗτοι γίνονται καὶ θηρίοις ἐοικότες. καὶ ἁπλῶς εἰπεῖν, τὰ μελαγχολικὰ νοσήματα ἐν τούτῳ γίνονται, δῆξις τοῦ στομάχου καὶ φρίκη, διὰ τὴν προθησαυρισθεῖσαν ἐκ τοῦ θέρους χολήν.

ιγ΄. Πρὸς τὰς ἀρχὰς τοὺς παροξυσμοὺς σκέπτεσθαι καὶ ἐν πάσῃ τῇ νούσῳ, εἰ τῇ δείλῃ παροξύνεται, ὁ ἐνιαυτὸς ἐς δείλην, ἀσκαρίδες. —

Ἀνωτέρω Ἱπποκράτης περὶ τῶν ἐν τῷ σώματι 1) διελέχθη, ἔναγχος δὲ περὶ τῶν ἐκτὸς τοῦ σώματος, νῦν δὲ μεμιγμένον ποιεῖται τὸν λόγον, ὅτι ὀφείλεις εὐθὺς ἐν τῇ ἀρχῇ τοῦ νοσήματος 2) τοὺς παροξυσμοὺς, διὰ πόσων εἰσβάλλουσιν, οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν παντὶ νοσήματι. ζήτησον δὲ καὶ αὐτὸν τὸν μερικὸν παροξυσμὸν, εἰ εὐθὺς ἄρχεται, ἀναβαίνει, ἀκμάζει, παρακμάζει. ταῦτα γὰρ χολῆς σημεῖα, τὸ δὲ ἀναμένειν ἐπὶ πλείονα χρόνον, παχέος χυμοῦ. τοὺς δὲ παροξυσμοὺς δηλοῦσιν αἱ ἀρχαὶ, οὐ μόνον τοῦ παντὸς ἐνιαυτοῦ, ἀλλὰ καὶ τῆς μιᾶς. εἰς τέσσαρας γὰρ διαιρεῖται τροπὰς ὁ ἐνιαυτός· αἱ δὲ τροπαὶ οὐ τοῖς ὀνόμασιν, ἀλλὰ ταῖς κράσεσι δρῶσιν. ἔστι γὰρ τὸ μὲν ἔαρ εὔκρατον, τὸ δὲ θέρος θερμὸν καὶ ξηρὸν, τὸ δὲ φθινόπωρον ξηρὸν καὶ ψυχρὸν καὶ ἀνώμαλον, ὁ δὲ χειμὼν ψυχρὸς καὶ ὑγρός. ἀλλ᾽ ὥσπερ ὁ πᾶς ἐνιαυτὸς, οὕτως καὶ τὸ νυχθήμερον τὰς τέσσαρας μιμεῖται τροπὰς, καὶ τὸ μὲν ἑωθινὸν κατάστημα ἀναλογεῖ τῷ 3) ἔαρι· εὔ-

1) διειλέχθη Codd. 2) sc. σκέπτεσθαι. 3) ἀέρι L.

κρατον γάρ· ἡ δὲ μεσημβρία, θερμὴ οὖσα καὶ ξηρὰ, τῷ θέρει, ἡ δὲ δείλη, ποτὲ μὲν θερμαίνουσα, ποτὲ δὲ ψύχουσα, 1) τὸ φθινόπωρον, ἡ δὲ νὺξ, ψυχροτέρα οὖσα καὶ ὑγροτέρα, τῷ χειμῶνι. ζήτησον οὖν τὰ ἐξ αἵματος, ὡς ἐν ἔαρι ἐπὶ τὸ πλεῖστον εἰσβάλλει, τὰ δὲ ἀπὸ χολῆς ἐν θέρει, τὰ δὲ μελαγχολικὰ ἐν φθινοπώρῳ, τὰ δὲ ἀπὸ φλέγματος ἐν χειμῶνι. ταῦτα καὶ περὶ τῶν μερικωτέρων. συνάγχαι γὰρ εἰσβάλλουσι περὶ τὸ ἑωθινὸν κατάστημα, ἴκτεροι δὲ περὶ τὸ μεσημβρινὸν, περὶ δὲ τὴν δείλην ἀσκαρίδες, 2) ὕδεροι δὲ τὰς νύκτας. 3) ἐκ τούτων δὴ πάντων ἔλαβε τὸ, ἐς δείλην ἀσκαρίδες. ἡ γὰρ δείλη ἀναλογεῖ τῷ φθινοπώρῳ, προσεχῶς δὲ περὶ τὸ φθινόπωρον πέπαυται.

ιδ΄. Νηπίοισι βηχία σὺν γαστρὸς ταραχῇ καὶ πυρετῷ ξυνεχεῖ σημαίνει μετὰ κρίσιν διμηνιαίαν τὸ σύμπαν ἢ εἰκοστὴν καὶ οἰδήματα ἐς ἄρθρα. —

Πάλιν περὶ ἄλλου λέγει ὁ Ἱπποκράτης, οὗ ἡ μὲν λέξις σαφὴς, ἡ δὲ διάνοια ψευδής. λέγει γὰρ ὅτι τοῖς παιδίοις, νήπια γὰρ καλεῖ τὰ ὑποτίτθια, τούτοις εἰ γένηται βὴξ καὶ διάῤῥοια καὶ πυρετὸς, σημείωσαι 4) ὅτι τῇ εἰκοστῇ παρὰ τὰ ἄρθρα ἐγένοντο αἱ ἀποστάσεις καὶ ἐπὶ ταύτῃ τῶν προηγησαμένων λύσις. καὶ λέγει ὁ Γαληνὸς, ὅτι οὐχ ἱστορεῖται τοῦτο ἐπὶ τῶν ἔργων τῆς τέχνης, ἔνθεν οὐδὲ λογισμὸν ἀποδίδωμι. καὶ ὅτι γὰρ λέγει διμηναίῳ καὶ εἰκοσταίῳ, τοῦτο πῶς; λέγει οὖν ἄρα ἀπὸ τῆς τεσσαρακοστῆς ἕως τῆς ἑξηκοστῆς ἡμέρας ἄρχεται κινῆσαι. καὶ λέγει ὅτι οὐ λέγει εἰκοσταῖα, ἀφ᾽ ἧς ἡμέρας ἐτέχθησαν, ἀλλ᾽ ἐξ ἧς ἤρξαντο πυρέσσειν ἢ βήσσειν. ἐπειδὴ γὰρ παρὰ τὰ ἄρθρα ἀπόστασις ἀπὸ φλεγματικωτέρου γίνεται, καὶ χρόνιον ἔσται τὸ νόσημα, τὰ δὲ χρόνια παρὰ τὴν τεσσαρακοστὴν ἢ ἑξηκοστὴν ἢ ὀγδοηκοστὴν κρίνεται. διὰ τοῦτο τῶν ἡμερῶν ἐμνημόνευσεν.

ιε΄. Εἰ μὲν κάτω τοῦ ὀμφαλοῦ καταστηρίζει, τὰ ἄνωθεν

---

1) Fort. τῷ φθινοπώρῳ. 2) ὕδροι L. 3) ἐκ — ἀσκαρίδες om. C. 4) ἔσται add. A.

ἐν τοῖσι κάτω ἄρθροισιν, ἀγαθόν· ἢν δὲ ἄνω, οὐχ ὁμοίως λύει τὴν νοῦσον. —

Νῦν περὶ τῶν ἐκκρίσεων θέλει διαλεχθῆναι, καὶ κρίσιν ὑποτίθεται τὴν δι' ἀποστάσεως εἰς τὰ ἄρθρα, τὴν δι' ἑλκυδρίων τε καὶ τὴν δι' αἱμοῤῥαγίας. λέγει γὰρ ὅτι χρηστή ἐστιν ἐκείνη ἡ ἀπόστασις, ὅτε ἀπὸ τῶν ἄνω ἔλθοι ἐπὶ τὰ κάτω ἡ ὕλη, κακὴ δὲ, ὅτε ἀπὸ τῶν κάτω ἄνω. ἄνω γάρ ἐστι τὰ κύρια μόρια, κάτω δὲ τὰ ἄκυρα. καλὸν δὲ ἀπὸ τῶν κυρίων φέρεσθαι τὴν ὕλην ἐπὶ τὰ ἄκυρα ἢ ἀπὸ τούτων ἐπὶ τὰ κύρια. ἄλλως τε δὲ ἡ ἀπόστασις ὡς ἐπίπαν ἀπὸ φλέγματος γίνεται, τὸ δὲ φλέγμα κάτω βαρεῖ. εἰ οὖν γένηται ἐκ τῶν ἄνω κάτω, γίνωσκε ὅτι τῷ συμφύτῳ βάρει τοῦ φλέγματος ἤνεγκεν αὐτὸ κάτω· εἰ δὲ ἀπὸ κάτω γένηται ἡ ἀπόστασις ἄνω, σημείωσαι ὅτι πολλὴ βία καὶ ταραχὴ ἐγένετο, ὡς εἰς τινὰ τόπον παρὰ φύσιν ἔλθοι τὸ φλέγμα. πάντων δὲ τῶν εἰρημένων παραδειγμάτων, ὦμος. εἰ γὰρ τῶν κατωτέρω πεπονθότων πᾶσα τῶν ἄνω ἐλθοῦσα ἡ ὕλη κατασκήψει παρα τὸν ὦμον, ἀτροφεῖ μὲν πρῶτον, πολλάκις δὲ καὶ χειρουργίας γινομένης, σχῆμα μέγα λαβὼν ὁ βραχίων τοὺς γαλιάγκωνας ἐποίησεν. οὐ πᾶσα δὲ ἀπόστασις ἀγαθὴ, ἀλλ' ὡς εἴρηται ἐπὶ περιπνευμονίας, ἵνα εἴη μεγάλη, δηλοῦσα πάντα χυμὸν ἔξω ἀποσκῆψαι, μείνῃ δὲ αὔτη ἐπὶ πλείονα χρόνον, ὡς καὶ συριγγωθῆναι· εἰ γὰρ εὐθὺς παλινδρομήσει, οὐδὲν ὠφελήσει. ταῦτα μὲν οὖν περὶ ἀποστάσεως.

Πολλάκις δὲ καὶ ἑλκυδρίου ἔκφυσις ἐποίησε λύσιν. ἀλλὰ τέως μὲν οὐ κατεκράτησε τῆς ἐννοίας ὁ Ἱπποκράτης. οὐδὲ γὰρ ἡ ἔκφυσις τοῦ ἕλκους ποιεῖ τὴν λύσιν, ἀλλ' ὅμως ὁ χυμὸς ὁ ποιήσας τὴν ἔκφυσιν τοῦ ἕλκους. εἰ οὖν γένηται ἕλκος, δύναται δι' αὐτοῦ ἐξαγόμενος χυμὸς ἀπαλλαγὴν ποιῆσαι. τὸ δὲ ἕλκος τοῦτο μὴ εἴη βαθύ· τοῦτο γὰρ σημεῖόν ἐστι κακοήθους καὶ διαβρωτικοῦ χυμοῦ, καὶ τὰ ἐν βάθει διαβιβρώσκοντος. εἰ δὲ εἴη τοῦτο περιφερὲς, οὐκ ἔχει ποῦ στῆναι ἡ φύσις, ἵνα καὶ σάρκα θρέψῃ, ἀλλ' ἔστω ἐγγώνιον, ἵνα ὑποβάθραν λάβῃ ἡ φύσις εἰς δημιουργίαν σαρκός. καὶ ἡ τρίτη δὲ κένωσις

τρόπου προσυπογέγραφεν. ἐχομένως γὰρ τὴν διὰ τοῦ ἀσκοῦ γινομένην ἐμβολὴν, καίτοι γε οὐκ εὐαρεστουμένην αὐτῷ κατὰ πᾶν, διὰ τούτων ἐκτέθειται· — εὐδοκιμεῖ δὲ καὶ ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβάλλεσθαι· καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φαυλότητος καὶ τὰ ἔξω 1) *ἐκκεκλιμένα καὶ τὰ ἐς τοὔπισθεν ἀσκῷ ἐμβάλλειν ἐπειράθησαν* 2) *οὐ γινώσκοντες ὅτι ἐξέβαλλον μᾶλλον ἢ εἰσέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ, εἰ δέοι χρέεσθαι· διαγινώσκειν δὲ χρὴ ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω. — Οὐ λίαν δὲ* 3) *ἐγκρίνων τὴν διὰ τοῦ ἀσκοῦ ἐμβολὴν, ὅμως περὶ αὐτῆς οὕτως ἀποφαίνεται· — χρὴ δὲ τὸν ἀσκὸν ἐνθεῖναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν* 4) *οἷόν τε ἀνωτάτω πρὸς τὸν περίναιον ἄνω ἀνάγοντα, ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι μέχρι τοῦ ἡμίσεως, ἔπειτα δὲ* 5) *εἰς ἕνα τῶν ποδῶν τῶν λελυμένων ἐνθέντα* 6) *αὐλὸν ἐκ χαλκείου φῦσαν ἀναγκάζειν εἰς τὸν ἀσκόν· τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι, τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν παρασκευὴ αὕτη. σκευάζονται δὲ* 7) *κάκιον οἱ πλεῖστοι ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μόνον τὰ* 8) *γούνατα, οὐδὲ κατατείνουσι. χρὴ δὲ καὶ προκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλλον ῥηϊδίου πράγματος ἐπιτυχόντες. — Ὃν τρόπον δ᾽ ἄν τις χρήσαιτο τῇ διὰ τοῦ ἀσκοῦ ἐνθέσει, τὸ ὑποτεταγμένον ὑπόδειγμα περιέχει.*

---

1) *κεκλιμένα* L. *τὰ μὴ ἐς τοὔπ.* L. *τὰ ὔπ.* F. M. 2) *οἱ* L. *γινώσκ. αὐτοῖς* L. sibi non conscii. *ἐξέβαλλεν — εἰσέβαλλεν* L. 3) *ἐκκρίνων* L. 4) *οὖν ἧτε* L. Conjeci *οἷόν τε. δύναιτο* F. M. Hipp. 5) *ἐν δυοῖν ποδεοιν ὂν τῶν λελ.* L. *ποδῶν* Cod. Laur. in Hipp. libro de articulis. P e d e s utris quattuor anguli dicuntur, caprae pedum reliquiae. Saepius in Hispania vinum huiusmodi utribus inclusum, qui pleni tumidique caprae formam referunt, a mulionibus transvehi cognovi iisque mulis impositis loco clitellarum usus sum viator. 6) *αὐλῷ χαλκίου φυσι ἐναγκάζειν* L. 7) *τάχιον* L. 8) *γώνατα* L.

Θανάσιμον δὲ καὶ τὸ περιτείνεσθαι τὰ βλέφαρα· πολλὴν γὰρ ξηρότητα σημαίνει, ὥσπερ ἐν τῷ προγνωστικῷ εἴρηται, καὶ μέτωπον καρφαλέον. εἰ δὲ σκοτίζεται ὁ ὀφθαλμὸς, πάνυ χαλεπόν· ἐδαπανήθη γὰρ τὸ ψυχικὸν πνεῦμα, ἔνθεν καὶ συμπέπτωκεν ὁ ὀφθαλμὸς, ξηρανθείσης τῆς ὀχούσης αὐτὸν ὑγρότητος καὶ ἀερώδους οὐσίας. εἰ δὲ οὕτως ὁ ὑγρὸς ὀφθαλμὸς συμπέπτωκε, τί προσδοκητέον εἰς τὰ ξηρότερα τῶν μορίων.

Χαλεπὸν δὲ καὶ τὸ ῥυτιδοῦσθαι, μὴ ἀπὸ προκαταρκτικῆς αἰτίας, ὡς ἐπὶ τῶν γερόντων, ἐπειδὴ τοῦτο ἐκείνοις οὐκ ἔστι θανάσιμον. εἰ δὲ ἐν ὀξεῖ νοσήματι ῥυτιδωθῇ ὁ ὀφθαλμὸς, χαλεπόν· σημεῖον γὰρ ξηρότητός ἐστι κακὸν, καὶ τὸ πάνυ κινεῖν ἢ πάνυ καταφέρεσθαι τὸν ὀφθαλμόν. εἰ γάρ τις ὢν πρότερον κόσμιος καὶ εὐγενὴς καὶ κάτω φέρων τοὺς ὀφθαλμοὺς, νῦν δὲ ἄρξηται πάλιν αὐτοὺς κινεῖν, χαλεπὸν σημεῖον τοῦτο, σπασμὸν δηλοῦν ἢ παραφροσύνην μελετωμένην. ὥσπερ καὶ εἴτις τοπρότερον κινῶν τοὺς ὀφθαλμοὺς, νῦν οὐ κινεῖ, χαλεπόν· ἀποπληξίαν γὰρ ἢ κάρον σημαίνει. εἴρηται δὲ καὶ ἄλλα ἐν προγνωστικῷ τῶν ἀπὸ τῆς κατακλίσεως, τὰ ἀπὸ τῶν διαχωρημάτων καὶ τοῦ σφυγμοῦ.

ιη'. Πυρετοὶ οἱ μὲν δακνώδεες τῇ χειρὶ, οἱ δὲ πρηέες καὶ οὐ δακνώδεες, ἐπαναδιδόντες δὲ [καὶ ἐνδεδινημένοι καὶ τἄλλα ὅσα παρεῖται.] οἱ δ' ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρὸς, οἱ δὲ περικαέες εὐθέως καὶ διὰ παντὸς βληχροὶ, ξηροὶ, οἱ δὲ ἁλμυρώδεες, οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοὶ, οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες, οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιδνοὶ καὶ τἄλλα τοιουτότροπα. —

Πολλοὶ τῶν παλαιῶν ἥμαρτον εἰς τὴν τοῦ πυρετοῦ διαίρεσιν, ὁ δὲ Ἱπποκράτης 1) *οὔ. λαμβάνει γὰρ αὐτῶν πάσας τὰς διαφοράς. αἱ δὲ διαφοραὶ ἑκάστου τοῦ πράγματος λαμβάνονται ἢ ἐκ τῆς οὐσίας ἢ ἐκ τῶν συμβεβηκότων· τὸ μὲν γὰρ ἐγγὺς τῆς οὐσίας, τὸ δὲ πόῤῥω. τὸ*

1) *οὐ λαμβάνει αὐτῶν* expressit C. ut mihi quidem videtur, recte.

γὰρ λογικὸν καὶ τὸ θνητὸν οὐσιώδεις εἰσὶ διαφοραὶ τοῦ ἀνθρώπου, ὅθεν καὶ ἐν τῷ ἀφορισμῷ παραλαμβάνονται· τὸ δὲ γελαστικὸν συμβεβηκὸς μέν ἐστιν, ἕπεται δὲ τῇ οὐσίᾳ τοῦ πράγματος. τὸ δὲ εἶναι φαλακρὸν, συμβεβηκὸς ὂν, πόῤῥω ἐστὶν τῆς οὐσίας. οὕτως καὶ ἐπὶ τοῦ πυρετοῦ. ἔχει γὰρ καὶ οὗτος καὶ οὐσιώδεις καὶ ἀπὸ 1) συμβεβηκότων διαφοράς· ἀλλ' ὅταν λέγω οὐσίαν πυρετοῦ, καταχρώμενος λέγω τὴν ἁπλῶς ὕπαρξιν· αὐτὸς γὰρ ὁ πυρετὸς οὐσία οὐκ ἔστιν, ἀλλὰ συμβεβηκὸς, εἴγε ποιότης ἐστίν. αἱ οὖν οὐσιώδεις οὐσίαι τοῦ πυρετοῦ ἐκ τριῶν λαμβάνονται· ἢ γὰρ ἀπὸ τῆς ὑποκειμένης ὕλης, ἢ ἀπὸ τῆς θερμασίας, ἢ ἀπὸ 2) τοῦ τρόπου τῆς κινήσεως. τρόπον δὲ λέγω κινήσεως, οὐχ ὥς φησιν Ἐρασίστρατος, τὸ διὰ μιᾶς ἢ διὰ δύο 3) εἰσβάλλειν τὸν πυρετὸν, ἀλλ' ἐν τοῖς τότε χρόνοις ἀγνοουμένης τῆς τοῦ σφυγμοῦ θεωρίας, τῷ στήθει ἐπετίθεσαν τὴν χεῖρα, καί ποτε μὲν εὐθὺς οἷα 4) καινὴ θερμασία ἐφέρετο, ὡς ἐπὶ χολῆς, ποτὲ δὲ τῷ χρόνῳ, ὅτι ἐκ τῆς πολυχρονίου ἐπιβολῆς τῆς χειρὸς 5) ἠρύνοντο μὲν οἱ πόροι, ἐλεπτύνοντο δὲ αἱ ὕλαι, διέλαμπε δὲ ἡ θερμασία, ὡς ἐπὶ τοῦ ἀφώνου. πάσας οὖν ἔλαβε τὰς διαφορὰς Ἱπποκράτης, ἀπὸ μὲν τῆς ὑποκειμένης ὕλης λέγων, τῶν πυρετῶν οἱ μὲν δακνώδεις, οἱ δὲ πρηεῖς· τὸ γὰρ δάκνειν οὐ τῆς θερμασίας ἐστίν. ἀπὸ δὲ τῆς θερμασίας εἶπε, τῶν πυρετῶν τοὺς μὲν περικαεῖς, τοὺς δὲ μή· τοῦτο ἀπὸ τῆς ποιότητος. εἰ δὲ εἴποι, πυρετὸν ἀναδιδόντα, τοῦ τρόπου ἐστὶ τῆς κινήσεως. αὗται μὲν πᾶσαι οὐσιώδεις διαφοραί εἰσι. καὶ ἀπὸ τῶν συμβεβηκότων· καὶ αὗται ἢ ἐγγὺς ἢ πόῤῥω τῆς οὐσίας. εἰ γὰρ εἴποι πυρετὸν νοτιώδη, οἷός ἐστιν ὁ ἀμφημερινὸς, ἢ πομφολυγώδη, τὰ ἀπὸ τῆς οὐσιώδους συμβεβηκότα λέγει. πομφόλυγας δὲ ἐκάλουν οἱ παλαιοὶ τὰς ἀκτῖνας τοῦ ἡλίου, καὶ τούτους φασὶ λέγειν 6) πεμφιγώδεις, τοὺς ἀπὸ ἡλιοκαΐας γινομένους. ἄλλοι φασὶ πέμφιγα τὴν ψυχήν. πεμφιγώδεις οὖν φασὶ, τοὺς ἁπτομένους τὴν ψυχὴν

---

1) συμβεβηκότος L. 2) τοῦ om. L. 3) arteriae pulsationes add. C. 4) κινὴ Codd. acutus calor C. 5) Fort. ηὐρύνοντο. 6) πεμφηγώδης Codd. ὑπὸ pro ἀπὸ L. πέμφηγα Codd.

μετὰ παραφροσύνης. πέμφιγας δὲ λέγει τὰς φλυκταίνας τὰς ἀπὸ παχυτέρου αἵματος γινομένας, καὶ ἁπλῶς τοὺς λοιμώδεις καὶ ἀνθρακώδεις πυρετούς. εἰσὶ καὶ ἄλλαι διαφοραὶ χρωμάτων λαμβανόμεναι, ὡς τὸ ἐξέρυθρον καὶ ἔξωχρον· τῶν γὰρ ἀπεχόντων εἰσὶ ταῦτα. ἀλλ' ὅρα τέχνην ἀνδρός. εἶδος γὰρ 1) τὸ ἐρυθρόν ποτέ ἐστιν, ἐξέρυθρον προσέθηκε, 2) οὐκ ἐτόλμησε δὲ εἰπεῖν ὑποπέλιδνον. πρηέες τῇ χειρὶ, ἵνα δηλώσῃ τοὺς ἐφημέρους, δακνώδεις δὲ, ἵνα δηλώσῃ τὸν καῦσον, ἐξερύθρους δὲ, ἵνα δηλώσῃ τὸν σύνοχον, 3) πέλιον δὲ, τὸν τεταρταῖον, ἐπαναδιδόντας δὲ, τὸν ἀμφημερινὸν, ξηρὸν δὲ καὶ ψυχρὸν, ἵνα τὸν ἑκτικὸν, πεμφιγώδεις δὲ, τοὺς λοιμώδεις· ὅθεν προσέθηκε τὸ, ἰδεῖν δεινοί. φοβεροὶ γάρ εἰσι τοῖς ὁρῶσι. τὸ δὲ ἁλμυρώδεες, οὐ φαίνεται ἐν βιβλίοις, εἰ μήπω εἴπωμεν, ὅτι καὶ ὁ ἁλμυρὸς χυμὸς δάκνει. τῇ χειρὶ δὲ προσέθηκεν, εἰδὼς τὴν διάγνωσιν ἐκ τῆς χειρος γινομένην.

ιθ'. Αἱ συντάσιες τοῦ σώματος καὶ οἱ σκληρυσμοὶ τῶν ἄρθρων κακὸν, καὶ αὐτὸς διαλελυμένος κακὸν, καὶ αἱ κατακλάσιες τῶν ἄρθρων κακόν. ὄμματος θράσος παρακρουστικὸν, καὶ 4) αἱ ῥίψιες καὶ αἱ κατακλάσιες κακόν. —

Πάλιν Ἱπποκράτης ἐάσας τὸν πυρετὸν, ἐπὶ θανάσιμα τρέπεται σημεῖα καί φησιν, ὅτι πᾶσα ἀμετρία λυπεῖ τὴν φύσιν. 5) ἔνθεν οὔτε πάνυ σκληρά· οὕτως γὰρ ἕτερά εἰσι καὶ δύο ἔχουσιν ἐναντία· τῷ γὰρ τεταμένῳ τὸ 6) χαλᾷν ἀντίκειται, τῷ δὲ σκληρῷ τὸ μαλακόν. ἡ φύσις δὲ οὐκ ἐποιήσατο δύο ἑνὶ ἐναντία. λέγει οὖν μήτε πάνυ σκληρὰ ὦσι τὰ μόρια· τοῦτο γὰρ σημεῖόν ἐστι πολλῆς ξηρότητος καὶ ψύξεως κατακρατησάσης, ἢ σπασμοῦ μελετωμένου,

---

1) τὸν L. πότε A. Fort. ὅτι. 2) sic et de flavo colore fecit; livido nihil adjicere ausus est, cum semper sit a natura alienus. C. Secundum hanc Crassi versionem in Graecis pauca omissa videntur. 3) πόλιον L. A. In A. supersc. ab aliena manu πελιδνόν. 4) ἔῤῥιψις Hipp. 5) unde neque valde durum, et valde distentum idem sunt, sed diversa et duo habent contraria C. 6) Fort. χαλαρόν.

ἢ σκιρώδους ἐμφωλευούσης διαθέσεως· ἀλλὰ μὴν μηδὲ μαλακὰ ἔστωσαν τὰ μόρια πάνυ· τῶν γὰρ ἐναντίων ταῦτα σημεῖα, ὑγρότητος μὲν πλεοναζούσης, οἰδήματος μελετωμένου, καὶ ἀσθενούσης δυνάμεως περισφίγξαι τὰ μόρια. ταῦτα μὲν οὕτως. ὁ δὲ Ἱπποκράτης εὐτελῶς εἴρηκε τῆς μιᾶς ὑποθέσεως καὶ εἴασέ σοι τὸ ἄλλο· εἶπε γὰρ σύντασιν, ἵνα νοήσῃς τὴν * 1) χαλεπήν. εἶπε σκληρότητα, ἵνα νοήσῃς μαλακότητα. οὐ μάτην δὲ τοῦτο ἐμνημόνευσεν, ἀλλ' εἰδὼς ὁ Ἱπποκράτης, ὡς πᾶσα μὲν ἀμετρία λυπεῖ τὴν φύσιν, μᾶλλον δὲ ἡ ἐναντία, οἷον ἡ φύσις οὕτως θερμαίνεσθαι, ἢ 2) ἀποψύχεσθαι· εἴθιστο γὰρ τῇ θερμασίᾳ· οὕτως ἡ φύσις μαλακωτέρα καὶ χαλαρωτέρα διὰ τὰς κινήσεις. ὡς μάλιστα οὖν λυπουμένης αὐτῆς, τούτων ἐμνημόνευσεν ὁ Ἱπποκράτης. ἔστι δὲ καὶ ἄλλο εἰπεῖν, 3) ὅτι ἔλεγεν Ἱπποκράτης τὸ μέτωπον κατάξηρον, τὸ ἀεὶ ξηρὸν καὶ περιτεταμένον ἐν τῷ κατὰ φύσιν· λέγει δὲ ὅτι καὶ πᾶν τὸ σῶμα τοιοῦτον γέγονε, καὶ πῶς ἐστιν ἀγαθόν. πρὸς δὲ τούτοις εἰ καὶ αὐτὸς διαλέλυται, κακόν. διαλέλυται γάρ, πάσης δυνάμεως ἀσθενησάσης. εἶπε γὰρ αὐτὸς τουτέστιν ὁ κάμνων. κάμνοντα δὲ λέγει ὁ Ἱπποκράτης τὴν τριμέρειαν τῶν δυνάμεων, ὡς συντεκμαίρεσθαι δὴ καὶ τὸν νοσέοντα. ἔστι δὲ καὶ ἄλλο ὀλέθριον, αἱ τῶν ἄρθρων κατακλάσιες ἢ κατακλίσιες. ἡ μὲν οὖν κατάκλισις εἴρηται ἐν τῷ προγνωστικῷ, 4) πρηνῆ κεῖσθαι, ὕπτιον, τὸ ἀπὸ κεφαλῆς κεῖσθαι, εἰς πόδας καταφέρεσθαι, τοῦτο μὲν παραφροσύνης σημεῖον, τὸ δὲ ἀσθένειαν 5) τῆς κινητικῆς δυνάμεως. εἰ δὲ ἔχει κατάκλασιν, περὶ τῶν ἄρθρων λέγει, ὅτι τοῦτο χαλεπόν. καὶ τὸ ἄγαν ἐκτετάσθαι παραφροσύνην σημαίνει καὶ τὸ ἄγαν συγκεκάμφθαι. ὄμμα πυκνὸν, τοῦτο παραφροσύνην δηλοῖ· ὥσπερ γὰρ θρασεῖαν λέγομεν ψυχὴν τὴν ἀλόγου δίκην ὁτῳδήποτε ἐπερχομένην, οὕτω καὶ θρασὺν λέγομεν τὸν ἀκαίρως ἀπειλοῦντα καὶ λοξῶς προερχόμενον ὀφθαλμὸν καὶ συνεχῶς κινούμενον. τοῦτο γὰρ σημαίνει ἢ σπασμὸν μελετώμενον ἢ παραφρο-

---

1) laxationem C. Fort. *χάλασιν.* 2) *ὑποψύχεσθαι* L. utpote natura magis calefieri amat quam frigere C. 3) *ὅτε* L. 4) Turbata sunt Hippocratis verba. 5) sc. *δηλοῖ.*

σύνην, καὶ μᾶλλον εἰ πάλαι κόσμιος ὢν οὐκ 1) ἀκαίρως ἐκίνει τὸ ὄμμα. ὅθεν καὶ ὡς ἐξηγούμενος τὸ θράσος τοῦ ὄμματος, εἶπεν ὅτι τὴν ῥίψιν θράσος καλῶ, τὸ ὡς ἔτυχε φέρεσθαι τὸν ὀφθαλμόν· ἢ ὅτι εἴρηκεν, ὡς ἡ ἐῤῥωμένη δύναμις οὐ μόνον τοῦ συνήθους βάρους τῶν μορίων ἀνέχεται, ἀλλὰ καὶ περιβλημάτων, νῦν δὲ οὕτως ἡ τούτων, φησὶ, ῥίψις γίνεται τῶν περιβλημάτων. ὀξέος γὰρ ὑποκειμένου νοσήματος καὶ πολλῆς θερμασίας, οὐ φέρουσι τὴν ἀπὸ τῶν περιβλημάτων θεραπείαν· ὅθεν ἐπιφέρει, ἡ κατάκλασις κακόν. κατάκλασιν δὲ τοῦ βλεφάρου, τὸ καμπύλον ἐκεῖνο ὃ μήτε τελείως ἀνέῳγε, μήτε κέκλεισται τελέως, ὃ γίνεται, σπωμένων μὲν τῶν ἀνοιγόντων, χαλασθέντων δὲ τῶν 2) κλειόντων.

Ἀρχὴ τοῦ 3) δευτέρου τμήματος.

α΄. Εὐρῦναι, στενυγρῶσαι, τὰ μὲν, τὰ δὲ μή.

β΄. Χυμοὺς τοὺς μὲν ἐξεῶσαι, τοὺς δὲ ξηρᾶναι, τοὺς δὲ ἐνθεῖναι, καὶ τῇ μὲν, τῇ δὲ μή.

γ΄. Λεπτῦναι, παχῦναι, τεῦχος, δέρμα, τἄλλα, καὶ τὰ μὲν, τὰ δὲ μή.

δ΄. Λειῆναι, τρηχῦναι, σκληρῦναι, μαλθάξαι, τὰ μὲν, τὰ δὲ μή.

ε΄. Ἐπεγεῖραι, 4) ναρκῶσαι καὶ τἄλλα ὅσα τοιαῦτα.

ς΄. Παροχετεύειν, ὑπείξαντα ἀντισπᾷν αὐτίκα, ἀντιτείναντα ἐπεῖξαι.

ζ΄. Ἄλλον χυμὸν μὴ τὸν ἰόντα ἄγειν, τὸν δὲ ἐόντα συνεγχυμοῦν, ἐργάσασθαι τὸ ὅμοιον.

η΄. Ὀδύνη ὀδύνην παύει.

θ΄. Τὰ ἀνόμοια ἢ ῥέπει ἄνωθεν ἀρθέντα, κάτωθεν λύειν,

---

1) εὐκαίρως Codd. intempestive C. 2) sc. μυῶν. Addunt Codd. Τέλος σὺν θεῷ τοῦ πρώτου τμήματος. 3) In sectionem secundam scholia Palladii in codicibus graecis, quotquot equidem vidi, non extant. Quum tamen verba Hippocratis in codicibus graecis leguntur, ea parum recte omitti posse judicavi. Sunt enim, quae Hippocratis textum juvent. 4) σαρκῶσαι Codd.

καὶ τὰ ἐναντία τοιαῦτα, οἷον κεφαλῆς κάθαρσις, φλεβοτομίη, ὅτε οὐκ εἰκῇ ἀφαιρέεται.

ι΄. Αἱ ἀποστάσιες οἷον βουβῶνες, σημεῖον μὲν τῶν βλαστήματα ἐχόντων, ἀτὰρ καὶ ἄλλων, μάλιστα δὲ περὶ τὰ σπλάγχνα, κακοήθεες δὲ οὗτοι.

ια΄. Πνεύματα πυκνὰ, ἀραιὰ, σμικρὰ, ἔξω μεγάλα, εἴσω σμικρὰ, τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον, διπλῇ τε εἴσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσι θερμῷ ψυχρόν.

ιβ΄. Ἰητήριον ξυνεχέων χασμέων μακρόπνους.

ιγ΄. Ἐν τοῖσιν ἀπότοισι καὶ μόγις βραχύπνους κατ᾽ 1) ἴξιν καὶ πλευρέων ὀδύνη, καὶ ξυντάσιες ὑποχονδρίου, καὶ σπληνὸς ἐπάρσιες, καὶ ἐκ ῥινῶν ῥήξιες, καὶ ὦτα κατ᾽ ἴξιν. τούτων τὰ πλεῖστα ταῦτα καὶ ἐς ὀφθαλμούς.

ιδ΄. Πότερον ἦρα πάντα ἢ τὰ μὲν κάτωθεν ἄνω, οἷα τὰ παρὰ γνάθον ἢ παρ᾽ ὀφθαλμὸν καὶ οὖς, τὰ δὲ ἄνωθεν κάτω οὐ κατ᾽ ἴξιν. καίτοι τὰ κυναγχικὰ ἐρυθήματα καὶ πλευρῶν 2) ὀδυνήματα κατ᾽ ἴξιν, ἢ καὶ τὰ κάτω τοῦ ἥπατος ἄνωθεν διαδιδόντα, οἷον τὰ ἐς ὄρχιας καὶ κιρσούς. σκεπτέα ταῦτα οἷσι καὶ ὅπῃ καὶ ὅθεν καὶ διατί.

ιε΄. Φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρὸν, ἢν πνεῦμα ἐγκαταλείπηται ἢ βὴξ ἢ ξηρὴ, μὴ θηριώδης, ἐς ἄρθρα 3) τὴν ῥῆξιν προσδέχεσθαι δεῖ.

ις΄. Κατ᾽ ἴξιν τῶν ἐντασίων τῶν κατὰ κοιλίην ὡς ἐπιτοπουλύ. ἔχουσι δὲ οὗτοι οἱ πλεῖστοι καὶ ἐξέρυθρα, καὶ μᾶλλον ἐν τῇ φύσει τοῦ λευκοχροωτέρου τρόπου, καὶ οὐχ αἱμοῤῥαγέουσι ῥῖνες ἢ σμικρὰ αἱμοῤῥαγέουσι, καὶ ἢν μὲν ῥυέντων ἐγκαταλείπηται, ἕτοιμον.

ιζ΄. Λίψα ἐγκαταλειφθεῖσα καὶ στόματος ἐπιξηρασίη καὶ ἀηδίη καὶ ἀποσιτίη τοῦτον τὸν τρόπον· πυρετοὶ δὲ οὐκ ὀξέες οἱ τοιοίδε, ὑποστροφώδεες.

ιη΄. Τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν στροφώδεα.

ιθ΄. Τί γοῦν πρῶτον σπληνὸς ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ ἢ αἱμοῤῥαγίη γένηται ἢ δεξιοῦ ὑποχονδρίου

---

1) ἰξίην Codd. ἴξιον A. in litura. 2) ἀλγήματα Hipp. 3) στήριξιν Hipp.

ἔντασις, ἢν μὴ διεξοδευθείη οὖρα· αὕτη γὰρ ἡ ἐγκατάλειψις ἀμφοτέρων καὶ αἱ ὑποστροφαὶ ἀπὸ τουτέων.

κ'. Ἀποστάσιας ποιέεσθαι αὐτὸν μὴ γινομένας, 1) τὰς δὲ ἐκκλίνειν, γινομένας δὲ ἀποδέχεσθαι ἢν ἴωσιν ᾗ δεῖ καὶ διότι δεῖ. ὁκόσαι δὲ μὴ, μὴ ξυνδρᾷν, ἀλλὰ ἀποτρέπειν, ἢν πάντῃ ἀξύμφοροι ἔωσι, μάλιστα δὲ ταύτας μελλούσας· εἰ δὲ μὴ, ἀρχομένας ἔτι.

κα'. Αἱ τεταρταῖαι αἱμοῤῥαγίαι δύσκριτοι.

κβ'. Οἱ διαλιπόντες μίην τῇ ἑτέρῃ ἐπιῤῥιγέουσιν ἅμα κρίσει ἐκ τῶν πέντε εἰς τὰς ἑπτά.

κγ'. Ὁκόσοι τριταιοφυέες, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπιτοπολύ.

κδ'. Βῆχες ξηραὶ, βραχέα 2) ἐρεθίζουσαι ὡς ἀπὸ πυρετοῦ περικαέος, καὶ οὐ κατὰ λόγον διψώδεες, οὐδὲ γλῶσσαι καταπεφρυγμέναι, οὐ τῷ θηριώδει, ἀλλὰ τῷ πνεύματι· δῆλον δέ· ὅταν γὰρ διαλέγωνται ἢ 3) φάσκωσι, τότε βήσσουσιν· ὅταν δὲ μὴ, οὔ. τοῦτο ἐν τοῖσι κοπιώδεσι μάλιστα πυρετοῖσι γίνεται.

κε'. Μηδὲν εἰκῇ, μηδὲν ὑπερορῇν.

κς'. Ἐκ προσαγωγῆς τἀναντία προσάγειν καὶ διαναπαύειν.

κζ'. Τῷ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα ὠφέλησεν.

κη'. Αἱ 4) διαλήξιες τῶν ὑποχονδρίων, ἐξ οἵων ἐς οἷα ἀλλοιοῦσι, καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν, οἷα δύναται, εἴτ' ἐξ ἥπατος σπλὴν καὶ τἀναντία καὶ ὅσα τοιαῦτα, ἀντισπᾷν ἢν μὴ ᾗ δεῖ ῥέπῃ· ἢν δὲ ὅπῃ δεῖ, τουτέοισι δεῖ στομοῦν οἵως ἕκαστα ῥέπει.

κθ'. Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα, οἷα Σίμων εἶχε χειμῶνος, 5) ὃς ὅτε πρὸς πῦρ ἀλείψαιτο ἢ θερμῷ λούσαιτο, 6) ἀνίστατο. ἔμετοι 7) οὐκ ὠφέλευν οἴομαι· εἴ τις ἐξεπυρία, 8) ὠφελοίη ἄν.

---

1) τὰς om. Codd. 2) ἐρεθίζοντες L. περικαέες L. 3) χασμῶσι Hipp. χάσκωσι Codd. Hippocratis. 4) διαδέξιες Hipp. 5) ὡς ὅτε πέτρος πῦρ ἀνήψετο L. A. 6) ὠνίνατο Hipp. 7) συκῶ φέλειν L! 8) ἀνιέναι ἂν Hipp.

λ'. Ὁκόσα ἐκπεπαίνεσθαι δεῖ, ἐγκατακεκλεῖσθαι χρὴ, τἀναντία δὲ ξηραίνειν ἢ ἀνεῶχθαι.

λα'. Ὀμμάτων ῥοωδέων, ἢν ἄλλως φαίνηται ξυμφέρειν, ἀντισπᾷν ἐς φάρυγγα.

λβ'. Καὶ ὅπῃ ἔρευξις, λυσιτελέει καὶ ὅσα ἄλλα τοιαῦτα.

λγ'. Τὰς ἀφόδους ἀνεστομῶσθαι οἷον ῥῖνας καὶ τὰς ἄλλας 1) ἢν δεῖ καὶ ὡς δεῖ καὶ οὗ δεῖ καὶ οὗ καὶ ὅτε καὶ ὅσον δεῖ, οἷον ἱδρῶτας καὶ τὰ ἄλλα ἃ δεῖ πάντα.

λδ'. Ἐπὶ τοῖσι μεγάλοισι κακοῖσι πρόσωπον ἢν ᾖ χρηστὸν, σημεῖον χρηστόν· ἐπὶ δὲ τοῖσι σμικροῖσι τἀναντία σημαῖνον 2) ἢ * σύστημον ἢ κακόν.

λε'. Παρὰ τὸ μέγα γοῦν γυνὴ 3) ἡ ὄπισθεν Ἡρῴου ἰκτεριώδεος ἐπιγενομένου, οὐ παρέμενεν αὐτῇ.

λς'. Παρὰ Τημένεω ἀδελφιδῇ, οὗτος μελάγχρως.

λζ'. Ἐν Περίνθῳ τὸ γονοειδὲς τὸ τοιοῦτον ὅτι κρίσιμον, καὶ τῶν ἤτρων τὰ τοιαῦτα, ὅτι αἱ οὐρήσιες λύονται, ὅτι οὔτε φύσης πολλῆς οὔτε κόπρου πολλῆς, γλίσχρης δὲ διελθούσης ἐμαλάσσετο· οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον. κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνους ἐὼν, ἐπὶ τὸ ἦτρον ἐμαλάσσετο, εὐθύπνους ἐγένετο, ἡ κοιλίη αὐτῷ ἐξετίναξεν.

λη'. Περὶ τοῦ αἵματος τοῦ ἰχωροειδέος, ὅτι ἐν τοῖσι πτυώδεσι τὸ τοιοῦτον ἢ τοῖσιν ἠγρυπνηκόσι καὶ εἴτε φλαῦρον εἴτε χρηστόν.

λθ'. Οἷσιν 4) ὁ σπλὴν ἐστι κατάῤῥοπος, πόδες καὶ γούνατα καὶ χεῖρες θερμαὶ, ῥὶς καὶ ὦτα ἀεὶ ψυχρά. ἦρα διὰ τοῦτο λεπτὸν τὸ αἷμα, ἦρα καὶ φύσιν τοιοῦτον ἔχουσιν οὗτοι ἢ ἐν τοῖσιν ἐμπυήμασιν.

μ'. Πρὸς οἷσι μέλλουσιν ἐκπυέειν, αἱ κοιλίαι ἐπιταράσσονται.

μα'. Σπλὴν σκληρὸς 5) οὐ τὰ ἄνω, κάτω στρογγύλος, οὐ πλατὺς, βραχὺς, 6) παχὺς, λεπτὸς, μακρὸς, ἥσσων τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν.

---

1) ων Hipp. 2) ἢ εὖ, σημεῖον κακόν. Hipp. 3) ἢ Codd. 4) ὁ σπλὴν] ὁπλίη Codd. 5) αὐτὰ Codd. 6) ταχὺς Codd.

μβ΄. Ἡ περὶ τὸν νοσέοντα οἰκονομίη καὶ ἡ εἰς τὸν νοσέοντα ἐρώτησις, ἃ διηγεῖται οἷα, ὡς ἀποδεκτέον, οἱ λόγοι, τὰ πρὸς τὸν νοσέοντα, τὰ πρὸς τοὺς 1) παρεόντας, τὰ πρὸς τοὺς ἔξωθεν.

μγ΄. Ὅτι ἐν θερμοτέρῳ, ἐν στερεωτέρῳ τὸ ἐν τοῖσι δεξιοῖσι, καὶ μέλανες διὰ τοῦτο αἱ ἔξω φλέβες, μᾶλλον συνεκρίθη, 2) συνέστη, ὀξύτερον κινηθὲν ἐμολύνθη καὶ βραχύτερον αὔξεται καὶ ἐπὶ πλείω χρόνον, ἔτι ἐστερεώθη καὶ χολωδέστερον καὶ ἐναιμότερον, τοῦτο θερμότερόν ἐστι τὸ χωρίον τῶν ζώων.

Iunii Pauli Crassi

versio latina

Commentariorum Palladii in 3) secundam sexti Hippocratis de morbis popularibus libri sectionem.

I—III.

In primum sectum explanationem perfecimus: in quo multa, t miratione digna praecepta tradidit. per quae dissectricem,

1) παριόντας Codd. 2) σύνεστιν Codd.

3) Graece desiderantur commentarii Palladii sophistae in seundam sectionem et in meis, quos adhibui, codicibus et in tribus liis, quos in itineribus meis evolutavi eodemque modo mancos d accuratiorem horum commentariorum editionem nihil facere osse iudicavi. Desiderantur in codice Parisiensi 2295; desiderantur in codice aliquo Escorialensi, cuius mentionem injiciam in raefatione ad secundum huiusce operis volumen; desiderantur, ni allor, quoque in codice Urbinate (nunc Vaticano) 64, etsi in schedis meis Romanis tantummodo notaverim, codicem Urbinatem mu-

et naturalem et diuinatricem scientiam didicimus. In praesentia nobis secundum sectum exponit, quod disiuncta, et obscura documenta enarrat. Verum secundum morem a nobis antea positum voces declaremus, mox et propositum dicamus. Dicit Hippocrates d i l a t a r e, hoc autem omnes sciunt, idem esse, quod ampliare. Dicit etiam, a r c t a r e. hanc autem vocem multi imperiti pro duabus orationis partibus apud Graecos accepere: credebantque Hippocratem dicere arctare, et humectare: sed decipiuntur. Nam haec vox *σενυγρῶσαι* arctare significat. Haec sit verborum explanatio. Propositum vero hoc est. Quoniam arctata corpora patefacere et patefacta coarctare opus est: id autem faciendum est, cum ad immodicam aut conclusionem, aut apertionem corpora mutantur: curationem autem hic propriam docet Hippocrates volens illud praeceptum sequi, quod contrariis contraria curari iubet. Sed ne fallaris, neque discedas artis opera exequi cupiens: sed causas meatus coarctantes, aut rarefacientes percipito. Rarefiunt autem meatus, (de occultis loquor) et ingens sudor effunditur: aut ratione caloris, aut propter vehementem expultricis potentiae motionem, aut contentricis imbecillitatem. Si ob calorem meatus rarefiant, refrigerato: si ob virtutis debilitatem, roborato. Et rem admirabilem dicam, vinum scilicet coercere sudores. Et ego saepius

---

tilum versus finem esse atque ejus lectiones a ceteris codicibus parum discrepare. Namque quum Romae morarer, Palladii graeci editionem principem a me esse aliquando adornandam, nondum cogitaveram. Unde codicis Urbinatis mihi tanta non erat cura. Praeterea ille codex fuit primus, quem unquam huiusce commentarii conspexi. Attamen pro certo affirmare ausim, et ipsum codicem Urbinatem secundam sectionem non habere. Quo vero codex Crassi pervenerit, me nescire confiteor. Dicit Celsus Crassus, Iunii filius, in praefatione: *Inveni tantum inter illius* (patris) *scripta, libros hos veterum medicorum caeteros quidem olim in latinam linguam ab ipso translatos, sed maturius postea et diligentius emendatos: Palladii vero scriptoris Graeci nunquam editos, in librum VI. Hippocratis de morbis in populum grassantibus, et in librum de articulis, non inutiles commentarios, quos latinos fecit paulo ante quam decederet e vita. Huius autoris* (Palladii) *editionem* (sc. latinam) *debebunt aliqua ex parte studiosi Hier. Mercuriali, excellentissimo medico eidemque viro eruditissimo, qui illum ex V. C. Io. Sambuci bibliotheca desumptum, quam non tam sibi, quam publicae utilitati habet instructissimam, Vienna annis superioribus attulit patrique meo communicavit.* — Sambuci codex videtur esse deperditus.

emanante sudore cum vinum praebuissem, retentus est sudor, non ob aliud, nisi quoniam facultatem roboraui. pariter et in toto corpore si vena, aut aliquod membrum rarefiat. Saepenumero autem et a contrariis coarctantur refrigeratione scilicet, aut aquis albulis, aut pluvialibus aut flumineis, aut propter expultricis infirmitatem. Quoniam vero multotiens in superioribus partibus id fieri solet, per calorem dilatatio fit conuenienter. Superiora enim respicit. At qui in nuda cute meatus sunt, proinde coarctantur, et inaequalitas fit in corpore: iccirco aliqua eius pars est adstringenda, aliqua dilatanda. Propterea dixit, h a e c q u i d e m s i c, a l i a v e r o n o n. et haec est mens Hippocratis, cum dixit: D i l a t a r e, c o n s t r i n g e r e a l i a q u i d e m s i c, a l i a v e r o n o n. neque intelligas, angusta membra esse amplianda, et ampla coarctanda. S u c c o s a l i o s e x p e l l e r e etc. Intelligere oportet redundantes succos esse expellendos. Siquidem non raro imperitus medicus ad aqua intercute laborantem accedens et pituitam educere cupiens, bilem ruffam evacuavit, et aegrotum magis laesit. At Hippocraticus medicus vitiosum et superantem humorem educit. et per praepositionem praui succi integram euacuationem declaravit. Cumque significare vellet, humida corpora euacuari debere, dixit, siccare. id enim per digestionem facimus. hoc est superfluentem humorem, et corpus vuidum reddentem per nitrum, arenam, saponem, et id genus alia digerentes, id est in halitus conuertentes siccitatem inducimus. Id autem facimus, ubi circa cutem humor est. Neque enim per venae sectionem, aut purgationem hunc detrahere possumus. Defectum autem humorum per cibos supplemus. Frequenter enim iuuenis florentis aetatis pituita abundauit, et hanc euacuamus. in sene vero si pituita redundauit, eam non educimus, sed quam primum ei bonum alimentum damus. His enim de causis cibi et vituperantur, et laudantur a Galeno, non eiusdem ratione, sed ad aliud et aliud referentes. Nam brassica in libro de alimentorum facultatibus damnatur: quoniam succum malum, et excrementa generat. Sed in libro de simplicibus medicamentis ipsam multotiens, tanquam medicamentum laudat. Sic igitur ut cibus respuitur, ut medicamen admittitur, nam ipsa in diversis affectibus utimur. Extrema verba sunt veluti peroratio. quoniam alia membra evacuationis indigent, alia humorum supplementi. Et hoc est, quod voluit, cum dixit, p a r t i m q u i d e m s i c, p a r t i m v e r o n o n. —E x t e n u a r e c r a s s u m e f f i c e r e, etc. Crassa corpora aut vi-

ctus ratione, aut medicamentis extenuanda sunt, nam in libro de Symptomatum causis scriptum est, incrementum praeter naturam fieri, ut Nicomacho medico accidit. Tunc enim extenuare oportet. ideo de extenuatione carnis scriptum est. Oportet autem subtiles humores crassos reddere. ideo de humoribus dicit, tenues humores ut crassescant, facito, ea propinans, quae ex similagine et lacte fiunt, et crassos attenua: sicut eos, qui in pectore continentur. cum materiam esse crassam, ac tussim excitare vides his, utendo, quae ex ordeo fiunt, ut ipsam materiam subtilem efficias, marrubium, et hyssopum adhibens. Vas autem dicit totum corpus. Sic et cutem si aucta est, diminuere: si diminuta, augere conuenit. Quidam codices habent, neruos. Sed non recte. Quoniam vero inquit Hipp. multotiens ego breuiloquus sum, cum dixi, et alia, tu intelligas quaecunque incremento, aut decremento indigent. Rursus et hic est epilogus. quoniam frequenter membra multa augeri, alia contra minui postulant, propterea dixit, Et haec quidem sic, ea vero non.

IV. Hoc loco videntur contraria esse, durare, et mollire. Iccirco dicit Hippocrates, si durescant mollia membra, ipsa mollienda sunt, quemadmodum asperae arteriae contingit si mollior evadat, cum naturaliter dura sit, eam durari conuenit. quemadmodum et uterum, quem natura, ut genituram susciperet, durum creavit. sicut etiam in exterioribus cernimus. nam qui aedes extruit, parietem exasperat, ut calcem retineat. Iterum et hic epilogum facit dicens, aliqua quidem, aliqua non duranda, aut mollienda.

V. Crebro ad aegrotum venio: et hunc a principio excandescentem ferum atque iracundum non solum in domesticos, sed etiam in alienos reperio: ac mores suos considerans, licet sit furore percitus, id ei ob temperaturam, evenire affirmo. postea rursus ad ipsum accedens mitem, repente quietum, ac taciturnum evasisse animadverto. tunc ipsum stupore captum esse assevero. Ipsi itaque calida et acria admoveo, quo ipsum excitem, et ad pristinum statum restituam. Alter a principio erat mitis et placidus, postea subito ipsum furibundum et efferatum inveni. atque tunc eundem furere dixi, ac stupefacientibus remediis usus fui Et haec in praesentia dicere voluit Hippocrates. Dixit autem, Et alia quaecunque huius-

modi, ut intelligas, omnia irritata stupefactoriis sopiri, stupefacta calidis et acribus excitari.

VI. Sciendum est, aliud esse revellere, et aliud derivare. nam revellimus, quando secundum rectum materiam procul ducimus. Derivamus autem, cum oblique in adiacentia membra materiam ducimus. Exempli causa proponatur coeliacus affectus, et alui profluvium. Si derivare volumus, ad vias urinae materiam deducere studebimus. dixit enim Hippocrates. Urina multa noctu reddita modicam deiectionem significat. Nam conversa ad urinam materia, non amplius venter fluit. Verum cum plerumque renes sint vitiati, et propterea ad ipsos derivatione uti non debeamus, revulsione utendum est, et per vomitum materiam evacuabimus, ut superius eiecta ne fluat in ventrem. Caeterum dum hoc facimus, et evacuationem repente per superiora molimur, natura debilitatur. idcirco Hippocrates, ut in medio natura quiescat, dixit, cedentem retrahere, ut intelligas, facta revulsione, ubi nutrieris, iterum esse revellendum. et hoc per illa verba significat. renitenti cedere. et quod alibi dixit, in exercitationibus quiescere statim, hoc loco dixit, renitenti cedere.

VII. Supra dictum a nobis fuit, si recordamini, Hippocratem hoc in volumine de privatis morbis agere, atque ideo sermonem hunc non esse continuum. neque enim publicos morbos docet: quemadmodum ipsa disiuncta tractatio manifestat: verum similiter voces prius declaremus: deinde Hippocratis mentem explicemus. De humoribus hic mentionem facit. scitis enim, quid sint humores, quos Graeci χυμοὺς vocant, eo quod in nostris corporibus diffusi sunt. Dico autem sanguinem, bilem ruffam, et nigram, et pituitam. Hi namque si qualitate, et copia moderate se habent, corpus nostrum recte et salubriter affectum est: quodsi qualitate, aut copia vitientur, morbi exoriuntur. sed quid de his loquor, cum humor naturae nostrae amicus, nempe sanguis, si modum excesserit, morbos concitabit. Quare et in Aphorismis dictum est, In extremo boni habitus periculosi sunt. prout plus, aut minus abundat in corpore, magis aut minus noxius erit. Quemadmodum et tertiana erit saevior, aut mitior, prouti flaua bilis magis minusue peccabit. Hi enim omnes succi, graece χυμοὶ vocantur, propterea quod in corpore nostro liquati ac fusi sunt. Exeuntem, dicit quando videlicet movetur, et fertur extra cor-

pus. una effundere dicit, idest, simul evacuare cum natura; quasi dicat, quando natura evacuat, sed non perfecte, et tu similiter evacua, et quae natura evacuat, eadem et tu: si per sudorem, et tu per sudorem emitte materiam: si per effluvium sanguinis e naribus, tu quoque idem facito. sic et in aliis. Quid autem sibi vult, cum dicit Facere simile? in quibusdam exemplaribus legitur Irasci: in quibusdam operari, in quibusdam turgere, et horum trium adducenda est a me interpretatio. Nam si legatur Irasci, sic intelligitur, nempe, quod quemadmodum hominem ad iram instigamus, eodem modo et materiam irritamus. et hoc vult Hippocrates. Etenim hominem ad iram impellimus, ipsi probrum dicentes, aut eum aliqua alia iniuria afficientes. oportet et in materia nos idem facere, ipsam per medicamenta purgantia, aut per alia quaedam huiusmodi agitantes. propterea dixit Irasci. Sed mala est locutio, et Hippocrate indigna. Igitur dicere convenit, sententiam quidem esse Hippocratis, locutionem vero minime, ut supra dictum est. At qui legunt, turgere, magis proprie legunt. turgere autem significat furere. hoc autem ab animalibus sumptum est, quando coeundi libidine stimulantur, et ruunt in venerem. Alii vero legunt, Facere simile naturae. Sed quid est, quod dicit? videlicet cum natura huiusmodi humorem generet, tu quoque talem genera. Sed dicimus hunc humorem praeter naturam abundare, et ad aequalitatem redigendum esse praecipimus. nunquid ergo Hippocraticum praeceptum tollitur, dicens Contraria contrariis sanantur, ecce enim Hippocrates iterum subdit, Dolor dolorem soluit. Et qui huius sunt opinionis, exemplum adducunt, quo id verum esse credatur. Venit ad me quidam coxae dolore vexatus, illi ustorium remedium applico, et dolorem excito ac per dolorem ustionis coxendicis dolor finitur. Alter venit dentis dolorem patiens: ego sumpto ferramento, eius dentem evello, et novum dolorem inferens priorem dolorem sedo. alius paulatim vomit, et nauseabundus est: ego vero simulac per vomitum eduxi materiam, vomitum citans priorem vomitum sustuli. Praeterea venit ad me alius, quem laxi intestini dolor torquebat, ei per castorium et centaurium remedia praebui: quae cum sint acuta, dolorem excitavi, et priorem amovi. Deridendi autem, qui haec referunt. Neque enim obiectionem ullam admittit Hippocratis regula, quae dicit: contraria contrariis curari. sciendum est enim, curationem aut per se, aut ex accidenti fieri. Quippe morbi per se con-

trariis curantur, symptomata vero per accidens. Nam symptomata sunt, quae istos decipiunt. Nempe qui ustorium auxilium coxae admovit, non per excitatum dolorem coxendicis affectum discussit: sed quoniam frigidus et humidus, pituitosus videlicet succus infestabat, ustorium, cum sit calidum et siccum, noxiam materiam consumpsit, atque ita malus affectus ablatus est et praeceptum asserens contraria contrariis sanari, inviolatum remansit. Idem et de evulso dente asserendum est. non propter dolorem a ferro, quo dentem evulsi, priorem dolorem abegi, sed quoniam dentem noxium extraxi, iccirco dolor iste finitus est. pariter et in vomitu evenit, quia totum vitiosum humorem evacuavi, ob id vomitus sedatus est. Perinde et in colico affectu, ubi laedentem humorem et laxius intestinum cruciantem evocavi, dolorem extinxi. Verum ne per se curantia, et per accidens eadem esse intelligas, dixit Hippocrates, a distentione occupato media aestate, iuveni bene carnoso aquae multae frigidae inspersio caloris revocationem facit. ne intelligeres a frigida distentionem fuisse discussam, caloris meminit, et ecce per accidens factam fuisse curationem. Postea subiungit: Si humor laedens sursum petat, ipsum ad inferna revellito: si vero deorsum, ad superna attrahito. Hoc loco communem, et privatam evacuationem docet: si communem vis accipere, purgatorio medicamento utitor: si privatam, posterioribus capitis partibus dolentibus, tunc frontis venam rectam incide. Dictum est autem ab ipso in Aphorismorum libro: Posteriora capitis dolentibus vena frontis recta incisa iuvat. Et haec est verborum interpretatio. Verum ut sententia percipiatur, quaedam praesumenda sunt, quorum primum est hoc: Quibus iudicatio fit, aut facta est integre, non movendum, neque quicquam faciendum, sed sinendum: Alterum dicendum, est hoc, si qualia oportet purgari, purgentur, et conducit, et bene ferunt: si vero non, contrarium evenit. Hoc autem communiter dicitur per hunc sermonem: quoniam humorem, quem evacuari convenit, si natura expellit, utile est: sin alium a noxio evacuat, hoc morbi efficitur prauitate. Nam si tertiana sit febris, et pituita exeat, res difficilis est: si vero laedens materia pura evacuatur, malum est. Quoniam Hippocratis regula est, non synceros humores evacuari. primum praeceptum est hoc, si natura morbum iudicat, tu quiesce: rursum, si congruenter rationi iudicavit, sed non perfecte, naturae opem feras et perfecte laedentem humorem evacua.

Quod si natura evacuans labefactatur, multumque evacuaverit, auxiliare, et evacuationem supprime, et hoc est, quod dicit Hippocrates. Quid vero est, quod dicit, non exeuntem ducere, exeuntem vero una effundere: perinde est, ac si dicat, maleficum humorem naturam imitans evacua, quasi dicat, si natura eum expulit, sed non prorsus totum, tu reliquum integre educito, hoc est, post naturae actionem, et tu aliquid agas. et haec est praesentis dictionis sententia. Haec particula, Dolor dolorem soluit, supervacue adiecta est. — Dissimilia si sursum vergant elata: per inferna soluere. Haec verba praecipiunt, oportere uti revulsione, si materia noxia est: si superiora invadat, deorsum trahenda est: sin inferiora, sursum revellenda. Opus est enim ad ignobiliora membra revulsionem fieri, sed inferiora minus nobilia sunt. At obiicies, nonne interdum ad superiora humorem trahimus, ut in coeliaca vocata ventris affectione? Ad hanc obiectionem respondemus. Quando magna causa urget, tunc sursum attrahendum. Sed hoc frequenter facere non conuenit, videlicet ad superiora vitiosam materiam ducere: plus enim detrimenti afferes: cum partes illae inferioribus sint nobiliores. posteaquam universi corporis purgationes docuit, vult modo et partium tradere. Nam ubi corpus excrementis refertum est, evacuatione utitur, purgatione scilicet, aut venae incisione: quando vero excrementis vacat, localibus utitur auxiliis et sic materia per exhalationes digeritur. Quod si totum corpus exhaurire volueris, purgatorio utitor medicamento: si vero posteriores capitis partes vexaverit dolor, et tu partis evacuationem facies, ac venam, quae est in fronte, rectam incides. Sicut in totius corporis evacuatione, quae in summo sunt, ad ima deduces, sic et in parte dico, a posterioribus capitis partibus ad anteriores attrahito. Hoc enim significant haec verba, Et contraria itidem ut capitis purgatio, venae incisio. quando non temere detrahitur. Non temere dicit, ad quantum referens humoris, aut ad quale, aut ad quantum, et quale: quippe cum non debeat plus aut minus evacuari, quam expediat, neque unus humor loco alterius, neque alieno tempore. Igitur si bilem ruffam exhaurire volueris, a tempore, regione, aetate, ac id genus aliis indicationem sumito. Hoc autem utpote raro dictum memoravit.

X. Haec frequenter alibi dicta sunt. Sed quoniam multotiens repetita iuvant, iccirco iterum declaranda suscipio. Ve-

rum ut moris nostri est, primum vocabula interpretemur, quae improprie, et per translationem posita sunt. Germina vocat Hippocrates, quae e terra pullulant, praeterea et ramorum teneras extremitates. Hoc loco nomine abutens germina appellat et ea, quae foras exeunt, et quae intus manent, nondum foris apparentia, sed in nobilibus membris genita, loquitur autem de bubonibus. Exempli gratia, supponatur quispiam febrim habens non urentem illam Diariam. nam et ipsa urens est, sicut ab Hippocrate dictum est: Febres aliae quidem mordentes manum, aliae vero circum urentes: Sed febrim habeat ardentissimam atque (ut ita dicam) pestilentem. mox duo medici superveniant, unus Hippocraticus, alter ineruditus. Atque ineruditus bubonem inueniens statim dicet, leve malum est ac sine periculo. Nam Diaria febris est. At Hippocratis doctrina imbutus medicus scientifice scrutabitur, num ulcus, aut vulnus in parte aliqua corporis aegrotus habeat, unde bubo exortus sit: et tunc bubo causae signum erit: ipsius autem febris causa. Sed in pestiferis bubo febris et materiae indicium est. Verum considerans Hippocrates multitudinem, quoniam multotiens in penitioribus locis materia feruet, et prius apparet bubo, dixit, Febres in bubonibus praeterquam Diariae, omnes malae. nam pestilentes febres non sunt bubonibus posteriores: sed primo fit putrefactio: postea natura putrem humorem discutere nitens, eius partem extrudit, et ad imbecilliora membra depellit, et ab his locis morbi cognitio sumitur. Aut enim pone aures bubones oriuntur, quod cerebrum laborare significat: aut sub axillis: idque cordis et pectoris partium male habentium indicium est: aut in inguinibus, et hoc iecur et ventrem pati nobis ostendit. Nobilius est autem cerebrum corde, cor iecore et ventre. Verum hoc non divinamus. nam dicit Hippocrates, tum praecipue viscerum. Viscera appellat omnia primaria membra in penitioribus latentia: ut cerebrum, cor, iecur. Cum autem dicit, et aliorum, significat aliorum membrorum tumorem habentium, calidum scilicet abscessum, qualia sunt Erysipelata in profundo supervenientia. Hoc vero significant haec verba: Isti autem maligni bubones partium ab ipsis affectarum indicia sunt.

XI. Posteaquam Hippocrates de succorum purgatione tractavit, posthac de respiratione agere proponit. in quo summa

utitur diligentia. Cum vero maximo usui sit respiratio, ideo et maximo detrimento est eius permutatio. in libro de Praesagiis, in libro de spirandi difficultate, et hoc in loco de ipsa mentionem facit. Sed hic uberius quam in praesagiis de respiratione sermonem facit. Nam ibi de aequali tantum, hic et de inaequali tractatur. In libro vero de respiratione difficili plura quam hoc loco recenset. Scire autem oportet, Hippocratem respirationem a materia spiritum appellare. dicit enim, ipsum paruum, frequentem. Hac de causa sermo de respiratione fuit necessarius, nam cerebro agente ad usum cordis efficitur, ut aer per inspirationem ad refrigerandum nativum calorem inducatur, per expirationem fuliginosa recrementa propellat. Id quoque scire convenit, quot sunt arteriarum motus, quem pulsum vocamus, tot etiam esse respirationis permutationes. Docet autem et simplices, et compositas, a quiete, cum dicit crebram, et raram: a motione, cum dicit, magnam, et parvam, a motus magnitudine, cum dicit, magni et parvi spiritus. Quatuor ponit modos simplices, et quatuor compositos, simplices, dicens, magnum, crebrum, parvum, rarum: compositos, cum dixit, magnum et crebrum, magnum et rarum, parvum et crebrum, parvum et rarum. Porro magna et frequens respiratio est, quando tantum calida qualitas abundat: et natura calidum naturale refrigerare conatur. tunc enim magnam spirationem edit. ubi vero non sufficit magnitudo, et frequentiam assumit, quo per ipsam quod deficit, suppleatur. Magna et rara spiratio fit in delirantibus, sed prima in his raritas apparet. Quoniam vero sic in discrimen suffocationis incidit, cerebrum unam magnam respirationem facit, perinde ac si a sopore excitaretur. atque sic a principio magna et rara respiratio editur. Fit parva et crebra, ubi vomica in profundo latet. Verum contra se habet hic, et in phrenitide. Nam in phrenitide primo apparet raritas, in vomica frequentia. quoniam spirabiles partes, cum non possint prae dolore dilatari, parva necessario fit respiratio. cumque ob parvitatem non satis aeris attrahatur, adiicitur crebritas. At parva et rara in his fit, quibus interna refrigerata sunt, et nativus calor emortuus. De quibus loquens Hippocrates appellat frigidum spiritum. Celerem et tardam respirationem silentio praeteriit, aut quoniam haec tractatio reminiscentiae gratia composita est, aut quoniam in magna et crebra celeritas, in parva et rara tarditas comprehenditur. Spirationem indicat in-

aequalem per ea verba, Extra magni, intus parvi, et contra intus magni, intus parvi. Id ob naturae imbecillitatem fieri solet nonnunquam retinente, nonnunquam retenta. At cum dixit, hic extendens, ille urgens, significat, multotiens adesse humiditatem, et partes circa pectus relaxari, et iccirco supra emissi spiritus proportionem deferri. Contra membra pectoris supervacuis emundantur, atque iterum supra proportionem fit inspiratio. atque ita se habet praesens sententia. Spiritus parvi crebri, magni rari. Ecce a materia sumpsit initium, hoc est, a spiritu, qui et inspirationis, et exspirationis est materia. Et animadvertas quod cum, ut memoriae suae consuleret, haec scripserit Hippocrates, et simplices, et compositas, respirationes eodem loco docet. Simplices, cum dicit, Spiritus parvi frequentes, magni, rari: compositas vero, quando ita loquitur, parvi et frequentes, magni et rari: et non dixit, magni et parvi, rari et frequentes. Neque enim simul coniugari possunt. At quando dixit extra magni, fumosos vapores expelli declarat. Cum dixit, extra parvi, calorem innuit, cui refrigeratione opus est. et ex his inaequalem respirationem ostendit. Verba autem illa, hic extendens, ille urgens, explanata sunt, cum sententiam autoris interpretabamur. Quod est in pulsibus bis pulsatio, hoc est in respiratione duplex intro revocatio; aut si placet, dicas, quod est interpellatus pulsus, id est duplex respiratio, quae ob naturae infirmitatem efficitur. Et quoniam idem est bis pulsans, ideo se ipsum interpretans ait, cum loco primae respirationis fit altera. Nonnulli in fine hoc verbum respirant, adjiciunt, ita legentes, calidum, frigidum respirant. quod utique falsum est. Nemo enim eodem tempore calidum et frigidum simul respirare potest.

XII. Per haec verba continentium oscitationum curationem tradere vult Hippocrates. nam quae per intervalla et vulgo contingit, curatione non eget. Propterea dixit, continentium oscitationum. Sed quomodo hae oscitationes gignuntur? a crassis flatibus in lacertis malarum congregatis. Nam docet anatome, ab internis spirandi cavitatibus, et a gutture musculos ad malas deduci: et ibi spiritum colligi. et quod in scapularum lacertis est pandiculatio, in maxillis oscitatio appellatur. Sed quomodo huic medebimur? ad locum ubi labia et nares copulantur, venit spiritus ad cognatum aerem erumpere cupiens, et

ibi in angustiis luctatus, multiplici motu saepe revertens inca lescit, ac extenuatur. An ignoramus, quid calor arctatus facere soleat, quando rigore neruorum occupatus ex accidenti liberatus fuit? quoniam aquae multae frigidae inspersio calidum ad interna repulit, ac multiplicavit. Hoc igitur modo et in oscitationibus flatu concluso per accidens sanitas oritur. Verum quid est quod dicit, diu inspirantes? Cum verba haec interpretari vellet Galenus, dicit malam esse hanc vocem, Diu, cum inspirationem diuturnam, dicere oporteret: dixit, diu inspirantes: id vero significat, inspirationem longo tempore fientem. Iterum volens haec verba enarrare Galenus inquit, hanc elocutionem non modo esse vitiosam, verum etiam obscuram. Caeterum id nosse oportet, in id genus obscuris et ambiguis sermonibus enarratores divinatione uti. neque enim veritatem enunciant, sed ad verisimile magis accedunt. At nos pro virili veram semper explanationem adducemus.

XIII. Quid hoc loco vult Hippocrates? Abstinentes a potu appellat phreniticos, nam et si eis sitis adveniat, non tamen sitiunt, non sitientes non bibunt. Sed quid significat dicens, Et vix, longa, aut brevis spiratio? angina laborantes. Duplex hoc loco scriptura invenitur. nam quidam codices habent brevis spiratio, quidam, longa spiratio. et per haec vult Hippocrates praescientiam vitae ac mortis indagare. Siquidem in phrenitico spirationem magnam et raram invenio, et hoc esse periculosum affirmo. et hoc haud immerito. Verum divina clementia supervenit, et in melius inclinavit phreniticum. nam ego postea reversus eius spirationem parvam et frequentem offendi, ac dixi, bona spes affulsit. At in laborante angina, parva est et crebra spiratio: et potus per nares effunditur: periculumque imminet, ne per suffocationem pereat. Tunc ego dico, in isto parvam et densam spirationem esse pravam. quod si in magnam et raram evadat, tunc aegrotus sanabitur. Sed posterius maturescente angina, magnam respirationem fieri, et ab aliis exemplis didicistis, cum acidam eructationem noxiam esse dicebamus, sed in laevore intestinorum salutarem: quia naturam concoctionem aggredi significat, quemadmodum et uva principio quidem acida est, postea vero dulcescit.

XIII. Posteaquam de respiratione sermonem fecit Hippocrates, secundum ipsius aequalitatem et inaequalitatem, deinceps

de morbi sanatione tractationem aggreditur, atque sic ad alia docenda se transfert. Porro a nobis saepius dictum est, vincente natura morbi fieri mutationem, ipsumque aut per abscessum, aut per sanguinis effusionem finiri. nunc autem sanationem, quae fit per abscessum, docet Hippocrates. Sed quando salubris est morbi per abscessum mutatio? tum scilicet, quando fit phlegmone. quam phlegmonem Hippocrates per symptomata circumscribit. et appellat laterum seu costarum dolores, et praecordiorum tensiones, et lienis elationes. Nempe in genito abscessu haec exiguntur, ut post concoctionem oriatur, et die iudicatorio, et a membro nobiliore ad ignobile materia transfundatur: fortasse et quarta conditio requiritur, ut materia secundum rectum detrudatur, quod hoc loco refert Hippocrates. Quippe si e directo humor expellitur, facultatem robustam esse indicat: at si ad alia membra delabitur, facultatis imbecillitatem significat. ut exempli gratia, si sit sagittarius, qui sagittam in aliam partem, et non in quam destinaverat, arcu emittat. Nam si in dextro aegrotantis latere abscessus, qui erat in dextro oculo, superveniat, bonum signum est: si in sinistro, malum. Et haec est huius particulae sententia. et praecordiorum contentiones, et lienis elationes. Scire eportet, quod haec vox Hypochondrion apud Graecos Iecur significat: atque ideo subiunxit eidem splenem, sed cum plurali numero dicitur, Hypochondria, Lienem, ventrem, et caetera, quae sub Hypochondriis continentur, viscera complectitur. Haec verba postea sequuntur: Ex naribus eruptiones, et aures secundum rectum. Per eruptiones e naribus, sanguinis effusionem ostendit: per aures vero abscessum, qui e directo istorum fiat. sequuntur deinde et haec, Horum plurima huiusmodi et in oculos. Nonnulli hanc partem cum superiore sermone connectunt, nonnulli cum inferiore. Qui cum superiore, dicunt, quoniam haec per abscessus fiunt, si secundum rectum fiant abscessus, sanabilis est morbus: si non secundum rectum, insanabilis. Et haec plerumque ita eveniunt. Nam raro abscessus secundum rectum malus est: et qui non secundum rectum, salubris. Verum eorum, quae raro incidunt, causas referre non possumus. At qui cum inferiore verba illa copulant, dicunt, horum plurima ad oculos tendere, hoc est, ad oculos confluere materiam saepenumero oportere: et ibi tanquam in membro ignobili oculo scilicet, et aure abscessum fieri. Nam licet ipsa quoque sint membra nobilia, minus tamen, quam pulmo, nobi-

lia sunt. Quapropter cum pulmo laesus est, hominem perimit. oculi vero, aut aures laborantes mortem non inferunt: Verum quoad mortem attinet, a quibusdam oculi pulmone digniores habentur. quippe qui oculis capti mori potius, quam vivere cupiunt.

XIV. Item iste alius sermo: sed interrogative profertur ab Hippocrate. et dubitans dicit, utrum an, sed utrum et an, idem significant, ut si dicamus, utrum fiet constrictio, an non fiet? Sed utrum usitatius est, an vero magis proprium. At quid per haec verba vult dicere? Nempe quod quemadmodum ab inferis partibus sursum versus fit abscessus, sic et qui a superis deorsum versus asseritque ita fieri. nam sicut oculo patiente abscessus circa maxillam aut dextram aut sinistram oritur, pariter et in Anginosis inflammatione guttur occupante, abscessus multotiens costas invadit. atque ita per pleuritidem angina discutitur. Et animadverte, quod inflammationem in angina factam per suum accidens manifestat, id est, per ruborem. Inquit Hippocrates, quasdam transmutationes fieri, quae non bene cognoscimus, unde ortum habeant, an ordinate, an extra ordinem. Dicit enim, veni ad quendam ipsumque atra bile laborantem, stulta loquentem, et inordinate manus agitantem offendi. paucis diebus post ad eundem reversus ipsum inveni sedentem, et mente constantem. Unde hoc evenisset consideravi, ipsumque alias hoc morbo vexatum esse cognovi, et a terrestri, melancholicoque succo fieri, et Melancholiam vocatam ab eadem materia generari. factusque fuit abscessus in dextro crure prius, postea in finistro. Iterum alium tussis invasit, qui nihil expuebat, et pulmo interclusus erat: ac post dies paucos desiit tussis. At ego causam perquirens in eius testiculos phlegmonem ingruisse deprehendi. ibique materia inhaesit. Novistis enim partes pectoris cum genitalibus esse connexas, et ex qua parte pulmonis illuc materia decubuerit, ignoro. Tu vero Hippocratis exempla considera, Melancholiam videlicet, et tussim pulmonem infestantem. Siquidem melancholiam patiens quae capitis pars affecta sit, ignorat: in pulmone vero sensus non est. Igitur cerebrum ob mentis alienationem, pulmo vero ob sensus privationem non sentiunt. Quapropter an salubriter, an perniciose transmutata sit materia, nisi ab eventu praescire non licet.

XIV. Scire oportet, Iecur totius corporis esse medium.

Nam veteres autores septum transversum in medio corpore positum esse dixerunt. Quod si transversum septum, iecur quoque, et eius convexa, utpote transverso septo adhaerentia. Infra iecur esse dicit testiculos, et crura, supra iecur Thoracem, et quae ab eo continentur: et ea, quae ad caput pertinent. Sed inter superiora quaedam magis supra, quaedam minus, ut guttur, et oculos: sed gutture superior est oculus. Et in inferioribus eadem ratiò est. Nam et hoc magis infra, ut crura, hoc vero minus, ut testiculi.

XIV. Per haec verba nobis ostendit Hippocrates membrum, quod mittit membrum, quod recipit, modum abscessus, et membra per quae pellitur materia: hoc est partes deferentes, per eam vocem, quo, recipientes indicat: per eam, unde emittentes: per eas, propter quid, modum, per quem fit abscessus, significat an ex proposito naturae factus sit, an ex morbi pravitate: per ea verba, et per quae, locos innuit, per quos materia decurrit. nam plerumque nobilia membra esse deprehenduntur, per quae materia transit: quae aut ab illo transitu vexantur, aut alterius morbi abscessum patiuntur. atque ita deteriora mala eveniunt. Sic et in aqua fieri solet: quippe cum sit aliquod emittens, aliquod vas recipiens, et canalis per quem aqua delabitur.

XV. Cum de perfecta iudicatione egisset Hippocrates, deinceps vult de imperfecta tractare, et inquit, Morbi, qui finiuntur, aut per evacuationem, aut per abscessum aut per utrumque finiuntur. Nam si concoctio non perfecta fuit, tunc et abscessus plerumque fit repetente morbo. verum unde scire possumus imperfectam iudicationem factam esse et morbum reversurum, et abscessum futurum? ex eo scilicet, quod in temporibus arteriae micant, quas venas appellat Hippocrates. At quid sibi vult: nonne semper micant? micant quidem, sed placide, et tranquille, necnon et cum rubore. Viriditatem autem appellat colorem, ut Iones loquuntur. Nam apud Graecos quinque sunt idiomata apud grammaticos videlicet Commune, Atticum, Aeolicum, Ionicum, et Doricum. Non vult enim ut quidam putant, proprie viridem colorem dicere, sed simpliciter colorem secundum Ionicos. Igitur dicit, et colorem non secundum naturam esse, et ea quae ad spirationem attinent, non permaneant. Et hoc indicavit inquiens, Si spiritus intus relinquatur. Ad aliud postea docendum se

transfert Hippocrates et dicit, Si adest tussis sicca, idest, sine sputo, neque ferina, id est, non vehementer aspera, si permutatio fiat secundum rectum incessum ad inferiora, per ventrem, ut plurimum, decurrit humor: et ad dextram, aut laevam partem fertur ac saepius ad mobilia, et concava membra, articulos scilicet, invadit: aut sursum ad manus ascendit, et eas partes claudas reddit, Alibi enim dictum est, claudum non solum de pedibus, sed etiam de manibus dici solere.

XVI. Humor plerumque, cum morbus finiri debet, dissolvitur: et spiritus sursum feruntur: et partes circa faciem rubore tinguntur. atqui hoc sanguinis per nares effundendi nota est, si materia tenuis sit: aut futuri abscessus, si crassior. propterea dixit Hippocrates, et valde rubentes. verum non in omnibus huiusmodi praesagium invenire licet. Nam in Aethiopibus facies valde rubens nobis non apparet: neque naturaliter albior modus. Dicit autem Galenus, quoniam qui sunt albi coloris, pituita abundant, ideo per abscessum ex pituita genitus morbus tollitur, iccirco dixit albioris modi. Quando enim per nares non fit perfecta solutio, paucum effundunt sanguinem, postea creatur abscessus.

XVI. Quidam codices habent, et siquidem effusis, intus relinquitur. Dioscorides autem hanc particulam interpretans, quia non invenit hanc vocem, quidem dixit, Si non effunditur, intus relinquitur. nam si fiat effusio sanguinis integra, finitur morbus: si non integra, sed intus relinquitur, morbus redit. Sed quid est illud, quod dicit, paratus est: id dixit, aut propter morbi iterationem, aut propter symptomata.

XVII. Ecce ex his omnibus remanentibus significat, quae relicta sunt, ob quae recidiva futura est.

XVII. Ab his verbis morbi iteratio significatur. Dicit enim, febres non acutae sunt, ut febres esse debiles, et iccirco reversuras indicaret. Quippe si essent acutae, materia exturbaretur.

XVIII. Si recte meministis, supra dictum est, Hippocratem de imperfecta iudicatione tractasse: cui succedit abscessus. Et hic rursum de abscessu loquitur, verum haec graeca vox Apostasis non solum abscessum, qui a loco ad locum transmittitur, signi-

ficat, sed etiam sanguinis effusio, quoniam e corpore egreditur, Apostasis, latine abscessus dicitur. Igitur nos vult docere, plerumque abscessum creari, aut sanguinis eruptionem fieri, sed hanc non integre atque ideo protinus morbum repetere. At unde id liquet morbum scilicet reversurum? Ex antedictis notis, quippe ex oris ariditate, inappetentia, et insuavitate. Nunc quoque idem explorat sic inquiens, verbi gratia, si lienem inflammatio invaserit, si futura speratur iudicatio, aut abscessus in articulos ingruit aut sanguis e naribus erumpit, si tenuis fuerit materia, materia in iecore per multitudinem urinae effundetur. Atque sic permutatio fiet, si in splene tumor, aut in iecore inflammatio extiterit. nam aut in articulis fiet abscessus, aut sanguis e naribus profluet, aut urina copiosa ejicietur. Verum si a splene fiet transmutatio, potius in articulis abscessus orietur, cum succus melancholicus terreus sit, et crassus, et deorsum vergens. quod si ab iecore materia transferatur, sanguinis effluvium potius expectandum. Verum si permutatio materiae facienda est, ab iecore ad lienem eam propelli, quam e contrario satius est. quippe iecur liene multo nobilius est. Et hoc est quod Hippocrates voluit, cum dixit, Quae relinquuntur post iudicationem, adjice tu non perfectam. Nam si perfecta fieret iudicatio, denuo morbus non rediret. At cum dixit, Haec est utriusque interceptio, per interceptionem intelligit permutationem. Nam interceptio ab antiquis proprie dicitur, quando pugnantes intercipiuntur. Sic etiam hoc in casu eveniet, si ad aliud membrum detrusa materia ipsum intercipiat. dixit autem: utriusque, lienis scilicet et iecoris.

XX. Hippocrates ad aliam transit sententiam, et inquit, oportere medicum agente natura quiescere, nihilque corpori adhibere, ipsi vero imperfecte agenti opitulari. quodsi nihil prorsus agat natura, tunc ipsum ad materiae praeparationem se accingere debere. verum si ob morbi pravitatem sanguis e naribus decurrat, aut abscessus fiat, tunc esse impediendum. At si dicas, num igitur, si ob morbi malignitatem sanguinis effluvium fiat coercerdum est? maxime. Nam frequenter a liene, aut iecore ad guttur sanguis pellitur, et aspera arteria obstruitur, ac sanguis per sputum rejicitur: tum vero occurrendum est, aut ad nares materia avertenda. cumque ad nares defluxerit, tum considerandum, crassane sit, quia tunc extenuanda: an

tenuis, quia crassior reddenda: si ultra modum ac vires feratur, retinenda, et hoc est, quod Hippocrates voluit, cum dixit eos recipere, quasi dixerit, post concoctionem, et si ad partem nobilem materia non pellatur, neque ultra virium rationem, Cum dixit, qui vero non valde, eos adiuvare, docet, ubi non perfecta fit iudicatio, tunc naturae opem esse ferendam. At per illa verba, potissimum cum futuri sunt, si vero non, cum iam exoriuntur, nos admonet: quemadmodum navis gubernatorem adversus futuram tempestatem se praeparare oportet, aut iam exortae strenue resistere, pariter et medicum se praemunire oportere, si forte ob morbi saevitiam huiusmodi mala evenerint.

XXI. et sqq. Per haec verba Hippocrates non damnat quartum diem, neque sanguinis effusionem. quippe de tertiana exemplum affert, in qua tertio quoque die accessiones fiunt. et quo tempore sunt accessiones, tunc et iudicationes. Igitur aut tertio aut quinto, aut septimo, aut nono die iudicatio fiet, si ex proposito naturae succedet. at si a morbi pravitate, aut quarto eveniet, aut sexto. Idcirco hanc sententiam protulit Hippocrates, Febres, quae diem unum intermittentes altero cum rigore superveniunt una cum iudicatione, a quinque ad septem circuitus extenduntur. inquit Hippocrates, tertianae die uno carent accessione, altero rigore. Neque credas dictum hoc esse inutile, cum nihil inane Hippocrates dixerit. Nam si cogites, te nunquam talem sermonem audivisse, admiratione dignus videbitur. Nam rigorem dicit una cum crisi, intelligens aut eum, qui in singulis tertianae accessionibus fieri solet, aut qui, cum fit iudicatio, exoritur, id est, iudicatorium rigorem. qui in febre, quae causus Graecis, ardor latine dicitur, evenire solet, ubi videlicet sudores emanant. utram mavis, interpretationem accipe. Sed quam vocat tertianam febrem? Empirici et Methodici Agathini sequaces exquisitam tertianam appellant, quae quam diutissime horas duodecim occupat. si ad decem et octo perveniat, parvum Hemitritaeum vel semitertianam latine dixeris: si quatuor et viginti, mediocrem semitertianam: at si ad sex et triginta horas extendatur, magnam semitertianam nominant. Verum nos hoc loco dicimus exactam tertianam longissimum spatium horarum duodecim habere: quae ad decem et octo extenditur, simpliciter tertianam vocari: quae ad quatuor et viginti, extensam tertianam, quae et quam lon-

gissime usque ad quadraginta interdum manet, sed plerumque ad sex et triginta, et ubi nox secundi diei incidit, febris declinatio fit, sed non integra: nam continuo fit iterum superparoxysmus, qui in continuis febribus superparoxysmus, vel superaccessio dicitur, in intermittentibus, paroxysmus, vel accessio. satius est enim, si vel duas aut tres horas intermittat, quam si perpetuam continuationem seruet? quippe sic in libro aphorismorum loquutus est, Febres quomodocunque desinant, nullum discrimen deesse ostendunt: verum in his deficientibus protinus intermissionis tempore ad alium paroxysmum natura separare aggreditur. proinde agitantur humores, spiritus dissolvuntur, obtenebratio, atque vertigo oboriuntur. et hoc est, quod dicebat Hippocrates: Quibuscunque debent iudicationes fieri, his nox ante accessionem molesta est, quae vero sequitur, tolerabilior plerumque est.

XXIV. Admiratione dignus est hic sermo, neque tantummodo forte est admirandus, sed etiam verus, et memoriae commendandus. Nempe docet ardentem febrem accidere, in qua neque sitis adest, neque exiccatio. Quamobrem id fit? quoniam exigua supervenit tussis, quae levi motu exiguum humorem ad appetentiae meatus impellit, ac sitim moderatur. sed quatenus ad tussim attinet, inquit, bene se habent. quoniam magna tussis magnam facit concussionem et ferinam. Cum dicit autem, tussim non magnam per id significat, quod inquit, parum irritantes, et per ea verba non ferino. ferinas vero tusses, quidam eas esse volunt, quae fiunt pulmone exulcerato: aut si lumbrici ad os ventriculi repentes, locumque illum coarctantes tussim excitent. At huiusmodi tanquam raro evenientia dimittantur. sed ferinam tussim appellat, per quam nullum rejicitur sputum. huius autem causae sunt, aut crassus humor, aut virium infirmitas, aut materiae diffluentis tenuitas. hanc igitur tussim non admittit, sed eam, quae fit per spiritum, spiritum, inquam, frigidum. Quippe et in libro de causis traditum est, tussim et a frigido aere attracto, et a cibis et herbis, et a pulvere arteriam pulmonis exasperante concitari. hanc itaque tussim, quae a frigido spiritu exoritur, intelligit. Quod et per ipsam curationem palam fit. nam hac tussi laborantes, si os et labia clauserint adeo, ut ne frigidus aer inspiretur, ea liberantur. et hoc dicere voluit inquiens, Tusses aridae. aridam autem tussim appellavit, quoniam modicus est humor, qui a tussi movetur, quae

lenita siti, et ipsa extinguitur. cum vero loquuntur, aut oscitant. Oscitare autem dicit Hippocrates, propter oris apertionem. Haec est enim Alexandrinorum consuetudo. subdit Hippocrates, Hoc autem in laboriosis febribus. labor vero duplex est, alter sponte nascens, quemadmodum ipse alibi dixit labores spontini morbos indicant, alter ab externa causa. qui spontinus est, tussim non movet: quemadmodum testatur Galenus. neque enim id unquam in operibus artis medicae visum est. sed a labore, qui ab externa causa ortum ducit, tussis concitatur. et hoc aut per se, aut ex accidenti. at non per se potest id labor efficere: quippe hyberno tempore, et frigidi aeris in spiratu tussis oritur: aestate a pulvere, cum spirandi arteria exasperatur.

XXV. Haec aut propter ipsiusmet Hippocratis dicta, aut propter aegroti corpus, aut propter curationem intelligenda sunt. Propter eius dicta quoniam ipse nihil dicit casu, nihil inane, nihil oscitanter. Propter corpus vero laborantis, quod nihil scilicet in corpore fortuito, et sine causa evenit, atque ideo neque est despiciendum: quia parva multoties magna quaedam significant: propter curationem autem, cum non oporteat curationes fortunae committere: et quae nonnullis privatim proficerent, communiter omnibus adhibere: neque ullo pacto singula quaeque contemnere.

XXVI. Nos admonet Hippocrates, ut quoties permutationem facere voluerimus, exempl icausa a calido ad frigidum, vel e contrario, aut ab illuvie ad frequentem lotionem: vel e contrario, aut ab exercitatione ad otium, vel e contrario, ne subita et continua permutatione uti velimus: sed paulatim adjiciamus, et quietem interponamus, ac denuo permutemus, quoniam repentina mutatio naturam perturbat: neque idem est, ab exercitiis ad otium traduci, ac ab otio ad exercitia. Nam ab otio ad exercitia per corporis laborem fit traductio, a quo insolito vehementer natura vexatur.

XXVII. Supra dictum a nobis est, hac in parte de privatis morbis Hippocratem agere, atque ita se ab uno ad alium transferre. Nempe cum de abscessu, et de sanguinis e naribus profluvio sermonem fecerit, quid sperandum, quid prohibendum nobis indicans: deinceps hoc loco de revulsione agere iterum aggreditur et inquit, non solum universe abscessum fieri posse, exempli causa, in toto corpore, verum etiam in singulis mem-

bris. nam saepissime a corpore toto revulsionem facimus: ut quando in locis pectoris materia continetur, in pedibus revellimus. Quemadmodum et in aliquo membro, pariter et in capite: ut si quis anteriora capitis doleat, frequenter cucurbitulas occipitio applicantes affectum removemus. At si posteriora capitis dolore vexentur, an sanguis abundet, considerato, ac primo totius corporis inanitione, hoc est sectione venae utendum est: deinde ad partis inanitionem accedendum: et anterior vena, quae est in media fronte, incidenda. nonnulli venam hanc frontis secundum eius rectitudinem secandam esse censuerunt: verum hi haud dubie falluntur, quoniam saepius et hanc oblique incidimus. Et quemadmodum in anatomia declaravimus, duae venae a faucibus et scapulis ad caput ascendunt: quarum una ad frontem pervenit, et hanc secandam esse admonet et haec est huius dicti sententia.

XXVIII. Hoc loco superius dicta repetit inquiens, inflammationes esse considerandas, id est, materiae transmutationes, an e iecore in lienem, vel e contrario fiant. Nonnulli hanc partem et superius dictam sic enarrant, oportere permutationes materiae intueri, quae a liene, aut iecore fiant: et a iecore in lienem, aut a liene in iecur desinant. quod et difficilius est, et morbum efficit graviorem. Verum in utroque animadvertere convenit, num ad articulos currat materia, abscessusque efficiat, an per sanguinis e naribus eruptionem finiatur, aut per lotii copiosam emissionem. per exceptiones vero membrorum a materia occupationes intelligit. Iterum ad aliud praeceptum transit Hippocrates, ac de revulsione quid agendum, nos instruit, inquiens, si ad principem partem materia fluat, ad contrarium locum revellenda est: si ad ignobilem, tum et tu quoque materiam illo magis concites. ut si a liene ad guttur humor ut ad nares ascendat, neque sanguis, ut convenit, effundatur, tunc materia illuc avertatur, ac ferramento vena feriatur, aut medicamentis acribus, aut acutis odoribus, aut aliis remediis venae aperiantur, neque semper, ut alii putant, ferro utendum est. ut puta si in foemina materia deorsum petat, tunc ferreo instrumento uti non possumus, sed attrahenda materia est, aut aliis subjiciendis remediis acutis vasa patefacienda.

XXIX. Tubercula a pustulis eo differunt, quod ipsa ab intima carne prorumpunt, eamque exeduut: at pustulae solam cu-

tem laedunt. Verum frequenter tubercula pustulae, et pustulae tubercula abusive nominantur. sed per ea verba quid significare vult Hippocrates? a nobis saepe dictum est, tubercula aut in acutum surgere, aut in latum extendi et ampliorem locum occupare. Quae in aciem tolluntur, materiam calidam tenuemque ac virium firmitatem significant. Si latiorem sedem teneant, materiam frigidam et crassam, viriumque imbecillitatem indicant. Id genus autem pustulae plerumque latae generantur, et ob humoris frigus pruritu vacant. quod difficultatis signum est, cum temporis diuturnitatem ad earum maturationem requiri ostendat. Probationem autem huiusce dicti per historiam facit. Narrat enim quendam nomine Simonem fuisse, cuius intima corporis excrementis vacabant, sed cutis sordibus scatebat. Et quoniam apud ignem iacuit, materia effusa fuit: quae cum frigida esset, lata tubercula emerserunt, eumque per vomitus nihil auxilii percepisse dicit. Sed quid est hoc? o Hippocrates, num tu eum vomere coegisti? an ipsemet sibi immissis in fauces digitis vomitum elicuit? id vero negandum est. Quid ergo est, quod ab Hippocrate dicitur? ipsum hoc tibi dicere putato, sermonem methodo indigere. Methodus autem huiusmodi est: opus est te, (inquit) in aegrotante explorare, num totum corpus an superficies solum excrementis abundet. nam si totum corpus, tunc purgatione aut venae sectione utendum est: purgatio vero per superiora aut plerumque per inferiora facienda est: per superiora quidem, per vomitum, cum ventriculi ostiolum humore abundat: sin intestina humore sint repleta, per inferas partes educito. Ubi id feceris, nec quidquam profuerit, ad localia vocata auxilia transibis, quale est oleum liliaceum, aut chamaemelinum, aut aliud simile calidius oleum post primam purgationem et vomitum. Ubi vero haec adhibueris, et res non processerit, immo contra ad locum fluorem attrahens nocueris. In quibus erunt tubercula, neque totum corpus pravis humoribus refertum fuerit, tum vomitus movendi non sunt, neque eas curationes adhibeas, quae intimis partibus aegrotantibus conveniunt. neque enim proficies, sed contra noxam inferes. Iccirco dixit Hippocrates vomitus nihil proderant. Igitur ut curationem doceret, inquit, in his vehementiore calefactione utendum, quo sic humor attrahatnr. et hoc innuebat inquiens: et vomitus nihil proderat, sed excalefactio. et per ex praepositionem, quae est in graeco verbo ἐξεπυρία, vehementiam calefactionis, et curationis significavit. Nam ex nimio calore tubercula excitantur: et

ex multa calefactione fit perfecta materiae discussio, ac permutatio. Adiecit autem hoc verbum puto, quoniam per Simonis historiam hoc in memoriam revocat, cum ipsum non viderit: aut quia locutio haec est narratoria, propterea non asseverans, sed cum dubitatione protulit.

XXX. Iterum de abscessu agit Hippocrates, sic loquens, ad aegrum accedo ipsumque aut manus, aut pedis abscessu laborantem invenio. ac statim discussoriam medelam adhibeo, calidiorem videlicet, ac sicciorem: quod si abscessum discussi, bene est: at si discussorium remedium nihil profecit, iterum naturam imitans opus aggredior, et materiam coquere adnitor. neque amplius calidis utor, quippe quae meatus dilatent, et nativum calorem exhalare faciant, unde materiae concoctio prohibetur. Immo superficiem densare malo, et calorem naturalem occludere, ut cutis coarctatione vehementior effectus maturationem praestet. Id autem faciendum est, ubi facultatem robustam inveneris. quae si imbecilla fuerit, et quae dixi feceris, ac superficiem conspissaveris, cavendum erit, ne facultas obruatur, ac intereat. perinde ac parvus ignis a fumo suffocatur, sive calorem naturalem proprie, sive quam aliam potentiam calore naturali pro instrumento utentem accipere volueris. At si in abscessu vim fortem offenderimus, tum per emplastica meatus concludere oportet. Quocirca et persaepe suillo adipe utimur, et id genus aliis, ut maturescat attenueturque materia: convenietque magis, si vetus erit adeps: quoniam vi quadam molliendi, et attenuandi, nec non et tenaciter adhaerendi praeditus est. Id autem esse verum omnibus liquet, et experientia declarat: quandoquidem Empirici vocati medici interdum ordeacea, interdum triticea farina utuntur. Siquidem discutere volentes ordei farinam accipiunt, tanquam abstergentem, dissipantem, ac vim repurgandi possidentem. At concoquere cupientes triticeam capiunt: quippe quae tenaciter adhaerendi, atque humectandi potentiam habeat. nonnunquam autem et cum ea salem permiscent. et eorum, quae ex istis fiunt, causas ignorant. In alio quoque aegrotante abscessum inveni, et fomentis usus fui. semper ab initio his medicamentis utendum est, deinceps ad alia transeundum. Igitur discussoria adhibui, et nihil profectum est. Emplasticis usus sum, multo minus morbus curatus est, cùm ad maturationem non pervenerit. intra haec nigror circa cutim subito obortus est, atque gangraena. Tunc tu ferrum accipiens multis in locis al-

te concidito, quo membrum plura habens spiramenta materiam ejiciat, id quod Hippocrates voluit, cum dixit Aperire.

XXXI. Denuo de revulsione sermonem aggreditur. De hoc a nobis in libro de causis actum est: atque iterum huiusce rei mentionem facere opus est. Itaque novisse debemus in oculi magno angulo foramen esse. quod duabus de causis a natura factum fuit, aut sordium e cerebro fluentium ejiciendarum, aut ipsius cerebri ventilandi. Id foramen caruncula quaedam naturaliter contegit. haec adaucta morbum parit, quem encanthida Graeci nominant, diminuta fluxionem gignit. Dicit autem factum esse morbum, qui Rhyas vocatur, ob quem humiditas per oculos effunditur ipsique lippitudine, aut cernendi imbecillitate afficiuntur. Et inquit Hippocrates tunc ad fauces revulsione utendum est. Traditum est autem in libris anatomicis, meatum illum, qui in angulo est, aculo, palato, et naribus esse communem. Et hoc in illis patet, qui oculos collyrio delibutos habentes, eius particulam expuunt, quae primo per foramen illud in palatum, deinde in fauces descendit. Dicit enim, Oportet materiam revocare permeatum illum in fauces. At quid est hoc quod praecipit Hippocrates revellere scilicet materiam per cavum illud in fauces? nonne si ad fauces ducetur, et ad guttur perveniet? mox et ad pectus delabetur? atque ita deteriores casus evenient? permittens ergo ad oculos humorem confluere: si quidem oculus pectori comparatus, multo ignobilius membrum est. Quid igitur faciundum? Respondeo id facere oportere, si retractione ad fauces uti convenit: quod si non convenit, ab hac revulsione abstinendum, et aliis utendum. Et ubi eructatio confert, eructationes quidam spiritus humorem habentes vocant, probationem inde sumentes, quod eructando salsuginem percipiunt: nam salsugo et humorem habet et spiritum. Quidam dicunt solum humorem: quidam spiritus expulsionem tantum. Et hoc aut in toto corpore est aut in parte, aut inferius. Et tunc per clysterem nitrum, aut aliquid huiusmodi habentem flatus educimus. aut superius, et tunc per cibos, aut potiones id praestamus. Igitur sic enitendum est. Nam plerumque per sorbitionem cum vase angusti oris id efficitur. Si quidem ab ipso utpote angusto spiritus in pectus attractus vim coctricem excitat, ut ipsum in exhalationem convertat, atque sic isti confestim eructant. Persaepe autem hos ita affectos ad eructandum impellimus, si musculos inter costas locatos perfricamus, atque distendimus.

XXXIII. Invenit plerumque Hippocrates materiam corporibus nocentem: sed nonnunquam et sola intemperies laedit, nonnunquam et sola materia. Verum post materiam omnino intemperies sequitur. Idcirco et Hippocrates longum de materia sermonem facit. Quapropter et hoc loco de ipsa agere proposuit, ita inquiens, Transitus patefactos esse oportet. Transitus autem naturales meatus appellat, ut nares, alvum, urinaria vascula: hoc est iter, quod inter renes et vesicam dirigitur, et reliquos occultos meatus. haec omnia transitus vocat. Quemadmodum et in exterioribus, in urbibus videlicet, sunt ductus. et horum quidam sunt aperti, urbis purgamenta deferentes: propterea et ipsa morbis vacat. at si huiusmodi transitus occludantur, purgamenta in urbe remanent, putredinemque, et ex putredine morbos pariunt. haud secus et in nostro corpore invenlre licet. Quam ob rem Hippocrates magnam naturalibus meatibus curandis diligentiam adhibet atque ordinate procedit, nobilitatis ordinem servans. Nam cum cerebrum sit totius corporis membrorum nobilissimum, ideo a naribus incepit, quae cerebri purgatoria itinera sunt, quemadmodum et iecinoris renes, vesica, et eius cervix. Item alui intestina. Et eorum quae in pectore continentur, aspera arteria, et pulmonum cavitates quemadmodum et in toto corpore meatus occulti. Quocirca inquit Hippocrates, hoc aditus, hoc est a natura factas vias patefacere opus est et, Quomodo oportet, dicit, id est secundum modum congruentem, aut per alvum scilicet, aut per viam, quae inter renes, et vesicam posita est, aut per sudores. Ut convenit, dicit, quasi dicat, oportet nos in aperiendo uti cura, aut per purgatoria, aut per cibos, aut per id genus alia. Aperire autem Hippocrates dicit, non ferro scindi vascula, et recludi, sed aut per naturam, aut per artem ipsa inanitatem quandam, et exitum habere oportet. per Qualia, intelligit quando cum ratione aperiuntur viae et fit materiae depulsio, ut in Aphorismis ab eodem traditum fuit, Si qualia purganda sunt, pnrgentur, prodest, et leviter ferunt. cum dixit, Quando oportet, nos admonet, ut naturam imitemur, post concoctionem videlicet, et nullo pacto ante. ubi dicit, Quantum oportet docet evacuationem neque minorem neque ampliorem quam oportet, fieri debere. postea id declarans subiecit, ut sudores. Nam per sudores immodicos evacuationem fieri minime convenit, ne utile atque inutile simul evocetur: innatus calor videlicet, ac vitale robur. Ipse quidem exemplum de sudoribus attulit, tu vero et de ventre, ac aliis si-

milibus, quae tibi destinaveris, intelligito. Verum in principio sermonis dixit Hippocrates, ut nares. Sciendum est autem ipsum narium meminisse, vel quod cerebrum per has expurgatur, vel quia natura per istas corpus evacuat, ut per sanguinis effusionem, sed melior est prima causa, at secunda, hoc est fluor sanguinis, non est naturae cognita, sed prima potius. cum dixit et Alia, alios exitus intellexit, qui per alui deiectiones, per urinam, et huiusmodi alia fieri consuevere.

XXXIV. Ad aliam sententiam transit Hippocrates. Et illi, qui in arte perfecti sunt, quid dicat, intelligunt. Sunt enim quaedam mala, quae magna esse aspectu videntur, sed re ipsa parva sunt: contra quaedam re vera magna sunt, quae tamen exigua videntur. Id ergo dicit Hippocrates. Nam saepe multi accidunt morbi, qui difficultatem prae se ferunt: unde rudis homo turbatur, sed peritus laetatur, quoniam faciem malo signo vacantem intuetur, et vires esse validas deprehendit. eamque faciem bonam, et prospera indicantem appellat. Item saepenumero contrarium evenit, et morbi, qui parvi esse creduntur, conturbant artificem. Faciem enim tantum aut ob virium imbecillitatem, aut ob exiccationem afflictam considerat. Nam oculorum cavitatem, et pallorem intuetur: quoniam nativus calor debilitatus est, et ob exiccationem humores oculorum aruerunt. Faciem vero bonam appellat, quae minus symptomatis deformata est. Neque enim eam, quae prorsus symptomatis vacat, probamus, cum et id saepius praeter naturam eveniat, utpote quando e contrario aquoso et supervacuo humore facies intumescit. In parvis per haec verba Hippocrates innuit mala, quae specie parva, sed re ipsa magna sunt, facies bonae significationi contraria, utpote non conveniens perniciosa significat.

XXXV. Per aenigma quasi, ac per similitudinem dicit hoc Hippocrates memoriae propriae consulens. Inquit igitur, Apud magnum, aut locum scilicet magnum, aut theatrum magnum, aut eiusmodi aliquid. nam locum ignorabat Hippocrates. postea subdit, ubi mulier, cum nomen viri nesciret: adiecit, Arquato superveniente, aut eius faciem, aut totum corpus Arquato suffusum esse significans. Galenus hunc locum declarans ait, ex his verbis nihil utilitatis acquiri posse, cum nihil certi habeatur, quo pacto homo iste auriginosus evaserit, an propter expulsionem sponte naturae factam bile ruffa ad summam cutim detrusa, an ob felleae vesiculae obstructionem: an propter iecoris

ris inflammationem. Iccirco auriginosum vocat aut corpus, aut os, aut ipsum virum felle suffusum: cuius uxor post Heroum habitabat, apud magnum theatrum.

XXXVI. Quidam codices habent apud Timenei neptem: quidam, cum Timenei nepte. Si legimus, Apud Timenei neptem, intelligendum Timenei neptem nigro colore fuisse: Si legamus, cum Timenei nepte, interpretandum, virum habitantem cum nepte Timenei atro colore fuisse tinctum. Iterum Galenus hoc loco dicit, nihil certi hinc elici posse, quomodo iste denigratus fuerit: an videlicet id naturae opus fuerit, melancholico succo ad extima transmisso, an ob corporis naturam, quod in melancholicum temperamentum conversum fuerit.

XXXVII. Nonnunquam vix congruentem sermonem libri inscriptioni facit Hippocrates, quae est de morbis popularibus. Siquidem hoc loco totius civitatis, non singularis viri aut mulieris facit mentionem. Nam Perinthus est urbs Asiae. Igitur dicit, in hac Perintho oedematosi tumores evenerunt, inflationes, sublationes. Animadvertendumque est, ipsum dixisse, oedematosos tumores, non phlegmonas. nam si phlegmonae fuissent, certe et febris invasisset: et quae dicta sunt ab Hippocrate, nihil opis attulissent. Itaque oedematosos appellat, id est, tumidas inflationes, quae ex humida et frigida materia constant. ac si ea, quae in libris aphorismorum dicta sunt, memoria tenemus, has oedematosas inflationes plerumque rugitus non discutit, cum rugitus nihil sit aliud quam humoris cum flatu agitatio. Significatque materiam, quae quiescebat, ac sine motu erat, in praesentia moveri, et ad iudicationem festinare. Sed flatus multi emissi hos tumores dissiparunt: sic et alvus fluens tenacia recrementa dejiciens, hos tumores consumpsit. Urina quoque geniturae similis egrediens, morbum permutavit. Sed urina geniturae similis alba, lenta, et crassa est. Hippocrates autem primo urinam ponit, deinde tumores: dicitque per talem urinam iudicationem, ac morbi permutationem factam esse. Verumtamen non negamus, quin et ab aliis, ut rugitu et flatibus permutatio fiat. Sed quod huiusmodi iudicationes fieri non contingit, nisi quando lotia id genus reddita sunt. Dicit Hippocrates, Neque enim magnum erat Hypochondrion, id est, non aderat inflammatio, non oedematosus tumor, non febris. neque enim rugitus, aut flatus, aut alia similia huius-

modi vitia discutere possent. immo potius missio sanguinis aut alui purgatio.

XXXVII. Inquit Hippocrates, quidam oedematosus tumor intra peritonaeum circa abdomen exortus est. neque flatus emissio, neque medici opera malum sedabat: sed aeger malo irritatus repente septimo die brassicam comedit, et sanatus est. Nam calore et acrimonia sua brassica lentum humorem incidit et extenuavit, atque sic frigidum tumorem dissipavit: unde et bona spiratio reddita est. Nam tumor iste intra peritonaeum ortus erat, et septum transversum, ac reliquas spirationi servientes partes in angustias compellebat. atque inde spirandi difficultas orta erat. tumore igitur dissipato bene spiravit. Atqui haec omnia brassica praestat, non ut cibi, sed ut medicamenti rationem habet. Nam ut cibus semper damnatur, quippe quae malum succum pariat: ut medicina probatur, quare et medicamen ad brassicam scriptum est, quae praesertim cruda exhibita ad dejectionem alvum citat.

XXXVIII. Ex hac dictione constat, librum hunc memoriae consulendi causa fuisse compositum. nam cum volumus reminiscendi causa summas breves scribere, sic in tabellis scribimus. Quoniam in alio quodam tractu de hoc agere volo, et de hoc agere statuo. Itaque sic et Hippocrates inquit, *De sanguine ichoroide agere volo.* Sanguis autem duplex est, aut purus, aut cum aliis mistus. Habet enim sanguis, ut etiam caeteri humores, suum serum, quandam videlicet tenuem, et aqueam substantiam, quod et in lacte invenitur. Et quemadmodum lactis serum ob sui acrimoniam ventrem stimulat, et ad excretionem impellit, eadem ratione et humorum serum: sed aliud magis, aliud minus. Id et ichor ab Hippocrate nominatur. Quocirca et Plato de seri natura loqui volens ab Hippocrate accipiens dicit: *Ichor autem sanguinis quidem serum, mitis: nigrae vero bilis, sed acidae ferus.* Id ergo docere vult Hippocrates, sanguinem ichorosum, hoc est, sanguinem cum pituita, ac ut cum humore melancholico mistum, timorem, ac perturbationem inferre, timorem quidem propter humoris refrigerationem. Sic enim alibi dictum est, si timor, et pusillanimitas adest. perturbationem vero injicit: quia serum commovet et ejiciat. propterea ita loquutus est Hippocrates, *in paventibus, et perterritis.* At si cum bile ruffa

ichorosus sanguis mistus fuerit, deliria, et vigiliam pariet. si cum atra bile, furorem incutiet.

XXXIX. De lienis affectu hic documentum tradit. Et haec est eius sententia, quod quibus lienis deorsum vergit, quasi dicat, si in imis partibus phlegmonem habeat, aut etiam si phlegmone in superioribus facta sit, sed materia ad inferiora descendat, in hoc dicit, quoniam a laborante membro materia ad inferiora labitur cum suis facultatibus, id est, sanguis. iccirco inferiora, ut pedes et genua, calidi sunt, sed manus et aures et nares frigidae. Primus autem, qui hunc librum descripsit, in multis inveniens exemplaribus manus cum pedibus et genibus posuit, et dixit, manus calidae: et in hoc deceptus est. subjunxit Hippocrates: Num propter hoc? per viam interrogationis sermonem faciens, siquidem in liene vitiato sanguis per nares tenuis frequenter effunditur. Quaerit igitur quamobrem hic subtilis sanguis emittitur: num ipse lienis ex subtili humore conflatam phlegmonem habeat. An crassum quidem in splene resideat, subtile vero effluat, splen autem lapidescat?

XL. Nonnulli hanc dictionem cum superiore connectunt, quod scilicet quando in liene fit suppuratio, tunc superiora frigida, inferiora calida fieri contingit. Hoc autem verum non est. Nam si materia sola adsit, haec symptomata fieri possunt. At nos dicimus, haec verba cum sequentibus esse iungenda. Quoniam saepe circa umbilicum, aut pectinem, aut intestina phlegmone exoritur. postea repente fit eruptio, et sanies per manifestos meatus ad intestina ducitur. Postea vero id tanquam celeris transitus alvum sistit, et excrementa cum pure mista dejiciuntur. Quod cum accidit, phlegmonem hanc suppuravisse significat. Et haec est mens Hippocratis.

XLI. Tumorum lienis differentias hic persequi decernit Hippocrates, dicens, Tumor nonnunquam in superioribus lienis partibus, nonnunquam in inferioribus generatur, nonnunquam et longus percipitur, cum et ipse lienis longus sit. Nam persaepe quae praeter naturam sunt, eorum, quae sunt naturalia, figuram suscipiunt, sicut in iecinore quoque plerumque rotundus tumor excitatur. Itaque in liene modo longus gignitur tumor, modo rotundus: modo crassa materia in profundo redundat, cum terrea pars humoris in intima lienis penetraverit. Potes autem et tu sic dicere, lienis et supra longus est,

et infra longus, et supra latus, et infra latus, et interius crassus et exterius crassus.

XLI. Si cum gravedo infestat, in liene morbus exoritur, sanari solet. Gravedo autem et destillatio ab eodem fonte, cerebro scilicet, emanant, loco tamen, quem petunt, differentes: siquidem gravedo nares, destillatio fauces invadit. Igitur aut hoc vult dicere, aut duas tresve corporis partes eodem tempore laborare contingit, quarum debilior, materia in eam confluente, magis laeditur. Itaque sic nares sunt debiles et lienis, ut debilior materiam excipit, non facta gravedine, quae tamen, si fiat, moderatior erit. Et Galenus in libro de Locis affectis idem tradidit, hoc est, saepe tria membra simul aegrotare, vesicam scilicet, renes et uterum. fluente vero materia, horum debilissimum eam suscipere. Archigenes autem ea omnia aeque laborare dicebat, quem eo loco vituperat Galenus.

XLII. Hippocratem de privatis potius, quam de publicis morbis agere multaque, et insignia de morbis praecepta ab se inventa nobis tradidisse, frequenter a nobis dictum fuit. Deinceps hoc loco, medicus quo pacto circa aegrotum se gerere debeat, docere instituit: ac qualem medici curam et administrationem circa aegrum esse oporteat, diligenter explanat. Sed quid est administratio, quam Graeci oeconomiam vocant? Dicimusque eam esse usum bonum, et opportunum eorum, quae domi sunt. Differtque usus ab acquisitione: usus enim est congruens eorum, quae adsunt, dispositio ac gubernatio, si acquisitio vero est eorum, quae non adsunt, adeptio. Quemadmodum Xenophon Socratis discipulus in suo Dialogo oeconomico inscripto declaravit, differre scilicet rei adeptionem ab eiusdem usu. nam bene partis male uti licet, ut contra male parta in bonum usum vertere. nam saepe aliquis per scelus pecuniam lucratus est: qua tamen bene utetur. Alius iuste, propriis scilicet laboribus est: recte agendo magnum quaestum faciet, et male ipso utetur, in res vitiosas ipsum profundens, vas foraminibus plenum, ut Plato dicebat, imitatus. Quocirca quemadmodum in externis, sic et nobis ista differentia reperitur. Etenim persaepe nonnulli pauca scient: sed illa ut decet, pronunciabunt, atque inde ob rectam enunciandi rationem, sapientes iudicabuntur. Alii multa profecto cognoscent, sed uti ignorabunt, neque in cognoscendo, neque in curando: in cognoscendo, quoniam cum ad aegrum accedunt, neque praesentia

vestigant, neque futura praescire conantur, sed eorum cognationem inquirunt, quos logiatros, id est, verbis tenus medicos Galenus appellat. In curando vero saepe usuvenit, ut quis multa habeat medicamenta, quorum vires, et modum utendi et quantitatem praebendam ignoret. Quapropter nos et res ipsas bene cognoscere, et ipsis recte uti scire opus est. Cumque ad aegrum veneris, et eius faciem macilentam inspexeris, atque, ut in praesagiis dictum est, emortuae persimilem, et in alio faciem tumentem offenderis, ne dicas, multo somno, aut otio faciem emacruisse: sed cuiusque causam congruentem assignes: ac de priori dicas, faciem eius propter contenti humoris exiccationem, aut exhalationem contabuisse, aut propter moerorem, aut curas, aut virium infirmitatem. De tumidam faciem habente, ex longo somno, aut otio, aut ob redundantes humores id evenisse dicito, ac de his conjecturis loquens nihil pro certo affirmes, sed cum dubitatione perconteris, supervenitne tibi maeror aliquis? an diu vigilasti? an curis multis oppressus fuisti? aut quid aliud huiusmodi interroges. aut cum disiunctione ita dicas, aut tu maerore oppressus es, aut diu vigilasti, aut multis curis occuparis. nam ex his prorsus veram causam nactus eris. Est etiam ipsius laborantis ingenium considerandum, num antequam aegrotaret, esset audax, et confidentiae plenus: in praesentia vero abiecto animo, et humi spectans. nam gravem somnum, violentum soporem, ac veternum instare significat. Quod si modestus antea fuit, et mitis, in morbo autem ferox, et temerarius evaserit, maximam mutationem factam esse, ac mentem labare indicat. Praeterea et aliud animadvertendum est: si non timidum hominem hunc, et prudentem noveris, ei veritatem aperias, dicasque: morbum esse periculosum, sed bene esse sperandum. contra si stultum, et omnia quamvis levia formidantem, veritatem ei ne dicito, sed morbum discrimine vacare, et vereri te, ne ipsius intemperantia deterior evadat. atque iccirco oportere ipsum medici praeceptis esse obedientem. Iis autem, qui forti animo sunt, et eorum curam habentibus veritas dicenda est, morbum scilicet perniciem minari. Item considerandum est, quibus, dum sanus esset, delectabatur, ut si aleae ludo, curato ut aliqui coram eo ludant alea: si grammatice loqui, fac eos, qui cum ipso loquentur, grammatico uti sermone, si oratorie oratoris more. Et eius cariores amicos ad ipsum accedere permittito, alios excludito. Et haec, quatenus ad aegrum pertinet. Praeterea et eius ministros ad-

moneas, ut ei grata respondeant. Quodsi quis non verus amicus eum visere velit, ipsum quiescere dicito, propterea te neminem admittere velle. Siquis autem alienus te obsecrans, ut aeger se habeat, interrogaverit, et eius fuerit inimicus, ipsum respondeas, bene se habere: at si ex praecipuis amicis fuerit, ei verum referas, aegrotum, scilicet, cum vitae discrimine laborare. In quibusdam codicibus non sunt scripta haec verba, Quae ad externos, sed haec, Quae ad exteriora, id est, ad aerem ipsum et locum et huiusmodi alia. Nam si sudor emanaturus expectatur, dic ipsum effusum iri, nisi aer refrigeretur. Nam sic et Galenus de quodam praedixit, eum videlicet sudaturum esse, nisi aer restitisset. aere enim refrigerato non effluxit sudor, postea Galenus eum ducens in balneum patefactis meatibus sudorem evacuavit: affectumque discussit. Et haec est praesentis partis sententia: ex ante dictis administratio ad aegrotantem pertinens tradita est. Quae ad morbum spectat, huiusmodi est, oportet medicum considerare, num morbus sit salubris, lethalisve: num concoctionis signa apparuerint, necne: num morbus iudicabitur, dissolveturve. inquit Hippocrates, Interrogationes, quae narrat, hoc est, administratio, quae et aegro, et aegrotationi adhibenda est, interrogationes sunt, quaecunque narrat aegrotans, quae animadvertenda esse dicit, si securus est affectus: at si exitialis, non animadvertenda.

XLIII. Id quod fuse Hippocrates in libro Aphorismorum tradidit, hac in parte breviter enarrat, Masculos in dextra uteri parte generari, foeminas autem potius in sinistra. huius effectus causam nonnulli congruenter assignaverunt, videlicet propterea quod dextrae partes sunt calidiores, sinistrae frigidiores. Nam hoc modo et viri calidiores, et mulieres frigidiores sunt. Sed dextra calidiora esse unde dignoscitur? respondent aliqui, ex eo, quia sunt robustiora sinistris, robur autem calorem ostendit. At nos aliter dicimus, non propter calorem dextra esse validiora, sed quia bene moventur, et vehementius exercentur. Hinc est quod dextra manus, utpote magis exercitata, dextro pede valentior est. Alii dicunt, calidiora esse dextra, quoniam iecur in dextra parte collocatum sit. Verum nos dicimus cor in medio thorace esse positum, sed ad sinistrum latus eius sinistrum cavum declinare, sed ultra haec veram causam referamus, quam per corporum animalium dissectiones compertam

habemus. Scire igitur oportet venas et arterias magnas ad renes derivari, quae sanguinem defecandi, quo membra nutriuntur, officium habent, sed antequam ad renes perveniant, ramus unus ab ipsis ad sinistrum testiculum, et ad sinistrum uteri sinum mittitur: qui sordidum et impurum sanguinem continet. A renibus autem purgato sanguine ramus alter, ad dextrum testiculum, et ad dextrum uteri concavum descendit, qui purum et calidum sanguinem devehit. nam purus sanguis impuro calidior est. Hac de causa mares in dextro, foeminae in sinistro latere generantur. At non modo uteri cavitatum temperamento causa est assignanda, verum etiam masculino semini calido et ad mares generandos idoneo. Cum his et superior motus numerandus est. absurdum est enim vim formatricem uteri et seminis temperaturae effectricem esse dicere, horum autem causam esse non dicere: quandoquidem neque mas, neque foemina sine ipsa gignitur. Quocirca vere de ipsa dictum fuit. quod voluit aspexit, atque ita omnia facta sunt. Hae sunt igitur omnes causae, ob quas mares in dextris, foeminae in sinistris partibus oriantur. Et huius rei fidem a pastoribus accipe. Siquidem oves et caprae geminos foetus edunt, et cum praegnantes fuerint, eas in dextris mares, in sinistris foeminas gerere inveniemus. Et hoc idem Parmenides affirmavit inquiens, In dextris quidem pueros, in sinistris vero puellas. Caeterum quandoque (licet raro) et in sinistris mares, quemadmodum foeminae, et in dextris foeminae, quemadmodum et mares procreantur. Quare Hippocrates brevitati studens, haec verba adjecit, Quoniam in calidiore firmiorum. Sed alii dicunt, quia in calidiore firmiora. quocirca cum in calidiore loco fiant dextra, ideo firmiora sunt. At Galenus non ita dixit, sed in calidiore quia et firmiore: quoniam dextrae partes calidae et firmae sunt: et fortes, et nigri capilli. Propterea et venae extrorsum tument. Sed hoc ex accidenti fit. neque enim semper pueri nigros capillos et tumidas venas habentes generantur.

XLIII. Hanc vocem, magis, nonnulli ad nigros capillos, et extra prominentes venas referunt, nonnulli ad inferiora, hoc modo, Magis concretum est, compactum est. Nam foetus in dextris magis concretus est, et magis compactus. Concretio vero aliud est, quam compactio. Nam concretio est copulatio, et connexio qualitatum. compactio autem est moderata quaedam seminis congelatio. Hic forte quis dixerit, congelationem

a frigore fieri. dicimus nos propterea, ipsum non dixisse congelationem, sed compactionem, quoniam congelatio a frigore, compactio a calore gignitur. a quo fit exiccatio, propter quam materiae compactio exoritur.

Ibid. Nonnulli verba Hippocratis haud intelligentes, hanc vocem quieuit sustulerunt, et ita legunt, celerius motum est, tantum. At Galenus vult eam vocem remanere, quiescit videlicet, quae idem significat, quod cessavit. Verum quid per hoc verbum innuit? nam et in secundo libro de Popularibus morbis hoc idem usurpavit, inquiens, phlegmone facta est: et quievit dolor, hoc est cessavit. quia permutatio, et eruptio facta est in laborantibus vulgari morbo. Eodem modo et hic locutus est, dicens, cessavit. Vult autem hoc in loco defectum et excessum maris et foeminae declarare. Dicitque mulierem celerius crescere humoris redundantis ratione: qui ad hoc, ut incrementum secundum tres dimensiones fiat, idoneus est, sed cito desinit: quia minor et deficiens. longo autem tempore movetur, qui est excessus. Sic enim et in libro de natura foetus dictum est, foeminam duobus et quadraginta diebus, marem autem triginta conformari: nec non foemina mensibus novem utero gestatur, quod est eius defectus: Masculus decem, quod est eius excessus. Ita vero et post partum foemina celerius, masculus tardius, ac longiori tempore adolescit. Nam foemina plerumque usque ad decimum octavum annum, masculus usque ad vicesimum quintum incrementum sumit. postea subdit, Et ad longius tempus, iccirco solidum factum est. Vult dicere quia firmus, fortis, et calidus foetus factus est, iccirco tardius crescit, quia non habet multam humiditatem, et longiori tempore ob caloris abundantiam.

Ibid. Nemo arbitretur ab Hippocrate dictum fuisse, Biliosius, id est, habens intemperiem magnam, et accensionem, et calorem immodicum: Sed biliosius dicit revera calidius, sed non prave temperatum. et hoc ex illis verbis elicitur, quae adiecit, et magis sanguineum. Nam sanguineum dicitur, aut quod refertum est sanguine, ut iecur, aut quod merum sanguinem continet, ut cor: aut absolute, quod sanguine praeditum est. veluti omnia sanguinea animalia simpliciter et absolute talia dicuntur. Quemadmodum et ex angue dicitur res privata sanguine, ut vesica. Hoc autem loco membrum vocat sanguineum, quod sincerum et calidum habet sanguinem. id autem

est dextra pars. propterea et adiecit, Quia calidior est iste locus animali. Et talis sanguinis causa ex anatome elicitur. Quod videlicet propterea calidiora sunt dextera, quoniam merum sanguinem accipiunt, sinistra vero impurum ac sordidum. Atque ita secunda sectio perfecta est.

ΑΡΧΗ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ.

α΄. Ἡ δέρματος ἀραιότης, ἡ κοιλίης πυκνότης, ἡ δέρματος σύνδεσις, ἡ σαρκῶν αὔξησις, ἡ κοιλίης νάρκωσις, ἡ τῶν 1) ὅλων ξύγχυσις, ἡ τῶν ἀγγείων ἀκαθαρσίη, ἡ ἐγκεφάλου ἀνάλυσις· διὸ καὶ φαλακροὶ, ἡ τῶν ὀργάνων κατάτριψις. —

2) Σημείωσαι ὅτι ὁ Γαληνὸς ταῦτα πάντα διὰ τῆς εἰ διφθόγγου ἐκφέρει.

Συνεπεράνθη τὸ 3) πρῶτον τμῆμα τῆς πραγματείας. νῦν οὖν ἐπὶ ἕτερον τμῆμα 4) ἐρχόμενος, καὶ εὐθὺς θεραπείας ἀρχόμενος λέγει ζήτησον εἴτε κοιλίας πυκνότης, εἰ δέρματος ἀραιότης, ἵν᾽ ἐπὶ ἀγαθῷ γένηται. καὶ ὁ μὲν Ἱπποκράτης ἐπὶ δέρματι καὶ γαστρὶ προσήγαγε τὸν λόγον, σὺ δὲ ἐπὶ παντὸς πράγματος φεῦγε τὴν ἀμετρίαν. καὶ ἡμεῖς μὲν οὕτως ἐξηγησόμεθα, ὅτι ζήτησον εἰ τόδε, εἴτε τόδε, ὁ δὲ Γαληνὸς οὐκ ἀνέχεται, ἀλλ᾽ εὑρηκὼς ἐν παλαιοῖς ἀντιγράφοις τὸ ἡ, κατὰ συζυγίαν ἐξηγεῖτο, ἵνα εἴη προγνωστικὸς ὁ λόγος· ἐὰν εἴη δέρματος ἀραιότης, προμήνυσον ὡς κοιλίης ἐστὶ σκληρότης τουτέστιν ἐποχὴ γαστρός. μεμαθήκαμεν γὰρ ὅτι ἀντιπεπονθότως ἔχουσιν ἀλλήλαις αἱ τοιαῦται κενώσεις, καὶ ὅτι εἰ ἡ μία αὐτῶν

1) ἄλλων Hipp. 2) Haec rubro colore scripta sunt in L. A. 3) secunda sectio C. 4) ἐρχόμενοι — ἀρχόμενοι L. A.

πολλὰ κενώσει, αἱ ἄλλαι ἐνδεῶς κινοῦνται, ὥσπερ καὶ τὸ ἐναντίον, εἰ δέρματος σύνδεσις καὶ πυκνότης, κοιλίας φορά. ἀλλὰ τοῦτο οὐκ ἠξίωσεν ὁ Ἱπποκράτης εἰπεῖν, ἀλλὰ σαρκῶν αὔξησις, ἵνα εἴπῃ τὸ περὶ τροφῆς εἰρημένον, ὅτι οἱ ἀραιοὺς ἔχοντες τοὺς πόρους, 1) ὑγιεινοὶ μέν εἰσιν, ἅτε πάντων τῶν περιττωμάτων ἀποσυλωμένων, ἰσχνότεροι δὲ, ὅτι ἐν τῷ ἀχρήστῳ ἐξαγομένης καὶ ζωτικῆς θερμασίας. οἱ μέντοι πεπυκνωμένοι, τὸ ἐναντίον, νοσηλοὶ μὲν, ὡς μενόντων ἔσω τῶν περιττωμάτων καὶ διατεινόντων. ταῦτα οὖν καὶ λέγει, ὅτι ἡ τοῦ δέρματος πύκνωσις, σαρκῶν ποιεῖ αὔξησιν. λοιπὸν ἑτέρα συζυγία· τάχα δὲ οὐδὲ συζυγία. ἀλλ' ἑνὶ τεθέντι 2) κακῷ πλείονα ἕπεται. λέγει γὰρ κοιλίης νάρκωσις, τουτέστιν ἀσθένεια. ἀπεπτεῖται οὖν ἡ τροφή. εἰ οὖν ἀπεπτεῖται, καὶ οὐ λαμβάνει τὸν κατὰ φύσιν κόσμον, ἕλκεται ὁ χυλὸς παρὰ τὸ ἧπαρ ἀκόσμητος ὤν. τί ἐστιν ἀκόσμητος; ἀνεπιτήδειος εἰς τὸ αἱματοποιηθῆναι. μένει οὖν ἐν τῷ ἥπατι ἀκάθαρτος. εἰσβάλλουσι λοιπὸν εἰς τὸ ἧπαρ τὰ καθαρτήρια μόρια, ἀλλ' ἐπειδὴ ὡς ξένον ἐστὶ τὸ αἷμα, οὐ καθαρίζεται· ἔνθεν οὐδὲ σπλὴν ἕλκει τὸ παχὺ, οὐδὲ χοληδόχος κύστις τὸ λεπτὸν, οὐδὲ νεφρὸς τὸ 3) ὀῤῥῶδες· ἢ ἕλκουσι μὲν ὅσον ὤφειλον, τὸ δὲ λοιπὸν μένον, ἀκάθαρτον ποιεῖ τὸ αἷμα. τοῦτο οὖν ἀναδίδοται εἰς πᾶν τὸ σῶμα ἀκάθαρτον ὂν, καὶ λοιπὸν καινοτομεῖται τὸ τῆς φύσεως νόμιμον. καὶ ἐπειδὴ οὐκ εἴθισαν ἀπὸ ῥυπαροῦ αἵματος τρέφεσθαι, ταράττονται· ἐντεῦθεν τῶν ὅλων σύγχυσις. ἀλλὰ τῶν μὲν ἄλλων καταφρονήσωμεν, τοῦ δὲ ἡγεμόνος ἐγκεφάλου ἀναμνησθῶμεν, οὐ διὰ τὴν ἀξίαν μόνον, ἀλλὰ καὶ ὅτι ἕκαστον μόριον, μὴ τρεφόμενον, δαπανᾶται καὶ ἰσχναίνεται, τὸ δὲ κακώτερον * 4) ὁ τοῦ ἐγκεφάλου ὑγρὸς ὁ οὕτως ὑπὸ ψυχικοῦ πνεύματος ὀχούμενος [ἐὰν] ἀναλωθῇ τε καὶ ἰσχνανθῇ. ἀνήλωται οὖν ὁ ἐγκέφαλος, καὶ τοῦ αὐτοῦ κα-

---

1) οὔτε ὑγιεινοί εἰσιν L. 2) κακὸν L. A. 3) ὀρῶδες A. 4) Mendosus locus. Fort. ὁ ἐγκέφαλος, ὑγρὸς ὢν οὕτως, etc. ἐὰν addidi de meo. C. ita vertit: id longe deterius cerebrum patitur, cum natura humidum est et ab animali spiritu sustentetur, si consumptum fuerit et extenuatum.

τεκράτησεν ἐκ τῆς ἀτροφίας ξηρότης, ὅτε καὶ φαλακρότης γίνεται. ἐν γὰρ τῷ κατὰ φύσιν ἔχειν μετεωριζόμενος ὁ ἐγκέφαλος, καὶ 1) τοῦ αὐτοῦ κατεκράτησεν ἐκ τῆς ἀτροφίας, ἐκ τοῦ πνεύματος τῆς ὑγρότητος, σχεδὸν εἰπεῖν, ἥπτετο τῆς κορυφῆς καὶ ἐκράτει τὰς τρίχας, οὐ τοῦτο λέγων ὅτι ὑγρότης ποιεῖ τὰς τρίχας· φυλάσσει γάρ· γίνονται δὲ ἀπὸ θερμασίας. ἀλλ᾽ ὥσπερ ἐν τοῖς ἑκτικοῖς ὑγρότης ἐκ τοῦ ἐλαίου προσφερομένη τῷ σώματι οὐ γεννᾷ θερμασίαν, ἀλλ᾽ ἐμφράττουσα τοὺς πόρους κωλύει διαφορηθῆναι τὴν θερμασίαν, οὕτως καὶ ἐνταῦθα ἔλαιον ἐπιτιθέμενον τῇ κεφαλῇ, αὔξει τὰς τρίχας, οὐχ ὅτι γεννᾷ αὐτὰς, ἀλλὰ τέγγει. εἰ οὖν ἔξωθεν τέγγει τὸ βρέγμα, 2) ἐντεῦθεν ἡ φαλάκρωσις. τὰ δὲ ὀπίσω οὐ πάνυ φαλακροῦνται, ἐπειδὴ πλειόνές εἰσι μύες, καὶ φυλάσσουσι τὰς τρίχας. τὰ δὲ κατὰ τὸ βρέγμα, ὡς ἰσχνὰ, φαλακροῦνται, καὶ ὁ ἐγκέφαλος κακῶς ἔχει, καὶ τὰ ὄργανα αὐτοῦ κατετρίβησαν, τὰ νωτιαῖα νεῦρα. τάχα δὲ οὐκ ὄργανα λέγει τοῦ ἐγκεφάλου, ἀλλ᾽ ὅτι ἁπλῶς πᾶν τὸ σῶμα κατέῤῥιπται. εἰδὼς γὰρ ὡς ἡ πολυχρόνιος κρίσις καὶ τρίψις τοῦ σώματος δαπανᾷ αὐτοῦ 3) τὴν ἰσχνότητα, τοῦ παντὸς σώματος κατάτριψιν. ἡ δέρματος ἀραιότης. οἶδεν ἄρα ὁ γοῦν Ἱπποκράτης, 4) πεπεραίωται τὸ ἡμέτερον σῶμα, καὶ 5) συνεχές ἐστιν. ἐξέρχεται γὰρ ὁ ἱδρὼς καὶ μένουσιν ἔξω οἱ πόροι. οἱ δὲ φιλόσοφοί φασιν, 6) ὅτι ἐξέρχεται ἱδρὼς, ἀνοίγονται οἱ πόροι, καὶ ὅτε παύεται, συμπίπτουσιν.

β'. 7) *Καθάρσεσι, δρόμοισι, πάλῃσιν, ἡσυχίῃσι, πολλοῖσι περιπάτοισι ταχέσιν.* —

Περὶ ἄλλου λόγου διαλέγεται, καί φησιν ὅτι αἱ ἐπ᾽ ἄκρου εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. καί φη-

---

1) nisi ipsi (cerebro) alimenti inopia dominetur, et spiritus humiditas exhausta sit C. 2) ibi non fiet calvitium C. 3) gracilitatem totius corporis attritionem vocavit, quam a cutis raritate fieri novit. Sciebat enim etc. C. 4) πεπεροποίηται L. A. Emendavi πεπεραίωται. multis foraminibus pervium C. 5) non continuum C. 6) Fort. ὅτε. 7) καθαίρεσις Hipp.

σιν ὅτι ὅτε ἰσχύουσι τὰ σώματα, τότε 1) ἴσχει ἡ φύσις. καὶ τότε ὀφείλεις τῇ καθάρσει χρήσασθαι τῶν σαρκῶν καὶ διὰ τῶν ἔσωθεν καὶ διὰ τῶν ἔξωθεν. ἔξωθεν μὲν οὖν διὰ τῶν γυμνασίων, οἷον δρόμου καὶ πάλης. καὶ αὐτὸς μὲν τούτων ἐμνημόνευσεν ἴσως, ὡς τότε εὐδοκιμούντων. σὺ δὲ ζήτησον τὸν τόπον, τὴν εὐπορίαν καὶ τὸ ἔθος. οἷς γὰρ εἰώθει γυμνάζεσθαι, ἐκείνοις κέλευσον πλείοσι χρήσασθαι. πρὸς δὲ τούτοις, ζήτησον καὶ τὸν πάσχοντα τόπον. ἡ γὰρ χεὶρ μᾶλλον σκαπτέτω, ἐρεσσέτω· οἱ πόδες τρεχέτωσαν· εἰ πᾶν τὸ σῶμα, μᾶλλον ἡ πάλη καὶ ἡ σφαῖρα. ἡσυχαζέτω δέ. ἀλλὰ τοῦτο 2) ἀσφάλειαν ἐποίησεν, εἰ θέλων ἐκτῆξαι σάρκας, ἡσυχίαν ἐπιτάττει. ἐστὶ δὲ πάνυ σαφές. ἐπειδὴ γὰρ εἶπε γυμνάζεσθαι τὸ σῶμα, ἵνα μὴ νομίσῃς ὅτι δεῖ ἐπ' ἄπειρον αὐτοῖς χρήσασθαι, λέγει· ἀλλ' ἡσύχασον ἐν τῷ μέσῳ, ἵνα τε 3) ἀνακτήσῃ ἡ δύναμις καὶ ἵνα δευτέρου ἀνέξηται γυμνασίου. τάχα δὲ καὶ τὸ ἄλλο αἰνίττεται, τὸ ἐν τῷ περὶ διαίτης ὀξέων· ὅτι μὴ εὐθὺς μετὰ βαλανεῖον δὸς τὴν τροφὴν, μὴ θερμὰ καὶ εὐρέα ὄντα τὰ ἀγγεῖα ὠμὴν ἀνασπάσωσι τὴν τροφήν.

γ'. Οἷσιν 4) ἑφθὴ μᾶζα τὸ πλεῖστον, ἄρτος ὀλίγος. καθαιρέσιος σημεῖον τὴν αὐτὴν ὥρην τῆς ἡμέρης φυλάσσειν· ἐξαπίνης γὰρ ἔῤῥιπται. ὑφιέναι 5) τῶν πόνων, ᾗ ῥύεται· ὁμοίως γὰρ ὅλον ξυμπίπτει. ὅταν δὲ δὴ 6) ξυμπέσωσι, προσάγειν ὕεια ὀπτά. ὅταν γὰρ πληρῶνται, αὖθις τὸ σῶμα ἀνθηρὸν γίνεται. —

Οὕτω καὶ ἐνταῦθα· ἐπειδὴ ἀπὸ γυμνασίου ἐθερμάνθησαν τὰ μόρια, μὴ δῷς εὐθὺς τὴν τροφὴν, μὴ ὠμὴ ἀναδοθεῖσα, ὀγκώσῃ πάλιν τὸ σῶμα, ἀλλ' ἡσύχασον ὀλίγον· εἶτα λοιπὸν ἐλθὲ καὶ ἐπὶ 7) τὰ διὰ τῶν ἔσω ἰσχναινόντων, τὰς τροφὰς, τὰς ὀνόματι μὲν τροφὰς, ἔργῳ δὲ φάρμακα, καὶ δὸς 8) τῶν ὑγρῶν τινι φυρόμενον ἄλφιτον,

---

1) est debilis. 2) ἀσαφείαν A. haud inepte. securitatem C. 3) Fort. ἀνακτηθῇ. 4) ἑφθιμάξατο πλείστως L. A. sic! 5) τὸν τόπον Codd. 6) ἐπεισπέσωσι Codd. 7) ea quae interius corpus attenuent, exhibeto C. 8) τῷ ὑγρῷ A.

οἷον 1) σίραιον, ἢ τοῖς ὠμοῖς καὶ ἀνέφθοις ἐσθιομένοις, οἷον μᾶζαν, μὴ ἄρτον· οὕτω γὰρ καλῶς πέττεται καὶ τρέφει τὸ σῶμα. δὸς δὲ καὶ 2) ὕεια κρέη καὶ μὴ ὄϊα· ταῦτα γὰρ τρόφιμα, τὰ δὲ ὄϊα, ξηραντικά. ἡμεῖς δὲ πᾶσι κρέασι παρέχομεν, ἴσως δι' ἔθους, λοιπὸν κατὰ βραχὺ τὴν φύσιν παιδεύοντες, ὥστε καὶ ἀσιτίας ἀνέχεσθαι, ἢ διὰ τοῦτο, 3) ἢ οὐχ ὅτι θέλομεν λιμαγχονῆσαι τὸ σῶμα, ἵνα ἀποθάνῃ. οὐδὲ γὰρ τήκω τὰς σάρκας, 4) ἵνα ἰσχνότητα ποιήσω. ταῦτα μὲν περὶ τῆς τροφῆς.

Λοιπὸν ὁ Ἱπποκράτης φιλανθρώπως ποιῶν ζητεῖ, ἄχρι πόσου ὀφείλεις ἰσχναίνειν καὶ γυμνάζειν τὸ σῶμα. μὴ γὰρ ἀεὶ τοῦτο ὀφείλομεν, ποιεῖν δὲ, ὡς μὴ ὑπερόριοι ἀπέλθωμεν. ταῦτα οὖν 5) παραδιδόαμεν σημεῖα ἐπὶ τῆς αὐτῆς ὥρης φυλάξαι, ἐφ' ἧς εἴωθε γυμνάζεσθαι, ὅτι ἐὰν ἐξαπίνης ἐκλυθῇ καὶ ῥυῇ τὰ τῆς δυνάμεως, τότε ἐπίσχες. ἤρξατο γοῦν συνεξάγεσθαι ἡ θερμασία, ὅθεν καὶ ῥίψεται ἡ δύναμις τὰ μόρια, καὶ ἀσθενήσασα, ὡς ἀλλότρια ἔνθεν κἀκεῖθεν ἀποδιώκει τὰ μόρια. τότε οὖν ἐπίσχες. ἀλλ' ἔνθεν ῥυῇ, καὶ ἠσθένησε τὰ τῆς δυνάμεως, ἐκεῖ ἐπίσχες. οὐ γὰρ πᾶν τὸ σῶμα ἠσθένησεν, ἀλλὰ μέρος. καὶ τὸ μὲν ἀσθενὲς ἡσυχαζέτω, τὸ δὲ ὑγιὲς γυμναζέσθω. ὁμοίως δὲ ἐπὶ τοῦ παντὸς σώματος. εἰ γὰρ ἐπιμένεις γυμνάζων, εἰς τὸ ἐναντίον ἔρχεται τὸ σῶμα, καὶ συμπίπτει. καὶ ὥσπερ φοβούμεθα τὴν αὔξησιν τῆς σαρκὸς, οὕτω καὶ τὴν μείωσιν. εἰ οὖν ὤκλασεν ἡ δύναμις, ὀφείλομεν αὐτὴν στῆσαι· ἔνθεν καὶ ὅρον δίδωσι τοῦ ἕως πότε τρέφειν. λέγει γὰρ ὅτι ἐὰν μεμερισμένως θρέψῃς, ῥώννυται τὸ ἔμφυτον θερμόν· ἐντεῦθεν διαλάμπει τὸ πρόσωπον. τότε παῦσαι τρέφων. πρόσφερε δὲ καὶ ὕεια 6) κρέα· ταῦτα γὰρ τρόφιμα, καὶ δυνάμενα στῆσαι τὴν δύναμιν.

---

1) σηραὶ Codd. Siraeum C. 2) ovillae, — non suillae C. 3) aut quia volumus C. 4) Ita C: carnes enim propterea maceramus, non ut enecemus, sed ut gracilius corpus reddamus. Videntur aliqua deesse in codd. meis. 5) tradit C. ἐφ' οἷς Codd. 6) suillas carnes tostas C. i. e. ὀπτά.

δ΄. Ἐν γυμνασίοισι σημεῖον ὁ ἱδρὼς ὁ στάγδην ῥέων ὥσπερ ἐξ ὀχετῶν, ἡ ξύμπτωσις ἐξ ἐπάρσιος. —

Εἰ μὴ ὁ μεταξὺ λόγος ἐβιάσατο, τὸν λόγον τοῦτον ἄνω εἶχε τάξαι· ἐπειδὴ γὰρ εἶπε δεῖν τούτους γυμνάζεσθαι, ὅτι ἄχρις τοσοῦτον ἕως οὗ ἄρξηται ῥύεσθαι τὰ τῆς δυνάμεως, λοιπὸν καὶ ἄχρις οὗ ἄρξηται ὁ ἱδρὼς μὴ κατὰ βραχὺ φέρεσθαι μηδὲ δι' ἀδήλων πόρων, ἀλλ' ὡς ἐξ ὀχετῶν πολὺς κενοῦσθαι· τότε ὀφείλεις ἐπισχεῖν. ἤρξατο γὰρ ὑποσυλᾶσθαι ἡ δύναμις, καὶ δέος μὴ εἰς τὸ ἐναντίον ἔλθοι ἡ σύμπτωσις ἐξ 1) ἐπάρσεως.

ε΄. Ἡ γυνὴ, ἣν πρώτως ἐθεράπευσα ἐν Κρανῶνι, σπλὴν φύσει μέγας, πυρετὸς καυσώδης, ἐξέρυθρος, πνεῦμα δεκάτῃ, ἱδρὼς τὰ πολλὰ ἄνω, ἀτὰρ καὶ κάτω τεσσαρεσκαιδεκάτῃ. —

Δεῖ παρελθεῖν τὸν λόγον· οὐδὲν γὰρ ἐξ αὐτοῦ κερδανοῦμεν, ἐπειδὴ κρέμαται, καὶ οὐκ ἐπάγει συμπέρασμα. λέγει γὰρ ὅτι ἐν Κρανῶνι γυνὴ ἣν ἐθεράπευσα τὸ πρῶτον. τὸ δὲ πρῶτον, τί λέγει; ἆρα ὅτι μὲν πρῶτον ἀπελθὼν ἐν Κρανῶνι 2) εἶδεν αὐτὴν, τὸ δὲ δεύτερον, οὐκ εἶδεν; ὅπερ ἄπορον. τέως δὲ τὸ ὄνομα τῆς γυναικὸς μὴ εἰδὼς τοκαθόλου, λέγει ἡ γυνή. λέγει γάρ· σπλῆνα εἶχε μέγαν· εἴτε ἀπὸ φύσεως εἴτε ἐπείσακτον, οὐκ εἶπεν, εἴτε τῷ ὄγκῳ εἴτε τῇ οὐσίᾳ ἦν μέγας. λέγει δὲ καὶ καυσώδη πυρετὸν εἶχε. καὶ τοῦτο ἄτοπον. ἐπὶ σπληνὶ τεταρταῖος μόνον, 3) ἡ καυσώδης. εἰ δὲ καὶ 4) ὑπερσαπὴς ὁ μελαγχολικὸς, ὡς εἰς μέλαν ἐτράπη χυμὸς, διὰ τοῦτο καυσώδης ὁ πυρετὸς, πόθεν ἐξέρυθρον τὸ πρόσωπον; ἔδει γὰρ αὐτὸ 5) ὡς πελιδνόν. λέγει δὲ καὶ πνεῦμα εἶχε τουτέστι δύσπνοιαν. ποίαν δὲ οὐκ εἶπεν, εἰ μήπω εἴπωμεν, τὴν μικρὰν καὶ πυκνὴν ἀναπνοὴν, ὡς θλιβομένου τοῦ θώρακος ἀπὸ τοῦ ὄγκου τοῦ σπληνὸς καὶ ὀδυνωμένου. φησὶ δὲ καὶ ἄλλο, ὅτι τῇ μὲν δεκάτῃ ἱδρὼς ἄνω, τῇ δὲ τεσσαρεσκαιδεκάτῃ κάτω. διατί δὲ, οὐκ ἴσμεν. ἀλλὰ τὸν κάτω συντακτέον ἀφορισμόν.

---

1) ἐπάρξεως L. 2) οἶδεν L. vidit C. 3) Fort. οὐ. 4) ὑπερσαλπὴς L. 5) Om. εἶναι.

ϛ'. 1) Ἧσσον τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι, βραγχώδεσιν, ἐπιπυρετήνασιν αἱ ὑποστροφαί· πᾶν γὰρ τὸ ἐκπυέον ἀνυπόστροφον· οὗ γὰρ πεπασμὸς καὶ κρίσις, ἅμα καὶ ἀπόστασίς ἐστιν. —

Οὐ χρήζει ποικιλίας, μεμνημένος τοῦ ἀφορισμοῦ, πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ. εἴρηται γὰρ 2) ὥσπερ ἐπὶ νοσημάτων γίνεται τοῦτο, καὶ ἐπὶ συμπτώματι γένηται σπασμὸς, χαλεπὸν σημαίνει, ὅτι καὶ τῶν στερεῶν κατακρατήσας ὁ πυρετὸς, πολλὴν ἐναπέθετο ξηρότητα τὴν ποιοῦσαν τὸν σπασμόν· εἰ δὲ, σπασμοῦ ἐπὶ πληρώσει προϋποκειμένου, γένηται πυρετὸς, ἀγαθόν. ὁ γὰρ πυρετὸς διαλύει τὴν ὕλην, καὶ λεπτοποιῶν αὐτὴν, παύει τὸν σπασμόν. τοῦτο καὶ νῦν γίνεται, κόρυζα καὶ βράγχος, ψυχροῦ καὶ ὑγροῦ χυμοῦ καταλαβόντος τὸν ἐγκέφαλον· εἰ οὖν ἐπιγένηται πυρετὸς, διαλύει τὴν ὕλην τοῦ χυμοῦ καὶ παύει αὐτὴν, καὶ ἐκ τούτου οὐδὲ ὑποστροφὴ γίνεται, ἐπειδὴ ὁ πυρετὸς ῥωννύει τὴν δύναμιν, ἥτις ῥωννυμένη πέττει τὸν χυμόν· πέττει γὰρ, οὐ τὴν ἀμιγῆ καὶ καθαρὰν πέψιν, ἀλλὰ τὴν τελείαν ἀπαλλαγήν. ἓν μόνον ζητητέον, ἐπειδὴ κόρυζα 3) γίνεται ἀπὸ ψύξεως καὶ θερμασίας, ὡς φησὶν ὁ Γαληνὸς, εἰ μὲν ἀπὸ ψύξεως γένηται, καλὸν, εἰ ἐπιγένηται πυρετὸς, εἰ δὲ ἀπὸ θερμασίας, οὔ. πῶς οὖν εἶπε καθόλου; καὶ πρῶτον μέν φαμεν, ὅτι εἶπεν ὁ Ἱπποκράτης τὸ 4) ἧσσον· ἔπειτα δὲ, 5) τὸ ἐπὶ πυρετῷ εἶπε· ἐπὶ γὰρ τῇ ἀπὸ θερμασίας κορύζῃ πάντως σύνεστι πυρετὸς, καὶ εἰ ἕτερος ἐπιγένηται, τῇ δὲ ἀπὸ ψύξεως οὐ σύνεστι. πάλιν δὲ εἶπε, τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν. ἔστι γὰρ καὶ ἄλλοθεν κόρυζα. καὶ πρῶτόν ἐστιν εἰπεῖν, ὅτι ἐξ ἀνάγκης ἑπόμενον εἶπεν, ὡς ὑγρὸν ἔλαιον καὶ 6) * πόνον δηλοῖ οὐ κατὰ ῥάχιν, ἀπὸ τῆς κεφαλῆς κόρυζα. ἤ ἐστιν εἰπεῖν ὅτι οὐ πᾶσα κόρυζα ἀπὸ τῆς κεφαλῆς· ποτὲ γὰρ καὶ ὁ στόμαχος ἀνέπεσε, καὶ ἔπεμψεν ἀτμοὺς τῇ κε-

1) ἴσον Codd. 2) quod si febri tanquam morbo superveniat hoc symptoma convulsio C. 3) γένηται L. 4) ἴσον Codd. 5) τῷ L. 6) vertebras dorsi C. σπόνδυλοι legisse videtur Crassus.

φαλῇ, καὶ ἐποίησε κόρυζαν, ἢ μᾶλλον διὰ τοῦτο προσέθηκε τὰ ἀπὸ κεφαλῆς, ἵνα εἴπῃ τὴν ἀπὸ ψύξεως κόρυζαν· ἡ γὰρ κεφαλὴ, ὡς ψυχρὰ οὖσα, μάλιστα ταύτην ποιεῖ. ταύτῃ οὖν εἰ ἐπιγένηται πυρετὸς, ἀγαθόν.

ζ. Οἷσιν, ὁκόταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ, ὡς ὁ Δαμναγόρας, τουτέοισι ψόφος ἀρκέσει. Ἀρκεσιλάῳ 1) δὲ καὶ ᾤδεεν. —

Ἄρτι τῶν προγνωστικῶν λόγων παυσάμενος, φέρεται πάλιν ἐπὶ 2) διαγνωστικούς. καὶ δεῖ εἰδέναι, ὡς πολλαὶ ἐνταῦθα ἠνέχθησαν ἐξηγήσεις. δεῖ δὲ τοῦ ἀστειοτέρου ἀναμνῆσαι Σαβίνου. τοίνυν εὑρηκὼς τὸ φυσᾶται καὶ τὸν ψόφον, τοῦτο λέγει, ὅτι ἐάν τις ἄρξηται ἀφροδισιάζειν, ἐν τοῖς ἀφροδισίοις 3) φύσαι πολλαὶ ἐκκρίνονται. ἀποδίδωσι δὲ καὶ λόγον, ὅτι ἐν τῇ παιδικῇ ἡλικίᾳ οὐκ εἰώθαμεν ἀφροδισιάζειν, ἀλλ' ἐν τῇ ἀκμαστικῇ. τότε οὖν καινοτομεῖται καὶ ξενισμὸν ὑπομένει ἡ φύσις· ἀπὸ δὲ τῶν ἀφροδισίων θερμαίνεται τὸ σῶμα· ἀπὸ τῆς θέρμης οὖν καὶ τῆς ταραχῆς διαλύεται πνεύματα, ἃ φέρεται ἐπὶ τὰ κάτω, καὶ ποιεῖ φύσας. αὕτη μὲν οὖν ἡ Σαβίνου ἐξήγησις, καὶ οὐκ ἀπόβλητος. ὁ δὲ Γαληνός φησι, τοῦτο οὐχ ἱστόρηται ἐπὶ τῶν ἔργων τῆς τέχνης. καὶ πράγματα μὴ ἱστορηθέντα, τί θέλομεν ἀποδοῦναι λόγον; εἰ δὲ καὶ ἄρα ἱστόρηται, κατὰ τὸ σπάνιον εὕρηται, ὅθεν προσέθηκε Δαμναγόρᾳ· τῶν δὲ σπανίων οὐκ ἀποδίδοται λόγος. εἰ δὲ θελήσομεν ἀληθεύειν τὸν λόγον, ἐκεῖνό φαμεν. εὕρηται γὰρ ἐν διαγνωστικῇ, ὅτι οὐ γίνεται ὑποχονδριακὸν πάθος ὡς ἔτυχεν, ἀλλ' ὄγκος ἐκεῖ ἐγένετο ἀπὸ μελαγχολικοῦ χυμοῦ. οὗτος οὖν ὁ μελαγχολικὸς χυμὸς πέμπει ἄνω παρὰ τὸν ἐγκέφαλον ζοφώδεις ἀτμοὺς, καὶ ὥσπερ ἄλλα κακὰ ποιεῖ, οὕτω καὶ φόβον. τὰ γὰρ παλαιὰ τῶν ἀντιγράφων οὐκ ἔχουσι ψόφον, ἀλλὰ φόβον. γίνεται οὖν ὁ ψόφος πάλιν οὕτως· ὁ μελαγχολικὸς πέμπει καὶ κάτω παρὰ τὰ σπερματικὰ ἀγγεῖα πνεύματα. οἴδαμεν δὲ ὡς οὐ μόνον σπέρμα, ἀλλὰ καὶ ἔμπτωσις πνεύματος πρὸς ἔρωτα κινεῖ ἀφροδίσια. τοῦτο οὖν ἐστιν ὃ λέγει, καὶ δεῖ

1) τε Codd. 2) διαγνωστικοῦ L. 3) φύσσαι Codd.

αὐτὸ ὑπερβατῶς ἀναγνῶναι. πολλαχοῦ γὰρ γίνεται, ὅταν φυσᾶται ἡ γαστὴρ ἐξ ὑποχονδρίου πάθους, ὥσπερ φόβος γίνεται, οὕτω καὶ ἐν ἀφροδισίῳ. οὐ δήπου οὖν τὰ ἀφροδίσια ποιοῦσιν ὄγκον τῆς γαστρὸς, ἀλλ᾿ ὁ τῆς γαστρὸς ὄγκος ἀφροδίσια. φησὶ δὲ καὶ Ἀρκεσιλάῳ καὶ ᾧδεεν. ἐκ γὰρ τοῦ ὑποχονδριακοῦ πάθους γενόμενα 1) πρῶτον εἰς ὄγκον καὶ οἴδημα ἤγειραν ὑποχόνδρια ἢ ἐκ τῆς πολλῆς σφηνώσεως τοῦ χυμοῦ καὶ σῆψις ἐγένετο, ἐξ ἧς πνεύματα δυσώδη ἐξέρχονται.

η΄. Τὸ φυσῶδες ξυναίτιον τοῖσι πτερυγώδεσι. καὶ γάρ εἰσι 2) φυσώδεες. —

Λέγει αἴτιον τοῦ πτερυγώδους. ἀλλὰ πολλὰ βιβλία ἔχουσι 3) πιτυρώδεσι. πίτυρα δέ εἰσιν, ὅτε ἀπὸ τῆς κεφαλῆς λέπυρα ἐκδίδονται. γίνεται δὲ τοῦτο ἀπὸ διαβρωτικοῦ χυμοῦ. φασὶν οὖν τινες ὅτι ποτὲ δριμύτερα πνεύματα ἀπὸ τῆς γαστρὸς ἐπανέρχονται ἐπὶ τὴν κεφαλὴν, ἅτινα δριμέα ποιοῦσι τὰ πίτυρα. ἄλλα δὲ ἔχουσι πυρετώδεσι, καί φασιν ὅτι ὥσπερ ἐπὶ ὑγρῶν γίνονται ἐπὶ σήψει πυρετοὶ, καὶ ὥσπερ ἐπὶ τοῖς στερεοῖς ἑκτικοὶ, οὕτω καὶ ἐπὶ πνεύμασιν ἀμφήμερος. τὸ δὲ ἀληθὲς, πτερυγώδεσιν ἔχει. καί φησιν ὅτι τὸ πτερυγώδεσιν οὕτως ἔχει· οἱ στενὸν καὶ βαθὺν ἔχοντες τὸν θώρακα καὶ ἰσχνὰς καὶ ἐπιμήκεις τὰς χεῖρας, τούτοις εἰ ἔμπτωσις γένηται πνεύματος, κακὰ πολλὰ ἐπιγίνονται· ἐπειδὴ γὰρ στενός ἐστιν ὁ θώραξ, εἴ που ἔλθοι πνεύματα, στενοχωρεῖ τὸν πνεύμονα, καὶ ἐντεῦθεν ποιεῖ φθίσιν. οὐ μάτην δὲ εἶπε τὸ συναίτιον· ἡ γὰρ πτερυγώδης κατασκευὴ πάντως ἐκ ψύξεως ἐγένετο· αὕτη δὲ ἡ ψύξις τείνουσα καὶ πυκνοῦσα τὸν πνεύμονα, δύναται ποιῆσαι ῥῆξιν, ἐπὶ τῇ ῥήξει, αἵματος πτύσιν, καὶ ἐπὶ ταύτῃ, φθίσιν. ἀλλὰ καὶ ἡ ψύξις αὐτὴ ἀπεψίαν ἐγέννησεν, αὕτη δὲ πνεύματα. ταῦτα ἔρχονται παρὰ τὸν πνεύμονα, καὶ εἰ μὲν κατὰ φύσιν ὁ πνεύμων ᾖ, δύναται μὴ 4) παθεῖν. ἐπεὶ δὲ ἐκ τῆς ψύξεως δυσεπέκτατος ἐγένετο, εἰσερχόμενον τὸ πνεῦμα

1) sc. πνεύματα. 2) φθισώδεις Codd. 3) πυρώδεσι L. furfurosis C. 4) παθῆς L.

διατείνει, καὶ τῇ διατάσει ποιεῖ τὴν ῥῆξιν. σαφηνίζει δὲ αὐτὸ καὶ ὁ ἑξῆς λόγος. καλῶς γὰρ εἶπεν ὁ Ἱπποκράτης τὸ συναίτιον. πρὸς γὰρ τῇ ψύξει καὶ αὐτῷ τῷ αἰτίῳ, 1) γίνεται φθίσις. καὶ γάρ ἐστι φυσώδεες. τὰ πολλὰ μέντοι τῶν βιβλίων οὐκ ἔχουσιν. εἰ δὲ ἔχουσι, λέγει ὅτι κἂν πνεῦμα ὁθενδήποτε ἔλθοι, εὐχερῶς ποιεῖ φθίσιν, ὅτι καὶ φύσει εἰσὶ φυσώδεις, ὡς τῆς ψύξεως γεννώσης πνεῦμα.

θ'. Τὸ ψυχρὸν πάνυ φλεβῶν ῥηκτικὸν καὶ 2) βηχῶδες, οἷον κρύσταλλος, καὶ συστρεπτικὸν, οἷον τὰ 3) φήρεα καὶ αἱ γογγρῶναι. συναίτιον καὶ 4) αἱ σκληρότητες. —

Ὅρα ὅτι ἐπὶ τῶν φθισικῶν τῇ ψύξει γίνεται ἡ ῥῆξις· ἰδοὺ γὰρ λέγει, ὅτι τὸ ψυχρὸν φλεβῶν ῥηκτικόν. ἀλλ' ἡ μὲν θερμασία ῥήγνυσι 5) τὸ τέμνειν καὶ διαβιβρώσκειν καὶ διαιρεῖν, ἡ δὲ ψύξις τὸ πιλοῦν, τὸ συνάγειν καὶ τὸ δυσεπέκτατον· ἔνθεν ἐπιφέρει, συναίτιον καὶ σκληρότης. ἀλλ' οὐ πᾶσα ψύξις ῥήγνυσιν, ἀλλ' ἡ πάνυ σφοδρὰ, ὥσπερ χιὼν, κρύσταλλος. ἔνθεν ὠφεληθεὶς ὁ Γαληνὸς εἶπεν, ὅτι εἰ μέλλει τι γενέσθαι, χρεία καὶ σφοδρότης τοῦ ποιοῦντος, καὶ ἐπιτηδειότης τοῦ πάσχοντος, καὶ χρόνος, καθὸ τὸ ποιοῦν δρᾷ εἰς τὸ πάσχον. ταῦτα πάντα συνέδραμε· πολλὴ μὲν ψύξις, ἰδοὺ ἰσχὺς τοῦ ποιοῦντος· πτερυγῶδες τὸ σῶμα, ἰδοὺ ἐπιτηδειότης τοῦ πάσχοντος. 6) εἰ δὲ μὴ, πολὺς ὁ χρόνος. ἀπὸ τῆς ψύξεως ἐγένετο πνεύματα, ὀφείλοντα τῇ διατάσει ῥῆξαι. ἔστι δὲ καὶ βηχῶδες τὸ ψυχρὸν, καὶ πάντως διαμέσου· πρῶτον μὲν ὅτι αὐτὴ ἡ ψύξις πλήττουσα τραχύνει τὸν λάρυγγα καὶ ποιεῖ βῆχα. διαμέσου δὲ, ὅτι ῥήγνυσιν ἀγγεῖον ἐξερχόμενον αἷμα παρὰ τὸν λάρυγγα, καὶ ποιεῖ τὸν βῆχα, οἷον τὰ τηλέφεια καὶ αἱ γάγγραιναι· τοῦτο ἐν μέσῳ ἔῤῥιπται· κατὰ δὲ συνέχειαν ἔχει τὰ προηγησάμενα πρὸς τὰ ἐφεξῆς. λέγει δὲ

---

1) a flatuoso etiam tabes efficitur. C. 2) βηχώδεες Codd. 3) φέρεα̃ supersc. φήρεα̃ Codd. γάγγραιναι Codd. 4) αἱ om. L. 5) Num τῷ sit legendum? 6) multum quoque temporis intercessit, quo a frigere etc. C. εἰ δὲ μὴ πολὺς ὁ χρόνος, ἀπὸ etc. equidem et legerim et distinxerim.

οὕτως ὁ λόγος· σκέπτεσθαί σε τὰς ἰδέας τῶν ὄγκων, ὥσπερ * τῇ φερεᾷ· τινὲς μὲν οὖν διὰ τοῦ ε, τινὲς δὲ διὰ τοῦ η γράφουσιν, ὅτι τὰ ἐπαναστήματα 1) ἐν Φηραῖς τῆς Θεσσαλίας μοι ὀφθέντα· εἰ δὲ φέρεα, ἐν 2) Φεραῖς τῆς Ἰταλίας. ταῦτα δὲ καταγέλαστα, ἀλλ' εἰώθασιν οἱ παλαιοὶ φῆρας λέγειν τοὺς σατύρους οἵτινες ζωγραφοῦνται μετὰ ὄγκων, καὶ τούτων ἐπιμήκων. 3) φήρεα οὖν ὄγκους ἐκάλεσε τοὺς ἐπιμήκεις. 4) γογγρώνας λέγει μεταφορικῶς τὰς εἰς δένδρα γινομένας παραφυάδας, καὶ μάλιστα εἰς ἐλαίας, ἐὰν ὦσι καὶ περιφερεῖς. ἀλλ' ὁ Γαληνός φησιν ὅτι οἶδά τινας ἐν τῇ Θεσσαλίᾳ γογγρώνας καλεῖν τοὺς περιφερεῖς ὄγκους. φησὶν οὖν ὁ Ἱπποκράτης ὅτι ζήτησον καὶ τοὺς ὄγκους, εἴτε μακροὶ εἴτε περιφερεῖς.

ί. Τὸ μετ' οὔρησιν σύναγμα παιδίοισι μᾶλλον, ὅτι θερμότερα. —

Περὶ χαλεπωτάτου πάθους θέλει διαλεχθῆναι, τῆς λιθιάσεως· ἀλλ' οὐ δυνατὸν νοῆσαι, εἰ μήπω εἴπωμεν τὸ ποιητικὸν, ὑλικὸν, ὀργανικὸν αἴτιον τοῦ λίθου. ἔστιν οὖν τὸ ποιητικὸν αἴτιον τοῦ λίθου, θερμασία περιφρύττουσα ἢ ψύξις πηγνύουσα. ἀλλὰ καλῶς ἔδοξε τοῖς παλαιοῖς, μὴ γίνεσθαι ὑπὸ ψύξεως· οὐδὲ γὰρ δυνατόν ἐστι πλεονάσαι ἐν ἡμῖν τοσαύτην ψύξιν, ὥστε καὶ πῆξιν ποιῆσαι. γίνεται οὖν ἀπὸ μόνης θερμασίας, ποιούσης αὐτόν. ὑλικὸν δὲ αἴτιον, παχεῖα ὕλη, ἥ τε μελαγχολικὴ, ἡ φλεγματική. κἂν γὰρ 5) πολλὴ ἡ θερμασία, ἀλλ' ἡ παχυτάτη ὕλη ποιεῖ τὸν λίθον, καὶ τὸ ἀνάπαλιν, κἂν ὀλίγη ἡ ὕλη, πολλὴ δὲ ἡ θερμασία. τοῦτο καὶ ἀπὸ τῶν ἐκτὸς ὁρᾶται· ἔστι γὰρ ὕδωρ πολλάκις καθαρώτατον, ἀλλὰ συνεχῶς ἐν θερμοῖς λέβησι ποιεῖ 6) πῶρον, οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὴν θερμασίαν· ποτὲ δὲ ὕδωρ ῥυπαρώτατον καὶ

---

1) ἐμφερῆ L. ἐνφηρῆ A. correctum in ἐμφηρῆ. 2) φερεῖ Codd. in Phera Peloponnesi civitate C. Cf. Galen. Comment. in VI. Epidem. Bas. edit. V. p. 479. 3) φηρεὰς Codd. 4) γάγγραιναι Codd. hoc loco et in seqq. 5) Om. μή. non multus C. 6) πόρον — πoροῦται Codd.

παχὺ, ἐπ᾽ ὀλίγου δὲ πυρος καιόμενον, πωροῦται, οὐ διὰ τὴν θερμασίαν, ἀλλὰ διὰ τὴν ὕλην. εἰρήκαμεν οὖν τὸ ποιητικὸν αἴτιον καὶ ὑλικὸν τοῦ λίθου· τῶν δὲ ὀργανικῶν, νεφρῶν, οὐρητήρων, κύστεως. τὸ γὰρ τελικὸν ἐνταῦθα οὐ συνίσταται, ἐπειδὴ πάντως 1) ἕνεκα ἀγαθοῦ. διὰ ποῖον οὖν ἀγαθὸν γίνεται λίθος, εἰ μήπω 2) εἴπωμεν αὐτὸ τὸ γενέσθαι τὸν λίθον, τέλικὸν αἴτιον; εἰ οὖν ἔγνωμεν, τὰ περὶ λίθου ἐξηγησώμεθα. λέγει οὖν ὅτι ὁ λίθος γίνεται, ἐπὶ παιδίοις μὲν, παρὰ τὴν κύστιν, ἐπὶ ἀκμαζόντων δὲ, παρὰ τοὺς νεφρούς. καὶ τίς ἡ αἰτία; τινὲς εἰρήκασιν ὅτι ἐπειδὴ ἐπὶ τῶν παιδίων οἱ οὐρητῆρες ἐκ τῆς ὑγρότητος εὐρύτεροί εἰσι, διὰ τοῦτο καὶ κυλίεται ἡ ὑγρότης καὶ οὐ μένει παρὰ τοὺς νεφροὺς, ἀλλ᾽ εὐχερῶς ἐκεῖθεν παρερχομένη, ἔρχεται παρὰ τὴν κύστιν, καὶ ἐκεῖ λιθοῦται. ὁ δὲ Γαληνὸς καὶ τοῦτό φησι, καὶ λεληθὼς φαίνεται ἀπὸ ψύξεως λέγειν τὸν λίθον. λέγει οὖν ὅτι ἐπὶ τῶν παιδίων ἀμείνους γίνονται αἱ πέψεις, 3) ὡς ὄντος τοῦ ἐμφύτου θερμοῦ. εἰ οὖν ἀμείνους γίνονται αἱ πέψεις, οὐ γίνεται πολὺ ὀρῶδες περίττωμα. ὀλίγον οὖν ἕλκει αὐτὸ ὁ νεφρός. καὶ ἐπειδὴ ὀλίγον ἐστὶν, οὐ γεννᾶται ἐκεῖ λίθος· ἔρχεται παρὰ τοὺς οὐρητῆρας· εὑρίσκει αὐτοὺς στεγανωτέρους, καὶ ἄρχεται παχύνεσθαι ἐκεῖ· κυλίεται λοιπὸν παρὰ τὴν κύστιν· εὑρίσκει αὐτὴν ἄναιμον καὶ ψυχρὰν, καὶ πλεῖον παχύνεται. καὶ κενοῦται μὲν τὸ λεπτομερὲς, μένει δὲ τὸ παχύ. λοιπὸν ἔρχεται τὸ δεύτερον καὶ τὸ τρίτον, καὶ οὕτω ἀλλήλοις προστιθέμενα, ποιοῦσι τὸν λίθον. ἐπὶ δὲ τῶν ἀκμαζόντων οὐ γίνονται καλῶς αἱ πέψεις, ποιότητι ὄντος τοῦ θερμοῦ σφοδροῦ. πολὺ οὖν περιττωματικὸν φλεγματικώτερον συνάγεται ἐν τῷ ἥπατι, ὃ 4) ἕλκων ὁ νεφρὸς, οὐκ ἐᾷ ἀπελθεῖν κάτω. ὥσπερ γὰρ μόλιβδος, χεόμενος μὲν καὶ διὰ βραχέων τινῶν πόρων παρέρχεται, πηγνύμενος δὲ οὐδὲ διὰ μεγάλων, οὕτω καὶ ἐνταῦθα πολλὰ καὶ παχέα ὄντα τὰ περιττώματα δέχεται ὁ νεφρὸς, καὶ οὐκ ἐᾷ κατελθεῖν εἰς τοὺς οὐρητῆρας, καὶ ἐκεῖ μένοντα ἀπολιθοῦται· ἔστι δὲ ἀλη-

---

1) εἵνεκα A. 2) εἴπωμεν — ἔγνωμεν om. L. 3) cum innatum calidum sit validius. 4) ἕλκον Codd.

θῆς ἐξήγησις, ὅτι ἐπὶ μὲν τῶν παιδίων κατ' οὐσίαν ἐστὶν ἡ θερμασία, ἐπὶ δὲ τῶν ἀκμαζόντων κατὰ ποιότητα. ἀλλ' οἱ λέγοντες ὡς τὰ παιδία θερμὰ μᾶλλον τὴν γαστέρα ἔχουσι θερμὴν ἢ τὸ ἧπαρ, καί ἐστι 1) δηλονότι. ὁρῶμεν γὰρ τὰ διαχωρήματα αὐτῶν χολώδη, τὸ δὲ οὖρον λευκότατον, ἐπειδὴ τῶν ἀκμαζόντων τὰ περὶ τὴν γαστέρα ψυχρότερα, τὸ δὲ ἧπαρ θερμότερον. εἰ οὖν ἐπὶ τῶν ἀκμαζόντων θερμόν ἐστι τὸ ἧπαρ, μεταδίδωσι τῆς θερμασίας τῷ γείτονι νεφρῷ, καὶ διὰ τοῦτο ἐπὶ τῶν ἀκμαζόντων ἐν νεφρῷ γίνεται ὁ λίθος· ἐπὶ δὲ τῶν παιδίων, ἐπειδὴ θερμή ἐστιν ἡ γαστὴρ, μεταδίδωσι τῆς θερμασίας τῇ κύστει, καὶ διὰ τοῦτο ἐκεῖ λίθος γίνεται. ἀλλ' ἆρα ὅτι οὐκ ἀνεχόμεθα ἀπὸ τῆς ἐν γαστρὶ θερμασίας γίνεσθαι λίθον; κατὰ φύσιν γάρ ἐστιν ἐκείνη, ὑπὸ δὲ τῆς παρὰ φύσιν θερμασίας περιφρύττεται ὁ λίθος. τότε λοιπὸν τὴν ὕλην αἰτιώμεθα. εἰ γὰρ καὶ μή ἐστι πολλὴ ἡ θερμασία, ἀλλ' ἐπειδὴ πολλὴ ἡ ὕλη, διὰ τοῦτο γίνονται λίθοι. ὑγρότεροι γάρ εἰσιν οἱ παῖδες ἔκ τε φύσεως καὶ κράσεως, ἔκ τε τῆς πλημμελοῦς διαίτης, τῆς πολὺ συναγούσης τὸ φλέγμα. ταῦτα μὲν περὶ τοῦ λίθου. εἰ δέ ποτε ἱστόρηται ἐν κώλῳ γινόμενον, οὐ πρόκειται 2) νῦν ζητεῖν. τὸ μετ' οὔρησιν σύναγμα. διὰ μιᾶς λέξεως ὁ Ἱπποκράτης ἐδήλωσε, πῶς γίνεται ὁ λίθος, καὶ ποῦ γίνεται. πῶς μὲν, ὅτι οὐκ ἀθρόως, ἀλλὰ κατὰ βραχὺ συναγόμενος ὁ λίθος γίνεται, καὶ οὕτω κατὰ βραχὺ θεραπεύεται, εἰς ψαμμία θρυπτόμενος. ποῦ δὲ, ὅτι τοῖς παιδίοις ἐν τῇ κύστει, τοῖς δὲ ἀκμάζουσιν ἐν τοῖς νεφροῖς.

ια'. Τὰ σχήματα 3) τὰ ῥηΐζοντα μᾶλλον, οἷον ὁ τὰ κλήματα τῇ χειρὶ πλέκων ἢ στρέφων, ὑπὲρ ὀδυνέων κατακείμενος, λαβόμενος πασσάλου ἄκρου ὑπερπεπηγότος εἴχετο καὶ ἐρήϊσεν. —

Τοῦτο μὲν δὴ ὡς πρόγραμμα ἀναγνῶναι. φησὶ γὰρ ὅτι ὀφείλεις ζητεῖν τὰ σχήματα φέροντα ῥαστώνην. λέγει

1) δῆλον ὅτι sc. ἀληθές. 2) τοῦ Codd. 3) τὰ om. ῥηΐζονται. μᾶλλον om. στρέφονται. ὑπὲρ om. λαβόμενος om. ἄκρῳ. ἐρήϊσον. Codd.

δὲ ὁ λόγος ὅτι ὀφείλεις καὶ τὰ ἀπὸ τῆς τύχης εὐκαίρως γιγνόμενα μεμνῆσθαι ἐν τῇ τέχνῃ, καὶ φέρει τὸ παράδειγμα, ὅτι ἀμπελουργόν τινα εἶδον, ὃς διὰ τὴν οἰκείαν τέχνην, λαβὼν κλάδους ἀμπέλου, ἔστρεφε. παρελύθησαν οὖν οἱ μύες τοῦ βραχίονος, καὶ ὡς παρὰ τὴν οἰκείαν 1) ἀσθένειαν γίνεσθαι· κατεβλήθη. λοιπὸν πολλὴ ὀδύνη, πολλὴ δυσφορία, καὶ δυσφορῶν ἔνθεν κἀκεῖθεν ἔῤῥιπτε τὰ μόρια, καὶ κατά τινα τύχην πασσάλου κειμένου ὑπὲρ τῆς κεφαλῆς ἐδράξατο ἰσχυρῶς καὶ ἐπαύσατο τοῦ πάθους. ἴσως γὰρ μῦς ἦν ὁ παραλυθεὶς, καὶ ἐν τῇ συγκάμψει 2) ἐξέτεινεν ἡ χεὶρ, καὶ ἐντεῦθεν ἐράϊσεν.

ιβ΄. Ὃν 3) ἐξ ὀρεοτυπίης παρὰ τὴν γέφυραν εἶδον ἐγὼ ῥίπτοντα τὰ σκέλεα, καὶ τὴν κνήμην ἑτέρην, ἥκιστα ἐλεπτύνετο, μηροὶ δὲ 4) [οὐ] κάρτα. οὖρα καὶ γονὴ οὐκ ἴσχετο. —

Οὐκ ἂν 5) σαφηνισθείη ὁ λόγος, εἰ μὴ προσλάβωμεν ἀνατομικὸν θεώρημα. εἴρηται γὰρ, ὡς ἡ ἅπασα ῥάχις ἔχει σπονδύλους εἴκοσι τέσσαρας μεριζομένους εἰς τρία, ἑπτὰ εἰς τὸν τράχηλον, δώδεκα εἰς τὸ μετάφρενον, καὶ πέντε εἰς τὴν ὀσφύν. εἰ οὖν ἐκστῶσι τῆς οἰκείας βάσεως, πρὸς τὸ διάφορον τῆς ἐκστάσεως ἔχουσι καὶ τὰ ὀνόματα· εἰ μὲν γὰρ ὀπίσω, κυρτώματα, εἰ δὲ ἔμπροσθεν, λόρδωμα, εἰ δὲ εἰς τὰ πλάγια, 6) *κωλίωμα. εἰ οὖν μόνον κλονηθῶσιν οἱ σπόνδυλοι, πολλάκις γὰρ ἔρχονται ἐπὶ τὰ ἔμπροσθεν, θλίβει τὸ πάθος, καὶ στενοχωρεῖ τὴν κύστιν καὶ τὴν γαστέρα· ἐντεῦθεν ἐπέχει τὸ οὖρον καὶ τὴν κόπρον, οὐ μόνον διὰ τὴν θλίψιν, ἀλλὰ καὶ διὰ τὴν ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως. εἴρηται γὰρ ὅτι καὶ τὰ ἔντερα καὶ ἡ κύστις ἕως μὲν τῶν κάτω φυσικῶς ἐνεργοῦσιν· ὅταν δὲ ἔλθῃ τὸ περίττωμα κάτω, τότε ἡ ψυχικὴ ἐνεργεῖ. μύες γάρ εἰσιν οἱ περιστελλόμενοι καὶ χαλῶντες. ποτὲ δὲ ἐπὶ τὰ ὀπίσω ἐγένετο ἡ ἔκστασις τῶν σπονδύλων, καὶ ἐντεῦθεν παρελύθη τὸ νεῦρον, καὶ φέρει ὀδύ-

1) lacerti — praeter naturam propriam debilitati. C. 2) pro ἐξετάθη. 3) τὸν ἐξορεοτυπίης. ἑκατέρην Codd. 4) οὐ om. Hipp. 5) σαφηνισθῇ Codd. 6) κωλέωμα L. Lego σκολίωμα.

την τῷ μυῒ τότε κατὰ τὸν τράχηλον τῆς κύστεως, καὶ τὸ ἀπευθυσμένον. παραλυθέντων οὖν ἐκείνων τῶν μυῶν, ἀκούσιος ἐγένετο ἔκκρισις· ἀλλ' οὐ μόνον τοῦτο, ἀλλ' ἐδείξαμεν ὡς ἐξ ὧν νεύρων δέχονται οὗτοι οἱ μύες, ἐκ τούτων καὶ οἱ πόδες· ἔνθεν ἐπειδὴ ἀργίη, τήκει, καὶ οἱ πόδες ἰσχναίνοντο, καὶ μάλιστα οἱ μηροὶ πλησιάζοντες· αἱ μέντοι κνῆμαι ἄλλοθεν καὶ ἄλλοθεν ἐῤῥίπτοντο. καὶ μὴν τὸ ῥίπτεσθαι ὑπὸ δυνάμεως γίνεται. λέγει οὖν ὁ Ἱπποκράτης· ἐ ῤ ῥ ί π τ ο ν τ ο, κινούμενα, ἀλλ' ὡς ἔτυχεν, ὁπουδήποτε ἦσαν ἐῤῥιμμένα, μὴ διοικούμενα ὑπὸ δυνάμεως· 1) ὃν ἐξ ὀ ρ ε ο τ υ π ί η ς π α ρ ὰ τ ὴ ν γ έ φ υ ρ α ν ε ἶ δ ο ν ἐ γ ὼ ῥ ί π τ ο ν τ α τ ὰ σ κ έ λ ε α κ α ὶ κ ν ή μ η ν ἑ τ έ ρ η ν, ἥ κ ι σ τ α ἐ λ ε π τ ύ ν ο ν τ ο, μ η ρ ο ὶ δ ὲ κ ά ρ τ α. ο ὖ ρ α δ ὲ κ α ὶ γ ο ν ὴ ν ο ὐ κ ἴ σ χ ε τ ο, ἵνα δηλώσῃ ὅτι συνεχῶς ἢ λίθους ἢ μέταλλα κόπτων καὶ κουφίζων ἑαυτὸν, παρέτρεψε τὴν ῥάχιν· διὸ ταύτῃ πέπονθεν. ἥ κ ι σ τ α ἐ λ ε π τ ύ ν ε τ ο. τὸ ἥκιστα, τὸ ἧσσον σημαίνει. 2) τοῦτο γὰρ ἀντέταξε τῷ κ ά ρ τ α· κ α ὶ γ ο ν ὴ ν ο ὐ κ ἴ σ χ ε τ ο. κόπρον καὶ οὖρα ἀκουσίως ἐκρίνοντο, διὰ τὴν παράλυσιν τῶν μυῶν. διατί καὶ σπέρμα ἀκουσίως; οὐδὲ γὰρ ἔχουσιν οἱ μύες τὰ σπερματικὰ ἀγγεῖα. καὶ λέγει ὅτι εἴρηται, ὡς οἱ κατ' 3) ἐπιγάστριον μύες δέχονται νεῦρα ἀπὸ τῶν σπονδύλων, καὶ συμβάλλονται περιστελλόμενοι τῇ ἐκκρίσει τοῦ σπέρματος, καὶ σφίγγουσιν αὐτό. νῦν οὖν παραλυθέντες οὐκέτι περισφίγγουσιν, ὅθεν ἀκουσίως ἐκκρίνεται τὸ σπέρμα. καὶ μὴν φυσικόν ἐστιν ἔργον. καὶ λέγει ὅτι ἀκουσίως ἐκκρίνεται, μὴ προηγησαμένης ἐρωτικῆς φαντασίας, ἑκουσίως δὲ, τὸ ἐναντίον.

ιγ'. Πτερυγώδεες φύσιες πλευρέων 4) δι' ἀδυναμίην τῆς ἀφορμῆς. —

Νῦν ζητεῖ, πτερυγώδης κατασκευὴ πόθεν γίνεται. καὶ ἀφορμὴν καλοῦσιν οἱ παλαιοὶ τὴν ἀρχὴν, τὴν αἰτίαν. ζητεῖ πόθεν ἔχουσι τὴν ἀφορμὴν αἱ πτερυγώδεις κατασκευαὶ, καὶ εἰς τὸ καθολικὸν τρέχει ὁ Ἱπποκράτης. ὅτι

1) τῶν ἐρεοτ. Codd. 2) τούτῳ Codd. 3) κατ' ἐπιγάστριον Codd.
4) δύναμιν τῆς Codd. Apud. Crassum ιγ' legitur post ιδ'.

πάντως διὰ ψύξιν τῆς καρδίας καὶ ἀδυναμίαν τῆς ἐμφύτου θερμασίας στενὸς καὶ ἀβαθὴς ἐγένετο ὁ θώραξ. ἡ δὲ ψύξις αὕτη, ἢ ὅτι μικρά ἐστιν ἡ καρδία, καὶ οὐ πέμπει θερμασίαν, ἢ ὅτι μικρὸς ὁ ἐγκέφαλος, καὶ διὰ τοῦτον ὁ νωτιαῖος, δι᾽ ὃν οἱ σπόνδυλοι, δι᾽ οὓς αἱ πλευραὶ, καὶ διὰ τοῦτο στενὸς ὁ θώραξ, καὶ ὅτι κατέψυκται τὸ ἧπαρ, ὡς μὴ πέμπειν πολὺ αἷμα, ἃ πάντα ὑπὸ ψύξιν καὶ ἀδυναμίαν ἀνάγεται, καὶ στενότητα τῶν πλευρῶν.

ιδ΄. Ἐπὶ τοῖσι καταῤῥοισι τοῖσι κακοήθεσιν εἰ ἔκκρισις εἴη καὶ μὴ εἴη, κακόν. —

Περὶ κακοήθους καταῤῥου θέλει διαλεχθῆναι. οὐδεὶς δὲ δύναται γνῶναι κακοήθη καταῤῥουν, μὴ γνοὺς τὸν 1) εὐήθη. καταῤῥους οὖν ἐστιν, ὅταν διαθερμανθῇ ἢ ψυχθῇ ὁ ἐγκέφαλος, καὶ διαλυθῇ αὐτοῦ ἡ ὑγρότης. ἀλλ᾽ εἰ μὲν εἰς ῥῖνας ἔλθῃ ἡ ὕλη, κόρυζα καλεῖται, εἰ δὲ εἰς ὑπερῴαν, καταῤῥους. καὶ μέλλει ὀλίγη ὑγρότης κατέρχεσθαι. ἔστι δὲ καὶ ἄλλη κακοήθης, ὅτε θερμὴ δυσκρασία καταλάβῃ τὸν ἐγκέφαλον, καὶ καταφέρεται ὑγρότης διαβρωτική· αὕτη οὖν φέρεται εἰς τὴν ὑπερῴαν, καὶ ποιεῖ τὸν καταῤῥουν· αὕτη ἡ ὑγρότης φέρεται παρὰ τὸν πνεύμονα, καὶ εὑρίσκει αὐτὸν μαλακὸν καὶ εὐπαθῆ, καὶ διαβιβρώσκει αὐτὸν, καί ἐστι μέγα κακὸν, ἐπειδὴ διαβρωτική ἐστι καὶ δριμεῖα ἡ ὕλη· εἰ δὲ μὴ ἀνάγοιτο, καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον κακὸν, ὡς σημεῖον μὲν, ὅτι δηλοῖ κατέχεσθαι μᾶλλον ἐκ τῆς θερμασίας, ὡς αἴτιον δὲ, ὅτι μένει, καὶ πολυπλασιαζόμενον ἐπιτίθεται τῇ δυνάμει καὶ τῷ πνεύμονι, καὶ διαβιβρώσκει μὲν τὸν πνεύμονα, βαρεῖ δὲ τὴν δύναμιν καὶ ποιεῖ θάνατον.

* * *

Capita duo sequentia graece in meis codicibus desiderantur. Sunt apud Crassum.

Rigores incipiunt mulieribus quidem a lumbis magis, et per dorsum, et tunc in caput. Verum et viris posterius magis, quam ab anteriore parte. Horrent exteriora magis, quam interiora corporis, ut cubiti, femora.

---

1) εὐήθην L.

Sed etiam cutis rara. id vero pilus indicat. A quibus autem aliis rigent, fortasse ulceribus, incipit ex vasculis.

In quinto libro Aphorismorum haec eadem sententia traditur, quae et hoc loco propter eos, qui ad hanc artem introduci debent, iterabitur, cum quadam tamen appendice in Aphorismorum libro non scripta: Quae paulo post rectene an perperam adiecta sit, expendemus. Quodnam est autem nunc Hippocratis propositum? Respondemus de rigoribus mentionem facere, dicentem, in mulieribus rigorem a posterioribus corporis partibus magis incipere. Verum nos prius quasdam rigoris differentias perquiramus, tres ratione sexus, duas ratione membrorum: tres item ratione situs membrorum. A sexu, cum dicimus, mulieres esse viris frigidiores: a membris, ut cum dicimus, membra quaedam carnosa, quaedam nervosa: et carnosa calida sunt, nervosa frigida: a membrorum positu, ut cum affirmamus, anteriores corporis partes esse calidiores: cum iecur et cor eo loci sint posita, posteriores autem rigidiores. Ubi haec praescivimus, modo quid dicat Hippocrates videamus: inquit igitur, Cum paria vasa habeant, viris frigidiores sunt mulieres. Bene dixit autem, recte se habentibus vasculis. neque enim absurdum est, in viris nonnunquam multam esse frigiditatem, in mulieribus minorem. idcirco et viros frigidiores esse continget. Caeterum si effectrices causae pares fuerint, mulieres magis rigore afficiuntur: rigor autem ipsis a lumbis ortum habet, aut quia in posterioribus partibus lumbi iacent, et ideo frigidi sunt, aut propterea quod ipsis uterus vicinus est, frigidam intemperiem in ipsos fundens: siquidem uteri substantia, utpote nervosa, frigida est. nervosa vero propterea dicitur, quia dilatatur, et constringitur: eius vero concavitas generandi gratia calida facta fuit. Ipse quoque uterus in lumbos processus quosdam instar cornuum mittit. Inde sequitur, ut a lumbis in mulieribus rigor initium capiat: cum ipsis proximus locatus sit. Item cerebrum spinalis medullae interventu plerumque uteri vitia participat, non quod ipse a cerebro nervos suscipiat, sed quod ei vicinus sit. Nam membra, quae inter se vitia communicant, alia propter viciniam, alia propter affinitatem id faciunt. At quoniam a nobis dictum est, anteriores partes esse calidas, posteriores frigidas, quaenam sunt huius rei causae? Respondemus, cum videamus anteriora hirsuta esse, et hoc non nisi ob calorem multum, posteriora vero glabra, et hoc, propter

frigus: ideo priores partes calidae sunt, et carnosiores, et laedentibus causis expositae. Et ob hoc ipsis a natura videndi potentia concessa est, quae pericula prospicit, et ab ipsis eas tuetur. Posteriores autem, utpote visu carentes, iccirco duriores, frigidiores, densiores, et iniuriis minus obnoxiae sunt. Et hoc est praesentis dictionis propositum: Rigores incipiunt mulieribus quidem a lumbis magis, et per dorsum: et tunc in caput. verum et viris posterius magis, quam ab anteriori parte. Ea vox, magis, de mulieribus dicitur, quia saepius incipiunt in ipsis rigores a lumbis, quam in viris, aut quoniam exoriuntur rigores etiam ab aliis membris, sed crebrius a lumbis ob ante dictas causas, sed praecipue propter uterum. Subdit Hippocrates, Horrent exteriora magis, quam interiora corporis, ut cubiti, et femora, sed etiam cutis rara. id vero pilus indicat. Hoc est, veluti antedictorum conclusio: quod scilicet propter supra dicta horrorem patiuntur, aut dixisse, horrent, ut tibi ostendat, se non de iudicatorio rigore verba facere, sed de eo, qui a frigore excitatur. Exteriora dicit et interiora: ut in cubito, ante et post, ut in humero, et femore. Nam cubiti exteriora calida sunt, utpote pilis obsita, interiora pilis vacua, quia frigida. Humeri autem posteriora frigidiora sunt et glabra, anteriora calida quemadmodum et femoris. subjicit deinde, A quibus autem aliis rigent, fortasse ulceribus, incipit ex vasculis. Considerandus est hic sermo, et quid significet. frequenter enim ab anterioribus membris fit rigoris principium, ubi est et mali causa. Et quaenam est haec? dicimus ibi esse ulcus, et humorum abundantiam, et his de causis inde rigor sumit initium. Quidam codices habent, ex occasionibus, Quidam, ex vasculis, Quidam, ex contrariis. Si legamus, ex occasionibus, intelligendum est, rigorem incipere ex occasionibus, id est, ab eo loco, ubi est cava et origo mali: Si legamus, ex vasculis, intelligendum est, rigorem ortum habere ex conceptaculis copiosam materiam continentibus. At si legatur ex contrariis, nonnulli sic interpretantur, si in sinistra parte sit ulcus, a dextra rigorem incipere. Sed male isti loquuntur. Nam tametsi in anterioribus locis ulcus fuerit, nihilominus a posterioribus rigor incipiet, ac prudentibus, et expertis sensum excitabit. Verum saepe ob temporis augustiam nos fugiet, ubi fiat rigoris initium.

Caput ex ortu et occasione, et plurimis sermonibus paulatim cognitis colligentem, et perdiscentem, an similia inter se sint; Et si non similia inter se sint, ex dissimilitudinibus similitudo fiat una. Sic utique sit via, sic et recte se habentium, probatio et non recte, redargutio.

Hippocratis propositum in hoc praecepto est, nos commonefacere, Quomodo oporteat medicum ad aegrum accedentem ipsum percontari: et quae oporteat explorare, et quae ab ipso praescienda sint, utque recta doctrina utatur, sermonem suum per divisivam methodum instituit. Quoniam etiam divisio definitionem demonstrationemque dignitate antecedit, quippe cum definiens ea, quae sunt in divisione, suscipiat: et ex his deligens congruentem sibi definitionem constituat, ut ex animali, et planta sumit animal, ex rationali, et irrationali rationale: ex mortali, et immortali mortale: atque ita definit, hominem esse animal rationale, mortale. Demonstratio vero definitionem sequitur. Nam si interroges, propter quid homo est animal: respondetur, quoniam est substantia animata sensualis. pariter etiam si interrogetur, propter quid homo est rationalis, et propter quid mortalis. ergo nobilior est divisio definitione, et demonstratione. Dicit autem Hippocrates, utendum esse eorum divisione, quae et naturalia sunt, et praeter naturam. Naturalia sunt, aetas, temperatura, habitus, quae ipse vocat ab ortu. At quoniam tria sunt nobis a generationis principio, haec iterum subpartiamur, aetatem quidem in pueritiam, iuventutem, virilem aetatem, et senectutem. morbi vero et si iidem sint, sed in diversa materia, et aetate, diversa egent curatione. Temperaturae aut simplices sunt, aut compositae, aut aequales, aut inaequales. Aequalis est aequaliter composita, cuique conveniens. Habitus autem est aut densus meatibus, aut rarus: aut macilentus, aut carnosus. Et haec est rerum naturalium partitio. At quae sunt naturae inimica, sunt aut morbi, aut eorum causae, aut eorum casus. Et horum singulorum partitio saepius narrata est. porro haec omnia perquirenda sunt: et a generalibus ad singularia procedendum. Singularia enim sunt, quae et cognoscere, et medicari debemus: atque iterum a privatis communia exploranda sunt. Propterea dixit Hippocrates, colligentem, et perdiscentem, id est, dilatantem, et universalia facientem. Et hoc modo, inquit, omnia explorare oportet, quae nos ad cognoscendi viam ducunt: et quae bene

se habent, ars approbat, et quae non bene, redarguit. Sed quid est hoc, quod dicit, similia inter se, et non similia? respondemus, Hippocratem dicere a nobis esse considerandum, num imminentes morbi ab intemperie sint eventuri, ut puta caliditatis et frigiditatis: et ipsas ad aequalitatem redigere: hoc est, bene temperatos, et moderatos efficere. Occasiones autem omnes morborum causas appellat, et symptomata, quae sunt praeter naturam. Nam causae sunt morborum occasiones, morbi symptomatum. Symptomata sunt actionum laesiones. haec autem non ut symptomata, sed ut causae vires demoliuntur. Et hoc fuit autoris propositum.

* * *

ιε΄. Αἱμοῤῥαγία ἐκ ῥινῶν ἢ τοῖσιν ὑποχλωρομέλασιν ἢ τοῖσιν ἐρυθροχόλοισιν ἢ τοῖσιν ὑποχλώροισιν. —

Ἱπποκράτης νῦν περὶ διαγνώσεως διαλέγεται. γίνεται οὖν διὰ ῥινῶν κένωσις, εἴτε προνοίᾳ φύσεως, εἴτε κακοηθείᾳ νοσήματος. νῦν οὖν ζητοῦμεν· γίνεται οὖν αὕτη ἢ κατὰ ῥῆξιν ἢ κατὰ διάβρωσιν, ἢ κατὰ ἀναστόμωσιν. εἰ γοῦν γνῶναι θέλεις, ποίῳ τόπῳ ἑκάστη γίνεται, ζήτησον τὸ χρῶμα τοῦ αἱμοῤῥαγοῦντος, ἥτις βαροῦσα ἔχει ποιῆσαι ἀναστόμωσιν, ὡς ἐπὶ τῶν μειρακίων. ἀλλ' οὐ μάτην συνετάξατο τὸ χολῶδες εἰπών, ἐρυθροχόλοισιν. οἶδε γὰρ ὡς ἐπὶ τῶν μειρακίων 1) λόγῳ πλήθους γίνονται αἱ αἱμοῤῥαγίαι. ἀλλ' ἐπειδὴ αὕτη πλησιάζει τὴν ἀκμαστικὴν ἡλικίαν ἐν ᾗ χολὴ πλεονάζει, καί ποτε χολωδέστερον ἐπὶ τῶν μειρακίων εὑρίσκεται τὸ αἷμα διὰ τὴν γειτνιάζουσαν ἡλικίαν, διὰ τοῦτο 2) ἐρυθρὸν συνετάξατο τὸ χολῶδες. εἰ δὲ γένηται τὸ πρόσωπον χλωρὸν ὃ συμβαίνει ἀπὸ χολῆς, προσδόκα λόγῳ διαβρώσεως τὴν αἱμοῤῥαγίαν. ἀλλ' οὐ μάτην τῷ χλωρῷ συνετάξατο τὸ μέλαν, ἐπειδὴ ἡ χολή, ἡ ὄντως χολή, χλωρὸν ποιεῖ τὸ πρόσωπον· καὶ μᾶλλον πελιδνόν, γίνωσκε πλεονεξίαν οὖσαν μελαγχολικοῦ χυμοῦ, 3) ὃς τὸ σκληρὸν τῆς οὐσίας λόγῳ κρίσεως ποιήσει τὴν διάβρωσιν. τοῦτο δὲ μόνον ἔταξεν, ἐπειδὴ οὐκ ἔστι διαφορὰ 4) μελαγχολικοῦ.

---

1) *λέγω* L. 2) Fort. *ἐρυθρῷ.* 3) Fort. *οὗ.* 4) *μελαγχολικὴ* L.

ιϛ΄. Βραχέα ὑφέντα παχῦναι ξηρῶς, τοῖσι δὲ ἑτέροισι 1) ἧσσον παχυσμοῖς· ξηρῷ δὲ δεῖ λευκῷ, οἷον κηκὶς, στυπτηρία. —

Ἐπειδὴ περὶ αἱμοῤῥαγίας διελέγετο, ὅτι εἰ πλείων ποτὲ γένηται, θεραπεύω, λέγει τὴν θεραπείαν. Σαβῖνος δὲ μὴ δυνηθεὶς τὸν λόγον νοῆσαι, τὴν γραφὴν μετέθηκε. βραχίονα γὰρ ἐποίησε καί φησιν, ὅτι περὶ ἀντισπάσεως λέγει ὁ Ἱπποκράτης, ὅτι ἐὰν γένηται αἱμοῤῥαγία, τέμνειν ἐν τῷ βραχίονι φλέβα τὴν κατ᾽ εὐθὺ διὰ τὴν ἀντίσπασιν. ἀλλ᾽ εἰ μὲν οὕτως εἶχε, καλὴ ἡ ἐξήγησις. βραχέα δὲ ἔχει καὶ τοῦτό φησιν, ὅτι ἐὰν γένηται αἱμοῤῥαγία, εἰκὸς ἐν τῷ μέσῳ ἵστασθαι τὸ αἷμα· μὴ οὖν ὡς ἔτυχε χρήσῃ τοῖς βοηθήμασιν· εἰκὸς γὰρ, θρόμβου σφηνωθέντος, γενέσθαι ἐποχὴν τοῦ αἵματος. καὶ χαλεπόν ἐστι 2) τοῦ σφηνωθῆναι τὸν θρόμβον, ἀλλ᾽ ἐάσας μικρὸν κενωθῆναι, τότε ἐπίσχες· θεράπευσον δὲ πρὸς τὴν ποιοῦσαν αἰτίαν. εἰ γὰρ εὕρῃς ὅτι λόγῳ διαβρώσεως ἡ αἱμοῤῥαγία γέγονε, τοῖς γλίσχροις κέχρησο, τοῖς δυναμένοις τὸ λεπτὸν παχῦναι. ξηρὸν δὲ λέγει, ἀντὶ τοῦ ξηρίον θές. εἰ δὲ λόγῳ πλήθους ἐγένετο, τότε τοῖς ξηραντικοῖς κέχρησο. εἶτα· ὡς τινος ἐρωτῶντος, καὶ ποῖά εἰσι τὰ ξηρία, λέγει ὅτι κηκὶς καὶ στυπτηρία. τὰ δὲ πολλὰ οὐκ ἔχουσι στυπτηρίαν, ἀλλὰ προσέθηκαν αὐτό τινες, ὅθεν καὶ τὸ λευκὸν ἔταξε. λευκὴ γάρ ἐστιν αὕτη· ἢ μᾶλλον τὸ λευκὸν, κατὰ τῆς αἱμοῤῥαγίας, ἀντὶ τοῦ ἕως ἄρξηται φλεγματικώτερον αἷμα κενοῦσθαι· αἵματος γὰρ καὶ χολῆς καὶ μελαγχολικοῦ μνημονεύσας, παρέλιπε τὸ φλέγμα.

ιζ΄. Ὁκόταν ἀφροδισιάζειν ἄρχωνται ἢ τραγίζειν, αἱμοῤῥαγέουσιν. —

Εἰ τὸ τραγίζειν σαφηνισθείη, πᾶς ὁ λόγος σαφὴς γενήσεται. τράγον οὖν καλοῦσιν οἱ 3) φωνασκικοὶ πάθος τι παρὰ τὴν φωνὴν, ὅτε βαρεῖα καὶ βραγχώδης γίνεται. ἑκατέρου δὲ τὴν αἴτησιν ζητητέον. ἀλλ᾽ οὐ δυνατὸν εἰδέ-

---

1) ἶσον παχῦναι, ξηρᾶναι, οἷον Codd. 2) Fort. τὸ. 3) φωνασκινοὶ L.

ναι διατί βαρεῖα γίνεται, εἰ μὴ μάθωμεν διατί ὀξεῖα. ἐπὶ τῶν παιδίων οὖν καὶ τῶν γυναικῶν ὀξεῖα γίνεται, διὰ τὴν ψύξιν πιλοῦσαν τὰ ἀγγεῖα· οὐκοῦν βαρεῖα γίνεται, διὰ θερμασίαν εὐρύνουσαν· βραγχώδης τοίνυν, ἀπὸ ὑγρότητος κατακλυζούσης τὴν τραχεῖαν ἀρτηρίαν· οὐκοῦν τὸ τραγίζειν ἀπὸ θερμότητος καὶ ὑγρότητος γίνεται, ὃ πάσχουσιν οἱ τράγοι. λέγει οὖν, ὅταν γένηται καιρὸς τοῦ ἀφροδισιάζειν, οὐ λέγω δὲ ὥραν τῆς μίξεως, ἀλλ' ὅτε ἡλικία καλεῖ, ὅτε καὶ τραγίζουσι, τότε καὶ αἱμοῤῥαγοῦσιν· ἐπειδὴ ἐν παιδικῇ ἡλικίᾳ τὸ σπέρμα εἰς τὴν αὔξησιν ἐδαπανᾶτο, ἔφθασεν ἡ ἥβη, καὶ ἐπαύσατο τῆς αὐξήσεως, τότε πλεονάζει τὸ σπέρμα, ὃ καὶ ἄλλο, ἄλλο μόριον ἐπέρχεται, καὶ ἐρχόμενον κατὰ τῆς τραχείας ἀρτηρίας, ποιεῖ τὸ τραγίζειν, καὶ ὡς περιττὸν ἐκ τοῦ πολλοῦ βρασμοῦ καὶ κινήσεως, εἰ εἰσέλθοι παρὰ τὰς ῥῖνας, ποιεῖ τὴν αἱμοῤῥαγίαν. εἰ δέ ποτε τὸ σπέρμα ἐπισχεθῇ, πέμπει δριμυτέρους ἀτμοὺς περὶ τὴν ἐπιφάνειαν, καὶ δάκνοντες ποιοῦσι τὴν φρίκην. λέγει δὲ καὶ, ἀφροδισιάζοντες πνεῦμα ἐκκρίνουσιν, πάλιν οὐ πάντες, ἀλλ' ὡς εἶπεν, οἱ ἔχοντες ὑποχονδριακὸν πάθος, ὡς Δαμναγόρᾳ· ἐνίοις δὲ καὶ ᾤδεεν, ὡς Ἀρκεσιλάῳ.

ιη'. Αἱ μεταβολαὶ φυλακτέαι. —

Σαφὴς οὗτος ὁ λόγος ἐκ τῶν εἰρημένων ἐν τῷ περὶ διαίτης ὀξέων. λέγει γὰρ ὅτι ταράσσονται αἱ μεταβολαὶ, εἰ ἀπὸ τοῦ κινεῖσθαι ἔλθοι τις εἰς τὸ ἠρεμεῖν. καὶ δεῖ μόνον προσθεῖναι 1) τὸ ἀθρόως. οὐδὲ γὰρ τὸ ἀπὸ κινήσεως κατὰ βραχὺ εἰς ἀργίαν μεταβάλλειν βλάπτει, ἀλλὰ τὸ ἀθρόως. ἢ μᾶλλον ὡς πρόγραμμα τοῦτο ἀναγνωστέον, ὅτι αἱ μεταβολαὶ φυλακτέαι, αἱ κατὰ τὰ ἐπιτηδεύματα, κατὰ τὰ ἤθη τῆς ψυχῆς, κατὰ τὴν δίαιταν γινόμεναι.

ιθ'. Ὀλίγον σιτίον, ἄκοπον, ἄδιψον. —

Τινὲς τοῦτον τὸν λόγον τοῦ ἀνωτέρω χωρίζουσιν, ὅτι περὶ ἄλλου νῦν λέγει ὁ Ἱπποκράτης, ὅτι ἐάν τις ὀλιγοσιτῇ, μὴ διψήσει, ἵνα μὴ ἐκ τῶν δύο αἰτίων καταβληθῇ

---

1) τὰ ἄρθρα Codd.

τὸ σῶμα. ἀλλὰ μηδὲ κοποῦσθαι· ὅκου γὰρ λιμὸς, οὐ δεῖ κοποῦσθαι ἤτοι πονέειν. ὁ δὲ Γαληνὸς ἐν τῷ περὶ διαίτης ὀξέων συνάπτει αὐτὸν τῷ ἄνω, ὅτι πᾶσα μὲν ἀθρόα μεταβολὴ ταράττει τὸ σῶμα. εἰ δὲ ὅλως μεταβάλῃς κἂν ἐπὶ τὸ ἧττον ἁμάρτημα, μὴ ἐξ ὕπνου εἰς ἀγρυπνίαν, ἀλλ' ἐξ ἀγρυπνίας εἰς ὕπνον. οὕτω καὶ ἐνταῦθα τὴν ἥττονα δέχου μεταβολὴν, μὴ ἀπὸ τοῦ ὀλιγοσιτεῖν ἐπὶ τὸ 1) πολυσιτεῖν, ἀλλ' ἐκ τοῦ πολυσιτεῖν εἰς τὸ ὀλιγοσιτεῖν, καὶ ἐκ τοῦ μὴ πίνειν εἰς τὸ 2) ἄδιψον, καὶ ἐκ τοῦ κοποῦσθαι εἰς τὸ ἄκοπον. ταῦτα ἕλου μᾶλλον τοῖς ἐναντίοις.

κ΄. Πᾶς 3) λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἔπειτα περιτείνεται, ἀνάθρεψις τἀναντία χρωτὸς ῥίκνωσις ξυμπίπτοντος, ἔκτασις ἀνατρεφομένου, τὸ ῥικνῶδες, τὸ λεῖον, ἑκατέρου σημεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. οὕτω τὸ κατεσπάσθαι μαζοὺς ἰσχνοὺς ἢ ἀνεσπάσθαι καὶ περιτετάσθαι, καίτοι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τοῦτο γίγνεσθαι. ἡ ἄγαν πλήρωσις, κληῒς περιφανὴς, φλέβες διαφανέες. —

Πάλιν ὁ λόγος περὶ 4) καθάρσεως σαρκῶν. ὅσα δὲ νῦν λέγει, περὶ ὑγιαινόντων λέγεται καί φησιν, ὅτι ἐν πλήθει σαρκῶν, πάντως ὀφείλεις χρήσασθαι τῇ καθάρσει, εἰ διὰ κακοχυμίαν ἰσχνανθῇ τὸ σῶμα, ὃ πέπονθεν ὁ Γαληνός. γύναιον γὰρ ἐκτετηκὸς οἱ μὲν ἄλλοι πάντες ἀνέτρεφον, αὐτὸς δὲ εὑρίσκων ὅτι ἐπὶ ἐννέα μῆνας ἐπισχεθέντα τὰ καταμήνια, καὶ τὰς φλέβας ἐκτὸς πλήθους πεφυσημένας, ἔγνω ὅτι μᾶλλον ἐκ τοῦ πλήθοις κατίσχονται. ἔρχεται γὰρ τὸ αἷμα παρ' ἕκαστον τῶν μορίων καὶ ὡς ἀλλότριον αὐτὸ ἀποσείονται. ἔνθεν τῶν ἄλλων παρὰ προαίρεσιν ἐφλεβοτόμησε, καὶ ἔπαυσε τὴν κακοχυμίαν· εὐθὺς ἀνετράφη τὸ σῶμα. οὔκουν ἔδει εὐκαίρως καὶ καθελεῖν καὶ ἀνατρέφειν· καὶ ὁρᾷς τὰ ἑκατέροις συμβαίνοντα. εἰ γάρ ἐστι πλῆθος σαρκῶν, ὅταν ἀρξώμεθα αὐτὸ τήκειν, μειοῦται ἡ σὰρξ, ἡ πρότερον διατείνουσα τὸ

1) πολυσιτελεῖν L. 2) ad potum C. 3) λεπτὸς χυμὸς. Codd. 4) Fort. καθαιρέσεως.

δέρμα· ἐντεῦθεν χαλαρώτερον γίνεται. εἰ δὲ ἐπὶ πλεῖον αὐτῇ χρησόμεθα, κατακρατούσης ξηρότητος, περιτείνεται τὸ δέρμα, ἐν δὲ τῇ ἀναθρέψει τὰ αὐτὰ μὲν, ἀλλ' ἐναλλὰξ γίνεται. ἀρχομένων γὰρ αὔξεσθαι τῶν σαρκῶν, ὑγραινόμενον τὸ δέρμα χαλαρώτερον γίνεται. ὅταν δὲ πολλαὶ γίνωνται σάρκες, τότε περιτείνεται. οὐκοῦν τῇ μὲν καθαιρέσει τοῦ χρωτὸς ἕπεται ῥίκνωσις, τουτέστι ῥυτίδωσις τοῦ δέρματος, τῇ δὲ ἀναθρέψει τοῦ χρωτὸς, οὐκ ἀνωμαλία. ποτὲ γὰρ ἡ φύσις 1) εὐτυχεῖ ἐν τῇ καθαιρέσει ἢ ἐν τῇ ἀναθρέψει· οἶμαι ὅτι ἐν τῇ ἀναθρέψει· τότε γὰρ λεῖον καὶ ὁμαλόν ἐστι τὸ σῶμα, ἐν δὲ τῇ καθαιρέσει, φρικῶδες τουτέστι ἀνώμαλον. καὶ γὰρ ἐν τῇ φρίκῃ ἀνωμαλία τις γίνεται ἐν τῷ σώματι. καὶ οἱ παλαιοὶ τὴν ἀνωμαλίαν, φρίκην καλοῦσι. δυνατὸν δὲ εὑρεῖν καὶ ἀπὸ τοῦ χρώματος· ἐπὶ γὰρ τῆς καθάρσεως δυστυχοῦσα ἡ φύσις, ὠχρότερον ποιεῖ τὸ χρῶμα· εἰ δὲ κατακρατήσει, καὶ πελιδνόν· ἐν δὲ τῇ ἀναθρέψει, ἐρυθρὸν τὸ χρῶμα. ἄρχεται γὰρ κατακρατεῖν τὸ κατὰ φύσιν ἄνθος. λοιπὸν ὁ Ἱπποκράτης εὑρίσκει τὰ τοιαῦτα σημεῖα διαφόρως λαμβανόμενα, καὶ ἐπαμφοτερίζει· 2) κλεῖς γὰρ καὶ φλέβες, περιφανέες. ἀλλ' ἡ μὲν κλεὶς, αὐτὸ τὸ ὀστέον, καὶ αἱ φλέβες φαίνονται λόγῳ ἰσχνότητος. τοῦτο ἕπεται τῇ καθαιρέσει. αἱ δὲ κλεῖς περιφανεῖς, ἀντὶ τοῦ ἐκεῖ αἱ σάρκες· καὶ αἱ φλέβες δὲ ἐκεῖ μεγάλαι, λόγῳ τοῦ αἱματικοῦ χυμοῦ. τοῦτο ἕπεται τῇ ἀναθρέψει. λοιπὸν ἀπορεῖ πρὸς ἑαυτὸν, ἆρα καὶ τὸ χαλάσαι καὶ 3) ἀναπλάσαι τοὺς μαζοὺς διὰ τοῦτο συμβαίνει. καὶ καθαιρομένου μὲν τοῦ παντὸς σώματος, συγκαθαίρονται, ὡς ἐπὶ τῶν γραϊδίων· αὐξανομένων δὲ, συναυξάνονται, ὡς ἐπὶ τῶν παρθένων, ἢ διὰ τὸ ἔχειν γάλα, ἢ διὰ τὸ μὴ ἔχειν τοῦτο 4) πάσχειν. εἰ μὲν γὰρ διὰ τὸ γάλα, οὐκ ἔστι τοῦτο τῆς παρούσης θεωρίας· εἰ δὲ συμπάσχουσι τῷ παντὶ σώματι, ἅτε ἔπασχε τὸ πᾶν σῶμα, τοῦτο καὶ οἱ μαζοί.

κα'. 5) Ἡρόδικος τοὺς πυρεταίνοντας ἔκτεινε δρόμοισι,

---

1) infeliciter agit. C. ἀτυχεῖ. 2) καλεῖς L. 3) convelli C. 4) patiuntur C. 5) Ἡρωδικὸς Codd. semper.

πάλησι, 1) *πυρίῃ, κακὸν, τὸ πυρετῶδες πολέμιον περιόδοισι, δρόμοισιν, ἀνατρίψει, πόνος πόνον αὐτοῖσιν ὅτε φλεβῶν ἔρευθος, πελίδνωσις, χλωρότης, πλευρέων ὀδύναι λαπαραί· ὅτε ἐχρῆν ἄδιψον συνέχειν στόμα, εἰσάγειν ἄνεμον, ἐν τόπῳ ψυχρῷ εἰσάγειν. —*

Διαβάλλει τινὰ ἰατρὸν, 2) *ὃς λαμβάνων τινὰ πυρέττοντα. ὁ δὲ πυρετὸς κακόηθες νόσημα· τὰ γὰρ ἄλλα ἐν ἑνὶ μορίῳ ἐπηρεάζει, ὁ δὲ πυρετὸς καὶ πνεύμασι καὶ ὑγροῖς καὶ στερεοῖς· καὶ τούτου ἡ θεραπεία διὰ πολλῆς ἡσυχίας, διὰ πολλῆς ἐμψύξεως. ὁ δὲ Ἡρόδικος κίνησιν αὐτοῖς ἐπέταττεν διὰ δρόμων, διὰ πάλης, καὶ ἐπὶ πυρὶ πῦρ ἀνῆπτεν. ἐκέχρητο δὲ καὶ τῇ ἀνατρίψει· ἐντεῦθεν πρὸς τὸν ἐμφωλεύοντα χυμὸν ἐγίνετο ἐν τῷ προσώπῳ τὸ χρῶμα, ποτὲ μὲν ὠχρὸν, ποτὲ δὲ ἐρυθρὸν, πρὸς δὲ τὰ τέλη πάντως πελιδνόν. ταῦτα γὰρ ποιῶν οὐ μόνον οὐκ ἔβλαπτεν, ἀλλὰ καὶ ἔκτεινεν, ἐπειδὴ καὶ ὁ πυρετὸς πᾶν νέμεται τὸ σῶμα, μάλιστα δὲ τῶν θωρακικῶν. ἐκεῖ γάρ ἐστιν αὐτοῦ ἡ αἰτία· ἐντεῦθεν ἐκ τοῦ πυρετοῦ κακῶς εἶχον αἱ πλευραί. ἐπέταξε δὲ καὶ κίνησιν· ἔτι μᾶλλον ἐκεῖ ἐπετάθη ἡ ὀδύνη. ὁρῶμεν γὰρ τοὺς τρέχοντας περὶ τὴν πλευρὰν ὀδυνωμένους ἐκ τῆς δυσπνοίας. διὸ θάνατον ἐποίει ὁ Ἡρόδικος. ἀλλ᾽ ἴσως εἴποι τις, ὡς οὐχ ἡ κίνησις ἔβλαψε τὰς πλευρὰς, ἀλλά τι ἐκεῖ προσυποκείμενον. διὰ τοῦτο προσέθηκε τὸ λαπαρὸν ἐόν· πρότερον γὰρ οὖσαι λαπαραὶ, νῦν κακοήθεις ἐγένοντο. κακῶς μὲν οὖν ἐχρήσατο ὁ Ἡρόδικος, ἀλλὰ βουλήσει τῆς προνοίας οὐ τέθνηκεν ὁ γυμναστής. ὀφείλομεν οὖν ἡμεῖς τὸν αὐτὸν θεραπεύειν· πανταχόθεν ψύξομεν, καὶ ἔσωθεν καὶ ἔξωθεν, καὶ μὴ ἐάσομεν αὐτὸν πολλὰ λαλεῖν, ἵνα μὴ ἐκ τούτου θερμανθείη· πολὺν δὲ* 3) *ἀέρα εἰσπνεέτω, καὶ ψυχρῷ ποτε κεχρήσθω, μὴ οἴνῳ, μὴ μελικράτῳ, ἀλλὰ μόνῳ ὑδροροσάτῳ ἢ ὑδρομήλῳ· καὶ εἰ μὲν εἴη ὁ ἀὴρ ψυχρὸς, ἀποδεξόμεθα· εἰ δὲ μὴ, ἀπὸ νοτίου οἴκου εἰς βόρειον μετέλθωμεν. εἰ δὲ μηδὲ τοῦτο, ὕδωρ ποιήσομεν ψυχρὸν εἰσφέρεσθαι εἰς τὸν οἶκον, καὶ ῥαίνεσθαι τῷ ἐδάφει φύλλα*

---

1) *πυρὶ γὰρ τὸ πυρῶδες* Codd. 2) qui febre laborantes ob inscitiam perimebat. C. om. *ἔκτεινε.* 3) aerem frigidum C.

ῥόδων χαμαὶ, ἵνα πανταχόθεν ψύχωμεν. Ἡρόδικος δὲ τοὺς πυρεταίνοντας ἔκτεινεν, 1) οὗ ἡμεῖς τὸ ὄνομα οἴδαμεν, ὅτι Πρόδικος λέγεται. Ἡρόδικος δὲ τῆς 2) ἰατρικῆς, καὶ συνεπαινεῖ αὐτῷ ὁ Ἱπποκράτης, καὶ οὐ περὶ τούτου αὐτῷ μάχεται, ἀλλ' ὅτι κακῶς ποιῶν, ἐν πυρετῷ οὑτωτρόπως ἐκέχρητο. ὡς εἴ γε καλῶς αὐτῷ ἐχρῆτο, κατ' ἄμφω ἂν ἐπῃνεῖτο, ὅτι τε οἴεται αὐτῷ τῆς ἰατρικῆς εἶναι, ὅτι τε καλῶς αὐτῇ ἐκέχρητο.

κβ'. Τὰς ἀφορμὰς ὁκόθεν ἤρξαντο κάμνειν, σκεπτέον εἴτε κεφαλῆς ὀδύνη εἴτε ὠτὸς εἴτε πλευροῦ· σημεῖον οἱ ὀδόντες, ἐφ' οἷς οἱ βουβῶνες. —

Σὺν τῇ ἐννοίᾳ ταύτῃ τοῦ λόγου καὶ ἡ Ἱπποκράτους τέχνη θαυμάζεται, 3) πῶς οὐ θαῤῥεῖ μόνῃ τῇ πείρᾳ, ἀλλὰ καὶ τῷ λόγῳ. γεννᾷ γὰρ ὁ λόγος, κρατύνει δὲ ἡ πεῖρα τὰ περὶ τοῦ λόγου, πρὸς τῷ καὶ τὴν ὕλην χαρίζεσθαι. φησὶ γὰρ ὅτι μηδέποτε θεραπεύσῃς, μὴ προηγησαμένης διαγνώσεως· διαγινώσκων δὲ τὰ πάθη, ζήτησον εἴτε κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν γίνονται, καὶ ἁπλῶς πάσας τὰς ἀφορμὰς, οἷον ἐπὶ ὠτὸς, ἐπὶ πλευροῦ, ἐπὶ κεφαλῆς. μὴ γὰρ ὡς ἔτυχε τοῖς 4) δυναμεροῖς καταπίστευε. ὥσπερ γὰρ ἄλλοις πολλοῖς, οὕτω καὶ Ἀπολλωνίῳ τοὐπίκλην Μυῒ γέγραπται δυναμερά. καὶ ἕνα τροχίσκον ἐπιτίθεται ἐπὶ πάσης δυσεντερίας, ἀγνοῶν ὅτι ἀπὸ χολῆς γίνεται καὶ ἀπὸ φλέγματος ἁλμυροῦ σεσηπότος. σὺ δὲ ταῦτα ζήτει ἐπὶ τῶν νοσημάτων, οἷον ἐπὶ τῆς κεφαλαλγίας, πῶς πάσχει· οὐκ ἄν ποτε παύσοιτο, μὴ ἐκείνης θεραπευθείσης πρῶτον. πάσχει γάρ πως τὸ κράνιον ἀπὸ διαφόρων αἰτιῶν, ἀπό τε ἀτμῶν, ἀπὸ χυμοῦ, ἀπὸ πνευμάτων, κατὰ δυσκρασίαν, 5) καθ' ὕλην, ὀργανικὴν ἀμετρίαν. καθ' ἕκαστον οὖν τούτων τῶν αἰτίων ὑπαλλάττεται καὶ ἡ θεραπεία, ἡ ψυχρὰ τῷ ἀνηθίνῳ, εἰ δὲ

---

1) neque eius nomen est, quem novimus Prodicum appellari C. 2) erat peritus C. 3) quod, quae sermone docet, non soli experientiae committere audet, praeterquam quod et materiam nobis largitur. C. male. 4) Dynamera et medicamenta audiunt et codices medicamentarii. v. c. Nicolai Dynameron. 5) sine materia C.

πνεῦμα, τῷ χαμαιμηλίνῳ, εἰ δὲ δριμύτεροι ἀτμοὶ, πτισάνην 1) μίξομεν, εἰ δὲ παχεῖς χυμοὶ, νίτρον. οὐ μόνον δὲ ταῦτα ἐπὶ τῶν ἐν βάθει μορίων, ἀλλὰ καὶ τῶν ἐπιπολῆς, καὶ ἐπὶ τῶν ὀδόντων. ποτὲ γὰρ θερμαίνομεν, ποτὲ δὲ ἐμψύχομεν αὐτοὺς διαφόροις κλύσμασι. ταῦτα καὶ ἐπὶ τῶν βουβώνων· γέγονε γὰρ ὁ βουβὼν, εἰ μὲν ἐκ προηγησαμένης αἰτίας, ἐπὶ ἄνθρακι· κακοήθης οὗτος· εἰ δὲ ἐπὶ προκαταρκτικῇ, ὥσπερ ἐπὶ ἕλκει, εὐήθης· οὕτω πάσας ταύτας τὰς ζητήσεις ἐκάλεσεν ἀφορμάς.

κγ΄. Τὰ γινόμενα ἕλκεα καὶ φύματα τὰ κρίνοντα πυρετοὺς, οἷσι ταῦτα μὴ παραγίγνονται, ἀκρισίη· οἷσι δ᾽ ἐγκαταλέλειπται, βεβαιόταται καὶ τάχισται αἱ ὑποστροφαί. —

Σαφὴς οὗτος ὁ λόγος. γίνεται γὰρ πολλάκις, ὡς εἴωθε, διὰ φυμάτων καὶ ἑλκῶν ἀπαλλάττεσθαι. εἰ οὖν ἐπὶ τούτων γένηται ταῦτα, ἀγαθόν· ἔσται γὰρ ὅσον οὔπω ἡ ἀπαλλαγὴ τοῦ πυρετοῦ· εἰ δὲ μὴ γένωνται, κακόν· μένει γὰρ ἔσω ἡ ὕλη. εἰ δὲ γένωνται μὲν, μὴ πρὸς ἀναλογίαν δὲ, τότε ὀλίγη μὲν ῥαστώνη, πάντως δὲ ὑποστρέφει. καὶ κακοηθέστατος ὑποστρέψει, ἐπειδὴ ἐκ τοῦ προηγησαμένου νοσήματος καταβέβλητο ἡ δύναμις, ἐγίνετό τις ἐν τῷ μέσῳ ὀλίγη ῥαστώνη, προσεδόκα ἡ φύσις ἀνακτήσασθαι ἑαυτὴν, ἐπιγενόμενον δὲ τὸ νόσημα ἐν τῷ καιρῷ τῆς ἀνακωχῆς, ἐπεβάρησε. καὶ πῶς οὐκ ἔστι κακόηθες; πρῶτον μὲν οὖν αὕτη ἡ ἐξήγησις, καθ᾽ ἣν φαμεν ὅτι ἐπὶ τῷ πυρετῷ εἰωθότι διὰ φυμάτων καὶ ἑλκῶν κρίνεσθαι, ταῦτα εἰ μὴ φανῇ, κακόν. ἔστι δὲ καὶ ἄλλη μερικὴ ἐξήγησις, ὅτι οὐκέτι τὰ δύο κατηγορεῖται. ἔστι γὰρ πολλάκις ἐν τῷ βάθει, ἐπεί ποτε καὶ ὁ ἐν τῷ βάθει ὄγκος φῦμα καλεῖται. τοῦτο τὸ φῦμα εἴωθε δι᾽ ἕλκους κρίνεσθαι. εἰ οὖν γένηται ἕλκος, ἀγαθόν· εἰ δὲ μὴ γένηται, κακόν. εἰ δὲ γένηται, μὴ πρὸς ἀναλογίαν δὲ, ἐπικίνδυνον· ὑποστρέψει γάρ. ἀλλὰ τὰ εἰρημένα τῷ Γαληνῷ, εἰ μὲν εὔηθες εἴη τὸ νόσημα καὶ μηδεμία γένηται ἁμαρτία, οὐδόλως ὑποστρέφει· εἰ γὰρ εὐήθους ὄντος αὐτοῦ γένηται ἁμαρτία, ἧσσον

1) σμήξωμεν L. σμήχωμεν A. miscebimus C.

κακὸν 1) *ἐπιστρέφειν· εἰ δὲ κακοήθους ὄντος μὴ γένηται, ἧσσον ἐπιστρέφειν· εἰ δὲ κακόηθες τὸ νόσημα, καὶ μεγάλη ἡ ἁμαρτία, [ἧσσον] ὑποστρέφειν πάντως, καὶ ὀλεθρίως ὑποστρέψει. ἀλλὰ φίλη ἀλήθεια, ἡ δευτέρα ἐξέτασις οὐκ ἔχει χώραν, ἐπειδὴ ἐμνήσθη πυρετοῦ· ἡμεῖς οὐκ εἰρήκαμεν, ἀλλὰ μόνον, εἰ ἐπὶ φύματι γένηται ἕλκος.*

κδʹ. Τὰ στρογγυλλόμενα πτύελα παρακρουστικά. —

Πτυέλου νῦν μέμνηται τοῦ ἀπέπτου, τοῦ ἐν πλευρίτιδι μετὰ βίας καὶ βηχὸς καὶ δυσπνοίας ἀναγομένου. τοῦτο δέ ποτε στρογγύλον ἀνάγεται, ὁπότε 2) *εὑρεθῇ ὁ ποιῶν χυμὸς τὴν πλευρῖτιν, καὶ μᾶλλον εἰ τύχοι ἀσθενοῦς δυνάμεως. οὗτος γὰρ ἐρχόμενος παρὰ τὴν τραχεῖαν ἀρτηρίαν, ἐκεῖ μένει, διά τε τὴν δύναμιν μὴ* 3) *ἀποθανοῦσαν, καὶ διὰ τὴν αὐτοῦ γλισχρότητα ἀνισχόμενος. μένων οὖν ἐκεῖ σχηματίζεται τῇ τραχείᾳ ἀρτηρίᾳ, καὶ γίνεται περιφερής· οὕτως γὰρ καὶ αὕτη κυκλοῦται· γίνεται δὲ περιφρυττόμενος ἀπὸ θερμασίας. ἔδει τοιγαροῦν εἰπεῖν τὸν Ἱπποκράτην, ὅτι τὰ στρογγύλα πτύελα σημαίνει θερμασίαν, ὁ δὲ εἶπε περὶ παραφροσύνης, ἐπειδὴ οὐχ ὁρᾶται τοῦτο, ἢ κατὰ τὸ σπάνιον. διὰ τοῦτο οὐδὲ αἰτίαν αὐτῷ ἀποδιδόαμεν, εἰ μήπω εἴπομεν ὅτι θερμασία περιφρύττουσα τὸ πτύελον, πέμπει ἀτμοὺς περὶ τὴν κεφαλὴν, καὶ εἴπου τύχοι ἐπιτήδειος ὁ ἐγκέφαλος, πάσχει παραφροσύνην.*

κεʹ. Οἱ αἱμοῤῥοΐδας ἔχοντες οὔτε πλευρίτιδι ἁλίσκονται οὔτε περιπνευμονίῃ οὔτε φαγεδαίνῃ οὔτε δοθιῆσιν, ἴσως δὲ οὐδὲ λέπραις, ἴσως δὲ οὐδὲ ἀλφοῖσιν. —

Οὗτος ὁ λόγος δεικνύει, ὡς δεῖ δέχεσθαι τὰ ἐκ προνοίας φύσεως γινόμενα. διδάσκει δὲ ὡς ἓν μόριον καταδουλούμενον, τὰ λοιπὰ ὡς ἐπὶ τὸ πλεῖστον ἐλευθεροῦνται. πολλάκις γὰρ ὕλη παχεῖα πλεονάζει ἐν τῷ σώματι, καὶ ταύτην ἤρξατο κενοῦν ἡ φύσις διὰ τῶν κάτω, ἀναστομώσασα τὰ ἐπιπολῆς ἀγγεῖα τοῦ ἀπευθυσμένου, καὶ

---

1) Lege *ὑποστρέφειν* bis. 2) si viscosus fuerit C. *γλίσχρος*. 3) propellere nequeuntem C. Fort. *ἀπωθοῦσαν*.

ἐποίησε τὴν αἱμοῤῥοΐδα· 1) εἰ δὲ τὰ ἐν βάθει, τὴν αἱματηρὰν δυσεντερίαν. εἰ οὖν γένηται αἱμοῤῥοῒς, οὐ γίνονται ἐκεῖνα τὰ πάθη τὰ ἀπὸ παχέος 2) γινόμενα, οὐ πλευρῖτις, οὐ περιπνευμονία· ἐκεῖθεν γὰρ κενοῦται πᾶς χυμός· ἀλλὰ μὴν οὐδὲ φαγέδαινα. καί τινες ἐνόμισαν φαγέδαιναν λέγειν τὸν βούλιμον, τὴν κυνώδη ὄρεξιν, τὸ δὲ ἀληθὲς, τὴν σῆψιν δηλοῖ. ἀλλὰ μὴν οὐδὲ 3) δοθιῆνες γίνονται. σεσημείωται ὅτι τὸ τοῦ δοθιῆνος ὄνομα κεῖται παρὰ τῷ Ἱπποκράτει. 4) ἐξηγεῖται γὰρ παρὰ τοῖς κριτικοῖς. ἴσως δὲ [τοῦ] οὐδὲ λέπραις, οὐδὲ ἀλφοῖς ἁλίσκονται. ποῦ γὰρ ἔστι κακοχυμία; οὐ μάτην δὲ τῷ Ἱπποκράτει κεῖται τὸ ἴσως. κακοχυμίας γὰρ οὔσης ἐν τῷ σώματι, ἄρχεται αὐτὴ ἡ φύσις κενοῦν εἴτε δι᾽ αἱμοῤῥαγίας, εἴτε ἐν τῷ μέσῳ ἀνακωχὴν δεξαμένη, οὐκέτι κενοῖ διὰ τῶν ἐκεῖ, ἀλλὰ παρὰ πᾶν τὸ σῶμα ἐκδιώκει τὴν ὕλην καὶ ποιεῖ ἀλφὸν καὶ λέπραν. διὸ Ἱπποκράτης εἶπεν, εἰ γένηται καλῶς ἡ αἱμοῤῥοῒς, ἴσως οὐδὲ λέπρα γένηται. οὐκοῦν ἡ φύσις οὕτως μὴ ποιήσασα, σοὶ ὀφείλει ποιῆσαι αἱμοῤῥοΐδας. ἐγένετο μὲν γὰρ αὐτῇ, ἀλλὰ πλεῖον τοῦ δέοντος χρησαμένη, καταψύχει τὸ σῶμα, καὶ φοβούμεθα γέννησιν ὑδέρου. τότε δὴ κατὰ λόγον θεραπεῦσαι καὶ κλεῖσαι μὲν τὰ ἀγγεῖα, μὴ πάντα δὲ, ἀλλά τινα, ἵνα διὰ μὲν τοῦ μηκέτι φέρεσθαι πολὺ ἀναστείλωμεν τὸν ὕδερον, διὰ δὲ τοῦ ὅλου φέρεσθαι καθαρθῇ τὸ σῶμα. ἔστι δὲ καὶ ἄλλη ζητουμένη θεραπεία, ὅτι εἰ ἐπέσχες τὴν αἱμοῤῥοΐδα, σπούδασον ὃ πρότερον ἐκενοῦτο δι᾽ αὐτῆς, δι᾽ ἄλλων ὑπονόμων κενῶσαι, διὰ φλεβοτομίας, διὰ γυμνασίων, 5) μὴ τῷ πλήθει ποιήσει θανάσιμον νόσημα. ὅσα δὲ εἴρηται ἐπὶ αἱμοῤῥοΐδων, ταῦτα καὶ ἐπὶ πάσης κενώσεως, ὡς ἐπὶ συρίγγων. εἴρηται γὰρ ἐν προγνωστικῷ, ὅτι περιπνευμονία καὶ 6) αὐτὴ εἰς τὸν τράχηλον ποιήσει ἀπόσκηψιν. καὶ τότε ἐστὶν ἀγαθὴ, ὅτε μείνῃ ἄχρι τοῦ συριγγωθῆναι, ἵνα ἐκεῖ κενωθῇ πᾶς ὁ χυμός. οὐ μάτην δὲ ἐνταῦθα σύριγγος ἐμνημόνευσεν, ἀλλ᾽ ὅτι καὶ αἱμοῤῥαγίας

---

1) ἡ Codd. 2) sc. χυμοῦ. ab humore crasso C. 3) δοθίονες Codd. 4) exploditur C. 5) C. addit: per urinae citationem. 6) αὕτη Codd.

ἐμνήσθη. ἐφ᾽ ὧν δὲ ὡς ἐπὶ τὸ πλεῖστον γίνονται αἱ σύῤῥιγγες, ἐνταῦθα καὶ αἱμοῤῥοΐδες.

κς΄. 1) *Σκῆψις ἐφ᾽ οἷσι γιγνόμενα ῥίεται, τούτων προγιγνομένων κωλύει. ἀλλ᾽ οὐδὲ τόπου οἱ τόποι οὗτοι δεξάμενοι ἢ* 2) *πόνῳ ἢ βάρει ἢ ἄλλῳ τινὶ ῥύονται, ἀλλ᾽ οἷσιν αἱ κοινωνίαι. —*

Τὰ πολλὰ τῶν βιβλίων σκῆψις ἔχουσι τουτέστιν ἀπόσκηψις, ὁ δὲ Γαληνὸς σκέψις εὗρε, καὶ ὡς πρόγραμμα αὐτὸ τίθησιν, ὅτι αὐτοῖσίν ἐστι σκέψις· καί φησιν, ὁ πρῶτος καλλιγράφος ἠπατήθη, οἱ γὰρ Ἰταλοὶ τὸ 3) *ε̄ ō γράφουσι καὶ τὸ ε καὶ τὸ η, δῆλον. ἀλλ᾽ εἰ μὲν οὕτως ἁπλῶς γράφοι, τὸ ε δηλοῖ. εἰ δὲ καὶ γραμμὴν ἐπικειμένην, τὸ η. ὁμοίως καὶ τὸ ο, ἁπλῶς μὲν, οὕτω κείμενον, ο δηλοῖ, ἔχον δὲ ἄνω γραμμὴν, τὸ ω. εὑρὼν οὖν ὁ πρωτοκαλλιγράφος τὸ ε καὶ νομίσας ἔχειν αὐτὸ τὴν γράμμην, η ἐπέγραψε, καὶ ἐπέγραψε σκῆψις, ἀντὶ τοῦ η, ἡ ἀπόστασις. λέγει δὲ ὁ Ἱπποκράτης, ὅτι αὐτοῖσίν ἐστιν ἡ σκέψις. ἆρα οὖν ὥσπερ κρίσις γινομένη ἐν νοσήματι ἀπαλλάττει αὐτὸ, οὕτω καὶ εἰ μελετώμενον νόσημα προηγήσεται κρίσις, δύναται αὐτὸ ἀναστεῖλαι; καί φησιν ὅτι ναί. οὔκουν καὶ σὺ μέλλον γενέσθαι νόσημα ἀνάστειλαι διὰ κρίσεως ἢ δι᾽ ἀποστάσεως. ἡ δὲ ἀπόστασις μὴ ἀπὸ ἀκύρων εἰς κύρια, ἀλλ᾽ ἀπὸ κυρίων εἰς ἄκυρα. λοιπὸν λέγει ὁ Ἱπποκράτης, δι᾽ ἣν αἰτίαν ἀπὸ μορίου εἰς μόριον γίνεται ἀπόστασις, καὶ λέγει ὅτι διὰ ἐῤῥωμένην ἀποκριτικὴν τοῦ πάσχοντος, ἢ διὰ βαρύτητα τοῦ χυμοῦ κάτω ῥέποντος, ἢ διὰ ἀσθένειαν, ἢ διὰ θερμασίαν, ἢ διὰ ὀδύνην, ἢ διὰ συγγένειαν μορίων. πλευριτικῆς γὰρ ὑποκειμένης διαθέσεως καὶ χαλεπῶν συμπτωμάτων,* 4) *ἐξαίφνης ἐράϊσε· πολλὴ γὰρ συγγένεια τῶν θωρακικῶν καὶ τῶν σπερματικῶν διὰ τῆς κοίλης φλεβός. αὕτη γὰρ διεξιοῦσα διὰ τοῦ ἥπατος καὶ τεμνομένη εἰς δύο, ἓν μέρος πέμπει κάτω, ἕτερον δὲ ἄνω παρὰ τὸν θυμὸν καὶ τὸν μαζὸν, ὃ δίχα τεμνόμενον, ἓν μὲν πέμπει ἄνω, ἕτερον δὲ κατω.*

---

1) *ἀπόσκηψις* Hipp. *φύεται* Codd. 2) *τόπῳ. — αλλο τι θηριῶνται* Codd. 3) Fort. *ō ω̄.* 4) C. addit: repente facto in testes decubitu.

1) * εὑρίσκονται δὲ τὴν ἀπὸ τῆς κνήμης οὖσαν φλέβα, καὶ συνάπτεται αὐτῇ, καὶ ποιεῖ τὰς καλουμένας ἀμφισβαίνας, ἐξ ὧν πέμπεται εἰς ὄρχεις, ἐπὶ τῶν γυναικῶν μὲν παρὰ τὴν μήτραν, ἐπὶ ἀῤῥένων δὲ παρὰ τοὺς ὄρχεις. ἐνταῦθα οὖν ἡ κοινωνία διὰ φλεβῶν, ἄλλη δὲ διὰ νεύρων, ὡς ἡ κεφαλὴ τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τῇ κεφαλῇ.

κζ΄. Διὰ τὴν ῥοπὴν οὐκ ἔτι αἷμα ἔρχεται, ἀλλὰ κατὰ τὴν τῶν χυμῶν ξυγγένειαν τοιαῦτ᾽ ἀποπτύουσιν. ἔστιν 2) οἷσιν αἷμα ἀφίεσθαι ἐν καιρῷ ἐπὶ τούτοισι· ἐπ᾽ ἄλλοισι δὲ ὥσπερ ἐπὶ τούτοισι, τοῦτο οὐκ εἰκός. —

Ὡς ἐπὶ πλευριτικοῦ νοσήματος ὁ λόγος, οὗ ἐν τῷ μεταξὺ ἐγένετο αἱμοῤῥοῒς καὶ πάλιν ἐπεσχέθη. φησὶν οὖν ὁ Ἱπποκράτης ὅτι οὐ πάντως εἰ ἐπεσχέθη ἡ αἱμοῤῥοῒς, ὀφείλεις εἰπεῖν, ὅτι ἐπειδὴ ἐπεσχέθη τὸ αἷμα, ἐρυθρότερον ἔχοι τὸ πτύελον γενέσθαι. τὸ γὰρ ἀναγόμενον πρὸς τὴν συγγένειαν τοῦ χυμοῦ. εἰ γὰρ ἀκμαστικὴ ἡλικία, θέρος, θερμοτέρα καὶ ξηροτέρα ἡ δίαιτα, μᾶλλον ἀπὸ χολῆς ἡ πλευρῖτις καὶ τὸ πτύελόν ἐστι ξανθόν· ἔνθεν οὐκ ἐπὶ πάντων δεῖ κενοῦσθαι ξανθὸν ἢ ἐρυθρὸν, ἀλλ᾽ ἐοικὸς τῇ ποιούσῃ αἰτίᾳ, ξανθὸν μὲν ἀπὸ χολῆς, ἐρυθρὸν δὲ ἐξ αἵματος, μέλαν δὲ ἀπὸ μελαγχολικοῦ χυμοῦ, λευκὸν δὲ ἀπὸ φλέγματος. ἡ γὰρ διάφορος μίξις τοῦ χυμοῦ τὰ διάφορα ποιεῖ χρώματα, τὸ ὠχρὸν, λευκὸν, τὸ μέλαν, ξανθὸν καὶ τὰ τοιαῦτα.

κη΄. Κώλυσις ἐπὶ τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή. —

Θαυμαστὸν συμπέρασμα τοῦ παρόντος τμήματος, εἰ καί ἐστιν ἀσαφές. τοῦτο δὲ λέγει ὅτι πλευριτικὴ γίνεται διάθεσις ἐξ αἵματος. οὐκοῦν τὸ ἀναγόμενον ἐρυθρὸν, τί κωλύει αὐτὸ 3) ἀνάγεσθαι. ἑτέρα πλευρῖτις ἀπὸ χολῆς γινομένη· τότε γὰρ ξανθὸν ἀνάγεται, ὥστε τῇ χολῇ 4) τῇ πλευρίτιδι συντακτέον. ὥς τινος δὲ ἐρωτῶντος, καὶ πόθεν οἶδα εἰ ἐπὶ χολῇ ἡ πλευρῖτις, ἐμνήσθη ὥραν, ἔν-

1) Obelum etiam Crassus adposuit. 2) οἷον Codd. 3) ἀνάγεται L. 4) Fort. τὴν πλευρῖτιν.

νοιάν σοι παρέχων πάντων τῶν συστοίχων. ἔστι δὲ καὶ ἄλλη ἐξήγησις. φησὶν ὁ Γαληνὸς, ὅτι ἐπὶ πολὺ τὸν λόγον τοῦτον ἠγνόουν, θεραπεύων δὲ τοὺς πλευριτικοὺς εὗρόν τινα διάθεσιν πλευριτικὴν, καὶ κατὰ τὴν Ἱπποκράτους διάθεσιν πρότερον τοῖς τοπικοῖς ἐχρησάμην βοηθήμασι θερμοῖς οὖσι καὶ ὠφέλουν. καὶ τὰ μὲν βοηθήματα θερμά εἰσιν· χολὴν ἐκάλεσεν Ἱπποκράτης. ταῦτα κατὰ καιρὸν προσέφερον· ἔνθεν προσέθηκεν ὥρῃ. καὶ ἁπλῶς τοῦτο λέγει, ὅτι πλευρῖτις ἐξ αἵματος ἢ χολῆς, τουτέστι θερμότερα βοηθήματα κατὰ τὸν καιρὸν καὶ εὐκαίρως προσαγόμενα δύναται κωλῦσαι.

ΑΡΧΗ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΜΗΜΑΤΟΣ.

α΄. Τὰ παρ᾽ ὠσὶν 1) ἀμφὶ κρίσιν γινόμενα οἷσιν ἢν μὴ ἐκπυήσῃ, τούτου λαπασσομένου ὑποστροφὴ γίγνεται καὶ κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς γενομένης, αὖθις αἴρεται καὶ παραμένει. —

Συνεπεράνθη καὶ τὸ τρίτον ὑπόμνημα τῆς παρούσης πραγματείας. νῦν οὖν ἐπὶ τὸ τέταρτον. παντοδαπα διδάσκει θεωρήματα· εὐθὺς γὰρ περὶ ἀποστάσεως διαλέγεται, καί φησιν ὅτι γίνονται πυρετοὶ ἀπὸ παχείας ὕλης, καὶ δι᾽ ἀποστάσεως μέλλουσι κριθῆναι. εἰ οὖν ποτε παρὰ τὰ ὦτα γένηται ἀπόστασις, ἀγαθόν· ἀλλ᾽ οὐ πᾶσα ἀπόστασις ἀγαθή· ἀλλ᾽ εἰ μὲν γένηται μεγάλη, καὶ πρὸς τὸ μέγεθος τοῦ πυρετοῦ, καὶ χρονίαν αὐτὴν θέλομεν εἶναι ὡς καὶ μόνιμον, ἵνα ἐκεῖ μεταπαιδευθῇ φέρεσθαι τῷ χρόνῳ ἡ ὕλη. εἰ γὰρ εὐθὺς γένηται λαπαρὸν, δῆλον ὅτι ἐπενόστησεν ἡ ὕλη εἰς

---

1) ἀμφικρίσιμα Codd.

τὸ βάθος, καὶ δέος μὴ παλινδρομήσῃ τὸ νόσημα. λέγει οὖν ὁ Ἱπποκράτης, ὅτι εἰ καὶ ἐν πυρετῷ γένηται ἡ ἀπόστασις, παλινδρομήσει αὕτη ἡ ἀπόστασις, δεύτερον ἀνάπτουσα πυρετόν. καὶ πάλιν οὕτως ἡ ἀπόστασις 1) σχίσει ἔνθα ὁ πρῶτος, καὶ κατὰ λόγον τῆς ὑποστροφῆς τοῦ πυρετοῦ ἔσται καὶ ἡ ὑποστροφὴ τῆς ἀποστάσεως. εἰ δὲ τρίτον ὑποστρέψει ὁ πυρετὸς, οὐ πάντως ἡ τρίτη ἀπόστασις ἔσται, ἔνθεν αἱ πρῶται δύο. καὶ διατί πάλιν ἐγένοντο αἱ παλινδρομαὶ τῆς ὕλης, ἐπειδὴ πάντως ἀνεπιτήδειον ἦν τὸ μόριον εἰς τὸ δέξασθαι. οὐκοῦν ὑποδέχεται τὸ οὖς, ἀλλὰ παιδεύεται ἡ ὕλη παρὰ τὰ ἄρθρα φέρεσθαι. ἢ οὖν τοῦτο λέγει ὁ Ἱπποκράτης, ὅτι πυρετὸς 2) ὁ πρότερον ἀφιστάμενος παρὰ τὸ οὖς, νῦν παρὰ τὰ ἄρθρα ἀφίσταται· ἢ ὅτι ὁ μὲν πυρετὸς ἐποίησεν ἀπόστασιν παρὰ τὸ οὖς, καὶ αὐτὴ δὲ ἡ ἀπόστασις παρὰ τὰ ἄρθρα ἀφίσταται. καί φησι τὸ ἄλλο λοιπὸν τὸ παράδοξον, ὅτι ἐν ᾗ ἡμέρᾳ παλινδρομήσει ὁ πυρετὸς, ἐν ὁμοίᾳ γίνεται ἡ ἀπόστασις· εἰ γὰρ ἐν κρισίμῳ ἡμέρᾳ ὁ πυρετὸς, ἐν κρισίμῳ καὶ ἡ ἀπόστασις· εἰ ἐν παρεμπιπτούσῃ, ἐν παρεμπιπτούσῃ. προσθετέον ἢ οἰδήματα ἢ κυρτώματα ἢ ἀποστήματα. ταῦτα δύνανται κρίνειν πυρετὸν, ἐὰν μεγάλα καὶ χρόνια.τὸ δὲ χρόνιον ἐδήλωσε διὰ τοῦ ἐκπυῆσαι, ἵνα μείναντα μετακοσμηθῇ καὶ εἰς πῦον μεταβληθῇ.

β'. Οὖρον παχὺ, λευκὸν οἷον τὸ τοῦ Ἀμφιγένεος ἐπὶ τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισι 3) ἔστιν ὅτε ἄρχεται καὶ ῥύεται τῆς ἀποστάσιος. ἢν δὲ καὶ πρὸς τούτῳ αἱμοῤῥαγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς καὶ πάνυ. —

Ἐπειδὴ περὶ ἀποστάσεως εἶπε, πάλιν περὶ αὐτῆς ὁ λόγος. γίνεται οὖν πυρετὸς μετὰ κόπου, κόπου δὲ οὐ τοῦ τυχόντος· ὁ γὰρ κόπος ἢ προκαταρκτικὸς, περὶ οὗ οὐκ ἔστι λόγος, ἢ προηγούμενος· καὶ οὗτος ἢ ἑλκώδης ἢ τονώδης ἢ ὀστοκοπώδης. ἀλλ' ὁ μὲν ἑλκώδης ἀπὸ λεπτῆς ὕλης γίνεται, οἱ δὲ ἄλλοι ἀπὸ παχείας, περὶ ὧν νῦν διαλέγεται, καὶ λέγει ὅτι πυρετὸς γίνεται ἀπὸ παχείας ὕλης, καὶ ταύτην εἰκὸς ῥεύσασαν ἐπὶ τὰ ἄρθρα ποιῆσαι

1) redibit C. 2) ὁπότερον L. 3) τότε.

ἀπόστασιν, εἰ μή τι 1) συναρνεῖ. περὶ γὰρ τετάρτην ἢ ἑβδόμην ἡμέραν, ἁπλῶς ἐν κρισίμῳ ἡμέρᾳ, οὖρον παχὺ καὶ πολὺ καὶ λευκὸν ἐκενώθη, καὶ ἔγνωμεν ὅτι μετάστασις ἐγένετο τῆς ὕλης. εἰ δὲ αἱμοῤῥαγία γένηται, ἀποφαίνου ὅτι οὐκ ἔστιν εἰς ἄρθρα ἡ ἀπόστασις, ἀλλ' ἢ γενήσεται αἱμοῤῥαγία μεγάλη κατὰ λόγον τοῦ νοσήματος, ἵνα πᾶν τὸ λυποῦν κενώσῃ, προσέθηκεν ἱ κ α ν ῶ ς. ὁ δὲ Γαληνὸς καὶ πρὸς τὴν γνώμην τοῦ ἰατροῦ αὐτὸ λαμβάνει, ὅτι εἰ γένηται αἱμοῤῥαγία ἢ οὔρων πλῆθος, ἱκανῶς καὶ βεβαίως ἀποφαίνου, ὅτι οὐκ ἔσται ἀπόστασις. οὖρον παχὺ, λευκὸν οἷον τὸ 2) Ἀντιγένεος. δύο γράφει ἐνταῦθα, ἢ τὸ τοῦ Ἀντιγένους, ἄκτικρυς αὐτοῦ οὕτω παθόντος, ἢ συγγενεῖ τοῦ Ἀντιγένους.

γ'. Ὧι τὸ ἔντερον ἐπὶ δεξιὰ ἀρθριτικὸν ἐγένετο, ἦν 3) ἡσυχώτερος· ἐπεὶ δὲ ἰητρεύθη, ἐπιπονώτερος. —

Τινὲς τὸν λόγον τοῦτον τῷ ἀνωτέρω συνάπτουσι, καταγελάστως αὐτὸν ἐξηγούμενοι· ἐγένετο πυρετὸς, καὶ ἐπὶ τούτου 4) τὰ ὦτα, ἡ ἀπόστασις. ὃν δὲ ἐγὼ εἶδον ἔχοντα χαλαρὸν τὸ ἔντερον ἤτοι ἐντερόκηλον ὄντα, ἢ βουβωνόκηλον, ἐπ' ἐκείνου εἶδον παρὰ τὸ δεξιὸν οὖς τὴν ἀπόστασιν. ὁ δὲ Γαληνὸς λέγει, καὶ τίς ἡ αἰτία, τοῦτον ἔχοντα χαλαρὸν τὸ ἔντερον, ἀπόστασιν ἔχειν παρὰ τὸ δεξιὸν οὖς. ἀλλὰ τοῦτο λέγει· κωλική τινι ἐγένετο διάθεσις· ἐπειδὴ γὰρ τῶν πρώτων ἐντέρων μεῖζον το κῶλον κατὰ 5) ἐξαίρετον ἔντερον καλεῖται. τοῦτο δὲ τὸ κῶλον τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἔχει ἀποσχίσαν, μᾶλλον δὲ ἐπὶ τὰ δεξιά· τὸ γὰρ τυφλὸν ἔντερον παρὰ τὰ ἀριστερά. γίνεται δὲ αὕτη ἡ κωλικὴ διάθεσις ἀπὸ χολῆς, ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἀπὸ φλέγματος. λέγει οὖν ὁ Ἱπποκράτης 6) ὅτι γενομένην εἶδον κωλικὴν διάθεσιν ἀπὸ φλέγματος, καὶ αὕτη ἀπὸ παχέος χυμοῦ γενομένη, παρὰ τὰ ἄρθρα ἐπέσκηπτεν. ἔνθεν ὅτε ἐῤῥαΐσεν ἡ κωλικὴ, ἀρθρῖτις παρωξύνετο·

---

1) συναινεῖ L. nisi aliud significetur. C. 2) Apud *Hippocratem* Ἀμφιγένεος. 3) ἢ ἰσχιότερος Codd. 4) Fort. om. παρά. 5) ἐξέμερον Codd. per excellentiam C. 6) Apud Crassum pauca desunt.

ὅτε δὲ παρωξύνετο ἡ κωλικὴ, ἡ ἀρθρῖτις ἐράϊσεν ἀπὸ τῆς μεταστάσεως τοῦ χυμοῦ.

δ'. Ἀγάσιος κόρη μὲν 1) ἐοῦσα. —

Περὶ ἄλλου πάθους ὁ λόγος. σαφηνιστέον δὲ πρῶτον τὰ ὀνόματα. πυκνοπνεύματον οὖν καλεῖ τὸν ἔχοντα πυκνοτέραν τὴν ἀναπνοήν· ἆσθμα δὲ καλοῦσι τὴν μικρὰν καὶ πυκνὴν ἀναπνοήν. ἔστι δὲ οὗτος ὁ λόγος ἀνατομικός. οὕτως δὲ ἔχομεν διαιρῆσαι. εἰς τρία διῃρημένης τῆς ῥάχεως, εἰς τράχηλον, μετάφρενον καὶ ὀσφύα, οἱ πρωτοδεύτεροι τοῦ μεταφρένου σπόνδυλοι, ὁ ὄγδοος καὶ ὁ ἔννατος, πέμπουσι νεῦρα παρὰ τοῖς μεσοπλευρίοις μυσὶ καὶ ταῖς χερσί. τούτων οὕτω προειρημένων, εἴτε Ἀγάσιος εἴτε θυγατὴρ, εἴτε γυνὴ οὐκ εἶπεν αὐτὴν, πυκνοπνεύματος ἐγένετο, ἐμφραχθέντος τοῦ θώρακος. ἐνεφράγη δὲ οὗτος ἀπὸ φλέγματος ἀπέπτου. καὶ παρθένος μὲν οὖσα, οὐ συνήσθετο τοῦ πάθους, γήμασα δὲ ἔπαθέ τι τυχηρόν. ὡς γὰρ γυνὴ καὶ τοῦ οἴκου φροντίζουσα, ἐκούφισε τῇ χειρί· ἐντεῦθεν ἤλγησεν ἡ χεὶρ καὶ μετέδωκε τοῖς μεσοπλευρίοις μυσὶ, κἀκεῖνοι περισταλέντες ἔῤῥηξαν τὸ φῦμα. τοῦτο δὲ ἦν ἀπὸ ποικίλων χυμῶν· ἔνθεν καὶ ἐρυθρὸν καὶ λευκὸν 2) ἀνέπτυεν, ὕστερον δὲ καὶ χολῶδες, ἀρξαμένων λεπτύνεσθαι τῶν χυμῶν. ῥαγέντος οὖν τοῦ φύματος, ἦλθον οἱ χυμοὶ εἰς τὰ βράγχια τοῦ πνεύμονος καὶ εἰς τὴν τραχεῖαν ἀρτηρίαν, καὶ πυκνὴν καὶ μικρὰν ἐποίησαν τὴν ἀναπνοήν. γέγονεν οὖν τὸ κακὸν, φιλάνθρωπον δέ ἐστι τὸ θεραπεῦσαι αὐτήν. ἠρξάμην οὖν αὐτὴν πάντων κακοχύμων καὶ παχυχύμων. ἀλλὰ τῶν μὲν κακοχύμων παράδειγμα, σκόροδα, τῶν δὲ παχυχύμων, 3) κρέα. ἠρξάμην οὖν καὶ πάντων τῶν ποιούντων κραυγὰς, θυμούς· ταῦτα γὰρ δύνανται καὶ μὴ οὖσαν ῥῆξιν ποιῆσαι, καὶ οὖσαν ἐπιτεῖναι. γυνὴ δὲ γινομένη ἐκ τόκου, ἐκ τούτου τοῦ τόκου καὶ τῆς κινήσεως, ἀπὸ τῶν σπερματικῶν 4) μεταλαβεῖν τὰ θωρακικὰ, καὶ ἐπιτηδείως εἶχε τὸ φῦμα,

---

1) Omittunt Palladii codices reliqua Hippocratis verba. 2) ἀνέπτυσεν L. 3) carnes enumeratae C. 4) Fort. μετέλαβον. susceperunt C.

πρὸς ῥῆξιν, καὶ ἤλγει ἰσχίον τὸ δεξιόν. διὰ τοῦτο οὐκ ἴσμεν, εἰ μήπω εἴπομεν, ὅτι ἔκ τινος ἐκεῖ προηγησαμένου πάθους ἀσθενέστερον ἐγένετο. λέγομεν οὖν, ὅτι κυοφορία προηγήσατο, ἴσως ἐθλίβη ἡ ὀσφὺς, ἥτις παράκειται τῷ ἰσχίῳ· ἐθλίβη οὖν καὶ αὐτὸ, καὶ ἐπεγένετο ἡ ῥῆξις τοῦ ἀποστήματος· ἐτάραξε τὰ θωρακικὰ, ἃ ἔχουσι πολλὴν συγγένειαν πρὸς τὰ σπερματικά. ἐταράχθησαν οὖν καὶ ταῦτα· τούτοις δὲ συμπαρακείμενον τὸ ἰσχίον ὠδυνήθη· ἔνθεν καὶ συνέπασχεν αὐτῷ, καὶ ῥαΐζοντι συνεράϊζεν.

ε'. Ὧι ἐν τῇ κεφαλῇ ἔπαρμα ἐπενέμετο, πρώτη ἡ στυπτηρίη ἡ κεκαυμένη συνήρμοσεν εἰς ἄλλην ἀπόστασιν, ἴσως ὅτι ὀστέον ἤμελλεν ἀποστήσεσθαι, ἀπέστη 1) *ἑξηκοσταῖον· ὑπὲρ τοῦ ὠτὸς ἄνω πρὸς κορυφὴν τὸ τρῶμα ἦν. —*

Θαυμαστὸς ὁ λόγος, ἀλλ' οὐκ ἔχει προστεθειμένον τὸ τέλος. ἕλκος γὰρ γίνεται· κατὰ δὲ τὸν Ἱπποκράτους νόμον, ἕλκεα ξύμπαντα οὐ χρὴ 2) *ἐπιτέγγειν πλὴν οἴνου. εἰ δέ ποτε γίνηται ἕλκος μετὰ ἄλλου πάθους, ἢ φλεγμονῆς ἢ ἐρυσιπέλατος, καὶ ὑγραινομένου* 3) *διὰ τοῦ ἕλκους, ἀλλὰ διὰ τὸ συμπεπλεγμένον αὐτῇ. τοῦτο δὲ τὸ ἕλκος, εἰ μὲν ἐν σαρκὶ ἢ ἐν ὑγροτέρῳ μορίῳ γένηται,* 4) *οὐ κεχρήμεθα, φοβούμενοι, μὴ μεταβάλλωμεν τὴν φύσιν τοῦ μορίου· εἰ δὲ ἐν νεύρῳ ἢ ἐν ξηροτέρῳ μορίῳ γένηται, τότε θαῤῥοῦντες καταξηράνωμεν αὐτό. ἐν κεφαλῇ ἐγένετο ἕλκος περὶ τὸ βρέγμα· ἐχρησάμεθα τοῖς πάνυ ξηραίνουσι· στυπτηρίαν γὰρ καὶ ταύτην κεκαυμένην χρησαμένων ἡμῶν, ἤρξαντό τινες ἀποστάσεις καὶ ἕλκη γίνεσθαι παρὰ τὴν κεφαλήν. ἦν γὰρ καὶ νομῶδες τὸ ἕλκος, καὶ ἔγνωμεν ὅτι ὀστέον ἔχει ἀποστῆναι. ὃ σειόμενον ποιεῖ τὰς ἀποστάσεις, ὃ ἠλπίσαμεν. καὶ ἐξεῤῥίφη γὰρ ὀστοῦν, εἴτε ἐπὶ ἀγαθῷ, εἴτε ἐπὶ κακῷ, τοῦτο οὐ προσέθηκεν Ἱπποκράτης, εἴτε ἐκ τῆς ἀρχῆς τοῦ ἕλκους, εἴτε ἐξ οὗ ἤρξατο σείεσθαι τὸ*

1) *ἑξηκοστὸν* Codd. 2) *ἐπιτέλλειν* Codd. 3) *οὐ* om. si madefiat. id non ratione ulceris, sed ratione mali, ulceri conjuncti, factum erit. C. 4) om. *ξηραντικοῖς*. nequaquam siccabimus.

ὀστοῦν, οὐκ εἶπεν· ἑ ξ η κ ο σ τ ὸ ν εἴτε πάλιν ἐκ τῆς ἀρχῆς τοῦ ἕλκους τὸ ἑξηκοστὸν, εἴτε ἀφ' οὗ ἤρξατο ἡ ἀπόστασις παρὰ τὰ ὦτα, οὐκ εἶπεν.

ϛ'. *Τὰ* 1) *κῶλα ἔχει οἷα κυνός. ἤρτηται ἐκ τῶν μέσων κώλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα.* —

Περὶ ὁμοιότητος θέλει διαλεχθῆναι. λέγομεν γὰρ ὅτι τόδε τὸ μόριον τοῦ ἀνθρώπου, εἰ τύχοι, ἡ μήτρα ἔοικε τῇ μήτρᾳ τῆς αἰγὸς ἢ τῆς ἄρκτου. οὕτως οὖν καὶ ἐνταῦθα λέγει, ὅτι τὰ ἔντερα τοῦ ἀνθρώπου κῶλα ἐκάλεσεν, ἃ ἐοίκασι τοῖς τῶν κυνῶν ἐντέροις, πλὴν ὅτι τὰ ἡμῶν μείζω εἰσίν. ἔχουσι δὲ καὶ μεσεντέρια, ἔνθεν καὶ αἱ μεσαραϊκαὶ φλέβες. πόθεν δὲ ἐκλήθη; ἐπειδὴ εἰς τὰ μεσεντέρια τῶν ἐντέρων εἰσβάλλουσι μεσέντερα καὶ τείνουσι. λοιπὸν ζητεῖ, πόθεν ἔχουσι τὴν γένεσιν τὰ μεσέντερα. καί φησιν ὅτι αἰώρηνται μὲν εἰς τὰ ἔντερα· ἐξ ἑτέρας δέ εἰσιν οὐσίας, νευρώδη· νεύρων δὲ, οὐκ ἐκ τῶν προαιρετικῶν, οὔτε ἀπὸ τῶν τενόντων, ἀλλὰ τῶν συνδετικῶν, τῶν ἐκφυομένων ἀπὸ τῶν ὀστῶν, ὀστῶν δὲ τῶν σπονδύλων, σπονδύλων δὲ τῶν κατὰ τὴν ὀσφύν. 2) *τοῦτο δὲ ἐδήλωσεν εἰπὼν, τῇ πρώτῃ γαστρὶ τὰ κῶλα ἔχειν· οὐ προσέθηκε τίς. καλῶς δὲ ὁ Γαληνὸς, προσυπακουστέον, φησὶν, ὁ ἄνθρωπος. τίνος γὰρ κήδεται ὁ ἄνθρωπος Ἱπποκράτης, εἰ μὴ ἀνθρωπίνων σωμάτων.*

ζ'. *Αἱ τοῖσι κάμνουσι χάριτες, οἷον τὸ καθαρσίως δρῆν, ἢ ποτὰ ἢ βρωτὰ* 3) *ἢ ἃ ἂν ὁρῇ μαλθακῶς ὅσα ψαύει. ἄλλαι, ἃ μὴ μεγάλα βλάπτει ἢ εὐανάληπτα, οἷον ψυχρὸν, ὅκου τούτῳ δεῖ.* —

Ἁπάντων κηδόμενος Ἱπποκράτης νῦν μέγα τι παραδίδωσι καί φησιν, ὅτι εἰ μέλλεις καλῶς θεραπεῦσαι, ὀφείλεις ἔχειν συμπειθήνιον τὸν κάμνοντα. εἰ γάρ σοι πείθεται, σὺ καὶ αὐτὸς κατὰ τοῦ νοσήματος ἀγωνιζόμενοι, νικᾶται τὸ νόσημα· εἰ δὲ ἀντιπράσσει σοι, τὸ νό-

---

1) *κώλια* Codd. 2) *τούτων* Codd. 3) *ἵνα μὴ ὁρῇ. ἀλλὰ μὴ.* Codd.

σημα μάχεται. ἔχειν δὲ αὐτὸν πειθήνιον· ἔσται δέ σοι οὕτως, εἴ σοι φίλον. καί ποτε ἐπιτάξαντος τοῦ ἰατροῦ, οὐκ ἠνέσχετο δέξασθαι ὁ κάμνων, τὶς δὲ τῶν συγγενῶν ἐποίησεν αὐτὸν δέξασθαι. ἔχει οὖν αὐτὸν φίλον. φίλος δέ σοι ἔσται, ἐάν τι αὐτῷ χαρίσῃ· χαρίσῃ δὲ, οὐ χρήματα, ἀλλὰ 1) τῶν περὶ νοσημάτων ἐπιθυμίαν. ἐὰν γὰρ ἐρᾷ ψυχροῦ ὕδατος, σοὶ δὲ ἔδοξε μετὰ μίαν ἡμέραν χρήσασθαι, τότε διὰ τὴν αὐτοῦ ἐπιθυμίαν καὶ πρὸ μιᾶς ὀφείλεις δοῦναι. εἰ γὰρ ἔλαβε μετὰ ἡδονῆς, πάντως θερμασία ἐστὶν ἐν τῇ γαστρὶ, ἑξῆς καὶ πέψις καὶ αἱμάτωσις καὶ πάντα καλῶς. 2) ἔνθεν καὶ ὁ Ἱπποκράτης, τὸ σ μ ι κ ρ ὸ ν χ ε ῖ ρ ο ν. εἰσὶ δὲ καὶ ἄλλα ἃ ὀφείλεις χαρίσασθαι τῷ κάμνοντι κατὰ πᾶσαν αἴσθησιν. εἰσὶ γάρ τινες χαίροντες τῇ καθαρότητι. τότε πάντως ὀφείλεις ποιῆσαι ἐπιδέσμους καθαροὺς, καὶ μάλιστα μὴ 3) τὸν ῥύπον νύξωσιν· ἔπειτα δὲ καὶ χρώματα λευκὰ καὶ βοτάνας λευκὰς ὀφείλεις δεικνύειν, σκεύη τε ἀργυρᾶ καὶ χρυσᾶ. ἔστι δὲ καὶ ἄλλη καθαριότης, ἵνα εἰ χαίρει ταύτῃ ὁ κάμνων, μὴ εἴη ἡ φιάλη ῥυπαρὰ, εἰς ἣν μέλλει ἢ καθάρσιον ἢ εὔκρατον δέχεσθαι. ἔσο δὲ καὶ σὺ καθάριος. εἰ γὰρ ὁ κάμνων ἑλκῶν καὶ πύων ἅπτεται, νῖπτε τὰς χεῖρας ἐπὶ αὐτοῦ. ὁ δὲ Ἱπποκράτης καθαριότητα εἶπε, τὴν ἀπὸ βρωμάτων καὶ πομάτων. 4) αὐτὰ μὲν οὖν μόνα εἰσὶ τῆς αἰσθήσεως, ποτὲ δὲ καὶ τῷ λογισμῷ συμβάλλονται. μὴ εἰσενέγκῃς γὰρ ἔσω ἐχθρὸν τῷ κάμνοντι, μὴ αὐτὴ ἡ θέα ταράξῃ. ἀλλὰ καὶ εἰ εἰσέλθῃ, δίωξον· ἀλλὰ καὶ εἰπὲ, θέλω ἡσυχάσαι τὸν κάμνοντα· πάντες ἐξέλθωμεν· καὶ τότε συνεξέρχεται ὁ ἐχθρὸς, καὶ τότε ὑποστρέφουσιν οἱ φίλοι. ἃ τοίνυν ἐπὶ ὄψεως εἴρηται, ταῦτα καὶ ἐπὶ τῆς ὀσφρήσεως. εἰ 5) κήδεται τοῖς εὐώδεσι, κέχρησο, καὶ μάλιστα εἴ ἐστι διάθεσις δεομένη αὐτῶν. ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς, εἰ σκληρὰ, εἰ μαλακὰ χαίρει. καὶ εἰ μέλλεις ποιεῖν χειρουργίαν, ταχέως τε καὶ ἀνωδύνως, ὡς ἐνδέχεται. οὕτω δὲ

---

1) sed aliquid eius cupiditati ob morbum excitatae concedens. C. Fort. τὴν. 2) Crassus in mg: hic aliqua deesse videntur. 3) τῶν ῥῦπνον νήξωσιν L. ne sordibus stimulentur C. 4) Fort. ταῦτα. 5) Fort. ἥδεται delectatur C.

γένηται ἀπὸ εὐφυΐας τοῦ μεταχειριζομένου, ἐν ὀξύτητι τοῦ ὀργάνου. αὗταί εἰσι καὶ παρὰ τὴν ἁφὴν χάριτες. ἀλλ' Ἱπποκράτης μόνου ἐμνημόνευσε τοῦ μαλθακοῦ, εἰδὼς ὡς καὶ εἴ τι σκληρὸν, ἐκείνῳ δὲ ἡδὺ, ὡς μαλθακὸν αὐτῷ φαίνεται. καὶ ὅρα αὐτοῦ τέχνην· οἶδε γὰρ ὡς τοῖς ἄκροις συμπεριλαμβάνονται τὰ μέσα. ἔνθεν ἐμνημόνευσεν ὄψεως εἰπὼν 1) καθαρῶς, καὶ ἁφῆς εἰπὼν μαλθακὸν, δέδωκέ σοι ἔννοιαν τῶν μέσων. λέγει δὲ ὅτι καὶ ἄλλας δὸς αὐτῷ χάριτας, τὰς ἀπὸ ψυχροῦ. καί τινες μέν φασιν, ἵνα δῷς αὐτοῖς ὀπώραν ἢ ὕδωρ· ὁ δὲ Γαληνὸς καθολικῶς εἶπε τὸν λόγον, ὅτι εἰ τύχῃ δοῦναι αὐτῷ, 2) μετὰ μίαν ἡμέραν λουτρῷ· φιλόλουτρος δὲ ὢν, ἐρᾷ αὐτοῦ· τότε δός. ἀλλά φησιν Ἱπποκράτης ὅτι ἐὰν 3) διδῶμεν, χαριζόμεθα αὐτῷ. καλῶς οὕτως εἶπεν ὁ Γαληνὸς, ἐάν πως καὶ ἀπειλήσῃς, εἴπῃς ὅτι 4) .... μετὰ δέκα ἡμέρας οὐκ εἶχόν 5) σε λοῦσαι. διὰ τὴν ἐπιθυμίαν ἔλουσά σε, χάρισαί μοι καὶ σὺ, μὴ ἀτακτῆσαι εἰς τὴν ἄλλην δίαιταν. αὗται μὲν οὖν αἱ χάριτες, αἱ ἀπὸ τῶν νοσούντων.

η'. Εἴσοδος τοῦ ἰατροῦ, λόγοι, σχῆμα, ἐσθής· τῷ νοσέοντι κουρὴ, ὄνυχες, ὀδμή. —

Εἰσὶ δὲ καὶ ἄλλαι 6) ἀπὸ τοῦ ἰατροῦ, αἳ λαμβάνονται ἀπὸ τῆς εἰσόδου τοῦ ἰατροῦ. ἡ δὲ εἴσοδος ἢ ἀπὸ τοῦ πλήθους ἢ ἀπὸ τοῦ καιροῦ ἢ ἀπὸ τοῦ ποιοῦ· ἀπὸ μὲν τοῦ πλήθους, μὴ ὀλιγάκις, ἵνα μὴ 7) εἰσέλθῃ τι γινόμενον ἐν τῷ νοσήματι, ἀλλὰ πρὸς τὴν χρείαν ἁρμόζον· ἀπὸ δὲ τοῦ καιροῦ, βλέπε πότε ὀφείλεις εἰσελθεῖν, ἆρα ἐν ἀρχῇ ἵνα εἰδῇς, πῶς ἔχει τὸ νόσημα ἢ ἐν ἀκμῇ, ἵνα βοηθήσῃς τῷ κάμνοντι χειμαζομένῳ, ἢ ἐν παρακμῇ, ἵνα θρέψῃς. ζήτει δὲ καὶ τὸ ποιὸν, πῶς ὀφείλεις εἰσελθεῖν σιωπῶν ἢ κράζων· τοῦτο δὲ πρὸς τὴν ὑποκειμένην διάθεσιν. εἰ γὰρ ἀγρυπνίας οὔσης, θέλεις δὲ ὕπνον, μετὰ ἡσυχίας· εἰ δὲ κάρου ὄντος ἢ βαθέος ὕπνου, φοβοῦ μὴ τὰ περιττώματα καταβάλλωσι τὴν θερμασίαν, τότε βοῶν

1) καθαρᾶς Codd. ἀφὰς L. 2) Crassus in mg.: aliqua desunt. 3) δῶμεν L. 4) Lacuna in L. A. C. 5) σελοῦσθαι L. 6) sc. χάριτες. 7) Fort. σε λάθῃ. te lateat C.

καὶ κράζων ἀναστήσεις. αὗται μὲν αἱ τοιαῦται εἴσοδοι τοῦ ἰατροῦ. ζητείσθωσαν καὶ οἱ λόγοι, ποίους λόγους αὐτῷ ὀφείλεις λέγειν, εἰ γεωμέτρης, γεωμετρικοὺς, εἰ δὲ γραμματικὸς, γραμματικοὺς, εἰ δὲ τοῖς αἰσχροῖς χαίρει, σὺ μὴ χρήσῃ, ἄλλους δ᾽ εἰπεῖν παρασκεύασαι, ἢ λόγους λέγε ἐκείνους, οὓς ὀφείλεις λέγειν τῷ κάμνοντι, ὅτι δὸς ἡμῖν 1) σαυτῷ πειθήνιον· καὶ γὰρ ξύλον, εἰ μὴ εἴκει τῷ τέκτονι, κλᾶται, καὶ κάμνων μὴ πειθόμενος ἰατρῷ, ἀπόλλυται. εἰσὶ δέ τινες καὶ ἄλλοι λόγοι. εἰ γὰρ εἰσέλθῃς πρὸς τὸν κάμνοντα ἀλύοντα, καιόμενον, παραμύθησαι αὐτῷ καὶ εἰπὲ, ὅτι οὐδὲν σαπρὸν ἔχεις, ἐλπὶς δέ ἐστι σωθῆναί σε· μὴ εἴπῃς ὅτι ἀποθνήσκεις καὶ κακῶς ἔχεις. ἀλλὰ καὶ εἶπου σε δέοι ἐπιορκῆσαι, ἐπιόρκησον· ἐν καλῷ γάρ· καὶ μὴ 2) πάθῃς ὃ πέπονθε Καλλιάναξ ὁ ἰατρός· εἰσελθὼν γὰρ πρὸς τὸν κάμνοντα εὗρεν αὐτὸν πολλοῖς κακοῖς περιστοιχιζόμενον, καὶ ἐκεῖνος ἔκραξεν, ἀπολλύμεθα ἐκ τῶν πολιορκούντων κακῶν, καὶ τότε νηπιώδη λόγον ὁ ἀρετὴν ἀναφαίνων, ἔφη τραχέως πρὸς αὐτὸν, 3) ὥστε κτανθῆναι, καὶ Πάτροκλος* 4) ὁ Περσεὺς πολλῷ ἐκείνου ἀμείνων, καὶ ἐκεῖνος ἀποθυμιάσας, ταχέως ἀπέθανεν. ζήτει καὶ τὸ σχῆμα ἑαυτοῦ 5) ὁ ἰατρὸς, εἰ θρασὺς ὀφείλεις, ἢ ταπεινὸς, ἐπεὶ οὐδέτερον ὀφείλεις ἀσκεῖν. ὁ μὲν γὰρ θρασὺς μισεῖται, ὁ δὲ ταπεινὸς καταφρονεῖται. πάλιν 6) περιέργασαι ποίοις χαίρει, καὶ μιμοῦ τοῖς τοιούτοις. ζήτει καὶ τὴν 7) ἔσθησιν. αὕτη μὲν οὖν πρώτη ἔστω ἀνδρὸς λογικοῦ· ἔπειτα δὲ τοιαύτη χροιᾷ, οἵᾳ χαίρει ὁ κάμνων. ταῦτα δὲ μείζονα· μὴ συνεχῶς δὲ κυλϊέσθω ἐκ τῶν ὤμων σου, μήπως κατελθοῦσα εἰς χειρουργίαν σείσῃ τὸν σίδηρον, μὴ ἐν τῷ σφυγμολογεῖν παρεμποδίσῃ, μηδὲ ῥυπαρὰ ἔστω, εἰ τοῖς καθαροῖς ὁ κάμνων χαίρει. ταῦτα οὖν μείζονα. κατερχώμεθα δὲ καὶ ἐπὶ τὰ εὐτελῆ. ζήτει τὰ περὶ τῆς κουρᾶς τοῦ ἰατροῦ. καλῶς δὲ ὁ Γαληνὸς, ὅτι πρότερον ἐς τοσοῦτον φρόντισον· πρῶτον γὰρ εἰ ἀπαθεῖς ἔχει τοὺς ὀφθαλμούς· εἰ δὲ εὔπνοιαν

---

1) Fort. σαυτὸν. 2) πάθος L. 3) et intenta voce respondit C. 4) et Patroclus obit C. 5) o medice C. 6) περιεργάσασθαι L. 7) αἴσθησιν Codd.

ποιῆσαι θέλεις τῇ κεφαλῇ, μὴ ἐάσῃς πολλὰς τρίχας· εἰ δὲ πλήττεταί σοι ἐκ τοῦ ἔξωθεν ἀέρος ἡ κεφαλὴ, τότε κόμα· πλὴν καὶ ἐν τούτῳ τὸ ἐπιεικὲς μᾶλλον ζήτει, καὶ ἄρκεσον τῷ κάμνοντι. καὶ μὴ πάθῃς ὃ Ἀντωνῖνος ἔπαθε καὶ 1) Λουκϊανός. ὁ γὰρ Ἀντωνῖνος ἔχαιρε τοῖς ἐν χρῷ κειρομένοις, καὶ πάντες λεῖοι πρὸς αὐτὸν ἤρχοντο· Λουκϊανὸς δὲ τοῖς κομῶσι, καὶ πάντες κομῶντες. ζήτει δὲ καὶ τοὺς ὄνυχας· καί τινές φασι, μὴ ἔστωσαν ψωριῶντες, ὥσπερ τινὲς ἐξηγοῦντο. τὸ σχῆμα τοῦ ἰατροῦ ἔλεγεν, ὅτι μὴ ἔστω κυλλὸς ἢ χωλός. καλῶς γὰρ ὁ Γαληνὸς, οἱ ταῦτα λέγοντες ἔστωσαν ἀπαθεῖς, καὶ ἀθάνατος ὁ ἰατρὸς, ἀγνοοῦντες ὅτι ὡς ἄνθρωπος ταῖς κοιναῖς ὑποπίπτει συμφοραῖς. ἀλλ' ὡς εἴρηται ἀλλαχοῦ, μήτε ὑπερεχέτωσαν, μήτε ἐλλιπέτωσαν τῶν δακτύλων οἱ ὄνυχες· ἀλλὰ μὴ καὶ πάνυ εἰσὶ σκληροὶ, μὴ ἐμποδίσωσι σφυγμολογῆσαι, πάλιν δὲ πρὸς τὴν χρείαν ἁρμόζον. εἰ γὰρ συνεχέσιν ἐνέμασι μέλλεις κεχρῆσθαι, καὶ ὑποβάλλειν τὸν ἀριστερὸν λιχανὸν τῷ δακτυλίῳ, μὴ ἐάσῃς αὐτῷ μέγαν ὄνυχα, μὴ πλήξῃ, μὴ ἑλκώσῃ. εἰ δὲ σίδηρον ἀπὸ ἑλκῶν μέλλεις ἀνασπᾷν, μεγάλους ἔα ὄνυχας τῷ μεγάλῳ καὶ λιχανῷ τῆς δεξιᾶς χειρός. ζήτει δὲ καὶ τὰ παρὰ τὴν ὀσμήν· πολλοὺς γὰρ ἡ δυσωδία 2) ἐσίανε, καὶ ἄλλους δυσῶδες ἕλκος ἀπόζον. ἀλλὰ αὕτη ἡ δυσωδία ἡ μὲν ἀπὸ βρωμάτων θεραπεύεται, ἡ δὲ ἀπὸ φύσεως παραμυθεῖται. εἰ γὰρ δυσωδίαν ἔχει τὸ στόμα τοῦ ἰατροῦ ἢ ἀπὸ σκορόδων ἢ ἀπὸ κρομμύων, νῦν μὴ φάγῃς· εἰ δὲ δυσώδης ὁ ἱδρὼς, τότε διὰ ἀλειμμάτων, διὰ ἀρωμάτων παραμυθοῦ αὐτὴν, καὶ εἴσελθε κρατῶν εὐώδεις βοτάνας, καὶ μάλιστα εἰ χαίρει ὁ κάμνων. καὶ μὴ πάλιν πάθῃς, ὃ πέπονθεν 3) Ἄνιτος. ἐκεῖνος γάρ ποτε πολλῷ ἐχρήσατο οἴνῳ, καὶ εἰσῆλθε πρὸς φρενιτικὸν, ὁ δὲ οὐκ ἐβάστασε τὴν ὀσμὴν τοῦ οἴνου τὴν πεμπομένην ἀπὸ τοῦ στόματος αὐτοῦ, ἀλλ' εἶπεν αὐτῷ, ἡ ὀσμὴ τοῦ οἴνου σου μᾶλλον παροξύνει με· ὁ δὲ ταχέως ἀπεκρίθη, ἐγὼ δὲ τὴν δυσωδίαν τοῦ πυρετοῦ σου ἐπὶ τοσαύτας ἡμέρας ἐβάστασα, καὶ σὺ τὴν τοῦ στόματός μου ἀηδίαν

1) Lucius C. 2) Num ἔσινε, forma inusitata? Fort. ἐμίανε. conturbat C. 3) Quintus C.

ὥραν οὐκ ἐβάστασας. αὗταί εἰσιν αἱ τοῖς κάμνουσι διδόμεναι χάριτες, εὐτελεῖς μὲν δοκοῦσαι, μεγάλα δὲ χαρίζονται καὶ ἡμῖν καὶ τῷ κάμνοντι, ἡμῖν μὲν τὸ γενέσθαι 1) αὐτὸν πειθήνιον τῷ θεραπεύοντι, καὶ αὐτῷ δὲ [καὶ ἡμῖν], τὴν σωτηρίαν τοῦ πάσχοντος σώματος.

θ΄. Ὕδωρ ἀφεψηθὲν τὸ μὲν εἰσδέχεται τὸν ἠέρα, τὸ δὲ μὴ 2) ἔμπλεον εἶναι καὶ ἐπίθημα ἔχειν. —

Εἰ παμφόρων θεωρημάτων νῦν γίνεται διδασκαλία, δεῖ καὶ τὸ περὶ ἀέρων, τόπων, ὑδάτων ἐνταῦθα ἀνακαινίσαι. περὶ ὑδάτων οὖν διαλέγεται. τρεῖς δὲ τάξεις τῶν ὑδάτων, τὰ μὲν ἄριστα, τὰ δὲ μοχθηρὰ, τὰ δὲ μέσα. εἴπωμεν ποῖα τὰ ἄριστα, τὰ ἐναντία μοχθηρὰ εὑρεθήσονται· εἰ δὲ τὰ μὲν παρῇ, τὰ δὲ ἀπῇ, τὰ μέσα. τὸ τοίνυν ἄριστον ὕδωρ κρίνεται ὄψει, γεύσει καὶ ὀσφρήσει, ὄψει μὲν τὸ λευκὸν, τὸ διαυγὲς, τὸ καθαρὸν, τὸ μὴ ἔχον ὕλην· ὀσφρήσει δὲ τὸ εὐῶδες. εὐῶδες δὲ λέγει ὕδωρ τὸ μὴ δυσῶδες, τὸ μὴ ἔχον βαρεῖαν ὄσφρησιν· γεύσει δὲ τὸ πότιμον, τὸ γλυκύ. τὸ δὲ γλυκὺ πάλιν καλῶ τὸ ἄποιον, τὸ μὴ νιτρῶδες, 3) τὸ μὴ ἀσφαλτῶδες. οὕτω μὲν οὖν ἄριστον ὕδωρ. εἰ δέ τι τούτων ἐλλείψει, τὸ μέσον γίνεται, ὥσπερ τὸ Νειλῷον ὕδωρ· τοῦτο γὰρ διαυγὲς μέν ἐστι καὶ ἄποιον καὶ εὐῶδες, ἀλλ᾽ ἰλυῶδες. ἔνθεν ἐπὶ νεφριτικῶν φοβούμεθα αὐτῷ χρήσασθαι, μὴ τῷ 4) παχεῖ λίθον ποιήσῃ· ἔνθεν Αἰγύπτιοι 5) σάκτας ὑδρίας ἐπινοοῦσιν ἵνα μένῃ ἄνω τὸ παχύ. εἰ οὖν ἐπὶ πυρεκτικοῦ νοσήματος, παρούσης παρακμῆς καὶ πέψεως, θελήσεις χρήσασθαι τῷ ὕδατι, ἀφέψησον αὐτὸ, εἴ ἐστι μοχθηρόν. ἀλλὰ μὴν καὶ εἴ ἐστι καθαρὸν, δέεται τῆς ἑψήσεως· καὶ γὰρ τὸ ἄριστον ἕψομεν, ἵνα καὶ εἴπου τί ἐστι μοχθηρὸν, τοῦτο ἐν τῇ ἑψήσει πραϋνθῇ. ἄλλοτε δὲ ὃ πολλάκις ποιοῦμεν ἐπὶ τῶν σωμάτων, τοῦτο καὶ ἐπὶ τοῦ ὕδατος. ἑκτικοῦ γὰρ ὑποκειμένου πυρετοῦ, θέλομεν ψύξαι τὸ σῶμα καὶ φοβούμεθα· οὐδὲν γὰρ δύναται ἡ ψύξις ἔσω διαβῆναι,

---

1) αὐτῷ L. 2) ἔμπνεον Codd. 3) non sulphuratam C. addit. τὸ μὴ θειῶδες. 4) Fort. πάχει. 5) colatorias situlas C. Fort. σακτὰς.

πυκνὴ οὖσα, ἔνθα προθερμαίνομεν τὸ σῶμα, καὶ ἀραιοῦμεν τοὺς πόρους, ἵνα εἰσδύνῃ ἡ ψύξις ἔσω. τοῦτο καὶ ἐπὶ τοῦ ὕδατος· ἐπειδὴ γὰρ ἐν διακαεῖ πυρετῷ θέλομεν αὐτὸ δοῦναι ἵνα ψύξῃ τὸ σῶμα, ὀφείλομεν θερμᾶναι αὐτὸ, ἵνα ἀραιωθέντων αὐτοῦ τῶν πόρων, δυνηθῇ διαβῆναι παρ' 1) αὐτὸ ἡ τοῦ ἀέρος ψύξις, καὶ ψυκτικώτερον αὐτὸ ἐργάσηται. πυκνοῦντες δὲ πάλιν περιπλάττομεν τὸ ἀγγεῖον ἢ χιόνι, ἢ 2) κρυστάλλῳ· εἰ δὲ ταῦτα μὴ παρῇ, ἐν φρέατι χαλῶμεν τὸ ἀγγεῖον, πλὴν ἐκκρεμὲς ἀπαιωροῦμεν αὐτὸ, καὶ οὐ ποιοῦμεν ἅψασθαι τοῦ ὕδατος. τὸ γὰρ ὕδωρ, παχυμερὲς ὂν, ἐμφράττει τοὺς πόρους, καὶ οὐκ ἐᾷ διεισδῦναι τὴν ψύξιν, ἀλλ' ἐκκρεμὲς αὐτὸ ἐῶμεν, ἵνα ὁ ἀτμὸς εἰσερχόμενος ψύχῃ· ἔπειτα δὲ καὶ ὁ ἀτμὸς οὐκ ἔχει εὐρυχωρίαν· ἔνθεν οὐκ ἐπιπωμάζομεν· κωλύει γὰρ τὴν εἴσοδον τοῦ ἀτμοῦ. εἰ δὲ καὶ ἐπιπωμάσομεν, οὐ θλίβομεν, οὐ σφηνοῦμεν, ἀλλ' ὅσον μόνον σκεπάσαι καὶ εἰσιέναι τὸν ἀτμὸν, ἵνα μὴ εἰσέλθῃ ἀκάθαρτόν τι. καὶ εἰ σκεπάσομεν, ψυχρᾷ ὕλῃ σκεπάζομεν, ἀπὸ θριδακίνης δηλαδὴ, ἀπὸ 3) ῥόδων. αὕτη μὲν ἡ ἔννοια τοῦ λόγου, ἀσαφῶς δὲ ἐφράσθη· φησὶ δὲ ὅτι, τὸ ἀφεψηθὲν ὕδωρ πολλὰ ἐχέτω, πρῶτον μὲν δέχοιτο τὸν ἀέρα· τοῦτο δὲ πάθοι, ἐὰν μὴ τὸ ἀγγεῖον ἔχῃ πλέον 4) ἐπίθεμα οὐκ ἔχει. τὸ μὴ φησὶν ὁ Ἱπποκράτης, ὅτι σκέπασον τὸ ἀγγεῖον, μὴ ὅσον σφηνῶσαι, ἀλλ' ὅσον ἐπίθεμα μόνον εἶναι.

ι'. Ὅτι ἐξ αἱμοῤῥαγιῶν 5) ἐξυδεροῦνται, ἢν οἷα δεῖ καθαίρωνται καὶ εὐφόρως φέρουσιν. —

Συγγενὴς ὁ λόγος οὗτος τῷ ἄνω. ἔλεγε γὰρ ὅτι οἱ αἱμοῤῥοΐδας ἔχοντες οὔτε πλευρίτιδι οὔτε περιπνευμονίῃ ἁλίσκονται. εἶτα ὥς τινος ἀποροῦντος, τί οὖν; ἐάσω ἐπ' ἄπειρον γενέσθαι τὴν κένωσιν; λέγει οὔ, ἐπειδὴ ἐκ τῆς κενώσεως καταψύχεται τὸ σῶμα, ἐξυδαροῦνται αἱ σάρκες, καὶ πάροδος γίνεται ὑδέρου. πλὴν ἐὰν γένηταί ποτε περιττωματικὸν τὸ σῶμα, ἔασον ἐπὶ πολὺ γενέσθαι τὴν κέ-

---

1) αὐτῷ Codd. 2) κρυστάλῳ A. 3) C. addit: vitis foliis et id genus caeteris. 4) πλέον ἐπίθεμα. οὐκ ἔχει τὸ μὴ Codd. ita distinguunt C: si tegmen non habuerit. 5) ἐξυδαρέντα Codd.

νωσιν. 1) ἐὰν τὸ λυπηρὸν κενοῦται· ἔνθεν ἐπιφέρει τὸν ἀφορισμὸν, ἣν οἷα δεῖ καθαίρεσθαι, ἀλλ' ἐν τοῖς ἀφορισμοῖς προσέθηκε καὶ τὸ ξυμφέρει, ἐνταῦθα δὲ παρέλειψεν, ὡς ὁμολογούμενον αὐτὸ λαβών. εἰ γὰρ εὐφόρως φέρουσι, καὶ ξυμφέρουσιν.

ια'. Ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες σκελέων ἀκρατέες ἐγίγνοντο. —

Οὗτος ὁ λόγος σύμφωνος τῇ ἐπιγραφῇ· ἐπίδημον γὰρ ὑπόκειται νόσημα, ὡς δηλοῖ ἡ πόλις, λιμὸς τέξασα τὴν συμφοράν. ἀλλ' Ἱπποκράτης τόπου μέμνηται, ἐπειδὴ πρὸς ὑπόμνησιν 2) αὐτοῖς γράφει, ἢ ἵνα καὶ ἐκ τοῦ τόπου δηλώσῃ σοι καὶ τὴν κακοήθειαν τοῦ νοσήματος. Αἶνος δὲ πέπονθε τὴν λιμόν. Αἶνος δὲ Θρᾴκης πόλις, ἐν ᾗ πολὺς σῖτος ὢν, πόλεσι καὶ ἄλλαις χορηγεῖ. λέγει οὖν ὅτι ἐν τῇ Αἴνῳ, ἔνθα πολύς ἐστι σῖτος, σιτοδεία ἐξαίφνης ἐγένετο, οὐκ ἐπ' ὀλίγῳ χρόνῳ, ἀλλὰ συνεχῶς, ἵνα καὶ ὁ χρόνος συνεπιβοηθήσῃ. οὗτοι οὖν εἰωθότες ἄρτῳ κεχρῆσθαι, ἐν λιμῷ ὀσπρίοις ἐχρήσαντο· ἐντεῦθεν ἐπὶ τῇ ἀθρόᾳ μεταβολῇ ἐτάραξαν τὴν φύσιν· οἱ δὲ πένητες, μὴ εὐποροῦντες 3) κἂν ὀσπρίων ἐσθίειν, ἴσως δὲ καὶ οἱ εὔποροι, τῆς λιμοῦ κρατησάσης, ἐπὶ τροφὴν ἀλόγων ἐτράποντο· ὀρόβους γὰρ καὶ βαλάνους ἤσθιον. ἐντεῦθεν ἠσθένησαν αἱ δυνάμεις. οὐ γὰρ ἐπαιδεύθησαν τὰ μόρια τοιούτῳ τρέφεσθαι χυμῷ· ἔνθεν, μὴ βασταζουσῶν τῶν δυνάμεων τὰ μόρια καὶ μάλιστα τὰ πόῤῥω, σκελῶν ἐγένοντο ἀκρατεῖς· τῷ χρόνῳ 4) κακοχυμίας καὶ πνεύματος πλεονάσαντος, ἔδραμον παρὰ τὰ ἀσθενῆ μόρια, καὶ μάλιστα τὰ πόῤῥω, καὶ ἐβάρησαν παρὰ τὰ κοῖλα· ἐντεῦθεν γουναλγέες ἐγίνοντο.

Θήλεα ἢ ἄρσενα. —

Ὁ λιμὸς οὐδενὸς φείδεται, ἀλλὰ καὶ ἄῤῥεσι καὶ θηλείαις ἐπέρχεται. διὰ τοῦτο πολλὴν τὴν φθορὰν ἐνεδείξατο, εἴς τε θερμοτέρους καὶ γυμναζομένους, ψυχροτέ-

---

1) quoad omne infestum elabatur C. Fort. πᾶν loco ἐάν. 2) Fort. αὐτοῦ. 3) Fort. ἄν. 4) γὰρ addit C.

ρους καὶ ἀργοῦντας, καθαιρομένους καὶ μὴ καθαιρομένους, οἰκουροῦντας καὶ μὴ οἰκουροῦντας.

ιβʹ. Ἐμφανέως ὁ ἐγρηγορὼς θερμότατα τὰ ἔξω, τὰ δὲ ἔσω ψυχρότερα. —

Οὗτος ὁ λόγος περί τινων συμβαινόντων διαλέγεται, ὅτι ἐν τῷ ὕπνῳ συνάγεται ἔσω τὸ ἔμφυτον θερμὸν, ἀπαναχωρεῖ δὲ τῆς ἐπιφανείας· ἐντεῦθεν τὸ μὲν βάθος θερμὸν, τὰ δὲ ἄκρα ψυχρά. ἐν δὲ τῇ ἐγρηγόρσει ἐρχομένου ἔξω τοῦ θερμοῦ καὶ συνάγοντος τὰ περιττώματα, τὸ μὲν βάθος ψυχρὸν, ἡ δὲ ἐπιφάνεια θερμή. ὅτι γὰρ ἀληθές ἐστιν, οἱ καθεύδοντες περιβλημάτων δέονται, ὡς ἐψυγμένης τῆς ἐπιφανείας, οἱ δὲ ἐγρηγοροῦντες, οὔ. καὶ ἐν μὲν τῷ ὕπνῳ αἱ πέψεις, ὡς οὔσης ἔσω τῆς θερμασίας, ἐν δὲ τῇ ἐγρηγόρσει οὔ. τί οὖν βαστάζει τοῦτο ἡ ἀκοὴ, ὡς ἡ ἐπιφάνειά ποτε θερμοτέρα τοῦ βάθους; 1) ὅσον γὰρ ἂν δήποτε ἔλθῃ ἡ θερμασία παρὰ τὴν ἐπιφάνειαν, πάντως πολὺ πλούσιόν ἐστι τὸ ἔμφυτον θερμὸν ἔν τε καρδίᾳ καὶ ἥπατι. ἀλλὰ μὴν ὅτι οὐ τὸ βάθος πρὸς τὴν ἐπιφάνειαν παραβάλλει, ἀλλ᾽ ἕκαστον ἑαυτῷ· ἡ γὰρ ἐπιφάνεια ἐν τῷ ὕπνῳ 2) τὴν θερμότητα ἢ ἐν τῇ ἐγρηγόρσει.

ιγʹ. Ἐνθέρμῳ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλλιννύειν. —

Νῦν καὶ ἐπ᾽ αὐτὴν τὴν φύσιν ἀνέρχεται ὁ Ἱπποκράτης καί φησιν, ὅτι παιδίον ἐτέχθη πολύαιμον, καὶ ἔχαιρον τὰ αὐξανόμενα, καὶ λοιπὸν τὰ τῆς ἡλικίας προέκοπτε, τὰ δὲ τῆς κράσεως ἠμείβετο· δριμὺ γὰρ ἐγένετο καὶ κατὰ ποιότητα τὸ θερμόν. ἴσως τῆς ἀκμαστικῆς ἡλικίας πλησιασάσης, κατεκράτησε τὰ τῆς θερμασίας. θεραπεύσομεν οὖν αὐτήν. ἀλλὰ ζητῶ τὸ γένος τοῦ νοσήματος, ἵνα ἐκ τῶν ἀνομοίων ὁμοιότης γένηται. θὲς καὶ τῇ ψύξει. ποῖά εἰσι τὰ ψύχοντα; τὰ μὲν ἔσωθεν, τὰ δὲ ἔξωθεν, ἔσωθεν ψυχρὸν ποτὸν, ἵνα ὕδωρ δώσεις, καὶ μὴ οἶνον, ἔξωθεν δὲ τὸ ἐλλινύειν, ἵνα μὴ κινῆται θυμούμενος ἢ

---

1) Minime C. 2) minus caloris habet. C.

γυμναζόμενος. τῶν δὲ ἐπαμφοτεριζόντων τὸ ὕδωρ, ἵνα τε καὶ ψυχρὸν ὕδωρ πίῃ, ἵνα καὶ ἐν ψυχρῷ λούηται.

ιδ΄. Ὕπνος 1) ἐν ψύχει ἐπιβεβλημένος. —

Τινὲς τοῦτον τὸν λόγον τοῦ ἀνωτέρω χωρίζουσιν· ἐντεῦθεν τὸ ἐμψύχειν ὡς ἓν μέρος λαμβάνοντες, διὰ τοῦ μ̄ γράφουσι, καί φασιν ὅτι ὁ ὕπνος ἐμψύχει. εἶπου γάρ ἐστι 2) δριμύτερον τὸ σῶμα, ἐν τῷ ὕπνῳ γενομένης πέψεως κατὰ λόγον καὶ τῆς τροφῆς πεττομένης, ἀναδίδοται ἡ ὑγρότης, καὶ ἕκαστον τῶν μορίων τρέφεται καλῶς· ἔνθεν καὶ βάλλομεν περιβλήματα, ἵνα φυλάξωμεν τὸ θερμόν. καὶ ἄλλως. οὐκ ἀεὶ ψυχρὸς ὁ ὕπνος, ἀλλὰ πολλάκις ἐστὶν ὕλη· ἐγένετο ὕπνος, ἐγένετο θερμασία τῇ ὕλῃ, καὶ ἔχυσε μὲν αὐτὴν, οὐ κατεκράτησε δὲ τοῦ πέψαι, καὶ ἐκείνη πλεονάσασα ἔσβεσε τὴν θερμασίαν. ἐντεῦθεν, ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν. ἢ καὶ ἄλλως· ὕπνος ψύχει ὁ μακρὸς, ὁ μὴ ἐῶν διαφορηθῆναι τὰ περιττώματα, ἃ κατακλείουσιν αὐτὴν τὴν θερμασίαν. ἡ δὲ ἀληθὴς ἐξήγησις οὕτως ἔχει, καὶ τὸν ἄνω συνάπτει λόγον, καὶ τὸ ἐμψύχει εἰς δύο μέρη λαμβάνουσα, καὶ διὰ τοῦ 3) πρώτου φησὶν ὅτι εἰ θερμὴ δυσκρασία, ἐπίταξον ὕδωρ ψυχρὸν, ἐλλινύειν· ἐπίταξον καὶ ὕπνον, ἵνα γινομένης πέψεως, αὐξηθὲν τὸ κατὰ φύσιν θερμὸν σβέσῃ τὸ παρὰ φύσιν. τὸ δὲ ὕπνος 4) ἐν ψύχει τὸ χωρίον, μήπως ἡ 5) ἀλέα τοῦ περιέχοντος θερμαίνῃ τὸ σῶμα. ἀλλ᾽ εἰ καὶ τὸν ὕπνον ἐμψύχοντα τὸ χωρίον ποιεῖ, βλέπε μὴ εἰσελθοῦσα περὶ τὸ βάθος ἡ ψύξις πλήξῃ τὰ μόρια, καὶ μᾶλλον εἰ ἐτάκησαν ἀπὸ τῆς θερμασίας· ἔνθεν περιβλήμασι χρῆσθαι τοῖς προσισταμένοις.

ιε΄. Ὕπνος ἑδραῖος, 6) ὀρθῷ νυσταγμός. —

7) Θαυμαστὸς ὁ λόγος. οὐκ ἂν δὲ σαφηνισθείη, εἰ μὴ διά ιν ων παραδειγμάτων. πολλάκις ἀνόρεκτός ἐστιν, οὐκ ἐπειδὴ βέβλαπται ἡ ὀρεκτικὴ, ἀλλ᾽ ἐπειδὴ οὐκ ἔστιν ὁ

1) ἐμψύχει Codd. 2) acriori calore C. 3) πρῶτος L. 4) ἐμψύχει Codd. 5) ἀλαία Codd. 6) ὀρθονυσταγμός. Codd. 7) Crassus: Deest huius particulae interpretatio.

καιρὸς τῆς εἰωθυίας ὀρέξεως· ἔνθεν κελεύομεν αὐτοῖς, μεῖναι τὴν εἰωθυῖαν ὥραν, καὶ ἀφ᾽ ἑαυτῶν ὀρέγονται. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ ὕπνου· πολλάκις γὰρ οὐχ ὅτι βέβλαπται, ἀλλ᾽ ὅτι οὐκ ἔστιν ὁ καιρός. εἰ οὖν θέλεις ποιῆσαι παρὰ καιρὸν ὕπνον, ὀρθονύσταγμον αὐτὸν ποίησον, οὐχ ὥς τινές φασιν, ἵνα ὀρθῶς καθεύδῃ, καὶ εὐθὺς ἐξανίσταται, ἀλλ᾽ ἵνα καθεζόμενος μύῃ τοὺς ὀφθαλμοὺς, καὶ ἀπαλλαχθῇ πάσης φροντίδος, ἵνα οὕτω συνεθίσῃ τὸν ἐγκέφαλον κάτω φέρεσθαι. καὶ τοῦτο δέον δύναται ἑδραῖον αὐτῷ χαρίσασθαι.

ιϛ΄. *Αἱ ἀσθενέες δίαιται ψυχραὶ, αἱ δὲ ἰσχυραὶ θερμαί.* —

Ἀεὶ μεμνῆσθαι τοῦ ἐν τῷ περὶ διαίτης ὀξέων· ἐκεῖ γὰρ διελέγετο Ἱπποκράτης ὅτι 1) νοσήματα τὰ μὴ ἔχοντα βαρεῖαν ὀσμὴν, ὡς τὸν σῖτον ὥσπερ καὶ τὴν πτισάνην· ἰσχυρὰ δὲ λέγει τὰ δυσώδη, ὡς κρόμμυα, πράσα καὶ σκόροδα· τὰ οὖν ἰσχυρὰ ταῦτα καὶ θερμὰ, τὰ δὲ ἀσθενῆ ψυχρά· ἢ μᾶλλον ὅτι τὰ θερμὰ ταχὺ πέττονται, καὶ ἰσχὺν χαρίζεται τῇ δυνάμει, τὰ δὲ ψυχρὰ βραδέως, ὡς ἀσθενῆ.

ιζ΄. *Ὑδάτων ἀτεχνέων τὸ μὲν ἀπὸ τοῦ αἰθέρος ἀποκριθὲν ἢ βρονταῖον, ὡραῖον, τὸ δὲ λαιλαπῶδες κακόν.* —

Συγγενὴς οὗτος ὁ λόγος τῷ ἄνω, ἀλλ᾽ Ἱπποκράτης τάξιν διατηρεῖ, ἵνα μηδὲν παραλείψῃ. ἔδει γὰρ αὐτὸν ταγῆναι, ἔνθα τὸ ὕ δ ω ρ ἀ φ ε ψ η θ έ ν. οὗτος δὲ ὁ λόγος ἑτέραν παραδίδωσι διαίρεσιν· τῶν γὰρ ὑδάτων τὰ μὲν ἄτεχνα, τὰ δὲ τεχνητά. καὶ ἄτεχνα λέγομεν τὰ οὕτως τικτόμενα καὶ πινόμενα, τεχνητὰ δὲ τὰ ἔχοντά τινα ποικιλίαν, ὥσπερ πολλοὶ τοὺς ἀγωγοὺς μακροὺς καὶ λοξοὺς ποιοῦσιν, ἵνα περιστρεφόμενον τὸ ἰλυῶδες ἀπωθῆται τὸ ὕδωρ. φησὶν οὖν ὁ Ἱπποκράτης, ὅτι εἰ βούλει χρήσασθαι, ὑέτειον δεῖ σε λαβεῖν. οὐκοῦν φιλοσοφήσωμεν τὰ περὶ ὑετοῦ, βροντῆς καὶ ἀστραπῆς. καλῶς οὖν ὁ Ἱπποκράτης οἴεται ἐν τῷ περὶ τόπων, ὑδάτων, ὅτι 2) ἐξ ἑκάστου

---

1) cibaria illa esse imbecilla C. bene. 2) calorem eripere etc. C.

σώματος ἀναρπάζει τὸ λεπτομερὲς, καὶ τοῦτο φέρει ἄνω παρὰ τὸν ἀέρα, καὶ ἀπαντᾷ τοῖς νέφεσιν· ἐκεῖναι δεχόμεναι στέγουσιν ἐν ἑαυταῖς, ἔνθεν παχυνόμενος ὁ ἀτμὸς ἀντικαταῤῥεῖ κάτω καὶ ποιεῖ τὸν ὑετόν. βαρυνόμεναι δὲ πάλιν αἱ νεφέλαι ἐκ τοῦ ὕδατος, συμπίπτουσιν ἀλλήλαις καὶ στενοχωροῦνται. καὶ τοῦ πνεύματος πειρωμένου διαφορηθῆναι, κτύπος γίνεται, καὶ καλεῖται βροντή. ἐκεῖνο δὲ τὸ πνεῦμα ἐν τῷ μέσῳ τῶν νεφῶν παρατριβόμενον λαμπρότερον γίνεται καὶ ποιεῖ τὴν ἀστραπήν. εἶτα οὕτως ἔχει, τὸ θερινὸν ὕδωρ ἀγαθὸν, ἐπειδὴ ὁ ἥλιος κατὰ κορυφὴν ἡμῶν ὢν, ὃ ἀναρπάζει, τοῦτο δύναται ἐκλεπτῦναι καὶ ἐκπέψαι. ὅθεν καὶ αἰθέριον αὐτὸ ποιεῖ, τουτέστι διαυγὲς, ὅθεν οὐδὲ βρέχει ἐν τῷ θέρει· φθάνει γὰρ προλεπτυνθῆναι τὸ ὑγρὸν ἐν τῷ θέρει ἐκ τοῦ ἡλίου. τὸ δὲ ἐν χειμῶνι ὕδωρ κάκιστον, ἐπειδὴ οὐ πέττεται ἐκ τοῦ ἡλίου, ὅθεν λαιλαπῶδες αὐτὸ ἐκάλεσε. συστρέφεται γὰρ καὶ πήγνυται ἐκ τῆς ψύξεως τὸ ὕδωρ. τὸ δὲ βρονταῖον μέσον· εἰ γὰρ ὅλως ἀνέρχεται εἰς τὰς νεφέλας, παχύνεται. εἰ δὲ παρατριβομένου τοῦ πνεύματος καὶ θερμαινομένου, λεπτύνεται καὶ ἀγαθόν. πλὴν ὁ Ἱπποκράτης 1) παραλαβὼν αὐτὸ, λαιλαπῶδες εἶπεν αὐτὸ καὶ ὡραῖον τουτέστι ἀγαθόν. πᾶν γὰρ ἐν καιρῷ γινόμενον ἀγαθόν.

ιη'. Ὕδωρ 2) βορὸν καὶ ἀγρυπνίη βορόν. —

Πάλιν περὶ ὕδατος ὁ λόγος. ἐπειδὴ γὰρ ἀγωνιστικὸς ὁ λόγος τοῦ ὕδατος, διὰ τοῦτο πολλάκις λέγομεν περὶ αὐτοῦ. τοῦτο οὖν βορὸν λέγει ὁ Ἱπποκράτης ὡς ἀδδηφάγον· πλείονα γὰρ ποιεῖ ἐσθίειν, ὥσπερ καὶ ἡ ἀγρυπνία, ἀδδηφαγίαν χαρίζεται. ἀλλ' 3) ὁ λόγος φησί. ζήτει δὲ εἰ καὶ ἀληθὲς δύναται τὸ ὕδωρ ἐγεῖραι ὄρεξιν ἢ μή. οὐ γὰρ ἀεὶ, ἀλλ' ὅτε ἡ ὄρεξις κάμνει ἀπὸ θερμῆς δυσκρασίας, τὸ ὕδωρ διδόμενον δύναται σβέσαι καὶ ῥῶσαι τὴν ὄρεξιν. ἄλλως τε δὲ ἡ ψυχρὰ γαστὴρ ὀρεχθῆναι μὲν ἀγαθὴ, ἐπειδὴ πιλοῖ καὶ συνάγει τὴν τροφὴν ἡ ψύξις. καὶ ἡ ἔννοια παρέχουσα 4) κεναγγείας ἐγείρει τὴν ὄρεξιν. ἀλλὰ

1) damnans C. 2) βωρὸν Codd. 3) Fort. om. οὕτως. 4) κεναγγείοις Codd.

μὴν καὶ ἡ ἀγρυπνία βορόν. τί πρᾶγμά ἐστιν ἡ ἀγρυπνία; πρῶτον μὲν ξηραίνει τὰ μόρια κατὰ συμβεβηκὸς καὶ ὑγραίνει καὶ γεννᾷ φλέγμα. τοῦτο οὖν γεννώμενον τὸ φλέγμα πάλιν ἔμφασιν παρέχει ὀρέξεως. ἄλλως τε δὲ ἡ ἀγρυπνία ἐπὶ τὰ ἔξω φέρει τὸ ἔμφυτον θερμὸν καὶ πολλὴν ποιεῖ διαφόρησιν· ἐντεῦθεν ἔφεσις γίνεται. ἔφεσις δὲ παρὰ φύσιν, ἐξ ἀγρυπνίας μετὰ πράξεων γινομένη.

ιθ'. Ἐνθέρμῳ φύσει, ἐν θερμῇ ὥρῃ κοίτη ἐμψύχει, κοίτη παχύνει, ἐν θερμῷ λεπτύνει. —

Οὗτος ὁ λόγος μέρος τι τοῦ προειρημένου. ἔλεγε γὰρ ἐν θερμῇ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλλιννύειν. ἀλλ᾽ οὐ μόνον ταῦτα, ἀλλά τι καὶ κοίτη ψύχει· κοίτη δὲ, μὴ ἐν θερμῷ χωρίῳ, ἀλλ᾽ ἐν ψυχρῷ. καὶ αὕτη ἡ κοίτη μὴ ἔστω ἀπὸ ὕλης θερμῆς, ἀλλ᾽ ἀπὸ ψυχρᾶς, μὴ ἀπὸ ἐρίου· αὐτὸ γὰρ θερμαίνει· ἀλλ᾽ ἀπὸ λίνου· ψύχει γάρ· καὶ κοίτη μὴ ῥερυπωμένη· θερμαίνει γὰρ ὁ ῥύπος· ἀλλὰ καθαρά· καὶ ἐν ἄλλῳ δὲ, ἡ γὰρ θερμὴ κοίτη λεπτύνει τὰς σάρκας, ἡ δὲ ψυχρὰ παχύνει· οὐκ ἐᾷ γὰρ ἐκδιαφορηθῆναι τὸ θερμόν.

κ'. Ἄσκησις ὑγιείης ἀκορεσίη τροφῆς, ἀοκνίη πόνων. —

Οὗτος ὁ λόγος 1) θεραπευτικὸς καὶ προφυλακτικός. ἐν ὑγιεινοῖς γὰρ ὅροις τοῦ σώματος λέγεται καί φησιν, ὅτι θέλεις φυλάξαι τὴν ὑγίειαν, μὴ πολλὰ φάγῃς, μήπως βαρύνῃς τὴν ὄρεξιν. ἀλλ᾽ ὥσπερ τις εἴποι, 2) ἤλγεις τῶν πόνων ἔτι δυνάμενος, οὕτω καὶ νῦν φυλάττεις τὴν ὑγίειαν, εἰ κωλύσεις τροφὴν τρέφεσθαι δυνάμενον. πρὸς δὲ τούτοις μὴ ὀκνήσῃς κινηθῆναι σύμμετρα γυμνάσια, ἵνα διὰ τούτων ἐξάγῃς τὰ περιττώματα. θαυμαστὴ μὲν αὕτη ἡ ἐξήγησις. ὁ δὲ Γαληνὸς ἑτέρως ἐξηγεῖται τὸν λόγον τοῦτον, ὅτι ἴσως ἐπὶ τῶν ἐναντίων ἦλθεν Ἱπποκράτης, καί φησιν, ὅτι θερμὴν γαστέρα ἐθεράπευσε, καὶ ψυχρὰν οὐ θεραπεύει. καταβάλλει γὰρ αὕτη τὴν δύναμιν,

---

1) οὐ legit C. 2) siquis corpus exercens ab labore adhuc exerceri potens laborare desistat C. τρέπεσθαι Codd.

ὡς δύσκρατος. οὔκουν θεραπεύσομεν δι' ἀκορίην τροφῆς. φοβοῦμαι γὰρ, μὴ ἡ πολλὴ τροφὴ ἀπεπτηθεῖσα ἔτι αὐξήσει τὴν 1) τῆς ψύξεως. θέλω δὲ ἀόκνως αὐτὸν φέρεσθαι εἰς τὰ γυμνάσια· ταῦτα γὰρ δύνανται θερμᾶναι.

κά. Δίψης ἐπιπολαίου, 2) ὕπνος ἄκος, τῷ δ' ἐξ ὕπνου ἔγερσις. —

Θεραπευτικὸς ὁ λόγος. περὶ δίψης οὖν διαλέγεται· γίνεται γὰρ αὕτη καὶ ἀπὸ θερμασίας καὶ ἀπὸ ξηρότητος, καὶ ἀπὸ ἁλμυρῶν σιτίων καὶ ἀπέπτων γινομένων ἐν τῇ γαστρί. ἀλλ' αἱ μὲν ἀλλαχόθεν 3) δίψεις κακοήθεις εἰσίν. εἰ οὖν δίψα ἐξ ἀπεψίας γένηται, ὕπνον ποίησον· ἐν γὰρ τῷ ὕπνῳ πεττομένης τῆς τροφῆς, παύεται ἡ δίψα. ἢ καὶ ἄλλως· ἴσως γὰρ ἀπὸ κόπου δριμύτερα γεγόνασι τὰ μόρια, καὶ ἐντεῦθεν δίψα· 4) τότε ποίησον ὕπνον. τῆς γὰρ τροφῆς πεττομένης καὶ ἐξαιματουμένης, ἀνερχόμενον τὸ αἷμα παρ' ἕκαστον τῶν μορίων πέττει καὶ κατακεράννυσιν αὐτὰ καὶ παύει τὴν δίψαν· λοιπὸν γὰρ τὸ ἐναντίον· τὴν ἐν ὕπνῳ δίψαν ἔγερσις παύει, πάλιν οὐ πᾶσα, ἀλλ' εἴ ποτε γένηται ὕπνος 5) ἐν τῇ θερμασίᾳ, ξηραίνει τὰ μόρια· ἐν γὰρ τῇ ἐγρηγόρσει ἀπαναχωρουμένης τῆς θερμασίας τοῦ πάθους, παύεται ἡ δίψα. ἢ καὶ ἄλλως· μακροῦ γεγονότος ὕπνου, πολλοὶ τεχθέντες ἀτμοὶ, καὶ δριμύτεροι γινόμενοι, δίψαν ποιοῦσι. τότε κέλευσον αὐτοὺς ἐξαναστῆναι. ἐν γὰρ τῇ ἐγρηγόρσει φερόμενον ἔξω τὸ θερμὸν ἕλκει σὺν αὐτῷ τοὺς ἀτμοὺς καὶ παύει τὴν δίψαν.

κβ'. Ἐν οἷσι πλεῖστον τὸ θερμὸν, μεγαλοφωνότατοι· καὶ γὰρ ψυχρὸς ἀὴρ πλεῖστος. δύο δὲ μεγάλων μεγάλα καὶ τὰ ἔκγονα γίνεται. —

Περὶ μεγαλοφωνίας θέλει διαλεχθῆναι. αὕτη δὲ οὐκ ἂν γένοιτο, εἰ μὴ εἴη καὶ δύναμις ἐῤῥωμένη, καὶ ὄργανα εὐρύτατα, καὶ περιουσία πνεύματος. καὶ εἴ τι τούτων ἀπείη, οὐ γίνεται μεγάλη· ἐπὶ γὰρ τῶν γυναικῶν οὐ γίνεται μεγάλη διὰ τὴν ἔνδειαν τοῦ πνεύματος. λέγει οὖν

1) intemperiem C. δυσκρασίαν. 2) ὕπνου, ἔγερσις. Codd. 3) Sic! 4) τότε — ἐν γὰρ τῇ ἐγρηγόρσει om. C. 5) ὡς loco ἐν A.

Ἱπποκράτης, ἐὰν πλεῖστον τὸ ἔμφυτον θερμὸν, μεγάλη ἡ φωνὴ γίνεται. εἰ γὰρ πολὺ τὸ ἔμφυτον θερμὸν καὶ ψυχρὸς ὁ ἀὴρ εἰσφέρεται καὶ πολὺς, εἰς περιουσίαν πνεύματος δαπανᾶται. τὰ δὲ τῆς δυνάμεως οὐδὲν Ἱπποκράτης ἠξίωσεν εἰπεῖν. εἰ γὰρ πολὺ τὸ ἔμφυτον θερμὸν, καὶ πλεονεξία πνεύματος, πάντως εὐθηνεῖ τὰ τῆς δυνάμεως. δύναμιν δὲ λέγω τὴν περισταλτικὴν τῶν μεσοπλευρίων μυῶν· τρία δέ εἰσιν ὄργανα τῆς φωνῆς, λάρυγξ, ἐπιγλωττὶς καὶ φάρυγξ.

κγ΄. Οἱ θερμοκοίλιοι ψυχρόσαρκοι καὶ λεπτοί. οὗτοι ἐπίφλεβοι καὶ 1) *ὀξυθυμότεροι.* —

Τοῦτο δὴ προσλαμβάνων, ὅτι ἐστί τις λόγος λέγων, ὡς τὸ θερμὸν διττὸν, 2) ἢ αὐτὴ ποιότης, ἢ τεθερμασμένον· καὶ τοῦτο ἢ κατὰ φύσιν ἔχει τὴν θερμασίαν ἢ παρὰ φύσιν· καὶ κατὰ φύσιν, ἢ σύμφυτον ἢ ἐπίκτητον. κατὰ φύσιν μὲν σύμφυτος θερμασία, ἡ καρδία, παρὰ φύσιν δὲ καὶ ἐπίῤῥυτον, αἱ σάρκες. καὶ αὐτοῦ δὲ τοῦ παρὰ φύσιν τὸ μὲν πλησίον, τὸ δὲ πόῤῥω, ὃ καὶ ὄντως ἐστὶ παρὰ φύσιν· πλησίον μὲν τὸ ἐν τῇ ἀκμαστικῇ, πόῤῥω δὲ τὸ ἐν πυρετῷ. τούτων οὕτως εἰρημένων, θερμασίαν παρὰ φύσιν ὑποτίθεται ἐν τῇ γαστρὶ, καὶ λέγει ὅτι εἴ ἐστι θερμὴ γαστὴρ, ἐπὶ τὸ κνισῶδες διαφθείρει τὰ σιτία· ἐντεῦθεν ἀνέρχεται ἡ τροφὴ παρὰ τὰς σάρκας τὰς ἐχούσας ἐπίῤῥυτον θερμασίαν, καὶ ἐκεῖναι εὑρίσκουσαι αὐτὸ διεφθαρμένον, ὡς ἀλλότριον ἀποσείονται, καὶ ἐντεῦθεν ἰσχναίνονται. ἐπεὶ οὖν ἰσχναίνονται αἱ σάρκες, αἱ φλέβες διαλάμπουσιν, ἢ ὅτι τὸ αἷμα, μὴ δαπανηθὲν εἰς τροφὴν τῶν μορίων, ὡς πολὺ ὀγκοῖ τὰς φλέβας· ἔνθεν καὶ ὀξύθυμοί εἰσιν· εἰ γὰρ θερμὴ ἡ γαστὴρ, ἐκπεπύρωται ὁ στόμαχος· μεταλαμβάνουσα ἡ 3) ἀορτὴ μεταδίδωσι τῇ καρδίᾳ τῆς χολῆς, καὶ ἐντεῦθεν ὀξύθυμοί εἰσιν.

κδ΄. Αὐχμὸς ἐπὶ γῆς οἰωνῶν γένος εὐθηνεῖ. —

Ὀφείλομεν τὸ πιθανὸν τοῦ λόγου τούτου ἐξηγητικῶς

---

1) ὀξυθερμότεροι Codd. 2) ἡ Codd. τὸ θερμασμένον Codd. 3) ἀορατὴ L.

εἰπεῖν. τινὲς γάρ φασιν ὅτι ποτὲ γίνεται αὐχμὸς, καὶ τὰ ὄρνεα ἔρχονται ὡς ὑγροτέραν τὴν γῆν. καταγελάστως δὲ ἐνταῦθα ὁ Ἱπποκράτης ἐχρήσατο, ὅτι περὶ σωμάτων διαλεγόμενος περὶ οἰωνιστικῆς ἐμνημόνευσεν. ἄλλοι δέ φασιν ὅτι γίνεται αὐχμὸς ἐκ τοῦ μὴ ἐπομβρίαν πολλὴν γενέσθαι. ἐπὶ τούτῳ πολλὰ σώματα θνήσκουσι, καὶ ἔρχονται οἰωνοὶ φαγεῖν αὐτὰ παρὰ τὴν γῆν. τὸ δὲ ἀληθές φησιν ὁ Γαληνὸς, ὅτι τινὰ ὁμοιότητα ἐνταῦθα παραδίδωσι, καί φησιν, ὥσπερ τὰ ξηρότερα τῶν ὀρνέων [ὡς ὁμοιότητα ἐνταῦθα παραδίδωσιν], οὕτω καὶ ἡ μὲν φυλακὴ διὰ τοῦ ὁμοίου, ἡ δὲ ἀναίρεσις διὰ τῶν ἐναντίων γίνεται.

κε'. Τράγος ὁκότερος ἂν φανῇ ἔξω, ὄρχις δεξιὸς, ἄῤῥεν· εὐώνυμος, θῆλυ. —

Περὶ τράγου θέλει διαλεχθῆναι. εἴρηται δὲ ὡς ἔστι πάθος περὶ τὴν φωνὴν, ὅταν μεγάλη γίνηται καὶ βραγχώδης, ἀλλὰ μεγάλη μὲν ἀπὸ θερμασίας, βραγχώδης δὲ ἀπὸ ὑγρότητος· ἔνθεν τοῖς μειρακίοις γίνεται, μάλιστα δὲ διὰ τὴν πλεονεξίαν τοῦ σπέρματος, μηκέτι δαπανωμένου εἰς αὔξησιν. τοῦτον δὲ τὸν λόγον δεῖ ὑπερβατῶς ἀναγνῶναι, ὅτι ὅταν τράγος γένηται, ὁ μὲν δεξιὸς ὄρχις ἀῤῥενοτόκος, ὁ δὲ ἕτερος θηλυτόκος. ζήτησον οὖν, ποῖος φαίνεται ἔξω τουτέστι ποῖος ἐξογκοῦται. εἰ γὰρ ὀγκωθῇ ὁ δεξιὸς ὄρχις, ὥσπερ ἐπὶ γυναικῶν ὁ δεξιὸς μαζὸς, 1) δηλονότι ὅπου πλεονεξία τοῦ σπέρματος, τοῦ δὲ αἵματος, ὅταν τέξωσιν, ἄῤῥεν, εἰ δὲ τὸ ἐναντίον, θῆλυ, ἐπειδὴ τὰ μὲν ἄῤῥενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς, διὰ τὸν ἀνατομικὸν λόγον, τὸν ἄνω εἰρημένον.

κϛ'. Ὀφθαλμοὶ ὡς ἂν ἰσχύος ἔχωσιν, οὕτω καὶ γυῖα, καὶ χροιὴ ἐπὶ τὸ κάκιον ἢ ἄμεινον ἐπιδιδοῖ. δίκαιον δὲ ὡς ἂν ἔχῃ ἡ 2) τροφὴ, οὕτω καὶ τὸ ἔξω ἕπεσθαι. —

Ὁ λόγος διαγνωστικὸς καὶ φυσιογνωμοσύνῃ ἁρμόζων. δεῖ δὲ καὶ τοῦτον ἐν ὑπερβατῷ λαβεῖν, ὅτι ὀφθαλμοὶ ὡς

---

1) jam constat, quod ob seminis abundantiam in viro et sanguinis in muliere masculus gignetur C. 2) τροπὴ Codd.

ἐὰν ἰσχύος ἔχωσι, 1) [καὶ χροΐ αὐτῷ καὶ * γύει] ὅτι διάθεσιν τοῦ παντὸς σώματος δύναταί σοι δηλῶσαι ἡ χροιά. καὶ ὁρῶμεν τὸ πελιδνούμενον πρόσωπον λειποθυμίαν, ὥσπερ καὶ τὸ ἐρυθρὸν ὑγείαν. ὥσπερ δὲ ἡ χροιὰ τοῦ προσώπου, οὕτω καὶ οἱ ὀφθαλμοὶ δηλοῦσιν. ἔνθεν καὶ ἦθος ψυχῆς ἐκ τῶν ὀφθαλμῶν διαγινώσκεται, ἐπειδὴ ἐν τῷ ἐγκεφάλῳ οὖσα ἡ ψυχὴ, ὥσπερ διά τινων θυρίδων τοῖς ὀφθαλμοῖς ὁμιλεῖ. ἐντεῦθεν οἱ μὲν ἀεικίνητοι προπετοῦς ψυχῆς σημεῖον, οἱ δὲ καταφερόμενοι ἐπιεικοῦς. καὶ ἡμεῖς δὲ τὴν τοῦ σώματος διάθεσιν ἐξ αὐτῶν διαγινώσκομεν. τὰ γὰρ πνεύματα καὶ τὰ ὑγρὰ ἀνατρέχει μὲν εἰς πᾶν τὸ σῶμα, ἀναφαίνεται δὲ ὡς εἰς ἀραιὸν, τὸν ὀφθαλμόν· ἐντεῦθεν ἐπὶ τῶν ἰκτεριώντων αὐτοὶ ὠχροὶ ἀποφαίνονται. δίκαιον δὲ ὡς ἂν ἔχῃ τὴν τροφὴν, οὕτω καὶ ἔξω ἕπεσθαι· τινὲς γράφουσι τροφὴν, ὅτι οἵᾳ τροφῇ χρᾶται τὸ σῶμα, τοιοῦτον εὑρίσκεται καὶ τὸ χρῶμα τῶν ὀφθαλμῶν· τὸ δὲ ἀληθὲς, τροπή. ὡς γὰρ τρέπεται ἡ διάθεσις τοῦ σώματος, οὕτω καὶ οἱ ὀφθαλμοὶ ἔξω φαίνονται.

κζ΄. Σημεῖα θανατώδεα, ἀνὰ ῥινὸν θερμότερος ὁ ἀτμός.—

Ὅτι γέγονε τὸ νόσημα, ἀλλ᾽ ἐγγὺς ὁ θάνατος. ἔδοξε γὰρ τούτῳ τῇ ἄνω περιόδῳ καὶ τῇ ἀνεπιτηδειότητι τοῦ σώματος. μέλλει οὖν ἐκδιαφορηθῆναι ἡ θερμασία πρῶτον 2) συγγενῆ ἀέρα, ἵνα ἀποδοθῇ τοῖς συστοίχοις τὰ ὀφειλόμενα. οὐκοῦν ἐξατμιζομένης καὶ διαφορουμένης διὰ τῶν ἔξω τῆς θερμασίας, θερμὸς ὁ ἀτμὸς ἀνὰ ῥινὸν τουτέστι τὸ δέρμα, 3) ἡ δὲ εἰσπνοὴ διὰ ῥινὸς κατέψυκται· καταλέλυται γὰρ τὰ τῆς χρείας, καὶ οὐκέτι ἐπείγει, ἢ καὶ ὅτι ἡ θερμασία οὐκ ἔστιν εἰς τὸν κατὰ φύσιν τόπον, ἀλλ᾽ ἐτράπη ἔξω περὶ τὸ δέρμα. οὐ γὰρ εἴθισται ἡ ῥὶς τὴν περὶ τὸ δέρμα θερμὴν εἰσάγειν θερμασίαν. ἄρτι μὲν οὖν ψυχρὸς ἀὴρ ἐκφέρεται διὰ τῆς ῥινός· ὥσπερ γὰρ ἀπὸ ἀνθράκων σβεννυμένων λιγνὺς ἀναφέρεται, οὕτω καὶ τῆς θερμασίας σβεννυμένης, αἰθαλώδης ἀτμὸς ἀναφέρεται.

---

1) Om. C. 2) Om. εἰς. 3) εἰ Codd.

κη΄. Πρὸς τὴν ὑγείην πόνοι σιτίων ἡγείσθωσαν. —

Ἴσως τις τῶν καθημένων ἐστέναξε, καὶ συνέπαθε τῷ κάμνοντι, θανάσιμον ἀκούσας σημεῖον, ἔνθα Ἱπποκράτης ὑγείαν διαλέγεται. τινὲς δὲ τὸ πρὸς ὑγίειαν τῷ ἄνω συντάττουσιν, τὸ δὲ ἀληθὲς, κάτω, ὅτι τῶν τροφῶν προηγήσασθαι δεῖ τὰ γυμνάσια, ἵνα ἐκφέρωνται τὰ λιγνυώδη περιττώματα· ῥώννυται ἡ δύναμις· εὐρύνονται τὰ ἀγγεῖα. λοιπὸν τὸ εἶδος τοῦ γυμνασίου εὑρίσκεται ἐκ τοῦ προηγησαμένου βίου. ἐπὶ νοσούντων δὲ οὐκ ἔλεγε γυμνάσια, ὁ διὰ ταῦτα πολλὰ λοιδωρήσας Ἡρόδικον.

ΑΡΧΗ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΜΗΜΑΤΟΣ.

α΄. Φύσιες νούσων ἰητροί. —

Πεπληρωμένου τετάρτου τμήματος, νῦν ἐπὶ τοῦ πέμπτου ἐρχώμεθα. καὶ ἔξεστι πάλιν τῷ λίχνῳ θεωρημάτων κορεσθῆναι παντοδαπῶν. εὐθὺς γὰρ ἐκ προοιμίων βούλεται ἐγκωμιάσαι τὴν φύσιν, καί φησιν, εἰ καὶ λέγομεν ὅτι ἡ ἰατρικὴ ὑγείαν χαρίζεται, οὐ δι᾽ ἑαυτῆς, ἀλλ᾽ ἡ φύσις ἐστὶν ἡ πάντα ποιοῦσα, ἡ φροντίζουσα τῶν σωμάτων· ἔνθεν καὶ φύσις μὲν χωρὶς τῆς ἰατρικῆς τι ἐργάζεται, ἐπεὶ ὁρῶμεν ὅτι ἡ φύσις ποτὲ ἀναστομώσασα ἀγγεῖον, καὶ κενώσασα αἷμα πολὺ, ἀπήλλαξε τὴν νόσον. ἡ δὲ ἰατρικὴ χωρὶς τῆς φύσεως οὐδὲν δρᾷ. καὶ γὰρ ἐν νεκρῷ σώματι εἰ προσενέγκωμεν βοηθήματα, οὐδὲν ὠφελοῦμεν· οὐ γὰρ πάρεστιν ἡ διοικοῦσα φύσις, ἢ αἱ ταύτης δυνάμεις. οὐκοῦν μέγα τῆς φύσεως, καὶ τὸ ἀφ᾽ ἑαυτῆς, καὶ σὺν τῇ τέχνῃ ἀπαλλάττει ἡμᾶς τῶν νοσημάτων.

Ἀλλ' ἓν μόνον ἀποροῦμεν, διατί μὴ ἑνικῶς εἶπεν ὁ Ἱπποκράτης, ἡ φύσις ἰατρός ἐστι τῶν νοσημάτων. καί τινες μέν φασιν, ὅτι ἐπειδὴ πλείονά ἐστι ζῶα, καθ' ἕκαστον δὲ τῶν ζώων ἐστὶ φύσις, ἥτις οὐ μόνον τῶν λογικῶν ζώων, ἀλλὰ καὶ τῶν ἀλόγων ἐστὶν ἰατρὸς, διὰ τοῦτο καθολικῶς εἶπε τὸν λόγον. κακῶς δὲ τοῦτο· οὐκ ἂν γὰρ Ἱπποκράτης ἐάσας τὰ λογικὰ ζῶα, τῶν ἀλόγων ἐφρόντιζεν. ἀλλὰ τὸ τῆς φύσεως ὄνομα πολλὰ σημαίνει παρὰ Ἱπποκράτει. καὶ γὰρ αἱ κράσεις τῶν φύσεων, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα, εὖ καὶ κακῶς πεφύκασι. φύσιν δὲ οἶδε καὶ τὴν κατασκευὴν, ὡς ὅταν λέγῃ· ἔθνησκον δὲ καὶ ὅσοι φύσιν ἦσαν στενοθώρακες. οἶδε καὶ φύσιν καὶ τὴν διοικοῦσαν τὰ σώματα, ὡς ὅταν λέγῃ, φύσιες ζώων 1) ἀδίστακτοι, περὶ ἧς καὶ νῦν διαλέγεται. ἄλλη φύσις ἐν ἐγκεφάλῳ καὶ ἄλλη ἐν καρδίᾳ, καὶ ἄλλη ἐν ἥπατι, διὰ τοῦτο πληθυντικῶς εἶπε, φύσιες. ἄλλη γὰρ ἑκάστου ἡ φύσις, ποῦ μὲν γὰρ ψυχικὴ, ποῦ δὲ ζωτικὴ, ποῦ δὲ φυσική. καὶ ὅτι ἐν ἑκάστῳ διάφοροι δυνάμεις, ἐν ἐγκεφάλῳ αἰσθητικαὶ καὶ κινητικαὶ καὶ ἡγεμονικαὶ, ἐν καρδίᾳ, 2) αὐτῆς τῆς ζωτικῆς, ἐν ἥπατι ἑλκτικὴ, καθεκτικὴ, ἀλλοιωτικὴ καὶ ἀποκριτική. καὶ ὅτι ἐν ταύταις αἱ μὲν τιμιώτεραι, αἱ δὲ ἀτιμότεραι· ἐν ψυχικαῖς μὲν τίμιαι ἡγεμονικαὶ, ἐν φυσικῇ δὲ ἡ ἀλλοιωτική. αὗται οὖν εἰσιν αἱ διοικοῦσαι τὸ ἡμέτερον σῶμα. καὶ ἐπειδὴ πλείονές εἰσι, διὰ τοῦτο πληθυντικῶς Ἱπποκράτης εἶπε τὸ φύσιες. ἴσως καὶ ἐνταῦθα φύσιν λέγει τὴν τοιάνδε κατασκευὴν, καὶ ἐπειδὴ ἐν ἑκάστῳ μορίῳ ἴδια ἔχουσι πολλὰ, διὰ τοῦτο πληθυντικῶς· ἐν ἐγκεφάλῳ γὰρ κατασκευὴ, ὃς ἔχει κοιλίας τρεῖς· ἡ καρδία κωνοειδὴς, τὸ ἧπαρ, ὅπερ ἔχει σιμὰ καὶ κυρτά. τοῦτο μὲν οὖν καλῶς 3) ἐπιλέλυται. ἀλλὰ πέλαγος ἡμᾶς διαδέχεται θεωρίας· ἐξ ὧν γὰρ ἐγκωμιάζομεν τὴν φύσιν, ἐκ τούτου λοιδοροῦμεν τὴν τέχνην. εἰ γὰρ φύσις ἐστὶν ἡ καταλύουσα τὰ παρὰ φύσιν καὶ ὑγείαν ποιοῦσα, τί χρεία τῆς ἰατρικῆς; τάχα μάτην ἐπινενόηται; καί φαμεν ὅτι 4) φύσις μὲν ποιεῖ,

1) ἀδιάστακτοι L. 2) iracunda et pulsatrix C. 3) ἐπιλέληται L. 4) φύσιν L.

τέχνη δὲ ὑπηρετεῖ, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. ὁ γὰρ ἰατρὸς ὑγείαν ποιεῖ, οὐχὶ δὲ ἄνθρωπος ἢ ζῶον, ἐπειδὴ ἔδει πάντα ἄνθρωπον, πᾶν ζῶον ὑγιάζειν. καὶ αὐτὴ δὲ ἡ ἰατρικὴ οὐ δήπου προστιθεμένη ποιεῖ τὴν ὑγίειαν, ἀλλὰ διὰ τῶν βοηθημάτων· ἔνθεν καὶ χειρουργεῖ ὁ ἰατρὸς, οὐχ ἰατρικῶς, ἀλλ᾽ ὑπὸ προθυμίας καὶ τοῦ χειρουργικοῦ ἁπτόμενος. καί τις γὰρ Φίλιππος μέγας στρατηγὸς ὅπλα βαστάζων ὑπὸ προθυμίας τὰ στρατιωτικὰ ἐποίει. εἰ οὖν ἰατρὸς μεταχειρίζεται τοῦτο τὸ χειρουργικὸν, χρήζει πλειόνων ὑπηρετούντων, χαλκέως, ἀκονητοῦ· εἰ δὲ καὶ βοτανῶν χρήζοιτο, καὶ ῥιζοτόμου· πάλιν κέχρηται ὁ ἰατρὸς ἐπιδέσμου· χρήζει πάντως καὶ ὑφάντου ὑπηρετοῦντος. ὃ οὖν ἐστιν ὑφαντικὴ πρὸς τὴν τέχνην τὴν ἰατρικὴν, τοῦτο ἰατρικὴ πρὸς τὴν φύσιν. ὑπηρετεῖ γὰρ μόνον. καί ποτε μὲν τῇ φύσει ἐᾷ τὸ πᾶν, ποτὲ δὲ συνεπιβοηθεῖ. ποιεῖ δὲ ταῦτα ἡ φύσις, 1) οὐ δήπου* ἀπολογίαν· λόγον γὰρ οὐκ ἔχει ἡ φύσις· οὐδὲ ἐκ διανοίας τι ποιεῖ, οὐδὲ ἀπὸ προτάσεων ἐπὶ συμπέρασμα τὴν ὁδὸν ἀνύει. λόγος μέντοι ὑπηρετεῖ τὸ τοῦ δημιουργοῦ, ὄργανον δὲ τοῦ δημιουργοῦ καὶ τῆς ἐπιστήμης ἡ φύσις. καὶ ὥσπερ ὁρῶμεν ἐπὶ τῶν ὡρολογιῶν ὅτι ἀνερχόμενον ἢ κατερχόμενον τὸ ὕδωρ διαφόρους ὥρας δεικνύει, καὶ τὸ μὲν ὕδωρ οὐκ ἔστι λογικὸν, τῷ δὲ λόγῳ τοῦ μηχανικοῦ ὑπηρετεῖ, καὶ ὅ τι ἰατρικὴ πρὸς τὴν φύσιν, τοῦτο 2) [δὲ] καὶ ἡ φύσις πρὸς τὴν ἐπιστήμην. καὶ ὥσπερ ἡ φύσις τῆς τέχνης τιμιωτέρα, οὕτως καὶ ἡ ἐπιστήμη 3) τῆς φύσεως. τὰ γὰρ φυσικὰ τρέπεται. εἰ γάρ τις ἐκ φύσεως καὶ τῆς ἐπιστήμης εἴη σώφρων, δύναται ἐξ ἀσελγῶν λόγων μεταπαιδευθῆναι· εἰ δὲ ἐξ ἐπιστημονικῶν λόγων τις ἐκτήσατο τὴν σωφροσύνην, αὕτη ἀμετάβλητός ἐστιν. οὐκοῦν ἐπειδὴ τὸ ἀξίωμα καὶ τῆς τέχνης καὶ τῆς φύσεως καὶ τῆς ἐπιστήμης εἴρηται, μάθωμεν πῶς ἐγκωμιάζεται ἡ φύσις, ἵνα διὰ τοῦ ἐγκωμίου μεταβληθῇ Ἀσκληπιάδης ὁ νομίζων αὐτὴν ἄτεχνον. ἤρκει μὲν οὖν τοῦτο τὸ ἐγκώμιον τῇ φύσει, ὅτι ἰατρός ἐστι τῶν νοσημάτων, ποῦ μὲν ἄντικρυς, ποῦ δὲ συνεπικουρούσης τῆς τέχνης.

---

1) non ratione utens C. 2) δὲ om. A. 3) τῆς φύσεως — ἐπιστήμης om. L.

Λέγει δὲ καὶ ἄλλο Ἱπποκράτης ὅτι καὶ ἐφόδους ἑαυτῇ εὑρίσκει ἐπὶ νοσούντων καὶ ὑγιαινόντων. ἐφόδους δὲ καλεῖ τὰς ἐνεργείας, τὰς ἐκκρίσεις, καὶ πᾶν τὸ ἐν τῷ σώματι γινόμενον, ἃ ποιεῖ ἡ φύσις, οὐκ ἐκ διανοίας, ἀλλ' ἑκοῦσα καὶ οὐ μαθοῦσα. καὶ ὅτι οὕτως ἔχει, ἀναγνώσωμεν τὴν διαγνωστικὴν Γαληνοῦ. ἐκεῖ γὰρ ὁ Γαληνὸς ἔλαβε κύουσαν 1) αἶγα, ἵνα ἀνατεμὼν τὰ περὶ τὴν μήτραν τὰ περὶ τὴν σύλληψιν ἴδοι. ἀλλὰ ἡ ἀσχολία τῶν πραγμάτων ἐνεπόδισε καὶ ἐτέχθη ὁ ἔριφος. ἐντεῦθεν ἦν ἰδεῖν θαυμαστά. 2) ἐκ τούτου ὑγρότης ἐπλεόνασε τῷ ἐρίφῳ· ταῦτα ἀφ' ἑαυτοῦ ἐξετίναξε. τίς ὁ παιδεύσας ὅτι οἱ ῥαχῖται μύες διὰ κίνησιν γεγόνασι; πάλιν δὲ ἄλλο· λαβὼν ὁ Γαληνὸς τὸν ἔριφον, ἀπεχώρισε τῆς μητρὸς καὶ προσήνεγκε διαφόρους τροφὰς ἐξ ἀκροδρύων, ἀπὸ μέλιτος, ἀπὸ γάλακτος, καὶ ἐλθὼν ὁ ἔριφος ὀσφρήσατο. τίς πάλιν ὁ παιδεύσας ὅτι ῥῖνες διὰ τὸ ὀσφραίνεσθαι γεγόνασι; καὶ πάντα μὲν ἀπεσείσατο, ἀσμένως δὲ προσῆλθε τῷ γάλακτι, καὶ ἐκ τούτου ἐτράφη καὶ ἐμασήσατο τῷ στόματι. τίς πάλιν ὁ παιδεύσας γάλακτι αὐτὸν τρέφεσθαι, καὶ ὅτι οἱ ὀδόντες διὰ μάσησιν γεγόνασι, πρότερον αὐτοῦ τρεφομένου διὰ τοῦ ὀμφαλοῦ; ἐντεῦθεν ἰδεῖν θαυμαστά. τῶν γὰρ ὀδόντων οἱ μὲν ἔτεμον, οἱ δὲ ἔθλων, οἱ δὲ ἐλέαινον· μὴ μετὰ ὀδόντων ἐτέχθη. πάλιν ἡ γλῶσσα δεξιὰ καὶ ἀριστερὰ περιῆγε διὰ τὴν μάσησιν, ἐπὶ τὰ ὀπίσω διὰ τὴν κατάποσιν, ἐπὶ τὰ ἔμπροσθεν διὰ τὴν φωνήν. τίς ὁ ταῦτα πάντα διδάξας; ἤρξατο δὲ τῷ ὄνυχι κνᾶσθαι· καὶ τίς ὁ διδάξας ὅτι ὄνυξ διὰ τὸ κνᾶσθαι, ὥστε θαυμάσαι τὸν Γαληνὸν καὶ εἰπεῖν, ὄντως φύσιες ζώων ἀδίδακτοι. εἰ οὖν ἀδίδακτος ἡ φύσις, πῶς εὐπαίδευτος; καὶ λέγομεν ὅτι ἀδίδακτος μὲν ἐξ ἄλλου, 3) εὐπαίδευτος δὲ ἐξ ἑαυτῆς. ὃ καὶ πέπονθε Θεμιστοκλῆς, μηδὲν οἴκοθεν προσμαθὼν, λογικὸς ἦν ὁ ἀνὴρ, οἴκοθεν παιδευθείς. ἀπαίδευτος ἡ φύσις· ἑκοῦσα γὰρ καὶ μὴ μαθοῦσα τὰ δέοντα ποιεῖ, ὡς ἐμαρτύρησε τὰ περὶ τὸν ἔριφον. οὐ γὰρ Γαληνῷ μόνα, ἀλλὰ καὶ Ἱπποκράτει ἐγνωσμένα. τοῦτο γὰρ ἐνδεικνύμενος λέγει, καὶ ἡ γλῶσσα δὲ ὑπουρ-

1) *αἶγαν* Codd. 2) a partu C. *ἐκ τόκου.* 3) *ἀπαίδευτος* L. A.

γέει, καὶ τἄλλα τοιαῦτα. λέγει δὲ καὶ ἄλλο τεκμήριον, ὃ συμβέβηκε τῷ ἐρίφῳ, καὶ ἡμῖν μὲν τὸ σκαρδαμύττειν. καὶ γὰρ ὁ ἔριφος, ἐρχομένου τινὸς λυπηροῦ κατὰ τὸν ὀφθαλμὸν, ἔμυσε τὰ βλέφαρα. καὶ τίς ὁ παιδεύσας ὅτι τὰ βλέφαρα γέγονε πρὸς τὸ φυλάξαι τὸ κρυσταλλοειδές; καὶ ἡμῖν δὲ τοῦτο συμβαίνει. πολλάκις γὰρ θέλομεν ἰδεῖν τὸν κῶνον, καὶ διὰ τὴν ἀνάγκην ἀσκαρδαμυκτοῦμεν ἀτενίζοντες πρὸς τὸν αἰθέρα. ἀλλὰ καὶ ἡ ἄμετρος· διακρινόμενον γὰρ τὸ κρυσταλλοειδὲς ἐκ τοῦ ἡλίου πάσχει, καὶ εὐθὺς μύομεν τὰ βλέφαρα, θέλοντες αὐτὸν φυλάξαι ὀφθαλμόν. τίς οὖν ὁ παιδεύσας ταῦτα; ὥστε διὰ πάντων τὸ ἀξίωμα τῆς φύσεως ἀποδέδεικται, καὶ ἐλήλεκται Ἀσκληπιάδης.

β΄. Δάκρυα, ῥινῶν ὑγρότης, πταρμὸς, οὐάτων ῥύπος, στόματος σιέλου ἀναγωγὴ, πνεύματος εἴσοδος, ἔξοδος, χάσμη, βὴξ, λὺγξ, οὐ τοῦ αὐτοῦ τρόπου. οὖρα, ἄφοδος φύσης. τούτων καὶ τῆς ἑτέρης τροφῆς. ταύτην καὶ κατὰ τὸ ἄλλο σῶμα, ἱδρῶτες, κνησμοὶ, κορδινισμοί.

Τινὲς τοῦτον τὸν λόγον τοῦ ἄνω χωρίζουσι καί 1) φασιν ὅτι ἐπλήρωσεν Ἱπποκράτης ἐπαινῶν τὴν φύσιν· λοιπὸν ἔρχεται ἐπὶ διάγνωσιν. ἀλλ᾽ ἐπειδὴ ἡ διάγνωσις ἀπὸ τῶν συμπτωμάτων, τὰ δὲ συμπτώματα τριττὰ, ἐν βλάβαις ἐνεργειῶν, ἐν διαθέσει, ἐν ἐκκρινομένοις, περὶ πάντων διαλέγεται καί φησιν, ὅτι τὰ δάκρυα ζήτει, τοὺς πταρμοὺς, τοὺς βῆχας. δύνανταί σοι γὰρ ἐνδείξασθαι σημείωσιν. κάλὴ μὲν οὖν ἐστιν ἡ ἐξήγησις. ὁ δὲ Γαληνὸς οὐ τέμνει τοὺς λόγους, ἀλλ᾽ ἔτι ὑμνεῖ τὴν φύσιν, καὶ δεικνύει πῶς αὕτη ἐν πᾶσι προνοεῖται τοῦ σώματος, ἢ τῶν ψυχικῶν μορίων. καί ποτε φρενιτικὴν διάθεσιν διὰ δακρύων ἐκένωσεν ἢ διὰ μυξῶν ἢ διὰ ῥύπου. ἔνθεν ἔχομεν ἀκοῦσαι ὅτι ἐπὶ τῶν ἀνθρώπων ὁ κατὰ τὰ ὦτα ῥύπος ὁ μὲν γλυκὺς θανάσιμος, ὁ δὲ πικρὸς οὔ, ὥσπερ καὶ τὸ περὶ τὸ στόμα σίελον. τοῦτο δὲ διττῶς ἐστιν ἐξηγήσασθαι. 2) ἢ γὰρ αὐτὸ τὸ σίελον τὸ περὶ τὸ στόμα ἢ τὸ ἀλλαχοῦ γινόμενον, κενούμενον δὲ διὰ τοῦ στόματος.

---

1) φησίν L. A. 2) εἰ Codd.

ὁμοίως καὶ ὁ πταρμὸς ἐλευθεροῖ τὰ ψυχικά. ὑγροῦ γὰρ καὶ πνεύματος ὄντος ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου, ἐπαναστᾶσα ἡ ἀποκριτικὴ ἐδίωξε καὶ ἠλευθέρωσε τὸν ἐγκέφαλον, τί λέγω ἐγκέφαλον, ὅπου γε καὶ 1) χωρίον ἀπὸ πταρμοῦ κατηνέχθη. ταῦτα μὲν οὖν τὰ ψυχικά. δέδωκε δὲ καὶ ἀναπνοὴν ἡ φύσις, τὰ ζωτικὰ φυλάττουσα. καὶ βῆχες. ποτὲ γὰρ αὐτὴ ἡ κίνησις, ὑγρότητος οὔσης ἐν τῷ θώρακι, ἐκένωσεν· ἀλλ᾽ οὐδὲ τῶν μέσων ἠμέλησεν ἡ φύσις, ἀλλὰ διὰ χάσμης τὸ ἐν τοῖς σιαγονίταις μυσὶ πνεῦμα κενοῖ. ἆρα δὲ κατεφρόνησε τῶν φυσικῶν; οὐδαμῶς. λύγγα γὰρ ἐποίησε, κενοῦσα τὰ ἐν τῷ στομάχῳ ἐπικαθήμενα λυπηρά. ταῦτα δὲ παντάπασιν οὐκ εἰσὶ τοῦ αὐτοῦ τρόπου· τὸ μὲν γὰρ ζωτικὸν, τὸ δὲ φυσικόν. ὁ δὲ Γαληνὸς εἶπεν, ὅτι μὴ, ἐπειδὴ ἐπήνεσα βῆχας ἢ πταρμοὺς, ἤδη 2) νομίσῃς ταῦτα πάντα ἀγαθὰ εἶναι· ἀλλ᾽ εἰ μὲν ἐκ προνοίας φύσεως, ἀγαθὸν, εἰ δὲ ἀπὸ κακοηθείας νοσήματος, κακόν. ἀλλὰ καὶ τὰ ἀπὸ νοσήματος γινόμενα ἀπὸ φύσεως μὲν γίνονται, βιαζομένης δέ. ἔνθεν Ἱπποκράτης μερικῇ ἐχρήσατο φωνῇ, εἰπὼν παντάπασιν. εἰ μὲν γὰρ ὅλως ἐκ φύσεως γίνονται, ἦσαν φυσικά· εἰ δὲ ἀπὸ φύσεως βιαζομένης, παρὰ φύσιν. λοιπὸν δὲ μετὰ ταῦτα 3) ὁ Ἱπποκράτης ἔρχεται ἐπὶ τὰ μεγάλα μὲν, καταφρονούμενα δὲ διὰ τὸ καθ᾽ ἑκάστην γίνεσθαι, λέγω δὴ τὰ περὶ τροφῆς. ἡ γὰρ φύσις ἰδοῦσα ὡς 4) εἰσροὴ καὶ ἀποῤῥοή ἐστιν ὁ ἄνθρωπος, διὰ τροφὴν ἐπείσακτον, αὐτῷ δέδωκεν ἀθανασίαν. ἀλλ᾽ ἡ τροφὴ ἑαυτῇ 5) πέψιν οὐκ ἠδύνατο. οὐκοῦν δέδωκε τὴν γαστέρα πέττουσαν. ἐπειδὴ δὲ στερεᾶς τροφῆς οὐκ ἐκράτει ἡ γαστὴρ, δέδωκεν ὀδόντας προπαρασκευάζοντας, τέμνοντας μὲν τοὺς τομεῖς, θλῶντας δὲ τοὺς κυνόδοντας, λεαινούσας δὲ τὰς μύλας. προπαρασκευασθέντα μὲν οὖν τὰ σῖτα ὤφελον καὶ κατενεχθῆναι· τοῦτο ποιεῖ ἀνακλωμένη ἡ γλῶττα. εἶτα λοιπὸν διέρχονται διὰ τοῦ 6) οἰσοφάγου, οὐχ ὡς διά τινος ἀψύχου, ἀλλὰ δι᾽ ἑλκτικῆς δυνάμεως, ὑπηρετούντων τῶν

---

1) Legerim *χορίον*, secundinae. Placenta enim sternutatione solvitur. locus C. 2) *νομίσεις* L. 3) *ὁ* om. A. 4) *ἐρὼν καὶ ἀπορὴ* L. *ἐρωὴ καὶ ἀπορoή* A. 5) dare C. addit. 6) *εἰσωφάγου* Codd.

ὀρθῶν ἰνῶν. ἦλθον οὖν τὰ σιτία παρὰ τὸν γαστέρα. πάντως οὖν ἔχουσί τι περίττωμα· τοῦτο δὲ στερεὸν, ἐπειδὴ καὶ στερεὰ τὰ πεφθέντα· ἔνθεν ὁ παραδεχόμενος πυλωρὸς εὗρε τὰ δεχόμενα πλατέα. ἐπέφθη μὲν ὡς ἐπέφθη, ὁ δὲ χιλὸς θέλει ἐλθεῖν παρὰ τὸ ἧπαρ, ἕλκουσιν αἱ μεσαραΐκαὶ φλέβες, ἐδέξατο τὸ ἧπαρ καὶ ἐξαιματοῖ. ἀλλὰ τὸ περίττωμα λεπτὸν, ἕλκει αὐτὸ ὁ νεφρὸς, παραπέμπων δι᾽ οὐρητήρων ὥσπερ τινὶ δεξαμενῇ, τῇ κύστει. ἀλλ᾽ ὅρα τὸ μεῖζον· λοξοὺς ἐποίησε τοὺς οὐρητῆρας, ἵνα κατάγηται μὲν τὸ οὖρον, μὴ ἀνάγηται δέ. λοιπὸν ἡ τρίτη πέψις ἀτμοὺς ἀνέδωκε παρὰ τὸ πᾶν σῶμα, ἔθρεψεν ἕκαστον τῶν μορίων, ἠνέχθη ἀτμὸς, εὑρηκὼς δὲ τὸ δέρμα πυκνὸν, ἐπαχύνθη καὶ ἐγένετο ἱδρώς. ὁρᾷς πόσα ἐποίησεν ἡ φύσις, οὖρον κενοῦσθαι, φῦσαν, ἕτερον πόρον τῆς κόπρου, ἔνθεν καὶ πλείονα μόρια ὑποδεκτικά. ἵνα γὰρ εἴπωμεν συντόμως, τὸ περιέχον περιέχει ἢ περιττὸν ἢ ἀναγκαῖον ἢ ὑγρὸν ἢ πνεῦμα ἢ στερεόν. ὑγρὸν μὲν γὰρ γαστὴρ, πνεῦμα δὲ τὸ ἀπευθυσμένον. ἀλλὰ τοῦτο τὸ πνεῦμα ἢ μένει ἢ κενοῦται. καὶ εἰ μὲν κενοῦται, τὸ σῶμα ἀπήλλακται τῆς τούτου βλάβης· εἰ δὲ μένει, ἢ ἵσταται ἢ μάχεται, καὶ ἢ ποιεῖ τὴν διάστασιν, **1)** [ἢ τῶν κατὰ τὴν φῦσαν.] ταῦτα μὲν οὖν ἐν ἑνὶ μορίῳ. τὰ δὲ ἐν ὅλῳ τῷ σώματι κενούμενα ἱδρὼς γίνεται. οἶδε γὰρ Ἱπποκράτης τοὺς ἱδρῶτας κατὰ φύσιν, εἰ καὶ μὴ δοκεῖ τῷ **2)** Ἐμπεδοκλεῖ· εἰ δὲ πνεύματα, **3)** σκορδινιάσαι· εἰ δὲ δριμύτερος ὁ ἀτμὸς, τὸν κνησμόν. ἃ τοίνυν εἰρήκαμεν ἐπὶ ἀνδρῶν, ταῦτα καὶ ἐπὶ γυναικῶν· ἐκ διαμέτρου δὲ ἐκείναις προσκείσθω τὰ μητρῷα.

γ΄. Ἀνθρώπου ψυχὴ φύεται μὲν ἀεὶ μέχρι θανάτου· ἢν δὲ ἐκπυρωθῇ ἅμα τῇ νούσῳ καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα φέρβεται. —

Θαυμαστὸς ὁ λόγος, πάνυ εὐφραίνει ψυχήν. περὶ ψυχῆς γὰρ διαλέγεται, ψυχῆς δὲ, οὐ τῆς ἀΰλου, οὐ τῆς ἀγεννήτου, ἀλλ᾽ ὡς ἰατρὸς ψυχὴν λέγει τὴν ζωτικὴν δύ-

---

1) Haec om. C. 2) Dioclus C. 3) σκοροδινιάσαι Codd. Fort. σκορδινιασμοί.

ναμιν. εἰ γὰρ περὶ φύσεως διαλεγόμενος οὐκ ἐτόλμησεν εἰπεῖν ὅτι ἀπόλλυται, πόσῳ μᾶλλον περὶ ψυχῆς ἀθανάτου. ἀλλὰ πνεῦμα λέγει τὴν ζωτικὴν δύναμιν. αὕτη οὖν 1) ἀεὶ φύεται, ἀλλά που μὲν φύεται, ἤτοι γεννᾶται, ποῦ δὲ αὔξεται. φύεται μὲν γὰρ αὕτη μέχρι θανάτου. εἰ δέ ποτε γένηται νόσημα, συνεκπυροῦται τῷ σώματι, καὶ οὕτω γίνεται θάνατος, τῆς ψυχῆς φερβομένης. φερβομένης δὲ λέγει, οὐ τρεφομένης, ὥσπερ καὶ φορβὴ ἡ τροφὴ, ἀλλὰ μειουμένης καὶ νεμομένης καὶ ἀπολλυμένης. ἀλλ' ἓν μόνον ἀπορήσειέ τις, διατί εἶπεν ἐκπυρωθῇ. τί γὰρ οὐ καταψυχόμενον τὸ πνεῦμα ποιεῖ θάνατον; φαμὲν οὖν ὅτι οἶδεν Ἱπποκράτης, 2) ὡς τὸ φίλιον ἐκεῖνο μάλιστα ἐπηρεάζει· ἔνθεν τὰ ἀπὸ αἵματος γινόμενα νοσήματα χαλεπὰ, διόπερ ἐπειδὴ τῇ θερμασίᾳ χαίρει τὰ ἡμέτερα σώματα, ἐκ ταύτης μάλιστα βλάπτει· δυσχερῶς δὲ ἀπὸ ψύξεως· ἔνθεν Ἱπποκράτης δεικνύει, ὅτι τὸ πνεῦμα ἐξεθερμάνθη, τὰ δὲ τῶν ἀνθρώπων σώματα ὡς ἐπιτοπλεῖστον ἀπὸ πυρετοῦ ἀπόλλυνται.

δ'. Νοῦσοι ξύντροφοι ἐν γήρᾳ παύονται διὰ πεπασμὸν καὶ διὰ λύσιν καὶ ἀραίωσιν. —

Πρὸς τὸ ἀσαφῆ εἶναι τοῦτον τὸν λόγον, τάχα καὶ 3) ψευδής. δεῖ γὰρ ἡμᾶς μό νοντοῖς πρὸς ἐξήγησιν αὐτῷ γραφεῖσιν πεισθῆναι, ἤτοι τὰ πρὸς ὑπόμνησιν. ἐπεὶ οὖν εἴρηται, βράγχοι καὶ κόρυζαι τοῖσι πάνυ πρεσβυτέροισιν οὐ πεπαίνονται, ἐνταῦθα δὲ λέγει ὅτι τὰ σύντροφα νοσήματα, ποῖα δέ εἰσιν; ἰκτερικὰ, ἐρυσιπελατώδη, εἰ μὴ δυνηθῇς ταῦτα θεραπεῦσαι, μὴ ἀθύμει. ἐρχομένου γὰρ τοῦ γήρως, τὸ ἀπὸ τῆς ἡλικίας φλέγμα τὴν χολὴν τελείως ἐξάγει αὐτὴν, καὶ τούτου λύσιν ἐκάλεσεν, ἢ μιγνύμενον 4) εὐκρασίαν ποιεῖ, καὶ τοῦτο ἐκάλεσε πεπασμόν. τὸ τελευταῖον μόνον, οὐκ 5) ἄξιος Ἱπποκράτης, τὸ διὰ ἀραίωσιν. πῶς γὰρ ἐν γήρᾳ ἀραίωσις, ἔνθα ψύξις καὶ ξηρότης; εἰ μήτι εἴπωμεν ὅτι ἀσθενήσασα ἡ καθεκτικὴ δύναμις οὐκέτι περισφίγγει τὰ μόρια, ἀλλὰ ἐᾷ αὐτὰ χαλαρά. ἔν-

---

1) αἰεὶ A. 2) καὶ loco ὡς L. 3) ψευδῆ Codd. 4) ἀκρασίαν Codd. 5) Fort. ἄξιον Ἱπποκράτους.

θεν ἐπὶ τῶν γερόντων ἱδρὼς κενοῦται, οὐ ῥώμη, ἀλλα ἀσθενεία, καὶ τοῦτο ἀραιὸν εἶπεν Ἱπποκράτης.

ε΄. Ἴησις Ἀντινόῳ μὴ ὁμονοεῖν τὸ πάθος, 1) τὸ ψυχρὸν, ἐπικουρέει καὶ κτείνει. ταῦτα οἴσει καὶ τὸ θερμόν. —

Θεραπευτικὸς ὁ λόγος οὗτός ἐστι, δεικνύων ὡς τὰ ἐναντία τῶν ἐναντίων ἰάματα. λέγει γὰρ Ἱπποκράτης, ὅτι προσεχῶς Ἀντινόῳ τινὶ καλουμένῳ ἴησις ἐγένετο. ἀντενόησα τῷ πάθει, καὶ διὰ τοῦτο ῥᾷστα ἐθεραπεύθη. τὰ γὰρ ἐναντία τῶν ἐναντίων 2) ἰάσιμα. ἔνθεν τὸ ψυχρὸν 3) κτείνει καὶ ἐπικουρεῖ, ὥσπερ καὶ τὸ θερμὸν τοιουτοτρόπως. τὸ γὰρ ψυχρὸν θερμῷ νοσήματι προστιθέμενον ἐπικουρεῖ μὲν τὸ νόσημα, κτείνει δὲ τὸ σῶμα. τὰ αὐτὰ καὶ ἐπὶ τοῦ θερμοῦ. ἡ μὲν ἔννοια τοῦ λόγου αὕτη. σολοικοφανὴς δὲ ὁ λόγος οὗτος, ἴησις Ἀντινόῳ. δεῖ δὲ αὐτὸν οὕτως διοικῆσαι, ὅτι πολλάκις οἱ ἀποσειόμενοί τι πρᾶγμα διὰ περίστασιν πράγματος οὐ πᾶν γράφουσιν, ἀλλ᾽ ἢ τὸν παθόντα ἢ τὴν ἀρχὴν τοῦ πράγματος, ἢ ἁπλῶς ἄλλων ὑπομνηστικὸν, καὶ ὕστερον εὑρίσκεται τὸ σημαινόμενον ὑπομνηστικὸν, καὶ πᾶν ἐκτίθεται τὸ πρᾶγμα. οὕτω, πέπονθε καὶ Ἱπποκράτης. σημεῖον γὰρ αὐτοῦ ἔγραψε τοῦτο, ἴησις Ἀντινόῳ, ὅτι θέλω εἰπεῖν, πῶς ἐθεράπευσα τὸν Ἀντίνοον, καὶ οὐκ ἔφθασα γράψαι, ὡς προεῖπον δὲ, διὰ τῶν ἐναντίων ἐθεράπευσε. διὸ ἐπάγει, δεῖ οὖν μὴ ὁμονοεῖν τῷ πάθει.

ϛ΄. Τὸ θερμὸν ὀξύθυμον, ἀνασπᾷ καὶ καρδίαν καὶ πνεύμονα ἐς 4) ἑωυτὰ καὶ ἐς κεφαλὴν καὶ τὸ θερμὸν καὶ τὸ ὑγρόν. ἡ δ᾽ εὐθυμίη ἀφίησι καὶ καρδίην καὶ ταῦτα. —

Πολλοὺς λόγους ἐξέθετο Ἱπποκράτης· ἔδειξε γὰρ τὴν ἀξίαν τῆς φύσεως, τὴν ὑπηρεσίαν. λόγος οὖν πάλιν περὶ ἰατρικῆς. ἀλλ᾽ ὁ λόγος δοκεῖ ὡς καταγέλαστος. φαίνεται γὰρ τοῦτο λέγων, ὅτι ἡ ὀξυθυμία τὴν καρδίαν καὶ τὸν

---

1) ψύχειν A. 2) Fort. ἰάματα. 3) ἐκτείνει Codd. 4) ουατα Codd.

πνευμονα φέρει εἰς την κεφαλήν. τοῦτο δὲ καταγέλαστον· ἀλλὰ περὶ ὀξυθυμίας θέλει διαλεχθῆναι. ὀξυθυμία ἐστὶ σφοδρὸς καὶ ἄγριος θυμός. ὀφείλομεν οὖν εἰπεῖν, τίνα σημεῖα τὰ ζητοῦντα, εἰ ἐγένετο ὀξυθυμία. ἀλλὰ τούτων τῶν σημείων τὰ μὲν πάντα ὑποπίπτει, τὰ δὲ μόνῃ τῇ τέχνῃ φαίνεται. φαινόμενα ταῦτα, ἔρευθος περὶ τὸ πρόσωπον, θερμασία περὶ τὴν κεφαλὴν, ὄγκος περὶ τὸν τράχηλον. ταῦτα δὲ πάντα ἕπεται τῷ θυμῷ, ἐπειδὴ θυμός ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος. τοῦτο οὖν τὸ αἷμα θερμόν ἐστι καὶ ὑγρὸν, πέμπει ἄνω ἀτμοὺς, καὶ ταῦτα πάντα ποιεῖ. ἄλλα δέ εἰσι τῇ τέχνῃ ὑποπίπτοντα μόνῃ, ὡς σφυγμὸς μέγας ἢ ἀναπνοὴ πυκνοτέρα ἢ κίνησις τῆς καρδίας ταχυτέρα, πανταχοῦ δὲ τὸ ἔρευθος. ἀλλ' ἐν τῷ θώρακι μὲν ἐπειδὴ ἐκεῖ ἐστιν ἡ αἰτία τοῦ κακοῦ, ἐν δὲ τῇ κεφαλῇ, διὰ τὸ ἄνω φέρεσθαι τὸν ἀτμόν. ταῦτα μὲν οὖν ἡ ὀξυθυμία. ἡ δὲ εὐθυμία ἀπολύει μὲν δεδεμένην τὴν καρδίαν, παύει δὲ καὶ πάντα τὰ εἰρημένα συμπτώματα. ἐν ἑνὶ μόνῳ δεῖ προσχεῖν, ὅτι οὐ καλῶς ὁ Ἱπποκράτης τῇ ὀξυθυμίᾳ τὴν εὐθυμίαν ἔταξε. τῇ γὰρ εὐθυμίᾳ ἡ ἀθυμία ἀντίκειται. ἔστι γὰρ ἡ εὐθυμία ὁ ἐν καιρῷ θυμὸς ὁ ὑπὲρ πατρίδος ἢ συγγενῶν. οὐκοῦν ἀθυμία τὸ ἐν καιρῷ θυμοῦ μὴ ἐγείρεσθαι τὴν ὄρεξιν. ὀξυθυμία δέ ἐστιν ὁ ὑπερόριος θυμὸς καὶ ὑπὲρ πράγματος μὴ προσήκοντος. ταύτῃ δὲ οὐκ ἀντίκειται ἡ ἀθυμία.

ζ. Πόνος τοῖσι ἄρθροισι καὶ σαρξὶ, σῖτος, ὕπνος σπλάγχνοισι. —

Περὶ ἄλλου λόγου νῦν διαλέγεται, καὶ εὐθὺς μέμνηται πόνου. τὸ δὲ τοῦ πόνου ὄνομα πολλὰ σημαίνει παρὰ Ἱπποκράτει. πόνος ἡ ὀδύνη, ὡς τὸ, δύο πόνων ἅμα γινομένων, καὶ ὡς τὸ, ἐν ᾧ νοσήματι ὕπνος, πόνον. καὶ τὸ γυμνάσιον, ὡς 1) ἓξ πόνοι. καὶ τὰ χαλεπὰ νοσήματα, ὡς τὸ, ὅκου μὲν οὖν κάτοξυ. ἐνταῦθα καὶ τὰ τοῦ γυμνασίου· λέγει γὰρ ὅτι οἱ μύες διὰ κίνησιν γεγόνασιν. οὐκοῦν τὸ γυμνάσιον σῖτος αὐτοῖς, τουτέστι τροφὴ καὶ ὠφέλεια, ἐπειδὴ κίνησις κρατύνει, ἀργίη τήκει. καλὴ μὲν ἡ ἐξήγη-

1) ex labore C. ἐκ πόνου.

σις, κακόζηλος δέ. οὐκ ἂν γὰρ ἐτόλμα εἰπεῖν Ἱπποκράτης τὴν ὠφέλειαν σῖτος. ἀλλ' οὕτω δεῖ τὸν λόγον ἐξηγήσασθαι, ὅτι ἑκάστῳ μορίῳ ἡ ἐνέργεια αὐτοῦ γυμνασία ἐστί. τοῖς γὰρ μυσὶ τὸ γυμνάσιον ὠφέλιμον, ἐπειδὴ τότε γινομένης τῆς πέψεως, τρέφονται. ἀλλ' οὐκ ἀεὶ ὕπνος ὠφέλιμος. οὐδὲ γὰρ ἐκχολουμένῳ σώματι, ἢ γέμοντι περιττωμάτων, ἀλλ' ὅτε σῖτος δοθῇ, ἵνα ἀσχολουμένης τῆς θερμασίας περὶ τὴν πέψιν αὐτῶν, τρέφονται τὰ σπλάγχνα. οὔκουν τὸν λόγον δεῖ νοῆσαι ὡς ὁ πόνος τοῖς μυσὶ καὶ ταῖς σαρξὶν ὠφέλιμός ἐστιν, τοῖς δὲ σπλάγχνοις ἐστὶν ὕπνος, ὅτε δοθῇ σῖτος.

η'. Ψυχῆς περίπατος φροντὶς ἀνθρώποισιν. —

Ἐάσας τὰ ἰατρικὰ ὁ Ἱπποκράτης ἐπὶ τὴν ψυχὴν πάλιν ἔρχεται. ψυχὴν δὲ, οὐχ ὡς ἄνω ἐλέγομεν τὴν θερμασίαν, ἀλλὰ τὴν ὄντως ἄϋλον καὶ ἀθάνατον. διττῶς δέ ἐστιν ἐξηγήσασθαι τοῦτον τὸν λόγον. ἢ γὰρ περίπατος, ἢ περὶ παντός. καὶ περὶ παντὸς οὕτως· ὅτι φροντίς ἐστι τοῖς ἀνθρώποις τοῦ περὶ παντὸς ποιήσασθαι τὴν ψυχήν. οὐδὲν γὰρ ταύτης ὀφείλει προτιμῆσαι ὁ ἄνθρωπος. λέγει γὰρ Ἱπποκράτης, ὥσπερ γυμνάζεται τὸ σῶμα, οὕτως ὀφείλει καὶ ἡ ψυχὴ γυμνάζεσθαι. γυμνάζεται δὲ ἡ ψυχὴ διὰ πλειόνων, ἐπειδὴ ἓν εἶδος γυμνασίου ἐστὶν ὁ περίπατος. πᾶν γυμνάσιον 1) ἡ φροντίς. φροντὶς δὲ, οὐχ ἵνα ζητῇ ἢ περὶ κέρδους, ἢ περὶ γυναικὸς, ἀλλὰ ζητεῖν τὴν κατάληψιν τῆς ἀληθείας, τὴν διάκρισιν τοῦ ἀληθοῦς καὶ ψευδοῦς. ταῦτα γὰρ γυμνάσιά εἰσιν. καὶ μάλιστα τῆς λογικῆς ψυχῆς ἡ φροντίς. ἔνθεν λέγομεν Σωκράτους καὶ Πλάτωνος φροντιστήριον, ὅτι οὐχ ἁπλῶς ἐφρόντιζεν, ἀλλ' ὅτι τὴν ἀλήθειαν 2) κατεγένετο. οὐ μάτην δὲ προσέθηκε τὸ τοῖς ἀνθρώποις. ἀλλ' οἶδεν ὅτι κατὰ φύσιν ἄνθρωπος ἐν τούτῳ κρίνεται, ἐν τῷ 3) ὑπόστασιν μὲν τὸ θυμοειδὲς, ἄρχειν δὲ τῷ λόγῳ. ταῦτα οὖν ὅσα κατὰ φιλοσόφους, δυνάμεθα καὶ ἐπὶ τὰ ἡμέτερα ἀγαγεῖν τὸν λόγον. εἰσελθὼν γὰρ πρὸς τὸν κάμνοντα, εὗρες αὐτὸν καταφερόμενον

---

1) ἢ Codd. 2) cogitando investigabat. C. Fort. πρὸς τὴν ἀλήθ. 3) obediat C. Fort. ὑποστάναι.

ἀκαίρως καὶ ὑπνώττοντα, γίνωσκε τι μέγα κακόν. ὕλη γὰρ πλεονάζουσα ἐν τῷ ἐγκεφάλῳ, ὠδίνει κάρον, ἀπειλεῖ ἀποπληξίαν, τότε ὀφείλεις φροντίδι θυμὸν ἐπιτάξαι, ἵνα τοῦτον ἡ ζέσις ἐκλεπτύνῃ καὶ διαφορήσῃ τὸν χυμὸν, ὥστε καὶ ἰατροῖς καὶ φιλοσόφοις πρέπει οὗτος ὁ λόγος.

θ'. Ἐν τοῖσι τρώμασι τὸ αἷμα ξυντρέχει, βοηθητέον ὡς τὸ κενὸν πληρώσῃς. —

Οὗτος ὁ λόγος θεραπευτικός. περὶ τρώματος γὰρ διαλέγεται. τρῶμα δὲ λέγει ὁ Ἱπποκράτης αὐτὴν τὴν λύσιν τῆς συνεχείας, ἢ τὸ λεγόμενον θλάσμα. θλάσμα δέ ἐστιν, ὅταν ἔσωθεν γενομένῃ ῥήξει τῶν ἀγγείων ἐκχυθῇ αἷμα εἰς τὸ δέρμα, μείνῃ δὲ αὐτὸ ἀδιαίρετον. ἀλλ' ἐν μὲν τῇ λύσει τῆς συνεχείας ἐκενώθη τὸ ἐν ταῖς φλεψὶν αἷμα οὐ μόνον τοῦ παθόντος μορίου, ἀλλὰ καὶ ἐκ παντὸς σώματος. ἔδειξε γὰρ ἡ ἀνατομὴ, ὡς ἀναστομοῦνται ἀλλήλοις τὰ ἀγγεῖα, καὶ οὕτω πᾶν τὸ σῶμα κενοῦται, ἢ οὐ διὰ τὴν ἀναστόμωσιν, ἀλλ' ὅτι ὡς 1) ἀσθενὲς μόριον ἐκεῖ ἐπιῤῥεύσασα ἡ ὕλη ἐκενώθη, καὶ κενὸν τὸ σῶμα ἐποίησεν. οὐκοῦν ὀφείλομεν τὸ κενὸν πληρῶσαι, πληροῦντες μὲν τὸ σῶμα, καὶ τρέφοντες αὐτὸ, 2) ἀναστομοῦντες δὲ τὰ κενοῦντα ἀγγεῖα. ταῦτα 3) μὲν περὶ τῆς λύσεως τῆς συνεχείας. περὶ δὲ θλάσματος ταῦτα, ὅτι ἐὰν γένηται θλάσμα, ἐπιτίθει τὰ στύφοντα καὶ τὰ ἀποκρούοντα, τῷ δὲ παντὶ σώματι τὰ θερμὰ, τὰ δυνάμενα ἐκ τοῦ τόπου τοῦ πάσχοντος ἑλκύσαι τὸ αἷμα.

ι'. Ἢν οὖς ἀλγέῃ, εἰρίον περὶ τὸν δάκτυλον ἑλίξας ἐγχέειν ἄλειφα θερμὸν, ἔπειτα ἐπιθεὶς τῷ θέναρι τὸ εἰρίον τῷ ὠτὶ ὑπερθεῖναι, ὡς δοκέειν τί οἱ ἐξιέναι, ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν ἀπάτη. —

Διὰ τούτου δείκνυσιν ὁ Ἱπποκράτης, ὡς οὐδὲ τῶν τυχόντων καταφρονεῖ. περὶ ὠτὸς γὰρ θέλει διαλεχθῆναι, τοῦ μικροῦ μὲν τῇ φαντασίᾳ, μεγάλου δὲ τῇ δυνάμει, ἐπειδὴ νευρῶδες καὶ εὐαίσθητον τὸ μόριον, τῷ ἐγκεφάλῳ

1) ἀσθενῆ Codd. 2) Fort. ἀποστομ. occludentes C. 3) μὲν om. L.

γειτνιάζον, καὶ τὸ παχὺ αὐτοῦ περίττωμα κενοῦν. γίνονται οὖν ἐν τῷ ὠτίῳ πολλὰ πάθη, μάλιστα αἱ δυσκρασίαι, καὶ μάλιστα αἱ δραστικαί. ἔνθεν ἐπιτίθει τὰ δι' ἀνηθελαίου καὶ καστορίου καὶ πάντων τῶν θερμαινόντων, εἴ ἐστι ψυχρὰ ἡ δυσκρασία· εἰ δὲ θερμὴ, τὰ διὰ ῥοδίνου. ποτὲ δὲ καὶ στέαρ χήνειον καὶ ταύρειον τήκοντες, ἐπιβάλωμεν. λέγει οὖν ὁ Ἱπποκράτης ὅτι ἐὰν γένηται ὀδύνη ὠτὸς, κατάχυσιν ποίησον δι' ἀλοιφῆς· τοῦτο δὲ ἔστω θερμὸν, οὐ τῇ δυνάμει, ἀλλὰ τῇ θίξει, ἐπειδὴ νευρῶδες ὂν τὸ οὖς, φοβούμεθα μὴ πληγῇ ὑπὸ τῆς ψύξεως. λαβὼν οὖν ἐρίον παρὰ τὴν χεῖρα, δέχου τὸ ἐκ τοῦ ὠτὸς ἀποστάζον, καὶ τοῦτο φέρε περὶ ἄνθρακας, ἵνα δηλονότι ἐπὶ τοῦ πυρὸς ἐνεχθῇ τὸ κατενεχθὲν ἀπὸ τοῦ ὠτός. τοῦτο μὲν οὖν σαφές. τί δὲ ἄλλο; ἀπάτην ποίησον. καί τινες μὲν αὐτὸ καταγελάστως ἐξηγήσαντο. τότε γὰρ εἶπον ὀφείλεις ἀπατᾷν τὸν κάμνοντα, καὶ μάλιστα εἰ φειδωλὸς ὢν ὀκνεῖ περὶ τὸν μισθόν. εἰπεῖν γὰρ ὀφείλεις αὐτῷ, χαλεπὴν διάθεσιν ἔχειν παρὰ τὸ οὖς, ὅθεν καὶ πλείονος ἄξια, μήπως ἀνέλθῃ τὸ κακὸν περὶ τὸν ἐγκέφαλον. οἱ μὲν οὗτοι ἐξηγηταὶ καταγέλαστοι, ὡς οὐκ ἄξιον εἰπόντες τῆς κηδεμονίας Ἱπποκράτους, ἐπεὶ 1) καὶ μισθαρνοῦντας ὁρῶμεν ἀναγκάζοντας δουλεύειν τὰς ἐπιστήμας. ἄλλοι δὲ πιθανοὶ οὕτως ἐξηγήσαντο, ὡς πολλάκις ἔχει τι σμικρὸν ἕλκος, καὶ εἰ μὴ εὐεκτήσεις, κινδυνεύσεις. τὸ δὲ ἀληθὲς εἰρημένον, ὡς τὸ ἐν ὠτὶ καταφρονούντων, ἀτακτεῖ. τότε οὖν ὀφείλεις τῷ κάμνοντι ἀπατᾷν καὶ λέγειν, ὅτι μέγα καὶ κακόηθες ἔχεις ἕλκος, καὶ εἰ μὴ εὐεκτήσεις, κινδυνεύσεις. διὸ καὶ ἐν τῇ θεραπευτικῇ, ποτὲ κωλικῆς διαθέσεως ἀπὸ φλέγματος γενομένης, οὐκ ἠδυνάμεθα τῇ ὄντως χρήσασθαι θεραπείᾳ τῇ διὰ τῶν ἐναντίων, τῇ διὰ καστορίου δηλονότι καὶ πηγανίνου· μᾶλλον γὰρ παρωξύνετο. διὰ γοῦν τὸ κατεπεῖγον τῆς ὀδύνης τῇ παραμυθίᾳ ἐχρησάμεθα τῇ διὰ τοῦ ὀπίου ναρκοῦντες καὶ ἀπατῶντες τὸ κράνιον. τοῦτο οὖν ἐνταῦθα λέγει, ὅτι ταῦτα ποίησον, ἵνα θεραπεύσῃς τὸ οὖς. εἰ δὲ μὴ δυνη-

---

1) τοὺς loco καὶ A.

θῆς, ἀλλὰ κατεπείγει ἡ ὕλη καὶ ἡ ὀδύνη, τότε νάρκωσον καὶ ἀπάτησον, οὐ τῷ κάμνοντι, ἀλλὰ τῇ ὀδύνῃ.

ια'. Οὖρον γλῶσσα σημαίνει, γλῶσσαι ξηραὶ χολώδεις, τὸ δὲ χολῶδες ἀπὸ πίονος· ἐρυθραὶ δὲ ἀφ' αἵματος, μέλαιναι δὲ ἀπὸ μελαίνης χολῆς, αὖαι δὲ ἀπὸ λιγνύος καὶ μητρῴου μορίου, λευκαὶ δὲ ἀπὸ φλέγματος. —

Σημειώσεις τινὰς θέλει παραδοῦναι, καί τινες μὲν φασιν ὅτι ὥσπερ τὸ οὖρον δηλοῖ τὰ κατὰ τὸ σῶμα, οὕτω καὶ ἡ γλῶσσα. ἢ οὐχ ὁρῶμεν ὅτι ἐν τοῖς καυσώδεσι πυρετοῖς μελαίνεται; τὸ δὲ ἀληθὲς, φησὶν ὁ Γαληνὸς, ὅτι παρὰ πολλοῖς ὀρὸς οἱ χυμοὶ καλοῦνται, καὶ κατὰ προσθήκην τοῦ υ̅, οὖρον. λέγει οὖν Ἱπποκράτης ὅτι τὸ χρῶμα τῆς γλώττης δύναται ἐνδείξασθαι, ποῖός ἐστιν ἐν τῷ σώματι χυμός. εἰ γὰρ λευκὴ, ἀπὸ φλέγματος γίνεται· εἰ δὲ ἐρυθρὰ, ἀπὸ αἵματος· εἰ μέλαινα, ἀπὸ μέλανος χυμοῦ, ἢ ἀπὸ ἐξυπεροπτήσεως ξανθῆς χολῆς· εἰ δὲ χλωρὰ, ἀπὸ χολῆς. εἴωθε δὲ Ἱπποκράτης καὶ ὠχρὰν καὶ ξανθὴν ὀνομάζειν τὴν χολὴν, πλήν ἐστιν ἐν αὐτοῖς διαφορά. πλείονα γὰρ ὑγρότητα τὸ ξανθὸν φέρει τοῦ ὠχροῦ. καὶ ταῦτα μὲν τὰ κατὰ φύσιν χρώματα τῆς χολῆς, τὸ δὲ λεκυθῶδες ἢ ἰῶδες παρὰ φύσιν. εἶτα ὥς τινος ἀπορήσαντος, ὅλως γὰρ ἡ χολὴ πόθεν γίνεται, ὅτι ἐκ τῶν πιόνων. πίονα δὲ καλεῖ τὰ γλυκέα. ταῦτα μὲν οὖν γενικά εἰσι τῆς χολῆς. λοιπὸν ποτε γίνονται αἱ γλῶσσαι, ὥσπερ 1) κίσσηρις. τοῦτο ἀπὸ λιγνύος γίνεται, ὥσπερ ἐπὶ τοῦ πυρετοῦ ἡ γλῶσσα τραχύνεται. καὶ ἆρα θαυμάζεις, εἰ τὰ περὶ τὸν στόμαχον τῶν χυμῶν χρώματα διαφαίνεται εἰς τὴν γλῶσσαν, ὥσπερ γε καὶ τοὺς ἐν τῇ μήτρᾳ πλεονάζοντας χυμοὺς δύναταί σοι ἐνδείξασθαι ἡ γλῶσσα ὡς μὴ ἐσκεπασμένη δέρματι, ὡς σπογγοειδὴς, καὶ εὐχερῶς δεχομένη ἄνωθεν ὄντας τοὺς 2) χυμούς.

ιβ'. Οὖρον ὁμόχροον βρώματι καὶ πόματι καὶ τῶν ἔσωθεν, ποτοῦ καὶ ὑγρότητος, σύντηξις. —

Περὶ χρώματος νῦν ὁ λόγος, ἔστι δὲ ἀσαφὴς, εἰ μη

---

1) κισσίρες Codd. pumex. 2) ἀτμοὺς A. exhalationes C.

παραστῇ ἡμῖν ἡ περὶ κρίσεως. ἐκεῖ γοῦν εἴρηται· διάφορα χρώματα δέχεται τὸ οὖρον, ποτὲ καὶ ἐκ τῶν δοθέντων. μέλας γάρ ποτε ἐδόθη οἶνος, καὶ μὴ κατεργασθέντος αὐτοῦ ἐν τῇ γαστρὶ καὶ τῷ ἥπατι, εἵλκυσεν ὁ νεφρὸς, καὶ μέλαν ἐξεκρίθη τὸ οὖρον. ποτὲ οὐ διὰ τὰ πόματα, ἀλλὰ διὰ τοὺς ἔνδοθεν χυμοὺς, καὶ διὰ τοῦτο ἐν τοῖς πυρετοῖς σκεπτόμεθα τὸ οὖρον, ὡς περίττωμα ὂν τῶν χυμῶν. καὶ τὸ μὲν λευκὸν φλέγματος λέγεται σημεῖον, τὸ δὲ ξανθὸν χολῆς. ποτὲ δὲ τὸ χρῶμα τοῦ οὔρου ἀμείβεται ἐκ τῆς συντήξεως τοῦ σώματος. πολλάκις γὰρ σάρκες ἐν αὐτῷ ἐκφέρονται. ἔνθεν εἰ μὲν κριμνῶδες εἴη τὸ οὖρον, λέγεται ἐκ τοῦ νεφροῦ, τὸ δὲ πεταλῶδες ἀπὸ τῶν οὐρητήρων, τὸ δὲ πιτυρῶδες ἀπὸ τῆς κύστεως. ταῦτα τοίνυν ἐνδείκνυται Ἱπποκράτης. καὶ ἐν ὑπερβατῷ δεῖ πάντα ἀναγνῶναι τὸν λόγον, ὅτι οὖρον κενοῦται ὁμόχροον, ἢ τῇ συντήξει τοῦ σώματος, ἢ τῇ ὑγρότητι τοῦ πόματος, ἢ τοῖς ἔσωθεν, ἵνα εἴπῃ τοὺς χυμούς.

ιγ΄. Γλῶσσα ὁμόχρους τῇσι προτάσεσι τῶν χυμῶν, διόπερ ταύτῃ γινώσκομεν τοὺς χυμοὺς, ἢν ἁλμυραὶ σάρκες ἔωσι, περισσώσιος σημεῖον. —

Ἐν τῷ μέσῳ εἴρηται ἐκεῖνο· λοιπὸν τοῦτο 1) προσαχθέσθω ἄνω, ὅτι τὰ χρώματα τῆς γλώττης πολλὰ δηλοῖ· πρότασιν δὲ λέγει τοῦτο, ὅτι ποτὲ ἀνηνέχθη τι δἰ ἐμέτου ἢ διὰ βηχὸς, καὶ ἐκενώθη διὰ τοῦ στόματος· πάντως ὑφιζάνει τι περὶ τὴν γλῶσσαν, καὶ ὅμοιον τοῦ κενωθέντος χρώματος ποιεῖ τὸ ἀπομεῖναν δηλονότι ἐν τῇ γλώσσῃ. ταῦτα μὲν οὖν τὰ περὶ τῶν ἐν γλώσσῃ χρωμάτων. ζητεῖ δὲ καὶ τὰς γευστὰς ποιότητας, ἐπειδὴ γευστικὸν ὄργανον ἡ γλῶσσα, καὶ 2) οἵῳ κατείληπται χυμῷ τὸ πᾶν σῶμα, οὕτω καὶ αὐτή. τότε δὲ μᾶλλον διαφαίνεται ἡ ποιότης, ὅτε ἄρξηται κινεῖσθαι ὁ χυμὸς ἐν τῇ μασήσει, ἔνθα οἱ ἰκτεριῶντες, καὶ αὐτὸ τὸ 3) μέλι πικρὸν νομίζουσι. καὶ ἐνταῦθα παραδίδωσι, ὅτι ἐάν τις ἐσθίῃ σάρκας καὶ ἁλμυρῶν τούτων αἰσθάνηται, ἁλμυρὸς χυμὸς πλεονάζει· εἶπε δὲ Ἱπποκρά-

---

1) *προσαχθέστω* L. 2) *οἵων* L. 3) *μέλαν* Codd. mel. C.

της 1) περισσώσιος, ἵνα δηλώσῃ τὴν ἐπικράτειαν τοῦ χυμοῦ.

ιδ'. Ἢν τῶν μασθῶν αἱ θηλαὶ καὶ τὸ ἐρυθρὸν χολῶδες, νοσῶδες τὸ ἄγγος. —

Ὕποπτος εἶναι δοκεῖ οὗτος ὁ λόγος, ἐπειδὴ τὴν μήτραν ἄγγος καλεῖ. λέγει δὲ τοῦτο, ὥσπερ ἡ γλῶσσα ἐνδείκνυται ἀπὸ χρώματος τοὺς ἐν τῷ σώματι χυμοὺς, οὕτω καὶ αἱ θηλαὶ τῶν μαζῶν περὶ τὴν μήτραν, διὰ τὴν πολλὴν συγγένειαν. ἔνθεν οἱ ἐρυθροὶ πλεονεξίαν αἵματος, οἱ δὲ ξανθοὶ χολὴν, καὶ ἁπλῶς εἰπεῖν ὡς ἔχει ἡ μήτρα, οὕτω καὶ οἱ μαζοὶ, οὐχ ὡς οἱ μαζοὶ, οὕτω καὶ ἡ μήτρα, πλὴν εἰ μή ἴδιόν τι πάθος ἔχοιεν αὐτοί.

ιε'. Ἀνθρώποισιν ἐν τοῖσιν ὠσὶ ῥύπος ὁ μὲν γλυκὺς θανάσιμος, ὁ δὲ πικρὸς οὔ. —

Καὶ οὗτος ὁ λόγος ὑπονοθεύεται· οὐ γὰρ πάντως ἀληθὴς, ἀλλ' οὕτως αὐτὸν χρὴ διοικῆσαι, ὅτι πάντων συναναφανέντων τῶν θανασίμων σημείων, σὺν τοῖς ἄλλοις δύναταί σοι ἐπιμαρτυρῆσαι καὶ ὁ κατὰ τὰ ὦτα ῥύπος· οὗτω γὰρ παχὺ περίττωμά ἐστι τοῦ ἐγκεφάλου· ἔνθεν εἰ πρὸ πέψεως ἐκκριθείη, χαλεπόν· σημείωσαι γὰρ ὅτι οὐκ ἠδυνήθη πέψαι ὁ ἐγκέφαλος, τελείως ὢν ψυχρός. τὸ δὲ γλυκὺ ἀπὸ θερμασίας γίνεται. εἰ οὖν γλυκὺς ῥύπος κενωθῇ, σημείωσαι ὅτι εἰς ἐναντίαν διάθεσιν ἦλθεν ὁ ἐγκέφαλος, καὶ ἔστι χαλεπόν. ἀλλ' ἄλλοι ἀπορoῦσιν, εἰ ὁ γλυκὺς θανάσιμος, διὰ τί μὴ καὶ ὁ πικρός; τὸ γὰρ πικρὸν ἐκ πλείονος γίνεται θερμασίας; ἀλλά φασιν ὅτι ὁ μὲν πικρὸς οὐκ ἔστι θανάσιμος, ἐπειδὴ ἐν τῷ κατὰ φύσιν ὁ ῥύπος πικρός ἐστιν. ὡς οὖν κατὰ φύσιν ἐστὶν, οὐκ ἔστι θανάσιμος, ἐπειδὴ ἐν τῷ κατὰ φύσιν. πῶς οὖν ἐν τῷ κατὰ φύσιν πικρὸν τὸ τοῦ ἐγκεφάλου περίττωμα καὶ θερμόν; καί φασιν, ὅτι οὐκ ἀπὸ τῶν ἔσωθεν κενοῦται τὸ πικρὸν, ἀλλ' ἐπειδὴ διὰ στεγανοῦ μορίου παρέρχεται τοῦ ὠτὸς, σφηνούμενον σήπεται, θερμαίνεται, καὶ πικρότερον γίνεται

1) περὶ σόσιος Codd.

ιϛ΄. Γῆν ἀμείβειν σύντροφον ἐπὶ τοῖσι μακροῖσι νοσήμασιν. —

Ἀσαφὴς ὁ λόγος, εἰ μὴ οὕτως σαφηνισθείη, ὅτι ποτὲ γίνεται χρόνιον νόσημα ἢ ἐπιληπτικὸν ἢ τεταρταϊκὸν, καὶ συνοῖδεν ἡ τέχνη φλεβοτομίᾳ χρήσασθαι. ἐχρήσατο, οὐδὲν ὠφέλησε· λοιπὸν ἀναγκάζεται εἰπεῖν πρὸς ἑαυτὴν, μᾶλλον τὰ βοηθήματα ταῦτα τὸ χρέος ἔχουσιν ὠφελῆσαι, ὥσπερ πέτραν κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχής. οὐ δεῖ γοῦν ἀλλάσσειν τὰ βοηθήματα, Ἱπποκράτης εἶπε, πάντα κατὰ λόγον ποιέοντα, καὶ ἁπλῶς. οὐκοῦν μὴ ἀλλάξωμεν, ἀλλὰ τοῖς κύκλοις 1) χρησώμεθα. κύκλους δὲ καλοῦσι τὰς πολλὰς γενομένας περιόδους, φλεβοτομίας, καθάρσεις, τοπικὰ βοηθήματα. ἐλήφθησαν πάλιν καὶ πάλιν οὕτως, καὶ διὰ τοῦτο καλοῦνται κύκλοι. ἐχρησάμεθα καὶ οὕτως καὶ οὐδὲν ὠφελήσαμεν· τότε 2) ὀφείλεις ἐννοῆσαι, ὅτι μεῖζον τὸ νόσημα περιεγένετο, καὶ ὁ ἀναπνεόμενος ἀὴρ ἐκράτυνε τὸ πάθος, τότε ὀφείλεις ἀπὸ χώρας εἰς χώραν εἰς κατάστασιν, εἰς ἀέρας συμμεταβαλλομένους συμμεταβαλεῖν. τοῦτο οὖν ἐστι τὸ, ὀφείλεις ἀμείβειν τὴν γῆν σύντροφον, οὐκ ἐν ᾗ ἐτέχθης· οὐδὲν γὰρ ἄτοπον, εἰ ἐν Βυζαντίῳ τινὰ τεχθῆναι, τῷ ἀέρι 3) Ἀλεξανδρείας τραφῆναι· καὶ τοῦτον ὀφείλεις ἀμεῖψαι. τινὲς δὲ εἰς ὑπέρτερον ἀνάγουσι τὸν λόγον, ὅτι ἐὰν ταῦτα ποιοῦντος, μὴ προκόψῃ τὸ νόσημα, μηδὲ ἐπιχειρήσῃς ἔτι θεραπείας, μήπως ἐκ θεομηνίας νοσῇ, καὶ σὺ αὐτὸν θεραπεῦσαι θέλεις, παροργίσῃς τὸ θεῖον, ἀλλὰ ἄπαγε αὐτὸν εἰς τεμένη, εἰς ἱεροὺς τόπους, ἐν οἷς δυνατόν ἐστι κατακαμφθῆναι τὸ θεῖον.

ιζ΄. Τὰ ἀσθενέστερα σώματα ὀλίγῳ χρόνῳ βιοτὴν ἔχει. —

Πολλοὶ γράφουσι σῖτα· φασὶ γὰρ ὅτι εἰσὶν ἰσχυρὰ καὶ ἀσθενῆ βρώματα, καὶ ἰσχυρὰ μὲν καλοῦσι τὰ τρόφιμα, ὡς ὄρχεις ἀλεκτρυόνων, ἀσθενῆ δὲ τὰ μὴ τρέφοντα, ὡς λάχανα καὶ ὄσπρια. καί φησιν ὅτι τὰ πάνυ τρέφοντα τὸ ἡμέτερον σῶμα πλείονα χρόνον ἐν τῷ σώματι ζῶσι· πολὺν γὰρ καιρὸν μένουσι· τὰ δὲ ἀσθενῆ, ὡς μὴ τρέφοντα,

---

1) *χρησόμεθα* L. 2) *ὀφείλῃς* L. 3) *Ἀλεξάνδρου* L.

ταχὺ ἐκκρίνεται, καὶ ὀλίγον χρόνον ζῇ ἐν ἡμῖν. καλῶς ὁ Γαληνὸς ὅτι κακόζηλός ἐστιν ἡ ἐξήγησις τῷ εἰπεῖν ζῆν ἢ μὴ ζῆν σιτία· ἀλλ' ἔδει γράψαι σώματα, ὅτι τὰ ἀσθενῆ σώματα ὀλίγον χρόνον ζῇ, τὰ δὲ ἰσχυρὰ πολὺν, ἐπειδὴ αἱ ἐῤῥωμέναι δυνάμεις ἀντέχουσι καὶ ταῦτα ὅσον ἐπὶ τῇ τέχνῃ. οὐκ ἀγνοοῦμεν δὲ τὴν ὑπερτέραν δύναμιν δι' ἣν πολλάκις ταύτῃ τὰ τῆς τέχνης ψεύδεται· ἐν γὰρ λιμῷ γιγαντιαῖα σώματα ἀπέθανον, τὰ δὲ ἀσθενῆ περιεγένοντο. διὰ τοῦτο ἡ τοῦ δημιουργοῦ δύναμις.

ιη'. Κεδμάτων τὰς ἐπὶ τοῖσιν ὠσὶν ὄπισθεν φλέβας σχάζειν.—

Πᾶς οὗτος ὁ λόγος ψευδής. κέδμα γάρ ἐστι διάθεσίς τις περὶ τὴν λαγόνα, ἢ φλεγμονὴ ἢ ῥευματικὴ διάθεσις. φησὶν οὖν ὅτι καὶ ἐπὶ ταύτῃ τῇ διαθέσει τέμνων τὰς ὄπισθεν φλέβας ὠφελήσεις. καὶ ποία συγγένεια τῆς λαγόνος καὶ τῶν ὤτων, καὶ ταῦτα τῶν ἐκεῖ ἀγγείων λεπτῶν ὄντων, καὶ τριχοειδῶν καὶ μηδὲν ἀξιόλογον κενῶσαι δυναμένων;

ιθ'. Λαγνείη τῶν ἀπὸ φλέγματος νούσων ὠφέλιμος.—

Ἐν τούτῳ μὲν τῷ τμήματι ὁ Ἱπποκράτης ἤρξατο ἀπὸ φυσικῶν παραγγελμάτων, προέκοψε δὲ εἰς διαγνωστικούς. νῦν οὖν ὁ λόγος διαγνωστικὸς ἢ μᾶλλον θεραπευτικός. λαγνείας γὰρ μέμνηται, τῶν καλουμένων ἀφροδισίων. κέχρηται γὰρ αὐτοῖς ποτε, εἰ καὶ Ἐπικούρῳ οὐ δοκεῖ, ἡμεῖς δὲ αὐτοῖς κεχρήμεθα. τάχα εἰ καὶ ἐκεῖνος μὴ δεχόμενος, ἀλλ' ἡμεῖς γε δεχόμενοι, ἀληθεύομεν· ἐκεῖνος μὲν γὰρ ὡς φυσικὸς φιλόσοφος, οὐκ ἤθελε τὴν ψυχὴν εἰς ῥύπον τοῦ σώματος κατενεχθῆναι, ἡμεῖς δὲ ὡς ἰατροὶ, ἐπειδὴ τότε ὑγείαν ἐποιήσαμεν διὰ τῶν ἀφροδισίων, κεχρήμεθα αὐτοῖς. ἀλλ' ὀφείλομεν ζητεῖν ποίαν ποιότητα ἐντιθέασι τὰ ἀφροδίσια. πάντες οὖν ἐξ ἑνὸς στόματος ἀπεφήναντο, ὅτι ξηραίνουσι. σπέρμα γὰρ τότε ἐκκρίνεται, οὗ ἡ κένωσις τότε ξηρότητα ποιεῖ. περὶ δὲ τῆς ἑτέρας ἀντιθέσεως οἱ μὲν εἶπον ὅτι θερμαίνουσιν, οἱ δὲ ψύχουσι. καὶ οἱ λέγοντες ὅτι τάδε θερμαίνουσι, τάδε φασὶν, ὅτι χύσις 1) ποτὲ γίνεται, ὄγκος εὑρέθη ἐν τῷ προσώπῳ, καὶ πολ-

1) τοτε A. tum C.

λάκις ἀναστόμωσις ἀγγείου ἀπαντᾷ τῇ θερμασίᾳ. οἱ δὲ λέγοντες ὅτι ψύχουσι, φασὶν ὅτι σὺν τῷ σπέρματι καὶ ζωτικὸν πνεῦμα 1) κενούμενον ψύξις ἀκολουθεῖ. καλῶς δὲ ὁ Γαληνὸς, ὅτι ἀμφότερα δεξόμεθα· θερμαίνουσι γὰρ κατὰ ποιότητα, ψύχουσι δὲ κατ᾽ οὐσίαν. λέγει οὖν Ἱπποκράτης, ὅτι ἐάν ἐστι πολὺ φλέγμα ἐν τῷ σώματι, δεῖ ποιεῖν θεραπείαν καὶ διὰ λαγνείης. ἡ γὰρ θερμασία ἐκείνη δύναται χύσαι καὶ ἐξενεγκεῖν τὸ φλέγμα. φλέγμα δὲ λέγει οὐ τὴν φλόγωσιν, ἀλλὰ τὸν ψυχρον καὶ ὑγρὸν χυμόν. τὰ γοῦν ἐκ τούτου νοσήματα δύνανται παῦσαι τὰ ἀφροδίσια. ἀλλὰ τοῦτο λέγει ὁ Ἱπποκράτης ὅτι ἐν τοῖς νοσήμασι τοῖς ἀπὸ φλέγματος παραλαμβάνεται. οὐ γὰρ δήπου ἐπὶ τῇ ταραχῇ καὶ τῷ κινδύνῳ εἶχε παραλαβεῖν τὰ ἀφροδίσια. ἀλλὰ πολλάκις ἐστὶ τὸ σῶμα δοκοῦν ἔχειν ὑγείαν, φλέγμα δὲ αὐτῷ τεθησαύρισται, καὶ κίνδυνος ἀνάψαι νόσημα· τότε οὖν προφυλαττόμενος τὰς μελλούσας γενέσθαι νόσους, ἀφροδίσια προσέταξεν. ὠφέλιμον γάρ.

κ΄. Θερμοκοιλίοισιν ἰσχυρὰ ἢ βρωτὰ ἢ ποτὰ ταρακτικά. —

Σαφὴς οὗτος ὁ λόγος. θερμοκοιλίας γὰρ μέμνηται. ὡς εἴρηται γὰρ, θερμὸν λέγει. λέγεται γὰρ καὶ αὐτὴ ἡ ποιότης, καὶ τὸ θερμαινόμενον σῶμα, καὶ τοῦτο κατ᾽ οὐσίαν, ἢ κατὰ ποιότητα. νῦν οὖν λέγει περὶ μορίου τεθερμασμένου κατὰ ποιότητα. θερμοτέραν γὰρ ὑποτίθεται τὴν κοιλίαν, τὴν σιτοδόχον. ταύτῃ οὖν τῇ γαστρὶ τὰ ἰσχυρὰ βρώματα ἐπιβουλεύει. ἰσχυρὰ δὲ λέγει τὰ ἔχοντα βαρεῖαν ὀσμὴν, 2) οἷον ὅσα ἔχουσι σκορόδων, κρομμύων, πράσων. ταῦτα γὰρ ἐπιβουλεύει τῇ θερμῇ γαστρὶ, καὶ οὐ διὰ τὴν ὀσμὴν, ἀλλ᾽ ὅτι ὅσα ἔχουσι βαρεῖαν ὀσμὴν, ταῦτα καὶ θερμά εἰσιν. εἰ δώσεις οὖν θερμῇ γαστρὶ βρώματα, ἐπὶ πυρὶ πῦρ ἀνάπτεις, ἔνθεν καταβάλλεται καὶ κλονεῖται ἡ δύναμις. διὸ ταρακτικὰ ταῦτα ἐκάλεσε τῆς δυνάμεως. εἰ γὰρ τὰ θερμὰ καταβάλλοντα τὴν δύναμιν οὐ πέττεται, λοιπὸν διαφθειρόμενα ἐκταράσσει τὴν γαστέρα, καὶ διάῤῥοιαν ποιεῖ.

κά. Μελαίνης χολῆς ἐς ὅμοιον αἱμοῤῥοΐδος. —

---

1) καλούμενον L. 2) Apud Crassum pauca desunt.

Ἀσαφὴς πάνυ ὁ λόγος. τοῦτο ἐνδείκνυται, ὅτι ποτὲ μέλαινα χολὴ πλεονάζει. μέλαιναν δὲ χολὴν καλεῖ τὸν μελαγχολικὸν χυμόν. εἰ οὖν τοῦτον μὴ δυνηθῇς ἐκμοχλεῦσαι, ποίησον αἱμοῤῥοΐδας. διὰ τούτων γὰρ εἴωθε τὸ παχύτερον καὶ μελαγχολικώτερον κενοῦσθαι. ὁ λόγος οὖν ἐκληπτικός ἐστι τῇ προθέσει, τὰ ἀπὸ μελαίνης χολῆς νοσήματα. ἐὰν οὖν θελήσῃς τὸ σῶμα εἰς τὸ ὅμοιον ἄγειν τουτέστιν εἰς τὸ κατὰ φύσιν καὶ σύμμετρον αὐτῷ, αἱμοῤῥοΐδας θεράπευσον, καὶ ἁπλῶς εἰπεῖν, τοῦτο 1) λέγει ὅτι τὰ ἀπὸ μελαίνης χολῆς κάμνοντα σώματα εἰς τὸ ὅμοιον ἄγων, τῇ αἱμοῤῥοΐδι θεράπευσον.

κβ'. Τὰς ἐπαυξέας νόσους μίξις ψύχει· ψύξις τὰς κάτω κοιλίας σκληρύνει. —

Ἐπαυξέας νόσους λέγει ὁ Ἱπποκράτης τὴν γενομένην ἐν τοῖς αὐξανομένοις παιδίοις ἐπιληψίαν. αὕτη οὖν εἰ μὲν ἀκμάζουσι γένηται, ἀθεράπευτος· εἰ δὲ παιδίοις, θεραπεύεται. ἔρχεται οὖν ἡ ἀκμαστικὴ ἡλικία, καὶ τὸ ἀπὸ ταύτης θερμὸν διαλύει τὸ ψυχρὸν τοῦ φλέγματος. πρὸς δὲ τούτοις, τῆς ἀκμαστικῆς ἐλθούσης ἡλικίας, καὶ παυσαμένης τῆς αὐξητικῆς, τὸ πλεονάζον φλέγμα ἄρχεται, ἐκκρίνεσθαι καὶ διὰ τῆς μίξεως δύναται διαλυθῆναι ὁ ψυχρὸς ἐκεῖνος χυμὸς, καὶ ψύχεται. ψύχεσθαι δὲ λέγει ὁ Ἱπποκράτης τὸ ἀπόλλυσθαι, τὸ ἀναιρεῖσθαι. ἐπειδὴ γὰρ οἶδεν, ὡς τὴν ἡμετέραν φύσιν καὶ ἡ θερμασία καὶ ἡ ψύξις ἐπιβουλεύει,μᾶλλον δὲ ἡ ψύξις· ἔνθερμος γάρ ἐστιν ἡ ἡμετέρα φύσις· διὰ τοῦτο ὁ Ἱπποκράτης τὴν ἀναίρεσιν ἐπὶ παντὸς πράγματος ψύξιν καλεῖ. οὕτως οὖν καὶ ἐνταῦθα εἶπεν, ὅτι ἡ μίξις τὸ φλέγμα ψύχει, οὐχ ὅτι ψυχρὸν ποιεῖ· οὕτω γὰρ ηὔξανε τὴν ἐπιληψίαν· ἀλλ' ὅτι διαλύει καὶ κτείνει τὸν χυμόν. λοιπὸν τὸ ἑξῆς ἀσαφὲς, ὅτι ἡ ψύξις τὰ κατὰ κοιλίην σκληρύνει, τουτέστι σκληροτέραν ποιεῖ τὴν κόπρον· ἡ γὰρ ψύξις πυκνοῖ τὴν ἐπιφάνειαν. ἔνθεν εἴρηται αἱ κοιλίαι 2) χειμῶνος. ἀποκεκλεισμένη ἔσω ἡ θερμασία, ἀνιμᾶται τὴν ὑγρότητα τῆς κόπρου, καὶ σκληροτέραν αὐτὴν ποιεῖ. ἢ ὅτι ἡ ψύξις εἰσερχομένη παρὰ τὰ ἐν βάθει μόρια, διὰ

---

1) *λέγειν* L. 2) hyeme calidiores C.

τῆς ἀναπνοῆς πλήττει τὰ ἔντερα, πλέον δὲ τὸν μῦν, τὸν ἐν τῷ ἀπευθυσμένῳ· ἐκεῖνος γὰρ ἐκ τῆς ψύξεως πυκνούμενος, οὐκ ἐνδίδωσι τῇ κόπρῳ κενωθῆναι, καὶ ἐκείνη μένουσα σκληρύνεται· ἢ ὅτι, ὡς εἴρηται ὁ βοῤῥᾶς σκληρύνει τὴν κοιλίαν· τῇ γὰρ ψύξει συνάγων τὰ μόρια, ἐκπυρηνίζει τὴν ὑγρότητα, ἔνθεν σκληροτέρα ἀπὸ τῆς ψύξεως γίνεται ἡ κόπρος.

κγ΄. Ἐλλέβορον πιόντα θᾶσσον καθαίρειν ἢν ἐθέλῃς, λούειν ἢ φαγέειν. —

Σαφὴς ὁ λόγος. γενικὸν τὸ παράδειγμα· τὰ σώματα 1) χρή· εὔροιαν δὲ ποιοῦμεν, καὶ τὸ περιέχον εὐρύνοντες, καὶ τὸ περιεχόμενον λεπτύνοντες. εἰ δὲ τοῦτο ἐπὶ παντὸς καθαρσίου, μᾶλλον δεῖ αὐτὸ ποιῆσαι ἐπὶ τοῦ ἐλλεβόρου, τηλικαύτην ἔχοντος κακίαν. πῶς δὲ γένοιτο ἡ εὔροια; ἔσωθέν τε καὶ ἔξωθεν. τῶν μὲν ἔσωθεν παράδειγμα τροφαί, τῶν δὲ ἔξωθεν βαλανεῖα. ταύτην οὖν τὴν προφυλακὴν ἐνδεικνύμενος ὁ Ἱπποκράτης, εἶπε π ι ό ν τ α. καὶ ἑτέρα φαίνεται ἡ ἐξήγησις ὅτι ποτὲ δοῦναι ἐλλέβορον εἰ τύχοι περὶ μεσημβρίαν, ἀλλὰ πρὸ τῆς δύσεως περὶ ὥραν δευτέραν ἐπὶ τρίτην ἐπιτάσσω βαλανεῖον, ὥσπερ καὶ ἐπὶ τῶν φλεβοτομουμένων. πολλάκις γαρ καὶ πρὸ τῆς φλεβοτομίας λούομεν, ἵνα χυθῇ ἡ ὕλη, καὶ εὐρυνθῶσι τὰ ἀγγεῖα. τοῦτο καὶ ἐπὶ τοῦ ἐλλεβόρου. πρὸ γὰρ τῆς δόσεως 2) ἡμερῶν δέκα ἢ πεντεκαίδεκα παράσχωμεν ὀξύμελι καὶ τροφὰς δυναμένας λεπτῦναι· ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ ἐν ᾗ μέλλομεν δοῦναι καθάρσιον, λούομεν ἵνα μόνον χύσωμεν τὸν χυμὸν, εἰ ὑποπτεύσομεν ὅτι ἐξαίφνης ἐπαχύνθη. εἶτα μετὰ τὴν δόσιν φοβοῦμαι, μήπως μετὰ τὴν κίνησιν καὶ τὴν κένωσιν τοῦ χυμοῦ τραπῇ ὁ ἐλλέβορος κατὰ τῆς οὐσίας τῆς γαστρὸς, ἢ καὶ εὐαίσθητος ὢν ὁ στόμαχος, λόγῳ σπαραγμοῦ κινδυνεύσει λειποθυμῆσαι, παρέχομεν τροφὴν τὴν δυναμένην μαχέσασθαι πρὸς τὴν κακίαν τοῦ φαρμάκου. ταῦτα δὲ οὐ δεόντως τροφὴν παρέχομεν, ἀλλ᾽ ἐν ὀνόματι τροφὴν, τὴν φάρμακον ποιοῦσαν, ἤτοι θριδακίνην, πτισάνην, καὶ οὐδὲ ταύτην πολλὴν, φοβούμενοι μήπως κα-

1) Om. καθαίρειν. 2) Fort. om. διά.

ταλύσωμεν τὴν δύναμιν τοῦ φαρμάκου, καὶ κενωθῇ ἀνοήτως. ἔνθεν οἱ μεταγενέστεροι εὐκράτῳ κέχρηνται μόνῳ. ἀμφοτέρας οὖν ὁ Ἱπποκράτης τὰς 1) ἐξηγήσεις, διὰ μὲν τοῦ εἰπεῖν πιόντα, ὅτι μετὰ τὴν πόσιν δεῖ τρέφειν, διὰ δὲ τοῦ φαγεῖν καὶ λούειν, τὴν προφυλακήν. 2) ἡ γὰρ ποιότης τῆς λέξεως πλῆθος ἐνδείκνυται. πολλὴν δὲ τροφὴν οὐκ ἂν παρεῖχεν Ἱπποκράτης 3) ἐν τῷ καθαρσίῳ, ἀλλὰ πρὸ τοῦ ἐλλεβόρου.

κδ΄. Τὸ αἷμα ἐν ὕπνῳ μᾶλλον εἴσω φεύγει. —

Εἴρηται οὗτος ὁ λόγος ἄνω, ὅτι ἐγρήγορσις θερμότερα τὰ ἔξω, τὰ δὲ ἔσω ψυχρότερα· καθευδόντων δὲ, τὰ ἐναντία. ἐν γὰρ τῷ ὕπνῳ εἴσω ῥέπει τὸ αἷμα. ἔνθεν καὶ περιβλημάτων δεόμεθα, ὡς ψύξεως οὔσης ἐν τῇ ἐπιφανείᾳ. οὐκ ἔστι δὲ ἄπορον, πῶς ἄνω εἶπε τὴν ἔμφυτον θερμασίαν, καὶ ἐνταῦθα εἶπεν αἷμα. ὁ γὰρ τοῦ ἑνὸς μνημονεύων καὶ θατέρου μέμνηται.

κε΄. Ῥῖγος ἀπὸ τῆς ἄνω κοιλίης, πῦρ δὲ ἀπὸ τῶν κάτω μᾶλλον. —

Τέως δεῖ εἰδέναι, ὅτι ὁ λόγος τῶν ἐπὶ πολὺ ἐστιν, ὡς μαρτυρεῖ τὸ μᾶλλον. λέγει δὲ ὅτι τὸ ῥῖγος ἄρχεται ἀπὸ τῆς ἄνω κοιλίας, ὁ δὲ πυρετὸς ἀπὸ τῆς κάτω. ἄνω δὲ λέγει κοιλίαν τὸν στόμαχον, κάτω δὲ τὰ ἔντερα, οὐχ ὥς τινές φασιν, ἄνω μὲν κοιλίαν τὸν θώρακα, κάτω δὲ τὴν γαστέρα, ἢ ἄνω μὲν κοιλίαν τὸν ἐγκέφαλον, κάτω δὲ τὸν θώρακα, ἀλλὰ τὸν στόμαχόν φησι καὶ τὰ ἔντερα. ἐκ γὰρ τοῦ στομάχου ἄρχεται τὸ ῥῖγος. καὶ οὐκ ἔστιν ἄπορον· εἶπεν ἄνω, τὸ ῥῖγος ἐξ ὀσφύος ἄρχεσθαι. νῦν οὖν τὸ ῥῖγος ἀπὸ τοῦ στομάχου. ἄνω γὰρ ἐμπρόσθια ὀπισθίοις παρέβαλε, νῦν δ᾽ ὀπίσθια ἐμπροσθίοις, καί φησιν, ὅτι οἴδαμεν καὶ ἀπὸ στομάχου καὶ τῶν ἐντέρων ἄρχεσθαι ῥῖγος, μᾶλλον δὲ ἀπὸ τοῦ στομάχου, ὅτι εἰ ἀπὸ ἐντέρων γένηται τὸ ῥῖγος, ἀπὸ ψύξεως δηλονότι, ταύτης δὲ τῆς

---

1) Hippocratis verba suscipiunt. C. 2) Et per hunc sermonem qualitas, non multitudo, indicatur C. 3) ἐν — ἐλλεβόρου om. C.

ψύξεως τὸ ψυχρὸν συναισθάνεσθαι· ψυχρότερος δὲ ὁ στόμαχος, ὡς νευρωδέστερος· διὸ καὶ τοῦ ῥίγους αἰσθάνεσθαι, ὡς εὐαίσθητος μάλιστα. τὰ δὲ ἔντερα τὴν κόπρον δέχονται, ἔνθα εἴωθε γίνεσθαι σῆψις καὶ θερμασία. εἴποτε οὖν γένηται σῆψις σιτίων εἰς τὴν παρακειμένην γαστέρα ἢ χυμῶν εἰς τὸ πλησιάζον, παρ' εὐθὺ ἐκεῖνα συναισθάνονται, καὶ διὰ τοῦτο ἐκεῖθεν ἀνάπτεται ὡς ἐπιτοπλεῖστον ὁ πυρετός.

κϛ΄. Ἐπισπασμὸς ἢν πνεύμων ξηρὸς ἢ καῦμα ὑπέρινον ἰσχναίνει ὕπνος πουλύς. —

Ἐπισπασμοῦ νῦν μέμνηται. ἐπισπασμὸν δὲ νῦν καλεῖ τὴν ἀναπνοὴν καὶ μάλιστα τὴν εἰσπνοὴν διὰ τὸ ἐπισπᾶσθαι ἀέρα. λέγει οὖν ὁ Ἱπποκράτης ὅτι εἴ τινι ἐξαίφνης πυκνοτέρα γένηται ἡ ἀναπνοὴ, πάντως θερμασία 1) ἐμφωλεύει ἐν τοῖς θωρακικοῖς καὶ ξηραίνει. πάντα δὲ τὰ θωρακικὰ θέλων ἐνδείξασθαι, ἐμνημόνευσε πνεύμονος, οὐ μάτην. εἰ γὰρ ὁ πνεύμων ὁ φύσει ὑγρὸς ξηρότητος συνήσθετο, τί χρὴ προσδοκῆσαι τὰ ξηρότερα τῶν μορίων; ὑπέρινον ἰσχναίνει ὕπνος πολύς. ὑπέρινον καλεῖ τὸ κατεξηρασμένον καὶ 2) κενωμένον σῶμα, ὅπερ ὕπνος εἴωθεν ὑγραίνειν. πλὴν οὐχ ὁ ὕπνος, ἀλλ' ἡ ἐν τῷ ὕπνῳ πέψις ἐξ αἵματος, καὶ τρεφόμενον ἕκαστον τῶν μορίων ὑγραίνεται. ὑγραίνει δὲ πότε; ὅτε μετὰ τροφὴν δοθῇ, ἵνα ἡ θερμασία ἀσχοληθῇ περὶ τὴν πέψιν τῶν σιτίων. εἰ δὲ ἐν κενωμένῳ καὶ κατεξηρασμένῳ σώματι ὁ ὕπνος εἴωθεν ὑγραίνειν, ἐπιτάξομεν ὕπνον· τότε ἡ θερμασία μὴ εὑρίσκουσα ὑγρότητα, κατ' αὐτῆς τῆς χρηστῆς τρέπεται καὶ τότε ξηραίνει. καὶ εὑρίσκεται ὁ ὕπνος κατὰ συμβεβηκὸς ξηράνας, καὶ μάλιστα εἰ εἴη πολύς. εἰ γὰρ ἔξω ἐξήρανται τὸ σῶμα, πάντως ἔχει τινὰ ἰκμάδα. ταύτην οὖν ὁ μακρὸς ὕπνος δαπανᾷ, ὁ δὲ πολὺς τὴν χρηστήν.

κζ΄. Ψυχρότατον βρῶμα φακοὶ, κέγχροι, κολοκύντη. —

Οὐδεμιᾶς ἐξηγήσεως δέεται ὁ λόγος, τοῦτο δὲ μόνον δεῖ εἰπεῖν, ὅτι ἴσως οὐκ ἠκριβολογήσατο ἐνταῦθα Ἱππο-

---

1) ἐμφωνεύει L. 2) Omissa reduplicatione.

κράτης, ψυχρότατον βρῶμα εἰπὼν τὴν φακήν. ἤρκει γὰρ εἰπεῖν ψυχράν. ἡ δὲ φακὴ ἐναντίαν ἔχει τὴν ποιότητα, ὥσπερ καὶ ἄλλα πολλὰ, ἐκ φύσεως κατὰ διάφορα μέρη διαφόρους ἔχοντα κράσεις, ὥσπερ τὸ κίτρον· θερμὴν γὰρ ἔχει κρᾶσιν εἰς τὸ ἔξω μέρος, ὃ καὶ θερμότερόν ἐστι, ψυχρὸν δὲ αὐτοῦ τὸ ὀξῶδες. οὕτω δὴ καὶ ἡ κέγχρος, ξηραίνει μὲν ἡ σκληρὰ, ὑγραίνει δὲ ἡ ἁπαλή· οὕτω καὶ ἡ φακὴ καὶ θερμαίνει καὶ ψύχει· ἔνθεν καὶ συστέλλει τὴν γαστέρα, ὡς ψυχρὰ, καὶ ὑπάγει, ὡς θερμή. ἀλλ' ἐν μὲν τῷ λεπύρῳ τὴν θέρμην ἔχει, ἐν δὲ τῇ οὐσίᾳ τὴν ψύξιν.

κη'. Ἕλκεα 1) ἐκθύουσιν, ἢν ἀκάθαρτος ἐὼν πονήσῃ. —

Ἄλλον τινὰ λόγον νυνὶ ἐκτίθεται, καὶ κελεύει σοι μηδέποτε περιττωματικὸν σῶμα γυμνάζειν, μήποτε ἐξ ἐκείνης τῆς κινήσεως ἐπὶ τὰ ἔξω ἐρχομένη ἡ ὕλη εὕροι στεγανὸν τὸ δέρμα, καὶ ἐκεῖ μένουσα λόγῳ διαβρώσεως ποιήσῃ ἕλκη. ἔνθεν Ἱπποκράτης ἐκ τοῦ γινομένου τὸ ποιοῦν ἐδήλωσεν· οὐδὲ γὰρ τὰ ἕλκη ἔξω θύουσιν, ἀλλ' ἡ ὕλη ἡ ποιοῦσα τὰ ἕλκη. καὶ αὐτὸς μὲν εἶπε τὸ μετριώτατον κακὸν, σὺ δὲ εἰπὲ τὸ μεῖζον, ὅτι οὐ μόνον ἕλκη ποιεῖ τοῦτο τὸ γυμνάσιον, ἀλλὰ καὶ πνιγμοὺς καὶ ἀγχόνας.

κθ'. Γυνὴ, αἲξ, ἐλατήριον, σικύων ἀγρίων βεβρωκυῖα, παιδίοισι κάθαρσις. —

Ὥσπερ ἀπὸ τῶν φυσικῶν λόγων ἐν τούτῳ τῷ τμήματι ἤρξατο ὁ Ἱπποκράτης, οὕτω θέλει τελευτῆσαι καὶ εἰς φυσικούς. καὶ νόμιζε αὐτὸν λέγειν, ἀνδρῶν μὲν ἐφρόντισα καὶ γυναικῶν, 2) ἄρα δὲ τῶν παίδων, ὅτι οὔτε ἐπαινέσαι οὔτε ψέξαι οἴδασιν. ἀλλὰ τοῦτο οὐκ ἔστι φιλανθρωπίας. φροντίσωμεν οὖν καὶ αὐτῶν. εἰσήλθομεν οὖν ποτε πρὸς παιδίον· τοῦτο δὲ ἦν ὑπότιτθον, πολλῇ δὲ ἐμφράξει κατείχετο· ἠθελήσαμεν οὖν αὐτὸ διὰ καθάρσεως ἐκφράξαι, ἀλλ' οὐκ 3) ἐδίδου ἡλικία. πλὴν οὐκ ἐγένετο ἄπορος ἡ θεραπεία· ἔστησε γάρ μου τὸ πάθος ὁ Ἱπποκράτης. τῇ γὰρ μητρὶ δέδωκα τὸ καθάρσιον, ὃ ἂν σύνοιδα, ὅπερ ἐστὶν ἐλατήριον. ἐλατήριον δέ ἐστιν ἢ ὀπὸς ἢ χυλὸς σιλφίου. πολλάκις δὲ ἡ θηλάζουσα οὐ δύναται λαβεῖν τὸ καθάρσιον ἢ διά

---

1) ἐκθέουσιν Codd. 2) Fort. ἀλλ' οὐδὲ. 3) ἐκδίδου I₁.

τι πάθος ἢ ὅτι οὐκ εἴθισται, τότε φέρω αἶγα καὶ τρέφω αὐτὴν καθαρτηρίοις βοτάναις, ὥσπερ ἐν Περγάμῳ. ἐκεῖ γὰρ ἀλόην καὶ σκαμμωνίαν βοσκομένων τῶν αἰγῶν, δύναμιν καθαρσίου ἔχει τὸ γάλα. καθαρτικὰς οὖν βοτάνας δὸς τῇ αἰγὶ, οἷον σίκυον ἄγριον, καὶ ἐκ τοῦ γάλακτος ταύτης τρεφόμενον τὸ ἔμβρυον καθαίρεται. εἰ οὖν τοῦτο οὕτως ἔχει, φυσικός ἐστιν ὁ λόγος, ὅτι οὐ τῶν πασχόντων μόνον ἐστὶν ἡ τροφὴ, ἀλλὰ καὶ τῶν δρώντων, καὶ τῶν ἀλλοιούντων ἡμᾶς. ἰδοὺ γὰρ αἱ βοτάναι τὸ γάλα μετέβαλον, ὥσπερ καὶ διάφορος γῆ ἀμείβει τὴν δύναμιν τῶν καρπῶν. ἐν Περσίδι γὰρ ἡ περσέα δηλητήριος, ἀλλ᾽ ἐνταῦθα τρόφιμος, ταύτης τῆς γῆς 1) ἀπολαύσασα.

λ'. Ἐνθέρμῳ βρωθὲν ἔνδοθεν ψύξις, ἔξωθεν πόνος, ἡλίῳ, πυρὶ, ἐσθῆτι ὥρῃ θερινῇ· τῷ δ᾽ ἐναντίῳ ἐναντία. —

Ἔνθερμον φύσιν νῦν βούλεται θεραπεῦσαι. θεραπεύει δὲ αὐτὴν ψύχων ἔνδοθέν τε καὶ ἔξωθεν· ἀλλ᾽ ἔνδοθεν μὲν διὰ τροφῶν, ἔξωθεν δὲ, οὐχ ὥς τινές φασιν, δι᾽ ἡλίου καὶ ἐσθῆτος καὶ γυμνασίων, ἵνα τὸ κατὰ συμβεβηκὸς ἐνδείξηται, ὡς διαφορεῖται ἡ θερμασία. ἀλλ᾽ οὐκ ἀνέχεται ὁ Γαληνός· φησὶ γὰρ ὡς οὐκ ἂν Ἱπποκράτης γυμνάσια παρέλαβεν ἐν θερμῇ φύσει, εἰπὼν ἐλιννύειν. ἀλλά φησιν, ἔξωθεν μὲν ψύξον καὶ ἔσωθεν. 2) μὴ κέχρησο δὲ ἡλίῳ θερινῷ ἢ ἐσθῆτι ἢ πόνῳ· ταῦτα γὰρ πόνος ἐστὶ τῇ θερμῇ γαστρὶ, τὴν δὲ ψυχρὰν γαστέρα 3) ἔσωθεν μὲν θέρμανον, ἔξωθεν δὲ διὰ πόνου καὶ ἡλίου θερινοῦ καὶ ἐσθῆτος θεράπευσον.

λα'. Βρώματα τὰ μὲν ταχέως κρατεῖται, τὰ δὲ βραδέως.—

Σαφὴς ὁ λόγος. καὶ οὐ διὰ τοῦτο εἶπεν αὐτὸν ὁ Ἱπποκράτης, ἵνα γνῷς ὡς τῶν βρωμάτων τὰ μὲν βραδέως, τὰ δὲ ταχέως κρατεῖται. τοῦτο γὰρ καὶ 4) πάντῃ ἦν δῆλον ὡς οὐχ, ἃ ἐν ὑγείᾳ ὀλίγον χρόνον ἐκρατεῖτο, ταῦτα καὶ ἐν νόσῳ, ἀλλὰ πᾶν πρὸς τὴν ἑαυτοῦ φύσιν, πρὸς τὴν

---

1) ἀπολαύσασθαι L. 2) καὶ loco μὴ L. 3) ἔξωθεν Codd. interius C. 4) Fort. παντί.

φέρουσαν δύναμιν, πρὸς τὸν καιρὸν, ἐν ᾧ δίδοται, ἢ βραδέως ἢ ταχέως κρατεῖται.

ΑΡΧΗ ΤΟΥ ΕΚΤΟΥ ΤΜΗΜΑΤΟΣ.

α΄. Σάρκες ὁλκοὶ καὶ ἐκ κοιλίης, καὶ ἔσωθεν καὶ ἔξωθεν δῆλον αἰσθήσει ὡς ἔκπνοον καὶ εἴσπνουν. —

Πάλιν ἀρχόμενοι τοῦ ἕκτου τμήματος διδάσκομεν ὡς πρὸ πάντων ἐπρέσβευσεν Ἱπποκράτης, ἐκ φύσεως διοικεῖσθαι τὰ ἡμέτερα σώματα. ἡ γὰρ φύσις ἐποίησε τὰ σώματα, καὶ οὐχ ὥσπερ λιθοξόος ἐποίησε καὶ ἀνεχώρησεν ἡμᾶς, οἶκον ἑαυτῆς, ἵνα ἐν αὐτοῖς κατοικοῦσα φροντίζῃ αὐτῶν· 1) φροντίζε, δὲ διὰ τῶν φυσικῶν δυνάμεων, ἃς ἠρνήσατο μὲν Ἐρασίστρατος, κατέθετο δὲ ὁ Γαληνὸς, ἐδίδου δὲ Ἱπποκράτης. νῦν γὰρ φαίνεται πρεσβεύων τὴν ἑλκτικὴν, τὴν προτεταγμένην πασῶν τῶν φυσικῶν· λέγει γὰρ ὅτι αἱ σάρκες ὁλκοί εἰσι τουτέστιν ἑλκτικὴν ἔχουσι δύναμιν, οὐχ ὥσπερ ἔλεγεν Ἐρασίστρατος, ὅτι διὰ τῶν φλεβῶν ἀναδίδοται εἰς πᾶν τὸ σῶμα τὸ αἷμα, ὥσπερ διά τινων σωλήνων, καὶ οὕτω δίκην ἀψύχου ὡς εἴς τινα δεξαμενὴν ἐγχεουσῶν τὸ αἷμα τῶν φλεβῶν, τρέφει τὸ μόριον. οὐκ ἀνέχεται δὲ Ἱπποκράτης, ἀλλ᾿ ὅτι ἑλκτικὴ δύναμίς ἐστιν ἐν ταῖς σαρξί. σάρκας δὲ καλεῖ οὐ μόνον τὴν μυώδη οὐσίαν, ἀλλὰ πᾶσαν οὐσίαν ἁπαλὴν, ἀντιδιαιρούμενος χόνδρους καὶ ὀστέα. πᾶσα οὖν σὰρξ ἕλκει, ἕλκει δὲ ἐκ τῆς παρακειμένης κοιλότητος, ἕλκουσι τὰ μόρια, καὶ τούτου γινομένου κατὰ τὸ συνεχὲς, ἡ ὄρεξις φθάνει παρὰ τὸν στόμαχον. ἀλλ᾿ οἶδεν ὁ Ἱπποκράτης καὶ τὴν φυσικὴν διοίκη-

1) φροντίζῃ A.

σιν καὶ τὴν ἐξ ἀνάγκης γινομένην· ἡ γὰρ φυσικὴ διοίκησις θέλει ἀπὸ τῶν ἔσω ἔξω ἕλκεσθαι τὴν τροφὴν, ἵνα παρέχηται ἡ τροφὴ ἐν γαστρὶ καὶ ἐκεῖ χιλοποιουμένη ἀναδοθείη παρὰ τὸ ἧπαρ, κἀκεῖσε ἐξαιματωθείη. ἡ γοῦν φύσις ἐκ τῶν ἔσω ἔξω πέμπει τὴν τροφὴν, πολλάκις δὲ ἐν περιστάσει ἐν ἐνδείᾳ τροφῆς τὸ ἐναντίον γίνεται, καὶ τὸ ἧπαρ ἕλκει τὴν ἁρμόζουσαν τροφὴν ἀπὸ τοῦ δέρματος. ἢ οὖν τοῦτό φησιν, ὅτι τὸ μὲν ἔσωθεν ἀπέδωκε τῇ φύσει, τὸ δὲ ἔξωθεν τῇ περιστάσει, ἢ καὶ τὸ ἔσωθεν καὶ τὸ ἔξωθεν ἐν τῷ κατὰ φύσιν. εἰρήκαμεν οὖν πῶς αἱ σάρκες ἀπὸ τῶν ἔσω ἔξω ἕλκουσιν. ἀλλὰ καὶ πνεῦμα ἀπὸ τῶν ἔξω εἰσφέρεται, ὡς ἐπὶ τῆς ἀναπνοῆς· ἐν γὰρ τῇ εἰσπνοῇ πνεῦμα εἰσφέρεται. λέγει ὁ Γαληνὸς ὅτι οὐ μόνον πνεῦμα ἐκ τῶν ἔξω ἔσω εἰσφέρεται, ἀλλά ποτε καὶ ὑγρότης. ποτὲ γάρ τις ὁδοιπορήσας κατεξηράνθη, ὡς δίψῃ ἀμέτρῳ συνέχεσθαι. δραμὼν εἰς τὸ βαλανεῖον τὴν δίψαν ἔπαυσεν, ἐξ οὗ δῆλον, ὅτι τὸ δέρμα ὑγράνθη, ἐξ οὗ αἱ παρακείμεναι σάρκες, καὶ τούτου γινομένου κατὰ τὸ συνεχὲς, ἔφθασεν ἡ ὑγρότης παρὰ τοὺς ὀρεκτικοὺς πόρους, καὶ ἔσβεσε τὴν ξηρότητα. λέγει δὲ ὁ Ἱπποκράτης, ὅτι τοσοῦτον καὶ ἐκ τῶν ἔξω ἔσω τι εἰσφέρεται, ὅτι τοῦτο οὐδὲ λόγου δέεται δεικνύοντος. εἴσπνοον γὰρ καὶ ἔκπνοόν ἐστι τὸ ζῶον, ἵνα εἴπω τὴν ἀναπνοήν. καὶ διὰ μὲν τῆς εἰσπνοῆς ἐπρέσβευσε τὴν ἑλκτικὴν, διὰ δὲ τῆς ἐκπνοῆς τὴν ἀποκριτικήν. ἐμνημόνευσεν οὖν Ἱπποκράτης τῶν ἄκρων δυνάμεων, ἑλκτικὴν καὶ ἀποκριτικὴν, ἵνα σὺ συνεπινοήσῃς τὰς μέσας, τὴν καθεκτικὴν καὶ ἀλλοιωτικήν.

β΄. Ἐνθερμότερον φλέβιον αἵματος πλήθει ἀνίσχει το καυσῶδες, καὶ εὐθὺς ἀποκρίνει, καὶ οἷσι τὸ μὲν πῖον, χολὴν ξανθὴν, τὸ δ᾽ αἷμα μέλαιναν. —

Τινὲς τοῦτον τὸν λόγον τοῦ ἄνω ἐχώρισαν, καί φασιν ὅτι ἄνω μὲν φυσικὰ ἔλεγε θεωρήματα, ἐνταῦθα δὲ διαγνωστικά. καὶ καυσώδη ὑποτίθεται πυρετὸν τὸν διττὸν, ὡς ἐδήλωσεν αὐτὸς ἐν τῷ ὑστέρῳ τοῦ περὶ διαίτης ὀξέων. ὁ δὲ Γαληνὸς συνάπτει αὐτὸν τῷ ἀνωτέρω καί φησιν, ὅτι ἐπειδὴ εἶπεν Ἱπποκράτης ὡς ἐστιν ἀποκριτικὴ δύναμις ἐν τῇ πνοῇ, θέλει ὅλως δεῖξαι, πῶς γίνεται ἡ ἐκπνοή. ἀλλα

πρότερον ὀφείλομεν εἰπεῖν περὶ τῶν ὀνομάτων. τὸ ἐνθερμότερον οὖν δύο σημαίνει, ἢ τὸ πολύαιμον, καθὸ λέγομεν ἧπαρ καρδίας θερμότερον, καὶ τὸ ἔχον ὀλίγον μὲν, καθαρὸν δὲ αἷμα, ὥσπερ λέγομεν καρδίαν ἐναιμοτέραν 1) ἥπατι, καθ' οὗ σημαινομένου νῦν κεῖται. φλέβας δὲ καλεῖ ὁ Ἱπποκράτης τὸ διττὸν γένος τῶν ἀγγείων, καὶ τὸ ἀπὸ καρδίας καὶ τὸ ἐξ ἥπατος ὁρμώμενον. ἐνταῦθα οὖν περὶ τῶν ἀρτηριῶν λέγει, ὅθεν καί φησιν ὁ Γαληνὸς, ὅτι οὐκ ἠκριβολογήσατο ὁ Ἱπποκράτης, αἵματος πλῆθος ἐν ταῖς ἀρτηρίαις. ζητεῖ οὖν ὁ Ἱπποκράτης, πόθεν γίνεται ἡ ἐκπνοὴ καί φησιν, ὅτι ἐν τῇ καρδίᾳ καὶ ἐν ταῖς ἀρτηρίαις αἷμα καὶ πνεῦμα περιέχεται. οὐ πειθόμεθα γὰρ Ἐρασιστράτῳ, μὴ 2) νομίζοντος αἷμα ἐν ταῖς ἀρτηρίαις. ἐπειδὴ οὖν πολὺ αἷμά ἐστιν, ἐκεῖ καὶ περιττώματα χολώδη γεννῶνται, ἃ ἐγείρεται καὶ κενοῖ ἡ ἀποκριτικὴ δύναμις. κενοῖ δὲ εὐθέως. τοῦτο δὲ οὐ μάτην προστέθειται, ἀλλ' οἶδεν Ἱπποκράτης, ὡς ἐγείρεται ἡ ἀποκριτικὴ ἢ διὰ ποσότητα, ἢ διὰ ποιότητα, ἀλλ' ἡ μὲν ποσότης, ὡς ἐν χυμοῖς οὖσα, βραδύτερον ἀποδιώκεται, ἡ δὲ ποιότης, ὡς λεπτὴ, ταχύτερον. ἐν τῇ ἀρτηρίᾳ οὖν ὡς ποιότητος μᾶλλον πλεοναζούσης, διὰ τοῦτο εὐθὺς κενοῦται τὰ περιττώματα, καὶ οὕτως γίνεται ἡ ἐκπνοὴ, ὥστε ἵνα γένηται σαφὴς ὁ λόγος, οὕτω δεῖ αὐτὸν ἀναγνῶναι, ὅτι τὸ ἐνθερμότερον φλέβιον ἀνίσχει τὸ χολῶδες τῷ πλήθει τοῦ αἵματος, καὶ οἷσι τὸ μὲν 3) πῖον, χολὴν ξανθὴν, τὸ δ' αἷμα μέλαιναν. τοῦτο ἐν τῷ μέσῳ. ἐπειδὴ γὰρ εἶπεν, διὰ τὰ χολώδη περιττώματα γίνεσθαι τὴν ἐκπνοὴν, ζητεῖ ὁ λόγος πόθεν γεννᾶται ἡ χολὴ, καί φησιν ὅτι ἐξ αἵματος· ἀλλὰ τὸ μὲν πῖον αὐτῆς ποιεῖ τὴν χολὴν, τὸ δὲ παχὺ τὸν μελαγχολικὸν χυμόν.

γ'. Γνώμης, μνήμης, ὀδμῆς καὶ τῶν ἄλλων καὶ πείνης, ὀργάνων ἄσκησις· πόνοι, λουτρὰ, σῖτα, ποτὰ, ὕπνος, ἀφροδίσια, πάντα μέτρια. —

Ἐπειδὴ ποικιλίαν ἔχει οὗτος ὁ λόγος, τοῦτο τέως δεῖ

---

1) Fort. ἥπατος. 2) Fort. νομίζοντι. 3) πῦον Codd.

εἰπεῖν. ὅτι ἐλλειπτικῶς ἐστι τῇ προθέσει τῇ 1) ἀπὸ τῆς γνώμης γὰρ, ἀπὸ τῆς μνήμης, ἀπὸ τῆς ὀσμῆς δεῖ νοῆσαι. τῶν δὲ ἐξηγητῶν οἱ μὲν εἰς τρία ἔτεμον τοῦτον τὸν λόγον, ἕνα μὲν λόγον ποιησάμενοι, γνώμης, ὀσμῆς, πείνης, καὶ τῶν ἄλλων, δεύτερον δὲ, ὀργάνων ἄσκησις τουτέστιν ἡ τῶν ὀργάνων ἐπιμέλεια διὰ τοῦ συνήθους γενέσθω γυμνασίου, τρίτον δὲ τῶν ἑξῆς. ἕτεροι δὲ δύο λέγοντες, μνήμης, ὀσμῆς καὶ τῶν ἄλλων ὀργάνων καὶ πείνης, λοιπὸν ἕτερον λόγον, ἄσκησις, καὶ τοῦτο ἐδέξαντο ὡς πρόγραμμα, καὶ ἐπήνεγκαν 2) αὐτῷ τὰ λοιπά. ἄλλοι δὲ ὅλον τοῦτον τὸν λόγον ὡς ἕνα λόγον ἔλαβον· ὁ δὲ Γαληνὸς οὐ ζητεῖ τὰ τμήματα, τὴν δὲ ἔννοιαν τοῦ λόγου ἐξετάζει καί φησιν, ὅτι τὰ λεγόμενα ἐνταῦθα δύναται εἶναι καὶ φυσικὰ καὶ διαγνωστικά. φυσικὰ πῶς; ὅταν ἐὰν θέλῃς γενέσθαι φυσικὸς ἰατρὸς, ζήτησον τὸ ἀπὸ τῆς γνώμης, ἵνα γνῷς ὡς ἐν τῷ μέσῳ τέτακται αἰσθήσεων καὶ πείνης καὶ ποίᾳ κράσει χαίρει, καὶ ὅτι τούτῳ κρινόμεθα ἀπὸ τῶν ἀλόγων. τοῦτο γὰρ διαχωρίζει τὸ σύμφορον ἀπὸ τοῦ ἀσυμφόρου, τὸ χρηστὸν ἐκ τοῦ ἀχρήστου. ἔγνως τὰ περὶ τῆς γνώμης· ἐλθὲ καὶ εἰς τὴν μνήμην, καὶ μάνθανε ὡς χαίρει μὲν αὕτη τῇ ξηροτέρᾳ κράσει, τέτακται δὲ ὀπίσω τοῦ λόγου, τὰ παρ᾽ αὐτῷ δόξαντα καλῶς ἔχειν ὥσπερ ἐν * 3) τῇσι θύραις φυλάττουσα. ἐλθὲ λοιπὸν καὶ ἐπὶ τὰς * 4) φθαρτικὰς ἐνεργείας, ἐξ ὧν φύονται αἱ αἰσθήσεις. ἀλλὰ πολλαὶ καὶ διάφοροι αἱ αἰσθήσεις, καὶ τούτων αἱ μὲν ἄτιμοι, αἱ δε τιμιώτεραι· μέση δὲ πάντων ἐστὶν ἡ ὄσφρησις τῇ τε θέσει καὶ τῇ ἀξίᾳ. μάνθανε δὲ περὶ τῶν αἰσθήσεων, ὡς τῇ μὲν ὄψει τὸ πῦρ ὑπόκειται, ἔνθεν καὶ χρωμάτων ἀντιλαμβάνεται, τῇ δὲ ἀκοῇ ὁ ἀὴρ, ἔνθεν ἐκείνη τῶν ψόφων, τῇ δὲ γεύσει τὸ ὕδωρ, ἔνθεν αὐτῇ τῶν χυμῶν, τῇ δὲ ἁφῇ ἡ γῆ, ἔνθεν αὐτῇ τῶν ἁπτῶν ἤτοι τῶν μαλθακῶν καὶ σκληρῶν. ἐπειδὴ δὲ πέμπτον οὐκ ἦν στοιχεῖον, ὀφεῖλον ὑπηρετῆσαι τῇ ὀσφρήσει, ἐμηχανήσατό τι ἡ φύσις. ὥσπερ γὰρ ἡ ὄσφρησις μέσον κεῖται τῆς ἀκοῆς καὶ τῆς γεύσεως, μέσον δὲ ἀέρος καὶ ὕδατός ἐστιν ὁ ἀτμὸς, διὰ τοῦτο ἡ ὄσφρη-

---

1) τῇ ἀπό ἀπὸ τῆς legerim. 2) αὐτὸ A. 3) in thesauro C. ἐν θησαυρῷ. 4) animales C. ψυχικάς.

σις ἀτμῶν ἀντιλαμβάνεται. ταῦτα μὲν οὖν ζήτει ἐν τοῖς ψυχικοῖς. ἔρχου δὲ εἰς τὰ φυσικά. ἀλλὰ τῶν φυσικῶν προηγεῖται ἡ πεῖνα. διὸ ταύτης ἐμνημόνευσε. καὶ μάνθανε ὅτι σύνθετόν τί ἐστιν ἡ πεῖνα ἐξ ἐνδείας μὲν τοῦ παντὸς σώματος, συναισθήσεως δὲ καὶ ὀρέξεως τοῦ στομάχου. καὶ ἵνα μὴ τοῖς κατὰ μέρος ἐνδιατρίβῃ, ὁ βραχυλόγος Ἱπποκράτης ἔφη, καὶ τῶν ἄλλων, ἵνα σὺ ζητῇς τὰς φυσικὰς δυνάμεις, τὰς ζωτικὰς, καὶ πᾶν ὃ γέγονεν ἐκ τῆς φύσεως. λοιπὸν ζήτει καὶ ἄλλα φυσικὰ, τὴν ἄσκησιν τῶν ὀργάνων, ἵνα ἕκαστον μόριον τῷ συνήθει γυμνάζῃ γυμνασίῳ, μύας μὲν τῇ κινήσει, γαστέρα δὲ τῇ χιλοποιήσει, ἧπαρ δὲ τῷ ἐξαιματοῦν. καὶ μὴ ἐξ ἀνοίας ἀπατήσῃς τὴν γαστέρα ἐξαιματοῦν. ταῦτα δὲ πάντα τὰ φυσικὰ ζήτει, οὐχ ἵνα γνῷς αὐτὰ μόνον, ἀλλ' ἵνα γινώσκων φυλάξῃς ὑγείαν· φυλάξεις δὲ διὰ τῶν συμμέτρων πόνων, καὶ ἀφροδισίων, καὶ πάντων τῶν λεγομένων. οὕτω μὲν οὖν εἰ λάβῃς τὸν λόγον, φυσικῶς· εἰ δὲ διαγνωστικὸν, οὕτως ἐξηγήσῃ, ὅτι εἰσερχόμενος πρὸς νοσοῦντα, εἰ θέλεις καλῶς θεραπεῦσαι, προηγείσθω διάγνωσις. πᾶσα δὲ διάγνωσις ἀπὸ συμπτωμάτων γίνεται, πᾶν δὲ σύμπτωμα ἢ ψυχικὸν ἢ φυσικόν. οὐκοῦν ζήτει τὰ ἀπὸ τῆς γνώμης συμπτώματα, ἆρα πρόσθεν 1) σιγηλὸς ὢν καὶ κόσμιος, νῦν ἀλλόκοτα φθέγγεται, καὶ τῷ τυχόντι ὀργίζεται, μέγα κακόν· παραφροσύνη γὰρ μᾶλλον μελετᾶται. εἰ δὲ τὸ ἐναντίον, θρασὺς 2) καὶ φλύαρος ὢν ἐν τῇ ὑγείᾳ νῦν σιωπᾷ, νῦν μόγις θυμοῦται, μέγα κακόν· κάρος γὰρ μᾶλλον ἢ κῶμα μελετᾶται. ζήτει δὲ 3) τὰ ἀπὸ τῆς μνήμης, εἰ πέρα τοῦ δέοντος μνημονεύουσιν, εἰ οὐδὲ ὅλως μνημονεύουσι· τοῦτο γὰρ πάντως ἕπεται διαθέσει τινὶ 4) καὶ ἐμφωλευούσῃ. ζήτει δὲ καὶ ἀπὸ τῶν αἰσθήσεων. ἀλλὰ πασῶν παράδειγμα διὰ τὴν εἰρημένην αἰτίαν, ἡ ὀσμή. εἰ ἄρα εὐωδίας παρούσης, δυσωδίας αἰσθάνονται ἢ τῶν δυσωδῶν ὡς εὐωδῶν ἀντιλαμβάνονται, ἔγνως τὰ ψυχικά. μηδὲ τῶν φυσικῶν ἀμελήσῃς. ἀλλὰ τῶν φυσικῶν προηγεῖται ἡ πεῖνα. ζήτει οὖν, οὐκ ὀρέγονται, ἢ ὀρέγονται, ὀξωδῶν ἢ

1) σιγκλὸς Codd. taciturnus C. 2) καὶ om. A. 3) τὰ om. L. 4) Fort. κακῇ. pravum affectum C.

κνισωδῶν ἁπλῶς ἢ πάντων. ζήτει δὲ καὶ τὴν ἄσκησιν τῶν ὀργάνων τουτέστιν εἰ ἕκαστον ὄργανον ἀμέμπτως προβάλλεται τὴν οἰκείαν ἐνέργειαν. λοιπὸν ὁ τελευταῖος λόγος πολλοῦ ἄξιος. ὑγείαν γὰρ βούλεται φυλάξαι ἐν τῷ σώματι. οὕτω δὲ ὁ λόγος παραδίδωσί σοι καὶ εἴδη ὑγιεινῶν παραγγελμάτων καὶ τάξιν καὶ μέτρον. εἴδη μέν φησι, πόνους, λουτρὸν, σῖτα· καὶ τάξιν δὲ, ὅτι οὐχ ὡς ἔτυχεν αὐτὰ ἔταξεν, οὐδὲ ἀφορῶν πρὸς τὸ κάλλος τῆς συνθήκης, ἀλλὰ πρὸς τὴν ἀλήθειαν τῶν πραγμάτων. εἰ γὰρ θέλομεν φυλάξαι ὑγείαν ἐν σώματι, θέλομεν χρήσασθαι πόνῳ. πόνον δὲ νῦν φησι τὸ γυμνάσιον. κεχρήμεθα δὲ αὐτῷ, ἵνα 1) ζωπυρήσωμεν τὴν θερμασίαν, καὶ ἐξενέγκαντες τὰ περιττώματα ἀνεγείρωμεν τὰς δυνάμεις. ἐχρησάμεθα οὖν τοῖς γυμνασίοις καὶ ἐτύχομεν τούτων τῶν ἀγαθῶν, ἀλλὰ καί τινων κακῶν. ἴσως γαρ ἐκ τοῦ κόπου ξηρότερα γεγόνασι τὰ ἄρθρα, τραχύτερον τὸ σῶμα, ἀνωμαλία περὶ τὸ δέρμα. πάντα ταῦτα σβέννυσι τὸ βαλανεῖον. ἐχρησάμεθα μετὰ τὸ γυμνάσιον τὸ λουτρὸν, καὶ ἐτύχομεν πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ διαπεφόρηται τὸ σῶμα ἐν τῷ βαλανείῳ. οὐκοῦν χρησώμεθα σιτίοις, τὸ λεῖπον εἰσάγουσιν· ἐχρησάμεθα καὶ σιτίοις. καὶ ἆρα ὡς μόλιβδον θέλομεν εἶναι τὴν τροφὴν ἐν τῇ γαστρί; καὶ πῶς πέψεται; 2) ὥσπερ γὰρ ἄλφιτα, μὴ τυχόντα ὑγρασίας, οὐ διαπλάττεται, οὕτω καὶ ἡ τροφὴ, μὴ τυχοῦσα ποτοῦ, οὐ πέττεται. ὑγρασίη γὰρ τροφῆς ὄχημα. δεδώκαμεν οὖν καὶ πόμα. ἆρα δὲ διὰ ταῦτα δεδώκαμεν, ἵνα τὴν γαστέρα πληρώσωμεν, ἢ ἵνα πεφθέντα ἀναδοθῇ παρὰ τὸ πᾶν σῶμα; χρεία οὖν καὶ πέψεως· ἀλλὰ τὰ σῖτα αὐτὰ ἑαυτὰ οὐ πέττει, ἀλλ᾽ ἐξ ἀλλοιωτικῆς δυνάμεως, ὄργανον ἐχούσης τὸ πλούσιον τῆς θερμασίας· πλουσία δὲ ἡ θερμασία ἐν τῷ ὕπνῳ. οὐκοῦν μετὰ τὴν τροφὴν διαδεχέσθω καὶ ὕπνος. ἐγένετο οὖν ἡ πέψις, ἀλλὰ περιττώματα συνῆκται. οὐκοῦν χρησώμεθα τοῖς ἀφροδισίοις διὰ τὴν ἔκκρισιν τῶν περιττωμάτων. ὅρα οὖν ὅτι καὶ ἐν ὑγιεινοῖς παραγγέλμασι τάττεται τὰ ἀφροδίσια. ὅρα δὲ καὶ τέχνην Ἱπποκράτους· οὐδὲ γὰρ παρέλαβε τὰ ἀφροδί-

1) ζωπυρίσωμεν Codd. 2) ὡς L.

σια ἢ πρὸ τροφῆς ἢ εὐθὺς μετὰ τὴν τροφὴν, πρὸ μὲν τροφῆς, ἵνα μὴ ἐκκεχολωμένῳ καὶ ζέοντι τῷ σώματι τοιοῦτον βρασμὸν ἐπιτάξῃ, μετὰ τροφὴν δὲ, ἵνα μήπως ὠμὴ ἐξελκομένη ἡ τροφὴ πολλὰ κακὰ ποιήσῃ. ὥσπερ ἐν τῇ τέχνῃ τῇ ἐρωμένῃ, ὁ 1) ἐραστὴς εὐθὺς μετὰ τὸ δεῖπνον ὁρμήσας ἐπὶ ἀφροδίσια, ἥλω ἀποπληξίᾳ. ἀλλὰ παρέλαβεν αὐτὰ μετὰ πέψιν, τὸ περίττωμα ὀφεῖλον μόνον κενῶσαι. ταῦτα μὲν περὶ τοῦ εἴδους· ταῦτα καὶ περὶ τῆς τάξεως. περὶ δὲ τοῦ μέτρου αὐτὸς ἐπιφέρει, πάντα μέτρια. οὐκοῦν μεμαθήκαμεν τὰ ὑγιεινὰ παραγγέλματα, ἀλλὰ φαινόμεθα ἐξ ὧν ἐπαινοῦμεν τὸν Ἱπποκράτην, λοιδοροῦντες τὸν Γαληνόν. ἰδοὺ γὰρ ὁ Ἱπποκράτης ἐν ἐλαχίσταις λέξεσι πάντα ἐδίδαξε τὰ ὑγιεινά. καὶ τί ὁ Γαληνὸς τοσούτους στίχους ἐξέθετο ὑγιεινούς; ὥσπερ γὰρ ὁ Ἱπποκράτης 2) ἓξ τινα παραδέδωκε πράγματα, οἷον πόνους, λουτρὰ, σιτία, ποτὰ, 3) ὕπνοι, ἀφροδίσια, οὕτω καὶ ὁ Γαληνὸς ἓξ βιβλία ἐξέθετο ὑγιεινά. ἀπολογούμεθα δὲ ὑπὲρ Γαληνοῦ οὕτως, ὅτι Ἱπποκράτης μὲν ἔσπειρεν, ἐγεώργησε δὲ ὁ Γαληνός. οὐδὲ γὰρ ἀρκεῖ τοῦτο τὸ ἀκοῦσαι πάντα μέτρια· ἄλλο γὰρ ἄλλου τὸ μέτριον· ἔπειτα δὲ γυμνασίου μόνου ἐμνημόνευσεν Ἱπποκράτης, ἐπιδιεῖλε δὲ ὁ Γαληνὸς, τῶν γυμνασίων τὰ μὲν ὅλον τὸ σῶμα, τὰ δὲ μέρος γυμνάζει. καὶ ἄχρι ποσοῦ δεῖ γυμνάζεσθαι εἶπεν ὁ Γαληνὸς, καὶ ἐν ποίῳ τόπῳ, καὶ πότε. ἐποίκιλε δὲ καὶ τὴν διαίρεσιν τῶν βαλανείων, εἰ ἄρα ἀπὸ θειωδῶν, ἀπὸ γλυκέων, ἀπο ἀσφαλτωδῶν ὑδάτων δεῖ αὐτὰ εἶναι. εὑρήκαμεν ἀπὸ ποίων, ποῦ τὸ πρῶτον, τὸ δεύτερον, τὸ τρίτον, τὸ τέταρτον μέρος τοῦ βαλανείου, ποῦ ὁ τρόπος αὐτοῦ κατὰ τὰ ἐν αὐτῷ παραλαμβανόμενα. ὁμοίως δὲ καὶ περὶ τῶν σιτίων· τούτων γὰρ τὰ μὲν εὔπεπτα, τὰ δὲ δύσπεπτα, τὰ μὲν ταχέως, τὰ δὲ βραδέως κρατεῖται. ὡσαύτως δὲ καὶ περὶ τῶν πομάτων, ποῦ γάλα, ποῦ οἶνος, ποῦ τὸ ὕδωρ. ταῦτα καὶ περὶ τῶν ὕπνων, ἐν 4) ψυχεινῷ, ἐν θερμῷ χωρίῳ, ἐπὶ πολὺν, ἐπὶ ὀλίγον χρόνον. ὁμοίως καὶ περὶ τῶν ἀφροδισίων, ἄχρι πόσου καὶ πότε. ἐν φλεγματικῇ δεῖ αὐτοῖς κεχρῆσθαι κράσει, οὐκ ἐν ξανθοχολικῇ. λαγνείῃ γὰρ τῶν ἀπὸ φλέγ-

1) Erasistratus C. 2) ἔξω Codd. sex C. 3) ὕπνοι om. A. 4) ψυχινῷ Codd.

μάτος νούσων ὠφέλιμος, ὥστε καὶ σπερματικῶς μὲν ἐξέθετο ὁ Ἱπποκράτης, πλατύτερον δὲ ὁ Γαληνός.

* * *

Sententia quarta cum interpretatione in codicibus meis desideratur, quae apud Crassum leguntur.

Frigidior in frigido tempore ac regione calidior erit.

Si recte memoria tenetis, variis modis admonens nos Hippocrates nos curandi methodum docet. Itaque cum supra calidam intemperiem per refrigerantia communiter curauisset, deinde hoc loco contrariae intemperiei frigidae scilicet curationem vult tradere. Dicitque hanc per frigida remoueri. Quidam explanatores hic Hippocratem non intelligentes dicunt, si calida intemperies per frigida tollitur, quomodo frigida a frigidis quoque deleri poterit? At hi iure sunt deridendi: nam duas esse curationis species ignorant, alteram, quae primo et per se fit, ut cum contraria contrariis tolluntur, alteram secundario, et per accidens, cum similia per similia destruuntur. quemadmodum in stupore dentium portulacam adhibemus, in convulsione, quam Tetanum Graeci vocant, frigidam aquam inspergimus. De quo loquutus est Hippocrates quinto libro Aphorismorum 21. Accidit in Tetano, sine vlcere, in iuuene bene carnoso, aestate media, vt frigidae multae aquae conspersio caloris repressionem faciat. calor autem haec omnia profligat. Verum animaduersione opus est, non cuilibet frigidae intemperiei frigida esse adhibenda remedia, ne forte interius penetrantia naturalem calorem extinguant. Sed cum aliquem frigori obsistere valentem noueris, sicut Hippocrates de iuuene corpulento dixit, nec non et tu aegrum contemplare, num sit lacertosus, num validas vires habeat. Et tum frigida applices. Quod autem resistentia opus sit, vt partes intimae pinguescant, ex auibus rapacibus constat. quoniam in his superficies à penitioribus non longe distat, propterea aestiuo tempore ferae sunt, neque facilè capiuntur: hyeme vero quoniam frigus ad intima peruadit, et eas emaciat, ideoque cum emacruerint, facilè ad manus nostras perueniunt. Et haec fuit Hippocratis sententia; p e r c a l i d u s e r i t, hunc locum declarans Galenus dixit, praepositionem p e r non rectè appositam esse voci percalidus. neque enim vsque eo calefaciendum est, vt ad contrariam permutemus qualitatem, et denuò refrige-

rare cogamur, atque iterum calefacere: et sic telam Penepoles texere videamur.

* * *

δ'. Ὀδυνέων τὴν ἐγγυτάτω κοιλίην διαιρεῖν, καῦσις, τομὴ, θάλψις, πταρμὸς, φυτῶν χυμοὶ, ἐφ' ὧν τὴν δύναμιν ἔχουσι καὶ κυκεών. κακούργων, σκόροδον, 1) γάλα, οἶνος ἀπεζεσμένος, ὄξος, ἅλες. —

Μετὰ τοσοῦτον μῆκος θεωρίας ἐπὶ ἕτερον εἰσβάλλω πέλαγος, ὅθεν πολλῆς δέεται ὁ λόγος προθυμίας. ἀλλὰ ὁ λόγος θέλει θεραπεῦσαι διαφόρους ὀδύνας. οὐκ ἂν δὲ δυνηθῶμεν αὐτῷ παρακολουθῆσαι, μὴ γνόντες, τί μέν ἐστιν ὀδύνη, πόθεν δὲ γίνεται, καὶ πόσαι 2) αὐταῖς ὀδύναις αἱ κατὰ μέρος διαφοραί. ἀρξώμεθα οὖν ἀπὸ τοῦ πρώτου. ὀδύνη ἐστὶν ἀνιαρὰ συναίσθησις, καὶ δεῖ πάντως ἐν ταύτῃ συνδραμεῖν, καὶ δεῖ πεφυκὸς αἰσθάνεσθαι, καὶ ἀηδῆ τινα αἴσθησιν· εἰ οὖν τοῦτο οὕτως ἔχει, εὑρήκαμεν καὶ τίνος ἡ ὀδύνη ἐστὶν, ὅτι οὐ τῶν ἀναισθήτων, ἀλλὰ τῶν αἰσθανομένων μορίων. πόθεν οὖν γίνεται, ζητήσωμεν. ἀλλὰ τέως ζητήσωμεν, εἰ πολλὰ τὰ τῆς ὀδύνης αἴτια· καὶ οὕτως αὐτὰ ἀνάγωμεν ὑπό τι γένος. ξίφος οὖν τῇ διαιρέσει ἐποίησεν ὀδύνην, λίθος τῇ θλάσει, θηρίον δακὸν τῇ διαβρώσει, πῦρ τῇ διαφορήσει, ψύξις τῇ συναγωγῇ, καὶ ἄλλα μυρία, ἃ ἐπὶ τῶν ἔξω. καὶ ἐπὶ τῶν ἔσω χυμὸς πολὺς ἢ δριμὺς ἢ πνεύματα διατείνοντα ἢ ψύξις ἢ θερμασία ποιεῖ ὀδύνην. ἀλλ' ἴσως ἀπερίληπτα κατὰ μέρος, συνάγων δὲ τῶν πολλῶν εἰς μίαν φύσιν τὸ γένος διέξεισιν. οὐκοῦν δεῖ εἰπεῖν ὅτι πᾶσα ὀδύνη ἢ ἀπὸ τῶν ἔσωθεν ἢ ἀπὸ τῶν ἔξωθεν γίνεται· ἢ οὕτως, πᾶσα ὀδύνη γίνεται ἢ ἐξ ἀθρόας μεταβολῆς ἢ ἐκ τῆς κατὰ ποιότητα ἐναλλαγῆς. εἰ δὲ θέλεις, καὶ ταῦτα συνάγω εἰς ἕν. πᾶσα γὰρ ὀδύνη ἐκ λύσεως συνεχείας γίνεται. λύσιν δὲ καλῶ συνεχείας οὐ μόνον τὸ κοινὸν νόσημα, ἀλλὰ καὶ ὁμοιομερὲς καὶ ὀργανικόν· πάντα γὰρ λύουσι τὴν συνέχειαν τῆς εὐκρασίας τοῦ μορίου. καὶ ἔχει οὗτος

---

1) *γαληνὸς* Codd. 2) Fort. *αὖ ταῖς*.

ὁ λόγος τινὰ ἐπιείκειαν. εἰ οὖν ἔγνωμεν τὰ αἴτια τῆς ὀδύνης, ἔχομεν καὶ τὰς ἀφορμάς. εἰ γὰρ ἐξ ἀθρόας μεταβολῆς γίνεται ὀδύνη, ἀθρόα δὲ μεταβολὴ οὐ γίνεται, εἰ μὴ ἀπὸ θερμασίας καὶ ψύξεως τῶν δραστικῶν ποιοτήτων. ξηρότης γὰρ καὶ ὑγρότης, ὡς ὑλικαὶ, τὸν χρόνον ποιοῦσιν. αἱ διαφοραὶ ἄρα τῆς ὀδύνης ἐν θερμασίᾳ καὶ ψύξει εἰσίν. ἐπεὶ οὖν ταῦτα ἡμῖν προείληπται ἔξωθεν, ἴδωμεν τὴν ἔννοιαν τοῦ λόγου, ὀ δ υ ν έ ω ν. ἃ μὲν ἡμῖν εἴρηται, ὡς λογικῶς εἴρηται περὶ τῆς ὀδύνης. νῦν δὲ καὶ θεραπεύει τὰς ὀδύνας Ἱπποκράτης. ἀλλ᾽ οἴδαμεν ὅτι πλείονές εἰσιν ὀδύναι παρὰ τὰ ποιοῦντα αἴτια. διὰ τοῦτο πληθυντικῶς ἀπεφήνατο. τὸ δὲ εἰρημένον τάξιν ἔχει προγράμματος. ὀ δ υ ν έ ω ν γὰρ τουτέστι περὶ τῶν ὀδυνῶν. εἰ οὖν ὀδύνην θέλεις θεραπεῦσαι, μέμνησο τοῦ Ἱπποκράτους κανόνος, ὅτι δεῖ σε πρότερον κοινὴν ἐπιμέλειαν ποιήσασθαι τοῦ παντὸς σώματος, καὶ εἰ μὲν ποιότητι λυπεῖται, καθάρωμεν, εἰ δὲ ποσότητι, φλεβοτομήσωμεν. ἀλλ᾽ Ἱπποκράτης λέγει σοι καὶ τὸν τόπον, δι᾽ οὗ ὀφείλεις ποιῆσαι τὴν κάθαρσιν· φησὶ γὰρ διὰ τῆς ἐγγυτάτω κοιλίας. κοιλίαν δὲ καλεῖ πᾶσαν κοιλότητα, καὶ θέλει σε τὴν ἐγγύτατα κενοῦν, ὥσπερ ἐκ τῶν 1) διαίτης ὀξέων, πλευριτικὸν φλεβοτομῶν, διὰ τὴν κοινωνίαν τοῦ μορίου τὴν μασχάλην ἀνέταμον. ἔξεστι δὲ καθολικὸν τὸν λόγον λαβεῖν· ἐγκέφαλον γὰρ κένωσον διὰ ὑπερῴας καὶ μυκτήρων, θώρακα δὲ διὰ ῥινός. γέγονεν οὖν ἡ τοῦ παντὸς ἐπιμέλεια. καιρὸς δὲ λοιπόν ἐστι τῶν τοπικῶν βοηθημάτων. ἀλλὰ πάλιν καὶ ἐνταῦθα νικήσει ὁ κανὼν Ἱπποκράτους, λέγων τὸ μὲν κεχρῆσθαι ἀθρόᾳ μεταβολῇ, ἀλλὰ συνεθίζειν τὴν φύσιν, ἐκ τῶν ἐπιπολαίων βοηθημάτων ἀνέχεσθαι τῶν δραστικῶν. ἐχρήσατο οὖν τοῖς ἐπιπολαίοις, καὶ οὐδὲν ὠφελήθη. λοιπὸν ὁ Ἱπποκράτης, ἔρχεται ἐπὶ τὰ δραστικὰ ἢ ψυχρὰ, πρὸς ὃ ἂν συνίδωμεν. ἐχρησάμην οὖν καὶ καυστῆρι· εἰ δ᾽ οὐδὲν προκόπτει, μηδὲ χειρουργίας ἀμελήσωμεν. ἴσως γὰρ μὴ δυνηθεῖσα ἡ φύσις διαφορῆσαι τὸν χυμὸν, δεύτερον πλοῦν πλεύσασα εἰς πῦον μεταβάλλει, καὶ 2) χρεία τομῆς ἐξαγούσης τὸ πῦον. γεγόνασι καὶ ταῦτα. παραλάβωμεν καὶ θάλψιν. ὥσπερ

---

1) Om. περὶ. 2) χρείας L.

ἐν τοῖς ἀφορισμοῖς ὀφθαλμίαν ἐθεράπευσα διὰ φλεβοτομίας, ἀκρατοποσίας, καθάρσεως, λουτροῦ, πυρίας, ταύτῃ οὖν τῇ θάλψει χρησώμεθα· καὶ εἰ μὲν δεῖ θερμᾶναι τὸ πᾶν σῶμα, πάρεστι τὸ βαλανεῖον· εἰ δὲ τὸ μόριον τὸ πάσχον, ἡ πυρία. πυρία δὲ καὶ διὰ σπόγγων καὶ δι᾽ ὀστράκων καὶ διὰ χαλκοῦ. ἔνθεν ὁ Ἱπποκράτης τῷ γενικωτέρῳ ὀνόματι ἐχρήσατο τῆς θάλψεως. ταῦτα μὲν οὖν πάντα εἴρηται ὡς ἐπὶ θέρμῃ ψυχρᾶς καὶ βιαζομένης αἰτίας. εἰ δὲ θέρμη εἴη, ψύξον. κίνει δὲ καὶ πταρμοὺς ἐν καιρῷ δέοντι. τοῦτο δέ ἐστιν ὅτε πνεῦμα καὶ ὑγρότης πλεονάζει ἐν τῷ ἐγκεφάλῳ, ὅτε μὴ χαλεπὴ ἡ ὀφθαλμία, μή τις διάθεσις ἐν τῷ θώρακι, μὴ ἔμβρυον ἐν τῇ μήτρᾳ, μήπως τῷ κλόνῳ πολλὰ δεινὰ ἀκολουθήσῃ. πᾶσι τούτοις χρησάμενοι οὐδὲν ὠφελήσαμεν, καὶ δεῖ ἡμᾶς ἀνακινῆσαι καὶ τὸ βοτανικὸν μέρος τῆς τέχνης, καί που μὲν παραλαβεῖν φυτοῦ ὀπὸν, ὥσπερ τὸν ὀπὸν τοῦ κυρηναϊκοῦ, αὐτὸ τὸ ὄπιον· εἰ δὲ μὴ ὀπὸν, χυλῷ χρήσασθαι. διὰ τοῦτο ὁ Ἱπποκράτης τῷ γενικωτέρῳ ὀνόματι ἐχρήσατο τοῦ χυμοῦ εἰπὼν, χυμοὶ φυτῶν. φυτὰ δὲ καλεῖ ἡ παλαιὰ συνήθεια καὶ πόας καὶ θάμνους καὶ δένδρα. λοιπὸν ὁ Ἱπποκράτης 1) ἐπιφέρει θαυμαστὸν λόγον, ὅτι ζήτει ταῦτα πάντα, ἐφ᾽ ὧν τὴν δύναμιν ἔχουσι, πολλὰ 2) δὲ διὰ τούτου ἐνδεικνύμενος, ὅτι κατὰ πολλοὺς τρόπους ἐναλλάττεται ἡ θεραπεία. καὶ γὰρ διὰ τὴν διάθεσιν οὕτως, ὅτι ἐστὶ κωλικὴ διάθεσις, ἀλλ᾽ ὅτι καὶ ἀπὸ φλέγματος γίνεται καὶ ἀπὸ χολῆς· ἀλλὰ τὴν μὲν ἐθεράπευσα ψυχρῷ ὕδατι, τὴν δὲ ἀνηθελαίῳ. παρὰ δὲ τὸν τόπον οὕτως, ὅτι φλεγμονὴ ἐν ὀφθαλμῷ καὶ φλεγμονὴ ἐν γαστρὶ διαφόρως θεραπεύονται. ἀπὸ δὲ τῶν ἔξωθεν, ὅτι παρὰ τὴν ἡλικίαν, παρὰ τὴν κρᾶσιν, παρὰ τὴν ὥραν καὶ χώραν, ἀμείβεται ἡ θεραπεία. πρὸς τοῖς 3) εἰρημένοις βοηθήμασι κεχρήμεθα καὶ κυκεῶνι. κυκεὼν δέ ἐστι μίγμα ἐξ οἴνου καὶ ἀλφίτου. τούτων γὰρ νῦν καὶ δεόμεθα. ὁ Γαληνὸς οὖν, πάντων ἀπαγορευόντων μηδέποτε ἐπὶ κεφαλαλγίας κε-

1) Ab hoc verbo initium capit fragmentum hujusce commentarii n codice Laurentiano Plut. LXXV. Cod. 21. membranac. saec. XIII. fol. 256 a folio 251. Notabo hunc codicem F. 2) δὲ om. F. 3) προειρημ. F.

χρῆσθαι οἴνῳ, χρησάμενος ἐθεράπευσεν, εἴ ἔγνω ἀπὸ ψύξεως τὴν κεφαλαλγίαν. εἰ οὖν τοῦτο ἐπὶ κεφαλαλγίας, πολλοῦ φλέγματος ἐν τῇ γαστρί· εἰ οὖν εὑρεθῇ φλέγμα ἐν τῇ γαστρὶ, 1) θέλομεν χρήσασθαι τῷ οἴνῳ· εἰ δὲ εὐπαθὴς ἡ κεφαλὴ, φοβούμεθα. τότε οὖν μηχανᾶταί τι ἡ τέχνη, καὶ δίδωσι μὲν οἶνον διὰ τὸ φλέγμα, ὕστερον δὲ παρέχει πολὺν εὔκρατον, ἵνα ἐκεῖνο τῇ παχύτητι κατάσχῃ κατὰ τὴν θερμασίαν τοῦ οἴνου, καὶ μὴ ἐάσῃ αὐτὸν εὐανάδοτον γενέσθαι. ὃ οὖν ἐκεῖ ἐποίει τὸ εὔκρατον, τοῦτο ἐνταῦθα τὰ ἄλφιτα, ἵνα τῷ πάχει κάτω κατάσχῃ τὸν οἶνον. λοιπὸν ὁ Ἱπποκράτης ἐπιφέρει θαυμαστὸν λόγον, ὅτι καὶ ἀπὸ τῶν κακούργων ζήτει. πολλὰ γὰρ εἴρηται αἴτια τῆς ὀδύνης, καὶ οὔπω συνεπεράνθη. ὀδυνῶσι γὰρ ἡμᾶς καὶ τὰ δηλητήρια, καὶ τούτων τὰ μὲν ἔξωθεν, τὰ δὲ ἔσωθεν, καὶ τὰ μὲν θερμαίνοντα, τὰ δὲ ψύχοντα. Ἰὸς ἀσπίδος ἔξωθεν μὲν 2) οὐ θερμαίνει, ἰὸς σκορπίου ἔξωθεν οὐ ψύχει, ὅθεν δοκοῦσιν ὡς ὑπὸ κρυστάλου βάλλεσθαι· κώνειον ἔσωθεν οὐ ψύχει· σκαμμωνία ἔσωθεν οὐ θερμαίνει. ζήτησον δὲ καὶ τὰς ἐπιτηδειότητας· λαγωὸς θαλάσσιος ἑλκοῖ τὸν πνεύμονα, κανθαρὶς δὲ τὴν κύστιν. ἀλλὰ καὶ ταῦτα διὰ τῶν ἐναντίων θεραπεύομεν. ἔνθεν καὶ Γαληνός ποτε, ἀλλὰ καὶ 3)* γαληνὸς ἐν τοῖς δηλητηρίοις 4) τάττεται, καὶ μάλιστα τὸ τυρῶδες. πλὴν κεχρήμεθα τῷ ὀρώδει, καὶ μετὰ μέλιτος. κεχρήμεθα δέ ποτε καὶ σκορόδῳ ἐν ψυχρᾷ διαθέσει, καὶ οἴνῳ ἀπεζεσμένῳ. 5) τὸ δὲ ἀπεζεσμένῳ σημαίνει ἢ ὅτι οὐδὲ τῷ θέρει παρέχομεν ψυχρὸν αὐτὸν, ἀλλὰ θερμάναντες διδόαμεν 6) ζεστάκρατα· ἢ ὅτι ἕψομεν ὡς ἐπὶ 7) σιραίου ἕψομεν τοῦτον· ἢ καὶ ὅτι μιγνύντες αὐτῷ τινα ἕψομεν ἢ μυρσίνας ἢ κύπειρα, ἃ δύνανται αὐτὸν ἐπιθερμᾶναι. εἰ δέ ποτε μάθωμεν ὅτι καὶ βλεννώδης χυμὸς συνῆκται, ὥσπερ ἐπὶ τῶν μυκήτων· οὗτος δέ ἐστιν εἶδος ἀμανιτῶν· δυσαπολύτως δὲ 8) ἔχονται τοῦ στομάχου οὗτοι· ἐπὶ τούτων τὰ δραστικὰ τῶν βοηθημάτων παρέχειν ὄξος, ἅλας, νίτρον, ἃ δύνανται μαστίξαι 9) παχὺν χυμόν.

1) θέλων μὲν F. 2) οὐ om. C. ubique. 3) lac. C. γάλα. 4) ἀττεσθαι L. 5) τῷ F. 6) cum aqua dilutum C. 7) συρέου Codd. ἑψώμεθα F. 8) ἔχοντας L. 9) παχὺν om. C. L. A.

ε'. 1) Ὁ ἐμψυχρότερος ἐν ψυχρῇ ὥρῃ καὶ χώρῃ ἐνθερμότερος ἔσται. —

Πολλὰ τῶν βιβλίων τοῦτον ἔχουσι τὸν λόγον πρὸ τοῦ προειρημένου. λέγει δὲ τοῦτο, τὸ ἀλλαχοῦ εἰρημένον ἐπὶ τετάνου· νέῳ εὐσάρκῳ θέρεος μέσου, ψυχροῦ πολλοῦ. τοῦτο οὖν 2) καὶ ἐνταῦθα λέγει, ὅτι ψυχροτέρα κρᾶσις ἐν ψυχροτέρᾳ ὥρᾳ καὶ χώρᾳ θερμοτέρα ἐστὶ, πυκνουμένης τῆς ἐπιφανείας, καὶ ἀπολαμβανομένου ἔσω τοῦ θερμοῦ. ἔνθεν λαμβάνεται ὁ Γαληνὸς τοῦ ἐνθερμότερον. τὸ γὰρ εν τὴν ἐπίτασιν δηλοῖ, ἐπείπερ ἤρκει εἰπεῖν ὅτι θερμότερον ἔσται.

ς'. Ἄνθρωπος ἐκ κόπου, ἐξ ὁδοῦ 3) ἀδυναμίη καὶ βάρος, ἀνέπτυεν· ἔβησσε γὰρ ἐκ κορυφῆς. πυρετὸς πρὸς χεῖρα ὀξὺς, ὑποδάκνων· δευτεραίῳ καρηβαρίη, γλῶσσα ἐπεκαύθη, ῥὶς ὀνυχογραφηθεῖσα οὐχ ἡμοῤῥάγησεν· ἀριστερὸς σπλὴν μέγας καὶ σκληρὸς ὠδυνᾶτο. —

Ἐν τούτῳ τῷ τμήματι ὁ Ἱπποκράτης καὶ φυσικοὺς ἐξέθετο λόγους καὶ θεραπευτικοὺς ὀδυνῶν. 4) τοιγαροῦν ὑποτίθεται νόσημα, καὶ τούτου τὴν προκαταρκτικὴν αἰτίαν, τὸ δὲ πέρας οὐ λέγει εἴτε ἔζησεν εἴτε ἀπέθανεν. ἀλλὰ μὴν οὐδὲ οὔρου ἐμνημόνευσεν οὐδὲ σφυγμοῦ, ἵνα ἐκ τῶν λεγομένων εἴποι τι περὶ τοῦ ἀποβάντος. λέγει δὲ ὅτι ἄνθρωπος, ἐνόσησε. τέως δὲ τὸ μερικὸν ὄνομα τοῦ πάσχοντος μὴ εἰδὼς, τὸ καθόλου ἐχρήσατο, γενικῶς εἰπὼν ἄνθρωπος, ἢ ἀνὴρ ἦν ἢ γυνή. οὗτος οὖν ἐπύρεξεν. ἦν δὲ τοῦ πυρετοῦ αἴτια πολλὰ, καὶ ταῦτα δὲ οὐχὶ προηγούμενα, οἷον ὁ ἑλκώδης ἢ ὁ τονώδης ἢ ὀστοκοπώδης, ἀλλ' ὁ ἐκ προκαταρκτικῆς αἰτίας. ἐξ ὁδοῦ γάρ· ἐκ τούτου τοῦ κόπου πυρετὸς αὐτῷ ἐγένετο κακοήθης. καὶ πῶς ἀπὸ κόπου πυρετὸς γίνεται κακοήθης; ὁ γὰρ κόπος τὸν ἐφήμερον μόνον ἀνάπτει; καί φαμεν ὅτι ἐνταῦθα συνεχεῖς 5) ἐγένοντο οἱ κόποι. εἶπε γὰρ ὁ Ἱπποκράτης, ἐκ κόπου.

---

1) Haec sententia cum scholio apud Crassum non desideratur; sed antecedit proximam scholionque Crassi a nostro discrepat. 2) *καὶ* om F. 3) *ἀδυναμῶν. δευτεραῖος* Codd. 4) *καὶ διαγνωστικοὺς* addit F. *νῦν οὖν* F. 5) *ἐγίνοντο* F.

καὶ ἴσως ἐφημέρου γενομένου, εὑρέθησαν οἱ χυμοὶ ἢ τὰ στερεὰ ἐπιτήδεια 1) ἐδείξαντο, καὶ χαλεπὸν ἐντεῦθεν ἀνήφθη αὐτῷ νόσημα· ἢ ἴσως ὁ κόπος ἐκεῖ ἐγένετο μετὰ τροφὴν πρὸ πέψεως, καὶ φλέγματος πολλοῦ θησαυρισθέντος, χαλεπὸς ἐγένετο αὐτῷ ὁ πυρετός· ἢ ἴσως περιττωματικὸν ἦν τὸ σῶμα, καὶ ἤμελλε νοσῆσαι, κακίας ἐμφωλευούσης ἐν τῷ σώματι, καὶ ἐπιγενόμενος ὁ κόπος ἐδημοσίευσε 2) τὸ νόσημα, καὶ 3) συνέστιος ἐγένετο, καὶ προκαταρκτικὸς, ὃν ἐξέφηνεν 4) ἤγουν προκαταρκτικὴ αἰτία. ἐγένετο οὖν ὁ πυρετός. λοιπὸν ἀδυναμία κατεβλήθη· ἐὰν γὰρ αἱ δυνάμεις διαφορηθήσονται ἐκ τοῦ κόπου, καὶ καταβληθήσονται ἐκ τοῦ νοσήματος. ἐγένετο δὲ καὶ βάρος. καί τινες μέν φασιν, ὅτι ἐπειδὴ πρὸ σήψεως ἐγένετο ὁ κόπος, φλέγμα πολὺ συναγόμενον ἐβάρει τὸ σῶμα. τὸ δὲ ἀληθὲς, βάρος αὐτῷ ἐγένετο, ἐπειδὴ ἀσθενηκυῖα ἡ δύναμις καὶ το οἰκεῖον ἄχθος τῶν μορίων ὡς βάρος ἐνόμιζεν. 5) ανεπτυε δὲ μετὰ βηχός· τὸ δὲ ἀναγόμενον ἄντικρυς ἦν ἢ ἐκ τοῦ θώρακος ἢ τῆς κεφαλῆς πασχούσης καὶ καταστάζούσης εἰς τὴν τραχεῖαν ἀρτηρίαν, μετὰ βηχὸς ἀνήγετο. τὸ δὲ ἀναπτύειν οὖν 6) ἐδέξατο ἀκολουθῆσαι τῷ κόπῳ, ἀλλ᾽ ἴσως τῷ τόπῳ, ἐν ᾧ ἐγένετο ὁ κόπος. εἰ γὰρ ἦν οὗτος θερμότερος, ἠδύνατο χύσιν ἐργάσασθαι. μᾶλλον γὰρ καὶ ἐκ κεφαλῆς ἦν τὸ ἀναγόμενον· εἶπε γὰρ Ἱπποκράτης τὸ ἐκ κορυφῆς, ἐκ μέρους τὸ πᾶν ὀνομάζων. οὐ γὰρ ὥς τινές φασι, κορυφὴν 7) λέγειν τὴν ἀρχὴν τοῦ νοσήματος. λοιπὸν καὶ οὐχ ὁ τυχὼν ἦν πυρετός. ὀξὺς γὰρ 8) ἦν καὶ δακνώδης καὶ χαλεπός. εἴρηται δὲ ἐν τῷ περὶ διαφορᾶς πυρετῶν, πῶς αἱ οὐσιώδεις διαφοραὶ τοῦ πυρετοῦ λαμβάνονται ἐκ τῆς ποιότητος, ἐκ τῆς ὕλης, ἐκ τοῦ τρόπου τῆς κινήσεως. δύο 9) δὲ διαφορὰς εἶπεν ὁ Ἱπποκράτης, ὀξὺν μὲν εἰρηκὼς τὴν ποιότητα, δακνώδη δὲ τὴν ὕλην ὑποκειμένην. 10) τὸ δὲ ἦν κακοήθης ὁ πυρετὸς, ὅτι καὶ εὐθὺς ἐκ δευτέρου τῆς ἡμέρας καρηβαρίαν ἤνεγκεν,

1) ἐδέξαντο L. ad calorem febrilem suscipiendum habiles C. 2) τόνον F. 3) συναίτιος F. patefecit C. 4) τὴν προηγουμένην αἰτίαν F. 5) καὶ addit F. 6) ἐξ ἀνάγκης ἠκολούθησε F. 7) λέγειν L. A. 8) ὧν L. 9) οὖν F. 10) Fort. τότε.

ἢ ὅτι περιττωματικῆς ὑποκειμένης ὕλης, καὶ χυθείσης ἐκ τοῦ πυρετοῦ, οἱ ἀτμοὶ ἄνω ἔτρεχον, ἢ ὅτι 1) ἡ βὴξ ἔτεινε τὰ περὶ τὴν κεφαλὴν καὶ ὠδύνα. ὅθεν καὶ ἡ γλῶσσα ἐκκαεῖσα ἐμελάνθη, καὶ ἡ ῥὶς ὀνυχογραφηθεῖσα οὐχ ἡμοῤῥάγησεν, ἢ ἴσως ἠνέχθη μὲν, στάγδην δὲ, ὡς δηλοῦν κακόηθες νόσημα. καὶ τὸ δὴ πέρας, ὁ σπλὴν σκληρὸς ἐγένετο. ἴσως γὰρ τῇ αἱμοῤῥαγίᾳ κενωθέντος τοῦ λεπτοτέρου, 2) ἔῤῥεψε τὸ παχύτερον παρὰ τὸν σπλῆνα, καὶ ἐποίησε φλεγμονὴν, οὐ δήπου γὰρ σκίῤῥον ἢ οἴδημα· ὀδύνη γὰρ παρακολουθεῖ. ἓν μόνον ζήτει, ἄρα διὰ τί εἶπεν ἀριστερὸς σπλήν; τί γὰρ δεξιός; καὶ ἔστι μὲν εἰπεῖν, ὅτι τὸ ἐξ ἀριστερῶν ἑπόμενον εἶπε· τὸ δὲ ἀληθὲς ὅτι καὶ ὁ σπλὴν ἔπασχε μᾶλλον αὐτοῦ τὰ ἀριστερά· αἱ γὰρ πλευραὶ ἐκ τοῦ πυρετοῦ κατασπώμεναι ὠδύνων αὐτόν.

ζ΄. Οἱ ὑπὸ τεταρταίου ἁλισκόμενοι, ὑπὸ τῆς μεγάλης νούσου οὐχ ἁλίσκονται. ἢν δ' ἁλίσκωνται πρότερον καὶ ἐπιγένηται τεταρταῖος, παύονται. —

Νῦν περὶ νοσήματος καὶ συμπτώματος θέλει διαλεχθῆναι, καὶ μέμνηται μεγάλης νούσου· μεγάλη δὲ νόσος ἐστὶν, οὐχ ὥς τινές φασι πᾶσα δυσκαταγώνιστος καὶ χρόνου δεομένη, ἀλλὰ μόνη ἡ ἐπιληψία, ἥτις οὕτω καλεῖται ἢ ὅτι μεγάλη καὶ δυσχερής ἐστιν, ἢ ὅτι τὸν μέγαν τόπον κατείληφε, τὸν ἐγκέφαλον· λέγεται δὲ καὶ παιδία καὶ ἱερὰ νόσος, καὶ ἐπιληψία, καὶ Ἡρακλεία νοῦσος. γίνεται δὲ αὕτη ἀπὸ χυμοῦ ὄντος ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου. ὅτι γὰρ οὐκ ἐν τῇ οὐσίᾳ, δηλοῖ τὸ αἰφνίδιον τῆς ἀπαλλαγῆς. οὕτω δὲ καὶ ὁ χυμὸς, εἰ 3) μὲν φλεγματικὸς ὢν μείνῃ εἰς τὰς κοιλίας, ποιεῖ τὴν ἀπὸ φλέγματος ἐπιληψίαν· εἰ δὲ ἔλθοι εἰς τὴν οὐσίαν τοῦ ἐγκεφάλου, τὴν ἀποπληξίαν. ὡσαύτως δὲ εἰ μὲν ᾖ μελαγχολικὸς, ποιεῖ ἐπιληψίαν ἀπὸ μελαγχολικοῦ χυμοῦ· εἰ δὲ ἔλθοι εἰς τὴν οὐσίαν 4) τοῦ μελαγχολικοῦ. εἰ οὖν γένηται τεταρταῖος πυρετὸς, ἡ ἐπιληψία ἡ ἀπὸ μελαγχολικοῦ χυμοῦ οὐ γίνεται· οὐδὲ γὰρ ὡς ἀπὸ σκηπτοῦ χυλοῦ λαμβάνεται τὸ ἡμέτερον σῶμα, ὡς πᾶσι τοῖς πάθε-

---

1) ὁ L. A. 2) ἔῤῥιψε L. 3) μὴ L. 4) Apoplexiam C. τὴν μελαγχολικὴν F. Fort. ἀποπληξίαν τὴν etc.

σιν ὑπηρετεῖν. ἀλλ᾽ ὥσπερ εἴρηται ἀνωτέρω, οἱ αἱμοῤῥοΐδας ἔχοντες, πάσης τῆς κακοχυμίας ἐκεῖθεν κενουμένης, οὕτω καὶ ἐνταῦθα γίνεται ἡ ἐπιληψία, καὶ εἰ ἐπακολουθήσει τεταρταῖος, παύεται, ἐπειδὴ ἡ θερμασία ἡ ἀπὸ τοῦ πυρετοῦ δύναται λεπτῦναι τὴν ὕλην. ἔχει δὲ καὶ ἱκανὸν διάλειμμα ὁ τεταρταῖος, ἐν ᾧ δύναται ἡ δύναμις τὸ χυθὲν ἐκ τοῦ πυρετοῦ πέψαι καὶ ποιῆσαι ἀπαλλαγήν. ἔνθεν Ἱπποκράτης τεταρταίου μόνου ἐμνημόνευσε καὶ οὐκ ἄλλου πυρετοῦ, πρῶτον μὲν ὅτι οὐκ ἔστιν ἄλλος πυρετὸς τοσοῦτον ἔχων διάλειμμα, ἵνα κτήσηται ἑαυτὴν ἡ δύναμις. ἄλλως δὲ ὁ 1) τριταῖος οὐ πεποίηται· ὀλιγοχρόνιος γάρ ἐστι· χρόνου δὲ δεῖται ἡ ἐπιληψία. 2) ἄμφω οὖν οὐκ ἐμνήσθη, ἐπειδὴ ὡς εἴρηται ἐν τῷ περὶ διαφορᾶς πυρετῶν οὗτος σχεδὸν τῶν συνεχῶν ἐστιν, ὡς βλεννώδης, καὶ δυσαπολύτως ἔχειν τῶν μορίων. εἰ μὲν δὴ θέλομεν εἰπεῖν, εἶναι ἐκ τοῦ διαλείποντος πυρετοῦ, ἵνα ἡ εἰσβολὴ αὐτοῦ εἴη μετὰ ῥίγους. ῥῖγος δὲ γίνεται, ἐκριπτομένης τῆς ὕλης. ἐν τῷ ῥίγει οὖν ἐπαιδεύετο τῆς ἐπιληψίας ἡ ὕλη ἐπὶ τὰ ἔξωθεν φέρεσθαι.

η΄. Ἀνθ᾽ οἵων οἷαι αἱ νοῦσοι. —

Οὗτος ὁ λόγος τοῦ εἰρημένου ἐστὶ συμπτώματος· ἐπειδὴ γὰρ εἴρηται ὅτι ἐπὶ τῇ ἐπιληψίᾳ εἰ ἐπιγένηται τεταρταῖος, ἀγαθὸν, φησὶν Ἱπποκράτης· ζήτει οὖν τὰ ἀλλήλοις ἐπιγινόμενα, εἴτε ἐπὶ κακῷ, εἴτε ἐπὶ ἀγαθῷ.

θ΄. Ἡ χολὴ, οἷον εἶπον περὶ τῶν ὀρνίθων, ὅτι χολώδεες. —

Τοῦτον τὸν λόγον τελείως ἐξέβαλεν ὁ Γαληνός. τί γὰρ εἴπω περὶ τῶν ὀρνίθων, ὅτι χολώδεες; καί τινές φασιν ὅτι ναί· χολώδεις γάρ εἰσιν, ὡς δηλοῖ τὸ κοῦφον καὶ μετέωρον αὐτῶν.

ι΄. Θερμότης δριμύτητος σημεῖον, οἱ ὄχλοι, αἱ δίοδοι. —

Οὗτος ὁ λόγος ἀληθής· ἡ γὰρ θερμότης καὶ τὴν δριμύτητα ποιεῖ, καὶ ἔστι σημεῖον 3) αὐτῆς. λοιπὸν αὕτη ἡ

1) τρίτος F. 2) ἀμφημερινοῦ C. recte. 3) αὐτοῖς Codd.

δριμύτης ἡ οὖσα τῷ σώματι ἢ ἐν μορίῳ ἔχοντι φυσικοὺς ὑπονόμους, καὶ ἐν τῇ διεξόδῳ περιέχει τὴν αἴσθησιν, καὶ τοῦτό ἐστιν αἱ δίοδοι, ἢ ἐνδομυχοῦσα καὶ ἔσω μένουσα θλίβει καὶ διαβιβρώσκει καὶ ὄχλον παρέχει.

ια΄. Ὅτι τοῖσι παρακρούουσι λήγουσιν ὀδύναι πλευρέων, ἔστι δὲ οἷσι καὶ πυρετός ἐστιν, ἀλλὰ σὺν ἱδρῶσιν, ἔστιν οἷσι καρφαλέον καὶ περιτεταμένον τὸ δέρμα καὶ ἁλμυρώδεες. —

Σαφὴς οὗτος ὁ λόγος. πλευριτικὸν γάρ τινι ἐγένετο νόσημα, ὡς ἐδήλωσεν ἡμῖν τὰ παθογνωμονικὰ αἴτια, καὶ χαλεπὴ πάροδος ὀδύνης. ἐξαίφνης εἰσελθὼν ὁ ἰατρὸς εὗρε ῥαστώνην, εὗρεν ἀνωδυνίαν καὶ τοὺς παρεστῶτας χαίροντας, ἀλλὰ αὐτὸν οὐ δεῖ, ὡς ἔτυχε, χαρίσαι, ἀλλ᾽ ἐρωτᾷν, εἰ κρίσις ἐγένετο, εἰ ἀπόστασις. καὶ οὐδὲν εὑρίσκει, εὑρίσκει δὲ τοὺς ὀφθαλμοὺς τεταραγμένους, καὶ σημεῖα παραφροσύνης, καὶ λέγει μέγα κακόν· ἐλύθη γὰρ ἡ πλευρῖτις, ἀλλ᾽ ἐπὶ κακῷ. ἡ γὰρ ὕλη ἔῤῥεψεν εἰς τὸν ἐγκέφαλον· ὁκόσοι γὰρ πονέοντές τι τοῦ σώματος, πολλάκις δὲ ἡ πλευρῖτις οὐ τελευτᾷ εἰς παραφροσύνην, ἀλλὰ διὰ ἱδρώτων ἐκκρίνεται, ποτὲ διὰ βηχίου, δι᾽ ἐκταράξεως 1) γαστρὸς, διὰ πολλῶν συμπτωμάτων· ποτὲ δὲ ἀπόστασις ἐγένετο παρὰ τὸ δέρμα, καὶ ἐκεῖνο καρφαλέον ἐγένετο καὶ περιτεταμένον. εἰ δέ ποτε ἐξ ἁλμυροῦ ποτε χυμοῦ ἐγένετο ἡ πλευρῖτις, ἠνέχθη κατὰ τοῦ δέρματος.

ιβ΄. Αἱ ναρκώσιες οἷαι ἐξ οὐάτων καὶ οἷαι τῷ τὸ ἰσχίον. —

Προσεχὴς οὗτος ὁ λόγος ἐκείνῳ τῷ θεραπεύοντι τὸ οὖς. ἔνθα 2) ἀπορεῖ τῆς ὄντως θεραπείας, καὶ 3) χρῆται τῇ παραμυθίᾳ τῇ διὰ τῶν ναρκούντων, ὥσπερ ἐπὶ τοῦ πάσχοντος τὸ οὖς, καὶ τοῦ ἔχοντος τὴν ἰσχιάδα.

ιγ΄. Ἐξ οὐάτων δι᾽ οὐάτων τὰ πολλὰ θνήσκει. —

Ἐπειδὴ τὸ οὖς νομίζεται εἶναι τῶν τυχόντων μορίων, λέγει ὁ Ἱπποκράτης ὅτι ἐξ οὐάτων καὶ δι᾽ οὐάτων πολλοὶ ἀποθνήσκουσι, διὰ μὲν τοῦ ἐξ οὐάτων ἐνδεικνύμε-

---

1) γάρ τοι Codd. 2) ἔλεγειν ἀπάτη. λέγει γὰρ addit F. 3) χρῆσε Codd.

νος τὸ κατὰ πρωτοπάθειαν, διὰ δὲ τὸ δι' οὐάτων τὸ κατὰ συμπάθειαν. πολλάκις γὰρ ἐν τῷ ὠτὶ ἐγένετο χαλεπὸν πάθος, καὶ τοῦτο νεμόμενον κατὰ τὸ συνεχὲς, ἔφθασε παρὰ τὸν ἐγκέφαλον καὶ ἐποίηε θάνατον. πολλάκις δὲ ἐν τῷ ἐγκεφάλῳ ἦν πολλὴ ἡ ὕλη, καὶ ταύτην ἀπολακτίζουσα ἡ δύναμις παρὰ τὰ ὦτα ἐποίησε θάνατον.

ιδ'. Οἷσι δέρματα περιτείνεται καρφαλέα καὶ ξηρὰ ἄνευ ἱδρῶτος τελευτῶσιν, οἷσι δὲ χαλαρὰ σὺν ἱδρῶτι. —

Εἴρηται οὗτος ὁ λόγος πολλοῖς τόποις, ὅτι ἐὰν εὕρῃς ἐν νοσήματι κατάξηρον τὸ δέρμα καὶ περιτεταμένον, μὴ προσδοκήσῃς ἱδρῶτας. ἡ γὰρ σκληρότης τοῦ δέρματος οὐ δέχεται· εἰ δὲ εὕρῃς αὐτὸ κεχαλασμένον, εἰκὸς γίνεσθαι ἱδρῶτα. ἀλλ' ὅρα πῶς οἶδε τὰς διαφορὰς ὁ Ἱπποκράτης. ἄλλο γὰρ σκληρὸν καὶ καρφαλέον καὶ περιτεταμένον, καὶ τούτοις μαρτυρήσουσι τὰ ἐναντία· τῷ γὰρ σκληρῷ ἀντίκειται τὸ μαλακὸν, τῷ περιτεταμένῳ τὸ χαλαρὸν, τῷ καρφαλέῳ τὸ δίϋγρον. οὐ γὰρ ἄδικος ἡ φύσις, ὥστε τῷ ἑνὶ πολλὰ ποιῆσαι ἐναντία.

ιε'. Ἐν τοῖσι παλιμβόλοισιν αἱ μεταβολαὶ ὠφελέουσι. τούτοισι μεταβάλλειν, πρινὴ κακοῦσθαι, εἰς τὰ πρέποντα, οἷον Χαιρίωνι· τὰ ἐρεθιζόμενα ἐξ οἴων τὰ κερχνώδεα. —

Εἴ ἐστι παλίμβολον νόσημα, οὐ δυνάμεθα γνῶναι, μὴ γνόντες τί καλεῖ ἡ συνήθεια παλίμβουλον ἄνθρωπον. παλίμβουλος οὖν ἐστιν ὁ ὕπουλος, ὁ ἄλλα μὲν λέγων, ἄλλα δὲ φρονῶν, καὶ ὁ εὐμετάβλητος τῷ λογισμῷ. τοιοῦτόν ἐστι καὶ τὸ νόσημα. παλίμβουλον γὰρ λέγεται τὸ δοκοῦν ἔχειν ῥαστώνην, καὶ ἔσωθεν ὂν κακόηθες. ἐπὶ τούτων οὖν τῶν νοσημάτων ὀφείλεις μεταβάλλειν. καὶ πῶς εἶπε πάντα κατὰ λόγον, ἐπείπερ ἐνταῦθα οὐ διαμένει· ποτὲ γὰρ ἠρεμεῖ, ποτὲ κακοηθεύεται, ἢ ἴσως ἐκεῖ εἶπε μὴ μεταβαίνειν τουτέστιν εἰς ἐναντίον, μὴ ἀπὸ θερμοῦ ἐπὶ ψυχρὸν βοηθεῖν· πλὴν κατὰ τὸ ποσὸν 2) ἀμειβόμεθα ἀπὸ θερμοῦ εἰς θερμότερον. τὸ δὲ μεῖζον νῦν ἐνδείκνυται, ὅτι

---

1) τί F. 2) ἀμείβωμειν F.

πολλάκις παλίμβουλον νόσημα καὶ πρὸς ἡμέρας ὀλίγας ἔσχε ῥαστώνην, καὶ σὺ νομίσας τελείαν γεγονέναι ἀπαλλαγὴν, ἁδροτέρᾳ ἐχρήσω διαίτῃ. εἰ οὖν ὑπέστρεψεν εἰς τὸ κακόηθες νόσημα, μηκέτι 1) ἐπιμείνῃς τῇ ἁμαρτίᾳ, ἀλλὰ μετάβαλε καὶ σὺ εἰς λεπτοτέραν δίαιταν, ὥσπερ οἶδεν αὐτὸ ὁ Ἱπποκράτης ἐπί τινος Χαιρίωνος, ᾧ ἐγένετο κέρχνος τουτέστι κτύπος περὶ τὴν τραχεῖαν ἀρτηρίαν. καὶ ὥσπερ προηγεῖται ναυτία ἐμέτου, οὕτω καὶ βηχὸς ὁ κέρχνος. γίνεται γοῦν ἐπὶ ἐμφράξεως τῶν πόρων, καὶ τῶν βραγχίων τοῦ πνεύμονος. μαχόμενον γὰρ τὸ πνεῦμα μετὰ τοῦ ἐμφράττοντος φλέγματος ἐποίει τὸν κτύπον. ἐκείνῳ οὖν ἐγένετο τοῦτο τὸ πάθος, καὶ διαλείψαντος αὐτοῦ, πρὸς ὀλίγας ἡμέρας ἐχρησάμεθα τῇ ἁδροτέρᾳ διαίτῃ, ὑποστρέψαντος δὲ, τῇ λεπτομερεῖ.

ιϛʹ. Οἷσι μὲν ὑγιὲς καταλείπεται, κάτω ὑφῃρημένης τῆς προφάσιος, ἢ καθαίρων ἢ ἀποδέων ἢ ἀποτέμνων, ἢ ἀποκαίων, οἷσι δὲ μὴ, οὔ. —

Θαυμαστὸς ὁ λόγος καὶ πρέπων χειρουργοῖς. πολλάκις γὰρ ἐπλεόνασέ τι παρὰ φύσιν νόσημα ἐν τῷ σώματι. καὶ σύνοιδεν ἡ τέχνη χειρουργίᾳ χρήσασθαι. ἆρα οὖν ἐπ᾽ ἀπείρῳ μὲν 2) τέμνειν; οὐδαμῶς, ἀλλ᾽ ἄχρι τοσούτου, ἕως οὗ φθάσωμεν τὸν ὑγιαίνοντα τόπον. ἀλλ᾽ ὡς εἰκὸς ἐν τῷ μέσῳ κατεβλήθη ἡ δύναμις ἐκ τῆς σφοδρᾶς ὀδύνης, καὶ οὐκ 3) ἠδυνήθη ὁ ἰατρός πάντα παρὰ φύσιν τέμνειν· τότε ἐάσας τὸ λειπόμενον, ὕστερον κάθαρον ἢ δεσμῶν διαλάμβανε, ἢ καυστῆρι καῖε ἢ καὶ δευτέρᾳ χειρουργίᾳ κέχρησο.

ιζʹ. Οἷσιν αἷμα ῥεῖ πουλὺ καὶ πολλάκις ἐκ ῥινέων, οἷσι μὲν αἱ χροαὶ ἄχρητοι, ὀλίγα τουτέοισιν ἀρήγει· οἷσι δὲ ἐξέρυθροι χρῶτες, οὐχ ὁμοίως. —

Σαφὴς καὶ οὗτος ὁ λόγος· ποτὲ ἐγένετο αἱμοῤῥαγία πολλὴ καὶ πολλάκις, καὶ οὕτω πολλὴ ἐγένετο, ὡς καὶ ὠχρότερον γενέσθαι τὸ πρόσωπον. ἀλλ᾽ αὕτη ἡ ἄχροια ἐν

1) ἐπινείμῃς L. 2) ἔχωμεν F. addit. 3) ὀδυνήθη L.

μὲν τοῖς ὠχροτέροις ῥαδίως φαίνεται, 1) ἐξερύθροις δὲ οὐχ ὁμοίως. εἰ οὖν κεκένωται τὸ πᾶν σῶμα, ὀφείλει τραφῆναι διὰ τῶν πολυαίμων κρεῶν καὶ ἄρτου. ἀλλὰ τὰ σιτία αὐτὰ ἑαυτὰ οὐ πέττει, ἀλλ' ὑπὸ ὀδύνης. οὔκουν τὰ εὔπεπτα καὶ εὐανάδοτα δῶμεν. τοιοῦτος ἔστω καὶ ὁ οἶνος, πλὴν εἰ μὴ φοβούμεθα κεφαλαλγίαν· τότε γὰρ ὑδαρώτερον αὐτὸν παρέχομεν.

ιη'. Οἷσι ῥῖνες ὑγρότεραι φύσει καὶ ἡ γονὴ ὑγροτέρη καὶ πλείων, ὑγιαίνουσι· νοσέουσι δὲ οἱ τὰ ἐναντία. —

Οὐ τοῦτο λέγει ὅτι οἱ ὑγρότεροι τὰς ῥῖνας καὶ τὴν γονὴν ὑγρότεροί εἰσι. τίς γὰρ ἡ αἰτία; ἀλλ' οἱ ὑγρότεροι τὰς ῥῖνας καὶ τὴν γονὴν ὑγιαίνουσιν, ἐπειδὴ ἡ μὲν ῥὶς τὰ ἄνω περιττώματα καθαίρει, ἡ δὲ γονὴ τὰ κάτω. εἰ δὲ ταῦτα ἐπισχεθῶσι, νοσοῦσιν οὗτοι. ἀλλὰ καλῶς ὁ Ἱπποκράτης προσέθηκε τὸ φύσει· ἰδοὺ γὰρ ἐπὶ τοῦ κατάῤῥου αἱ ῥῖνες ὑγραίνονται, καὶ ἐπὶ τῆς γονοῤῥοίας ἡ γονὴ, ἀλλ' οὐχ ὑγιαίνουσιν· οὐ γὰρ ἐκ φύσεως κενοῦνται τὰ περιττώματα.

ιθ'. Τὰ στρογγυλλόμενα πτύελα παρακρουστικὰ οἷον ἐν τῷ Πλινθίῳ· τουτέῳ ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ καὶ ἐλύθη πεμπταίῳ. —

Ἐν τούτῳ τῷ τμήματι ὁ Ἱπποκράτης λόγους ἐξέθετο τοὺς μὲν περὶ νοσημάτων, τοὺς δὲ περὶ αἰτιῶν. νῦν οὖν περὶ συμπτωμάτων διαλέγεται. ἀλλὰ 2) ζήτει ἐν τῷ προγνωστικῷ περὶ τοῦ ποσοῦ τοῦ πτυέλου, εἴτε πολὺ εἴτε ὀλίγον ἐστίν· ἔτι περὶ τῆς συστάσεως, εἴτε παχὺ εἴτε λεπτόν· περὶ τῆς ὀσμῆς, εἴτε δυσῶδες εἴτε οὔ· περὶ τῆς χροιᾶς, εἴτε μέλαν εἴτε λευκόν· περὶ τοῦ σχήματος, εἴτε διατεταμένον εἴτε στρογγύλον, περὶ οὗ νῦν διαλέγεται. ἀνηνέχθη τοιγαροῦν πτύελον περιφερὲς, στρογγύλον. γινώσκει ἡ τέχνη ὅτι χυμός ἐστι κολλώδης, ὅστις ἐνισχόμενος ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ πλείονας ὥρας μένων συσχηματίζεται αὐτῇ. ἔστι γὰρ κἀκείνη κυκλικὴ καὶ περιφερής· ἀλλὰ τοῦτο οὐκ ἂν πάθοι, μὴ οὔσης θερμασίας, περιφρυττούσης αὐτό. 3) οὔκουν

---

1) ἐν δὲ τοῖς F. 2) ἐξητήθη F. 3) οὔκουν — σημεῖον om. C.

τὸ στρογγύλον πτύελον πάντως θερμασίας σημεῖον. εἰ δέ ποτε εὑρεθῇ εὐπαθὴς καὶ εὐαίσθητος ἡ κεφαλὴ, δεχομένη τοὺς ἀτμοὺς, καὶ παραφρονήσει. πάντως μὲν θερμασία ἐν τῷ στρογγύλῳ πτυέλῳ· πάντως δὲ παραφρουσύνη, ὅτε εὐπαθὴς ἡ κεφαλή. τοῦτο γὰρ εἰδὼς ὁ Ἱπποκράτης καὶ μερικοῦ τινος 1) πάθους ἐμνημόνευσε, τοῦ ἐν τῷ Πλινθίῳ τόπῳ. οὕτως τὸ ὄνομα μὴ εἰδὼς ἐκ τοῦ τόπου ἐδήλωσεν αὐτό· τούτῳ γὰρ, ἐπὶ τῷ τοιούτῳ πτύσματι εὑρεθείσης εὐπαθοῦς τῆς κεφαλῆς, παραφροσύνη ἐγένετο· ἐγένετο δὲ καὶ αἱμοῤῥαγία ἀριστεροῦ μυκτῆρος, αἱμοῤῥαγία δὲ, οὐχ ὅτι φρενῖτις ὑπέκειτο. φρενῖτιν γὰρ οὐδέποτε καλεῖ ὁ Ἱπποκράτης παράκρουσιν, ἀλλ' ἢ ἔκστασιν ἢ μανίαν. ἄλλως τε δὲ οὕτω παραφροσύνη ἦν, ὅτε καὶ ἡ πίστις τῆς ἡμέρας, κρίσιμος οὖσα πέμπτη· οὐ δύναται δὲ ἡ φύσις ἐπὶ φρινίτιδι ἀναμεῖναι κρίσιμον ἡμέραν. λέγει δὲ ὁ Ἱπποκράτης, ὅτι καὶ ἐλύθη. δῆλον οὖν ὅτι οὐ στάγδην, ἀλλ' ἀθρόως ἠνέχθη. ἐλύθη δὲ ἡ παραφροσύνη καὶ ἔμεινε τὸ στρογγύλον πτύελον, ἢ ἐλύθη καὶ τὸ πτύελον καὶ ἡ παραφροσύνη καὶ τὸ 2) νόσημα.

κ'. Οὖρον πολὺ ὑπόστασιν ἔχον ῥύεται τὰς παρακρούσιας, οἷον καὶ τὸ τοῦ Δεξίππου μετὰ μάδησιν. —

Φησὶν Ἱπποκράτης οὕτως· αἱμοῤῥαγίαν 3) ὡς αἱμοῤῥαγίαν ἐτίμησα, ἀλλ' ὡς κενώσασαν τὸν ποιοῦντα χυμὸν τὴν παραφροσύνην. ἔνθεν καὶ παρακένωσιν ἀποδέχομαι καὶ τὴν δι' ἱδρώτων καὶ τὴν διὰ γαστρὸς καὶ τὴν δι' οὔρων. ποτὲ γὰρ οὖρον ἐκενώθη πολὺ, καὶ μετὰ πολλῆς ὑποστάσεως, καὶ ἔπαυσε παραφροσύνην, καὶ μάλιστα δὲ, εἰ ἦν τὸ οὖρον ἐκ τοῦ ποιοῦντος χυμοῦ· οὐδὲν γὰρ ἄτοπον, ἔκ τινος περιστάσεως πολὺ κενωθῆναι οὖρον καὶ μεῖναι παραφροσύνην. ἀλλ' εἰ τὸ οὖρον ἐκ τοῦ χυμοῦ κενωθῇ, δύναται παῦσαι παραφροσύνην. ὥσπερ καὶ τῷ τοῦ 4) Δεξίππου συγγενεῖ. πάλιν μερικοῦ ἐμνήσθη πάσχοντος, ἵνα δηλώσῃ ὅτι τινὰ παραφροσύνην λύει οὔρων πλῆθος. τούτῳ ἐγένετο παραφροσύνη, 5) καὶ δι' οὔρων ἐλύθη μετὰ μάδησιν.

---

1) *παθόντος* F. 2) *πᾶν* addit F. 3) *οὐχ* addit C. 4) sicuti Dexippi lotio evenit. C. 5) In cod. F. folium ablatum.

μάδησιν δὲ καλεῖ τὴν μαδάραν, ἀλλὰ τὴν παρὰ φύσιν· οὕτω τὴν μὲν διὰ μαδάρας, τὴν δὲ δι' οὔρων ἐκένωσεν.

κα'. Οὐ πρόσω ἐνιαυτοῦ τεταρταῖος. —

Νῦν περὶ ἄλλου λόγου φησίν· εἴρηται δὲ ὅτι ὁ μὲν τριταῖος ὀλιγοχρόνιος μὲν, ἀκίνδυνος δὲ, ὁ δὲ ἀμφημερινὸς καὶ μακρὸς καὶ ἐπικίνδυνος, ὁ δὲ τεταρταῖος μακρὸς μὲν, ἀκίνδυνος δὲ. λέγει οὖν ὅτι ὁ τεταρταῖος οὐ φέρεται πρόσω ἐνιαυτοῦ, ἀλλ' ἀρκεῖται μόνῳ ἐνιαυτῷ. μὴ νομίσῃς δὲ τὸν λόγον ψεύδεσθαι ἐκ τῶν νῦν φαινομένων, ὅτι ὁρᾶται καὶ εἰς πλείονα ἔτη παρεκτείνων ὁ τεταρταῖος. ἀλλὰ πρῶτον μὲν αἰτίασαι τὸν χρόνον καὶ τὴν διαφορὰν τῶν σωμάτων, ὅτι ἐν μὲν τοῖς τότε χρόνοις ἀπέριττα καὶ καθαρὰ ὄντα τὰ σώματα ἡμῶν ἢ οὐχ ἡλίσκετο παχεῖ χυμῷ ἢ καὶ τοῦτο ὀλιγοχρονίως. νῦν δὲ τὸ ῥυπαρὸν τῶν σωμάτων δύναται καὶ χρόνια γεννῆσαι νοσήματα. ἄλλως τε δὲ ἴσως οὐ περὶ παντὸς τεταρταίου λέγει· ὁ γὰρ τεταρταῖος διττὸς, ἢ ἐξ ὑπεροπτήσεως τῆς μελαίνης χολῆς, ὅσπερ καὶ δριμύς ἐστι καὶ μάλιστα εἰ σαπῇ, καὶ ἀπὸ τῆς τρυγὸς τοῦ αἵματος σηπομένης, ὅσπερ ἐπιπολαιότερός ἐστιν· οὐδέποτε γὰρ αἷμα τὸ φύσει φίλιον σήπεται, ὡς μιμεῖσθαι χολὴν τὴν μέλαιναν. ἴσως οὖν τεταρταῖον λέγει τὸν ἐκ τῆς μελαίνης χολῆς. οὗτος γὰρ ὡς ἐπιπολὺ ἔχων τὸ δριμὺ ὀλιγοχρονιώτερός ἐστι, καὶ μάλιστα εἰ ἐν θέρει εὑρεθείη. οἱ γὰρ θερινοὶ τεταρταῖοι ὡς τὰ πολλὰ γίνονται βραχεῖς, οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. ἔστι δὲ καὶ τρίτον αἴτιον ὅτι ἴσως τεταρταῖον λέγει ὀλιγοχρόνιον, τὸν κατὰ λόγον θεραπευθέντα, ἤτοι ἐν καιρῷ φλεβοτομηθέντα καὶ καθαρθέντα καὶ διαιτηθέντα. τάχα γὰρ οὗτος οὐδὲ τὸν ἐνιαυτὸν ἔμεινεν.

κβ'. Ὦτα τοῦ θέρεος ῥήξιες πεμπταίοισιν· ἔστι δ' ὅτε καὶ μακρότερα. —

Ἄλλος ἐστὶν ὁ λόγος οὗτος. ἔχει δὲ δύο γραφάς· ἢ γὰρ ὦτα, ἵνα δηλώσῃ τὰ ὠιία, ἢ 1) ὡς τὰ τοῦ θέ-

1) cui C. φ.

ρεος. ἑκάτερον δὲ ἐξηγούμεθα. εἰ γὰρ ἔχει ὡς τὰ του θέρεος, λέγει ὁ Ἱπποκράτης, ὅτι εἶδόν τινα ἄνθρωπον, ᾧ ἐγένετο τὰ τοῦ θέρεος νοσήματα, τριταῖοι, καῦσοι, ἕρπητες. ταῦτα δὲ συντόμως ἐλύθησαν ἢ τῇ πέμπτῃ ἢ τῇ ἑβδόμῃ. ὀλιγοχρόνια γὰρ τὰ ἀπὸ χολῆς νοσήματα. ἐλύετο δὲ ταῦτα διὰ ῥήξεως ἀγγείου· ἢ γὰρ δι' αἱμοῤῥαγίας ἢ δι' αἱμοῤῥοΐδος. εἰ δὲ ἔχει ὦτα, λέγει ὅτι ἐν τῷ θέρει ἐγένετο ἀπόστασίς τινι παρὰ τὸ οὖς, καὶ ἐπειδὴ οὐκ ἠδυνήθη διαφορηθῆναι, εἰς πῦον μετεβλήθη, καὶ διὰ ῥήξεως περὶ τὴν πέμπτην ἢ ἑβδόμην ἡμέραν ἀπηλλάγη.

κγ'. Τὰ περὶ τὰ οὖλα καὶ γλῶσσαν ἀποπτύει ἑβδομαίοισιν, μάλιστα δὲ καὶ αἱ κατὰ τὰς ῥῖνας καὶ τὰ οὖλα ἐκπυήσιες. —

Ἐπειδὴ περὶ ἀποστάσεως εἶπεν ἄνω, καὶ νῦν περὶ αὐτῆς φησιν· ἀλλ' ἢ ἀποπτύει. ἀποπτύει γὰρ 1) πτύον. φησὶ δὲ ὅτι περὶ τὴν γλῶτταν ἢ τὰ οὖλα ἔρχεται λεπτότερον ῥεῦμα, καὶ τοῦτο διὰ πτυσμάτων κενοῦται. ποτὲ δὲ παχύ ἐστι, καὶ τοῦτο μένον σφηνοῦται καὶ ἐμπυΐσκεται. ποῦ δέ; μάλιστα γὰρ ἐν τῇ ῥινὶ καὶ ἐν τοῖς οὔλοις, ἐπειδὴ τούτων ἡ οὐσία πεπυκνωμένη ἐστί· πυκνὴ δὲ οὖσα οὐκ ἐᾷ διαφορηθῆναι τὴν ὕλην, καὶ ἐξ ἀνάγκης εἰς πύον μεταβάλλει. —

κδ'. Οἷσιν ἀπὸ ὀδόντων ὀδύνη ἢ ἀπὸ ὀφρύων λεπτὰ ἔρχεται, τούτοισιν ἀπὸ πεπέρεος εὖ ἐνερεισθέντος παχύτερα τῇ ὑστέρῃ ἔρχεται. —

Θαυμαστὸς ὁ λόγος, οὐ σαφηνίζεται δὲ, μὴ προσληφθέντων τινῶν. γίνεται γάρ ποτε ὀδύνη περὶ τοὺς ὀδόντας, καὶ καλεῖται ὀδονταλγία. γίνεται δὲ αὕτη ἀπὸ ῥεύματος τοῦ διαβρωτικοῦ, ὡς καὶ αὐτὴν τὴν οὐσίαν γεώδη οὖσαν τρίζειν τοὺς ὀδόντας, καὶ ἐπὶ τούτῳ σφοδρὰ γίνεται ἡ ὀδύνη. ἔχουσι δὲ καὶ αἴσθησιν γευστικὴν καὶ ἁπτικήν. ταύτην οὖν τὴν ὀδύνην θέλων ἐκκόψαι ὁ ἰατρὸς ζητεῖ, ἆρα ἐπιῤῥέεται ἡ ὀδύνη ὀδοῦσιν ἢ ἐπ' αὐτῷ μόνῳ αὕτη ἐπιτέτραπται. καὶ ἐὰν εὕρῃ ὅτι ἐπιῤῥεῖται, ζητεῖ

1) Fort. πῦον sive πτύων.

ἔτι ἐκ παντὸς τοῦ σώματος ἢ ἐκ τῶν ἄνω ἢ ἐκ τῶν κάτω. εὗρεν ὅτι ἐκ τῶν ἄνω, ἀλλὰ πολλῶν ὄντων τῶν ἄνω, παράδειγμα ἔλαβε τὴν ὀφρύν. εἰ οὖν ἐπιῤῥεῖται ἡ ὀδύνη, ἀδύνατον αὐτὸν θεραπεῦσαι, μὴ ἀνασταλέντος τοῦ πέμποντος. τοῦτο οὖν ποιεῖ στύφον καὶ ψύχον. λοιπὸν ἔρχεται ἐπὶ τὴν θεραπείαν τοῦ πάσχοντος τόπου, καὶ κέχρηται τῷ διὰ τριῶν πεπέρεων, καὶ κενοῖ τὸ παχὺ ταῖς ὑστέραις ἡμέραις· τὰ γὰρ πολλὰ τῶν βοηθημάτων χρόνῳ δρῶσιν. ἐχρησάμεθα οὖν πᾶσι τούτοις καὶ ὠφελήσαμεν. ἀλλ᾽ οὐ καταρκεῖ ἡ δύναμις. ὀφείλομεν οὖν στῆσαι καὶ ναρκῶσαι αὐτὴν διὰ τῶν ψυχόντων. ταῦτα γὰρ ἐπιβάλωμεν χωρὶς ὀδύνης. τινὶ γὰρ εἰς ὕπνον· ψυκτικὸν ἐντεῦθεν οὐκ ἐκράτησεν, ἀλλ᾽ ἐπειδὴ τοῖς ψύχουσιν ἕπεται 1) ὑπὸ τὸ ψυχρὸν, ὑπνωτικὸν ἐκάλεσεν. ἐπὶ τούτου οὖν τὸ ψύχον οὐδὲ ἔδρασεν, ἐπειδὴ ἥμαρτεν ὁ ἰατρός· προεσκάλευσε γὰρ ὁ ἰατρὸς περιχαρακτῆρι τὸν ὀδόντα, καὶ ἐντεῦθεν πολλῆς γενομένης 2) ὁ ...., οὐκ ἐκράτησε τὸ ψύχον.

κε΄. Τὴν ἀπὸ τῆς κεφαλῆς ὀστέων φύσιν, ἔπειτα νεύρων, φλεβῶν καὶ σαρκῶν καὶ τῶν ἄλλων χυμῶν καὶ τῶν ἄνω καὶ τῶν κάτω κοιλιῶν καὶ τρόπων καὶ γνώμης καὶ τῶν κατ᾽ ἐνιαυτὸν γιγνομένων. ὥρῃ τινὶ τότ᾽ ἐπὶ πρωΐτερον τοῦ ἔτεος, οἷον ἐξανθήματα καὶ τὰ τοιαῦτα ὁμοίην τοῖσι καθ᾽ ἡμέρην πρωΐτερον λαμβανομένοισιν ἢ τὸ ὀψιαίτερον ὡσαύτως. —

Ἐπειδὴ γὰρ οὐκ ἔστι τὰ παρὰ φύσιν θεραπεῦσαι τὸν μὴ γνόντα τὰ κατὰ φύσιν, πάλιν περὶ αὐτῆς διαλέγεται καὶ λέγει, ζήτει τὰ κατὰ φύσιν, ζήτει τὰ ἐν ἡμῖν, πρὸς οἷς καὶ θεμέλια τοιαῦτα· καί ἐστι τὰ ὀστᾶ. τούτων γὰρ τὰ μὲν διὰ τὸ ὑποκεῖσθαι, τὰ δὲ διὰ τὸ σκέπειν, διὰ τὸ περιφρουρεῖν γεγόνασιν. ἀλλ᾽ ἐπειδὴ καὶ διάφορα τὰ ὀστέα τῆς κεφαλῆς 3) * ἢ ὀστῶν τιμϊώτατον ἐγκέφαλον περιεχούσης, ἢ ὅτι πρὸς τὴν ἀναλογίαν αὐτῆς καὶ τἄλλα γεγόνασιν ὀστέα, καὶ διὰ τῶν ἐξ αὐτῆς ὁ νωτιαῖος. ὅταν γοῦν εὕρῃς τὰ περὶ τῶν ὀστῶν, ζήτει καὶ τὰ τῶν νεύρων,

---

1) Legas: ὕπνος, τὸ ψυχρόν. 2) Lacunam expleo, ὀδύνης.
3) Conjicio: ὡς τὸν, utpote rem C.

ἄρα πόθεν ἐκφύεται, ἄρα ἐξ ἐγκεφάλου ἢ ἐκ τοῦ νωτιαίου, καὶ δι' αὐτῶν ποῦ παρέρχεται, καὶ ποῦ καταφύεται. ζήτει δὲ καὶ τὰ περὶ φλεβῶν, τὸ ἧπαρ. ζήτει δὲ καὶ τὰ περὶ τῶν σαρκῶν. ἀλλὰ σάρκα καλεῖ ὁ Ἱπποκράτης οὐ μόνην τὴν παρεσπαρμένην τῷ μυΐ, ἀλλὰ καὶ τὴν ἐντέρων καὶ κύστεως. ἕκαστον γὰρ μόριον ἐκ σαρκὸς σύγκειται πρεπούσης αὐτῷ. ζήτει δὲ καὶ τὰ περὶ τῶν χυμῶν, πόσοι μὲν οὗτοι, ποίας δὲ κράσεως ἕκαστος, καὶ ποῦ φιλεῖ πλεονάζειν. ἀλλ' οἱ χυμοὶ οὗτοι οὐ περιπλανῶνται, ἀλλ' ἐν τῇσι κοιλίῃσίν εἰσιν· ἀλλ' αἱ κοιλίαι αἱ μὲν περιττὸν, αἱ δὲ ἀναγκαῖον περιέχουσι. καὶ ἀναγκαῖον ἡ δύναμις, ὡς ἐγκέφαλος, ἢ πνεῦμα, ὡς ἡ καρδία, ἢ ὑγρὸν, ὡς τὸ ἧπαρ. ὁμοίως καὶ τὸ περιττὸν ἢ ὑγρὸν ὡς ἡ κύστις, ἢ στερεὸν ὡς τὸ ἀπευθυσμένον. καὶ ἁπλῶς εἰπεῖν, ζήτει τὰ ἄνω, τὰ κάτω, ποίαν ἔχουσι φύσιν. φύσιν δὲ λέγει τὴν κράσιν, τὴν διοίκησιν, τὴν κατασκευήν. ταῦτα δὲ πάντα ζήτει, ποίαν γνώμην ἔχουσι, ποίαν κατασκευὴν, ποίαν ἕξιν· τὴν γνώμην, τὸν λόγον πῶς ἔχει. ζήτει δὲ καὶ τὰ περὶ τρόπων. τρόπων ἢ τροπῶν. τρόπον μὲν, ὅτι ζήτησον ἑκάστου τὸ ἦθος καὶ τὴν διαφοράν. τροπῶν δὲ, ὅτι ζήτει καὶ τὰ περὶ τροπῶν τοῦ ἀέρος· τοῖς μὲν γὰρ ἄλλοις πᾶσί ποτε κεχρήμεθα, τὸν δὲ ἀέρα ἀεὶ ἀναπνέομεν. ζήτει οὖν εἰ κατὰ φύσιν ἔμεινεν οὗτος· ἐν γὰρ τοῖσι καθεστῶσι καιροῖσι καὶ τὰ ἑξῆς. εἰ δὲ παρατραπῇ, ζήτει εἴτε κατὰ μίαν ὥραν εἴτε κατά τινας εἴτε κατὰ πάσας, καὶ εἰ ἐπὶ τὸ ὁμοειδὲς εἴτε ἐπὶ τὸ ἑτεροειδές. ταῦτα δὲ λέγομεν, ἐπειδὴ αἱ ὧραι 1) τοῦ ὀνόματος, ἀλλὰ τῶν πραγμάτων δρῶσιν· οὐ γὰρ εἰ ἀκούσεις θέρος ἦλθεν, ἤδη προσδόκα τὰ σύμπαντα θέρους νοσήματα· πολλάκις γὰρ πρωϊαίτερον ἢ ὀψιαίτερον εἰσβάλλουσα ὥρα ὑπενόθευσεν ὥρας κράσιν. ἃ λέγομεν ἐπὶ παντὸς τοῦ ἔτους, ταῦτα καὶ ἐπὶ μιᾶς ὥρας. ἐλέγετο γὰρ ἀνωτέρω, καὶ ἐς δείλην ἀσκαρίδες, ὅτι πᾶσα ἡμέρα ἀναλογεῖ τῷ ἔτει, ὁ μὲν ὄρθρος τῷ ἔαρι, ἡ δὲ μεσημβρία τῷ θέρει, ἡ δὲ δείλη τῷ φθινοπώρῳ, ἡ δὲ νὺξ τῷ χειμῶνι. ζήτησον οὖν ταῦτα πάντα, ἵνα γνῷς ἐν

1) Fort. om. *διά*.

ποίᾳ ὥρᾳ εἰσβάλλουσι τὰ νοσήματα, ὡς ἐπὶ τῶν ἐξανθημάτων καὶ τῶν ἄλλων πάντων νοσημάτων.

κϛ΄. 1) Τὸ ἐπίχολον καὶ ὕφαιμον σῶμα μελαγχολικὸν, μὴ ἔχον ἐξερώσιας. —

Περὶ ἄλλου τινὸς νῦν διαλέγεται, περὶ μελαγχολικοῦ φησιν. οὗτος δὲ διττὴν ἔχει τὴν γένεσιν, ἢ ἀπὸ τῆς μελαίνης χολῆς ἀποτεφρουμένης καὶ σηπομένης, ἢ τῆς τρυγὸς τοῦ αἵματος σηπομένης, ἥτις οὐδέποτε καταλαμβάνει τὰ μέτρα τῆς δριμύτητος τῆς μελαίνης χολῆς. λέγει οὖν Ἱπποκράτης, ὅτι τὸ ξανθοχολικὸν καὶ ὕφαιμον σῶμα μελαγχολικὸν, ἐὰν μὴ ἔχῃ ἐξερώσιας τουτέστι κενώσεις· εἰ γὰρ μὴ κατὰ βραχὺ κενωθείη ὁ μελαγχολικὸς, ποιεῖ νοσήματα.

κζ΄. Λυκίνῳ τὰ ὕστατα σπλὴν μέγας ὀδυνώδης ἐν τῇ τετάρτῃ ἢ πέμπτῃ ἡμέρῃ. —

---

1) Hoc scholion post insequens positum in codicibus meis. Scholion Crassi differt, quod huc transscribo: Ad alium tradendum aphorismum transit Hippocrates, in quo est admirandus, inquit enim: Fac duos esse aegrotos, quorum alter sanguinem, alter bilem ruffam habeat. Si ruffa bilis moderata sit, nihil detrimenti eventurum est: Si naturae limites superet, et putrescat, tunc ferum humorem gignit, id est, atram bilem, quae veluti furore percita erodit, et fera feros morbos parit, ut puta cancrum, et elephantiasim, qui feri morbi dicuntur, vel quia ferarum nomina gerunt, vel quia serpunt intus, et celantur, mox et repente apparent, iterum occultantur, iterumque emergunt, instar ferarum, ac si libet, morbos versatiles appellato, ob incertam sui mutabilemque naturam. Et haec sane a ruffa bile contingunt. Identidem et de sanguine dicatur, si naturaliter se habeat, membra nutrit, si putrescat, et crassior, naturaeque contrarius evadat, humorem melancholicum procreat. Qui si educetur, nullum maleficium afferet, si manebit in corpore, ut nigra bilis, et ipse atroces morbos feret. Caeterum scire debemus, atram bilem non modo a flava, sed etiam a sanguine generari, acrior tamen est a flava bile, quam a sanguine genita, cum et flava bilis ipso sanguine acrior sit. Dicit autem, nisi extractiones habeat, ac si dicat, humorem hunc e corpore extrahi, id est evacuari debere.

Τοῦτον τὸν λόγον δεῖ τελείως ἐκβαλεῖν· λέγει γὰρ ὅτι Λυκίνῳ σπλὴν μέγας ἐγένετο. τὰ ὕ σ τ α τ α, ἢ τὰ ὕστατα τοῦ ἔτους, ἢ τὰ ὕστατα τοῦ νοσήματος. οὐκ εἶπεν οὖν τελείως· νόθος.

ΑΡΧΗ ΤΟΥ ΕΒΔΟΜΟΥ ΤΜΗΜΑΤΟΣ.

α'. Βῆχες ἤρξαντο περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς ἢ πέμπτη καὶ δεκάτη ἢ εἰκοστῇ ἡμέρῃ ἐκ μεταβολῆς πύκνῆς νοτίων καὶ βορείων πνευμάτων καὶ χιονωδέων. ἐκ τουτέων τὰ μὲν βραχύτερα, τὰ δὲ μακρότερα ἐγίγνετο, καὶ περιπνευμονικὰ συχνὰ μετὰ ταῦτα. πρὸ ἰσημερίης αὖτις ὑπέστρεφε τοὺς πλείστους ὡς ἐπιτοπολὺ τεσσαρακοσταίους ἀπὸ τῆς ἀρχῆς, καὶ τοῖσι μὲν πάνυ βραχέα ἐγίγνετο, 1) [τοῖσι δὲ φάρυγγες ἐφλέγμηναν, τοῖσι δὲ κυνάγχαι, τοῖσι δὲ παραπληγικὰ, τοῖσι δὲ νυκτάλωπες, μᾶλλον δὲ παιδίοισι. περιπνευμονικὰ δὲ πάνυ βραχέα ἐγένετο. φάρυγγες δὲ βήξασι τὸ ὕστερον, ἢ πάνυ βραχὺ ἀντὶ τῆς βηχὸς ἐγίνοντο.] φάρυγγες δὲ βραχέαι, μᾶλλον δὲ νυκταλώπων. 2) κυνάγχαι δὲ καὶ παραπληγικὰ ἢ σκληρὰ καὶ ξηρὰ ἢ σμικρὰ καὶ ὀλιγάκις ἀνάγουσαι πέπονα· ἔστι δ' οἷσι καὶ κάρτα. οἱ μὲν οὖν τῇ φωνῇ πλείω ταλαιπωρήσαντες ἢ ῥιγώσαντες εἰς κυνάγχας μᾶλλον ἐτελεύτων. οἱ δὲ τῇ χειρὶ πονήσαντες ἐς χεῖρας μοῦνον παραπληγικοὶ, οἱ δ' ἱππεύσαντες ἢ πλείω ὁδὸν πορευόμενοι ἢ ἄλλο τι τοῖσι σκέλεσι ταλαιπωρήσαντες, τουτέοισι δὲ ἐς ὀσφῦν ἢ σκέλεα ἀκρασίαι παραπληγικαὶ, ἢ καὶ ἐς μηροὺς καὶ κνήμας

1) Om. Codd. 2) Inde Cod. F. porro pergit post lacunam.

ὁ κόπος καὶ πόνος. σκληρόταται δὲ καὶ βιαιόταται αἱ ἐς τὰ παραπληγικὰ 1) ἄγουσαι. πάντα δὲ ταῦτα ἐπὶ τῇσιν ὑποστροφῇσιν ἐγίγνοντο, ἐν ἀρχῇσι δὲ οὐ 2) μάλα. πολλοῖσι δὲ τουτέων ἀνῆκαν αἱ βῆχες μὲν ἐν τῷ μέσῳ, ἐξέλιπον δὲ τελέως οὔ. ἀλλὰ συνῆσαν τῇ ὑποστροφῇ, οἷσι φωναὶ ἀπεῤῥήγνυντο ἐς τὸ βηχῶδες, τουτέων οἱ πλεῖστοι οὐδὲ ἐπυρέτηναν, οἱ δέ τινες βραχέα. ἀτὰρ οὐδὲ περιπνευμονικὰ ἐγίνετο· τουτέων οὐδενὶ οὐδὲ παραπληγικὰ οὐδὲ ἄλλο οὐδὲν ἐπεσημάνθη, ἀλλ᾽ ἐν τῇ φωνῇ ἐκρίνετο. τὰ δὲ νυκταλωπικὰ 3) [ἱδρύετο, ὡς καὶ τὰ ἐξ ἄλλων προφασίων γινόμενα. ἐγίνετο δὲ νυκταλωπικὰ] τοῖσι παιδίοισι μάλιστα. ὀμμάτων δὲ τὰ μέλανα καὶ ὑποποίκιλα, ὅσα τὰς μὲν κόρας σμικρὰς ἔχει, τὸ δὲ ξύμπαν μέλαν ὑποποίκιλον ὡς ἐπιτοπουλύ. μεγαλόφθαλμοι δὲ μᾶλλον, καὶ οὐ σμικρόφθαλμοι, καὶ ἰθύτριχες οἱ πλεῖστοι καὶ μελανότριχες. γυναῖκες οὐχ ὁμοίως ἐπόνησαν ὑπὸ τῆς βηχὸς, ἀλλ᾽ ὀλίγαι τε ἐπυρέτηναν, καὶ τουτέων πάνυ ὀλίγαι ἐς τὸ περιπνευμονικὸν ἦλθον καὶ αὗται πρεσβύτεραι, καὶ πᾶσαι περιεγένοντο. ᾐτιώμην τοῦτο καὶ τὸ μὴ ἐξιέναι ὁμοίως ἀνδράσι ὅτι οὐδ᾽ ἄλλως ἁλίσκονται ἀνδράσιν. κυνάγχαι ἐγίγνοντο μὲν καὶ ἐλευθέρῃσι, καὶ αὗται τοῦ εὐηθεστάτου τρόπου· περισσοτέρως δὲ δούλῃσι, ὅσῃσί τε ἐγίγνοντο βιαιόταται, καὶ ταχύτατα ἀπώλλυντο. ἀνδράσι δὲ πολλοῖσιν ἐγίγνοντο, καὶ οἱ μὲν διέφυγον, οἱ δὲ ἄλλοι ἀπώλλυντο. τὸ δὲ ξύμπαν οἱ μὲν μὴ δυνάμενοι καταπίνειν, μοῦνον πάνυ εὐήθη καὶ εὔφορα, οἱ δὲ καὶ διαλεγόμενοι πρὸς τούτοισιν 4) ἀσαφέως ὀχλωδέστερα καὶ χρονιώτερα. οἷσι δὲ φλέβες αἱ περὶ κρόταφον καὶ αὐχένα ἐπήροντο, ὑποπόνηρα, οἷσι δὲ καὶ πνεῦμα ξυνεμετεωρίζετο, κάκιστον· οὗτοι γὰρ καὶ ἐπεχλιαίνοντο. ὡς γὰρ γέγραπται, οὕτως αἱ συγκληρίαι ἦσαν. τὰ μὲν πρῶτον γεγραμμένα καὶ ἄνευ τῶν ὑστέρων γεγραμμένων ἐγίγνετο, τὰ δ᾽ ὕστερον οὐκ ἄνευ τῶν πρότερον. τάχιστα δ᾽ ἔθνησκον, ὅτ᾽ ἐπιῤῥιγώσειαν πυρετώδει ῥίγει. τούτους οὐδὲ ἀναστάσει πιεζομένους οὐδὲν

---

1) λέγουσαι L. 2) μεγάλαι L. 3) Om. Codd. 4) σαφῶς Codd.

ἄξιον λόγου 1) ὠφελεῖ, οὔτε γαστρὸς ταραχὴ οὔτε φλεβοτομίη, ὅσα ἐπειράσθην. ἔταμον δὲ ἀγκῶνα καὶ ὑπὸ γλῶσσαν, οὓς δὲ ἄνω ἐφαρμάκευσα. ταῦτα μὲν οὖν καὶ διὰ παντὸς ἐν τῷ θέρει, ὡς δὲ καὶ τὰ ἐπιῤῥηγνύμενα πάμπολλα. —

Νῦν τοῦ ἑβδόμου τμήματος 2) ἀρχώμεθα. τάχα δὲ ἐνταῦθα εἰκότως καλεῖται ἐπιδημία. ἐλέγετο γὰρ ἐξ ἀρχῆς, 3) ὅτι γέγραπται μὲν ἐπιδημία, ἐπιδήμων δὲ νοσημάτων οὐ γίνεται διδασκαλία, ἀλλὰ σχεδὸν σποραδικά. τὸ δὲ σχεδὸν, ἐπειδὴ καὶ τῶν ἐν Αἴνῳ γεγονότων ἐμνημονεύσαμεν. ἐνταῦθα δὲ 4) ὄντως ἐπίδημα διδάσκει νοσήματα. οὐδὲ γὰρ Ἡγησίππῳ ἢ Ἀναξίωνι ἐγένετο τὸ νόσημα, ἀλλὰ πάσῃ τῇ πόλει. ποία δέ ἐστιν αὕτη, οὐκ ἐσήμανεν Ἱπποκράτης. ταῦτο δὲ ἴσμεν, ὅτι βορείου κλίματός ἐστιν ἡ πόλις. λέγει δὲ γίνεσθαι χιόνα ἐν αὐτῇ. ποῦ δὲ χιὼν ἐν Αἰθιοπικῷ χωρίῳ; ἐμάθομεν οὖν τὴν γενομένην κατάστασιν. ἀλλὰ δεῖ εἰδέναι ὅτι ὅταν μέμνηται Ἱπποκράτης περὶ παρατροπῆς ὥρας, καὶ οὐ μέμνηται τῆς πρὸ αὐτῆς ὥρας, πάντως ὡς κατὰ φύσιν αὐτὴν λαμβάνει. ἐγένετο οὖν ἐν ψυχρᾷ πόλει χειμὼν τῷ ὀνόματι μόνον, ἀλλ᾽ οὐ τῷ πράγματι. θερμότερος γὰρ ἐγένετο, ἐπειδὴ νότια πνεύματα ἔσχεν ἐν τῇ ἀρχῇ αὐτοῦ. ὁ δὲ νότος θερμός ἐστι καὶ ὑγρὸς, καὶ ἔβλαπτε μὲν τὸ σῶμα, μάλιστα δὲ τὴν κεφαλὴν ὡς γυμνὴν, ὡς ὁμιλοῦσαν τῷ ἔξωθεν ἀέρι. εἴρηται γὰρ ἐν ἀφορισμοῖς, νότοι βαρυήκοοι. ὁ γὰρ νότος ἕλκει τὴν ὑγρότητα ἐκ παντὸς τοῦ σώματος εἰς τὴν κεφαλήν. καὶ εἰ μὲν μόνος νότος ἐγένετο, ἠδύνατο καὶ τῇ θερμασίᾳ διαφορῆσαι τὴν ὕλην, ἀλλ᾽ ἐξαίφνης ἐπεγένετο βόρειον πνεῦμα, καὶ ἤρκει μὲν αὐτὴ ἡ ἀθρόα μεταβολὴ ταράξαι τὴν δύναμιν. ἀλλὰ καὶ ὁ βοῤῥᾶς ψυχρὸς οὐκέτι ἐᾷ διαφορηθῆναι τὴν ὕλην. ἔνθεν ἐκείνη μένουσα χαλεπὰ ποιεῖ νοσήματα. καὶ ἐπὶ πάντων μία ἦν προκαταρκτικὴ αἰτία, ἡ τοῦ ἀέρος κατάστασις, ἀλλὰ μὴν καὶ μία ἡ προειρημένη ἡ πλήρωσις τοῦ ἐγκεφάλου· τὰ δὲ μόρια διάφορα

1) ὠφέλιμον L. 2) τῆς ἐπιδημίας addit F. 3) ὅτε L. 4) οὕτως L.

ἦσαν παρὰ τὴν κρᾶσιν τῶν ἀνθρώπων, παρὰ τὴν ἕξιν, παρὰ τὴν ἐπιτηδειότητα τῶν δεχομένων μορίων. ἐρχομένης γὰρ τῆς ὕλης παρὰ τὸν ἐγκέφαλον, εἰ εὐπάθει τὸ σῶμα, ἐκράτει καὶ ἔπασχεν ἀποπληξίαν ἢ ἐπιληψίαν, ἢ ἰσχυρὸς ὢν ἀπεδίωκε καὶ τοῖς πλησίον, ἔνθεν παρ᾽ ὀφθαλμοὺς ἢ παρὰ τὰ πόῤῥω, ἔνθεν περιπνευμονίαι παραπλήσιαι. 1) ὁ δὲ Ἱπποκράτης πλείονα κατάλογον συμπτωμάτων ἐκτίθεται οὕτως· βῆχες ἤρξαντο περὶ ἡλίου τροπὰς χειμερινάς. λέγει Ἱπποκράτης ὅτι ἡλίου γενομένου ἐν 2) αἰγοκέρῳ, χειμὼν ἐγένετο καὶ ἐναλλάξας τὴν κρᾶσιν αὐτοῦ, θερμότερος ἐγένετο. ὅτε οὖν κατεκράτησε, περὶ τὴν πεντεκαιδεκάτην ἢ εἰκοστὴν ἡμέραν βῆχες ἐγένοντο. ἀλλὰ καλῶς Ἱπποκράτης ἐκ ταύτης ἤρξατο, ὡς καὶ ἐν τοῖς ἄνω καὶ τοῖς κάτω γενομένης. εἰ γάρ ἐστι νότιον πνεῦμα, πληροῦται ἡ κεφαλὴ καὶ μέρος τῆς ὑγρότητος ῥίπτουσα 3) περὶ τὸν λάρυγγα, ποιεῖ τὸν βῆχα, καὶ μάλιστα ὅτε κατεκράτει ἡ ἀπὸ τῆς χιόνος ψύξις. 4) ὁ δὲ βὴξ οὗτος ἐγίνετο ἐκ τῆς μεταβολῆς τῶν νοτίων καὶ βορείων πνευμάτων, πυκνῆς οὔσης. ὥσπερ γὰρ ἐν ἀφορισμοῖς εἴρηται, ὁκόταν οὗτος δυναστεύῃ, οὕτω καὶ ἐνταῦθα, ὅταν πυκνὴ γένηται αὕτη ἡ μεταβολὴ, ποιεῖ καὶ 5) περιπνεύμονα νοσήματα. ἀποδιωκομένην γὰρ τὴν ὕλην ἐκ τοῦ ἐγκεφάλου ὡς μαλακὸς καὶ σπογγώδης ὁ πνεύμων δέχεται. τούτων δὲ τῶν νοσημάτων τὰ μὲν χρόνια, τὰ δὲ βραχύτερα ἐγίνοντο, πρὸς τὴν ὑποκειμένην δύναμιν καὶ τὴν κρᾶσιν τοῦ πάσχοντος. ἐγίνοντο οὖν 6) νοσήματα πολλὰ ἐν τῷ χειμῶνι. μελλούσης δὲ ἄρξασθαι τῆς ἐαρινῆς, ὅτε ἥλιός ἐστιν ἐν κριῷ, ὑποστροφὴ ἐγίνετο, καὶ ἔμεινε τὸ διάλειμμα ἄχρι. * τεσσαράκοντα ἡμέρας 7) κακοηθέστερον ὑπέστρεφεν. εἶπε γὰρ ὁ Γαληνὸς, ὅτι πολλάκις εἰσβάλλει νοσήματα, καὶ ταῦτα οὐ πάνυ ἐν τῇ ἀρχῇ κακοηθεύεται· ἐῤῥωμένη γὰρ οὖσα ἡ δύναμις ἐναντιοῦται· ὕστερον δὲ διαλεῖψαν τὸ νόσημα πάλιν ἐπιτίθεται, εὑρίσκει προκαταβληθεῖσαν τὴν δύναμιν καὶ χαλεπώτερον ἐπιτίθεται,

---

1) C. addit: aut quorundam membrorum resolutiones fiebant. 2) αἰγοκέρωτι F. 3) παρὰ F. 4) ἡ — αὕτη F. 5) Fort. divisim scribendum. 6) τοιαῦτα add. F. 7) μετὰ δὲ τὰς μ´ ἡμέρας add. F.

καὶ μᾶλλον ἐν τῷ μέσῳ, εἰ μὴ κατὰ λόγον ἐπαιδαγωγήθη. ὑποστρέψαντος οὖν τοῦ νοσήματος, οἱ μὲν ἀπέθανον, οἱ δὲ καὶ εὐκρίτως ἀπήλλαξαν, τουτέστιν οὐκ ἀτελῶς, οὐκ ἀνακρίτως 1) * ὅτι ἡμέρας, οὐ μετὰ πολλῶν συμπτωμάτων, ἅπερ ἕπονται τῇ νίκῃ τῆς φύσεως. εἰ δέ ποτε μὴ περιεγένετο ἡ φύσις, ἤρχετο ἡ ὕλη περὶ τὰ κάτω. ἐντεῦθεν φλεγμονὴ ἢ περὶ τὸν φάρυγγα ἢ περὶ τὸν λάρυγγα, ἁπλῶς περὶ τὸ εὐπαθές· ποτὲ δὲ καὶ παραπληγία ἐγένετο, ἥτις ἐστὶν ἑνὸς μέρους ἀναισθησία καὶ ἀκινησία. τοῦτο δὲ γίνεται, χυμοῦ ἐμφράξαντος τὸ νεῦρον 2) αὐτοῦ.

Ἐγίνοντο δὲ καὶ νυκτάλωπες. νυκτάλωψ δέ ἐστι τὸ γινόμενον πάθος ταῖς ἀλώπεξι· ἐκεῖναι γὰρ διὰ τὸ λεπτὸν τοῦ πνεύματος οὐ δύνανται ἐν ἡμέρᾳ ὁρᾶν· χεῖται γὰρ καὶ διαφορεῖται ἐκ τῆς ἡλιακῆς ἀκτῖνος· ἐν δὲ τῇ νυκτὶ ὁρῶσιν, ὡς πυκνουμένου τοῦ πνεύματος. ὃ οὖν ἐκείναις ἐν ἡμέρᾳ γίνεται, τοῦτο τούτοις ἐν νυκτί. οὗτοι γὰρ οἱ πάσχοντες ἐν ἡμέρᾳ μὲν ὁρῶσιν, ἐν νυκτὶ δὲ οὔ. ἐπειδὴ γὰρ ἡ ὕλη ἦλθε κατὰ τοῦ ἐγκεφάλου, ἐκεῖ μείνασα καὶ τῷ χρόνῳ σαπεῖσα μελαντέρα ἐγένετο. πέμπει οὖν ζοφώδεις ἀτμοὺς παρὰ τὸν ὀφθαλμὸν, καὶ ἐπισκοτίζει τὸ ὀπτικὸν πνεῦμα, 3) ὅθεν οὗτοι ἐν ἡμέρᾳ ὁρῶσιν· ἡ γὰρ ἡλιακὴ ἀκτὶς δύναται λεπτῦναι τοὺς θολώδεις ἐκείνους ἀτμούς· ἐν δὲ τῇ νυκτὶ οὐχ ὁρῶσι· παχύνεται γὰρ ἐκ τῆς ψύξεως τὸ πνεῦμα. καὶ τοῦτό ἐστι νυκτάλωψ. εἴρηται γάρ τι τοιοῦτον ἐν τῷ περὶ αἰτίας, διατί πολλοὶ τὰ μὲν πλησίον ὁρῶσι, τὰ δὲ πόῤῥω οὔ, καὶ εἰρήκαμεν ὅτι τὸ ὀπτικὸν πνεῦμα καθαρὸν μέν ἐστιν, ἀλλ' οὐ πολὺ, ἵνα πόῤῥω πέμπηται. καὶ ᾐτιασάμεθα τὴν παχύτητα καὶ τὸν ῥύπον τοῦ πνεύματος. κατὰ γὰρ τῶν πόῤῥω ἐξακοντιζόμενον φθάνει λεπτυνθῆναι, καὶ ἀκωλύτως ὁρᾷ τὰ πόῤῥω, τὰ δὲ πλησίον οὐ δύναται ὁρᾶν, ἐπειδὴ οὐ καθαίρεται 4) οὔτε λεπτύνεται ἐκ τοῦ ἐν τῷ μέσῳ διαστήματος. ὅτι 5) δὲ τοῦτο ἀληθές ἐστι, φησὶν ὅτι τοῖς παιδίοις μάλι-

---

1) sed jucunde C. ἀλλ' ἡμέρως. 2) αὐτοῖς L. 3) ἔνθεν F. 4) Fort. οὐδὲ. 5) γὰρ F.

στα νυκτάλωψ γίνεται. ὑγροτέρων γὰρ αὐτῶν ὄντων τὴν κράσιν, ἐπιθολοῦται τὸ ὀπτικὸν πνεῦμα. ἐντεῦθεν δὲ ἄξιον θαυμάσαι Ἱπποκράτην, πῶς οὐ μένει ἐπὶ τῆς πείρας, ἀλλ' ἀναφέρεται ἐπὶ τὰς ἐνδείξεις, καὶ οἶδεν ὅτι μερίζονται τὰ συμπτώματα ὑπό τε γένους, ἡλικίας, τύχης, ἐπιτηδειότητος, ἡλικίας μὲν, ἐν οἷς φησι τὰ παιδία μᾶλλον τῶν ἀκμαζόντων πάσχειν, 1) γένους δὲ, ἐν οἷς φησιν, ὅτι οἱ ἄνδρες μᾶλλον τῶν γυναικῶν πάσχουσιν. καὶ μὴν τοὺς ἄνδρας ἧττον δεῖ παθεῖν ὡς ἰσχυροὺς, ὡς γυμναζομένους. ἀλλ' ἄλλως οἶδεν Ἱπποκράτης. αἱ γὰρ γυναῖκες οἰκουροῦσαι καὶ ὡς ταπολλὰ ἐσκεπασμέναι τὴν κεφαλὴν, οὐ πάσχουσιν ἐκ τῆς κακίας τοῦ ἀέρος, οἱ δὲ ἄνδρες ὡς ἐξιόντες συνεχῶς πάσχουσιν. ὅτι γὰρ αὕτη ἐστὶν ἡ αἰτία, φησὶν ὅτι αἱ δοῦλαι μᾶλλον τῶν ἐλευθέρων ἔπασχον. ἰδοὺ καὶ 2) τῆς τύχης. αἱ δὲ δοῦλαι μᾶλλον ἔπασχον, ἐπειδὴ συνεχῶς ἐξιοῦσαι εἰς τὰς τῶν δεσποτῶν ἀποκρίσεις, τοῦ ἀέρος μεταλαμβάνουσαι καὶ τῶν νοσημάτων ἀπήλαυον. ἐπιτηδειότητα δὲ ζητεῖ ἐν πᾶσι τοῖς πάθεσιν. ἄλλη γὰρ οὐκ ἔστιν αἰτία τῶν διαφόρων παθῶν, εἰ μὴ μόνη ἡ ἐπιτηδειότης. ἐγίνοντο οὖν τοῖς παιδίοις, ὡς εἴρηται, νυκτάλωπες.

Περιπνευμονίαι δὲ οὐ πολλαὶ ἐγίνοντο. καὶ πῶς εἰπὼν Ἱπποκράτης συχνὰ αὐτοῖς γίνεσθαι τὰ περιπνευμονικὰ, νῦν φησι μὴ γίνεσθαι περιπνευμονίας; καὶ δυνάμεθα εἰπεῖν, ὅτι οἱ νυκτάλωπες τούτοις ἐγίνοντο, περιπνευμονίαι δὲ οὔ, 3) διότι πάσης τῆς ὕλης ἐπὶ τὰ ἄνω ἀσχολουμένης· ἐν πολλοῖς γὰρ τόποις ἔχομεν τοῦτο δεῖξαι. ἴσως δέ φησιν Ἱπποκράτης ὅτι ἐν μὲν τῇ ἀρχῇ τοῦ νοσήματος ἐγίνοντο τὰ περιπνευμονικὰ, ὅτε δὲ ὑπέστρεψε τὸ νόσημα, οὐκέτι ἐγίνοντο. ἐν γὰρ τῷ μέσῳ ῥαστώνην λαβοῦσα ἡ φύσις ἔῤῥωσε τὸν πνεύμονα, ὡς μηκέτι δεχόμενον πάσχειν. καὶ ταύτας τὰς δύο ἐξηγήσεις ἐλάβομεν ἐκ τοῦ ἐπιφερομένου λόγου· φησὶ γὰρ ὅτι νυκτάλωπες οὐ πάνυ ἐγίνοντο τοῖς βήξασιν ὕστερον. καὶ διὰ μὲν τοῦ εἰπεῖν ὕστερον ἔδειξεν ὅτι τὴν ἀρχὴν τοῦ νοσήματος τῇ ὑπο-

---

1) γένει F. 2) Fort. om. περί. Legit ἡ τύχη F. 3) ὅτε F.

στροφῇ περιβάλλει, ὅπερ ἔχει ἡ δευτέρα ἐξήγησις. διὰ δὲ τοῦ εἰπεῖν ὅτι νυκτάλωπες οὐκ ἐγίνοντο τοῖς βήξασιν ὕστερον, ἔδειξεν ὅτι, ὅτε ἡ ὕλη εἰς μόρια ἀσχολεῖται, ἐλευθεροῖ τὰ ἄλλα, ὅπερ εἶχεν ἡ πρώτη ἐξήγησις. ἐγίνοντο δὲ αὐτοῖς καὶ κυνάγχαι ἐπὶ φλεγμονῇ τῶν ἔνδον μυῶν τοῦ λάρυγγος. ἀλλὰ δεῖ εἰδέναι ὅτι ἐν τῷ λοιμῷ, εἰ καὶ πάντῃ ἐπέρχονται τὰ νοσήματα, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον γίνονται ἐκ τῶν προηγησαμένων· ἔνθεν εἴπου τις πολλὰ ἐλάλησε καὶ ἀσθενέστερον ἐποίησε τὸν λάρυγγα, ἐκεῖ μᾶλλον ἐπεσύρατο τὴν ὕλην, καὶ μᾶλλον εἰ 1) ἐπτερύγωσεν ἢ ἐν ψυχρῷ χωρίῳ ἐγένετο ἡ 2) διάλεξις, 3) ἐπείπερ ὁ λάρυγξ ἐπλήγη. εἰ δέ τις τὰς χεῖρας ἢ τοὺς πόδας 4) ἐπόνησεν, ἔπασχε τὰ παρὰ τὴν παραπληγίαν ἢ παράλυσιν. ἔστι δὲ παράλυσις μὲν ἡ παντὸς τοῦ σώματος ἀναισθησία καὶ ἀκινησία χωρὶς τοῦ προσώπου, παραπληγία δὲ ἡ ἑνὸς μέρους παράλυσις. τὸ οὖν πρότερον κινηθὲν εἷλκε τὴν ὕλην. εἴρηται γὰρ καὶ Γαληνῷ, ὅτι ἕλκεται ἡ ὕλη ἢ διὰ θερμασίαν ἢ διὰ ἀσθένειαν ἢ διὰ ὀδύνην. θερμασίαν μὲν οὖν εἶχον ἐν τοῖς ποσὶν οἱ ἱππαζόμενοι ἢ οἱ περιπατοῦντες, ἀσθένειαν δὲ οἱ ἐκ ψύξεως πληγέντες τὸν λάρυγγα, ὀδύνην δὲ οἱ 5) τὴν χεῖρα πονέσαντες. διὰ ταῦτα πάντα ἐγένετο ἡ παραπληγία· ὅπου γὰρ ἦν ὁ κόπος, ἐκεῖ καὶ ὁ πόνος. ἔνθεν σκληρόταται ἦσαν καὶ βίαιοι αἱ ἐκ τῶν παραπληγικῶν, ὡς πάσης ἐκεῖ κατασκηψάσης τῆς ὕλης. οἱ δὲ περὶ λέξιν ἠσχολημένοι, ἐκλαμβάνοντες τῆς συντάξεως, διαποροῦσι πῶς περὶ πόνου διαλεγόμενος Ἱπποκράτης εἶπε σκληρόταται. καὶ εἰπόν τινες ὅτι πρὸς ὑπόμνησιν ἑαυτοῦ γράφων οὐκ ἠκριβολογήσατο· τὸ δὲ ἀληθές ἐστιν ὅτι, ὅτε πρᾶγμα δύο ἔχει ὀνόματα, ἔξεστι τῷ λέγοντι τὸ μὲν πρῶτον περὶ τοῦ ἑνὸς, τὸ δὲ δεύτερον περὶ τοῦ ἑτέρου εἰπεῖν, οἷον, ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου, 6) Τειρεσίας ὁ χρύσεον σκῆπτρον ἔχων. ἰδοὺ οὐχ ἡ ψυχὴ, ἀλλ' ὁ Τειρεσίας. 7) οὕτω καὶ ἐνταῦθα. χαλεπὸς ἦν ὁ πόνος· σκλη-

---

1) frigore vexatus fuit. C! 2) διάλεκτος F. 3) ἵνα αὐτῇ πλήξει τὸν λάρυγγα F. 4) ἐπόνεσεν F. 5) τῇ χειρὶ F. 6) Τειρεσία F. Genit. Num versus sint? 7) τοῦτο F.

ρόταται δὲ καὶ βιαιόταται αἱ εἰς τὰ παραπληγικὰ ἄγουσαι ὀδύναι. καὶ τοῦτο μὲν οὐ τῶν μέσων. πολλῶν δὲ γενομένων νοσημάτων ἐν τῇ ὑποστροφῇ τοῦ λοιμοῦ, ὁ βὴξ μόνος 1) εἶχε ῥαστώνην, 2) ἀλλ᾽ οὐδὲ οὗτος τελείαν ἀπαλλαγήν. εἰ δέ ποτε ἔδοξε τὴν ὕλην πᾶσαν εἰς ἓν μέρος ῥέψαι, τὰ ἄλλα ἠλευθεροῦντο. εἴποτε δὲ παρὰ τὰ φωνητικὰ ὄργανα ἀπεῤῥάγη ἡ ὕλη, τουτέστιν ἔῤῥεψε πᾶσα, ὡς καὶ βῆχα γενέσθαι, τὰ χαλεπὰ οὐκ ἐγίνοντο νοσήματα. καί τινες μὲν τοῦτο τὸ πάθος ὠνόμασαν κυνάγχην, κακῶς δέ. πῶς γὰρ εἶχεν ὁ Ἱπποκράτης εἰπεῖν ἐπὶ κυνάγχης μὴ γίνεσθαι πυρετόν; ἀλλὰ λέγει, βὴξ μόνος αὐτοῖς ἐγίνετο, καὶ ἀφωνία ἢ βραγχώδης φωνὴ, τῆς ὕλης ἐκεῖ ῥεψάσης· ἔνθεν οὐ πυρετὸς ἐγίνετο, οὔτε περιπνευμονία, οὔτε ἄλλο πάθος. πάντων δὲ αἴτιον ἡ μετάστασις τῆς ὕλης εἰς τὴν φωνὴν γενομένη, καὶ πάντα μὲν εἶχον ῥαστώνην, 3) τοῦ βηχὸς ἐπιγενομένου. τὸ δὲ νυκταλωπικὸν παρέμενεν, ὡς νομίζειν σε ἐξ ἄλλης προφάσεως αὐτὸ εἶναι. ἔστι γὰρ ὅτε γίνεται νυκταλωπικὸν πάθος, μὴ συμπάσχοντος τοῦ ὀφθαλμοῦ, ἀλλ᾽ ἴδιον ἔχοντος πάθος, οὔτε παχύνεται τὸ κρυσταλλοειδὲς, καὶ αἰθαλωδέστερον γίνεται τὸ πνεῦμα, ὅπου δυσθεράπευτόν ἐστιν. οὕτως οὖν τὸ νυκταλωπικὸν πάθος ἐγίνετο δυσθεράπευτον, ὡς νομίζειν σε τὸν ὀφθαλμὸν μὴ συμπάσχειν τῷ ἐγκεφάλῳ, ἀλλ᾽ ἴδιον αὐτὸν ἔχειν πάθος, 4) ἐφ᾽ ᾧ, προκόπτοντος τοῦ νυκταλωπικοῦ πάθους, καί τι χαλεπὸν ἐγίνετο. αἱ γὰρ κόραι τῶν ὀφθαλμῶν 5) ἐμειοῦντο πυκνούμεναι ὑπὸ τῆς ψύξεως, αὐτὸς δὲ ὁ βολβὸς ὠγκοῦτο ἢ διὰ τὴν περιουσίαν τῆς ὑγρότητος, ἢ ὅτι ἡ ψύξις ἐπάχυνε τὸ πνεῦμα, ὃ μὴ διαφορούμενον ἐφύσα τὸν ὀφθαλμὸν ὡς πλεονάζον. τὰ δὲ χρώματα τῶν ὀφθαλμῶν ποικίλα ἦσαν· ποτὲ μὲν γὰρ μέλανα ἀπὸ τῆς θερμότητος τοῦ νότου, ποτὲ δὲ ἐρύθημα ἐκ τῆς ψύξεως τοῦ βοῤῥᾶ. λέγει 6) δὲ ὁ Ἱπποκράτης, ὅτι ὡς ἐπιτοπολὺ μέλανες ἦσαν οἱ ὀφθαλμοί. καὶ μὴν τὸ μέλαν τῇ θερμασίᾳ ἕπεται. πάντα δὲ τὰ εἰρημένα νοσήματα ἐκ τῆς ψύξεως ἐγίνετο τοῦ βοῤῥᾶ. καὶ

---

1) ἔσχε F. 2) οὐδὲ αὐτῇ δὲ τελ. F. 3) τῆς — ἐπιγενομένης F. 4) ἐν ᾧ A. F. 5) ἐμειώθησαν F. 6) δὴ L.

λέγει ὅτι ὃ πάσχομεν ἔξω, τοῦτο καὶ νῦν γέγονεν. εἰ γὰρ ῥίψεις λίθον εἰς ὕδωρ, εἰ μὲν ὀλίγον ᾖ μεταξὺ σοῦ καὶ τοῦ ὕδατος τὸ διάστημα, οἷός ἐστιν ὁ λίθος, ὁρᾷς αὐτὸν, εἰ δὲ πολὺ εἴη, οὐχ ὁρᾷς τοῦτον ὁποῖός ἐστιν. ὁμοίως δὲ καὶ εἰ μὲν καθαρὸν εἴη, ἀντικρύ σου φαίνεται, εἰ δὲ ῥυπαρὸν, οὐχ ὁμοίως φαίνεται. τοῦτο καὶ νῦν γέγονεν. ἡ μὲν γὰρ ψύξις εἰς βάθος τέθεικε τὸ κρυσταλλοειδὲς, καὶ διὰ τοῦτο μέλαν καὶ ζοφῶδες. καὶ 1) μελανὸν τὸ πνεῦμα οὐκ ἠδύνατο αὐτὸ λεπτῦναι τὸ κρυσταλλοειδὲς, καὶ διὰ τοῦτο μέλας καὶ ζοφώδης ἐφαίνετο ὁ ὀφθαλμὸς περιουσίᾳ ὀμιχλώδους πνεύματος. πείσει δὲ Ἱπποκράτης καὶ ἐκ τῶν φαινομένων· οὕτω γὰρ ζοφῶδες ἦν τὸ ἐκ τῆς κεφαλῆς πεμπόμενον πνεῦμα, ὅτι καὶ μελανότριχες ἦσαν, οὕτω δὲ καὶ δίυγρον καὶ περιττωματικὸν, ὅτι καὶ ἰθύτριχες.

Λοιπὸν ὁ Ἱπποκράτης τὰ εἰρημένα τοῖς ἀνδράσιν εἶπε, ταῖς δὲ γυναιξὶν ἧττον ἐγίνετο τὰ νοσήματα διὰ τὸ οἰκουρεῖν καὶ μὴ ἀπολαύειν τοῦ ἀέρος, καὶ διὰ τὸ καθαίρεσθαι, ὡς καὶ Ἱπποκράτης φησὶ τὴν αἰτίαν, ἔνθεν δύο μόναι ἐλεύθεραι ἔπασχον, καὶ αὗται ἐπιπολαίως, πᾶσαι δὲ αἱ δοῦλαι καὶ κακοήθως, διὰ τὸ συνεχῶς τῷ ἀέρι προσομιλεῖν, καὶ διὰ τὸ κακόχυμον τῆς δουλικῆς διαίτης. τούτων οὖν πάντων τῶν νοσημάτων γενομένων ἐν τῷ λοιμῷ, πολλοὶ μὲν ἀπέθανον, ὀλίγοι δὲ περιεγένοντο οἱ ἐῤῥωμένοι. περιεγένοντο δὲ, οἷς ἐπέσκηψεν ἡ ὕλη παρὰ τὸν λάρυγγα. εἰ δέ ποτε παρὰ τὰ φωνητικὰ ὄργανα, ὡς καὶ τὴν διάλεκτον ἐμποδισθῆναι, οὗτοι 2) ἐσώζοντο, καὶ χρόνιον ἐγένετο. χρόνιον δὲ οὐκ ἐν ἀνθρώπῳ. ποῦ γὰρ 3) συνάγχη χρόνιος; ἀλλὰ χρόνιος πάσῃ τῇ πόλει· πολὺν γὰρ χρόνον ἐπηρέασεν 4) αὐτόν. μέχρι μὲν οὖν τούτου ἐπίδημον ἦν τὸ νόσημα, ἄρτι δὲ καὶ λοιμῶδες ἐγένετο, πολλῶν ἀρξαμένων τελευτᾷν. ὁ δὲ θάνατος ὡς ἐπιτοπλεῖστον ἀπὸ κυνάγχης ἐγίνετο. λοιπὸν ἄκουε, 5) θαυμασίως κυνάγχη ἐγένετο. διετείνετο οὖν τὰ περὶ τὸν θώ-

---

1) Fort. μέλαν ὄν. 2) mortem obibant C. 3) κυνάγ. A. F. 4) Fort. αὐτήν sc. πόλιν. 5) θανασίμῳ F.

ρακα, ἐντεῦθεν ἡ κεφαλὴ διετείνετο καὶ φλέβες αἱ περὶ τοὺς τραχήλους καὶ τοὺς κροτάφους. κακόηθες γὰρ γενόμενον νόσημα ἤρξατο μεταδιδόναι καὶ τοῖς ἔξωθεν μορίοις. εἰ δέ ποτε καὶ πνεῦμα μέγα ἐγένετο, τοῦτο ἦν σημεῖον θανάτου. εἶτα, ἀλλὰ τοῦτο ἄπορον δοκεῖ εἶναι· εἰ γὰρ μεγάλη ἦν ἡ ἀναπνοὴ, δηλονότι πολὺς 1) εἰσεφέρετο ὁ ἀήρ. πολὺς δὲ οὐκ ἂν εἰσεφέρετο, μὴ λυθείσης τῆς κυνάγχης. ἀλλ' εἴρηται ἐν τῇ διαγνωστικῇ, ὡς ἐν μὲν τῷ κατὰ φύσιν ἡ ἀβίαστος ἀναπνοὴ ὑπὸ μόνου γίνεται τοῦ διαφράγματος, ἐν δὲ περιστάσει ἡ φύσις κέχρηται καὶ τοῖς κατὰ τὸ στέρνον μυσίν. εἰ δὲ γένηται χαλεπὴ περιπνευμονία, κέχρηται τοῖς ὑψηλοτέροις μυσὶν τοῖς κατ' ὠμοπλάτας, ὅτε καὶ τὰ πτερύγια τῆς ῥινὸς διαστέλλονται. καὶ διαστέλλεται μὲν ἐπὶ μέγα ὁ θώραξ, οὐ πρὸς ἀναλογίαν δὲ τῆς διαστολῆς εἰσφέρεται ἀὴρ, ἐμποδιζούσης τῆς ἐμφράξεως. τοῦτο καὶ νῦν γίνεται. ἐπειδὴ στενοχωρία ἐστὶ, κέχρηται ἡ φύσις τοῖς ὑψηλοτέροις μυσὶ, καὶ ποιεῖ μετέωρον πνεῦμα, ὃ σημεῖόν ἐστι πολλῆς στενοχωρίας, καὶ διὰ τοῦτο καὶ θανάσιμον. οἱ δὲ ἔχοντες τοῦτο τὸ πνεῦμα καὶ ἐπεχλιαίνοντο· ἐν βάθει γὰρ οὔσης τῆς θερμασίας καὶ καταπνιγομένης τῷ ποσῷ τῆς ὕλης, τὰ ἔξω χλιαρὰ ἐγίνοντο. εἰ δέ ποτε καὶ ῥῖγος αὐτοῖς μετὰ πυρετοῦ ἐγίνετο, συντόμως ἀπέθνησκον· οὐκ ἤρκει γὰρ ἡ θερμασία καταλύουσα, ἀλλ' ἐπεγένετο καὶ ῥῖγος. καὶ πῶς ἂν ἀρκέσῃ ἡ δύναμις; τάχα δὲ ἐκεῖνο ἐνδείκνυται, ἐν πυρετῷ μὴ διαλείποντι ψύξις ἀκρωτηρίων κακόν. μᾶλλον γὰρ ἐνταῦθα καταλυομένη ἡ φύσις τῷ πνιγμῷ ὑπενόστησεν εἰς τὸ βάθος, καὶ λειφαιμοῦντα τὰ ἄκρα κατεψύχθησαν. καὶ τὴν ἁπλῶς περίψυξιν ῥῖγος ἐκάλεσε. καὶ ἁπλῶς εἶπεν αἱ συγκληρίαι τουτέστιν αἱ συντυχίαι τῶν νοσημάτων τοιαῦται 2) ἦσαν. ἐπειδὴ γὰρ ἐπέθετο, καὶ διέλειψε καὶ ὑπέστρεψε τὸ νόσημα. τὰ μὲν ἐν τῇ ἀρχῇ γενόμενα νοσήματα οὐκ εἶχον τὰ γινόμενα ἐν τῇ ὑποστροφῇ, τὰ δὲ γενόμενα ἐν τῇ ὑποστροφῇ εἶχον τὰ γινόμενα ἐν τῇ ἀρχῇ τοῦ νοσήματος. τούτου δὲ αἴτιον ἡ καταβολὴ τῆς δυνάμεως ἡ ἐκ τῆς ὑποστροφῆς. ἀλλ' εἰ καὶ πάντα

1) εἰσφέρεται F. 2) εἰσί F.

κατεκράτουν τὰ νοσήματα, μάλιστα αἱ συνάγχαι· κατεκράτει δὲ, οὐ διὰ τὴν ἀμαθίαν τῆς τέχνης, οὐδὲ ὅτι κατεφρόνει ὁ Ἱπποκράτης τὰ νοσήματα, ἀλλ᾽ ὅτι ἡ κακοήθεια τοῦ νοσήματος ἐβιάζετο. πάντα γὰρ ἐποίησεν ὁ Ἱπποκράτης, καὶ εἰ εὗρε πᾶν τὸ σῶμα ὡς πληθωρικὸν πέμπον τῷ χωρίῳ, ἐχρήσατο φλεβοτομίᾳ, τὰς ἐγγὺς τέμνων φλέβας τῆς γλώττης. εἰ δὲ ποιότητας 1) ἔπεμψε τὸ πᾶν σῶμα, διὰ καθαρσίων ἐτάραξε τὴν γαστέρα. εἶτα λοιπὸν μετὰ τὴν κοινὴν θεραπείαν ἦλθεν ἐπὶ τὴν ἰδιάζουσαν, καὶ ἐχρήσατο τῇ ἀναστάσει· ἀλλὰ πολλὰ τῶν βιβλίων ἔχουσι τῇ ἀνατάσει· πολλὰ πιέζει, τὸ δὲ ἀναπιέζει. ἕκαστον δὲ ἐξηγούμεθα. φησὶ γὰρ ὁ Ἱπποκράτης, ὅτι εἴ ποτε ὑπενόησα τὴν κυνάγχην ὑπὸ φλέγματος γινομένην, ἐχρησάμην ἀνατάσει τουτέστιν ἀσιτίᾳ, ἵνα δαπανήσῃ τὸ φλέγμα. ἀλλὰ τοῦτο ἐκβάλωμεν· οὐκ ἂν γὰρ Ἱπποκράτης τὴν ἀσιτίαν ἐκάλεσεν ἀνάτασιν. εἰ δὲ ἔχει πιέζει, φησὶν Ἱπποκράτης ὅτι οὐκ ἔλαθέ με τὸ κατασπάνιον, καὶ ὡς ἐπιτοπολὺ γινόμενον, τὸ μὲν ὡς ἐπιτοπολὺ, ὅτι ἡ κυνάγχη γίνεται ἐπὶ φλεγμονῇ τῶν τοῦ λάρυγγος μυῶν, κατὰ τὸ σπάνιον δὲ, ὅτι ποτὲ καὶ ἐπὶ μεταστάσει σπονδύλου ἐπὶ τὰ ἔμπροσθεν γίνεται κυναγχικὸν εἶδος. λέγει οὖν ὁ Ἱπποκράτης ὅτι εἰ καί ποτε ἐνόμισα τοῦτο τὸ πάθος γίνεσθαι, ἐχρησάμην τῇ 2) πιέσει, ἵνα ὠθήσω τὸν σπόνδυλον 3) εἰς τὸν τόπον αὐτοῦ. ἀλλ᾽ οὐδὲ τοῦτο καλῶς. αὐτὸς γὰρ Ἱπποκράτης λέγει, ἀθεράπευτον εἶναι τὴν τοιαύτην διάθεσιν. καὶ πῶς εἶχεν ἐπιχειρῆσαι; καὶ αὐτὸς δὲ εἶπε τούτου τοῦ πάθους σημεῖον τὸ κυκλότερον καὶ κυρτότερον. πῶς οὖν, τούτων μὴ φανέντων, εἶχε χρήσασθαι τῇ πιέσει; τοιοῦτον δέ ἐστι τὸ λεγόμενον, ὅτι πολλάκις ὁ 4)* ἐπὶ δύσει τοῦ στόματος μὴ δυνάμενος χρήσασθαι τῇ ἐπιβολῇ τοῦ δακτύλου, 5) πτερῷ διαχρίομεν, ποτὲ δὲ τὸ ἐναντίον θλίβομεν τῷ δακτύλῳ, ἵνα ἀποδιώξωμεν τὴν ὕλην. ἵνα οὖν μὴ καὶ ἐνταῦθα νομίσῃς ἀνίατον εἶναι τὸ πάθος, οὐκ ἐπίλει τῷ δακτύλῳ κατὰ τοῦ πάσχοντος τόπου. λέγει ὅτι ἐχρησάμην τῇ ἄνω πιέσει,

---

1) ἔπεμπε A. F. 2) πίστει L. 3) εἰς — Ἱπποκράτης om. L.
4) Fort. ἐπιδέσει. adstrictione C. 5) πτερώδια χρίομεν Codd.

καὶ οὐδὲν ὠφέλησα. ἐχρησάμην δὲ τῇ ἀνακαθάρσει, ἀλλ' οὐ λέγει Ἱπποκράτης ὅτι καθάρσει ἐχρησάμην τῇ διὰ τῶν ἄνω. αὐτοῦ γάρ ἐστι λόγος λέγων, μηδέποτε διὰ τοῦ πάσχοντος κενοῦν, μήπως ὡς ἀσθενὴς ἐπισύρηται· ἀλλὰ καθάρσεις λέγει τοὺς ἀναγαργαρισμούς. καὶ τοῖς ἀποφλεγματικοῖς δὲ χρησάμενος οὐδὲν ὠφέλησεν. τοιαῦτα μὲν ἦν τὰ βοηθήματα, ὧν ἐπιγράφει ὁ Ἱπποκράτης, ἀλλ' οὐκ εἶχε τὸ νόσημα. τὰ γὰρ ἐπιῤῥηγνύμενα καὶ ἐπιγενόμενα συμπτώματα κακοηθέστερα 1) ἦσαν· ἢ μᾶλλον ἐπιῤῥηγνύμενα, ὅτι τῷ χρόνῳ μὴ δυνηθεῖσα διαφορηθῆναι ἡ ὕλη καὶ δριμυτέρα γενομένη κατὰ διάβρωσιν ἐποίησε ῥῆξιν, ἢ ἐκ τῆς φύσεως μεταβληθεῖσα εἰς πῦον ἐῤῥάγη καὶ ἐποίησεν ἀπόστημα. τοιαύτη ἡ τοῦ λοιμώδους ἀέρος κατάστασις.

β'. Πρῶτον μὲν ἐπὶ τοῖσιν αὐχμοῖσιν ὀφθαλμίαι ἐπεδήμησαν ὀδυνώδεες. —

Τινὲς τοῦτον τὸν λόγον τοῦ ἀνωτέρου χωρίζουσι καί φασιν, ὅτι ἄνω εἶπεν ὁ Ἱπποκράτης περὶ τοιᾶσδε καταστάσεως· φησὶ δὲ ὅτι, ἀλλ' ἢ εἶδον θέρος ξηρὸν ἔαρι γεγονὸς, ἐν ᾧ πολλαὶ ὀφθαλμίαι ἐπεδήμησαν. ὁ δὲ Γαληνὸς συνάπτει αὐτὸν τῷ ἄνω λόγῳ. φησὶ γὰρ Ἱπποκράτης ὅτι, ὡς εἴρηταί μοι, παρετράπη ὁ χειμὼν, ἐγένετο δὲ καὶ ἡ ἐαρινὴ ἰσημερία παρὰ φύσιν, ἀλλὰ μὴν καὶ τὸ ἐπιὸν θέρος παρετράπη τῇ μιᾷ ποιότητι ἐπὶ τὸ ὁμοιοειδές· ξηρὸν γὰρ ἐγένετο. ἀλλ' οὐκ ἐγένετο ἐν τούτῳ πολλὰ νοσήματα· εἴρηται γὰρ ἐν ἀφορισμοῖς, ὡς ἡ ἐπομβρία τοῦ αὐχμοῦ μᾶλλον λυπεῖ. πλὴν εἴποτε γένηται ἄμετρος αὐχμὸς, καὶ αὐτὸς ποιεῖ χαλεπὰ νοσήματα, ἔνθεν ἐπειδὴ νῦν ξηρότης ἐγένετο, τὸ μὴ εἰωθὸς ξηραίνεσθαι νῦν μᾶλλον ἐβλάβη. πρῶτον γὰρ σύνηθες τὸ τοῦ ἐναντίου. τί δὲ ὑγρότερον τοῦ ὀφθαλμοῦ; ἐντεῦθεν ὀφθαλμίαι ἐγίνοντο, τὸ μὴ εἰωθὸς ξηραίνεσθαι νῦν μᾶλλον ἐβλάβη, καὶ αὗται μετ' ὀδύνης. ἐκινδύνευον γὰρ οἱ χιτῶνες ἐκ τῆς ξηρότητος ῥαγῆναι.

1) *εἰσι* F.

γ'. Αἵματος ἐκ φλεβῶν τάσιες, λειποθυμίη, σχῆμα ἀνάῤῥοπον, ἄλλη ἀπόληψις, μοτώματος ξυστροφὴ, πρόσθεσις, ἐπίδεσις. —

Θαυμαστὸς οὗτος ὁ λόγος. ἐγένετο γάρ ποτε ἄμετρος αἱμοῤῥαγία ἐκ τῶν φλεβῶν, εἴτε τῶν ἀρτηριῶν, εἴτε τῶν ὄντως φλεβῶν. οὔτε δὲ πολλὴ ἐγένετο ὡς καταλῦσαι τὰς δυνάμεις. δεῖ οὖν αὐτὴν στεῖλαι· στέλλεται δὲ ἢ ἔκ τινος φυσικοῦ ἢ ἀπὸ τέχνης· ἀπὸ φυσικοῦ μὲν οὕτως· πολλάκις ἐκ τῆς ἀθρόας ταύτης φορᾶς κενωθέντος τοῦ ζωτικοῦ πνεύματος, λειποθυμία ἠκολούθησε, καὶ δύναται αὐτὴ ψύξαι τὴν ἐπιφάνειαν, παχῦναι τὴν ὕλην καὶ στεῖλαι τὴν αἱμοῤῥαγίαν. τοῦτο μὲν οὖν φυσικόν. τὰ δὲ ἀπὸ τῆς τέχνης πολλά εἰσι. στέλλει γὰρ καὶ διὰ σχήματος ἀναῤῥόπου. εἰ γὰρ φέρεται ἐκ τῶν κάτω τοῦ ποδὸς αἷμα, ἀνάφορον αὐτὸν ποιήσας ἔστειλε. πολλάκις δὲ διὰ μοτῶν εἶρξεν αἷμα. ἀλλ' εἰ μὲν ἐπιπολῆς φέρεται τὸ αἷμα, προστίθησιν αὐτὸν μόνον, εἰ δὲ ἐκ τοῦ βάθους, συστρέφει. ὁ δὲ Γαληνὸς κατ' ἄλλου ἔλαβε τὸ συστρέφειν. πολλάκις γὰρ ἐκ ῥινῶν φέρεται αἷμα, καὶ ἐστείλαμεν αὐτὸ συστρέψαντες καὶ κλείσαντες τοὺς μυκτῆρας. οἶδε καὶ ἐπίδεσμος στεῖλαι αἷμα, ὡς εἴρηται ἐν τῷ περὶ ἀγμῶν, καὶ μάλιστα εἰ παραληφθείη οὐκ ἀπὸ τοῦ ὑγιαίνοντος τόπου ἐπὶ τὰ νοσοῦντα, τότε γὰρ ἐπισύρεται, ἀλλ' ἀπὸ τοῦ νοσοῦντος ἐπὶ τὰ ὑγιαίνοντα, ἵνα ἀποκρούσηται. λέγει δὲ ἐν τῷ μέσῳ, ὅτι καὶ ἄλλη ἀπόληψις πεποίηται, καὶ τοῦτο ἢ ὡς πρόγραμμα δεῖ λαβεῖν ὅτι εἰσὶ καὶ ἄλλαι ἐπισχέσεις, ἢ διὰ μοτώματος ἢ διὰ συστροφῆς, ἢ καὶ ὡς τρόπον θεραπευτικόν. πολλάκις γὰρ διαιρεθὲν ἀγγεῖον βρόχῳ ἀπολαμβάνοντες ἐστείλαμεν τοῦ αἱμοῤῥαγεῖν. αὗται πᾶσαι στάσεις εἰσὶν αἱμοῤῥαγίας ἐκ φλεβῶν γενομένης. καὶ κρεῖττον αὐτὴν εἶναι ἐκ φλεβῶν· κακὸν γὰρ, εἰ ἐξ ἀρτηρίας, ὡς 1)* φύσει, διά τε τὴν κυριότητα τοῦ μορίου, καὶ διότι ὡς σφυγματωδῶς κινούμενον τὸ μόριον οὐ παρέχει τῇ φύσει ἡσυχίαν εἰς καιρὸν 2) ἀπουλώσεως.

δ'. Βουβωνοῦται τὰ πλείω, διότι ἡπατῖτις· ἦν δὲ καὶ

---

1) dicet C. φήσει 2) ἀπολούσεως Codd. Emendavi.

ἀπὸ ἀρτηρίης κακωθείσης κακὸν σημεῖον, οἷως Ποσειδωνίῃ. —

Οὗτος ὁ λόγος γρίφος ἐστὶν, ἔχει δὲ πολλὰς ἐξηγήσεις. ἐπειδὴ γὰρ εἶπεν ὅτι αἷμα κενούμενον ἐκ φλεβὸς χαλεπὸν ποιεῖ, φησὶν ὅτι οὐκ ἐκ πάσης φλεβός· οὐδὲ γὰρ ἐκ λεπτῆς ἀραχνοειδοῦς, ἀλλὰ τῆς βουβωνουμένης, τοῦτο δέ ἐστι τῆς εἰς ὕψος ἐπαιρομένης. αὕτη δὲ ἐκχέουσα αἷμα χαλεπὰ ποιεῖ, διότι ἡπατῖτίς ἐστι τουτέστιν ἐξ ἥπατος φυομένη. εἰσὶ δὲ καὶ δύο ἐξηγήσεις. πολλάκις γὰρ γίνεται αἱμοῤῥαγία εἴσω, καὶ φέρει εἰς ἄλλα ἀγγεῖα τὸ αἷμα καὶ ποιεῖ κιρσόν. ἀλλ᾽ οὐκ εἰς πᾶσαν φλέβα ἐρχόμενον αἷμα βουβωνοῖ αὐτὴν καὶ εἰς ὕψος ἐπαίρει, ἵνα ποιήσῃ κιρσὸν, ἀλλ᾽ εἰς μόνην ἡπατῖτιν. καὶ ἡ ἐξήγησις εἰ καὶ ἀληθὴς, ἀλλ᾽ οὖν πολλάκις τις λαβὼν ἕλκος ἐν ἄκρῳ δακτύλῳ τοῦ ποδὸς, βουβῶνα ἀνήνεγκεν. ὁ Ἱπποκράτης οὖν, πρὸς ὑπόμνησιν αὐτοῦ γράφων, ἐρωτᾷ ἑαυτὸν τίς ἡ αποκλήρωσις τοῦ, πάσχοντος ἑτέρου μορίου, ἕτερον βουβωνοῦσθαι; καὶ λέγομεν ὅτι ἐπειδὴ ὀδύνη γίνεται εἰς τὸν πόδα αὐτοῦ, τρέχει ἡ φύσις μετὰ τοῦ αἵματος, βοηθεῖ τῷ ὀδυνωμένῳ, καὶ εὑρίσκεται ὁ ἀδὴν μανὸς, καὶ δεχόμενος τὴν ὑγρότητα φλεγμαίνει, καὶ μάλιστα ὅταν ἡπατίτιδες φλέβες ἐκεῖ φέρωνται ἀνωτέρω τοῦ μηροῦ, αἵτινες διὰ τὸ μέγεθος πολλὴν φέρουσαι ὑγρότητα βουβωνοῦσι τὸν ἀδένα.

έ. Οἱ αἱμοῤῥαγοῦντες τελευτῶντες οὐκ ἐφιδροῦσι τὸ πρόσωπον, ἀλλ᾽ οἷα ξυμπεπτωκότες, καὶ οἱ πνευματίαι καὶ οἱ ὑπὸ ὑδρώπων ὀλλύμενοι, πονηρόν. —

Προσεχὴς οὗτος ὁ λόγος τῷ ἀνωτέρω· ἐγένετο γὰρ αἱμοῤῥαγία, καὶ οὔτε φυσικὸν οὔτε τεχνικόν τι ἴσχυσεν αὐτῇ κωλῦσαι. ἀλλ᾽ ἵνα μὴ τελείως ἀδοξήσῃ ἡ τέχνη, κἂν τούτῳ προμηνύει πῶς ἕπεται ὁ θάνατος, ὅτι οὐ μετὰ ἱδρώτων. κενωθήσεται γὰρ πάσης τῆς ὑγρότητος. πόθεν δὲ ἔσται ἱδρώς; οὐκοῦν εἰ μὴ γένηται ἱδρὼς, οὐδὲ συγκοπὴ γίνεται, ὁ ἐν μόνῳ τῷ μετώπῳ· εἴρηται γὰρ ὅτι συγκοπτικὸς ἱδρὼς περὶ τὸ μέτωπον καὶ τὰ ἄνω μέρη γίνεται. ἐπειδὴ γὰρ μέλλει σκεδασθῆναι τὸ ἔμφυτον θερ-

μὸν, φιλοῦν τὴν ἀναφορὰν διώκειν, ἀνατρέχει περὶ τὸ πρόσωπον καὶ ἥττων ἐστίν. ἰκμὰς κενοῖ αὐτὴν διὰ τὴν ἄνω, καὶ οὕτω ποιεῖ τὸν ἱδρῶτα. νῦν οὖν ὁ λόγος, ἱδρὼς οὐ γίνεται, ἀλλὰ συμπεπτωκὸς καὶ κατεξηρασμένον φαίνεταί σοι τὸ δέρμα. καὶ οἱ πνευματίαι. τοῦτον τὸν λόγον ἐξέβαλεν ὁ Γαληνός. τίνας γὰρ καλεῖ ὁ Ἱπποκράτης πνευματίας; ἆρα τοὺς πνεύματα ἔχοντας τουτέστι δαιμόνια; ἀλλὰ τοῦτο καταγέλαστον. πνευματίας γὰρ καλεῖ τοὺς ἔχοντας μεγάλην καὶ πυκνὴν ἀναπνοήν. καὶ διὰ τοῦτο οὐ τελευτῶσι μετὰ ἱδρῶτος, καὶ μάλιστα οἱ ὑδεριῶντες. οὗτοι γὰρ ὤφειλον μετὰ ἱδρῶτος τελευτᾶν, ὡς κατακλυζόμενοι τῇ ὑγρότητι.

ϛ'. Τῶν γαστέρων αἱ εὐφορίαι ταραχὴν, οἷον Ποσειδωνίῃ. —

Θαυμαστὸς ὁ λόγος, ἐὰν σαφηνισθῇ. σαφηνίζεται δὲ, ἐὰν ὑπερβατῶς ἀναγνωσθῇ. πολλάκις γὰρ γίνεται διάῤῥοια καὶ ταραχὴ γαστρός. πόθεν δῆλον εἴτε ἐπὶ κακῷ εἴτε ἐπὶ ἀγαθῷ ἐγένετο. πόθεν δέ; ἐκ τῆς ἑπομένης εἴτε εὐφορίας εἴτε δυσφορίας. ὥσπερ γὰρ ἐγένετο τῇ Ποσειδῶνος γυναικὶ, οὕτω καὶ ἐνταῦθα. τῶν γαστέρων τὴν ταραχὴν αἱ εὐφορίαι δηλοῦσιν, ὥσπερ 1) τὴν Ποσειδῶνος.

ζ'. Τὰ θηρία οἷα ἐμποιέει. —

Θηρία λέγει ὁ Ἱπποκράτης τὰ θηριώδη νοσήματα, ποτὲ δὲ καὶ τὰς ἕλμινθας. ζήτει οὖν τί ποιεῖ ταῦτα τὰ θηρία, καὶ ποῖα αὐτὰ ποιεῖ, ὅτι ποιεῖ μὲν αὐτὰ ὁ ὠμὸς χυμὸς, ἢ ἀπὸ ἄρτου ἢ ἀπὸ ὀσπρίων ἢ ἀπὸ λαχάνων. αὐτὰ δὲ ποιεῖ στρόφους, 2) δήξεις.

η'. Ἐν τῷ λεπτυσμῷ ἡ 3) περίτασις πρὸ τῆς τελευτῆς, καὶ ὀμφαλὸς πρόμακρος εἱλκύσθη αὐτέῃ, καὶ οὔλων ἐφελκώσιες τῶν εἰσιόντων περὶ τὸν ὀδόντα. —

Τοῦτον τὸν λόγον Ἱπποκράτης μὲν ἐπὶ 4) Ποσειδωνίου ἔγραψεν, ἔξεστι δὲ αὐτὸν λαβεῖν καθόλου, ὅτι ἐγέ-

1) Fort. τῇ. 2) δόξεις L. 3) περὶ πάσης Codd. 4) σιδωνίου L. A.

νετο αἱμοῤῥαγία, καὶ οὕτω πολλὴ, ὡς καταψῦξαι μὲν τὸ ἔμφυτον θερμὸν, ἐργάσασθαι δὲ ὕδερον. εἰ οὖν ἐγένετο ὕδερος, περίτασίς ἐστιν εἰς τὴν κοιλίαν οὐκ ἀπὸ χρηστῆς ὑγρότητος, ἀλλὰ περιττωματικῆς. ἔνθεν καὶ μακρότερον ἐποίησε τὸν ὀμφαλὸν, καὶ ἥλκωσεν αὐτόν. ἤρξατο δὲ οὗτος ὁ χυμὸς ἀναδίδοσθαι καὶ ἐπὶ τὰ ἄνω· ἔνθεν τῇ δριμύτητι καὶ ἕλκος ἐποίησεν εἰς τὰ οὖλα, καὶ πάντα τὰ βρώματα εἰσιόντα ἐπὶ τοὺς ὀδόντας βλαβερὰ ποιεῖ φαίνεσθαι. τάχα δὲ ὀδόντας λέγει οὐ τούτους τοὺς φαινομένους, ἀλλὰ περὶ τοῦ 1) εἰσωφάγου λέγει, ὡς καὶ αὐτοῦ ἡλκωμένου· διὰ γὰρ τοὺς ὀδόντας παρέρχεται. 2) ὀδοὺς δὲ καλεῖ, ἢ πυρινοειδὴς, τὴν εἴσω ἀπόφυσιν τοῦ δευτέρου σπονδύλου, ἐξ ἧς ἔρχεται ὁ εἰσωφάγος. ἴσως γὰρ καὶ ἐκεῖ φθάσας ὁ χυμὸς ἥλκωσεν αὐτόν.

θ'. Ὅτι πολλὰ περὶ ἑκάστου ἔστιν ὀρθῶς ἐντείλασθαι, τὰ μὲν ταῦτα δυνάμενα, τὸ δὲ οὔ, οἷόν ἐστι τὰ τοιάδε, διαχυθὲν, πιληθὲν κενωθῆναι. —

Τῷ μεμνημένῳ τῶν ἀνωτέρω οὐδὲν λέγει οὗτος ὁ λόγος, ὅτι ζήτει ὅμοια εἴτε ἀνόμοιά εἰσι τὰ πράγματα ἀλλήλοις. τοῦτο καὶ ἐνταῦθά φησιν, ὅτι δύναται ἕκαστος πολλὰ ὀρθὰ ἐντείλασθαι περὶ παντὸς πράγματος. ἰδοὺ γὰρ καὶ ἐγὼ ἐντέλλομαι ζητεῖν σε τὰ ἀνόμοια καὶ τὰ ὅμοια. καὶ ἐπὶ πολλῶν μὲν ἐγυμνάσαμεν τὸν λόγον ἄνω, νῦν δὲ τούτου παράδειγμα λαμβάνει τοῦτο, ὅτι εἰσῆλθον δύο ἰατροὶ πρὸς ἄῤῥωστον, καὶ εὑρήκασι φλεγμονὴν ὑποκειμένην. συνεῖδον ἀμφότεροι κενωθῆναι τὸν τόπον· ἀλλ' ὁ μὲν ἔγνω χῦσαι καὶ διαφορῆσαι τὸν χυμὸν, ὁ δὲ πιλῆσαι καὶ ἀποκρούσασθαι αὐτὸν ἄνω. ἆρα οὖν οὐκ ἔστιν ἐναντίον χύσις πιλήσει; πλὴν ἀμφότεροι ἐνεποίησαν τὴν κένωσιν. καίπερ καὶ ἐπὶ ἄλλου πολλῶν ἰατρῶν θελόντων ψῦξαι, ὁ μὲν διὰ πτισάνης, ὁ δὲ διὰ θριδακίνης, ὁ δὲ δι' ὕδατος ἔψυξεν. καὶ δοκοῦσι μὲν εἶναι ταῦτ αδιάφορα τῷ ὀνόματι, ἐν δὲ τῷ πράγματι συνᾴδουσι· πάντα γὰρ ἔψυξαν.

ί. Καὶ ὅκου κλίνειν, δεῖ διώσασθαι. πούτους ἀτολμέον-

---

1) Ita Codd. 2) Soloece.

τας δεῖ διώσασθαι καὶ ἀνεγείρειν καταναρκωμένους, εἰς ἃ ὑστεροῦσιν. —

Τὰ πολλὰ τῶν βιβλίων κλίνειν ἔχουσιν· ἔνθα κλίνει ὁ χυμὸς, ἐκεῖ κένωσον. τὸ δὲ ἀληθὲς, κλίνην ἔχει. πολλάκις γάρ τινες ἀπὸ νόσου εἰσὶν ὑγιέες, φοβοῦνται δὲ ἀναστῆναι ἀπὸ τῆς κλίνης, χαίροντες αὐτῇ. τούτους δεῖ διώκειν καὶ ἀνεγείρειν, μήπως καταναρκωθῶσι καὶ ψυχθῶσι τὸ σῶμα. ἔγειραι οὖν αὐτὸν, καὶ ἐκεῖνα πρόστασσε τὰ ἔργα, ἃ φεύγει, εἰ γράφει, τὸ γράφειν, εἰ ἀναγινώσκει, τὸ ἀναγινώσκειν.

ιά. Ὑδατώδεας θᾶσσον τάμνειν, πρίειν κεφαλὴν, φθίνοντας καίειν αὐτίκα καὶ τὰ τοιαῦτα. —

Νῦν οὐ 1) τρόπον σοι θεραπείας παραδίδωσιν, ἀλλὰ χρόνον, ὅτι πᾶν ὃ ποιεῖς, ταχὺ ποίει. ἁρμόζει γὰρ ὁ λόγος μάλιστα χειρουργοῖς. ἔστι γὰρ πολλάκις ὕδερος, καὶ οὗτος ἀσκίτης, ἐπὶ κατακλυζούσῃ ὑγρότητι, καὶ ἔδοξέ σοι χειρουργίᾳ χρήσασθαι τῇ παρακεντήσει. μὴ ἀναμείνῃς, μήπως τὸ ὑγρὸν ῥέψῃ κατὰ τῶν ἐσωτέρων. ὡσαύτως δὲ καὶ εἰ φθισικὸν μέλλεις καῦσαι, ταχύ· εἰ δέ ποτε καὶ κεφαλῆς ὀστέον ἔῤῥευσε κατὰ τῶν μηνίγγων, εἴτε τεμεῖν, εἴτε ἀνακουφίσαι θέλεις αὐτὸ, ταχὺ ποίησον. ὁμοίως δὲ καὶ ἐπὶ πάντων.

ιβ΄. Τῶν ὑδατωδέων μὴ ψαύειν ἦτρου μηδὲ τῶν ἔσω, ὅμοιον γὰρ τοῖσι γούνασιν. —

Ἐπειδὴ εἶπέ σοι καὶ ταχέως τοὺς ὑδερικοὺς, φησὶν ὅτι οὐκ ὀφείλεις πάντα ὑδερικὸν τέμνειν. τρεῖς γάρ εἰσιν ὕδεροι, τυμπανίας μὲν ἐπὶ πνεύμασιν, ἀσκίτης δὲ ἐπὶ ὑγρῷ, ἀνασάρκα δὲ ὁ ἐπὶ τῇ σαρκὶ 2) παρεσπαρμένος. ἐπὶ τοῦ τυμπανίτου οὖν οὐκ ὀφείλεις τεμεῖν· διὰ γὰρ πνεύματα οὐδεὶς χειρουργεῖ. ἀλλ᾽ οὐδὲ ἐπὶ τοῦ ἀνασάρκα· παρεσπαρμένη γὰρ ὑγρότης οὐ δύναται κενωθῆναι. ἀλλ᾽ ὥσπερ ἐπὶ τοῦ ὄγκου ὄντος ἐν τῷ γόνατι, εἰ μέν ἐστιν ἀπὸ πνευμάτων, οὐδεὶς χειρουργεῖ, ἀλλ᾽ οὐδὲ ὅτε ἀπὸ χυμοῦ ἀεί· οὐδὲ γὰρ ὅτε

1) τοῦ τρόπου L. 2) παρεσπασμένος Codd.

ἄπεπτος καὶ σκληρός ἐστιν ὁ ὄγκος, ἀλλ᾽ εἰ μὴ ὅτε τελείως μεταβληθῇ εἰς πῦον. οὕτω δὴ μόνον τὸν ἀσκίτην χειρουργοῦμεν, καὶ τότε παραφυλάττομεν μήτε τοῦ ἤτρου, μήτε ἄλλου τινὸς τῶν ἐν βάθει ψαύειν.

ιγ΄. Τὰ παρὰ καρδίην Ξενάρχῳ, καὶ θερμὸν ἅλες πολλὸν εἰσπνεῖν ἀντὶ τῆς κενώσιος θάλπειν ἀρχῆθεν. —

Θεραπευτικὸς οὗτος ὁ λόγος. πέπονθε μὲν γὰρ Ξενάρχης, ἱστόρησε δὲ Ἱπποκράτης, ὠφελήθησαν δὲ οἱ 1) νοήσαντες. φθίσις γὰρ ἐγένετο, ἕλκος ἐν τῷ πνεύμονι. τότε 2) φεύγομεν τὴν τοῦ ψυχροῦ ἀέρος εἰσπνοήν· τὸ γὰρ ψυχρὸν τοῖς ἕλκεσι πολέμιον, καὶ πληκτικὸν, μάλιστα τοῦ μανοῦ καὶ ἁπαλοῦ πνεύμονος, 3) ἀντὶ τοῦ ψυχροῦ ἀέρος ἀναπνοήν. τοῦτο μὲν ἔχει τ ὰ π α ρ ὰ κ α ρ δ ί α ν. εἰ δὲ τὰ περικάρδια, ὅ τι ποτὲ γίνεται πάθος ἢ τῇ καρδίᾳ, οὐκ ἐρυσιπελατώδης, οὐδὲ φλεγμονώδης· προλαμβάνει γὰρ ὁ θάνατος· ἀλλὰ καρδιακὴ συγκοπὴ ἥτις γίνεται ἐπὶ καταψύξει τοῦ ἐμφύτου θερμοῦ. οὐκοῦν εἰ κατέψυκται ἡ καρδία, μὴ εἰσενέγκῃς ψυχρὸν ἀέρα· ἐπιτείνεις γὰρ τὸ κακόν. ἀλλὰ θάλψον ἐκ τῆς ἀρχῆς τοῦ νοσήματος.

ιδ΄. Ἀφ᾽ οὗ ἕν. —

Τοῦτο ὡς ἰδιάζοντα λόγον δεῖ λαβεῖν, εἰ καὶ πολλοῖς τῶν ἐξηγητῶν ἔδοξε μηδόλως τάξαι αὐτόν. λέγει οὖν, ὅτι ὁ τεχνίτης ἀφ᾽ οὗ εὕρῃ ἓν σύμπτωμα, ὀφείλει καὶ περὶ τῶν ἄλλων συλλογίσασθαι, οἷον πλευριτικόν τινι ἐγένετο νόσημα. εἰσελθὼν ὁ ἰατρὸς ἐν τῇ ἀρχῇ εὗρε νυγματῶδες ἄλγημα· ἀπὸ τούτου ἔχει εἰπεῖν καὶ περὶ τῶν ἄλλων, ὅτι ὅσον οὔπω καὶ βὴξ, καὶ δύσπνοια καὶ πυρετὸς ἐπακολουθήσει, ὥσπερ εἰ εὕρῃς ἐπί τινος μετὰ πέψιν γινομένην καρηβαρίαν, καὶ μέλλουσαν γενέσθαι αἱμοῤῥαγίαν, εἰπὲ ὅτι ὅσον οὔπω καὶ χεῖλος τὸ κάτω κλονηθήσεται, καὶ μαρμαρυγαὶ φανήσονται πρὸ τῶν ὀφθαλμῶν, ὥστε ὅταν

---

1) νοσήσαντες C. laborantes. 2) φρύγομεν Codd. 3) et proptera frigidus aer non inspirandus, sed contra expirandus est C.

εὕρῃς ἓν σύμπτωμα, πρόλεγε καὶ 1) περὶ τῶν ἄλλων ἐσομένων ἢ ἑπομένων.

ιε΄. Σημεῖον ὀργῆς καὶ τῶν τοιούτων, οἷον φωνὴ ὁκοία γίνεται ὀργιζομένοισιν, ἢν τοιαύτη ᾖ μὴ ὀργιζομένῳ φύσει, ἢ ὄμματα οἷα ἂν ᾖ φύσει ταραχώδεα οἷα ὅταν ὀργίζωνται οἱ μὴ τοιοῦτοι, καὶ τἄλλα κατὰ λόγον, καὶ νούσων οἷον τὸ φθινῶδες ποιέει τὸ εἶδος, ἢν τοιοῦτος φύσει, ἐς τοιοῦτον νόσημα παρέσται, καὶ τἄλλα οὕτως. —

Οὗτος ὁ λόγος φυσικὸς ὡς ἐπιτοπλεῖστον· εἰσὶ γάρ τινες ὄντως φυσιογνώμονες, οἵτινες ἀπὸ τοῦ προσώπου μαντεύονται περὶ τοῦ ἤθους τῆς ψυχῆς· ἔνθεν εἴ τινα ἴδωσιν ἀνεσπασμένας τὰς ὀφρῦς ἔχοντα, ἐκεῖνον ἀναιδῆ καλοῦσιν, εἰ δὲ κατεσπασμένας, ἐλευθέριον. ταῦτα μὲν οὖν ἐκεῖνοι ζητοῦσιν, ἵνα τὸ τῆς ψυχῆς ἦθος καταλάβωσι. ζητεῖ δὲ ὁ Ἱπποκράτης ἵνα τὴν τοῦ σώματος καταλάβῃ διάθεσιν· φησὶ γὰρ ὅτι οἴδαμεν σημεῖον θυμοῦ, τὸ τῆς φωνῆς τρομῶδες, τὸ ἐρυθρὸν τοῦ προσώπου, τὸ τῶν ὀφθαλμῶν ταραχῶδες. πολλάκις οὖν χωρὶς θυμοῦ ταῦτα πάρεστιν ἐν τῷ κατὰ φύσιν. ὀφείλει προμηνύσαι ἡ τέχνη, ὅτι οὔτε ὁτῳδήποτε ἄλλῳ νοσήματι τῷ φρενιτικῷ 2) τῇ μανίᾳ ἔχει ἁλῶναι. ἐκ τοῦ κατὰ φύσιν γὰρ δῆλός ἐστιν ὁ λογισμὸς ἐπιτηδείως ἔχων εἰς τὴν τοῦ τοιούτου πάθους γένεσιν. ὁμοίως δὲ οἴδαμεν φροντίδος καὶ λύπης σημεῖα, τὸ τῶν ὀφρύων κατεσπασμένον, τὸ τῶν ὀφθαλμῶν ἀκίνητον, τὸ τοῦ χρώματος πελιδνότερον. εἰ οὖν χωρὶς φροντίδος καὶ λύπης ταῦτα γίνεται, προμηνύει ἡ τέχνη, ὅτι οὔτε ὁτῳδήποτε ἁλῷη νοσήματι ἢ τῷ μελαγχολικῷ ἐκεῖνος ἔχει ἁλῶναι, ἐπειδὴ καὶ ἐν τῷ κατὰ φύσιν ἐπιτήδειός ἐστιν ὁ λογισμὸς εἰς τοιούτου πάθους γένεσιν. καὶ τί θέλω τὰ περὶ τοῦ ἤθους τῆς ψυχῆς, ἐάσας τὰ ἐν τῷ σώματι; φθινώδεις γάρ τινες τῇ φύσει κατασκευαί· πτερυγώδεις δὲ αἱ ὠμοπλάται, καὶ στενὸς καὶ ἀβαθὴς ὁ θώραξ. προμηνύει οὖν ἡ τέχνη ὅτι οὗτος ἐὰν νοσήσῃ, εὐχερῶς ἁλίσκεται τῷ φθινώδει νοσήματι. καὶ γὰρ ἡ φυσικὴ κατα-

1) πρὸ Codd. 2) Fort. om. ἤ.

σκευὴ εἰς τοῦτο ἦν ἐπιτηδεία. ὁμοίως γὰρ ἔχει ὁ λόγος καὶ περὶ πάντων τῶν ἄλλων, τὸ ἐκ τοῦ κατὰ φύσιν συλλογίζεσθαι τὰ παρὰ φύσιν.

ιϛ΄. Οἱ βῆχες οἱ κοπιώδεες ἅπτονται τῶν 1) σιαρῶν καὶ μάλιστα τῶν ἄρθρων. —

Περὶ βηχὸς διαλέγεται ἐπιπολαίου καὶ κόπου τοῦ ἐκ προκαταρκτικῆς αἰτίας. πολλὰ γάρ τις ὁδοιπορήσας ἐκοπίασεν· ἐγένετο αὐτοῦ ὁ κόπος ἐν ψυχροτέρῳ χωρίῳ, καὶ βὴξ ἐγένετο. ἐγένετο οὖν ὁ βὴξ καί ποτε εὑρεθεῖσα ἡ δύναμις ἐῤῥωμένη ἀπεδίωξε τὸν χυμόν· ἀπεδίωξε μέντοι παρὰ τὸ ἀσθενές. τί δὲ ἀσθενέστερον τῶν ἄρθρων καὶ ἐν τῷ κατὰ φύσιν καὶ νῦν ἐν τῷ παρὰ φύσιν; ἀπὸ γὰρ τῆς κινήσεως ἐν τῷ κόπῳ ἀσθενέστερα γενόμενα ἐδέξαντο τὴν ὕλην.

ιζ΄. Ἅτε καὶ ἐν τοῖσι κοπιώδεσι 2) τοῦ βῆξαι ἐγένετο. —

Ὁ ἀνωτέρω μὲν λόγος περὶ βηχὸς ἐπιπολαίου, οὗτος δὲ καὶ βηχὸς κακοήθους, καὶ κόπου ἐς ὕστερον ἡ γενομένη αἰτία, καὶ τοῦτο οὐ περὶ παντός· οὐδὲ γὰρ τοῦ ἑλκώδους, ἀλλὰ τοῦ τονώδους, καὶ ὀστοκοπώδους, τῶν γινομένων ἐκ παχείας ὕλης. ἐπειδὴ οὖν παχειά ἐστιν ἡ ὕλη, ἐν τῷ βηχὶ οὐδὲν ἀνάγεται· μένει οὖν ἡ ὕλη. καὶ αὕτη μὴ δυναμένη διαφορηθῆναι, ῥέπει κάτω περὶ τὰ κοῖλα καὶ ἀσθενῆ καὶ θερμά. τοιαῦτα γὰρ τὰ ἄρθρα. εἶπε δὲ ὁ Ἱπποκράτης ὅτι τότε οἱ ξηροὶ βῆχες εἰς τὰ ἄρθρα στηρίζουσιν, ὅταν ἐγκαταλίπωνται τουτέστιν ὅτε μὴ πᾶσα ἡ ὕλη κενωθῇ παρὰ βηχὸς, ἀλλά τι μένον ῥέψῃ παρὰ τὰ ἄρθρα· ἔνθεν οὐδὲ δεῖ αὐτὸν ῥίψαι τὰ πνεύματα. 3) τινὲς γὰρ εἰ καὶ ἀνήνεγκαν τὰ λείποντα πνεύματα τουτέστι μέρος δυσπνοίας, 4) κακῶν δὲ, ἀδιανόητός ἐστιν ὁ λόγος.

ιη΄. Τὰ πνεύματα τοῖσι φθινώδεσι κακὰ τὰ ἄσημα καὶ τῇσιν ἀτόκοισιν, ὅσα ἄλλα τοιαῦτα. —

Ἀσαφὴς φαίνεται οὗτος ὁ λόγος καί τινες μὲν ἐξηγή-

1) σηραγγῶν Codd. 2) Sic! 3) C. addit: remansere tamen flatus. 4) malum C.

σαντο αὐτὸν οὕτως, ὅτι ἐὰν ἐπὶ φθισικῶν ἡ δύσπνοια, δηλοῖ, ῥᾳστωνήσει, τουτέστι μὴ γενομένης κρίσεως ἢ ἀποστάσεως χαλεπῆς. ἐπειδὴ τὰ ἀσήμως ῥᾷστα εἰ ἐγένετο, οὐκ ἔστιν ἀδιανόητον. ἀλλὰ τοῦτο λέγε, ὅτι πολλάκις τις εἰσελθὼν πρὸς κάμνοντα εἶδεν αὐτὸν μέγα καὶ πυκνὸν ἀναπνέοντα, μετ' ὀλίγον δὲ εἰσελθὼν εὗρεν αὐτὸν ἀσήμως καὶ ἀπροσδοκήτως μικρὸν ἀναπνέοντα. καὶ πολλοὶ μὲν χαίρουσι, νομίζοντες διὰ τὴν ἀπαλλαγὴν τοῦ νοσήματος μεταβολὴν γενέσθαι τῆς δυσπνοίας, ὁ δὲ ὄντως ἰατρὸς ἅπτεται τοῦ σφυγμοῦ, εὑρίσκει αὐτὸν ἀμυδρὸν καὶ ἀνώμαλον, καὶ λέγει μέγα κακόν. μικρὰ γὰρ ἐγένετο ἡ ἀναπνοὴ, οὐ διὰ τὴν ἀπαλλαγὴν τοῦ νοσήματος, ἀλλ' ὅτι ὀκλάσασα ἡ δύναμις οὐκέτι ἰσχύει 1) ἐπι . . . διαστεῖλαι τὸν θώρακα, καὶ ἐντεῦθεν μικρὰ ἡ ἀναπνοή. τὸ αὐτὸ καὶ . . . ἀτόκων ἃ ἕλκουσι . . . λέγει ὁ Ἱπποκράτης οὐ τὰς στείρας, ἀλλὰ τὰς 2) χήρας, αἳ διὰ τὸ ὕστερον σωφρονήσασαι τῶν ἀφροδισίων, . . . αἷς συνάγεται τὸ σπέρμα. καὶ ἐν μὲν τῇ ἀρχῇ, ὅτε ἡ θερμασία τοῦ σπέρματος ἦν, μεγάλη ἐγένετο ἡ ἀναπνοὴ, 3) ὕστερον δὲ, ἐπειδὴ κατέκλεισε τὸ σπέρμα τὴν δύναμιν, καὶ μικρὰ ἐγένετο ἡ ἀναπνοή. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ ἄλλων πολλῶν. ἐπὶ γὰρ τῶν ἐμπυϊκῶν τὸ μὲν πρῶτον ἀνάγεται πῦον, ὕστερον δὲ, 4) οὐχ ὅτι ἐπαύσατο ἡ νοσοποιὸς αἰτία, ἀλλ' ὅτι ἀσθενεῖ ἡ ἀνάγουσα δύναμις.

ιθ'. Τοῖσι φθίνουσι τὸ φθινόπωρον κακὸν, κακὸν δὲ καὶ τὸ ἦρ, ὁκόταν τὰ τῆς συκῆς κορώνης ποσὶν εἴκελα ᾖ.—

Ὅτι τὸ φθινόπωρον πολέμιον τοῖσι φθίνουσι, ἐπειδὴ καὶ ἀνώμαλόν ἐστι, ποτὲ μὲν θερμὸν, ποτὲ δὲ ψυχρόν. ὅταν δὲ ἀνωμαλία καταβάλλῃ τὴν φύσιν, οὐ μόνον τὸ φθινόπωρον, ἀλλὰ καὶ τὸ ἦρ αὐτοῖς πολέμιον, ἐπειδὴ τότε ἡ εὐκρασία χύσις οὖσα τοῦ αἵματος φέρει τοὺς χυμοὺς περὶ τὸν πνεύμονα, καὶ αὔξει τὴν 5) φθίσιν. ἀλλὰ καὶ τοῦ ἔαρος μάλιστα ἡ ἀρχὴ ἐνεδείξατο αὐτοῦ τὴν ἀρ-

1) Lacunae eaedem in Codicibus A. L. F. C. 2) χεῖρας L. A. 3) ὕστερον — ἀναπνοὴ om. C. 4) desinit paris eductio C. 5) φύσιν Codd.

χὴν ἐκ τῶν σημείων τῶν εἰρημένων Ἡσιόδῳ, ὁκόταν τῆς συκῆς φύλλα.

κ΄. Ἐν Περίνθῳ ἦρος οἱ πλεῖστοι φθινώδεις, ξυναίτιον δὲ βὴξ χειμερινὴ διαμείνασα καὶ τοῖσιν ἄλλοισιν· καὶ γὰρ τοῖσι ἐμβιαστοῖσιν ὅσα χρόνια ἐβεβαίωσεν. ἔστι δ᾽ οἷσι τῶν 1) χρονίων οὐκ ἐκρίνατο, οἷον τοῖσι τὰς νεφριτικὰς ὀδύνας ἔχουσιν. ἀτὰρ καὶ τοῖσιν ἄλλοσιν οἷον ὁ ἄνθρωπος, πρὸς ὃν ὁ 2) Μυρίσκος ἤγαγέ με. —

Οὗτος ὁ λόγος ὄντως ἐπιδημίοις ἁρμόζει. πόλις γὰρ ὅλη πέπονθεν ἡ Πέρινθος. ἐπεδήμησεν οὖν βὴξ ἐν τῷ ἔαρι, οὐ τότε γενομένη, ἀλλ᾽ ἀρξαμένη ἦλθεν ἀπὸ τοῦ χειμῶνος, παρατείνασα ἕως τοῦ ἔαρος. τοῦτον δὲ τὸν λόγον εἰ μὴ ἐν ὑπερβατῷ ἀναγνῶμεν, ἀσαφής ἐστι. λέγει δὲ τοῦτο, ὅτι ἐν Περίνθῳ βὴξ ἐγένετο, καὶ εἴπου τις ὑπόπτως εἶχεν, ὅτι ἐπιγενομένου τοῦ βηχὸς ἔπασχε. φησὶ δὲ Ἱπποκράτης, ὅτι ὅσοι εἶχον χρόνιον νόσημα, ἐκεῖνοι οὐκ ἔπασχον τὸ φθινόπωρον, ἐπειδὴ συνειθίσθη ἡ ὕλη πρὸς ἄλλο πάθος ἀσχολεῖσθαι. πολλῶν δὲ ὄντων χρονίων νοσημάτων, τὸ νεφριτικὸν ἔλαβεν εἰς 3) παράδειγμα. φησὶ δὲ Ἱπποκράτης ἱστορήσας τινὰς οἵτινες μετὰ τοῦ χρονίου νοσήματος καὶ φθίσιν καὶ βῆχα ἔπασχον. οὐδὲν γὰρ ἄτοπον, κακοχυμίαν οὖσαν εἰς πᾶν τὸ σῶμα μερισθῆναι, ὥσπερ πέπονθε καί τις ἄνθρωπος, ὃν ὁ φιλόσοφος Κυρίσκος Ἱπποκράτει 4) εἰσήγαγεν.

κα΄. Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι καὶ ἐν στήθεσι, καὶ τοῖσιν ἄλλοισι τὰς ὥρας εἰ μέγα διαφέρουσι καταμαθητέον, ὅτι ὅταν βέλτιον ἴσχωσιν, αὖθις κάκιον ἴσχουσιν, οὐχ ἁμαρτάνοντες.

κβ΄. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι κακὸν, ἄλλως τε καὶ ἢν ἐπιπυρετήνωσιν.

---

1) *χωρίων* Codd. 2) *Κυνίσκος* Hipp. 3) Hic desinit fragmentum codicis F. 4) Ad hunc usque locum commentaria Palladii in septem sectiones sexti libri Hippocratis de morbis popularibus reperta sunt C.

κγ'. Τὰ περιμάδαρα ἕλκεα κακοήθεα.

κδ'. Ὀσφῦν ἀλγέοντι ἀναδρομὴ ἐς τὸ πλευρὸν, καὶ ἐκθύματα ἃ σὴψ καλεῖται.

κε'. Τὰ 1) νεφριτικὰ οὐκ εἶδον ὑγιασθέντα ὑπὲρ πεντήκοντα ἔτεα.

κϛ'. Οἱ ἐν τοῖσιν ὕπνοισι παροξυνόμενοι, καὶ ὅσοις ἄκρεα περιψύχεται, καὶ ἡ γνώμη ταράσσεται, καὶ ἄλλα ὅσα περὶ ὕπνον τοιαῦτα καὶ οἷσι τἀναντία.

κζ' Ἧισιν οὐδὲν ἔσω τοῦ τεταγμένου χρόνου γίγνεται, ταύτῃσι τὰ τικτόμενα γόνιμα, τὰ ἐπιφαινόμενα ἐν οἷσι μησὶ γίνεται.

κη'. Οἱ πόνοι ἐν περιόδοισιν ὅ τι ἐν ἑπτὰ κινέεται, ἐν τριπλασίῃ τελειοῦται, καὶ ὅ τι ἐν ἐννέα κινεῖται, ἐν τριπλασίῃ τελειοῦται.

κθ'. Ὅτι μετὰ γυναικεῖα ἢ πρὸς τὰ δεξιὰ, ἢ πρὸς ἀριστερὰ 2) χάσκων.

λ'. Ἢν ὑγρότης ἢ ἐκ τῶν ἀπιόντων διαίτης ξηρότης.

λα'. Ὅτι τὸ θᾶσσον διακριθὲν κινηθὲν αὖθις αὔξεται βραδύτερον ἐπὶ πλείονα χρόνον.

λβ' Οἱ πόνοι τρίτῳ, τετάρτῳ, ἕκτῳ, ὀγδόῳ.

ΑΡΧΗ ΤΟΥ ΟΓΔΟΟΥ ΤΜΗΜΑΤΟΣ.

α'. Τὰ ἐκ τοῦ μικροῦ πινακιδίου σκεπτέον, δίαιτα γίνεται πλησμονῇ, κενώσει, βρωμάτων, πομάτων, μεταβολαὶ τουτέων ἐξ οἵων οἷα ὡς ἔχουσιν.

1) φρενιτικὰ Codd. 2) φάσκων Codd.

β'. Ὀδμαὶ τέρπουσαι, λυποῦσαι, πιμπλῶσαι, πειθόμεναι, μεταβολαὶ ἐξ οἵων 1) οἵως ἔχουσιν.

γ'. Τὰ ἐσπίπτοντα ἢ εἰσιόντα [ἢ ἐξιόντα] πνεύματα ἢ σώματα.

δ'. Ἀκοαὶ κρείσσονες, χείρονες, γλώσσης, γεύσιος, ἐξ οἵων οἷα προκαλέεται.

ε'. Πνεῦμα τὸ ταύτῃ θερμότερον, ψυχρότερον, παχύτερον, λεπτότερον, ξηρότερον, λεῖόν τε καὶ τέλειον.

ς'. Ἐφ' ὧν αἱ μεταβολαὶ ἐξ οἵων οἵως ἔχουσιν.

ζ'. Τὰ ἴσχοντα καὶ τὰ ἐνισχόμενα σώματα ἢ ἐνορμῶντα, λόγοι, σιγὴ, μὴ εἰπεῖν ἃ βούλεται.

η'. Λόγοις οὓς λέγει ἢ μεγάλοι ἢ πολλοὶ ἀτρεκέες, ἢ πλαστοί.

θ'. Τὰ ἀπιόντα, ἱδρὼς ὁκόθεν ἤρξατο καὶ ὅκου καὶ οἷσι διέσπαστο καὶ χρώματα οἷσιν ἢ θερμότητα ἢ ψυχρότητα ἢ ἁλμυρότητα ἢ γλυκύτητα ὁμαλῶς ἢ ἀνωμάλως τὸ σῶμα, τὸν χρόνον, αἱ μεταβολαὶ οἷαι ἐξ οἵων ἔχουσιν.

ι'. 2) Ἔρυξι οὐκ ἐκράτησεν.

ια'. Δάκρυα ἑκόντι, ἀέκοντι, πολλὰ, ὀλίγα, θερμὰ, ψυχρὰ, παχέα, γεύσει.

ιβ'. Πτύελον αὐτόθεν ἀναχρεμπτόμενον ἢ ἀναβησσόμενον ὁ ἔμετος.

ιγ'. Ἡλίου θάλπος, ψῦχος, τέγξις, ξηρότης, μεταβολὴ οἷα ἐξ οἵων ὡς οἷα ἔχει.

ιδ'. Πόνοι, ἀργίαι, ὕπνοι, ἀγρυπνίαι.

ιε'. Τὰ ἐν ὕπνῳ ἐνύπνια, κοῖται, καὶ ἐν οἷσι καὶ ἐφ' οἵων.

ις'. Τὰκ τῆς γνώμης, ξύννοια, λύπη αὐτὴν καθ' ἑαυτὴν, ἄνευ τῶν ὀργάνων, τῶν πρηγμάτων, ἄχθεται καὶ ἥδεται καὶ φοβεῖται καὶ θαρσέει καὶ ἐλπίζει τε καὶ ἀδοξέει. δοξάζει οἷον Ἱπποθόου οἰκουρὸς τῆς γνώμης αὐτῆς

---

1) οἷα ὡς Codd. 2) ἐρεύξει Codd.

καθ' αὐτῆς, ἐπίστημος ἐοῦσα τῶν ἐν τῇ νούσῳ γιγνομένων.

ιζ'. Ἡλικίη ἡλικίης ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος. οἷον εἰ παρελύθη ἐν χειμῶνι καὶ γέροντι τὴν ἡλικίην ἢ νηπίῳ, καὶ θερίης ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος ὀδόντων ἐκβολαί. τριχῶν φύσιες, 1) γόνος τὸ μᾶλλον καὶ ἧσσον, τριχῶν αὔξησις, παχυσμὸς, κρατυσμὸς, μινύθησις.

ιη'. Τὸ ξυγγενές, καὶ τὸ καθ' ἑαυτὸ καὶ ὅσῳ μᾶλλον καὶ ἧσσον.

ιθ'. Τοῦ ἔτεος ἡ ὥρη ἐν ᾗ τὸ πρωϊαίτερον ἢ ὀψιαίτερον, καὶ εἰ ἡ ὥρη ἐγεγόνει ἔπομβρος ἢ αὐχμηρὴ, ψυχρὴ ἢ θερμὴ, νήνεμος καὶ ἀνήνεμος καὶ οἵων ἀνέμων τὰ ἐπιγιγνόμενα, ἢ ὄμβρος ἢ αὐχμὸς ἢ ψύχος ἢ θέρμη τῆς ὥρης ἐν ἀρχῇ ἢ μέσῃ ἢ ἐσχάτῃ, ἢ διὰ παντὸς, ἢ παροιχομένη ἢ παρεοῦσα. τῆς νούσου ὁ χρόνος, τὰ ἐπιγινόμενα ἢ περίοδοι καὶ τῶν περιόδων αἱ μείζονες καὶ πλείονες ἐπιδόσιες, ἡ χάλασις καὶ τῆς χαλάσιος ἡ ἀκμὴ, ἐν οἷσιν, οὗ καὶ τὸ μᾶλλον καὶ τὸ ἧσσον ἀποτελοῦσαι, καὶ ὅτε, καὶ ὁποίως καὶ ἐν ὁκοίῃ ὥρῃ καὶ ἡλικίῃ τῶν ἐπιδημεουσέων νούσων οἱ τρόποι.

κ'. Καὶ εἴ τις τῶν πυρεττόντων ἄρξηται ἀνέμετος, οἷον ἢ πιόντες τι κατισχόντες ἢ βραχὺ καθαιρόμενοι.

κα'. Πυρετώδεες ἴσως οἱ ἔκλευκοι, καὶ τὰ χείλεα.

κβ'. Οἷος ὁ τρόπος, καὶ ὁ χρόνος.

κγ'. Ἔργον πᾶν τὸ σῶμα ἐς τὴν σκέψιν ἄγει, ὄψις, ἀκοὴ, γεῦσις, ἁφὴ, ῥὶς, λογισμὸς καταμανθάνει.

κδ'. Τὰ ἐν τοῖσι βλεφάροισι τοῖς ἄνω καταλειπόμενα οἰδήματα, τῶν ἄλλων περιισχναινομένων ὑποστροφαί.

κε'. Ἐν ἄκρῳ οἷσιν ὑπέρυθρα σκληρὰ, καὶ πάνυ τουτέοισιν αἰσχρὰ καὶ ἐνιστάμενα, καὶ ἐνισχόμενα, οἷον Φαρσάλῳ καὶ Πολυμήδεϊ.

κϛ'. Τὰ καταῤῥηγνύμενα οἰδήματα ἢ πελιδνώματα ἢ ἐν

---

1) πόνος Codd.

ὀφθαλμίῃσιν ἢ ἐν ἕλκεσιν. ἄλλα γὰρ τῶν φυμάτων καὶ ἐμπύων τὰ φερόμενα ὅτι σημεῖον.

κζ'. 1) *Ἀμφὶ ἀμητὸν στρόφοι περὶ τὸν ὀμφαλὸν, καὶ ὀδύναι ἔστιν οἷσιν ἀπὸ πράσων, ἀτὰρ καὶ σκορόδου τούτου ὕστερον.*

κη'. Ἐρυσίπελας ἔστιν οἷσιν ἀπὸ τραχήλου, καὶ τῶν περὶ ταῦτα ἐν προσώπῳ ἐκρίνετο.

κθ'. Τὰ μέλανα καὶ οἷσι φλύκταιναι, κακόν. καὶ οἷσι τράχηλοι, κακὸν καὶ οἷσι ταρακτικά.

λ'. Ὁ μελαγχολικὸς Ἀδείμαντος ἀπὸ 2) *πεπλίων πλειόνων ἤμεσέ ποτε μέλανα, ἄλλοτε δὲ ἀπὸ κρομμύων.*

λα'. Οἱ πυρετοὶ, ἐν οἷσιν ἀφελκοῦται χείλεα, ἴσως διαλιπόντες, καὶ τριταίοισι ψύξιες, οἱ δὲ περικαέες αὐτίκα πρὸς τὴν χεῖρα λυόμενοι.

λβ'. Οἷόν ἐστι τὸ ἐν τοῖσιν ἄρθροισι σκεπτέον, ἦρα μὴ ἐκπυοῦται;

λγ'. Ἔθος δὲ ἐξ ὧν ὑγιαίνομεν, διαίτῃσι, σκέπῃσι, πόνοισιν, ὕπνοισιν, ἀφροδισίοισι, γνώμῃ.

λδ'. Πρὸς τὰς νούσους ἀπὸ τίνων τίνα σχήματα, ἐφ' οὓς τόπους ἤρξαντο, παρῆσαν, ἐπαύσαντο.

λε'. Ἐν οἷσιν ἀκρατὴς φοβερός.

λϛ'. Τὰ ἐναντία ἐν τῇ νούσῳ διαιτήματα, τὸ εὔφορον, τὸ δύσφορον.

λζ'. Αἱ δίαιται ὁκόσοισι γνῶναι, οὐκ ἐξειδυῖαι, συμφοραὶ γὰρ πολλαί.

λη'. Ἀγαθοῖσι δὲ ἰητροῖσιν αἱ ὁμοιότητες πλάνας καὶ ἀπορίας. ἀλλὰ τἀναντία ἡ πρόφασις. οἶδα ὅτι εἰδότι χαλεπόν ἐστιν ἐκλογίσασθαι τὰς ὁδοὺς, οἷον εἰ φοξὸς, ἢ σιμὸς, ἢ ὑπόξηρος, ἢ χολώδης, δυσήμετος, νέος, εἰκῆ βεβιωκὼς, ἅμα ταῦτα πρὸς ἄλληλα ξυνομολογήσασθαι, καὶ ἐπὶ τὸ μᾶλλον καὶ ἧσσον, χαλεπόν.

---

1) *ἀμφίδμητον* **Hipp.** 2) *πλείω* **Codd.**

λθ'. Ὧι τὸ συρίγγιον ἐπανεῤῥήγνυτο, βηχία ἐκώλυε μὴ διαμένειν.

μ'. Ὧι ὁ λοβὸς τοῦ ἥπατος ἀπεπτύχθη, ὑπέσεισα, ἐξαίφνης ὁ πόνος ἐπαύσατο.

μα'. Σάτυρος ἐν Θάσῳ παρωνυμίην ἐκαλεῖτο 1) γρυπαλώπηξ, περὶ ἔτεα ἐὼν πέντε καὶ εἴκοσιν ἐξωνείρωσε πολλάκις. προήει δ' αὐτῷ καὶ ἡμέρης πολλάκις ἢ πλεονάκις. γενόμενος δὲ περὶ ἔτεα τριάκοντα φθινώδης ἐγένετο καὶ ἀπέθανεν.

μβ'. Ἐν Ἀβδήροις ὁ παλαιστροφύλαξ ὁ Κλεισθένεος γενόμενος, παλαίσας πλείω πρὸς ἰσχυρότερον, καὶ πεσὼν ἐπὶ κεφαλὴν, ἀπελθὼν ἔπιε ὕδωρ ψυχρὸν καὶ πουλὺ, μετὰ ταῦτα ἐκείνης τῆς νυκτὸς ἀγρυπνίη, δυσφορίη, ἄκρεα ψυχρά. τῇ δὲ ὑστέρῃ εἰσῆλθον καὶ βαλάνου προστεθείσης οὐχ ὑπῆλθεν. οὔρησε δὲ σμικρὸν, πρότερον δ' οὐδὲν οὐρήκει. ἐς νύκτα ἐλούσατο, οὐδὲν ἧσσον ἀγρυπνίη καὶ δυσφορίη, παρέκρουσεν. ἐόντι δὲ τριταίῳ κατάψυξις ἀπ' ἄκρων, ἐκθερμανθεὶς ἵδρωσε, πιὼν μελίκρητον ἀπέθανε τριταῖος.

μγ'. Οἱ μελαγχολικοὶ ἐπίληπτοι καὶ οἱ ἐπίληπτοι μελαγχολικοὶ εἰώθασι γίγνεσθαι ὡς ἐπὶ τὸ πουλύ. τουτέων δὲ ἑκάτερον μᾶλλον γίνεται ἐφ' ὁπότερα ἂν ῥέψῃ τὸ ἀῤῥώστημα· ἢν μὲν ἐς τὸ σῶμα, ἐπιληπτικοὶ, εἰ δὲ ἐπὶ τὴν διάνοιαν, μελαγχολικοί.

μδ'. Ἐν Ἀβδήροις Φαέθουσα ἡ Πυθέου γυνὴ οἰκουρὸς ἐπίτοκος ἐοῦσα τοῦ ἔμπροσθεν χρόνου, τοῦ ἀνδρὸς αὐτῆς φυγόντος τὰ γυναικεῖα ἀπελήφθη χρόνον πουλὺν, μετὰ δὲ ἐς ἄρθρα πόνοι καὶ ἐρυθήματα. τούτων δὲ ξυμβάντων, τό τε σῶμα ἠνδρώθη καὶ ἐδασύνθη πάντα, καὶ πώγωνα ἔφυσε, καὶ φωνὴ τρηχείη καὶ σκληρὰ ἐγενήθη, καὶ πάντα πραγματευσαμένων ἡμῶν ὅσα ἦν πρὸς τὸ τὰ γυναικεῖα κατασπάσαι οὐκ ἦλθεν, ἀλλ' ἀπέθανεν οὐ πολὺν μετέπειτα χρόνον βιώσασα.

---

1) τρυπαλώπηξ Codd.

με'. Ξυνέβη δὲ καὶ Καννοῖ τῇ Στοργίππου γυναικὶ ἐν Θάσῳ τωὐτό. ἐδόκει δὲ πᾶσι τοῖσιν ἰητροῖσιν, οἷσι κἀγὼ ἐνέτυχον, μία ἐλπὶς εἶναι τοῦ γυναικωθῆναι, εἰ τὰ κατὰ φύσιν ἔλθοι. ἀλλὰ καὶ ταύτῃ οὐκ ἠδυνήθη πάντα ποιούντων γενέσθαι, ἀλλ᾽ ἐτελεύτησεν οὐ βραδέως γενομένη ἐπίληπτος.

ΣΧΟΛΙΑ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΠΑΙΔΙΟΥ

ΦΥΣΕΩΣ ΑΠΟ ΦΩΝΗΣ ΙΩΑΝΝΟΥ.

Ἦν ἡ γονὴ μείνῃ ἐπ᾽ ἀμφοῖν ἐν τῇ μήτρᾳ. —

Σκοπός ἐστι τῷ Ἱπποκράτει διαλαβεῖν ἐν τῇ προκειμένῃ πραγματείᾳ περὶ ὕλης. αὕτη δὲ διττή ἐστιν, ἡ μὲν πόῤῥω, ἡ δὲ προσεχής. ἆρ᾽ οὖν περὶ ποίας διαλαμβάνει; περὶ τῆς πόῤῥω οὐδαμῶς. τοῦτο γὰρ πεποίηκεν ἐν τῷ περὶ ἀνθρώπου φύσεως, ὅτε περὶ τῶν στοιχείων ἐπολυπραγμόνει. ἀλλ᾽ ἔστιν αὐτῷ ὁ σκοπὸς περὶ τῆς προσεχοῦς ὕλης διαλαβεῖν καὶ περὶ σπέρματος καὶ καταμηνίων. τάχα δὲ οὐδὲ περὶ ταύτης, διότι ταῦτα ὁμολογούμενα λαμβάνει τὸ σπέρμα καὶ τὸ καταμήνιον, μὴ πολυπραγμονῶν τὴν φύσιν αὐτῶν. ἀλλ᾽ ἆρα μὴ περὶ γενέσεως τοῦ βρέφους; οὐδὲ τοῦτο, διότι ὑπερβέβηκε τὴν ἀνθρωπίνην φύσιν καὶ μόνον

Codex.

L. Codex Laurentianus Plut. LIX. 14. chartac. saec. XV, forma octav. Leguntur Ioannis in Hippocratis de natura pueri librum commentarii fine trunci inde a fol. 227 usque ad fol. 244 ultimum codicis. Unicus hujusce fragmenti est codex. Auctor Ioannes videtur esse Alexandrinus. Fabr. Bib. G. XIII. p. 254.

ταῖς κρείττοσι δυνάμεσιν ἁρμόζει ταῖς εὐφόροις τῆς γενέσεως ἡμῶν. ἔστιν οὖν αὐτῷ ὁ σκοπὸς περὶ τῶν καιρῶν, ἐν ᾧ αἱ ἐνέργειαι γίνονται, πέντε οὖσαι, σύλληψις, διάπλασις τῶν μορίων, θρέψις, αὔξησις, κίνησις. ζητεῖ οὖν τὸν καιρὸν, ἐν ᾧ αὗται αἱ ἐνέργειαι γίνονται. καιρὸν νῦν δεῖ νοεῖν, οὐ τὴν περίοδον· οὐδὲ γὰρ ἐκ τοῦ αὐτοῦ ἄρχεται καὶ εἰς τὸ αὐτὸ περατοῖ, ἀλλὰ ἀπὸ ἄλλης ἐνεργείας εἰς ἄλλην μετέρχεται, οἷον ἀπὸ συλλήψεως εἰς κύησιν. οὗτός ἐστιν ὁ σκοπός.

Δεύτερον κεφάλαιόν ἐστι τὸ χρήσιμον. διττὸν δὲ τοῦτο· καὶ γὰρ εἰς τὸ γνῶναι τὴν ὑποκειμένην ὕλην καὶ 1) προσδίαιταν, πῶς ὀφείλομεν τὴν ἑτέραν ὕλην ταύτῃ εἰσάξαι. διττὴ γάρ ἐστιν ἡ ὕλη τῆς ἰατρικῆς, ἡ μὲν περὶ τὰ ἀνθρώπινα σώματα, περί τε χειρουργίαν καὶ φαρμακείαν. μανθάνομεν οὖν ἕτερα. τῷ δέ τινι τίκτονται 2) προ . . . μ τὴν ὕλην, οἷον ἐὰν τρίποδά τινα τίκτωνται . . . * αηθης ὕλη ἢ 3) ἐλλιπῆ τινα μόρια ἔχοντα. καὶ τὰ μὲν ... άξιν ὄντα χειρουργοῦ μὲν, τὰ δὲ ἐλλείποντα διά τινων ἐπιδέσμων καὶ διαίτης ἀναπληροῦμεν. καὶ ὅτι καὶ αὐτὴν τὴν γυναῖκα παρασκευάζομεν, εὐχύμῳ τροφῇ κεχρῆσθαι κυοφορούσῃ καὶ μὴ ἀμέτρῳ κενώσει χρήσασθαι, μανθάνοντες τοὺς καιροὺς, ἐν ᾧ ἡ κυοφορία γίνεται τοῦ βρέφους.

Τρίτον κεφάλαιον, ἡ αἰτία τῆς ἐπιγραφῆς. δεῖ τοίνυν ἡμᾶς προλαβεῖν τινα. ἰστέον ὅτι τέσσαρ' εἰσὶν γονὴ, κύησις, βρέφος, παιδίον. καὶ γονὴ μὲν, ὅταν πάντοτε καὶ πάντως εἰδοποιόν ἐστιν συλλήψει ἐπιτήδειον, σπέρμα δὲ, ὅταν ἄδηλόν ἐστιν εἴτε εἰς σύλληψίν ἐστιν ἐπιτήδειον εἴτε οὐκ ἔστιν, κύησις δὲ, ὅταν ἡ διαπλαστικὴ δύναμις ἐν τῇ μήτρᾳ οὖσα ἄρχηται διαπλάττειν τὰ μόρια, βρέφος δέ ἐστιν, ὅταν ἄρχωνται τὰ μόρια ὡς μόρια τρέφεσθαι, παιδίον δὲ, ὅταν ἄρξηται κινεῖσθαι ἄχρι τῆς μειρακιώδους ἡλικίας. νῦν οὖν ἐπέγραψε περὶ παιδίου φύσεως ἐκ τοῦ ἐντελεστέρου καὶ τιμιωτέρου περὶ ἀνθρώπων φύσεως, περὶ τῆς πόῤῥω ὕλης διαλεγόμενος ἐπέγραψεν ἐκ τοῦ τιμιωτέ-

1) Fort. πρὸς δίαιταν. 2) Versuum primores literae humore aut evanidae aut consumtae. 3) ἐλλιπεῖ L.

ρου περὶ ἀνθρώπων φύσεως. φύσιν δὲ νῦν τί λέγει; φαμὲν ὅτι ξένῳ ὀνόματι φύσιν καλεῖ τὴν ἔκφυσιν, οἱονεὶ τὴν βλάστησιν. οὕτω γάρ φαμεν ἐκφυεῖν τὰς ῥίζας, τοὺς πρέμνους, τοὺς κλάδους, τοὺς καρπούς. ἐπέγραψεν οὖν περὶ παιδίου φύσεως.

Τέταρτον κεφάλαιον ἡ τάξις τῆς ἀναγνώσεως. καὶ πρὸς ἀρτιμαθῆ τοῦτό ἐστι καὶ πρὸς τέλειον· καὶ εἰς μὲν τέλειον, ἵνα πρῶτον ἀναγνῷ τὸ περὶ φύσεως ἀνθρώπου, ὅπως μάθῃ τὴν πόῤῥω ὕλην· εἶθ' οὕτως περὶ 1) πα . . . ου φύσεως, ἵνα καὶ τὴν προσεχῆ ὕλην εἰς ἐ . . . πρὸς δὲ τὸν ἀρτιμαθῆ, ὅπως τοὺς ἀφορισμοὺς πρῶτον μάθῃ, ὡς ἐκεῖσε τοὺς πάντας 2) λο ... ἰατρικῆς σποραδικῶς διδάξαντος Ἱπποκράτους, εἶτα τὸ περὶ ἀνθρώπου φύσεως, εἶθ' οὕτως τὸ περὶ παιδίου, ἵνα καὶ αὐτὸς μάθοι τὴν πόῤῥω καὶ τὴν προσεχῆ ὕλην.

Πέμπτον κεφάλαιον, εἰ γνήσιον Ἱπποκράτους. καὶ γνήσιον ἂν εἴποις αὐτὸ καὶ νόθον, καὶ γνήσιον μὲν ἀφορῶν εἰς τὸ πρόβλημα, ἄξιον ὑπάρχον τῆς Ἱπποκράτους ἐννοίας, καὶ ἔτι ἐκ τούτου εἰς τὸ 3) περὶ πλήθους θεωρημάτων. νόθον δ' ἂν εἴποις αὐτὸ, διότι πολλὰ ψευδῆ διδάσκει, ὅπερ ἀλλότριον Ἱπποκράτους γνωρίζεται, καὶ ὅτι πολλοῖς παραδείγμασιν ἐνταῦθα κέχρηται ὁ βραχυλόγος καὶ φιλοσυντόμος Ἱπποκράτης.

Ἕκτον κεφάλαιον ἡ εἰς τὰ κεφάλαια διαίρεσις. 4) Μενάνδριον * χῶρ μιμησάμενοι σιγῇ πολλῇ διέλθωμεν τοῦτο τὸ κεφάλαιον. ὅσα γὰρ θεωρήματά εἰσι, τοσαῦτ' ἂν τμήματα, εἰ βούλῃ, εἴποις ἂν εἶναι.

Ἕβδομον κεφάλαιον, ὑπὸ ποῖον μέρος τῆς τέχνης ἀναγέγραπται, ὑπὸ τὸ θεωρητικὸν, ὑπὸ τὸ φυσιολογικὸν, καὶ τὸ φυσιολογικὸν, ὑπὸ τὰς ἐνεργείας; οὐδὲν γὰρ ὑπὸ τὰ μόρια, οὐδὲ φύσις μορίων περιεργάζεται ἐνταῦθα, ποῖα ἰνώδη, ἢ ποῖα σαρκώδη ἢ ποῖα ὑμενώδη.

Ὄγδοον κεφάλαιον, ὁ διδασκαλικὸς τρόπος, οὐκ ἀφο-

---

1) Fort. *παιδίου*. 2) Fort. *λόγους τῆς*. 3) Fort. *περιπληθές*. 4) Fort. *Μεν. χορόν*.

ριστικὸς, οὐ μικτὸς, ἀλλ' ὑφηγηματικός. καὶ πότερον ἁδρός; οὐ συναληθεύει γὰρ τῇ γλισχρότητι τῆς ὕλης τῷ χαρακτῆρι, οἱονεὶ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου· ἀλλ' ἡμῖν οὐδ' ἰσχνῷ κέχρηται. συγκορυφοῦται γὰρ τὰ προβλήματα, συμπανηγυρίζει τῇ ἡμετέρᾳ γενέσει· ἔστι γὰρ μικτὸς, ἐν οἷς ἡ πρᾶξις.

Ἢν ἡ γονὴ μείνῃ ἐπ' ἀμφοῖν ἐν τῇ μήτρᾳ. —

Εἴρηται ἡμῖν ὅτι ὁ σκοπὸς περὶ τῶν καιρῶν ἐν οἷς γίνονται αἱ ἐνέργειαι, οἱονεὶ ἡ σύλληψις, ἡ κύησις, τὸ βρέφος, τὸ παιδίον. ἅπαντα ταῦτα διαιροῦνται εἰς τρία, εἰς θρέψιν, αὔξησιν, κίνησιν· οὐδὲ γὰρ περὶ ἀποτέξεως διαλαμβάνει. καὶ γὰρ 1) ἑαυτῷ μὲν τοῖς γυναικείοις ἀποπίπτων μετὰ τὸν σκοπὸν ἀναγκάζομαι ὑπομνῆσαι τὴν φύσιν, ἥτις εὐφρόνως ἡνιοχεῖ καὶ νεύει ὡραίως, ἤτοι καὶ παῖς εὐτυχῶς τοξεύει. πάντα δημιουργεῖ σωφρόνως οὐ μαθοῦσα· διὸ ἀναγκάζομαι εἰπεῖν τὸν σκοπὸν, τὸ βαλλόμενον ἅμα καὶ βάλλοντι. τοξεύει τοίνυν ἡ φύσις τῶν ἀνθρώπων εἰς τὴν γυναῖκα, ὥστε βάλλεται ὁ ἄνθρωπος ἐκ τῆς φύσεως, ἀλλὰ καὶ βάλλει ἀκοντίζων τὸ σπέρμα ἐν τῇ μήτρᾳ τῆς γυναικός. βάλλεται οὖν ἡ γυνὴ ἡ δεχομένη τὸ σπέρμα, ἀλλὰ καὶ βάλλει αὐτὴ ἕτερον σπέρμα. ἐκ τοῦ οὖν ἀνδρείου σπέρματος καὶ γυναικείου γίνεται τὸ βρέφος· τὸ γὰρ ἀνδρεῖον σπέρμα ὡς ὕλην κέχρηται τῷ γυναικείῳ καὶ ὡς τροφήν. εἶτα ἐπὰν ἐξαναλώσῃ αὐτὸ, ἄρχεται τρέφεσθαι ἐκ τῶν καταμηνίων· οὐ γὰρ διενοήθη ἡ φύσις ἐξαρκεσθῆναι, ἐκ τῶν πέντε ῥανίδων τοῦ γυναικείου σπέρματος καὶ τοῦ ἀνδρείου ποιῆσαι τέλειον ζῶον, ἀλλ' ἐδεήθη καὶ τῶν καταμηνίων. τρέφεται οὖν ἐκ τῶν καταμηνίων καὶ γίνεται πρῶτον σφαῖρα, ἐξ ἧς τὸ βρέφος. τῆς δόξης ταύτης ἐστὶν ὁ συγγραφεὺς καί τινες τῶν ἐξηγητῶν, ὅτι τὸ ἄῤῥεν σπέρμα ὡς ὕλην κέχρηται τῷ γυναικείῳ σπέρματι. ὁ μέντοι Ἱπποκράτης καί τινες τῶν ἐξηγητῶν φασιν ὅτι οὐχ ὡς ὕλη μόνον ἐστὶ τὸ γυναικεῖον σπέρμα, ἀλλὰ καὶ ὡς εἶδος, καὶ ὅτι εἰδοποιεῖ καὶ τὸ γυναικεῖον σπέρμα. κατασκευάζουσιν ἀπὸ τριῶν ἐπιχειρη-

1) Fort. ἐν αὐτῷ.

μάτων, ὧν τὸ μὲν πρῶτόν ἐστι τοῦτο· τοσοῦτον ἔχει καὶ τὸ θῆλυ σπέρμα εἰδοπεποιημένον, ὡς δηλοῦσιν αἱ 1) θήλειαι πολλάκις ὄρνεις, καὶ ἄνευ ὀρνέων τίκτουσιν ᾠὰ ἅπερ ἀναλογοῦσι τῷ βρέφει, ὡς ἔχοντα ὑμένας τινάς. τοῦτο δ᾽ ἂν πόθεν ὑπῆρξεν, εἰ μὴ εἶχε τῷ γυναικείῳ σπέρματι εἰδοπεποιημένον; δεύτερον δέ φασιν ὅτι αἱ ἐν Δήλῳ ὄρνιθες τίκτουσι καὶ τὰ τικτόμενα ζωογονοῦσι χωρὶς ἀῤῥένων. τρίτον ὅτι αὗται αἱ γυναῖκες πολλάκις ἐν τῇ μήτρᾳ ἀκοντίζουσι σπέρμα καὶ τοῦτο συνάγει τὰ καταμήνια καὶ ποιεῖ σαρκίον, ὃ κέκληται μύλη. τοῦτο δ᾽ ἂν πόθεν ἐγένετο, εἰ μὴ εἶχέ τι εἰδοπεποιημένον τὸ θῆλυ σπέρμα, οὐ τελείως δέ; ἔστιν οὖν κατ᾽ ἀλήθειαν ἐν ἑκατέρῳ σπέρματί τι καὶ ὕλης λόγον 2) ἐπέχοντι καὶ εἴδους, ἀλλὰ μᾶλλον ἐν τῷ ἀνδρείῳ σπέρματί ἐστι τὸ εἰδοπεποιημένον ἤπερ τὸ ὑλικὸν, ἐν δὲ τῷ γυναικείῳ τὸ ἐναντίον, τὸ ὑλικὸν μᾶλλον. εἶτα ταῦτα μίγνυνται ἀλλήλοις ἐν τῇ μήτρᾳ· οὐδὲ γὰρ συγκιρνῶνται οὐδὲ συντείνονται. τὴν δ᾽ αἰτίαν ἄκουσον. ἐπὰν οὖν μιχθῶσι μετὰ τῶν καταμηνίων, γίνεται σφαῖρα· εἶτα ἀπὸ τῆς θερμότητος τῆς οὔσης ἡ σφαῖρα ἐξοπτᾶται περὶ τὴν ἐπιφάνειαν αὐτῆς καὶ παχύνεται, ὡς ὅταν κρέας ἀθρόως εἰσβάλλῃς εἰς πυρκαϊὰν, καὶ τὸ μὲν ἔξωθεν ὑποφρύγεται, ἔσωθεν δέ ἐστι περιττωματικὴ ὑγρότης, οὕτως ἐνταῦθα. εἰ δὲ εἴποις μοι πόθεν ἡ θερμότης συμφυής ἐστι τῷ σπέρματι· θερμὰ γὰρ ὄντα καταβάλλονται· ἢ ὅτι πολλαὶ ἀρτηρίαι εἰσβάλλουσιν εἰς τὴν μήτραν, αἵτινες ἀνεγείρουσι χαριζόμεναι τὴν θερμότητα. ἐξοπτᾶται οὖν τὸ ἔξωθεν τῆς σφαίρας· εἶτα τίκτονται πνεύματα ἐκ τῆς θερμότητος τοῦ σπέρματος ἔσωθεν ἐν τῇ σφαίρᾳ· τοῦτο δὲ τὸ πνεῦμα, μὴ ἔχον ὅθεν διαφορηθῆναι, πολυπλασιάζεται, πολυπλασιαζόμενον δὲ στενοχωρεῖται, στενοχωρούμενον δὲ τῇ ῥύμῃ ποιεῖ τρῆμα ἐν τῷ σφαιρίῳ· ἔξεισιν ἐκεῖθεν, ἀντεισάγονται δὲ ἕτερα πνεύματα ψυχρὰ ἐκ τοῦ αὐχένος τῆς κύστεως εἰς τὸ τρῆμα ἐκεῖνο, ἀπαντῶσι τοῖς θερμοῖς πνεύμασι, καὶ ἐκ τῆς ἀντιπνοίας γίνεταί τις ἕλιξ περὶ τὸ τρῆμα. καὶ ζητοῦσι πόθεν τὰ ψυχρὰ πνεύματά εἰσιν; καὶ οἱ μὲν

1) θήλυαι L. 2) Fort ἐπέχον; τι καὶ etc.

δοξάζουσιν ἀντιπνεῖν τὴν μήτραν, καί φασιν ὅτι ἐκ τοῦ αὐχένος εἰσάγεται πνεῦμα μετὰ τῆς μητρῴας ἀναπνοῆς· οἱ δὲ ταύτης τῆς δόξης μὴ ὄντες φασὶν ὅτι ἐκ τῶν ἀρτηριῶν τῶν 1) εἰσβαλλόντων εἰς τὴν μήτραν εἰσὶ τὰ πνεύματα, καὶ ἀποροῦσι· τί οὖν; τὸ ἐν ταῖς ἀρτηρίαις περιεχόμενον πνεῦμα ψυχρόν ἐστι; λύσις. 2) .... ἕως μὲν ἐν ταῖς ἀρτηρίαις ἐστὶ, ... θερμόν ἐστιν· ἐπὰν δὲ ἐκχέηται ἐν τῇ μήτρα ἔξωθεν τῶν ἀρτηριῶν, ψυχρὸν γίνεται. ἢ οὐχ οὕτως ἐστὶ τὸ πνεῦμα τὸ ἐν ταῖς ἀρτηρίαις περιεχόμενον θερμόν; τὸ δὲ ἧττον τῶν ἄλλων ὡς ἐναντίων μάχεται. ἰστέον δὲ ὅτι 3) ἐξωπτημένη ἡ ἐπιφάνεια τῆς σφαίρας ποιεῖ ὑμένα τινὰ, ἐξ οὗ τίκτονιαι ἀρτηρίαι τινὲς καὶ φλέβες, συναναστομούμεναι ταῖς κοτυληδόσι τῆς μήτρας. κοτυληδόνες δέ εἰσιν αἱ ἀναστομώσεις τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν τῶν εἰς τὴν μήτραν εἰσβαλλόντων. αὗται οὖν αἱ ἀρτηρίαι καὶ φλέβες καταρχὰς μὲν τριάκοντά εἰσιν, ὕστερον δὲ συμπλέκονται καὶ γίνονται δέκα, εἶτα ἑπτὰ, εἶτα πάλιν τρεῖς, δύο ἀρτηρίαι καὶ μία φλέψ. αὗται εἰσερχόμεναι διὰ τοῦ τρήματος ἐκείνου, τρέφουσι τὸ ἔμβρυον ἐν οἷς ἡ θεωρία.

Ἢν ἡ γονὴ μείνῃ ἐπ᾽ ἀμφοῖν. —

Οὐ κέχρηται προοιμίοις τισὶν ἐνταῦθα ὁ Ἱπποκράτης, ὥσπερ ἐν τῷ προγνωστικῷ, ἀλλ᾽ εὐθὺς τῶν 4) * εὐώνων ἅπτεται. καὶ ζητοῦμεν διὰ τί εἶπεν ἡ γονὴ καὶ μὴ τὸ σπέρμα; καὶ λέγομεν ὅτι ἄδηλόν ἐστιν εἴτε γονὴ γίνεται τὸ σπέρμα εἴτε μή. γίνεται γὰρ ἐξίτηλον ἢ ὑγρότερον ὑπάρχον καὶ ἀσθενὲς, ἢ διὰ σύμμυσίν τινα τοῦ αὐχένος τῆς μήτρας, μὴ 5) ἐῶν αὐτὸ ἄχρι ἔσω ἀκοντισθῆναι, ἢ διὰ παράλυσίν τινα τοῦ μυὸς τοῦ ὄντος ἐν τῷ αἰδοίῳ, ὅστις λέγεται 6) κύων. ἠβουλήθη οὖν ἐκ τοῦ παντὸς εἴδους ποιοῦ ἄρξασθαι καί φησιν ὅτι ἢν μείνῃ ἡ γονή· πολλάκις γὰρ καὶ μετὰ τὸ εἶναι γονὴν, τὸ σπέρμα ἐκρίπτεται. διὰ τοῦτο ἐὰν μείνῃ ἡ γονὴ ἐν ταῖς 7) μητράσι·

1) Sic! Ita et infra. 2) Nihil mihi videtur deesse. 3) ἐξοπτημένη L. 4) Verborum tenor πραγμάτων requirit. Fort. εἰκότων. 5) Fort. ἐώσης. 6) Fort. κίων. 7) sic! Fort. μήτραις.

πληθυντικῶς δὲ εἶπε τὰς μήτρας, ἢ ἀφορῶν εἰς τὸ δίκολπον αὐτῶν, ἢ εἰς τὰ 1) τιν ... τόμενα ζῶα διάφορα ὄντα.

Ἦν ἀπ' ἀμφοῖν. —

Ἰδοὺ καὶ ὁ Ἱπποκράτης βούλεται τὸ γυναικεῖον σπέρμα ἔχειν τι εἰδοποιοῦν. γονὴν γὰρ καλεῖ καὶ αὐτὸ, ὡς δηλοῖ τὸ ἀπ' ἀμφοῖν.

Πρῶτον μὲν μίσγεται ὁμοῦ. —

Οὐκ εἶπε κιρνᾶται. τὰ γὰρ ἀνομοιομερῆ οὐ δύνανται κατὰ κράσιν εἶναι. οὐκ εἶπε συντίθεσθαι· ὑγρὰ γὰρ ἀμφότερα, ὑγρὸν δὲ ὑγρῷ οὐ συτίθεται. ἀλλ' εἶπε μίσγεται, ὅπερ μεταξύ ἐστι τοῦ κιρνᾶσθαι καὶ τοῦ συντίθεσθαι.

Ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης. —

Τί ἄρα ποιούσης τῆς γυναικός; μὴ οἰκουρούσης καὶ μέτρῳ κινουμένης. οὐδαμῶς τοῦτο· ἀλλὰ νῦν γυναῖκά φησι τὴν διαπλαστικὴν δύναμιν τὴν ἐν τῇ μήτρᾳ οὖσαν. φησὶ γὰρ ὅτι ταῦτα τὰ σπέρματα μίγνυνται ἅμα τῆς διαπλαστικῆς δυνάμεως μὴ οὐχ ἡσυχαζούσης, ἐπὰν δέξηται ταῦτα, ἀλλ' 2) ἀλλοποιούσης.

Ἔπειτα πνεύματος ἴσχει, ἐν θερμῷ οὖσα. —

Καλῶς τὸ ἴσχει εἶπε καὶ τὸ τίκτεται, διότι καὶ πρὸ τοῦ παχυνθῆναι ἡ σφαῖρα, ἦσαν πνεύματα, ἀλλὰ ταῦτα διεφοροῦντο. ἐπειδὰν δὲ ἐπαχύνθη, τότε ἴσχει πνεύματα, ὡς ἂν μὴ διαφορουμένων αὐτῶν.

Τῆς μήτρας πνεούσης. —

Οὐκ εἶπεν ἀντιπνεούσης, ἀλλὰ πνεούσης, κἂν τῇ δι' αὐχένος βουληθῇς λαβεῖν κἂν τῇ διὰ τῶν ἀρτηριῶν. εἰ γὰρ ἀναπνεούσης, ἐδήλου ἂν ὅτι διὰ τοῦ αὐχένος ἐστὶ τὸ πνεῦμα· τὸ γὰρ ἀναπνεῖν δηλοῖ τὸ ἔξωθεν 3) ἀρύεσθαι τὸν ἀέρα.

---

1) Fort. τικτόμενα. nulla lacuna. 2) Num divise sit scribendum? 3) ἀῤῥύεσθαι L.

Πρᾶξις τρίτη.

Πάντα δὲ ὅσα θερμαίνεται, πνεῦμα ἴσχει. —

Εἰρηκὼς πῶς τὸ ἀνδρεῖον σπέρμα μίγνυται τῷ γυναικείῳ, τῆς ἀλλοιωτικῆς ἐνεργούσης δυνάμεως, καὶ πῶς γίνεται σφαῖρα, εἶτα πῶς τίκτονται πνεύματα ὑπὸ τῆς θερμότητος, ἅπερ πολυπλασιαζόμενα στενοχωροῦνται, καὶ στενοχωρούμενα ποιοῦσι τρῆμά τι περὶ τὸ σφαιρίον, 1) *ἐξέρχονται, καὶ ὅτι πνεύματα ψυχρὰ ἀπαντῶσι τούτοις εἰσερχόμενα καὶ ποιοῦσιν ἕλικα, βούλεται νῦν καὶ διὰ παραδείγματος πιστώσασθαι φάσκων, ὅτι καὶ ἐπὶ τῶν χλωρῶν ξύλων οὕτω γίνεται. ὁρῶμεν γὰρ ὅτι τῆς θερμότητος ἐν τῇ ἐπιφανείᾳ αὐτῶν οὔσης, ἀποκλείεται ἡ ὑγρότης. περὶ τὸ βάθος καὶ τίκτονται πνεύματα, ὧνπερ* 2) *πολυπλασιαζομένων καὶ βουλομένων τὴν ἔξω φορὰν διῶξαι, ποιοῦσί τινας ῥαγάδας ἐν τῷ ξύλῳ· εἶτα ἐξερχόμενα ἀπαντῶσί τισιν ἑτέροις πνεύμασι ψυχροῖς, βουλόμενα διὰ τῶν ῥαγάδων εἰσελθεῖν. κἀκεῖθεν καὶ ἐπὶ τῶν ξύλων γίνεται ἕλιξ, ὥστε ἐξ ἀνάγκης γίνεσθαι καὶ ἕλικα ἐκ τῆς ἀντιπνοίας. ταῦτα εἰπόντος Ἱπποκράτους, οἱ ἐξηγηταὶ εἰς μὲν τὰ ἄλλα πάντα συντίθενται, ὅτι σπέρματα μίγνυνται, καὶ ὅτι σφαῖρα γίνεται, καὶ ὅτι θερμὰ πνεύματα τίκτονται, ἅπερ βουλόμενα διῶξαι τὴν ἔξω φορὰν ποιοῦσι ῥαγάδα περὶ τὸ σφαιρίον. τὸ μέντοι γίνεσθαι περὶ τὴν ἕλικα, οὐκέτι ὁμολογοῦσιν ἐκ τῆς ἀντιπνοίας τοῦ ψυχροῦ ἀνέμου πάντως καὶ θερμοῦ. καὶ τοῦτο ἀνατρέπουσι διὰ τριῶν ἐπιχειρημάτων, λέγοντες ὅτι οὐκ ἐξ ἀνάγκης ἐστὶ γίνεσθαι τὴν ἕλικα ἀπὸ τῆς ἀντιπνοίας τῶν πνευμάτων. ἰδοὺ γὰρ ὁρῶμεν ἐπὶ τῆς θρυαλίδος τῆς μελλούσης καῆναι ὅτι τίκτονταί τινα πνεύματα ἀπὸ τοῦ ἐλαίου κουφότερα· εἶτα τοῦ πυρὸς μέλλοντος περὶ τὸ ὕδωρ εἶναι, ἐξ ἀνάγκης θερμαίνει τὸ ὕδωρ καὶ τίκτει τινὰ πνεύματα παχύτερα, ἅπερ βουλόμενα διῶξαι τὴν ἄνω φορὰν συμπλέκονται τοῖς κουφοτέροις καὶ ποιοῦσι τὴν ἕλικα τοῦ καπνοῦ. καὶ ἰδοὺ γέγονεν ἕλιξ πνευμάτων, ἀντιπνοίας μὴ οὔσης. δεύτερον δὲ εἰ πολλαὶ ῥαγάδες γίνονται ἐν τῷ ξύλῳ, τί ἄτοπον ἐπὶ*

---

1) Addam *καί.* 2) *πολλαπλασ.* L.

ἑκάστης ῥαγάδος ἐξελθεῖν τι πνεῦμα, ὥστε εἰ μὴ διάφορα πνεύματα, ἅπερ ταῦτα βουλόμενα τὴν ἄνω φορὰν διῶξαι πάντα συμπλέκονται εἰς ἄλληλα καὶ ποιοῦσι τὴν ἕλικα. τρίτον ὅτι πολλάκις μιᾶς ῥαγάδος οὔσης ἐν τῷ 1) ἑλικοειδῶς ἐξερχόμενον τὸ πνεῦμα διὰ τῆς ῥαγάδος ἕλιξ γίνεται διὰ τὸ στομίον ἐκείνου. τοιούτου ὄντος ὁρῶμεν γινομένας καὶ τὰς οὔλας τρίχας. διὰ τῶν τριῶν ἐπιχειρημάτων τούτων ἀναγκάζουσιν οἱ ἐξηγηταὶ τὸ παράδειγμα Ἱπποκράτους· ἀλλὰ καὶ ἄλλως ἐπιλαμβάνονται αὐτοῦ. εἶπε γὰρ τὸ θερμὸν πνεῦμα ἕλκει εἰς ἑαυτὸ τὸ ψυχρόν. εἰ δὲ ἕλκει τὸ θερμὸν πνεῦμα, ἆρα ἑλκτικὴν ἔχει δύναμιν; καὶ εὑρεθήσονται αἱ φυσικαὶ δυνάμεις οὐκέτι ἐν τοῖς στερεοῖς, ἀλλ᾽ ἐν τοῖς πνεύμασιν.

Πᾶν γὰρ 2) τῷ θερμῷ τὸ ψυχρὸν τρέφεται. —

Ψευδὲς καὶ τοῦτο. οὐδὲ γὰρ τὸ θερμὸν ἐκ τοῦ ψυχροῦ τρέφεται· οὐδέποτε γὰρ τὰ ἐναντία τροφὴ ἀλλήλοις γίνονται. τὸ δὲ θερμὸν ἐν τῷ ξύλῳ ἀντισπᾷ ἕτερον ψυχρὸν, ἐξ οὗ τρέφεται. πάλιν τὰ αὐτὰ λέγει. διὸ καὶ νόθον ἐστὶ τὸ χωρίον Ἱπποκράτους. ἀλλότριον γὰρ τούτῳ τὸ διττολογεῖν πέφυκε. πάλιν γὰρ λέγει ὅτι τὸ θερμὸν ἕλκει τὸ ψυχρὸν πνεῦμα, ὅπερ ἐστὶ, ψευδές· οὐδὲ γὰρ τὸ θερμόν ἐστι τὸ ἕλκον τὸ ψυχρὸν, ἀλλ᾽ εἰ ὅλως ἐστὶν εἰπεῖν, ὅτι τὸ θερμὸν ἀραιοῖ τοὺς πόρους. τῶν οὖν πόρων ἀραιουμένων, εἰσάγεται διὰ τούτων ψυχρὸν πνεῦμα. οὕτω γίνεται καὶ ἐπὶ τοῦ σφαιρίου, ὅτι ἡ θερμότης ἀραιοῖ τοὺς πόρους, δι᾽ ὧν διεισδύνει ἡ ψύξις. ποιεῖ δὲ τοῦτο καὶ φύλλα χλωρὰ, καὶ μάλιστα ἡ δάφνη ποιεῖ ἦχον τῶν φύλλων ῥηγνυμένων, καὶ ἁπλῶς ὅσα εἰσὶ χεδρωπὰ, ἦχον ἀποτελοῦσι· χεδρωπὰ δέ εἰσι τὰ χερσὶ δρεπόμενα.

Πάντα γὰρ [τὰ πνεύματα] ὅσα θερμαίνεται, πνεῦμα ἀφιᾶσι καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ. —

Ἰδοὺ προφανῶς εἶπεν ὅτι τὰ θερμαινόμενα πνεύματα ἔξω ἀφιᾶσι καὶ ἕτερον ψυχρὸν ἕλκει, ὅπερ ψεῦδός ἐστιν, ὡς ἀπεδείξαμεν.

---

1) Fort. om. ξύλῳ. 2) τὸ θερμὸν τῷ ψυχρῷ Hipp.

Πρᾶξις τετάρτη.

Καὶ αὗταί μοι ἀνάγκαι προηγμέναι. —

Ἀποδείξας ἀνωτέρω ὁ Ἱπποκράτης διὰ παραδείγματος ὅτι πνεῦμα ἴσχει ἡ γονὴ, ὡς δηλοῦσι τὰ χλωρὰ ξύλα καὶ τὰ χεδρωπὰ, βούλεται νῦν ἀποδεῖξαι δι᾽ ἑτέρου παραδείγματος ὅτι ὑμενοῦται ἡ σφαῖρα, καί φησιν ὅτι τὸ ἔτνος, τὶς 1) ἡμαγμένη σεμίδαλις γλίσχρα οὖσα, εἰ καὶ πῦρ αὐτῇ προσομιλήσει, ὁρῶμεν ὅτι ἡ ἐπιφάνεια αὐτῆς ἐξυπεροπτᾶται καὶ ἐξυμενίζεται, τὸ δὲ βάθος ὑγρὸν ὑπάρχον ἐξαναλίσκεται εἰς πνεύματα. οὕτως οὖν καὶ ἐπὶ τῆς γονῆς. σφαίρας γὰρ γινομένης ὑπὸ τῆς ἐμφύτου θερμότητος τῶν σπερμάτων ἐκ τῆς θερμότητος τῶν ἀρτηριῶν τῶν εἰσβαλλόντων εἰς τὴν μήτραν, ἡ μὲν ἐπιφάνεια τῆς σφαίρας ἐκ τῆς θερμότητος ἐξυπερωπτημένη ὑμενοῦται, τὸ δὲ βάθος γλίσχρον ὑπάρχον ἀναλίσκεται εἰς πνεύματα. ἰστέον δὲ ὅτι οὐχ ὅλον ὑμενοῦται τῆς σφαίρας ἰσοπαχὲς, ἀλλὰ τὸ μέρος ἐκεῖνο, δι᾽ οὗ μέλλει ἐξελθεῖν τὸ πνεῦμα, λεπτότερόν ἐστιν, ἢ διὰ τὸ μὴ προσομιλεῖν ἐκεῖσε θερμότης πάνυ, ἢ ὅτι τὸ πνεῦμα συνεχῶς προσκροῦον τῷ μέρει ἐκείνῳ λεπτὸν ἀπεργάζεται. οὕτω πίστωσαι τὴν ἀκοὴν διὰ παραδείγματος ὅτι ἐξ αἰσθητῆς σφαίρας ὑμὴν γίνεται. ἐπεὶ δὲ ἀκριβεστέρα ἐστὶν ἡ ὄψις τῆς ἀκοῆς, βούλεται νῦν ἕτερον παράδειγμα εἰπεῖν ὁ Ἱπποκράτης, οὗτινος αὐτόπτης ἐγίνετο καί φησιν, ὅτι γυνή τις ὑπῆρχεν ἔχουσα θεράπαιναν, ἥτις εὐπρεπεστάτη ἦν, καὶ ἐκ τῆς πορνείας 2) δὲ προσέφερε τῇ δεσποίνῃ τὸν μισθὸν, καὶ αὕτη οὐ συνελάμβανεν· εἶτά ποτε συνέλαβε. καὶ ἐπεὶ ἔμελλε κινδυνεύειν, ἀπόρου τῆς δεσποίνης μὲν οὔσης, καὶ το κάλλος ἀποσβέννυσθαι τῆς θεραπαίνης, παρεκάλεσέ με ἡ δεσποίνη αὐτῆς ἐπὶ τὸ παρασχεῖν τι φάρμακον τὸ ὀφεῖλον κατενεγκεῖν τὴν γονήν. εἶτα ἐγὼ ἐκέλευσα αὐτὴν 3) πηδῆσαι ἐπὶ τὴν πυγήν. καὶ δὴ πηδήσασα αὕτη ἐπὶ τὴν πυγὴν, ἐβουλόμην κατενεγκεῖν τὴν γονὴν οἱονεὶ σφαῖραν οὖσαν, καὶ ἐθεασάμην ταύτην ἐγώ. εἶχε γὰρ ἶνας τινὰς καὶ αἱμάλωπας. καὶ οἱ μὲν αἱμάλωπες ἐσήμαινον σάρκας μελλούσας γίνεσθαι, αἱ δὲ ἶνες νεῦρα καὶ

---

1) Fort. μεμαγμένη. 2) δ᾽ εἰ L. 3) πεπηδῆσαι L. πηγήν I. L.

μύας. καὶ ἰδὼν ἐγὼ ἐθαύμασα τὸ ἔργον τῆς φύσεως, ὅπως ἔμελλε γίνεσθαι ὁ ὑμήν. ταῦτα παραδοὺς ἡμῖν καταπαύει τὴν παροῦσαν θεωρίαν.

Καὶ αὗταί μοι ἀνάγκαι προσηγμέναι. —

Ζητοῦσι, διά τί οὐκ εἶπεν αὗται αἱ ἀποδείξεις, ἀλλὰ αὗται αἱ ἀνάγκαι, καί φασιν ὅτι τὸ ἑπόμενον ἀντὶ τοῦ ἡγουμένου εἶπεν. ἐπὶ γὰρ ταῖς ἀποδείξεσιν ἕπεται ἡ ἀνάγκη, καὶ διὰ τοῦτο εἶπεν αὗται αἱ ἀνάγκαι. πάλιν ζητοῦσι διὰ τί εἶπε πληθυντικῶς αἱ ἀνάγκαι, καὶ οὐχ ἑνικῶς. καί φαμεν, ἐπειδὴ πολλάκις τὸ αὐτὸ παράδειγμα εἶπε, διὰ τοῦτο ἐχρήσατο τῷ πληθυντικῷ, ἢ ὅτι αἱ ἀποδείξεις, ὅταν διὰ μερικῶν γίνωνται, ποικίλαι εἰσίν· ὅταν δὲ δι᾽ ἑνὸς καθόλου, μονοειδεῖς ὑπάρχουσιν. ἐπὶ δὲ τοῖς μερικοῖς παραδείγμασιν ἐχρήσατο εἰπὼν, ξύλα χεδρωπὰ. διὰ τοῦτο πρὸς τὰ μερικὰ ἀφορῶν εἶπε τῷ πληθυντικῷ· οὐ καλῶς δὲ ἐχρήσατο τῇ πρὸς προθέσει εἰπὼν προσηγμέναι.

Τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ ὑμὴν ἔξωθεν περιγίνεται. —

Μὴ πρὸς τὸ φυσωμένῃ ἀποδῷς τὸ ὑμήν. ἀλλὰ πρῶτον θερμαινομένης τῆς γονῆς ἔσωθεν γίνεται ὁ ὑμήν. αὕτη δὲ ἡ γονὴ στρογγύλη ἐστὶν, οὐχ ὅτι ἡ γονὴ στρογγυλοῦται, διὰ τοῦτό ἐστι στρογγύλη· οὐδὲ γὰρ στρογγύλη ἐστὶν αὕτη, ἀλλὰ διὰ τὴν σφαῖραν στρογγύλην οὖσαν, καὶ ἡ γονὴ στρογγυλοῦται.

Καὶ ὁποίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ. —

Τί φῂς, ὦ Ἱππόκρατες, ἐν τῇ γνώμῃ σοι ἐφαίνετο; τί οὖν οὐκ ἐν τῇ ὄψει παρελάμβανες τοῦτο τὸ παράδειγμα; ἢ ἔστιν εἰπεῖν παρὰ Δημοκρίτου παραλαβὼν τοῦτο εἰπόντος; νοῦς γὰρ ὁρῇ καὶ νοῦς ἀκούει, τὰ δ᾽ ἄλλα τοῦ σώματος τυφλὰ καὶ μάταια. ἰστέον γὰρ ὅτι ὁ Δημόκριτος ὁμόχρονος αὐτοῦ ἐγένετο, παλαιότερος δὲ αὐτοῦ ὀλίγον.

Γυναικὸς οἰκείη μουσουργός. —

Μουσουργὸν λέγει τὴν σχολάζουσαν ἐν τοῖς ἔργοις τῶν μουσῶν ἢ τυμπανίστριαν ἢ κιθαρίστριαν ἢ ψάλτριαν.

Καὶ ἐγὼ ἀκούσας ἐκέλευσα προς πυγὴν πηδῆσαι. —

Εἴωθα ἀπορεῖν ἐνταῦθα ὅτι αὐτός ἐστιν ὁ λέγων ἐν τῷ ὅρκῳ, οὐ δώσω φθόριον. πῶς οὖν κελεύει ἐπὶ πυγὴν πηδῆσαι τὴν γυναῖκα; καὶ πρὸς ταύτην τὴν ἀπορίαν πολλαὶ φέρονται λύσεις. μία μὲν ὅτι οὐδ' ἐνταῦθα δέδωκε φθόριον πεσσὸν, ἵνα βρέφος κατενέγκῃ, ἀλλὰ μόνον γονὴν, οὐ παιδίον. ἀλλὰ εἰ ἔμεινεν ἡ γονὴ, βρέφος ἂν ἐγένετο, ὥστε καὶ ἐνταῦθα οἱονεὶ βρέφος ἂν ἀπέκτεινε. δευτέρα δὲ λύσις. διὰ τοῦτο ἐκέλευσεν ἀπολέσθαι τὴν γονὴν ταύτην, ἵνα θεασάμενος ἀναγγείλῃ ἡμῖν. καὶ Γαληνὸς γὰρ καὶ Ἀρχιγένης πολλάκις ἕνα ζῶντα ἀνέτεμον, ἵνα κοσμικὴν ποιήσωσι τὴν ὠφέλειαν. καὶ Πλάτων ἐν πολιτείαις παρακελεύεται, ἵνα ἑταιρὶς μὴ πολιτεύηται, μήπως συλλαβοῦσα νόθον τέκῃ τέκνον καὶ σκοτίῃ ἀνατέλλῃ γενεθλίῃ. ταῦτα Ἱπποκράτης λαβὼν παρὰ Πλάτωνος· τοῦτο γὰρ ἐνταῦθα αἰνίττεται. διὰ γὰρ τοῦτο αὐτὸ ἐποίησε, τὴν γυναῖκα ἀποβάλλεσθαι τὴν γονὴν, ἐπεὶ ἑταιρὶς ἦν, ἵνα μὴ νόθον υἱὸν ἀποτέκῃ. καὶ γὰρ εἰ εἴασεν Ἱπποκράτης τὴν γονὴν, ἔμελλεν ἡ γυνὴ, τοῦ κάλλους ἀπομαραινομένου, ἀγχόνῃ χρήσασθαι· αἱροῦνται γὰρ αἱ ἑταιρίδες θάνατον ἢ ἀμορφίαν. κάλλιον οὖν ἡγήσατο Ἱπποκράτης μίαν ἀπολέσθαι ψυχὴν ἤτοι τὴν γονὴν ἢ δύο, καὶ τοῦτο αὐτὸ αἰνίττεται.

Καὶ ἑπτά τοι ἤδη ἐπεπήδητο καὶ ἡ γονὴ κατεῤῥύη ἐπὶ τὴν γῆν. —

Εἰώθασί τινες τῶν ἐξηγητῶν ἐνταῦθα λέγειν ὅτι ἰδοὺ καὶ ἐν τοῖς παρὰ φύσιν ἡ ἑβδόμη ἐστίν. ἑπτάκις γὰρ ἐπήδησε καὶ κατῆλθεν ἡ γονή. τοῦτο δὲ τερατῶδές ἐστι. πολλάκις γὰρ καὶ δέκατον πηδᾷ καὶ οὐδὲν καταφέρει. ἔστι δ' ὅτε τρίτον ἢ τέταρτον μόνον πηδᾷ καὶ εὐθέως καταφέρει τὴν γονὴν καὶ γίνεται ψόφος. πόθεν ἄρα γίνεται ψόφος; καί τοι τινές φασιν ὅτι ἡ γονὴ πεσοῦσα ἐποίησε ψόφον. φαμὲν ἡμεῖς δὲ ὅτι εἰ ἔπεσεν ἐν τῇ γῇ πάνυ βιαίως, ὥστε ποιῆσαι ψόφον, ἐῤῥήγνυτο ἂν ὁ ὑμὴν ἐκεῖνος καὶ ἔμελλεν ἐκχέεσθαι ἡ γονὴ, ἀλλ' ὅτι πνεῦμά τι προηγήσατο τῆς γονῆς, ὅπερ ἐξερχόμενον τὸν ψόφον ἀπετέλεσεν.

Ἐρῶ δὲ καὶ ἄλλην διάγνωσιν. —

Φησὶν ὅτι μέλλω εἰπεῖν καὶ ἕτερον παράδειγμα, καὶ δι' οὗ οὐ λέγει. νοθεύουσί τινες τὸ παρὸν βιβλίον. μέλλει δ' εἰπεῖν τὸ παράδειγμα τοῦ ᾠοῦ.

Πρᾶξις πέμπτη.

Καὶ ταῦτα μὲν εἰς τοσοῦτον εἴρηται ὅτι ἡ γονη ἐν ὑμένι ἐστὶ καὶ πνοὴν [οὐκ] ἔχει. —

Βεβαιώσας τὴν ἡμετέραν γνώμην ὁ Ἱπποκράτης, ὅτι πνεῦμα ἔχει ἡ γονὴ διὰ τοῦ τετάρτου παραδείγματος τῶν γεδρωπῶν ξύλων, καὶ ὅτι ὑμενοῦται ἔξωθεν διὰ τοῦ παραδείγματος τῆς 1) .... καὶ τῆς μουσουργοῦ ἐκείνης, βούλεται νῦν ἀποδεῖξαι ὅτι αὔξεται. καὶ πόθεν δῆλον ὅτι τρέφεται; ἐπειδὴ ἐπέχονται τὰ καταμήνια. καὶ πόθεν πάλιν δῆλον εἴτε παρὰ φύσιν εἴτε κατὰ φύσιν ἐπέχονται τὰ καταμήνια; τοῦτο λύει ἀπὸ διαιρέσεώς τινος. ἰστέον γὰρ ὅτι ἐπέχονται τὰ καταμήνια ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν. καὶ κατὰ φύσιν μὲν ἐπεχόμενα, κατὰ μέρος εἰσέρχονται ἐν τῇ μήτρᾳ καὶ οὐκ ἐργάζονται πάθη· παρὰ φύσιν δὲ ἐπεχόμενα ἀθρόως ἔρχονται, καὶ ἐρχόμενα ἀθρόως μένουσιν ἐν τῇ μήτρᾳ, μένοντα σήπονται, καὶ σηπόμενα ἢ περὶ τὴν κύστιν ἔρχονται καὶ ἐργάζονται φλεγμονὴν, ἥτις μεταβάλλει εἰς πῦον, καὶ τοῦτο χωρεῖ διὰ τοῦ αἰδοίου. καὶ τοῦτό φησιν ἔστιν ἰδεῖν ἐρχόμενον ἢ περὶ τὸ ἰσχίον καὶ ποιεῖ χωλάσειν τὰς γυναῖκας, ἢ μένον ἀναδίδοται περὶ πᾶν τὸ σῶμα καὶ ἀνάπτει θέρμην τουτέστι πυρετὸν ἢ ἄλλα τινὰ πάθη, ἀπνοίας ὑστερικὰς, πνίγας. ταῦτα ποιεῖ παρὰ φύσιν ἐπεχόμενα. εἰ δ' εὕρωμεν ὅτι, τῶν καταμηνίων ἐπὶ τῶν κυοφορουσῶν ἐπεχομένων, οὐδέν τι τοιοῦτον γίνεται, δῆλον ἄρα ὅτι οὐκ ἐπέχονται περὶ τὴν γονὴν, ἀλλ' ὅταν ἐστὶ γονὴ, καταστάγδην ἔρχονται καὶ οἱονεὶ ῥανίδες τινές· ὅταν δὲ σφαιρωθῇ, μᾶλλον ἐξέρχονται· ὅταν δὲ βρέφος, τότε ἔτι μᾶλλον. εἰ δὲ πρὸς τὸ αὐξανόμενον ἀεὶ ἔρχονται, δῆλον ἄρα ὡς τροφὴ ὄντα

---

1) Lacuna aliquot literarum.

ἐπέχονται, καὶ οὐχ ὡς περιττώματα. ταῦτα περιέχονται ἐν τῷ πρώτῳ τούτῳ κεφαλαίῳ.

Δεύτερον δὲ κεφάλαιον, ἐν ᾧ ἄπορά τινα βουλόμενος κινῆσαι, ὧν τὸ πρῶτόν ἐστι τοῦτο. φησὶ γὰρ εἰ ἀπὸ τῶν καταμηνίων τρέφεται τὸ βρέφος, τὰ δὲ καταμήνια περιττώματά ἐστι τῆς γυναικὸς, ἔδει πᾶν τικτόμενον ὡς ἀπὸ περιττωμάτων τρεφόμενον ἀσθενέστερον εἶναι τῆς οἰκείας μητρὸς κἂν ἄῤῥεν εἴη κἂν θῆλυ.

Λύσις.

Τὰ καταμήνια οὐ ποιῷ εἰσιν ἄχρηστα, ἀλλὰ ποσῷ μόνον. εἰ δὲ μὴ τῇ ποιότητί εἰσι μοχθηρὰ, τί ἔχουσι βλάψαι τὸ βρέφος; οὐδὲν γὰρ πλέον τοῦ δέοντος τρέφεται, ἀλλ' ἔστιν εἰπεῖν ὅτι ταύτῃ ἡ νομοθεσία παλαιῶν ἐστιν ἐξηγητῶν, ὅτι τὰ καταμήνια ποσῷ πλεονάζουσιν, οὐ ποιῷ. τοὐναντίον γὰρ ποιῷ πλεονάζουσιν ἢ ποσῷ. τὸ γὰρ μοχθηρὸν διὰ τούτων ἀεὶ ἀποβάλλονται αἱ γυναῖκες. τί οὖν φαμέν; ὅτι τὸ σπέρμα ἔμψυχον κατέρχεται, ὡς δὲ ἔμψυχον ἔχει τινὰ δύναμιν ἑλκτικὴν, ἥτις τὸ ἄχρηστον τῶν καταμηνίων ἀποβάλλεται καὶ ὅσον ἐστὶ μοχθηρὸν, τὸ δὲ χρηστὸν καὶ οἱονεὶ ἐπιτήδειον ἕλκει ἐξ οὗπερ τρέφεται.

Δεύτερον ἄπορον, ὅτι εἰ αὐτός φησιν, ἐπὰν συλλάβῃ ἡ γυνὴ, ἐπέχονται τὰ καταμήνια, ἵνα ἐκ τούτων τραφῇ τὸ βρέφος, πῶς ὁρῶμεν, μετὰ τὴν σύλληψιν πολλαὶ γυναῖκες ἄχρι τριῶν μηνῶν ἔχουσι τὰ καταμήνια ἐρχόμενα; τὰ μὲν γὰρ διὰ τῶν κοτυληδόνων εἰσὶν ἔσωθεν, τὰ δὲ ἔξωθεν τῆς μήτρας, καὶ ἀποπερατοῦνται εἰς τὸν αὐχένα τῆς κύστεως. πολλάκις γοῦν ἐστι γυνὴ ἔχουσα ποσῷ πλεονάζον τὸ αἷμα, ὥστε μὴ μόνον τὰ ἔσωθεν ἀγγεῖα πληροῦσθαι, ἀλλὰ καὶ τὰ ἔξω. τὰ οὖν ἔσωθεν ἀγγεῖα φέρουσι τὸ αἷμα πρὸς τροφὴν τοῦ βρέφους, τὰ δὲ ἔξωθεν φέρουσι πρὸς τὸν ἔξω αὐχένα τῆς κύστεως. κἀκεῖνό ἐστι τὸ ἐρχόμενον μετὰ τὴν σύλληψιν, ἐπεὶ τοῦ ἔσω αὐχένος μεμυκότος, καὶ οὕτω μεμυκότος, ὡς μὴ δύνασθαι πυρῆνα μύλης ἐλθεῖν, πῶς δύναται τὸ αἷμα διελθεῖν;

Τρίτη ἀπορία, διπλῆ τις οὖσα, ὅτι εἴπερ νόμος ἐστὶν

ἰατρικὸς ὁ φάσκων τὸ αἷμα ἐξερχόμενον τῶν οἰκείων ἀγγείων θρομβοῦσθαι, πῶς τὸ αἷμα ἐξερχόμενον τροφὴ γίνεται τοῦ βρέφους; — *Λύσις.* Ὅτι οὐ πάντως τὸ αἷμα ἔξωθεν τῶν ἀγγείων ὑπάρχον θρομβοῦται, εἰ μὴ ἄρα εἴη ἐν τῷ παρὰ φύσιν τόπῳ ἢ ἐν ψύξει τινί. ἰδοὺ γὰρ τὸ αἷμα τὸ ἐν ταῖς φλεψὶν, ἐξερχόμενον ἐν ταῖς κεναῖς χώραις τῆς σαρκὸς, οὐ θρομβοῦται, ἀλλὰ τοὐναντίον ἐξικμάζεται καὶ τροφὴ γίνεται. οὕτω οὖν καὶ ἐνταῦθα τὸ αἷμα ἐξικμάζεται καὶ τροφὴ γίνεται τοῦ βρέφους. τὸ δὲ ἕτερον σκέλος ἐστὶν ὅτι εἰ φαίητε τὸ αἷμά ἐστι τὸ ἐρχόμενον περὶ τὴν γονὴν, ἔδει περικλύζειν τὴν γονὴν τὸ αἷμα, καὶ περικλυζόμενον σήπειν καὶ σήπεσθαι ἐκ τῆς γονῆς. καί φαμεν ὅτι τοῦτο εἴρηται, ἐπειδὴ οὐκ ἀθρόως ἔρχεται τὸ αἷμα οὐδὲ πολὺ, ὥστε σήπειν τὴν γονὴν, ἀλλὰ κατὰ μέρος, καὶ ὅταν ἐστὶ γονὴ, τοῦτο δεόντως ἔρχεται, καὶ ὅταν σφαῖρα, τότε πάλιν τὸ αὔταρκες, ὥστε ὑπὸ φύσεως ἔρχεται, οὐκ ἀτάκτως βαδίζει ἐν οἷς τὰ ῥηθέντα.

Καὶ αὔξεται ἀπὸ τῆς μητρός. —

Ἐντεῦθεν ἡ διαίρεσις τοῦ βουλομένου εἰπεῖν ὅτι αὔξεται ἡ γονή. καὶ πόθεν δῆλον, ὅτι αὔξεται; ἐπειδὴ τρέφεται. καὶ πόθεν γνωστὸν ὅτι τρέφεται; ἐπεὶ ἐπέχονται τὰ καταμήνια, καὶ εἴτε κατὰ φύσιν εἴτε παρὰ φύσιν, ἀποδέδεικται. ζητοῦσι δὲ οἱ ἐξηγηταὶ ἐνταῦθα, πῶς τρέφεται τὸ ἔμβρυον καί φασιν, ὅτι πᾶν τρεφόμενον ἢ ὡς φυτὸν ἢ ὡς ζῶον ἢ ὡς ζωόφυτον τρέφεται. οὔτε δὲ ὡς ζῶον τρέφεται, διότι τὸ ζῶον δι᾽ ὀργανώσεως λαμβάνει τροφὴν, οὔτε ὡς φυτὸν, ἐπειδὴ οὐδέποτε ἀπὸ φυτοῦ ζῶον γίνεται· ἀλλ᾽ οὐδὲ ὡς ζωόφυτον. δῆλον, ὥστε ἄρα τρέφεται ἡ γονὴ ἢ οὔ. φαμὲν ἡμεῖς ὅτι κακῶς ἔλαβον πᾶν τρεφόμενον τρέφεσθαι ἢ ὡς φυτὸν ἢ ὡς ζωόφυτον ἢ ὡς ζῶον μόνον. ἐγὼ δέ φημι ὅτι τὸ τρεφόμενον ἤγουν ἡ γονὴ τρέφεται, 1) καθὼς λόγῳ τρέφονται οἱ κόκκοι τοῦ σίτου. εἰ δὲ φῂς ὡς δυνάμει φυτὸν, ὡσαύτως φημὶ ὅτι ὡς δυνάμει ζῶον τρέφεται ἡ γονή.

---

1) καθῷ L.

Καὶ αὔξεται τὸ μέλλον ζῶον ἔσεσθαι. —

Ὁρᾷς ὅτι καὶ αὐτὸς τὴν γονὴν μέλλον ζῶόν φησιν, ὡς δυνάμει 1) οὔσῃ ζῶον.

Ὁκόταν δὲ χρόνος ἐγγένηται, ἕτεροι ὑμένες ἔσω τοῦ πρώτου ὑμένος λεπτοὶ γίνονται πολλοί. —

Ἐπειδὴ ἀνωτέρω ἀπέδειξε πῶς γίνεται ὁ ἔσω ὑμὴν, τὸ χορίον, βούλεται ἀποδεῖξαι πῶς οἱ ἄλλοι δύο ὑμένες γίνονται, ὅ τε ἀμνειὸς καὶ ὁ ἀλλαντοειδής. καὶ αὐτὸς μὲν αἰτιᾶται τὴν θερμότητα ποιητικὴν εἶναι τούτων τῶν ὑμένων αἰτίαν, ἡμεῖς δὲ τὴν διαπλαστικὴν δύναμίν φαμεν εἶναι ποιητικὸν αἴτιον, ὀργανικὸν δὲ τὴν θερμότητα, ἐπεί τινι λόγῳ, τῆς θερμότητος ὁμοιομεροῦς οὔσης ἐν ὅλῳ τῷ ἐμβρύῳ, τὸν μὲν ἀμνειὸν ὅλον τὸ βρέφος σκέπειν, τὸν δὲ ἀλλαντοειδῆ τὰ περὶ τοὺς βουβῶνας. εἰ γὰρ ἡ θερμότης αἰτία ἦν τούτων, ἔδει ὡσαύτως τοὺς δύο δημιουργῆσαι. ἔστιν ἄρα τις διαπλαστικὴ δύναμις ἡ τούτους δημιουργησαμένη, ἣν ὕστερον διαλαμβάνομεν. ζητοῦσι δὲ τὴν χρείαν τούτων τῶν ὑμένων καί φασι, χρείαν μὲν τοῦ ἀμνειοῦ εἶναι τὸ τὸν ἱδρῶτα τοῦ βρέφους ἐπιδέχεσθαι, καὶ ἐν αὐτῷ εἶναι τὰ δροσοειδῆ περιττώματα ὅσα ἀπὸ παντὸς τοῦ βρέφους εἰσίν. ὁ δὲ ἀλλαντοειδὴς χρείαν ἐκτελεῖ, τὸ δέχεσθαι τὰ διὰ τῆς κύστεως τοῦ βρέφους περιττώματα. ἰστέον γὰρ ὅτι τὸ βρέφος διὰ μὲν τῆς κύστεως διαφορεῖται καὶ ἔχει οὖρον· διὰ δὲ τῆς ἕδρας οὐ φέρεται κόπρος. ἀλλ᾽ ἀεὶ μένει κενὸς ὁ 2) σφιγκτὴρ, ὡς δηλοῦσιν αἱ μαῖαι. μετὰ γὰρ τὴν ἀπότεξιν ἐμβάλλουσι τὸν δάκτυλον περὶ τὴν ἕδραν καὶ ἀνευρύνουσι τὸν σφιγκτῆρα, διὸ καὶ δακτύλιος λέγεται. εὑρίσκεται δὲ ἔσω οἱονεὶ κόπρος τις, ἥτις λέγεται 3) βῆκος. πλανῶνται δὲ πολλοί τινες εἰς τὸ πολλοὺς γίνεσθαι τοὺς ὑμένας, ἐπεισάγοντες τόν τε περιτόναιον καὶ τοὺς περιωτίους, ὅπερ ψευδές. οὐδὲ γὰρ ἐκεῖνοι ἐκ τούτων τῶν δύο γίνονται, τοῦ τε ἀλλαντοειδοῦς καὶ τοῦ ἀμνειοῦ. οὐδὲν δὲ ἄτοπον καὶ ἐπὶ δύο πολλοὺς λέγειν.

---

1) Fort. οὖσαν. 2) σφυκτὴρ L. 3) Meconium.

Κατὰ δὲ τὸ μέσον τῆς σαρκὸς 1) ὀμφαλὸν ἐπέχειν. —

Τὸ ἐπέχειν ἀντὶ τοῦ ἀποχεῖν. τὸ γὰρ πνεῦμα ἀποχεῖ καὶ δέχεται ἕτερον.

Ἡ δὲ γυνὴ ὅταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων. —

Ἐντεῦθεν βούλεται ἀποδεῖξαι ὅτι ἐπὶ τῶν κυοφορουσῶν οὐ παρὰ φύσιν ἐπέχονται τὰ καταμήνια, ἀλλὰ κατὰ φύσιν.

Ὅτι μὴν μηνὸς πολὺ διαφέρει. —

Βούλεται δεῖξαι ὅτι ἐπεχόμενα τὰ καταμήνια παρὰ φύσιν, πολλὴν ὀδύνην ποιοῦσι καὶ οὐ τὴν αὐτὴν, τῆς αὐτῆς ὕλης οὔσης. διότι ἐπειδὴ μὴν μηνὸς, φησὶ, πολὺ διαφέρει, οὐχ ὅμοιόν ἐστι τὸ ἔαρ καὶ τὸ θέρος ἢ τὸ θέρος καὶ τὸ φθινόπωρον. ἐπεὶ γοῦν διαλλάττουσιν οἱ μῆνες τῇ κράσει, διὰ τοῦτο καὶ αἱ ὀδύναι ἄλλως γίνονται. καὶ αὐτὸς μὲν ἐξ ἑνὸς συστοίχου ἔλαβε, σὺ δὲ καὶ ἀπὸ τῶν ἄλλων, οἷον χώρας, ἡλικίας.

Καὶ 2) κακῶς τοῦτο ἐν τῇ 3) ἀρχαίῃ φύσει ὑπῆρχε. —

Ζητοῦσι τί λέγει ἀρχαίην φύσιν. τί γάρ ἐστι νεωτέρα φύσις; φαμὲν ὅτι ἀρχαίην φύσιν λέγει τὴν διαπλαστικὴν δύναμιν, τὴν τεχνικῶς διαπλάττουσαν τὰ μόρια. ὅταν γὰρ ἡ ὕλη ἐπιτηδεία, τότε ἄρχεται διαπλάττειν τὰ μόρια τοῦ βρέφους. μετὰ δὲ τὸ διαπλάσαι αὐτὴν τὰ μόρια, τότε αὕτη ἡ διαπλαστική ἐστιν ἀλλοιωτική. εἰ δὲ εἴποις μοι πῶς, εἴπερ ἡ αὐτή ἐστι διαπλαστικὴ καὶ ἀλλοιωτικὴ, πῶς μετὰ τὴν διάπλασιν, ἐὰν ἀποκοπῇ μόριον, οὐ διαπλάττει αὐτό; ἐχρῆν γὰρ τοῦτο γίνεσθαι. φημὶ ὅτι διὰ τὴν ὕλην ἀνεπιτηδείαν οὖσαν. ὅταν μὲν γάρ ἐστιν ὕλη ἐπιτηδεία, τότε καὶ αὐτὴ διαπλάττει· ὅταν δὲ ἡ ὕλη εἰς ἀλλοίωσιν μόνον ἐστὶν ἐπιτηδεία, τότε ἀλλοιοῖ μόνον, ὥσπερ ἐπιστήμων τέκτων, εἰ μὴ ἔχει ὕλην ἐπιτηδείαν, οὐ δύναταί τι ἐργάζεσθαι, οὕτω καὶ ἡ διαπλαστικὴ δύναμις, εἰ μὴ ἔχει ὕλην εἰς δημιουργίαν μορίου ἐπιτηδείαν, οὐ δύναταί τι ποιῆσαι.

---

1) ὀμφαλὸς ἀπέχει. Hipp. 2) πως Hipp. 3) ἀρχῇ τῇ Hipp.

ὅταν οὖν ἀποτεχθῇ τὸ βρέφος, ὡς ἂν μὴ οὔσης ὕλης ἐπιτηδείας, οὐ γίνεταί τι ἕτερον μόριον. μηδὲν δὲ ταράξει σε ἡ μία δύναμις τῷ εἴδει μένουσα ἡ αὐτὴ δύο ἐνεργείας ποιεῖν. οὕτω γὰρ ὁρῶμεν καὶ ἐν τοῖς ἔξω γινόμενον. ὁ γὰρ 1) ὑάλωψ ἅμα τῷ φυσᾷν καὶ πόρον ποιεῖ τινα καὶ σχῆμα. οὕτω οὖν καὶ ἡ δύναμις αὕτη ἀλλοιοῖ καὶ διαπλάττει· ἀλλοιοῖ γὰρ τὴν ὕλην, ποιοῦσα ταύτην ἐπιτηδείαν, διαπλάττει δὲ, δημιουργοῦσα ὡς ἐπὶ τῶν ἐντέρων λειότητα, ὡς ἐπὶ τῆς τραχείας ἀρτηρίας τραχύτητα, ὡς ἐπὶ τῆς μήτρας κοιλότητα, ὡς ἐπὶ τῆς γαστρὸς σχῆμα· ὡσαύτως καὶ ἐν σπληνὶ καὶ ἥπατι. ταῦτα μὲν ἐν ἀρχῇ. μετὰ δὲ τὴν ἀπότεξιν ὡς οὐκ ἔχουσαν ὕλην ἐπιτηδείαν, οὐκέτι δύναται διαπλάττειν τούτων τι. ταύτην οὖν φησιν ἀρχαίην φύσιν καθ᾽ ἡμᾶς ὁ Ἱπποκράτης, οὐχ ὥς τινές φασιν, ὅτι δύναμις θειοτέρα τις κατέρχεται ἐκ τῶν οὐρανίων ἥτις ἐμφωλεύει ἐν τῇ σφαίρᾳ καὶ ἐπὰν δημιουργήσῃ τὸ βρέφος, ἀποφοιτᾷ πάλιν εἰς τὰ οὐράνια.

Ἢν δὲ πλήρης, οὔ. —

Ἀποροῦσί τινες διὰ τί μετὰ τὴν κένωσιν τῶν καταμηνίων συλλαμβάνει ἡ γυνὴ, πρὸ δὲ τῆς κενώσεως, ἐὰν συλλάβῃ, εὐθέως τοῦτο ἀποβάλλεται. φασὶ δύο λύσεις, μίαν μὲν ὅτι κενουμένη ἡ μήτρα ξηροτέρα γίνεται, ξηροτέρα δὲ οὖσα, πλέον ἀντιλαμβάνεται καὶ περιπτύσσεται τὸ ὑγρόν. δευτέρα δ᾽ ὅτι μετὰ τὴν κένωσιν ἀνεῳγμένοι εἰσὶν οἱ πόροι, εἰς οὓς διεισδύνει τὸ σπέρμα, πρὸ δὲ τῆς κενώσεώς μεμυκότες ἦσαν. τῶν δὲ πόρων μεμυκότων, πῶς οὐ γίνεται σύλληψίς ποτε;

Ἔστι δὲ ἧσι κατὰ τὸν βουβῶνα φῦμα. —

Φῦμά ἐστιν ἄρσις φυματώδης. ἀλλὰ τί δεῖ λέγειν αὐτὰ ἐνθάδε; τινὲς πάλιν νοθεύουσι τὸ παρὸν σύγγραμμα, ὅτι ἰδοὺ Ἱπποκράτης, ἃ μέλλει εἰπεῖν ἐν τοῖς γυναικείοις, ἐνταῦθα λέγει. ἐκεῖσε γὰρ τὰ πάθη τῶν γυναικῶν ὑφηγεῖται ἃ εἶπεν ἐνταῦθα, ὥστε διττολογεῖ. φαμὲν ὅτι οὐ διὰ τοῦτο ἐμνήσθη τῶν παθῶν, ἵνα ταῦτα διαγνῷ, ἀλλὰ διὰ τοῦτο ἠναγκάσθη μνησθῆναι, ἵνα δείξῃ ὅτι οὐ

---

1) Vitrarius esse videtur.

παρὰ φύσιν ἐπέχονται τὰ καταμήνια ἐπὶ τῶν κυοφορουσῶν, ἐπεὶ ἔμελλον τὰ πάθη ἐργάζεσθαι.

Πρᾶξις ἕκτη.

Ὁκόταν δὲ γένηται σὰρξ, τότε οἱ ὑμένες, αὐξανομένου τοῦ ἐν τῇσι μήτρῃσιν. —

Εἴρηται ἡμῖν ὅτι διαφόρους καιροὺς βούλεται ὁ Ἱπποκράτης σημειώσασθαι ἐν οἷς γίνεται ἡ γονή. καιρὸν ἐσημειώσατο ἐν ᾧ κατεβλήθη τὸ σπέρμα καὶ ἐγένετο γονὴ καὶ ἡ γονὴ σφαῖρα. νῦν εἰς τὰ μεθόρια καθέστηκε τοῦ βρέφους καὶ τῆς σφαίρας. λοιπὸν γὰρ γίνεται ἡ σφαῖρα σάρξ. συγχωρήσεις γὰρ Ἱπποκράτει νῦν τὸ τοιοῦτον καλοῦντι σάρκα διὰ τὴν ὁμοιότητα τῆς σαρκός. ἐγένετο οὖν σάρξ. αὕτη ἡ σὰρξ ἔσχε τινὰς κλαδίσκους καὶ ὀζοῦται· εἰσέρχεται γὰρ ἐν ταύτῃ πνεῦμα ὅπερ ἐξωθεῖ τὸ ὅμοιον εἰς τὸ ὅμοιον, τὸ σκληρὸν εἰς τὸ σκληρὸν, τὸ μαλακὸν εἰς τὸ μαλακὸν, τὸ 1) ὁμόχρουν εἰς τὸ ὁμόχρουν. εἶτα ἐπὰν διακριθῶσι, γίνεται τὸ μὲν σκληρὸν ὀστοῦν, τὸ δὲ ἧττον σκληρὸν νεῦρον, τὸ δὲ ἧττον φλὲψ καὶ ἀρτηρία. καὶ οὕτω ὀζοῦται τὸ ζῶον. εἶτα τίθεται ἐν τοῖς ὤμοις κεφαλὴ, εἶτα ἐν τοῖς βουβῶσι πόδες, καὶ μετὰ ταῦτ᾽ ἀναφαίνεται τὸ αἰδοῖον καὶ ἀνατέλλει τὸ βρέφος καὶ δείκνυσιν εἴτε ἄῤῥεν ἐστὶν εἴτε θῆλυ. φησὶ δ᾽ ὅτι εἰ βούλει τὸ τοιοῦτον δημιούργημα διὰ παραδείγματος εἰδέναι, ἐπειδὴ πολλά εἰσι τὰ παραδείγματα, λαβὼν κύστιν βοείαν ἔμβαλον ἐν αὐτῇ διάφορα ψηγμάτια χρυσοῦ, χαλκοῦ, μολίβδου· εἶτα μίξον τούτοις ὀλίγον χρῶμα καὶ ὕδωρ· εἶτα ἀναθόλωσον, ἀνακέρασον, σύγχυσον, καὶ ὁρᾷς πῶς τὸ ὅμοιον εἰς τὸ ὅμοιον ἔρχεται. τοίνυν εἰ ταῦτα οὕτως ἔξω γίνονται, πόσῳ μᾶλλον ἔσω, ἔνθα καὶ δύναμις διοικοῦσα καὶ ὕλη ἐπιτηδεία;

Ὁκόταν δὲ γένηται σὰρξ, τότε καὶ οἱ ὑμένες. —

Ἰστέον τοίνυν ὅτι τρεῖς δόξαι γεγόνασιν εἴτε ἅμα τοῦ κυομένου τὰ μόρια εἴτε οὐχ ἅμα γίνονται. καὶ οἱ μέν

1) ὁμόχρωον L.

φασιν, ὅτι οὐχ ἅμα ἄρχεται ἡ φύσις δημιουργεῖν, οὔτε ἅμα περαιοῖ τὰ μόρια. ἑτέρα δόξα ἐστὶν ἡ λέγουσα οὐχ ἅμα ἄρξασθαι δημιουργεῖν τὴν φύσιν τὰ μόρια, ἅμα 1) .. πληροῖ αὐτά. αὕτη πρὸς ταύτας οὐκ εὐτύχησεν. τρίτη δόξα ἐστὶν ἡ λέγουσα ἅμα μὲν ἄρξασθαι πλάττειν τὰ μόρια, μὴ ἅμα δὲ πληροῦν ταῦτα. καὶ οἱ μὲν λέγοντες μὴ ἅμα ἄρξασθαι τὴν φύσιν μήτε ἅμα περαίνειν, κέχρηνται τούτῳ τῷ λεξειδίῳ, φάσκοντες ὅτι ἰδοὺ καὶ ὁ Ἱπποκράτης δοξάζει μὴ ἅμα γίνεσθαι τὰ μόρια. φησὶ γὰρ ὅτι πρῶτον γίνεται σάρξ. καὶ ἐπερείδονται τῇ ἀξιοπιστίᾳ τοῦ ἀνδρός. φαμὲν δὲ ἡμεῖς ὅτι οὐ κυρίως αὕτη ἐστὶ σάρξ· πᾶσα γὰρ σὰρξ ὁμοιομερής ἐστιν, αὕτη δὲ ἀνομοιομερὴς ὑπάρχει· ἔχει γὰρ νεῦρα, φλέβας, ὀστᾶ. δεύτερον καὶ ὑμεῖς ὁμολογεῖτε, ὅτι οὐδέποτε ἀπὸ σαρκὸς γίνεται ἄρθρον. νυνὶ δὲ ἀπὸ ταύτης ἐστὶ τὰ ἄρθρα· ὡς γάρ φησιν αὐτὸς, διαρθροῦται, οὕτως ἡμεῖς ἀνατρέπομεν αὐτήν. οἱ μέντοι δοξάζοντες ἅμα ἄρχεσθαι τὴν φύσιν ποιεῖν τὰ μόρια, φασὶν ὅτι εἴ ἐστι διαπλαστικὴ δύναμις ἐν ὅλῳ τῷ σώματι καὶ ὕλη ἐπιτηδεία καὶ ὄργανον ἐπιτήδειον, διὰ τί μὴ ἅμα πάντων ἄρχεται ἡ δύναμις; ὅστις ἐστὶ λόγος ἀποκληρωτικὸς, ἵνα τοῦ μὲν ἄρξηται, τοῦ δὲ μὴ ἄρξηται. καὶ εἰς μὲν τοῦτο τὸ ἐπιχείρημα οὐδὲν ἔχουσιν ἀντειπεῖν οἱ μὴ ἅμα λέγοντες τὴν φύσιν δημιουργεῖν τὰ μόρια. φασὶ δὲ εἰς τὸ τέλος ὅτι κἂν γὰρ ἅμα ἄρχηται, ἀλλ' οὖν οὐχ ἅμα περατοῖ. ἀλλ' εἴπερ ἐν τῷ αὐτῷ λέβητι βάλλεις διάφορα κρέη, ὀρνίθειον, χοίρειον καὶ ἄλλα καὶ μὴ ἅμα ἑψηθῶσιν, ἀλλὰ τυχὸν τὰ μὲν ἁπαλώτερα πρῶτα, τὰ δὲ σκληρότερα ὕστερον, οὕτω καὶ ἡ φύσις οὐχ ἅμα περατοῖ τὰ μόρια, ἀλλὰ τυχὸν τὰ μὲν ἁπαλώτερα πρῶτα, τὰ δὲ σκληρότερα ὕστερα. οὐκ οἶδα δὲ ποῖα πρῶτα καὶ ποῖα ὕστερα. οὐ γὰρ τὸν σκοπὸν τῆς φύσεως ἐπίσταμαι. φαμὲν δὲ ὅτι ταύτης τῆς δόξης καὶ ἡμεῖς καθεστήκαμεν. ὁμολογοῦμεν γὰρ ἅμα αὐτὴν ἄρξασθαι, οὐχ ἅμα δὲ περατοῦν. ἀλλ' εἴπερ εἰρήκατε τὸ παράδειγμα, ὅτι ἡ θερμασία ἄρχεται ἕψειν τὰ ἐν τῷ λέβητι κρέη, οὐχ ἅμα δὲ πάντα ἕψει,

1) Fort. om. δὲ.

οὕτω καὶ ἡ φύσις ἄρχεται μὲν ἅμα, οὐχ ἅμα δὲ πληροῖ, ὡς καὶ τὸ παράδειγμα δηλοῖ.

Καὶ χρηστὸν εἴη. —

Ὅτι τὸ χρηστὸν αἷμα ἐξαναλίσκεται εἰς τὸ χορίον· εἰ, δὲ μὴ χρηστὸν, τότε οὐκ εἰς τὸ χορίον, ἀλλ᾽ εἰς τοὺς ἄλλους ὑμένας, ἀλλαντοειδῆ καὶ ἀμνειόν.

Ἡ δὲ σὰρξ αὐξανομένη ὑπὸ πνεύματος ἀρθροῦται. —

Ἰδοὺ ἐνταῦθά φησιν ὅτι ἀπὸ τῆς σαρκὸς ταύτης γίνονται τὰ ἄρθρα.

Καὶ ὅσα ἀπὸ πυκνῶν ἐγένετο, πυκνά ἐστι, καὶ ὅσα ἀπὸ ὑγρῶν, ὑγρά. —

Ἀπορίαν ἐνταῦθα τίθησι. πρὸ δὲ τῆς ἀπορίας προηγησάσθω λῆμμα τοιόνδε. τὸ καθόλου οὖν εἰσι δυνάμεις, ἵνα μὴ ἐναντία ἐνεργεία ἐστὶν, οἷον τὸ καθόλου δυνάμει θερμὸν, ἐνεργείᾳ ψυχρόν ἐστι, καὶ τὸ καθόλου δυνάμει ψυχρὸν, ἐνεργείᾳ θερμόν ἐστι. πῶς γὰρ ἂν τὰ στοιχεῖα μετέβαλλον εἰς ἄλληλα, εἰ μὴ ὅ ἐστι τὸ ἐναντίον δυνάμει αὐτὸ ἔχουσι; τοῦτο τὸ λῆμμα. λοιπὸν ἡ ἀπορία εἰσέρχεται, ὅτι εἰ αὐτὸ τὸ αἷμα τρέφει τὴν σάρκα καὶ τὸ ὀστοῦν, καὶ εἰ τροφὴ τὸ αἷμα, τὸ τρέφον τὴν σάρκα δυνάμει ψυχρόν ἐστι, πάλιν τὸ αἷμα τὸ τρέφον τὸ ὀστοῦν ἐνεργείᾳ ψυχρόν ἐστι, διότι πᾶν ὀστοῦν ψυχρόν ἐστι, δυνάμει δὲ θερμόν. εἰ δὲ ταῦτα οὕτω, τὸ αὐτὸ πρᾶγμα ἕξει τὰ ἐναντία, καὶ εὑρεθήσεται δυνάμει θερμὸν καὶ δυνάμει ψυχρὸν, καὶ ἐνεργείᾳ θερμὸν καὶ ἐνεργείᾳ ψυχρόν. λύομεν δὲ ἡμεῖς λέγοντες, ὅτι τὸ αἷμα ἤτοι πᾶσα τροφὴ ἀνομοιομερὴς ὑπάρχει. εἰ δὲ ἀνομοιομερής ἐστι, τί ἄτοπον τὸ μὲν ἓν μέρος αὐτοῦ εἶναι θερμὸν, τὸ δὲ ἕτερον ψυχρόν; εἰ γὰρ ὁμοιομερὲς ὑπῆρχεν, εἶχεν ἂν χώραν ἡμῶν ἡ ἀπορία. δεύτερον δ᾽ ὅτι οὐδ᾽ ἐφ᾽ ἑκάστου πράγματος ἔῤῥωται ὁ λόγος. οὐδὲ γὰρ ἔῤῥωται ἐπὶ τῶν μέσων ποιοτήτων. τὸ γὰρ φαιὸν οὔτε δυνάμει ἐστὶ λευκὸν οὔτε μέλαν, ἐπεὶ οὐδὲν τούτων ἐστὶν ἐνεργείᾳ. πάλιν τὸ εὔκρατον οὔτε θερμόν ἐστιν οὔτε ψυχρὸν, οὐδὲ τού-

των τί ἐστιν ἡ ἐνέργεια αὐτοῦ. οὕτως λυτέον τὴν ἀπορίαν ταύτην.

Καὶ ἥ τε κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων. —

Πάλιν οἱ δοξάζοντες μὴ ἅμα εἶναι τοῦ κυουμένου τὰ μόρια, τιθέασι καὶ τὴν ῥῆσιν ταύτην φάσκοντες, ὅτι ἰδοὺ ὁ Ἱπποκράτης πρῶτόν φησι γίνεσθαι τὴν κεφαλὴν, εἶθ᾽ οὕτως τοὺς ὤμους. φαμὲν δὲ ἡμεῖς ὅτι τάξις ἐστὶν αὕτη διδασκαλικὴ, οὐ μέντοι φυσική. ἰδοὺ γάρ φησιν αὐτὸς παρακατιὼν ὅτι γίνονται τὰ σκέλη, εἶθ᾽ οὕτως τὰ νεῦρα ὅπερ ἄτοπον, ὥστε διδασκαλίας χάριν ἐποίησε τὸ τοιοῦτον.

Καὶ δὴ καὶ τοῖσιν ἄνω τὴν πνοὴν ποιέεται τῷ τε στόματι καὶ τῇ ῥινί. —

Δύο ἀποφάσεις ἐνταῦθά φησιν ὁ Ἱπποκράτης, μίαν μὲν ὅτι τῇ ῥινὶ ἀναπνεῖ τὸ βρέφος ἔσω ὑπάρχον, ἑτέραν δὲ ὅτι τῷ στόματι τρέφεται, ὅπερ ἄτοπον. πρὸς μὲν γὰρ τὸ πρῶτόν φαμεν, εἰ τῇ ῥινὶ ἀναπνεῖ, ἐπεὶ ὑγρασία πλεονάζει ἀεὶ περὶ τοῦτο, ἔδει 1) τῇ εἰσπνοῇ ἕλκουσα ταύτην πνιγμὸν ἀπεργάζεσθαι· πρὸς δὲ τὸ δεύτερόν φαμεν, ὅτι εἰ ἀπὸ τοῦ στόματος τρέφεται, ἔδει τὴν φλέβα ἐκείνην καὶ τὴν ἀρτηρίαν τὰς εἰς τὸν ὀμφαλὸν εἰσβαλλούσας ἀπομαραίνεσθαι· νυνὶ δὲ οὐκ ἀπομαραίνονται. εἰ δέ τις φαίη ὅτι καὶ ἀπομαραίνονται, ἔδει τὴν ὑγρότητα ἐκείνην τὴν διὰ τούτων φερομένην εἰς τροφὴν τοῦ βρέφους ἐν τῇ μήτρᾳ εἰσβάλλεσθαι, καὶ εἰσβαλλομένην πλεονάζειν καὶ σῆψιν ποιεῖν, ἥτις ἔμελλε χαλεπὰ συμπτώματα ποιεῖν τῷ βρέφει ἢ καὶ αὐτῇ τῇ γυναικί. νυνὶ δὲ οὐδὲν τούτων ὁρῶμεν γινόμενον.

Καὶ εἰς τὸν κύσσαρον ὁδὸς γίνεται. —

Εἰ γὰρ τρέφεται ἀπὸ τοῦ στόματος, δηλονότι καὶ η κόπρος δι᾽ ἕδρας ἔρχεται. κύσσαρον γὰρ νῦν λέγει τὴν

1) Fort. τὴν εἰσπνοὴν ἕλκουσαν.

ἕδραν ποιητικῶς ἀντὶ τοῦ κύντερον, παρὰ τὸ ἔσχατον εἶναι τοῦτο τὸ μόριον, φημὶ δὲ τὴν ἀρχήν.

Πρᾶξις ἑβδόμη.

Ταῦτα δέ μοι εἰς τοῦτο εἴρηται· καὶ γέγονεν ἤδη παιδίον. —

Πολλάκις λέλεκται ἡμῖν ὅτι σκοπός ἐστι τῷ Ἱπποκράτει περὶ διαφόρων καιρῶν διαλαβεῖν, ἐν οἷς γίνεται ἡ γονὴ, ἡ θρέψις, ἡ κίνησις, ἡ ἀπότεξις. καὶ ἤδη μὲν τὸν ἕνα καιρὸν ἐπεράτωσεν, ἐν ᾧ ἐδημιούργησε τὸ βρέφος. νῦν δὲ βούλεται σημειώσασθαι, ἐν ποίῳ καιρῷ ἐτελείωσεν ἡ διαπλάττουσα τὸ βρέφος διαπλαστικὴ δύναμις, καί φησιν, ὅτι μὲν ἐπὶ ἀῤῥένων ἄχρι τριάκοντα ἡμερῶν τελειοῦται τὸ βρέφος, ἐπὶ δὲ θηλειῶν ἄχρι τεσσαράκοντα. καὶ πόθεν δῆλον; φησὶν ὅτι ἐκ τῆς λοχείας καθάρσεως. τί δέ ἐστι λοχεία κάθαρσις; ἡ μετὰ τὴν ἀπότεξιν φορὰ τῶν καταμηνίων. καὶ ἐκ τούτου ἐστὶ στοχάζεσθαι ὅτι καὶ τὸ ἄῤῥεν βρέφος ἐν τριάκοντα ἡμέραις τελειοῦται, ὥσπερ φέρονται καὶ τὰ καταμήνια ἐν ταύταις, οὕτω καὶ τὸ θῆλυ ἐν τεσσαράκοντα ὥσπερ καὶ ἡ λοχεία κάθαρσις ἐν ταύταις κατέρχεται. καὶ ζητοῦσι διὰ τί μὴ ἀθρόως, ὥσπερ ἐπὶ τοῦ βρέφους, οὕτως ἐποίησεν ἡ φύσις κατενεχθῆναι τὰ καταμήνια, καί φασιν, ὅτι εἰ ἀθρόως ἐφέροντο, ἐπειδὴ συμπάσῃ κενώσει περιττωματικῇ κενοῦται ὁ ζωτικὸς τόνος, ἔμελλεν ἂν ἡ γυνὴ, τοῦ ζωτικοῦ τόνου διαφορηθέντος, ἢ ἀτονίαν τινὰ ὑπομεῖναι ἢ λειποθυμίαν, καὶ δέος ἦν μὴ ἀποθάνοι ἡ γυνή. οὕτω μὲν Ἱπποκράτης σημειοῦται τὴν τελείαν διάπλασιν τοῦ θήλεος καὶ ἄῤῥενος. ὁ μέντοι Γαληνὸς σημειοῦται ταῦτα ἐκ τῶν ἀμβλυσμῶν καὶ ἐκτρωμάτων, λέγων ὅτι εἰ ἐπὶ τριάκοντα ἡμέραις ἐκτρώσῃ ἡ γυνὴ, ὁρῶμεν ὅτι ἄῤῥεν, εἰ δὲ ἐν τεσσαράκοντα, θῆλυ· εἰ δ᾽ ἐν εἴκοσιν, ὁρῶμεν ὅτι ἀδιάπλαστόν ἐστι τὸ βρέφος· εἰ δὲ περαιτέρω τῶν τριάκοντα ἡμερῶν ἀμβλώσει ἡ γυνὴ, τότ᾽ ἐστὶ θεάσασθαι, εἰ μὲν ἄῤῥεν εἴη τέλειον ἔχον τὸ εἶδος, εἰ δὲ θῆλυ, ἀτελές· εἰ δὲ περαιτέρω τῶν τεσσαράκοντα, τότε κἂν θῆλυ κἂν ἄῤ-

ῥεν εἴη, πάντως ἔχει το αἰδοῖον τέλειον. καὶ ταῦτα μὲν περὶ τούτων. δεῖ δὲ εἰδέναι ὅτι ἀντιπεπονθότως ἔχουσι τὰ καταμήνια εἰς τὴν τροφὴν τοῦ βρέφους· ἡ μὲν γὰρ τροφὴ τοῦ βρέφους καταρχὰς μὲν ὀλίγη ἔρχεται οἱονεὶ σταλαγμὸς, εἶτα πλημμύρα, εἶτα πάλιν ὕστερον πλεονάζει. ἐπὶ δὲ τῆς λοχείας καθάρσεως τοὐναντίον, καταρχὰς μὲν πολὺ ἔρχεται τὸ καταμήνιον, ὅσον δὲ προκόπτει, κατὰ μέρος ὀλίγον πάνυ. ἀποροῦσι δέ τινες διὰ τί ἡ λοχεία κάθαρσις ἐπὶ μὲν ἀῤῥένων ἄχρι τριάκοντα ἡμερῶν φαίνεται, ἐπὶ δὲ θηλειῶν ἄχρι τεσσαράκοντα. καὶ λέγομεν δύο λύσεις, μίαν μὲν ὅτι κἂν ἕτερον ἀριθμὸν ὡρίσαμεν ἂν, τὸ αὐτὸ εἴχετε ἡμῖν ἀπορῆσαι, καὶ τοῦτο ἐπ' ἄπειρον ἔμελλεν εἶναι· δευτέραν δὲ, ἀεὶ τὰ παρὰ φύσιν ἕπονται τοῖς κατὰ φύσιν. ὡς ἐπίπαν οὖν τὰ καταμήνια περιττώματα ὄντα παρὰ φύσιν ὑπάρχουσιν. ταῦτα οὖν τῇ κατὰ φύσιν δημιουργίᾳ ἕπονται τοῦ βρέφους, καὶ ὥσπερ τὸ ἄῤῥεν τελειοῦται διὰ τριάκοντα ἡμερῶν, οὕτω καὶ ἡ λοχεία κάθαρσις ἑπομένη κενοῦται διὰ τριάκοντα ἐπὶ τῶν ἀῤῥένων· καὶ ὥσπερ πάλιν τὸ θῆλυ διὰ τεσσαράκοντα, οὕτω καὶ ἡ λοχεία διὰ τεσσαράκοντα, ἐν οἷς ἡ θεωρία.

Καὶ γέγονεν ἤδη παιδίον. —

Τί φησιν Ἱπποκράτης παιδίον ἐγένετο; οὐκ ἐλέγετο ἡμῖν ὅτι ὅταν τὸ τέλειον εἶδος ἀπολάβῃ καὶ ἀποτεχθῇ, λέγεται παιδίον; τί οὖν φαμεν; λέγομεν ὅτι καταχρηστικῶς νῦν τὸ βρέφος παιδίον καλεῖ.

Καὶ τὸ μὲν θῆλυ ἐν τεσσαράκοντα ἡμέρῃσι. —

Εἰώθασι ζητεῖν ἐνταῦθα διὰ τί τὸ μὲν ἄῤῥεν ἐν τριάκοντα τελειοῦται ἡμέραις, τὸ δὲ θῆλυ ἐν τεσσαράκοντα. καί εἰσι πιθαναὶ λύσεις καὶ φυσικαὶ καὶ ἀριθμητικαί. τὰς γὰρ ἀληθεῖς λύσεις οὐδεὶς ἐπίσταται, εἰ μὴ ὁ δημιουργὸς μόνος. εἰσὶν οὖν αἱ φυσικαὶ αὗται, ὅτι τὸ ἄῤῥεν ἐν τοῖς δεξιοῖς μέρεσι δημιουργεῖται, τὸ δὲ θῆλυ ἐν τοῖς ἀριστεροῖς. τὰ γὰρ δεξιὰ θερμότερά εἰσι φύσει, τὰ δὲ θερμότερα ἑτοίμως διαπλάττουσι καὶ ὅτι ἐκ θερμοτέρου καὶ δριμυτέρου

σπέρματός ἐστι τὸ ἄῤῥεν, τὸ δὲ θῆλυ ὡς ἐξ ὑγροτέρου σπέρματος ὑπάρχον καὶ ἐν τῷ ἀριστερῷ κόλπῳ ψυχροιέρῳ ὄντι καὶ ὑγροτέρῳ. διά τοι τοῦτο ἐν πλείονι τελειοῦται χρόνῳ. αὗται μὲν αἱ φυσικαί. αἱ δὲ ἀριθμητικαὶ αὗται. προηγείσθωσαν δὲ τῆς λύσεως δύο λήμματα, ὧν τὸ πρῶτόν ἐστι· πάντες οἱ ἀριθμητικοὶ ὡμολόγησαν τὴν μονάδα μὴ εἶναι ἀριθμόν· πᾶς γὰρ ἀριθμὸς ἐκ μονάδων σύγκειται. πῶς οὖν δυνατὸν αὐτὴν εἶναι ἀριθμόν; διότι πᾶς ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος. καὶ πᾶς ἄρτιος δύναται εἶναι, ἡ δὲ δυὰς μόνη ἀρτία ἐστὶν, οὐ μέντοι δύναται εἶναι καὶ περιττή. ἔστι μὲν οὖν ἀρχὴ τῶν περιττῶν τὰ τρία, τῶν δὲ ἀρτίων τὰ τέσσαρα. πρέπει δὲ τὰ περιττὰ τῷ ἄῤῥενι, ὡς 1) ἀτμήτῳ ἔχοντι τῷ αἰδοίῳ. καὶ ὁ περιττὸς γὰρ ἄτμητος, 2) τὸ δὲ θῆλυ ὁ ἄρτιος, ὡς τετμημένον ἔχοντι τὸ αἰδοῖον. ταῦτα γὰρ οὖν συντιθέμενα μετὰ τὸν τέλειον ἀριθμὸν τὸν δέκα — οὗτος γὰρ τέλειός ἐστιν ἀριθμὸς, διὸ καὶ δεκὰς οἱονεὶ δεχὰς ὑπάρχει· πάντας γὰρ τοὺς ἀριθμοὺς ἐδέξατο. συντιθέμενα γὰρ τὰ τρία μετὰ τοῦ δέκα, τριάκοντα ποιοῦσι· τὰ δὲ τέσσαρα συντιθέμενα, τὰ τεσσαράκοντα ἀποτελοῦσι. καὶ διὰ τοῦτο τὸ μὲν θῆλυ ἐν τεσσαράκοντα τελειοῦται, τὸ δὲ ἄῤῥεν ἐν τριάκοντα. αὗται μὲν οὖν αἱ πιθαναὶ λύσεις. οὐ πάντως δὲ ἐν τοιούτῳ καιρῷ τελειοῦται ταῦτα, ἀλλ' ἔστιν ὅτε καὶ πρωϊαίτερον τῶν τριάκοντα τελειοῦται τὸ ἄῤῥεν, ὡσαύτως καὶ τὸ θῆλυ περαιτέρω τῶν τεσσαράκοντα. ἀλλὰ τὸ ἐπίπαν ἠβουλήθη ὁ Ἱπποκράτης εἰπεῖν.

Καὶ γὰρ καὶ ἡ κάθαρσις γίνεται ταῖς γυναιξίν. —

Ἀπόδειξις, ἡ ἀπὸ τῆς λοχείας γινομένη κάθαρσις διὰ τὸ τὸ μὲν ἄῤῥεν ἐν τριάκοντα, τὸ δὲ θῆλυ ἐν τεσσαράκοντα τελειοῦσθαι.

Μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ. —

Φησὶν ὅτι αἱ γυναῖκες ἐν τῷ τόκῳ μᾶλλον ἴσχουσιν αἱ πρωτοτόκοι τοὺς πόνους ἤπερ αἱ πολλάκις τετοκυῖαι, ὅτι

1) Fort. ἄτμητον — τὸ αἰδοῖον. 2) Fort. τῷ δὲ θήλει.

ἐπὶ μὲν τούτων ἀνευρυσμένοι εἰσὶν οἱ πόροι τῆς μήτρας, ἐπὶ δὲ τούτων στενοὶ ὑπάρχουσι καὶ διὰ τοῦτο μᾶλλον τὴν ὀδύνην εἰσφέρουσι.

Πρᾶξις ὀγδόη.

Ἀρχὴ δὲ γίνεται τοιαύτη ἐν τῇσι γυναιξίν. —

Ἐπειδὴ ἀνωτέρω ἐσημειώσατο τὸν καιρὸν ἐν ᾧ τελειοῦται τὸ εἶδος τοῦ βρέφους, εἰπὼν ὅτι ἀντιπεπονθότως ἔχουσι τὰ καταμήνια εἰς τὴν τροφὴν τοῦ βρέφους, νῦν βούλεται ζητῆσαι τὴν αἰτίαν δι᾽ ἣν ἀντιπεπονθότως ἔχουσιν εἰς τὴν τροφὴν τοῦ βρέφους αἱ λοχεῖαι καὶ αἱ καθάρσεις καί φησιν, ἐπὰν συλλάβῃ ἡ γυνὴ, τότε ὀλίγον ἔρχεται αἷμα εἰς τὴν τροφὴν τοῦ βρέφους, τὸ δὲ ἄλλο τὸ περιττὸν συναθροίζεται ἐν ταῖς φλεψὶν ἤτοι ταῖς μητρῴαις ἢ ἐν τῷ παντὶ σώματι, ὅπερ ὀφείλει κενωθῆναι ἐν ἐννέα μησίν. εἶτα ὅταν τίκτηται τὸ βρέφος, βρασμὸς γίνεται ἐν τῷ παντὶ σώματι καὶ σάλος καὶ κίνησις, καὶ διὰ τοῦτο ἀθρόως καταφέρεται ἀπὸ τῆς μήτρας τὸ ἔμβρυον, ἡ δὲ ὕλη ἡ οὖσα ἐν ταῖς φλεψὶ ταράσσεται, εἶτα κινεῖται. ἀπὸ δὲ τῆς κινήσεως τίκτεται θερμασία, ἥτις χύσιν ποιεῖται τῆς ὕλης. αὕτη ἐρχομένη περὶ τὴν μήτραν, εὑρίσκει τοὺς πόρους ἀνεῳγμένους καὶ τὸν αὐχένα τῆς μήτρας καὶ χωρεῖ ἔξω· καὶ διὰ τοῦτο ἀθρόως κατέρχεται ἐν ταῖς ἀρχαῖς. ὕστερον δὲ ὅταν λήγῃ τὸ αἷμα καὶ οἱ πόνοι ἄρχωνται συμβαίνειν καὶ τὰ στόμια καὶ αἱ κοτυληδόνες κλείωνται, τότε κατ᾽ ὀλίγον πρόεισι τὸ αἷμα, ἐοικὸς πλύματι ἱερείου νεοσφαγοῦς· οἱ γὰρ τοῖς θείοις εἰσφέροντες ἱερεῖον τὸ εὐτραφὲς καὶ πιότερον εἰσφέρουσιν ὅπερ καθαρὸν ἔχει τὸ αἷμα. οὕτω μὲν ὕστερον τὸ καταμήνιόν ἐστι, καταρχὰς δὲ ἰχωροειδῶς φέρεται, ἐπειδὴ οἱ ὑμένες ἐκεῖνοι ὅ τε ἀλλαντοειδὴς καὶ ὁ ἀμνειὸς περιέχοντες ἐν αὐτοῖς τὰ περιττώματα σχίζονται. οὐκ ἂν γὰρ ἄλλως τὸ ἔμβρυον κατέρχεται, τούτων μὴ διαῤῥηγνυμένων. οὗτοι οὖν οἱ ὑμένες, συμπλεκόμενοι μετὰ τῶν καταμηνίων, ἰχωροειδῶς ποιοῦσιν αὐτὰ ἐκκριθῆναι. οὕτω διαλαβὼν περὶ τῶν καταμηνίων καὶ Γαληνός φησι τὸ σημεῖον τὸ ἀπὸ τῶν ἀμβλυ-

σμῶν, διδοὺς ἡμῖν γνῶσιν πότε τὸ ἄῤῥεν καὶ πότε τὸ θῆλυ τελειοῦται. ἐνταῦθα τέρμα τῆς νῦν θεωρίας.

Ὥσπερ ὕδατι ἐπὶ τραπέζης. —

Εἰ δὲ εἰς ὕδωρ ἐμβάλλεις ἔλαιον ἐν τραπέζῃ τινὶ, καὶ κινήσεις τὸ ὕδωρ τῷ δακτύλῳ ἢ αὐτομάτως κινηθῇ, ὁρᾷς πῶς τὸ ὕδωρ λεπτομερὲς ὂν ἕλκει τὸ ἔλαιον ὡς παχυμερέστερον. οὕτως οὖν φησι καὶ τὰ λεπτομερῆ περιττώματα ἕλκουσι τὰ παχέα ἀπὸ τῆς μήτρας.

Ἤν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ, μη συγγενὲς τῇ λοχείᾳ. —

Φησὶν ὅτι εἰ μὴ κατὰ τὸν τρόπον, ὃν εἶπον, χωροῦσι τὰ καταμήνια καὶ ἔχει νόσημα ἡ γυνὴ, ἀπόλλυται. εἰ δὲ τὸ νόσημα μὴ συγγενὲς εἴη τῇ κυοφορούσῃ, ἔστι γὰρ νόσημα τῇ κυοφορούσῃ σύνηθες, ἀτονία δυνάμεως, λειποθυμία καὶ ἡ λεγομένη κίττα.

Πολλαὶ δὲ γυναῖκες διέφθειραν. —

Ἐντεῦθεν ἀπόδειξις ἀπὸ τῶν ἐκτρωμάτων καὶ ἀμβλυσμῶν.

Καὶ λόγῳ καὶ ἀνάγκῃ διάρθρωσις ἐοῦσα. —

Εἰπὼν δύο ἀποδείξεις πότε τελειοῦται τὸ βρέφος, καὶ τῆς λοχείας καθάρσεως, καὶ ἀπὸ τῶν ἀμβλυσμῶν, τὴν μὲν ἀπόδειξιν τῶν καταμηνίων λόγον καλεῖ· λογικὴ γάρ ἐστι· τὴν δὲ ἀπὸ τῶν ἐκτρωμάτων ἀνάγκην φησὶν, ὡς ἂν απαραβάτου οὔσης αὐτῆς καὶ διὰ πείρας· τῇ δὲ πείρᾳ τίς δύναται ἀντειπεῖν;

Πρᾶξις ἐννάτη.

Ἀναβήσομαι δὲ αὖθις ὅθεν ἀπέλιπον. —

Ἐποίησεν ὁ Ἱπποκράτης τῷ λόγῳ παιδίον, ἐπέθηκεν αὐτῷ κεφαλὴν, χεῖρας, σκέλη. λέγει δὲ καὶ περὶ τρόπου

τῶν ἐννέα περιόδων, οἱονεὶ ἐν τῇ πρώτῃ περιόδῳ τὸ σπέρμα ὑμενοῦται καὶ διατυποῦται, ἐν τῇ δευτέρᾳ ὅτι σαρκοῦται, ἐν τῇ τρίτῃ εἰδοποιεῖται, ἐν τῇ τετάρτῃ διακρίνονται τὰ μεγάλα μόρια ἀπὸ τῶν μικρῶν, οἷον ὁ βραχίων τυχὸν ἀπὸ 1) ... μασχάλης καὶ πλευρᾶς, ἐν τῇ πέμπτῃ τὰ μικρὰ μόρια ἀπ᾽ ἀλλήλων χωρίζονται οἷον οἱ δάκτυλοι, ἐν τῇ ἕκτῃ κινεῖται, ἐν τῇ ἑβδόμῃ αὔξεται, τρέφεται, ἐν τῇ ὀγδόῃ ἐπιτήδειον γίνεται εἰς τὸ γεννηθῆναι, ἐν τῇ ἐννάτῃ τίκτεται. τί οὖν λείπει τῇ προκειμένῃ πραγματείᾳ, εἰ μὴ τὸ ἀποπερατῶσαι αὐτήν; ἀλλὰ λέγομεν ὅτι ἔτι περὶ τῶν μορίων βούλεται διαλεχθῆναι, οὐχ ἵνα ἕτερα δημιουργήσῃ, ἀλλ᾽ ἵνα τῶν ἀποτελεσθέντων εἴπῃ τὰς κοιλότητας καὶ πόρους καὶ οἱονεὶ κλάδους τινὰς καὶ ἀποσχίδας. διὸ ζητεῖ τῶν ὀστῶν τὰς κοιλότητας καί φησιν, ὅτι αἴτιον τὸ μαλακὸν τῶν ὀστῶν. εἰσέρχεται ἐν αὐτοῖς πνεῦμα ὅπερ ποιεῖ τὴν κοιλότητα αὐτῶν, ὅπως εἰς ταύτην εἰσέλθοι τὸ πιότατον τοῦ αἵματος, τουτέστιν ὁ μυελός. οὐχ ὁμοίως δὲ ἐν πᾶσι τοῖς ὀστέοις ἐποίησε κοιλότητας, ἀλλ᾽ ἐν μὲν τοῖς μείζοσι μείζονας, ἐν δὲ τοῖς ἐλάττοσιν ἐλάττονας. διὸ τὸ ὀστοῦν τοῦ βραχίονος, μεῖζον ὑπάρχον τοῦ πήχεος, μείζονα κοιλότητα ἔχει, καὶ τὸ ὀστοῦν τοῦ μηροῦ, μεῖζον πάντων τῶν ὀστέων ὑπάρχον, μείζονα κοιλότητα ἔχει. ταῦτα δὲ τὰ ὀστᾶ ἀποπερατοῦνται τὰ μείζονα εἰς ἐλάττονα· τὰ γὰρ ὑποκείμενα μείζονά εἰσι τῶν ἐπικειμένων. διὸ τὰ ὀστᾶ τοῦ ποδὸς καὶ τῶν χειρῶν, ὡς τελευταῖα ὄντα καὶ πᾶσιν ὑποκείμενα, σκληρότατά εἰσι 2) * πναστὰ καὶ σμικρὰ, ἅπερ συντιθέμενα ποιοῦσι τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν. οὐ μόνον δὲ τῶν ὀστῶν αἱ ἀποπερατώσεις εἰς λεπτὰ ὀστάρια ἀποπερατοῦνται, ἀλλὰ καὶ τῶν ἄλλων ὁμοιομερῶν, οἷον νεύρων, φλεβῶν, ἀρτηριῶν. τὸ μὲν γὰρ παχυμερέστερον αὐτῶν ἐν τῷ ἄλλῳ σώματι διανέμεται, τὸ δὲ λεπτομερέστερον ἀποπερατοῦται εἰς τοὺς δακτύλους καὶ εἰς τὰ ἄκρα αὐτῶν καὶ ποιεῖ ὄνυχας, οἷον θεμελίους τινὰς ὄντας τῶν ὁμοιομερῶν. καὶ ἰδοὺ κατὰ τὸν Ἱπποκράτην οἱ ὄνυχες ὁμοιομερεῖς εἰσιν· ἐκ γὰρ τῶν ῥιζῶν τῶν τε νεύρων καὶ ἀρτηριῶν καὶ φλεβῶν βούλεται

---

1) τῆς videtur deesse. 2) Fort. πλεῖστα.

αὐτοὺς εἶναι. τινὲς δὲ ἀνατρέπουσι τοῦτο τὸ δόγμα κεχρημένοι τοιούτῳ ἐπιχειρήματι· φασὶ γὰρ, οὐδέποτε ὁμοιομερές τι, ἐπὰν τὸ τέλειον εἶδος ἀπολάβῃ, τεμνόμενον ἔτι αὔξεται, ἀλλ' αὐτοτελὲς ἔγκειται, ἐπειδὴ οἱ ὄνυχες οὔπω ἐν παιδικῇ ἡλικίᾳ τὸ αὐτοτελὲς εἶδος ἀπέλαβον, ἀλλ' ἐν τῇ ἀκμαστικῇ τεμνομένους καὶ πάλιν αὐξανομένους αὐτοὺς ὁρῶμεν. ἄρα οὐκ εἰσὶν ὁμοιομερῆ, ἀλλὰ περιττώματα ὑπάρχουσι νεύρων καὶ ἀρτηριῶν καὶ φλεβῶν, καὶ ἐπίκεινται ταῖς ῥίζαις τῶν νεύρων καὶ τῶν φλεβῶν. διὸ καὶ σκληρότατοί εἰσι καὶ πυκνοὶ καὶ στερέμνιοι καὶ αἰσθητικώτατοι, οὐχ ὥσπερ φησὶν Ἱπποκράτης ῥίζαι οὖσαι τῶν ὁμοιομερῶν. εἰ δὲ μεταξύ τι εἰσέλθοι τῶν ὀνύχων καὶ τῶν ῥιζῶν τῶν ὁμοιομερῶν, πάνυ ἀνιᾷ, ὡς τῶν ὀνύχων θλιβόντων τὸ αἴτιον, κἀκεῖνοι τὰς ῥίζας τῶν ὁμοιομερῶν.

Δεύτερον κεφάλαιον ἐν ᾧ βούλετοι διαλεχθῆναι περὶ τριχῶν καί φησιν, ἵνα γένωνται τρίχες, δύο τινῶν δέεται ἡ φύσις, δαψιλοῦς ὑγρότητος καὶ ἀραιότητος ἐπιδερματίδος. ἐπεὶ δὲ, ἔτι ὄντος τοῦ βρέφους ἐν τῇ μήτρᾳ, ἀραιόν ἐστι τότε τὸ δέρμα τῶν ὀφρύων ἢ τῆς κεφαλῆς καὶ τῶν βλεφάρων, φύει τρίχας ἐν τῇ μήτρᾳ. ὕστερον δὲ, ἐπὰν ἐξέλθῃ καὶ γένηται ἐν τῇ ἡβαστικῇ ἡλικίᾳ, ἐπειδὴ τότε ἄρχεται τὸ σπέρμα δριμύτερον ἑαυτοῦ γίνεσθαι, διὰ τῆς ὁδοῦ ἧς κατέρχεται ἀραιότητα ποιῶν ἐν τῇ ὁδῷ, ποιεῖ φῦναι τρίχας. διὸ πρῶτον φύονται ἐν τῷ 1) ἐφήβεϊ τρίχες. εἶτα ἐπὰν γένωνται ἐν τῇ ἀκμαστικῇ, ἐπειδὴ τότε τὸ σπέρμα δριμύτερόν ἐστι καὶ θερμότερον καὶ ἡ κρᾶσις τότε θερμὴ καθέστηκε, κατερχόμενον ἐκ τῶν μορίων τὸ σπέρμα ἀραιοῖ τὴν ἐπιδερματίδα αὐτῶν καὶ ποιεῖ φῦναι τρίχας. διὸ τὸ σπέρμα κατερχόμενον ἀπὸ τῆς κεφαλῆς ἀραιοῖ τὴν ἐπιδερματίδα τῆς κάτω γέννυος καὶ ἐργάζεται τὸν πώγωνα. καί τινες ἐνταῦθα πλανώμενοι ἠβουλήθησαν δοξάσαι ὅτι ἐκ τῆς κεφαλῆς μόνης πρόεισι τὸ σπέρμα καὶ οὐκ ἀπ' ἄλλου μορίου. 2) ἐπεί τινι λόγῳ, εἴπερ ἀπὸ ἑκάστου μορίου πρόεισι τὸ σπέρμα, ἀεὶ ἐν τῇ γέννϊ ἀναφέρομεν πώγωνα. φαμὲν δὲ ἡμεῖς ὅτι τὸ ἐγχώριον σπέρμα τῆς κεφαλῆς ἐστι τὸ κατερχόμενον καὶ ἀραιοῦν

---

1) Fort. ἐφηβαίῳ. 2) Fort. ἐπεὶ τίνι;

τὸ δέρμα τῇ παρόδῳ τῆς κάτω γέννος καὶ ποιοῦν φυῆναι τρίχας. ἐπεὶ τίνι λόγῳ, εἰ ἀπὸ τῆς κεφαλῆς μόνης κατέρχεται, καὶ ἐν τοῖς ἄλλοις μορίοις φύομεν τρίχας; καὶ ταῦτα μὲν οὕτως. ζητοῦσι δὲ εἴπερ αἱ τρίχες φύσεώς εἰσι δημιούργημα εἴτε οὐκ εἰσί. καὶ λέγουσιν ὅτι οὐ κατὰ πρῶτον σκοπὸν αὗται γεγόνασιν, ἀλλὰ κατὰ δεύτερον. ὥσπερ γὰρ γεωργὸς σπείρας σῖτον, οὐ μόνον τὸν σῖτον ἀναφέρει, ἀλλὰ καί τινας ἀκάνθας αἷς κέχρηνται εἰς φραγμὸν τοῦ σίτου, οὐ μέντοι διὰ τοῦτο ἔβαλε τὸν σῖτον, ἵνα καὶ ἀκάνθας ἐνέγκοι, οὕτω καὶ ἡ φύσις, ποιοῦσα τὰ μόρια καὶ τρέφουσα αὐτὰ, ἐποίησεν ἐξ αὐτῶν ἐξιέναι τὰ περιττώματα καὶ τὰς λιγνῦς, αἵπερ ἐξερχόμεναι ποιοῦσι τὰς τρίχας, ἃς ἡ φύσις εὑροῦσα κέχρηται πρός τε καλλωπισμὸν καὶ σκέπην ἔν τε τῷ πώγωνι καὶ τῇ κεφαλῇ. ζητεῖται δὲ ἐνταῦθα τρία ἄπορα, ὧν τὸ πρῶτόν ἐστι, διὰ τί ἐν τῇ ῥινὶ τρίχας οὐ φύομεν; ὅτι ἐπειδὴ σκληροτέρα ἐστὶν ἡ ἐπιδερματὶς τῆς ῥινὸς καὶ οὐ δύναται ἡ λιγνὺς διοδεῦσαι. ἀμέλει διὰ ταῦτα ἐπὶ τῶν πάνυ θερμῶν, ἀραιουμένων τῶν πόρων τούτων, φύονται τρίχες. δεύτερον, διὰ τί οἱ εὐνοῦχοι οὐκ ἐκφύουσι τρίχας ἐπὶ τοῦ πώγωνος; ἐπειδὴ οὗτοι ψυχρότεροί εἰσι καὶ τῶν γυναικῶν· ἀμέλει ὅτι αἱ γυναῖκες περὶ τὸ ἐφήβαιον ἔχουσι τρίχας, οὗτοι δὲ οὐδὲ περὶ τοῦτο. ψυχροὶ οὖν ὄντες πῶς δύνανται ἀραιὰν ἔχειν τὴν ἐπιδερματίδα; τρίτον διὰ τί αἱ γυναῖκες πώγωνα οὐ φύουσιν; ἐπειδὴ οὐχ οὕτω θερμαί εἰσιν ὡς οἱ ἄνδρες, ἀλλὰ καὶ ψυχρότερον ἔχουσι τὸ σπέρμα, ὅπερ οὐ δύναται ἀραιῶσαι τὴν ἐπιδερματίδα τῆς κάτω γέννος, ἵνα πώγωνα φύωσιν. Εἶεν.

Καὶ ταῦτα ὑπὸ τοῦ 1) πατρὸς γίνεται. —

Ζητοῦσιν ὅτι πῶς ὁ Ἱπποκράτης πανταχοῦ ἐν ὅλῳ τῷ συγγράμματι αἰτιᾶται τὸ πνεῦμα τῆς δημιουργίας τοῦ παιδὸς, φάσκων τὸ πνεῦμα διαφυσᾷν τὴν γονὴν καὶ ποιεῖν σφαῖραν, καὶ τὸ πνεῦμα ποιεῖν ὀστᾶ, πότερον πνευματικὸς ὑπῆρχε; φαμὲν ὅτι οὐκ ἦν πνευματικὸς, ἀλλ'

---

1) πνεύματος Hipp. recte.

εἰώθαμεν τὸ ποιητικὸν ἐξ ἑνὸς ὀργάνου ἀεὶ ὀνομάζειν. ἀεὶ γάρ φαμεν, καλλίχειρ εἰργάσατο τὸν οἶκον, καίτοι χωρὶς λίθων οὐκ εἰργάσατο, καλὸς σίδηρος ἔτεμε τὰ ξύλα, καίτοι ἄνευ δρυοτόμου οὐκ ἐτμήθησαν. οὕτως οὖν ἐπειδὴ τὸ πνεῦμα ὄργανόν ἐστι τῆς δυνάμεως, διὰ τοῦτο ἐκ τούτου ἀεὶ λέγει δημιουργεῖσθαι τὸ βρέφος.

1) *Κοῖλα δὲ ὄντα ἕλκει ἐς ἑαυτὰ ἀπὸ τῶν σαρκῶν τὸ αἷμα τὸ πιότατον.* —

Δύο τινὲς δόξαι γεγόνασιν περὶ τοῦ 2) ....

---

1) Hipp. de nat. pueri I. p. 144. Lind. 2) Reliqua desunt.

ΘΕΟΦΙΛΟΥ ΠΡΩΤΟΣΠΑΘΑΡΙΟΥ ΚΑΙ ΔΑΜΑΣΚΙΟΥ

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΥΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ.

Superaddita suoque quaeque loco sunt inserta fragmenta ex explanatione, sive sit Stephani Atheniensis sive sit Meletii medici et philosophi, in aphorismos Hippocratis deprompta atque ex anonymis quibusdam commentariis in eundem librum delibata.

Sigla Codicum.

V. a. Codex Vindobonensis medicus Nr. XVI. Chartaceus, saec. XV. *Σχόλια εἰς τοὺς Ἱπποκράτους ἀφορισμοὺς κατὰ σύνοψιν.* Fine mutilus.

V. b. Codex Vindobonensis philosophicus Nr. LXXIV. chartaceus, saec. XV. *Ἀφορισμοὶ τοῦ Ἱπποκράτους γραφέντες παρὰ Θεοφίλου Πρωτοσπαθαρίου καὶ ἐπὶ τοῦ χρόνου τρίτου μετὰ τῶν σχολίων αὐτοῦ.* In ima pagina legitur I. Sambucus 1560.

V. c. Codex Vindobonensis medicus Nr. XLIV. Chartaceus, saec. XV, initio mutilus. Hi tres codices Theophili sunt.

D. Codex Monacensis 227. chartaceus, saec. XVI. *ἑρμηνεία εἰς τοὺς ἀφορισμοὺς Ἱπποκράτους ὑπὸ φωνῆς Δαμασκίου φιλοσόφου.*

N. Codex Venetus Marcianus, olim Nanianus, Nr. 246, membranaceus, saec. XII.

A. a. Codex Ambrosianus, S. 19, bombycinus, saec. XIV. *Σχόλια σὺν θεῷ τῶν ἀφορισμῶν Ἱπποκράτους ἐξήγησις Στεφάνου Ἀθηναίου τοῦ φιλοσόφου.* Sunt plurimi Theophilei commentarii in aphorismos Hippocratis codices in bibliothecarum scriniis repositi, in quibus sive Theophili sive Philothei sive Stephani Atheniensis feruntur auctorum nomina, ut dubii haereamus, cui tandem haec commentaria adsignemus. Philotheum a Theophilo non differre, vix est quod moneam. Stephanus autem Atheniensis ampliorem fusioremque commentarium in Aphorismos composuisse videtur, qui in Theophileum contractus emacruit atque ob brevitatem frequentius est transscriptus. Stephani explanatior ampliorque commentarius in hoc codice inest, quem integrum edidissem, nisi scholia Stephani a scholiis Theophili tatummodo usque ad Aphoris. Sect. III. aph. 28 diversa esse, in reliquis autem ad verbum inter se convenire cognovissem. Ideo e Stephani explanationibus, perdiligenter pervolutatis, et exempla aliquot scholiorum singulorum exscripsi eaque, quae notatu digna mihi videbantur vel ad Hippocratem explicandum vel ad linguae Graecae copiam locupletandam vel ad alias literas illustrandas, omnia excerpsi. Idem Stephani in aphorismos commentarius initio fusior, postea Theophileo plane respondens, in Codice Parisiensi 2222, bombycino, saec. XV. Meletio tribuitur: *Μελετίου ἰατροῦ καὶ φιλοσόφου ἐξήγησις εἰς τοὺς ἀφορισμούς.* Cujus codicis apographum est proximus 2223, Baluzianus, chartaceus, saec. XVI.

E. Codex Escorialensis Plut. 11. ser. 2. cod. 10. membranaceus, saec. XII. forma quart. folior. 270. anonymum, initio mutilum in Aphorismos commentarium continet, qui Stephani commentarium fusiorem, in codicibus Parisiensibus et Ambrosiano jam in tertia sectione contractum, per reliquarum sectionum bonam partem adhuc perducit, etsi anonymus quoniam sit codex, certo adseverare nequeam, auctorem esse Stephanum eundem Meletiumve, quibus majores illi commentarii adscribuntur. Ex commentario codicis Escorialensis, ut ex Ambrosiano Stephani, multa delibavi fragmenta, quae cum lectoribus communicare, occasione hac Theophilei commentarii edendi oblata, consilium mihi est.

A. b. Codex Ambrosianus B. 113. bombycinus, saec. XIV. qui ad familiam codicis Vindobonensis philosophici Nr. 74. pertinet. Est Theophili.

Στεφάνου Ἀθηναίου προοίμιον.

Σκοπός ἐστι τῷ συγγραφεῖ πάντα τὰ τῆς τέχνης ἡμῖν παρέχειν κεφάλαια καὶ φύσεως ἔργα. σκοπεῖ τοίνυν τὴν φύσιν, θεμέλιον ἔχουσαν τὰ στοιχεῖα, συναγομένην δὲ καὶ συνιζάνουσαν κράσεσι, μεριζομένην δὲ εἰς χυμοὺς, ἐλλαμπομένην δὲ δυνάμεσι, μόρια διαπλάττουσαν πρὸς τὴν τοῦ παντὸς σώματος ἐναρμόνιον σύνθεσιν, ἐκ διαφόρου χρείας τε καὶ ἐνεργείας ἕνεκεν. καὶ ταῦτα μὲν περὶ φύσεως πραγματεύεται. ἐπεὶ δὲ καὶ τὴν φύσιν τριμερὴς κακία πέφυκεν ἐπηρεάζειν τοῖς σώμασιν ἡμῶν, νοσήματα, συμπτώματα, αἴτια, τοῖς μὲν νοσήμασιν ἀμετρίᾳ λυμαινομένοις τὰς ἐναντίας ἀντεισάγει ἀμετρίας, ὥς αὐτὸς προϊὼν λέγει, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα. ἐνίσταται δὲ καὶ πρὸς τὰ συμπτώματα, παρηγορῶν τε καὶ καταπραΰνων τὸ θρασὺ τούτων καὶ ἀνήμερον ἢ καὶ ἰώμενος ὥσπερ αὐτὸς προϊὼν λέγει, νάρκη ὀλίγη ὀδύνης ληκτικὴ, ἀλλὰ καὶ τῶν αἰτϊῶν ἐκκόπτων τε καὶ ἀναστέλλων τὰς ἐπιδρομὰς πανταχόθεν, ἀκηλίδωτον τὴν σωτηρίαν ἐργάζεται, λόγῳ τε ἅμα καὶ πείρᾳ χρώμενος καθάπερ τισὶν ὅπλοις κατὰ τῶν παρὰ φύσιν ὁπλίζεται, τῷ λόγῳ τὴν μέθοδον ἐξευρίσκων, τῇ δὲ πείρᾳ ταύτην ἐκκαλούμενος ἢ καὶ τὸ βέβαιον παρεγγυᾷ τοῦ λόγου. ἐπάνεισι δ᾽ οὖν καὶ ἐπὶ μετέωρα καὶ μείζονα. σκοπεῖ γὰρ ἀνέμων ἀλλαγὰς, ἀνέμων ἐμπνεύσεις, ὑδάτων διαφορὰς, ταῖς τῶν ἀστέρων ἐπιτολαῖς τε καὶ κρύψεσι ποικιλλόμενος. ταῦτα πάντα ὁ σκοπὸς τοῦ παρόντος ἐπαγγέλλεται συγγράμματος. Χρησιμεύει δὲ καὶ τελείοις καὶ ἀτελέσιν, ὀψιμαθέσι καὶ ἐκ νηπίας ἡλικίας φοιτῶσιν, ὁδοιποροῦσι καὶ ἐν πόλεσι διατρίβουσιν, εὐφυέσι καὶ ἀφυέσι, προθύμοις τε καὶ ῥαθύμοις, τελείοις μὲν καὶ εὐφυέσι, τῶν προεγνωσμένων ἑαυτοὺς ἐν κεφαλαίῳ ἀναμιμνήσκειν, ἀτελέσι δὲ καὶ ὁδοιποροῦσιν, ὅτι τὰ ἐν πολλοῖς καταλογάδην εἰρημένα, ταῦτα ἐν ὀλίγοις περικλείεται.

Ὅτι γνήσιον Ἱπποκράτους τὸ σύγγραμμα, ἐμαρτύ-

C. Ludovici Coradi de Austria Mantuani interpretatio latina Philothei commentariorum in aphorismos. Venet. 1549. 8.

ρησαν Ῥοῦφός τε καὶ 1) Ῥουφῖνος, καὶ Σωρανὸς καὶ Πέλωψ καὶ Γαληνός· 2) κατ' αὐτούς ἐστι γνήσιον, ὥστε γνώμονι τούτῳ κεχρημένοι οἱ ἐξηγηταὶ 3) τούτῳ τῶν ἄλλων συγγραμμάτων, εἴτε γνήσια εἶεν εἴτε νόθα, ἐποιήσαντο τὴν κρίσιν. οὐ μὴν ἀλλὰ καὶ τὸ εἶδος τῆς ἐπαγγελίας καὶ ἡ ἀγχίνοια τῶν λεγομένων καὶ τὸ ἡδὺ τῆς φράσεως τῆς Ἱπποκράτους μεγαλονοίας ἀποδεικνύει τὸ σύγγραμμα.

Ζητείσθω δὲ καὶ ἡ αἰτία τῆς ἐπιγραφῆς. Ἰστέον οὖν ὅτι ἐκ τοῦ τρόπου τῆς διδασκαλίας τὴν ἐπιγραφὴν ἐποιήσατο, ἀφορισμοὺς τὸ βιβλίον ἐπιγράψας.

Ἡ δὲ τάξις διττή ἐστιν, ἡ μὲν πρὸς τὴν φύσιν, ἡ δὲ πρὸς τὸν λόγον ἀποβλέπουσα. καὶ τῇ πρὸς τὴν φύσιν ἐξακολουθοῦντες τάξει, τὸ περὶ ἀνθρώπου φύσεως ἀναλεγόμεθα ἐν τοῖς Ἱπποκρατείοις· ἐκεῖσε γὰρ μανθάνομεν τὴν προσεχῆ ὕλην τῆς γενέσεως καὶ τὴν σύμπηξιν τοῦ ἡμετέρου σώματος, καὶ ἐνταῦθα ἐν τρίτῃ τάξει ἀναγνωσθέντος τοῦ παρόντος βιβλίου. ἡ δὲ τοῦ λόγου τάξις πρότερον τοὺς ἀφορισμοὺς παρακελεύεται ἀναλέγεσθαι διὰ τὸ καθολικὸν καὶ κεφαλαιῶδες καὶ σύντομον τῶν ἐνταῦθα παραδιδομένων. καλὸν τοῖς εἰσαγομένοις εἰς τὴν Ἱπποκράτους ἰατρικὴν πρὸ παντὸς τὸν ὅρον καὶ τὸν νόμον ἐκμανθάνειν.

Ἕκτον ἐστὶ κεφάλαιον ἡ εἰς τὰ μόρια διαίρεσις. Ἰστέον ὅτι ὁ μὲν Σωρανὸς εἰς τρία τμήματα διεῖλε τοῦτο τὸ βιβλίον, ὁ δὲ Ῥοῦφος εἰς τέσσαρα, ὁ δὲ Γαληνὸς εἰς ἑπτὰ ᾧπερ καὶ πειθόμεθα. ἀνάγεται δὲ τὸ παρὸν σύγγραμμα οὐχ ὑπὸ ἓν μέρος τῆς 4) Ἱπποκρατικῆς, ἀλλ' ὑπὸ πάντα τὰ μέρη, ὥσπερ καὶ ἡ τέχνη Γαληνοῦ. ἐπειδὴ γὰρ περὶ πάντων τῶν μερῶν τῆς ἰατρικῆς ἐνταῦθα διαλέγεται, κεφάλαιον δὴ καὶ σύντομον διδασκαλίας ποιούμενος, εἰκότως καὶ ὑπὸ τὸ θεωρητικὸν καὶ ὑπὸ τὸ πρακτικὸν καὶ τὰ καθ' ἕκαστον πάντα τὰ μόρια τῆς διαιρέσεως, ἅτινα ἐν εἰσαγωγαῖς μεμαθήκαμεν, τὸ παρὸν ἀναθήσεται σύγγραμμα.

---

1) Σαβῖνος Codd. Paris. 2) καθὼ τὸν A. a. 3) τούτων A. a. 4) sc. ἐπιστήμης.

Τρόπῳ δὲ διδασκαλικῷ 1) *κέχρηται ἀφοριστικῷ. Ὅπερ δῆλον γέγονε, τὴν αἰτίαν τῆς ἐπιγραφῆς ζητούντων ἡμῶν. ἕτεροι γὰρ παρὰ τοὺς Γαληνείους διδασκαλικοὶ τρόποι παρ' αὐτῷ τρεῖς, ἀφοριστικὸς, ὑφηγηματικὸς καὶ μικτός. καὶ ἀφοριστικὸς μέν ἐστιν ἐν ὀλίγαις λέξεσι πολλὰ περικλείων ῥήματα, ὑφηγηματικὸς δέ ἐστιν ὁ κατὰ διέξοδον πλατικῶς τῶν νοουμένων διδασκαλίαν ποιούμενος, μικτὸς δὲ ὁ ἐξ ἀμφοῖν συγκείμενος καὶ μήτε ἄγαν ἐσταλμένος ὡς ὁ ἀφοριστικὸς, μήτε ἐν πλάτει διεξερχόμενος τὴν ἔννοιαν καθάπερ ὁ ὑφηγηματικός. Ἀφορισμὸς δέ ἐστι λόγος σύντομος, αὐτοτελῆ διάνοιαν ἀπαρτίζων. ἢ καὶ οὕτως· λόγος πενόμενος μὲν κατὰ τὴν τέχνην, πλουτῶν δὲ τοῖς ἐνθυμήμασιν. εἴρηται δὲ ἀφορισμὸς διὰ τὸ καθ' ἕκαστα περιορίζεσθαι μὲν τὰ νοούμενα, ἀφορίζεσθαι δὲ καὶ ἀποδιΐστασθαι ἀπὸ τῶν πρὸ αὐτῶν καὶ ἀπὸ τῶν μετ' αὐτά.*

Codex Parisiensis 6854. Colbertinus, chartaceus, saec. XVI. anonymi auctoris interpretationem latinam Meletii in aphorismos commentarii continet secundum codicem graecum 2222, ex quo et epistolam dedicationis et prooemium edo.

Illustrissimo Principi Henrico a Lotharingia Abbati Protomonasteriorum Sancti Dionysii et Sancti Remigii etc.

Quod mulieribus accidere solet, illustrissime Princeps, postquam pepererint multorum oblitae laborum magnopere laetentur, si in optimum aliquem pueri in baptismo susceptorem quem patrinum vocant inciderint, id mihi hodie contigisse videtur, qui postquam non sine magno labore Meletii in Aphorismos Hippocratis Commentarios ad studiosorum utilitatem latinos fecissem, ac veluti peperissem, talem nactus sim patronum, cujus ulnis haec nostra recens foetura excipiatur. Hos autem Commentarios multis rationibus adductus sum ut tibi dedicarem. Primum enim nullus

---

1) *εἴρηται* A. a. emendavi.

est, qui nesciat quanto studio quantoque amore tuus quem deus absolvat Propatruus Illustrissimus Cardinalis a Lotharingia, doctos homines sit amplexus; inter quos qùum Gentianum 1) Hervetum patrium meum de literis graecis et de republica Christiana bene meritum, in hanc urbem Rhemensem accersisset, meorum studiorum author fuit et adjutor, ut qui me etiam in suorum clientelam receperit et mihi docendae juventutis munus imposuerit, ubi literis graecis, quae discendae Medicinae mihi prima fuere fundamenta, in quibusjam a patruo fueram institutus, aliquot annorum spatio mihi vacare licuit. Caeterum cum aliquando una cum eodem patruo meo bibliothecam tuam, amplissimam certe et maxima librorum supellectile refertam visitarem, incidi forte in hos Meletii Commentarios, quos cum parum degustassem, non abs re fore duxi, si tandem aliquando latini in cem prodirent. quos cum sedulo quidem, sed fortasse non tam eleganter quam nonnullorum aures delicatae postulent, etsi tam diligenter ut fidem interpretis nemo jure requirat, e graeco verterim, exoriri autem possint aliqui, qui meam industriam et operam, ut nunquam desunt calumniatores, contemnant et elevent, eos tibi consecrandos et felicibus tuis auspiciis in lucem edendos censui, ut nominis tui authoritate muniti, detrectatorum invidiam et calumnias facilius possint effugere. Ad haec accedit, quod cum graecus e tua prodierit bibliotheca Meletius, non inconsultum fore duxi, si eadem opera latinus in tuam rediret bibliothecam, et a Medicis legendus exiret in lucem. Has igitur studiorum meorum lucubrationes, quantulaecunque sint, oro atque obsecro, Illustrissime Princeps, ut pro tua insigni humanitate hilari et serena fronte suscipias. Non solum certe magnas tibi habebunt gratias studiosi medicinae lectores, quod hic Meletius sub amplissimi nominis tui splendore in illorum manus venerit, sed etiam aegroti ejus ope sanati id tibi, e cujus biblio-

1) Aurelianensem.

theca prodierit, jure acceptum ferent. Vale, Illustrissime princeps, meque in tuorum numerum ascribe.

Meletii medici et philosophi Commentarius in Aphorismos Hippocratis. Sectio prima.

Scopus et institutum authoris est omnia nobis artis capita naturaeque opera exhibere. Considerat itaque naturam, quae pro fundamento habet elementa, quae temperamentis conficitur et conglomeratur, quae in humores dividitur, quae facultatibus illustrata partes efformat ad totius corporis concinnam compositionem, ob commoditatem, usum et operationem. Et haec quidem tractat de natura. Cum autem triplex eorum quae sunt contra naturam vitium, morbus scilicet, symptoma et causa natura sua corporibus nostris noceant, morbis quidem qui in intemperie nocent, contrarias inducit intemperies, ut ipse postea dicit contrariorum contraria sunt remedia, se etiam opponit et symptomatis resistit, eorum asperitatem et ferocitatem retundens ac demens, vel etiam sanans, ut ipse in sequentibus declarat, cum dicit Parvus torpor dolorem sedat, quin etiam abscindens ac reprimens undiquaque causarum vim, incursum, puram et sinceram reddit sanitatem. Ratione quidem simul et experientia veluti quibusdam armis decertat adversus ea, quae sunt contra naturam, ratione quidem methodum inveniens, experientia autem hanc evocans, qua etiam rationis indicat firmitatem. Assurgit itaque et ad sublimia et majora. Considerat enim aeris mutationes, ventorum flatus, aquarum differentias, astrorum ortum et occasum, eas distinguens. Haec omnia praesentis hujus libri scopum se traditurum promittit. Est autem perfectis et imperfectis utilis; imperfectis qui tarde discunt, et iis qui ab ineunte aetate ludos adeunt literarios, iter agentibus et iis qui in urbibus degunt, ingeniosis et tardis, iis qui sunt prompto et alacri animo, et iis qui sunt socordes et ignavi. Perfectis quidem

et ingeniosis eo quod summatim eis in memoriam revocat, quae prius fuere cognita. Non perfectis autem et iter agentibus, quod ea quae in multis fusa et prolixa oratione dicta sunt, breviter et succincte concludat. Verum autem et legitimum esse hunc Hippocratis librum testantur Rufus, Sabinus, Soranus, Pelops et Galenus. Estque adeo verus et germanus, ut interpretes hoc usi fuerint ad probandum quinam ex aliis ejus libris germani essent quive spurii. Quinetiam et annunciationis genus et eorum quae dicuntur solertia sicuti et dictionis suavitas demonstrant hunc librum ab excellenti Hippocratis ingenio esse profectum. Quod si quis quaerat inscriptionis causam, sciendum est quod ex doctrinae modo hunc librum inscripserit aphorismos. Est autem ordo duplex, unus quidem ad naturam, alius vero ad rationem respiciens. Naturae quidem ordinem sequentes, quod ad hominis naturam pertinet legimus in libris Hippocratis. Illic enim proximam generationis materiam nostrique corporis constitutionem discimus ideoque tertio loco legendus esset hic liber ordine naturae. Rationis autem ordo aphorismos prius legendos suadet, quod ea quae in illis continentur in genere, compendiose et breviter tractantur. Bonum autem est ut qui ad Hippocratis medicinam introducuntur ante omnia regulam et legem discant. Sciendum est autem, hunc librum Soranum in tres partes divisisse, Rufum in quatuor et Galenum in septem, cui et nos credimus. Reducitur autem hic liber sicuti et ars Galeni non ad unam tantum, sed et ad omnes Hippocraticae doctrinae partes. cum enim hic de omnibus medicinae partibus disserat, brevem et compendiosam efficiens doctrinam, merito reducetur hic liber ad contemplationem et ad praxim [et ad singulares omnes divisionis partes quae in introductoriis didicimus. Utitur autem doctrinae modo aphoristico quod nobis evidens fuit, dum inscriptionis causam quaereremus. Reperiuntur enim apud eum praeter eos quos praebet Galenus tres alii doctrinae modi, aphoristicus scilicet,

narrativus et mixtus. Aphoristicus quidem est qui paucis verbis multas includit sententias. Narrativus autem seu expositivus, qui late et fusa oratione quae sunt cogitata docet. Mixtus qui ex ambobus constat, qui scilicet neque admodum contractus est ut aphoristicus, neque late et fusa oratione intentionem explicat, ut narrativus. Est autem Aphorismus brevis oratio perfectam sententiam absolvens, vel etiam sic: est oratio in dictione quidem manca et deficiens, in sensu vero copiosa et abundans. Dictus est autem aphorismus, quod singula definiat cogitata, eaque distinguat ac separet ab iis quae praecedunt et quae sequuntur.

In codice Vindobonensi medico XLIX, membranaceo, pereleganti, saeculi XIV, anonymi auctoris in Aphorismos haec est praefatio:

Οἱ πλεῖστοι τῶν παλαιοτέρων ἰατρῶν σποράδην ἐξεῦρόν τινα τῆς ἰατρικῆς ἐκ κληδόνων ἢ τριόδων συνάγοντες καὶ ἀπὸ τύχης ἢ μαντείας ἢ κλήσεως δαιμόνων ἢ ἄλλων τινῶν τρόπων. Ἱπποκράτης δὲ ὁ τῶν Ἀσκληπιαδῶν, ταύτην ὡς ἂν εἴποι τις πλαζομένην συνάξας καὶ τελείως ὑφάνας, πλήρη καὶ ἀρτίαν εἰργάσατο, κεφαλὴν ἐπιθεὶς καὶ οὐκ ἄν τις ἁμάρτοι λέγων, ὡς ὁ προνοητικὸς θεὸς ἐλέησε τὸ ἀνθρώπινον γένος, ἀλλ' ἐπ' ἀλλήλοις νόσοις ἀπολλύμενον, τὴν φύσιν σαρκώσας Ἱπποκράτην κατήγαγε πρὸς ἀρτίαν ταύτης παράδοσιν. ἴσως γὰρ καὶ τοῦτο αἰνίττεται κατὰ τὸ προοίμιον τῶν ἀφορισμῶν λέγων, ὡς ἐπειδὴ κατὰ τὴν πεῖραν ἡ ἰατρικὴ σχεδὸν ἀκατάληπτός ἐστιν· οὔτε γὰρ ὅτε βουλόμεθα, τοῖς πάθεσι τῶν ἀνθρώπων ἐντυγχάνουσιν οἱ ἰατροί· τύχῃ γὰρ καὶ τῷ σπανίῳ τῆς γενέσεως δουλεύει ταῦτα. ἔτι γε μὴν καὶ ἐπικίνδυνος τῷ ἐν σώματι ῥευστῷ μὲν διὰ τὴν ὕλην καὶ ἀβεβαίῳ, κεκτημένῳ δὲ καὶ θεῖαν δύναμιν ψυχικὴν, γυμνάζεσθαι τὴν ἰατρικὴν τέχνην, καὶ οὐκ ἀψύχῳ καὶ ἀθύμῳ, καθάπερ τὰς ἄλλας τέχνας. πρὸς δὲ τούτοις καὶ τὰ πάθη ὑπὸ πολλῶν αἰτίων γεννᾶσθαί τε καὶ αὐξάνεσθαι, καὶ διὰ τοῦτο δυσχεραίνειν τὴν πεῖραν, ἐν τῷ διακρίνειν τὸ ποιη-

τικὸν αἴτιον. φέρε τῷ λόγῳ ψιλῷ χωρὶς ὑποκειμένης ὕλης ἀσωμάτως πᾶσαν περιλαβὼν ἐν ὀλίγῳ χρόνῳ διδάξω, καὶ διὰ τοῦτο καὶ ἐπιστημονικὸν λόγον ἔχειν ποιήσω, καὶ τὰς αἰτίας πάσας ὑποθήσομαι σὺν ταῖς διαγνώσεσι, πρὸς τῷ σε λοιπὸν τῇ πείρᾳ γυμνάζειν τὸν λόγον· ὅτε δ᾽ ἄν σοι κατὰ τύχην περιπέσῃ τι πάθος, ἐφαρμόζων τὸν λόγον καὶ γυμνάζων καὶ ἀληθῆ τοῦτον εὑρίσκων.

Τὸ δὲ μέγιστον τοῦ ἀνδρὸς, ὅτι οἱ παρ᾽ αὐτοῦ λεγόμενοι ἀφορισμοὶ οὐχ ἁρμόζουσι μόνῃ ἰατρικῇ, ἀλλὰ καὶ κοινῶς παντὶ τῷ βίῳ. νόμοι γάρ εἰσι καθολικοὶ, θεσπίζοντες καὶ κανονίζοντες τὰ γινόμενα, ὡς ὅταν λέγῃ, ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ᾽ ἄκρον εὐεξίαι σφαλεραὶ, καὶ πάλιν, τὸ πολὺ τῇ φύσει πολέμιον, καὶ, ὕπνος, ἀγρυπνίη, μᾶλλον γιγνόμενα τοῦ μετρίου, κακὸν, καθολικὸν δίδωσιν ἡμῖν κανόνα καὶ νόμον ἐπὶ παντὸς πράγματος, ὡς πᾶν μέτρον ἄριστον. καὶ πάλιν, τὰ μὴ καθαρὰ σώματα, ὁκόσῳ ἂν θρέψῃς μᾶλλον βλάψεις, ὃ δύναται ἐπὶ ψυχὴν μεταφέρεσθαι. οὕτω γὰρ ὁ θεῖος Πλάτων ἔφη, τὰς μὴ καθαρὰς ψυχὰς, ὅσῳ ἂν παιδεύσῃς μᾶλλον βλάψεις. τῆς γὰρ ἀσωμάτου ψυχῆς ἀσώματος τροφὴ παίδευσις. καὶ ἐπὶ ἄλλων δὲ ἀφορισμῶν τὸ εἰρημένον κρίνων εὑρήσεις. ἔχουσι δὲ καὶ τὸ διωρισμένον καὶ τὸ συνεχὲς, ὃ καὶ αὐτὸ τελείας ἀρετῆς ἐστι σύμβολον. ὡς γὰρ ἐπὶ τῶν 1) γραμμικῶν, καὶ ἐπ᾽ αὐτῶν εἰ οὕτως ἔτυχεν, ὁ πέμπτος τὸν τέταρτον σαφηνίζει, καὶ ὁ τέταρτος τὸν τρίτον καὶ ὁ τρίτος τὸν δεύτερον καὶ ἐφεξῆς ὡσαύτως, καὶ προβαίνων σαφῶς τοῦτο ποιεῖται τὴν τάξιν φυλάττων τοῦ λόγου καὶ τὸ ἀκόλουθον τῆς αἰτίας ἐπὶ ἡλικιῶν ἢ ὡρῶν ἢ παθῶν καὶ τῶν 2) παραπλησίων.

ΘΕΟΦΙΛΟΥ. 3) Ἀφορισμός ἐστι λόγος σύντομος, αὐτοτελῆ διάνοιαν ἀπαρτίζων, ἢ λόγος κατὰ μὲν τὴν προφορὰν ἤτοι τὴν φράσιν πενόμενος, πλουτῶν δὲ τοῖς ἐνθυμήμασιν. εἴρηται δὲ ἀφορισμὸς διὰ τὸ 4) περιορίζεσθαι ἐν αὐτῷ τὸ νόημα, ἀφορίζεσθαι δὲ καὶ ἀποδιΐστα-

1) geometria. 2) Sequitur notio Aphorismi vulgaris. 3) Haec definitio e Stephano deprompta p. 240. 4) περισώζεσθαι V. b.

σθαι ἀπό τε τῶν πρὸ αὐτοῦ καὶ τῶν μετ᾽ αὐτόν. Ἰστέον δὲ 1) ὅτι δύο προοίμια ἔχει ἡ παροῦσα πραγματεία καὶ τὸ μὲν πρῶτόν ἐστιν ἀποφαντικὸν, 2) ἤγουν κατὰ προτροπὴν καὶ ἀποτροπὴν, ὡς τὸ, βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξύς· τὸ δὲ δεύτερον συμβουλευτικὸν, 3) τὸ δεῖ δὲ οὐ μόνον ἑωϋτὸν παρέχειν 4) τὰ δέοντα καὶ τὰ ἑξῆς.

Ἀρχὴ σὺν θεῷ ἁγίῳ τοῦ πρώτου τμήματος.

α΄. Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. —

ΘΕΟΦ. Τὸ τοῦ βίου ὄνομα πολλαχῶς εἴρηται. λέγεται γὰρ βίος ὁ τόπος, καθό φαμεν ἀμφίβια ζῶα, ἃ καὶ ἐν τῇ χέρσῳ καὶ ἐν τῷ ὕδατι βιοῦν 5) δυνατὸν, ὡς αἱ φῶκαι. βίος καὶ τὸ ἐπιτήδευμα, καθό φαμεν τόνδε τὸν ἄνθρωπον ἰατρικὸν βίον μετιέναι κἀκεῖνον φιλόσοφον. βίος καὶ ἡ ζεῦξις τοῦ γάμου, καθὸ λέγομεν, ὅτι βίον οὗτος ὁ ἄνθρωπος ἠγάγετο. βίος καὶ τὸ ἦθος τῆς ψυχῆς, καθό φαμεν σώφρονα βίον ἔχειν καὶ κόσμιον ἢ τὸ ἀνάπαλιν ἀκόλαστον. λέγεται βίος καὶ ὁ χρόνος τῆς ζωῆς ἡμῶν. ἀμέλει γὰρ τὴν ἀπαναχώρησιν τῆς ψυχῆς ἀποβίωσιν προσαγορεύομεν. οὗτος οὖν ὁ βίος ὁ κατὰ τὸ πέμπτον σημαινόμενος βραχύς ἐστι καθ᾽ Ἱπποκράτην τῇ τέχνῃ παραβαλλόμενος, ἡ τέχνη δὲ μακρὰ, διότι ὁ βίος βραχὺς ἢ διότι πολλά εἰσι τὰ οἰκεῖα αὐτῆς μέρη καὶ οὐδέποτε εἰς πέρας ἄγεται. εἰσὶ μὲν οὖν τὰ πρῶτα μέρη τῆς ἰατρικῆς δύο, τό τε θεωρητικὸν καὶ τὸ πρακτικόν. ἑκάτερον δὲ τούτων εἰς πλείονα διαιρεῖται. τὸ μὲν γὰρ θεωρητικὸν εἰς φυσιολογικὸν, αἰτιολογικὸν, σημειωτικόν· αὐτὸ δὲ τὸ φυσιολογικὸν, εἰς στοιχεῖα, κράσεις, χυμοὺς, μόρια, δυνάμεις, ἐνεργείας. ταῦτα δὲ τὰ σκέλη, καθὼς ἀλλαχοῦ εἴρηται, διαιρεῖται εἰς πλείονα. τὸ δὲ αἰτιολογικὸν διαιρέσεως εἰς προκαταρκτικὰ αἴτια, εἰς προηγούμενα καὶ εἰς συνεκτικά.

---

1) ὅτι om. V. b. 2) ἤγουν ἀποτρεπτικὸν κατ᾽ ἀποτροπὴν τοῦ ὁ βίος etc. V. b. 3) τὸ om. V. a. 4) τὰ δέοντα om. V. b. 5) δύνανται. φῶκαι ὡς οἱ κροκόδειλοι V. b. ut vituli marini et crocodili C.

το δὲ σημειωτικὸν εἰς τὴν τοῦ παρόντος διάγνωσιν καὶ 1) τῶν μελλόντων πρόγνωσιν καὶ τῶν παρεληλυθότων ἀνάμνησιν. πάλιν τὸ πρακτικὸν διαιρεῖται εἰς ὑγιεινὸν, θεραπευτικόν· τὸ δὲ θεραπευτικὸν εἰς διαιτητικὸν, φαρμακευτικὸν, χειρουργικόν· τὸ δὲ διαιτητικὸν εἰς γηροκομικὸν καὶ ἀναληπτικὸν καὶ προφυλακτικόν. καὶ ἁπλῶς πολλαὶ ζητήσεις περὶ τούτων. μακρὰ τοίνυν ἐστὶν ἡ τέχνη διὰ τὴν εὕρεσιν, διὰ τὴν μάθησιν, διὰ τὴν τελείωσιν τῶν μερῶν. πῶς γὰρ δύναται εἷς ἄνθρωπος καὶ εὑρεῖν πάντα καὶ μαθεῖν καὶ τελειῶσαι; καὶ μάρτυς αὐτὸς Ἱπποκράτης εἰπὼν, ὅτι τὸ τῆς ἰατρικῆς τέχνης μάθημα μέγα ἐστὶ καὶ 2) πολὺ, οὐδὲ εἰς πέρας φέρομαι ταύτης, καίπερ γηραλέος καθεστηκώς. 3) Τὸ μέντοι, καιρὸς ὀξὺς ἤτοι τῶν βοηθημάτων καὶ νοσημάτων, ἐπειδὴ παρατρέχει καὶ λανθάνει τὴν ἡμετέραν αἴσθησιν καὶ τῶν δυσχερῶν ἐστι τὸ διαγνωσθῆναι αὐτὸν, ὥστε κατὰ λόγον προσάγειν τὰ βοηθήματα. πολλάκις γὰρ 4) τις εἰσελθὼν εἰς τὸν ἄῤῥωστον, συνεῖδεν αὐτὸν λαβεῖν τόδε ἢ τόδε φάρμακον, ἐπειδὴ 5) ἔδει καὶ εἰσελθὼν μετὰ δύο ὥρας οὐκ ἠδυνήθη αὐτὸ δοῦναι. ἄλλη γὰρ ὥρα γέγονεν. ἢ οὖν διὰ τοῦτο ἢ διὰ τὸ ῥευστὸν τῆς ὕλης ὀξύς ἐστιν ὁ καιρός; ἀδύνατον γὰρ τῷ αὐτῷ σώματι δὶς ὡσαύτως ἔχοντι πριτυχεῖν. πολλάκις γὰρ δεῖται τροφῆς ὁ ἄῤῥωστος καὶ μελλόντων δοῦναι, περὶ τὴν ἐπίδοσιν εἰσέβαλεν ὁ παροξυσμὸς ἢ σύμπτωμά τι καὶ ἐκώλυσε θρέψαι. ἡ πεῖρα δὲ σφαλερὴ τουτέστιν ἡ ἀπόπειρα τῶν ὠφελούντων διὰ τὴν ἀξίαν τοῦ ὑποκειμένου ἤτοι τοῦ σώματος. οὐ γὰρ πλίνθοι καὶ πηλὸς καὶ ξύλα καὶ σκύτος καθάπερ ἄλλων τεχνῶν ἡ ὕλη τῆς ἰατρικῆς ἐστιν, ἐν οἷς ἄλυπόν ἐστι τὸ πειρᾶσθαι πολυειδῶς. ξύλον μὲν γὰρ ἢ σκύτος κακῶς 6) μεταχειριζόμενον, οὐδεὶς κίνδυνος. ἐν ἀνθρώπου δὲ σώματι πειρᾶσθαι τῶν ἀπειράτων, οὐκ ἀσφαλές ἐστιν, εἰς ὄλεθρον ὅλου τοῦ ζώου τῆς κακῆς πείρας τελευτώσης. ἄλλως τε ἡ πεῖρα σφαλερὴ διὰ τὸ τὴν κρίσιν εἶναι χαλεπήν. πάλιν δὲ ἡ κρίσις χαλεπὴ τουτέστιν ὁ λόγος διὰ τὸ δυσκατάληπτον. καὶ γὰρ μέχρι τοῦ νῦν ἀμφιβάλλουσιν οἱ φιλόσοφοι

---

1) εἰς τὴν τῶν μελλ. V. b. 2) μακρὸν. οὐδὲ γὰρ V. b. 3) ὁ μέντοι V. b. 4) ἐλθών τις πρὸς V. b. 5) Fort. γε. 6) μεταχειριζομένῳ V. b.

περὶ τοῦ οὐρανοῦ εἴτε σῶμά ἐστιν, εἴτε ἀσώματον καὶ εἴτε πεπερασμένος εἴτε ἄπειρος. οὕτως οὖν καὶ ὁ τῆς ἰατρικῆς λόγος 1) *χαλεπὸς καὶ δυσθήρατος, ὡς δηλοῖ τὸ πλῆθος τῶν κατὰ τὴν ἰατρικὴν τέχνην αἱρέσεων.*

ΣΤΕΦΑΝΟΥ. Νῦν ἐπὶ τὴν ἐξέτασιν ἥκομεν τοῦ κειμένου, συνθήκαις τισὶ πρότερον ἑαυτοὺς κατασφαλιζόμενοι, ὥστε ἐπὶ ἑκάστου τῶν ἀφορισμῶν ἢ καὶ ἐπὶ τῶν πλείστων τέσσαρά τινα ζητεῖσθαι κεφάλαια, πρῶτον τὴν σαφήνειαν τῆς λέξεως, εἴπερ ταύτης τι δεόμενος, δεύτερον τὴν διάνοιαν τοῦ ἀρχαίου, τρίτον τὸ χρήσιμον τῆς ἐννοίας, καὶ τέταρτον τὴν διάκρισιν τῶν ἀληθῶν καὶ ψευδῶν ἐξηγήσεων. ἐπὶ δὲ τοῖς συμφωνηθεῖσιν ἀρξόμεθα τῆς λέξεως. Ἰστέον οὖν ὅτι προοιμίῳ κεκόσμηται ὁ λόγος καὶ ἑνὶ καὶ δυσὶ, καὶ τὸ μὲν πρῶτον προοίμιον ἀποφαντικὸν εἶναι δοκεῖ, τὸ δὲ δεύτερον συμβουλευτικόν. ἔχει δὲ ἑκάτερον οὕτως. Τὸ μὲν πρῶτον ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς καὶ τὰ ἑξῆς, τοῦτο ἀποφαντικόν· τὸ δὲ δεύτερον ἔχει οὕτως· δεῖ δὲ οὐ μόνον ἑαυτὸν παρέχειν τὰ δέοντα ποιέοντα καὶ τὰ ἑξῆς. τοῦτο δὲ συμβουλευτικόν. ἀλλ' εἰ δοκεῖ ταῖς ὑποσχεθείσαις συνθήκαις ἀκολουθοῦντες, ἐπὶ τὴν σαφήνειαν πρῶτον τραπῶμεν τῶν λέξεων, καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου.

Ἰστέον τοιγαροῦν ὅτι τὸ τοῦ βίου ὄνομα πολλὰ σημαίνει. λέγεται γὰρ βίος ὁ τόπος ἐν ᾧ τις διατρίβει. οὕτω γὰρ Σωκράτην μὲν ἀκαδημαϊκὸν βίον μετιέναι φαμὲν, Πλάτωνα δὲ στωϊκόν· ἀλλὰ καὶ ἀμφίβια ζῶα κατὰ τοῦτο τὸ σημαινόμενον λέγομεν. λέγεται βίος καὶ τὸ ἐπιτήδευμα ὅ τις μετέρχεται. οὕτω γοῦν φαμεν, τόνδε μὲν τὸν ἄνθρωπον ἰατρικὸν βίον μετϊέναι, τόνδε δὲ γραμματικόν. λέγεται βίος καὶ ἡ ἐνθένδε τῆς ψυχῆς μετανάστασις. οὕτω γὰρ τὸ ἀποβιῶσαί φαμεν καὶ τῷ τέλει τοῦ βίου χρήσασθαι. λέγεται βίος καὶ τὸ εἶδος τῆς ζωῆς καθὸ λέγομεν τόνδε σεμνὸν καὶ κόσμιον βίον ἑλέσθαι ἢ φιλόσοφον ἢ σώφρονα. λέγεται βίος καὶ ὁ χρόνος τῆς ζωῆς καθό φαμεν τῶν ζώων τὰ μὲν μακρόβια, τὰ δὲ ὀλι-

1) *χαλ; καὶ δυσθήρ.* om. V. b. C.

γόβια. λέγεται βίος καὶ ὁ 1) .... *ἀλλ' οὐ πᾶς, ἀλλ' ἐκεῖνος ἐν ᾧ ἐπιτηδείως πρὸς μάθησιν διακείμεθα. τοσαυταχῶς οὖν τοῦ βίου λεγομένου, ἢ κατὰ τοῦ τελευταίου σημαινομένου, ἢ κατὰ τοῦ προτελευταίου ἐστὶν ὁ λόγος τῷ Ἱπποκράτει. βραχὺ δὲ εἶπε δηλονότι τὸ ὀλίγον. ἡ δὲ τέχνη μακρή. εἰ δὲ μακρή ἐστιν ἡ τέχνη καὶ σχεδὸν ἄπειρος, τριχῶς ἐστι παραστῆσαι ἐκ τῆς διαιρέσεως, ἐκ τῆς δοκιμασίας καὶ χρήσεως καὶ ἐκ τῆς τελειώσεως. καὶ ἔξεστιν* 2) *ἀνα* .... *τῆς διαιρέσεως. διαιρεῖται γοῦν ἡ ἰατρικὴ* 3) et quae sequuntur.

Ὁ καιρὸς ὀξύς. — Ταῦτα τῆς ὀξύτητος τοῦ καιροῦ τὰ συμπτώματα. διὰ ταῦτα τοίνυν καὶ οἱ γραφεῖς ὀπισθόψιλον τὸν καιρὸν γράφειν εἰώθασι, μηδὲν ἕτερον διὰ τούτου ἐνδεικνύμενοι ἢ ὅτι παρωχηκότα τοῦτον ἀδύνατόν ἐστι κατόπιν λαμβανόμενον αὖθις ὀπίσω ἀγαγεῖν. — — πεῖραν λέγει τὴν διὰ χειρῶν τριβήν. — —

Ἡ δὲ κρίσις χαλεπή. — κρίσιν λέγει τὸν λόγον, χαλεπὸν δὲ τὸ δυσκατάληπτον, καὶ ἔτι τοῦτο οὐ πρός 4) *τι ὁμολογούμενον ὅτι χαλεπὸν εἰς κατάληψιν ὁ λόγος. πᾶσαι γοῦν αἱ τῶν ἀρχαίων βίβλοι καὶ μέχρι τοῦ παρόντος διαφωνίας μεσταὶ τυγχάνουσιν. οἱ δὲ ἐμπειρικοὶ ἑτέραν ἐξήγησιν τούτου λέγουσιν ὅτι κρίσιν ὁ Ἱπποκράτης ἐνταῦθα ὀνομάζει τὴν ἐπίκρισιν* etc.

Verbis satis dilucidatis addit: *Λοιπὸν, εἰ δοκεῖ, ἐρευνήσωμεν καὶ τὴν ἔννοιαν τῶν λεγομένων. φησὶν ὁ Ἱπποκράτης ὁ βίος βραχύς. καὶ ἴσως ἀπορήσει τις πρὸς αὐτὸν ὅτι πῶς, ὦ Ἱππόκρατες, τὸν βίον τῶν ἀνθρώπων βραχὺν ἀποφαίνῃ, καὶ μὴν ὁρῶμεν ὅτι μέχρις ἑκατὸν ἢ καὶ ἑκατὸν εἴκοσιν ἐνιαυτῶν διαρκεῖ τὸ ζῶον τοῦτο; εἰ δὲ καὶ πρὸς ἕτερα ζῶα τοῦτο παραβαλὼν ἔφῃς, ὁρῶμεν*

1) Fort. *χρόνος*. 2) Fort. *ἀναμνῆσαι*. 3) Ex hac Stephani explanatione patet fusum multumque esse ipsius commentarium atque ex contractum Theophileum. Si quis velit Commentarios in Aphorismos eo Hippocratis edere omnes, hunc Stephani primum imprimendum ut curet, optaverim; deinde sequantur Theophilei, tum Damascii. Quae Commentaria quum verbis tantum discrepent, notatu digna ex hoc amplissimo excerpere satis habui, oleum et operam ne perderem, gravioribus intentus atque utilioribus codicibus. 4) Fort. *τινῶν*.

ὅτι τινὰ τῶν ζώων μέχρις εἴκοσιν ἐτῶν ζῇ, τινὰ δὲ ὀλιγοβιώτερα τυγχάνει, ἔνια δὲ τούτων ἐφήμερον ἔχει τὴν ζωὴν ὡς τὰ ἐν Ἰορδάνῃ γινόμενα, ἅ φησιν ὁ Ἀριστοτέλης ἀνίσχοντος μὲν ἡλίου ἀναβιοῦν, θνήσκειν δὲ δύνοντος. τούτων οὖν πάντων μακροβιωτέρας οὔσης τῆς τῶν ἀνθρώπων ζωῆς, πῶς σὺ βραχὺν τὸν βίον αὐτῶν ἐκάλεσας; 1) etc.

Δεῖ δὲ οὐ μοῦνον ἑωϋτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. —

ΘΕΟΦ. Οὗτος συμβουλευτικός ἐστιν ὁ ἀφορισμός· φησὶ γάρ, δεῖ τὸν ἰατρὸν μὴ μόνον ἑαυτὸν παρέχειν εἰς 2) τὰ δέοντα ποιεῖν, τουτέστι κόσμιον εἶναι καὶ πρᾶον καὶ προσηνῆ καὶ εἰσιέναι πρὸς τὸν κάμνοντα κοσμίως καὶ κατὰ λόγον τὰς ἰατρείας ποιεῖν, ἀλλὰ καὶ τὸν νοσοῦντα ἔχειν πειθήνιον καὶ τοὺς ὑπηρετοῦντας ἐπιτηδείους πρός τε τὰς 3) ἐρωτήσεις καὶ ἀποκρίσεις καὶ πρὸς τὸ μὴ ἀπαγγέλλειν τι θλιβερὸν τῷ κάμνοντι καὶ τὰ ἔξωθεν συμφωνοῦντα· ἔξωθεν δὲ ὀνομάζει τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος φύσιν καὶ τὰ κατὰ τὰς οἰκήσεις ἐνοχλοῦντα. εἰ γὰρ θέλῃ γενέσθαι ὑγεία, ταῦτα πάντα 4) θέλουσιν εἶναι σύνδρομα.

ΔΑΜΑΣΚΙΟΥ. 5) Ἢ ὡς εἰ βούλεται ὁ ἰατρὸς καὶ τὸν ἀσθενοῦντα εὐκόλως θεραπεῦσαι καὶ τὴν τῶν παρ᾽ ἐμοῦ λεγομένων ἀλήθειαν καθαμαθεῖν, μὴ μόνον αὐτὸς

---

1) Colligitur ex his nauseosis ambagibus, Hippocratem huic respondere, non quoad cetera animantia (quamquam et ea dici poterant, v. c. de elephante et cornice), sed quoad artem hominis vitam esse brevem. 2) τὸ τὰ V. b. 3) αἰτήσεις καὶ τὰς V. b. 4) ὀφείλουσιν V. b. C. 5) In codice Laurentiano, Florentino, Plut. LXXIV. cod. 13. chartaceo p. 5. brevis anonymi auctoris in aphorismos explanatio extat, ex qua Damascii commentarius videtur esse contractus. Hoc est initium: *Ἡ ζωὴ ἑνὸς ἑκάστου ὀλίγη ἐστὶ καὶ μικρά, πρὸς τὸ ἀνελλιπῶς καταμαθεῖν τὴν ἰατρικὴν τέχνην· μεγάλη γάρ ἐστι καὶ πολλὴ καὶ πολλοῦ καὶ χρόνου καὶ μελέτης καὶ πυκνασκήσεως δεομένη. ὁ δὲ καιρὸς τῶν νοσημάτων ὀξὺς καὶ φθάνει ἀποκτείνων τοὺς ἀνθρώπους πρίν τι ἀσφαλὲς ἐπινοηθῆναι τὸν ἰατρὸν περὶ τοῦ νοσήματος, ἂν μὴ καλῶς προγεγυμνασμένος καὶ προησκημένος ὑπάρχῃ τὴν τέχνην. τὸ δὲ μὴ μετὰ λόγου, ἀλλ᾽ ἀπὸ μόνης ἐμπειρίας εἶναί τινα ἰατρόν, σφαλερὸν πρᾶγμά ἐστι,*

σπουδαζέτω τὰ πρέποντα ποιεῖν ἐπ᾽ αὐτῷ, ἀλλὰ καὶ τὸν νοσοῦντα αὐτὸν διδασκέτω τὰ προσήκοντα ποιεῖν καὶ τοὺς παρόντας καὶ διακονοῦντας αὐτῷ καὶ πρὸς τούτοις καὶ τὰ ἔξωθεν. τὸν μὲν οὖν νοσοῦντα ἀναγκαζέτω μήτε θυμοῦσθαι μήτε λυπεῖσθαι μήτε τι δι᾽ ἡδονὴν φίλον τῇ νόσῳ προσφέρειν, μήτε μὴν σκεπασμάτων ἢ τοιούτου τινὸς καταφρονεῖν· τοὺς δὲ παρόντας καὶ διακονοῦντας αὐτῷ παραγγέλλειν μήτ᾽ ἐνοχλεῖν τὸν πάσχοντα, μήτε παρὰ τὸν προσήκοντα τρέφειν καιρὸν μήτε κτύπους ποιεῖν ἐπ᾽ αὐτῷ, ὕπνους διακόπτοντας, μήτ᾽ ἄλλο τι τοιοῦτον. ταῦτα γὰρ πάντα σφόδρα πέφυκε τῇ ὑγείᾳ πολέμια. ἔξωθεν δὲ λέγει τάς τε οἰκίας, ἐν αἷς ὄντες τυγχάνουσιν οἱ πάσχοντες, τὰς μὲν ψυχροτέρας τυχὸν οὔσας, τὰς δὲ θερμοτέρας, καὶ τὰς τῶν ἀέρων κράσεις. εἰ γοῦν ἅπαντα ταῦτά φησι συντηρήσεις καὶ ἀκριβῶς φυλάξεις, οὔτ᾽ ἐμὲ ψευδόμενόν τις οὐδὲν εὕρῃς καὶ τὸν ἀσθενοῦντα πάνυ θεραπεύσεις ταχέως. Ἰστέον ὅτι τὸ παρὸν προοίμιον ὁ Ἱπποκράτης εἰς δύο εἴδη λόγων ἔτεμε. μέχρι μὲν γὰρ τοῦ, ἡ δὲ κρίσις χαλεπὴ, ἀφοριστικὸς καὶ οἷον διδασκαλικὸς ὁ λόγος ἐστὶν, ἀπὸ δὲ τοῦ, δεῖ δὲ καὶ τὰ ἑξῆς συμβουλευτικὸς μέχρι τοῦ καὶ τὰ ἔξωθεν.

Ἐκ Στεφάνου.

Τὸ δὲ τὰ δέοντα ποιέοντα δεῖται ζητήσεως. χρεὼν γὰρ εἰπεῖν τί δεῖ τὸν ἰατρὸν μεταστελλόμενον διαπράττεσθαι. ταῦτα τοίνυν, ὡς ἐν ἕκτῃ λέγεται ἐπιδημίᾳ, πολλά εἰσι καὶ διάφορα. πρῶτον μὲν γὰρ δεῖ αὐτὸν ἄνθρωπον ἀνεπίληπτον καὶ αἰδέσιμον εἶναι, τοὺς δὲ ὄνυχας μὴ ἄγαν ηὐξημένους ἔχειν, ἐκτὸς μέντοι τῶν χειρουργῶν. οὗτοι γὰρ χρείας αὐτῶν ἔχουσιν ἐν ταῖς χειρουργίαις κεχρημένοι τούτοις δίκην σαρκολάβων. — — ἐπὶ δὲ τοῦ διαιτητικοῦ οὐ δέον ἐστὶν ηὐξημένους εἶναι τοὺς ὄνυχας, πρῶτον μὲν ὅτι ῥύπος αὐτοῖς ἐγγίνεται, ὅπερ βδελυκτόν ἐστι. — — — κατὰ δὲ τὴν ἐσθῆτα οὐ δεῖ αὐτὸν ῥυπαροφόρον εἶναι, ἀλλ᾽ οὐδὲ μὴν ἐστιβασμένον, ὥστε σηρικά τινα ἀμφιέννυσθαι. — — καὶ μὴ θρασύν τινα καὶ αὐθάδη καὶ περίεργον εἶναι· τοῦτο

τὸ δὲ μετὰ λόγου κρίνειν καὶ ἐπιστήμης τὴν τῶν νοσημάτων ἀκρίβειαν, δύσκολόν ἐστι καὶ ὀλίγοις κατορθούμενον. εἰ βούλεται etc.

γὰρ σοβαρότητός ἐστι, μήτε οὖν κατηφῆ τε καὶ σκυθρωπὸν, τοῦτο γὰρ δειλίας ἐστί. — — Ταῦτα γὰρ πάντα δεῖ ἀσκεῖν τὸν ἰατρὸν μᾶλλον μὲν ὡς ἄνθρωπον, ἧττον δὲ ὡς 1) ἰατρόν. — —

Δεῖ αὐτὸν ἐπίστασθαι, ὁπηνίκα δεῖ ἀνθηρῶς εἰσιέναι μετὰ φωνῆς καὶ φθέγματος τρανοτέρου, ὁπηνίκα δὲ μεθ' ἡσυχίας, ἠρέμα καὶ πραέως, καὶ αὐτῷ δὲ τῷ βήματι τοιῶσδε ἢ τοιῶσδε χρώμενος, ὅπερ πρὸς τὴν τῶν νοσημάτων ποιότητα 2) μεθαρμόζεται. —

Δεῖ δὲ αὐτὸν καὶ ἀπεριέργως ποιεῖσθαι τὰς περιόδους. οὐ γὰρ εἰκὸς πρὸς τὸν ἄῤῥωστον ἀνερχόμενον ἀποφαίνεσθαι, τοῦτο τὸ σκεῦος τί ποιεῖ, οὐδὲ, μετάθες αὐτὸ ἐκεῖ, — — ἀλλὰ δεῖ σπεύδειν αὐτὸν περὶ τὴν διάγνωσιν καὶ τὴν θεραπείαν τοῦ νοσήματος. ἀλλὰ μὴν οὐδὲ 3) πολλὰ αὐτὸν εἰσιέναι προσῆκεν, ἵνα μὴ δόξῃ προσκορής· — — δεῖ δέ σε καὶ τυραννικὸν εἶναι πρὸς τὰ νοσήματα καὶ μὴ προσώποις μηδὲ 4) ἀξίᾳ καθυπείκειν τὴν τέχνην. — δεῖ δὲ πρὸς τούτοις καὶ τῶν αἰτίων πάντων ἀνιχνεύειν τὰς ἐφόδους καὶ τὴν φύσιν, καὶ μάλιστα τῶν προκαταρκτικῶν. — — τοῦτο γάρ ἐστι τὸ, τὰ δέοντα ποιέοντα. ἔστι δὲ ἃ καὶ τὸν νοσέοντα χρὴ συνεισάγειν — — — πειθήνιον εἶναι — — οὕτως γάρ φησιν ὁ ἰατρὸς ἐν ἐπιδημίαις, ὅτι ἡ τέχνη διὰ τρία ἐστίν· ἔστι γὰρ ὁ ἰατρὸς, ἡ νόσος καὶ τὰ αἴτια. — — — παρόντας — — ὑπηρετοῦντας τῷ ἀῤῥώστῳ καὶ τοὺς ὁπωσοῦν ἄλλως ἢ διὰ φιλίαν ἢ διὰ συγγένειαν προσεδρεύοντας αὐτῷ ἐν τῇ νόσῳ. — — τεσσάρων γὰρ ὄντων τῶν θεραπευτικῶν σκοπῶν, τοῦ τε ἀπὸ τοῦ ποσοῦ καὶ τοῦ ἀπὸ τοῦ ποιοῦ καὶ τοῦ καιροῦ καὶ τοῦ τρόπου τῆς χρήσεως, οἱ μὲν τρεῖς μάλιστα ὑπὸ τοῦ ἰατροῦ τυποῦνται,

---

1) Nam communes sunt omnium hominum virtutes. 2) In febribus ardentibus et acutis morbis lente incedat; in lethargia, cataphora cum strepitu. *ἐν γοῦν τῇ μεγάλῃ θεραπευτικῇ ὁ Γαληνὸς ὑπέθετο εὑρεθῆναί τινα καθεύδοντα αὐτῷ*, qui edere nolebat ob somnum profundum, sed intrans cum strepitu expergefactus sumpsit cibum. 3) Saepius visitet aegrotos ex acutis morbis decumbentes, rarius eos, qui diuturnis ex morbis laborant. 4) etsi reges sive magistratus fuerint.

ὁ δὲ τρόπος τῆς χρήσεως ἐπίκοινός πως ἐστὶ καὶ ἐν τῷ ἰατρῷ καὶ ἐν τοῖς 1) *ἐξυπηρετοῦσι.* — —

β'. Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι 2) *τοῖσιν αὐτομάτως γιγνομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι* 3) *καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· ἢν δὲ μὴ, τοὐναντίον.* —

ΘΕΟΦ. 4) *Περὶ κενώσεως φυσικῆς καὶ τεχνικῆς διαλαβεῖν προθέμενος ἠναγκάσθη ὑπὸ τῆς ἀκολουθίας τοῦ λόγου τῆς γαστρὸς μνημονεῦσαι. ἄλλως τε ἀπὸ γαστρὸς νῦν ἤρξατο, τουτέστιν ἀπὸ τῆς σιτοδόχου κοιλίας, ὅτι καὶ πρῶτον ἡ τῆς τροφῆς πέψις ἐν τούτῳ τῷ μορίῳ γίνεται.* 5) *διαφέρει δὲ κάθαρσις κενώσεως, ὅτι ἡ μὲν τῆς κατὰ ποιότητα* 6) *βλάβης ἀπαλλαγὴ, κάθαρσις ὀνομάζεται, κένωσις δὲ ἡ* 7) *τῆς κατὰ ποσότητα. ἐνταῦθα οὖν περὶ τῆς κατὰ ποιότητα καὶ φυσικῆς κενώσεως ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει. τὸ γὰρ* οἷα *ποιότητός ἐστι σημαντικόν. ἀλλὰ καὶ τὸ καθαίρεσθαι ἐπὶ τῆς κατὰ ποιότητα εἴρηται κενώσεως. πάλιν τὸ αὐτομάτως ἐπὶ τῆς φυσικῆς εἴρηται κενώσεως, οὐ μέντοι ἐπὶ τῆς τεχνικῆς. ἐὰν οὖν ἐπὶ ταῖς ταραχαῖς τῆς κοιλίας* 8) *ἤτοι ταῖς δι' αὐτῆς γινομέναις*

---

1) Confabulentur cum aegroto de rebus ei jucundis, non de jactura pecuniae amicorumve, *μήδ' ἀκαταθύμιον καὶ ἀνάρμοστον ἔντευξιν ἐπ' αὐτῷ ποιῶνται* i. e. admoveant ei dulces amicos. *ἔξωθεν] τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος φύσιν.* v. c. si quis medicus crisin per sudorem divinarit, neque septimo die sudor prorumpat, *εἴπερ μήτε ἐξ αὐτοῦ τι προημελήθη περὶ τὴν σημείωσιν, μήτε ἐκ τοῦ νοσοῦντος ἡμάρτηταί τι, ἢ ἐκ τῶν παρόντων, ἐπὶ τὰ ἔξωθεν ἀναδραμεῖν,* nisi forte aeris mutatio frigidioris impedimento fuerit *καὶ σύμπτυξις τῶν πόρων*, vel si quis perterritus fulgure derepente clamaverit et metum injecerit aegroto, *συννεύσασα ἡ φύσις οὐκ ἴσχυσεν ἐφαπλῶσαι ἑαυτὴν* et secernere humores nocentes. *ἔστι δ' ὅτε καὶ ῥαγδαίας βροχῆς γενομένης, τοῦτο συμβέβηκεν. οὐ δεῖ δὲ ἀποφαυλίζειν τὰ τοιαῦτα.* Sub finem scholii multus est Stephanus in admirando Hippocrate, qui tantas sententias tam breviter dixerit. 2) Om. D. 3) *κενοῦται* A. a. glossema. 4) Cod. V. c. ex hoc demum aphorismo exordium sumit. 5) *τί διαφέρει κάθαρσις κενώσεως.* add. V. c. 6) *τῶν χυμῶν* addit V. c. 7) *ἐπὶ τῆς κατὰ* V. b. 8) *καὶ ταῖς δι' αὐταῖς* V. b.

ἐκκρίσεσι καὶ τοῖς αὐτομάτως γινομένοις ἐμέτοις, οἷα χρὴ καθαίρεσθαι, καθαίρωνται, τουτέστι τὰ λυποῦντα κατὰ ποιότητα, συμφέρει· εὐφοροῦσι γὰρ οἱ κάμνοντες, ἐλευθερούμενοι τῆς κακοχυμίας. εἰ μέντοι ἄλλων τινῶν χυμῶν κάθαρσις γένηται καὶ μὴ τῶν λυπούντων, τοὐναντίον. οὔτε 1) γὰρ συμφέρει, ἀλλὰ καὶ μᾶλλον δυσφοροῦσιν οἱ κάμνοντες. πρὸς δὲ τοὺς λέγοντας ὅτι διὰ τί τὴν φυσικὴν κάθαρσιν προέταξε τῆς τεχνικῆς, φαμὲν, ὅτι ἡ τέχνη τὴν φύσιν μιμεῖται, ἀλλ' οὐχ ἡ φύσις τὴν τέχνην.

Οὕτω δὲ καὶ ἡ κενεαγγηΐη, ἢν μὲν οἵη δεῖ γίνεσθαι, γίνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· ἢν δὲ μὴ, τοὐναντίον. —

ΘΕΟΦ. Περὶ τῆς φυσικῆς 2) κενώσεως πρότερον διέλαβε, νῦν καὶ περὶ τῆς τεχνικῆς διαλαμβάνει. 3) [ὁ γὰρ Ἱπποκράτης ἅπασαν κένωσιν ὀνομάζει κεναγγείαν ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ κενὰ τὰ ἀγγεῖα συμβαίνει γίνεσθαι κατὰ πάσας τὰς κενώσεις.] Καί φησιν, οὕτω καὶ κενεαγγείη, 4) τουτέστι κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ τεχνικὴ κένωσις τῇ φυσικῇ. 5) κενεαγγεία μὲν οὖν ἐστιν ἡ κένωσις τῶν ἀγγείων τῶν περιεχόντων τοὺς χυμούς. ταῦτά εἰσι δὲ τά τε ἀρτηριώδη καὶ φλεβώδη ἀγγεῖα. ἐὰν οὖν ἐπὶ τῆς τεχνικῆς κενώσεως, καθάπερ καὶ ἐπὶ τῆς φυσικῆς 6) εἴρητο, οἷα δεῖ γίγνεσθαι, γίγνωνται τουτέστιν οἷα δεῖ κενοῦσθαι, κενοῦνται, ξυμφέρει τῷ παντὶ σώματι. εὐφοροῦσι γὰρ οἱ νοσηλευόμενοι. ἢν δὲ μὴ, τοὐναντίον, οἷον εἰ χολώδης ὑπόκειται ὕλη 7) πλεονεκτοῦσα, κενωθῇ δὲ προνοίᾳ τοῦ ἰατροῦ, 8) συμφέρει καὶ εὐφόρως ὁ κά-

---

1) *γὰρ* om. V. b. c. 2) *διαλαβών.* V. b. c. *πρότερον διέλαβε* om. V. b. c. 3) *ὁ — κενώσεις* om. V. b. c. C. In cod. V. a in margine leguntur. 4) *ἤγουν* V. c. 5) *ἀπὸ τῶν ἐν αὐτοῖς πλεοναζόντων χυμῶν ἐὰν κατὰ λόγον γένηται ἡ κένωσις καὶ κενωθῶσιν οἷα δεῖ κενοῦσθαι, ξυμφέρει· ἐὰν δὲ ὑπόκειται χολῶδες περίττωμα καὶ πλεονεκτεῖ τὸ νοσηλευόμενον* addit V. c. 6) *εἴρηται* V. b. 7) In hoc verbum jam desinit scholion quartum in V. b. et C. 8) *ἰατροῦ φλέγμα, οὐ συμφέρει, ἀλλὰ καὶ μᾶλλον ὁ κάμνων δυσφορεῖ.* Haec addit V. c. scholionque ita finit.

μνων φέρει. εἰ δὲ χολῆς πλεοναζούσης κενωθῇ φλέγμα προνοίᾳ τοῦ ἰατροῦ, τοὐναντίον οὔτε συμφέρει, ἀλλὰ καὶ μᾶλλον ὁ κάμνων δυσφορεῖ. ὅτι δὲ περὶ τῆς τεχνικῆς κενώσεως τῷ Ἱπποκράτει ὁ λόγος νῦν, δῆλον ἐκ τοῦ εἰπεῖν, οἷα δεῖ γίγνεσθαι, γίγνωνται.

Ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ οὔ. —

ΘΕΟΦ. 1) Εἰ γὰρ ταῦτα πάντα διορίσοιτό τις, βεβαιότερον ἐπὶ τὴν τοῦ χυμοῦ κένωσιν ἀφίξοιτο τοῦ λυποῦντος οἷον εἰ οὕτως ἔτυχεν ἐν τῷ σώματι ξανθῆς χολῆς πλεονεκτούσης γνωρίσματα, συνεπιβλέβειν αὐτῇ δεήσει καὶ εἰ ἡ ὥρα θερινὴ καὶ ὁ κάμνων ἀκμάζων καὶ εἰ τὸ χωρίον θερμόν. 2) οὕτω δὲ καὶ ἐπὶ τοῦ φλέγματος, εἰ χειμὼν εἴη καὶ τὸ χωρίον ψυχρὸν, 3) εἰ πρεσβύτης ὁ ἄνθρωπος, ἀλλὰ καὶ πρὸς τούτοις αὐτὸ τῆς νόσου τὸ εἶδος, οἷον ὅτι τριταῖος ὑπὸ χολῆς ξανθῆς ἐπικρατούσης γίνεται, τεταρταῖος

---

1) E Stephano: Ὅπερ ἐν τῷ περὶ διαίτης ὀξέων πεποίηκε καὶ ἐν τῷ περὶ ἀγμῶν καὶ ἄρθρων, τούτῳ καὶ νῦν τῷ τρόπῳ παρηκολούθησεν. ὡς γὰρ ἐν τῷ περὶ διαίτης ὀξέων βουλόμενος δεῖξαι ὅτι ἡ ἐναλλαγὴ τοῦ ἔθους βλάβην ἐν τῷ σώματι δύναται ποιεῖν, ἔλεγεν, ὅτι οἱ εἰθισμένοι δὶς σιτεύεσθαι ἅπαξ τρεφόμενοι etc. — — σπανιάκις ἱππασίᾳ χρώμενον ἢ τοξείᾳ ἢ δρόμῳ ἢ σειρομάστῃ etc. — — Ἰστέον ὅτι οἱ παλαιοὶ γυμναστικὰ σώματα ἐκάλουν τὰ τὸν πένταθλον ἀγῶνα ἀγωνιζόμενα πάλην, πυγμὴν, παγκράτιον, δρόμον καὶ δίσκου βολήν. — — οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ οὐδ' ἀτρεμέειν] Ἀσαφὲς εἶναι δοκεῖ τὸ παρὸν χωρίον, ὅθεν καὶ διαφόρως αὐτὸ οἱ παλαιότεροι τῶν ἐξηγητῶν ἐξηγήσαντο. οἱ μὲν γάρ φασιν, ὅτι διὰ τοῦτο αἱ εἰς ἄκρον εὐεξίαι σφαλεραὶ ἐπὶ τῶν γυμναστικῶν, διότι τῷ πλήθει τοῦ αἵματος βαρυνόμεναι αἱ δυνάμεις ἠρεμεῖν ἀναγκάζονται, ὅπερ ἄτοπον. — τὴν ἡσυχίαν τῶν δυνάμεων διαβάλλει ὁ Ἱπποκράτης. — ἡσυχία καὶ ἀνενεργεσία. — οὕτως γοῦν ἐν ἄλλοις ὁ Ἱπποκράτης· κίνησις μετεξετέρη κρατύνει, ἀργίη δὲ τήκει. — ὁ δὲ Γαληνὸς ἑτέρως ἐξηγεῖται τὸ χωρίον ὅστις καὶ μᾶλλον ἐπαληθεύει τῷ λόγῳ. φησὶ γὰρ ὅτι περὶ τῶν ἐν ἡμῖν δυνάμεων τοῦθ' Ἱπποκράτης εἴρηκε καὶ μάλιστα τῶν φυσικῶν. — — ὡς κἀπὶ τῶν ἔξωθεν ἔχει κλιμάκων, ἀνελθὼν γάρ τις ἕως τῆς ἐσχάτης βαθμίδος καὶ πρόσω σπεύδων ἀνελθεῖν, ἐπεὶ μὴ βαθμὶς ἄλλη πρόκειται, κάτω χωρεῖν ἀναγκάζεται. Ita etiam e summa sanitate descendamus est necesse. 2) καὶ εἰ χολῆς ξανθῆς πλεονεκτήματα ἔχει ὁ ἀῤῥωστῶν add. V. c. 3) καὶ ὁ κάμνων γηραιὸς V. b. C.

δὲ ὑπὸ μελαίνης, ἀμφημερινὸς δὲ ὑπὸ φλέγματος. ἐὰν οὖν ταῦτα 1) *πρεπόντως περισκέψοιτό τις, ἀκριβῶς πρὸς τὴν κένωσιν ἀφίξοιτο. τὸ δὲ ἐν ᾗσι δεῖ ἢ οὔ τοιοῦτόν ἐστιν, ἐν αἷς προσήκει ἢ μὴ προσήκει τοιοῦδε ἢ τοιοῦδε χυμοῦ ποιεῖσθαι τὴν κένωσιν.* 2) *Ιστέον δὲ ὅτι Ἱπποκράτης κατὰ παλαιὸν ἔθος τὴν νόσον ἐνταῦθα κατὰ πάντων λέγει τουτέστι αἰτίων, συμπτωμάτων καὶ νόσων.*

ΔΑΜ. 3)*Ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὅταν ταραχὴ καὶ κίνησις γένηται ἢ τῆς γαστρὸς ἢ δι' ἐμέτου αὐτόματος τουτέστιν ὑπὸ τῆς φύσεως κινηθεῖσα καὶ μὴ ὑπὸ ἰατρικῆς τινος τέχνης, εἰ μὲν γένηται ἡ κένωσις, οἷα δεῖ καὶ πρέπει, ἢ ὡς εἰ ἐκεῖνος δηλονότι ὁ χυμὸς κενωθῇ, ὃς ἔτυχε πλεονάζων ἐν τῷ κενοῦντι σώματι, ἤως εἰ ὁ ὑπὸ θέρμης καὶ ξηρότητος πάσχων ξανθὴν κενώσει χολὴν, καὶ ὁ ὑπὸ ψυχρότητος φλέγμα, καὶ ὁμοίως ἐπὶ τοῖς ἄλλοις ἡ κένωσις ἀκόλουθος γίνοιτο, ὠφελεῖ τε καὶ εὐκόλως τὴν κένω-*

---

1) *ἁρμοζόντως* V. c. 2) Quae sequntur, om. V. c. 3) Stephanus explicat, cur a ventriculo inceperit sermonem. Nam in eo prima coctio fit, eiusque affectiones frequentissimae. *οὕτω γοῦν ἀκουστέον τῶν ἀνθρώπων ὁσημέραι λεγόντων, ἠπέπτησα, ἐμπεπνευμάτωμαι, κλυδωνισμοί μοι ἐγένοντο ἢ βορβορυγμοὶ ἢ στρόφοι.* Alia etiam causa haec est: Ventriculus nervis cerebro affectiones suas communicat, cordi *διὰ τὴν γειτνίασιν, — ἔνθεν στομάχου πάσχοντος, αἱ καλούμεναι καρδιακαὶ γίνονται συγκοπαί τε καὶ λειποψυχίαι* — et hepati, in quo secunda coctio fit i. e. sanguis paratur. — *χολαγωγὰ τοίνυν ἐστὶ καθαρτήρια τό τε τῆς ἀσκαμωνίας δάκρυον καὶ τὸ ἀψίνθιον καὶ ἡ ἀλόη* etc. *φλεγμαγωγὰ δὲ ἀγαρικὸν, κολοκυνθὶς καὶ ἐφόρβιον καὶ λευκὸς ἐλλέβορος, μελαγχολικὸν δὲ κενοῖ λίθος ἀρμένιος, ἐπίθυμον, χαμαίδρυον, μέλας ἐλλέβορος, — — ὑδραγωγὰ καὶ πνευμάτων καταῤῥηκτικὰ, οἷον πέπλιον, ὑδραγωγὸς λίθος, λαθυρὶς, κνίδιος κόκκος, ἡ λεπὶς τοῦ κεκαυμένου χαλκοῦ, καὶ ἐλατήριον.* Materiam latentem vero cognoscimus primo morbo v. c. tritaeus, causus, icterus a bile, coma, lethargus a pituita, quartana et melancholia ab humore melancholico, ascites ab aqua; secundo symptomatis v. c. *δίψα ἀφόρητος, ἀγρυπνία πολλὴ, ζέσεως αἴσθησις καὶ βρασμὸς* etc. indicant bilem; tertio *ἀπὸ τῶν στοιχείων. ταραχὴν] μὲν γαστρὸς ἐννοῆσαι οὐ μόνον τὴν εἰς αὐτὴν συνδρομὴν τῶν χυμῶν, ἀλλὰ καὶ τὴν δι' αὐτῆς ἔκκρισιν. τὰς γὰρ τοιαύτας κενώσεις, ταραχὰς εἰώθαμεν ὀνομάζειν. αὐτόματον] — τὴν ὑπὸ τῆς φύσεως γινομένην πρὸς ἀντιδιαστολὴν τῆς τεχνικῆς.*

σιν ὑπομένουσιν οἱ κενοῦντες. εἰ δὲ γένηται τοὐναντίον καὶ ὁ μὲν ὑπὸ ξηρότητος πάσχων καὶ θέρμης φλέγμα κενώσῃ τυχὸν, ὁ δ᾽ αὖ ὑπὸ ψυχρότητος ἐνοχλούμενος ξανθὴν κένωσῃ χολὴν καὶ ἐπὶ τοῖς ἄλλοις ὁμοίως μὴ ἀκόλουθος τοῖς νοσήμασιν ἡ κένωσις γίνοιτο, οὔτε ὠφελεῖ καὶ δυσκόλως ὑπομένουσιν οἱ κενοῦντες. καὶ ταῦτα μὲν περὶ τῆς φυσικῆς κενώσεως. ἔπειτά φησιν, ὅτι κατὰ τὸν αὐτὸν τρόπον γίνεται καὶ ἡ κενεαγγείη ἤως ἡ κένωσις τῶν ἀγγείων τουτέστιν ἡ ὑπὸ ἰατρικῆς τέχνης καὶ μὴ φυσικὴ κένωσις. τὸ μὲν γὰρ ἥμισυ τοῦ παρόντος ἀφορισμου περὶ τῆς φυσικῆς ἡμᾶς ἐδίδαξε καθάρσεως, τὸ δ᾽ αὖ ἕτερον ἥμισυ περὶ τῆς τεχνικῆς διαλέγεται. διὰ τοῦτο ἐκεῖ μὲν καθαίρεσθαι καὶ καθαίρωνται εἶπεν, ἐν τούτῳ δὲ, γίγνεσθαι καὶ γίγνοιτο, δηλῶν ὅτι περὶ πράξεως καὶ ἐνεργείας ἰατρικῆς διδάσκει· ὥσπερ γοῦν φησιν ἐν τῇ φυσικῇ κενώσει, εἰ μὲν τὰ πρέποντα καθάρῃ ἡ φύσις καὶ τὰ πλεονάζοντα καὶ ἐνοχλοῦντα, ὠφελεῖ· εἰ δὲ μὴ, τοὐναντίον, οὕτω καὶ ἐπὶ τῆς ἰατρικῆς καθάρσεως, εἰ τὰ ἐνοχλοῦντα τῷ σώματι καθάρῃ ὁ ἰατρὸς, συμφέρει· εἰ δὲ μὴ, τὰ βλάπτοντα οὔτε ὠφελεῖ, ἀλλὰ καὶ βλάβην ποιεῖ. κενεαγγίαν δὲ τὴν κένωσιν ὠνόμασεν ἀπὸ τοῦ συμβαίνοντος· συμβαίνει γὰρ κενουμένων τῶν χυμῶν, τὰ ἐν οἷς ἦσαν ἀγγεῖα κενὰ γίνεσθαι, ἔπειτά φησιν συμβουλευτικῷ σχήματι, ὅτι πρέπει τὸν ἰατρὸν ἐπιτηρεῖν καὶ ἐπισκέπτεσθαι καὶ τὸν καιρὸν, καθ᾽ ὃν ἐργάζεσθαι μέλλει τὴν κάθαρσιν, ἐὰν μὲν ξανθὴν μέλλῃ καθαίρειν χολὴν, εἶναι καὶ τὸν καιρὸν θερινὸν, καὶ πρὸς τῷ καιρῷ καὶ τὸν τόπον, καὶ τὴν ἡλικίαν ἐπισκέπτεσθαι τοῦ καθαιρομένου· δεῖ γὰρ ἐπὶ τοῦ τὴν ξανθὴν κενοῦντος χολὴν καὶ τὸν καιρὸν θερινὸν εἶναι καὶ τὸν τόπον θερμὸν καὶ τὴν ἡλικίαν ἀκμάζουσαν καὶ νέαν· ἐπὶ δὲ τοῦ φλέγμα κενοῦντος τό τε χωρίον εἶναι ψυχρὸν καὶ τἄλλα ἀκόλουθα. καὶ πρὸς τούτοις φησὶν, ὁρᾷν δεῖ καὶ τὰς νόσους, οἵα κάθαρσις ἑκάστῃ προσήκει, καὶ εἰ τριταῖος μὲν ὁ πάσχων, ξανθὴν καθαίρειν χολὴν, εἰ δὲ τεταρταῖος, μέλαιναν, εἰ δὲ ἀμφημερινὸς, φλέγμα. καὶ ἔτι ὁ ὑπὸ τοῦ καρκίνου μὲν πάσχων πάθους, μέλαιναν· ὃν δὴ πάλιν ἐρυσίπελας ἐνοχλεῖ, τοῦτον ξανθὴν κενοῦν παρασκευάζειν χολὴν καὶ ἐπὶ τοῖς ἑξῆς ἀκολούθως νοσήμασι.

τοῦτο γὰρ βούλεται τῷ Ἱπποκράτει τὸ, κατὰ νούσους ἐν ᾗσι δεῖ ἢ οὐ προσθεῖναι.

γ΄. Ἐν τοῖσι γυμναστικοῖσι αἱ ἐπ᾽ ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσι· οὐ γὰρ δύνανται μένειν ἐν τωὐτέῳ, οὐδὲ ἀτρεμέειν. ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, 1) *οὐδέ τι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος* 2) *λάβῃ τὸ σῶμα.* —

ΘΕΟΦ. Περὶ τῆς κατὰ ποιότητα κενώσεως διαλεχθεὶς Ἱπποκράτης νῦν καὶ περὶ τῆς κατὰ ποσότητα διαλέγεται καί φησιν ἐν τοῖσι γυμναστικοῖσι καὶ τὰ ἑξῆς. 3) *γυμναστὰς καλεῖ τοὺς ἀθλητὰς, εὐεξίαν δὲ τὴν πολυσαρκίαν, ἄκρον δὲ τὸ ἔσχατον. ἐν μὲν οὖν τοῖς γυμναστικοῖς αὕτη ἡ εἰς ἄκρον εὐεξία* 4) *χαλεπή ἐστι, διότι δυνάμεις οὐκ ἠρεμοῦσιν αἱ φυσικαὶ, ὡς αὐτός φησιν Ἱπποκράτης· ἡ γὰρ στάσις αὐτῶν θάνατος. ἐπεὶ οὖν οὐκ ἠρεμοῦσιν, ἀνάγκη γίνεται χυλοποίησις, ἐξαιμάτωσις, ἀνάδοσις. ποῦ δὲ ἔχει γενέσθαι, πρόσθεσις οὐκ ἔστι· ὅπου δὲ οὐ πρόσθεσις, οὐδὲ πρόσφυσις· ὅπου δὲ οὐ πρόσφυσις, οὐδὲ* 5) *ἐξομοίωσις. τί οὖν ὑπολείπεται; ἐπὶ τὸ χεῖρον αὐτὰς ἐπιδιδόναι τῇ πλεονεξίᾳ τοῦ αἵματος καταβλαπτομένας. τούτων οὖν ἕνεκεν τὴν εὐεξίαν* 6) *λύειν χρὴ διὰ φλεβοτομίας, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λαμβάνῃ τὸ σῶμα, μὴ βραδέως δὲ,* 7) *διὰ τὸ μὴ καταλυθῆναι τὰς δυνάμεις* 8) *τῇ πλεονεξίᾳ τοῦ αἵματος καταβλαπτομένας ἢ διὰ τὸ μὴ ἔσεσθαι τὰ ἐπὶ τῇ πλεονεξίᾳ τοῦ αἵματος γινόμενα πάθη, οἷον πλευρῖτιν, συνάγχην* 9) *ἤ τι τῶν τοιούτων. ἐπὶ τῶν γυμναστικῶν δὲ κακίζει τὴν πολυσαρκίαν διὰ τὸ* 10) *σφριγᾶν ἐν αὐτῇ τὰς δυνάμεις.*

---

1) *οὐκέτι* V. a. c. 2) *λαμβάνῃ* V. a. c. D. 3) Hic demum incipit scholion in V. b. C. 4) *τοῖς τοιούτοις σφαλερὴ* V. c. 5) Superscr. *ἐξαιμάτωσις* V. c. 6) *λύειν* om. V. a. 7) *ἀλλὰ πρὶν* V. c. 8) *ἢ καὶ διὰ τὸ προσγίνεσθαι ἐπὶ πλεονασμῷ τοῦ αἵματος πάθη* etc. V. c. *τῇ πλεον.* — *καταβλαπ.* om. V. b. C. 9) *καὶ εἴ τι ὅμοιον* V. c. ibique finis scholii. 10) *σφρίγειν* V. a.

Μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν· σφαλερὸν γάρ· ἀλλὰ ὁκοίη ἂν ἡ φύσις ἔη τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί. —

ΘΕΟΦ. Ἐνταῦθα περὶ μέτρου τῆς κατὰ ποσότητα κενώσεως διαλέγεται καί φησι, μὴ εἰς ἔσχατον ἄγειν τὴν κατὰ ποσότητα κένωσιν. 1) *ὥσπερ γὰρ ἡ ἄμετρος εὐεξία οἶδε καταλύειν τὴν δύναμιν τῷ βαρύνειν καὶ καταπνίγειν αὐτὴν, οὕτω καὶ ἡ ἄμετρος κένωσις τῷ διαλύειν* 2) *καὶ διαφθείρειν. αὕτη δὲ ἡ κατὰ ποσότητα κένωσις ὁρισμὸν ἐχέτω ἐκ τῆς τοῦ κάμνοντος δυνάμεως, καὶ μὴν καὶ ἐκ τῶν λοιπῶν* 3) *συστοίχων, οἷον ὥρας καὶ χώρας καὶ ἡλικίας καὶ τῶν λοιπῶν.* 4) *ἀπὸ δὲ τῆς συμπτώσεως τῶν ἀγγείων ἐδήλωσε τὴν κένωσιν. καὶ γὰρ* 5) *κενούμενον τὸ περιεχόμενον ἐν ἀγγείοις καὶ ἐξογκοῦν αὐτὰ, τὸ τῆς συμπτώσεως ἕπεται πάθος.*

Καὶ πάλιν 6) *αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι,* 7) *σφαλεραί.* —

ΘΕΟΦ. 8) *Οὗτος ἀνεξήγητος παρά τινων* 9) *σοφῶν παραλέλειπται ὁ ἀφορισμὸς διὰ τὸ δοκεῖσθαι αὐτὸν ταυτολογίαν εἶναι. οὐκ ἔστι δὲ οὕτως. ἀλλ᾽ ἐπειδὴ ὁ Ἱπποκράτης περὶ ποσοῦ ὕλης διαλεγόμενος παραδείγματι ἐχρήσατο τῇ εὐεξίᾳ καὶ ταύτην ἔλυσεν ἤγουν ἐθεράπευσε διὰ φλεβοτομίας, νῦν μετὰ τὸ παράδειγμα ἑαυτὸν ἀνάγει ἐπὶ τὰ καθόλου λέγων, ὅτι οὐκ ἐπὶ εὐεξίας μόνον* 10) *λέγεται τοῦτο, ἀλλ᾽ ὁτεδήποτε εἰ παραλάβῃς κένωσιν, μὴ εἰς τὸ ἔσχατον*

---

1) *ὥσπερ — αὕτη δὲ* om. V. c. 2) *διαφορεῖν καὶ διαφθείρειν* V. b. 3) *στοιχείων* V. b. 4) *ὡσαύτως ἐδήλωσε καὶ ἀπὸ τῆς ἄκρας κενώσεως τὸ τῆς συμπτώσεως ἕπεσθαι πάθος τῷ σώματι.* V. c. ita scholion absolvit. 5) *κενουμένου τοῦ περιεχομένου — ἐξογκοῦντος* V. b. C. 6) *ἀναλήψιες* V. a. D. 7) *χαλεπαί.* V. a. 8) *Ἱπποκράτης εἰπὼν περὶ τῆς ἄκρας εὐεξίας καταλύειν τὴν δύναμιν καὶ σφαλερᾶς τῆς ἐς τὸ ἔσχατον ξυμπτώσεως, ὁμοίως καὶ τῆς ἀμέτρου καὶ ἀτέχνου κενώσεως διαλέγεται καὶ περὶ τῆς ἀναθρέψεως, μηδὲ αὐτὴν ἀθρόαν προσφέρειν· πᾶν γὰρ τὸ ἄμετρον σφαλερόν.* Totum hoc est scholion in codice V. c. 9) *φιλοσόφων* V. b. 10) *λέγω* V. b.

αὐτὴν ποιήσῃς μήτε μὴν τὴν ἀνάθρεψιν, ἐπεὶ οὐδὲν ἄμετρον ἐπαινετόν.

ΔΑΜ. Βουλόμενος ὁ Ἱπποκράτης ἐνδείξασθαι καθ' ὅλον τὸν λόγον, ὅτι οὔτε κένωσιν ὑπερβολικὴν ἐν τῷ σώματι ἐργάζεσθαι δεῖ, οὔτε πλήρωσιν, τοὺς γυμναστὰς ὥσπερ παράδειγμα τίθησιν, οἱονεὶ λέγων, εἰ εἰς τοὺς ἀγωνιστὰς καὶ κοπιῶντας οὐ συμφέρει ἡ πολυσαρκία, πολλῷ μᾶλλον τοὺς ἡσυχάζοντας. φησὶ γοῦν ὅτι σφαλεραὶ καὶ ἐπικίνδυνοί εἰσιν ἐν τοῖς ἀγωνιζομένοις αἱ εἰς ἄκρον εὐεξίαι ἤως αἱ ὑπερβολικαὶ εὐσαρκίαι, ἐὰν ὑπάρχωσιν ἐν τῷ ἐσχάτῳ· ἤως ἐὰν καὶ μέχρι τέλους ὑπάρχωσιν ἐν τῇ αὐτῇ εὐσαρκίᾳ καὶ μὴ γένηται κένωσις τοῦ πλεονάζοντος. ἔπειτα ἐπιφέρει καὶ τὴν αἰτίαν, δι' ἣν σφαλεραί εἰσιν αἱ πολυσαρκίαι, εἰπών, οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν ἤως ἐπειδὴ ἡ φύσις οὐδέποτε παύει, ἀλλὰ εἴποτε τήν τε πέψιν καὶ τὴν ἀνάδοσιν καὶ τὴν ἐξαιμάτωσιν καὶ τοιαῦτα ἐργάζεται, χρεία ἐστὶν αὐτῇ καὶ ἀγγείων κενῶν πρὸς ἀπόθεσιν τῶν τοιούτων χυμῶν καὶ τοῦ σώματος αὔξησιν. ἐπειδὰν δὲ μήτε προστεθῆναί τι τοῖς στερεοῖς τοῦ σώματος ἐγχωρῇ, μήτ' ἣν φλέβες ἔτι χώραν ἔχωσιν ὑποδέχεσθαι τὴν ἀναδιδομένην τροφὴν, ἀνάγκη κινδυνεῦσαι τὸ σῶμα, ἢ σχισθέντος τῶν ἀγγείων τινὸς ἢ σβεσθέντος τοῦ ἐμφύτου θερμοῦ ἢ τοιοῦτό τι παθόντος τοῦ σώματος. καὶ διὰ τοῦτο οὐ δύνανται αὐξάνειν ἐπὶ τὸ βέλτιον, ἀλλ' ἐπὶ τὸ χεῖρον καὶ ἐπικίνδυνον. ἕνεκεν οὖν τούτων φησὶν, συμφέρον ἐστὶ λύειν τὴν εὐεξίαν διὰ κενώσεως πλὴν μὴ βραδέως, ἀλλὰ συντόμως, ἵνα μὴ ὁ κίνδυνος προφθάσῃ τὴν κάθαρσιν καὶ ἵνα τοὐντεῦθεν ἀρχὴν ἑτέρας ἀνατροφῆς αὖθις τὸ σῶμα λαμβάνῃ. ἔπειτά φησιν, ἐργαζόμενος τὴν τοῦ τοιούτου σώματος κένωσιν, μὴ ἄξῃς τὰς ξυμπτώσιας ἢ τὰς κενώσεις εἰς τὸ ἔσχατον ἤγουν εἰς ὑπερβολήν. σφαλερὸν γὰρ καὶ ἐπικίνδυνόν ἐστι καὶ τοῦτο. ἀλλὰ μέχρι τούτου δεῖ ἄγειν τὰς κενώσεις, μέχρις οὗ δύναται ἡ δύναμις τῆς φύσεως τοῦ κενοῦντος ὑπομένειν αὐτάς. ἄλλα γὰρ ἄλλως τῶν σωμάτων δέχονται τὰς κενώσεις, τὰ μὲν ἐπὶ πλεῖστον, τὰ δὲ ἐπ' ὀλίγον. χρὴ οὖν ἑκάστῳ προσφέρειν τὴν κατὰ δύναμιν

κένωσιν. ἔπειτα ἐπιφέρει τὴν αἰτίαν, δι' ἣν αἱ ὑπερβολικαὶ κενώσεις εἰσὶ σφαλεραὶ, εἰπὼν, καὶ πάλιν αἱ ἀναλήψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραὶ, μονονουχὶ λέγων, ὅτι διὰ τοῦτο αἱ ὑπερβολικαὶ κενώσεις εἰσὶ χαλεπαὶ, διότι αἱ μετ' αὐτὰς ἀνατροφαὶ τοῦ σώματος σφαλεραὶ, ἀσθενοῦς γενομένης τῆς φύσεως ὑπὸ τῆς ἄκρας κενώσεως καὶ οἷον εἰπεῖν, νεκρωθείσης καὶ μὴ δυναμένης πέψαι τὰς προσφερομένας αὐτῇ τροφὰς πρὸς ἀνάκτησιν.

δ'. *Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσι, οὗ μὴ ἐνδέχεται, σφαλεραί.* —

ΘΕΟΦ. Ὁ παρὼν ἀφορισμὸς διαιτητικός ἐστι καὶ κατὰ τάξιν εἴρηται. ἀπέριττον γὰρ Ἱπποκράτης 1) ἐργασάμενος τὸ σῶμα καὶ ἐλευθερώσας αὐτὸ τῆς κατὰ ποιότητα καὶ ποσότητα 2) κακοχυμίας καὶ βλάβης, ἐπὶ τὴν δίαιταν ἐχώρησε διὰ τὸ τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν 3) θρέψαις, μᾶλλον βλάψεις. εἶτά φησιν, βλαβερὰ ἡ ἀκριβὴς καὶ λεπτὴ δίαιτα ἤτοι ἡ ἀσιτία ἐν τοῖς μακροῖς πάθεσι. καὶ ἡ αἰτία. οὔτε γὰρ ἀπαλλάττεται 4) τὸ νόσημα, ἀλλὰ καὶ ἡ δύναμις 5) ἀποκνήσασα ἀσθενὴς γίνεται καὶ θάνατος ἐπακολουθεῖ. ἀλλὰ μὴν καὶ ἐν τοῖς ὀξέσι νοσήμασιν, οὗ μὴ ἐπιδέχεται, βλαβερά ἐστιν ἡ ἀσιτία. τὰ δὲ ὀξέα ἢ ὁμωνύμως ὀξέα εἴρηνται τὰ μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἀφικνούμενα ἡμέρας, ἢ ἁπλῶς ὀξέα τὰ μέχρι τῆς ἑβδόμης ἢ ἐννάτης, ἢ κατοξέα τὰ ἕως τῆς τετάρτης. ἐπὶ μὲν οὖν τῶν ὁμωνύμως ὀξέων καὶ τῶν ἁπλῶς ὀξέων σφαλεραὶ 6) αἱ λεπταὶ καὶ ἀκριβεῖς δίαιται τουτέστιν αἱ ἀσιτίαι, διὰ τὸ ἀδύνατον μένειν τὸν κάμνοντα ἀσιτοῦντα τοσοῦτον χρόνον. ἐπὶ δὲ τῶν κατοξέων οὐ σφαλεραὶ διὰ τὸ ὀλίγον τῶν ἡμερῶν. τὸ δὲ οὗ μὴ ἐπιδέχεται τοιοῦτόν ἐστιν, ἐφ' ὧν μὴ ἁρμόζει, καὶ ἐπὶ ποίων ἁρμόζει ἢ οὐχ ἁρμόζει, εἴρηται. Ἰστέον δὲ ὅτι πολλάκις

---

1) *τὸ σῶμα ποιήσας* V. b. 2) *πλεονεξίας* V. b. 3) *θρέψεις — βλάψεις* V. b. 4) *ὁ ἀσθενῶν τοῦ νοσήματος* V. c. C. 5) *ἀτονεῖ* V. e. 6) *λεπταὶ καὶ* om. V. a.

καὶ τὸ μελίκρατον καὶ ὀλίγος χυλὸς τῆς πτισάνης ἀσιτίαι λέγονται, ὡς ἐγγὺς ὄντα τῆς κυρίως ἀσιτίας.

Αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀπιγμέναι δίαιται, χαλεπαί. καὶ πάλιν αἱ πληρώσιες αἱ 1) ἐς τὸ ἔσχατον ἀπιγμέναι, χαλεπαί. —

ΘΕΟΦ. Καὶ ἐνταῦθα διαβάλλει τὴν ἄκρως λεπτὴν δίαιταν ἤτοι τὴν ἀσιτίαν καὶ τὴν ὑπερπλήρωσιν ἤτοι τὴν ἁδράν. ἑκατέρα γὰρ ξενισμὸν 2) ποιεῖ τῇ φύσει ἐν ἀμετρίᾳ θεωρουμένη. Ἰστέον δὲ ὅτι αἱ γενικαὶ διαφοραὶ τῆς διαίτης δύο εἰσὶ, λεπτὴ καὶ ἁδρά· ἀλλ' ἡ μὲν λεπτὴ ἢ ἐσχάτως ἐστὶ λεπτὴ, 3) ὡς ἀσιτία, ἢ λεπτοτάτη, ὅπερ ἐστὶ μελίκρατον, ἢ λεπτὴ, οἷον πτισάνης χυλός. ἡ δὲ ἁδρὰ ἢ ἁδρά ἐστιν ὡς ὅλη ἡ πτισάνη, ἢ ἁδροτέρα ὡς ἰχθύες ἢ ὠὰ, ἢ ἁδροτάτη ὡς κρέας. ἔστι δὲ μέση τούτων, ὡς ἄρτος πλυτὸς ἢ ἴτριον.

ΔΑΜ. Ἐν τούτῳ τῷ ἀφορισμῷ περὶ τῆς τῶν νοσούντων διαίτης ἡμᾶς ὁ Ἱπποκράτης διδάσκει καί φησιν, ὅτι ἐν μὲν τοῖς μακροῖς καὶ πολυημέροις ἀῤῥωστήμασι καὶ μὴ μέχρι τῆς ἑξηκοστῆς κρινομένοις οὐ πρέπει χρῆσθαι λεπταῖς διαίταις οὐδόλως· σφαλερὸν γὰρ τοῦτο· ἀλλὰ χρὴ βοηθεῖν τῇ φύσει διὰ τροφῆς τινος, ἵνα μὴ, τελέως ἀποκαμούσης, κίνδυνός τις συμβῇ. ἐν δὲ τοῖς ὀξέσι νοσήμασιν ἤως τοῖς ἐν ὀλίγαις ἡμέραις κρινομένοις, οὐδ' ἐν αὐτοῖς πᾶσι συμφέρει ἡ λεπτὴ δίαιτα, ἀλλά εἰσι καὶ ἐν τούτοις νοσήματα, ἐν οἷς οὐκ ἐπιδέχεται λεπτῶς τρέφειν.

ε'. Ἐν τῇσι λεπτῇσι διαίτῃσι ἁμαρτάνουσι οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ ὃ ἂν γίνηται, μᾶλλον γίνεται ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. διὰ τοῦτο καὶ τοῖσι ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ ἀκριβέες καὶ λεπταὶ, καὶ καθεστηκυῖαι δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ

---

1) *ἐν τῷ ἐσχάτῳ ἐοῦσαι* V. a. b. c. D. 2) *ἐμποιεῖ* V. b. c. 3) *ἥτις ἐστὶ* V. b.

ἀκριβέες δίαιται, σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρὸν ἁδροτέρων. —

ΘΕΟΦ. 1) Ἔτι καὶ νῦν διαβάλλει τὴν λεπτὴν δίαιταν Ἱπποκράτης λέγων ἐν τῇσι λεπτῇσι διαίτῃσι ἁμαρτάνουσιν οἱ νοσέοντες καὶ τὰ ἑξῆς. ἐν ταῖς λεπταῖς διαίταις ἁμαρτάνουσιν οἱ νοσοῦντες ἀπολιγωροῦντες ἐκ τῆς ἀσιτίας καὶ μὴ λαμβάνοντες λεπτὴν δίαιταν, ἀλλὰ τὴν ἐμπίπτουσαν τουτέστι κἂν 2) ἄρτον ξηρὸν κἂν κρέας καὶ διὰ τοῦτο μᾶλλον βλάπτονται. εἴτε γάρ δήποτε 3) γένηται ἁμάρτημα, χαλεπώτερον γίνεται ἐν ταῖς λεπταῖς ἢ ἐν ταῖς ὀλίγον ἁδροτέραις διαίταις, διὰ τὸ τῷ ξενισμῷ τῆς τοιαύτης τροφῆς τὴν φύσιν ταράττεσθαι. διὰ τοῦτο οὖν αἱ ἐσχάτως λεπταὶ δίαιται χαλεπαί. ὅτι δὲ χαλεπαί εἰσι, δείκνυται καὶ 4) ἐκ τῶν ὑγιαινόντων. εἰ γὰρ ἐπ' ἐκείνων, ὥς φησὶν Ἱπποκράτης, κακαί εἰσι διὰ τὸ τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρειν, πολλῷ μᾶλλον, ἐφ' ὧν αἱ δυνάμεις ἀσθενοῦσι. διὰ ταῦτα τοίνυν 5) πάντα αἱ ἐσχάτως λεπταὶ δίαιται χαλεπαὶ εἰς τὰ πλεῖστα τῶν σμικρὸν ἁδροτέρων. τὸ ἐς τὰ πλεῖστα πρόσκειται. ἐπί τινων γὰρ δεῖ χρήσασθαι αὐτῇ 6) ἐπὶ τῶν κατοξέων, ἐὰν

---

1) E Stephano: Ἄμεμπτον αὐτοῦ τὴν ὑγείαν θεμελιῶσαι προθέμενος, περὶ λεπτοτάτης διαίτης, πρῶτον περὶ διαβολῆς τῆς λεπτῆς διαίτης ἐπὶ τῶν ὑγιαινόντων καὶ νοσούντων· δεύτερον τὰς διαφορὰς αὐτῆς ἀπαριθμούμεθα (v. c. ἡ ἐσχάτως λεπτή ἐστι τὸ μελίκρατον, καθ' ἕτερα δὲ ἡ ἀσιτία, ὁ χυλὸς τῆς πτισάνης etc.), τρίτον ἐν ᾧ πρόκειται ἡμῖν τὴν χρείαν τῆς λεπτοτάτης διαίτης παραθέσθαι i. e. ἐν κατοξέσι νοσήμασι. τέταρτον ἐν ᾧ κανόνας καὶ προσδιορισμοὺς θαυμασίους πάσης καθόλου διαίτης τυποῖ ἡμῖν ὁ Ἱπποκράτης. Diaeta enim in morbis praescribitur primum secundum genus morbi (εἶδος), deinde ἐκ τοῦ καιροῦ τοῦ νοσήματος, tum ἐκ τοῦ τόνου τῆς δυνάμεως. — ἰδιώματι γὰρ παλαιῷ ἐχρήσατο, καθὸ πᾶσαν τὴν περὶ τὸν κάμνοντα γενομένην δίαιταν οἱ παλαιοὶ δίαιταν καλεῖν εἰώθασιν. Et phlebotomia et purgatio ita vocantur. — οὐ μὴ ἐπιδέχεται] Nam in peracutis morbis convenit ἡ λεπτὴ δίαιτα. Hucusque longiora vel longissima sunt Stephani scholia. 2) ἄρτοι ξηροὶ V. a. ἄρτος ξηρός ἐστι V. b. 3) ἐπιγένηται σύμπτωμα V. c. 4) ἐπὶ V. c. 5) πάντα om. V. c. εἰς τὰ πλεῖστα om. V. b. 6) ἐπὶ — κωλύῃ om. V. a.

μηδὲν κωλύῃ τουτέστιν ἐὰν μὴ ἡ δύναμις ἀσθενῇ ἢ τὸ στόμα τῆς γαστρὸς ταχέως ἐκχολοῦται.

ΔΑΜ. Ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ἐν ταῖς λεπταῖς διαίταις καὶ τροφαῖς ἁμαρτάνουσι καὶ σφάλλουσιν οἱ ἀσθενεῖς. διὰ τοῦτο καὶ περισσότερον βλάπτονται. εὕροις γὰρ ἂν πολλοὺς τῶν νοσούντων κρυφίως τρεφομένους τῶν ἰατρῶν, ὅταν ἐκεῖνοι ἀκριβεῖ τινι καὶ λεπτῇ τούτους διαίτῃ θεραπεύωσιν. οὗτοι γοῦν περισσότερον βλάπτονται ἢ ἐὰν μὴ διῃτῶντο λεπτῶς, διότι καὶ ἡ δύναμις ἀσθενὴς ὑπὸ τῆς ἐξαίφνης εἰσαγομένης τροφῆς γίνεται καὶ τῆς ἀσυνήθους μεταβολῆς. πᾶν γὰρ σφάλμα ὃ ἂν γένηται ἐν τοῖς νοσοῦσι τοῖς λάθρα τῶν ἰατρῶν τρεφομένοις, μεγαλώτερον, φησὶ, γίνεται ἢ εἰ ἁδροτέρως καὶ τραχυτέρως ἐτρέφοντο, οἷον ἐπὶ παραδείγματος, ἐὰν τοῦ ἰατροῦ προστάξαντος μελίκρατον καὶ πτισάνης χυλὸν, ἰχθύας τυχὸν καὶ ᾠὰ προσφέρει ὁ ἀσθενὴς, σφόδρα βλάπτεται ὁ τοιοῦτος διὰ τὴν ἄκραν ἐναλλαγὴν τῶν τροφῶν. ἐὰν δὲ, ἰχθύας τοῦ ἰατροῦ προστάξαντος εὐχύμους, ὁ ἀσθενὴς δυσχύμους προσφέρει, οὐ μεγάλα βλάπτεται. μικρὰ γὰρ ἡ ἐναλλαγή. ἔπειτα καὶ περὶ τῶν ὑγιαινόντων φησὶν, ὅτι καὶ τοὺς ὑγιαίνοντας βλάπτει ἡ λεπτὴ καὶ ἀκριβὴς τροφὴ, οὐχ ὅτι ἐπικίνδυνος ἡ λεπτὴ δίαιτα, ἀλλ' ὅτι φησὶν τὰ ἁμαρτανόμενα χαλεπώτερα φέρουσι καὶ ὑπομένουσιν, ὥστε διὰ πάντων φανερὸν, ὅτι ἐπικίνδυνοί εἰσιν αἱ λεπταὶ δίαιται περισσοτέρως τῶν ὀλίγον τραχυτέρων καὶ ἰσχυροτέρων τροφῶν.

ς'. Ἐς δὲ τὰ ἔσχατα νουσήματα αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται. —

ΘΕΟΦ. Ἔσχατα νοσήματά εἰσι τὰ κατόξεα, ὧν οὐκ ἔστιν ἐπινοῆσαι ὀξυτέραν κίνησιν. ἔσχαται 1) δὲ θεραπεῖαι ἤγουν δίαιται, αἱ ἀσιτίαι. κράτισται μὲν οὖν εἰσιν αὗται ἐπὶ τῶν κατοξέων νοσημάτων, ἀλλ' ἐς ἀκριβίην. διὰ τούτου δὲ ἐνδείκνυται ὅτι κἂν τὸ νόσημα ἀπαιτῇ, ἕτερον δέ τι κωλύῃ, ζητῆσαι δεῖ τὸ κατεπεῖγον καὶ οὕτως ἢ ἀσιτίαν παραλαβεῖν ἢ τροφήν.

---

1) *οὖν* V. b.

ΔΑΜ. Ἔσχατα νοσήματα ὀνομάζει ὁ Ἱπποκράτης τὰ μέγιστα, μεθ' ἃ οὐκ ἔστιν ἄλλα, ἤως τὰ κατόξεα. κελεύει γοῦν ὅτι ἐν αὐτοῖς τοῖς κατοέξσι νοσήμασιν ὑπάρχουσιν ὠφέλιμοι αἱ ἔσχαται θεραπεῖαι, ἤως αἱ λεπταὶ καὶ ἀκριβεῖς δίαιται.

ΣΤΕΦ. 1) Ἔσχατα μὲν καλεῖ νοσήματα τὰ κατόξεα ὧν οὐκ ἔστιν ἐπινοῆσαι ὀξυτέραν ἐν νόσῳ κίνησιν, εἰ μή τι ἄρα τὸν ἐφημερινὸν, ἐσχάτην δὲ θεραπείαν, τὴν λεπτοτάτην δίαιταν τουτέστι τὴν ἀσιτίαν. αὐτίκα γὰρ ἡ ἀσιτία κρατίστη ἐστὶν ἐπὶ τῶν κατοξέων, εἰ μὴ ἀσθενὴς ὑπόκειται ἡ δύναμις ἢ στόμα τῆς γαστρὸς ἐκχολούμενον, κατὰ τὰ ἀνωτέρω εἰρημένα.

ζ. Ὅκου μὲν οὖν κάτοξυ τὸ νούσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾷν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ἔῃ. —

ΘΕΟΦ. Κάτοξυ νόσημα καλεῖ τὸ ἐν τέτρασιν ἡμέραις περιοριζόμενον, ἐσχάτους δὲ πόνους τὰ μέγιστα συμπτώματα, οἷον ἀγρυπνίας, συγκοπὰς, 2) τὸ δὲ αὐτίκα τὴν χρονικὴν ἀρχὴν τὴν ἐν τρισὶν ἡμέραις θεωρουμένην. ἐφ' οἷς οὖν ἐστι κάτοξυ νόσημα, ἐπὶ τούτων μέχρι τριῶν ἡμερῶν οἱ ἔσχατοι πόνοι γίνονται. καὶ ἐκ τούτων ἡ διάγνωσις δηλοῦται. δεῖ οὖν ἐπὶ τούτων τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ χρήσασθαι. ἐντὸς γὰρ τῶν τεσσάρων ἡμερῶν ἀπαλλάττεται τὸ νόσημα, καὶ ὁ κάμνων δύναται τὰς τέσσαρας ἡμέρας παντελῆ ἀσιτίαν 3) διαγαγεῖν ἢ διότι οὗτος ὁ χρόνος ὅλος ἀκμή ἐστιν. ἐφ' οἷς δὲ οὐκ ἔστι κάτοξυ τὸ νόσημα, ἀλλ' ἐνδέχεται 4) ἁδρῶς διαιτᾷν, τοσοῦτον φησὶ ὑποκαταβαίνειν τοῦ λεπτοῦ τῆς διαίτης, ὅσον καὶ ἡ νόσος ἀπολείπεται τῶν ἐσχάτων, τουτέστι τῆς ἀκμῆς ἢ τῶν ὀξέων.

---

1) Descripsi scholium integrum, ut pateat concinere saepe Stephanum cum Theophilo. 2) τὸ — ἐπὶ τούτων om. V. c. 3) ὑπενεγκεῖν V. b. c. C. 4) ἁδροτέρως V. c.

ΔΑΜ. Φησὶν ἐν τῷ παρόντι ἀφορισμῷ, ὅτι τὸ νόσημα τὸ κάτοξυ ἕως ἐντὸς τῆς πρώτης τετράδος κρινόμενον αὐτίκα ἔχει καὶ τοὺς μεγάλους πόνους. πόνους δὲ ὀνομάζει ἢ τοὺς παροξυσμοὺς ἢ ἁπλῶς ἅπαντα τὰ συμπτώματα, ἅπερ ἔχει τὸ κάτοξυ νόσημα κατὰ τὰς πρώτας εὐθὺς τῆς ἀσθενείας ἡμέρας. συμπίπτει γὰρ εὐθὺς ἡ ἀκμὴ, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ μεγίστη τοῦ νοσήματος ἀνάγκη. ἐπεὶ γοῦν εὐθὺς ἔχει τοὺς ἐσχάτους πόνους, δεῖ χρῆσθαι ἐπ' αὐτῷ καὶ τῇ ἐσχάτῃ λεπτοτάτῃ διαίτῃ. οὐ χρὴ γὰρ ὅταν ἡ φύσις παλαίῃ πρὸς τὸ νόσημα καὶ ὅλη πρὸς τὴν πέψιν ἀγωνίζηται τούτου, παρασχεῖν αὐτῇ καὶ τροφῆς ὕλην, ἵνα μὴ πρὸς τὴν τῶν ἄρτι ληφθέντων βρωμάτων πέψιν ἐνασχοληθεῖσα νικηθῇ ὑπὸ τοῦ νοσήματος κἀντεῦθεν οὐ μικρός τις συμβῇ κίνδυνος, ἀλλ' ἐᾷν αὐτὴν ἀγωνίζεσθαι πρὸς μόνον τὸ νόσημα. ὅπου δὲ μὴ ὑπάρχει τὸ νόσημα κάτοξυ, ἁδροτέρως ἐνδέχεται τρέφειν, πλὴν οὐκ εἰς ὑπερβολὴν, ἀλλὰ τοσοῦτον ὑποκαταβαίνειν ἕως τραχυτέραν ἐργάζεσθαι τὴν τροφὴν, ὁπόσον καὶ ἡ νόσος μαλθακωτέρα ἤγουν ἀσθενεστέρα καὶ μὴ ὀξεῖα γίνεται. ἀλλ' ἐπὶ πλείσταις κρίνεται ταῖς ἡμέραις, ὡς καὶ ἀνωτέρω προείρηκεν.

η'. θ'. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νούσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ξυντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερος, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει, καὶ 1) ἀμβλυνεῖται. —

ΘΕΟΦ. 2) Ἐνταῦθα περὶ τῶν καιρῶν τῶν νοσημάτων Ἱπποκράτης διαλέγεται καί φησιν ὁ κ ό τ α ν ἀ κ μ ά ζ ῃ τ ὸ ν ό σ η μ α κ α ὶ τ ὰ ἑ ξ ῆ ς. καιροὶ δέ εἰσι τῶν νοσημάτων τέσσαρες, ἀρχὴ, ἀνάβασις, ἀκμὴ καὶ παρακμή. ἐν μὲν οὖν τῇ ἀρχῇ καὶ τῇ ἀναβάσει ἁδροτέρᾳ διαίτῃ κελεύει χρῆσθαι, ἐν δὲ τῇ ἀκμῇ λεπτοτάτῃ, οὐ παχυτάτῃ, ἐπειδὴ τὰ σιτία ὑπὸ δυνάμεως πέττεσθαι πεφύκασιν. ἐὰν οὖν ἐν τῇ ἀκμῇ, ὅτε ἡ φύσις ἀγωνίζεται πρὸς

---

1) ἀπαμβλ. D. 2) In cod. V. c. folium deest.

τὸ νόσημα, παράσχῃς ἁδροτέραν τροφὴν, περιφρονεῖ τοῦ νοσήματος, φέρεται δὲ πρὸς τὴν πέψιν τῆς τροφῆς καὶ διὰ τοῦτο ταλαιπωρεῖται. εἰ δὲ πάλιν τῆς τροφῆς καταφρονήσει ἀγωνιζομένη κατὰ τοῦ νοσήματος, ἀπεπτουμένη ἡ τροφὴ σύνεργος γίνεται τοῦ νοσήματος. τὸ ξυντεκμαίρεσθαι δὲ χρὴ καὶ τὰ ἑξῆς τοιαύτην ἔχει τὴν ἔννοιαν, παραμετρεῖν δεῖ τὴν δύναμιν τῷ νοσήματι. καὶ εἰ μὲν ταύτην πρὸς τὸ εἶδος τοῦ νοσήματος εὕροις αὐταρκοῦσαν ἐπολίγον, λεπτῶς διαίτησον· εἰ δὲ τὸ ἀνάπαλιν, τὸ μὲν νόσημα ἐπὶ πολὺ ἐξαρκοῦν, τὴν δὲ δύναμιν ἀπολήγουσαν, ἁδροτέρως 1) διαιτᾶν διὰ τὸ δυνηθῆναι τὴν δύναμιν ἀνταγωνίσασθαι κατὰ τοῦ νοσήματος.

ΔΑΜ. Ἐπειδὴ πρότερον περὶ χρονίων νοσημάτων εἶπε, καὶ ἁδροτέρᾳ τροφῇ ἐν αὐτοῖς ἐδίδαξε χρῆσθαι, ἵνα μὴ ὑπολάβῃς ὅτι διόλου ἐπὶ τῶν τοιούτων χρονίων νοσημάτων ἁδρῶς χρὴ τρέφειν, ἐπήγαγεν, ὅτι καὶ ἐν τοῖς τοιούτοις νοσήμασιν, ὅταν ἀκμάζωσιν ἤως ἐν τῇ ἀκμῇ εἰσι καὶ ἐν τῇ κρισίμῳ ἡμέρᾳ, τότε καὶ ἐν αὐτοῖς λεπτοτέρως χρὴ 2) τρέφειν, ἵνα ἡ κρίσις τοῦ νοσήματος εὐκόλως γένηται καὶ μὴ, τῆς φύσεως εἰς τὰς τροφὰς ἐνασχοληθείσης, τὸ νόσημα χώραν εὕρῃ καὶ κίνδυνον προξενήσῃ. πρὸ δὲ τῆς ἀκμῆς, φησὶν, χρὴ συμμετρεῖν τὴν τοῦ πάσχοντος δύναμιν πρὸς τὴν τοῦ νοσήματος δύναμιν καὶ προβλέπειν, τίς ἄρα ἀπαυδήσει καὶ ἀπαγορεύσει πρότερον ὁ πάσχων ἢ τὸ νόσημα, καὶ εἰ μὲν εὑρήσεις τὸ νόσημα ἰσχυρότερον γενησόμενον, βοηθεῖν τῇ φύσει διὰ τροφῆς· εἰ δὲ εὑρήσεις τὴν δύναμιν τοῦ πάσχοντος ἰσχυροτέραν τῆς ἀσθενείας, καὶ τότε λεπτῶς διαιτᾶν.

ι΄. Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς 3) διαιτᾷν· ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου, σμικρὸν ἀφαιρετέον· ἔμπροσθεν δὲ πιοτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων. —

ΘΕΟΦ. Ἔτι περὶ τοῦ καιροῦ διαλέγεται καί φησιν, ὅτι δεῖ σκοπεῖν, ἐφ᾽ ὧν μέν ἐστιν εὐθέως ἡ ἀκμὴ, καὶ

---

1) Om. V. b. 2) γράφειν in textu, τρέφειν in mg. 3) διαίτησον D.

λεπτῶς διαιτᾷν διὰ τὸ ταράττεσθαι τὴν φύσιν, ἐφ' ὧν δὲ μὴ εὐθέως, ἀλλ' ὕστερον, ἐν ταύτῃ δὴ τῇ ἀκμῇ καὶ μικρὸν ὕστερον πρὸ αὐτῆς παύειν τὴν τροφὴν τουτέστι πρὸ δύο ἢ τριῶν ἡμερῶν. ἐν δὲ τῷ πρόσθεν χρόνῳ 1) τῆς ἀκμῆς πιοτέρως τουτέστιν ἁδροτέρως διαιτᾷν. καὶ ἡ λύσις καθ' Ἱπποκράτην, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων. ἔστιν οὖν καθολικὸς ὁ λόγος περὶ πάντων τῶν νοσημάτων ἀποφαινόμενος· οὐ μόνον γὰρ ἐπὶ τῶν κατοξέων νοσημάτων ἢ ὀξέων ἐν τῇ ἀκμῇ δεῖ λεπτῶς διαιτᾷν, ἀλλὰ καὶ ἐπὶ τῶν χρονίων καὶ τῶν λοιπῶν.

ΔΑΜ. Ὁπόσοις φησὶ τῶν νοσούντων γίνεται ἡ κρίσις αὐτίκα ἤγουν ἐντὸς τῆς ἑβδόμης, τούτους καὶ λεπτῶς διαίτησον. δύναται γὰρ ἡ φύσις ἐντὸς τῆς πρώτης τετράδος ἐξαρκέσειν πρὸς τὸ νόσημα καὶ χωρὶς τροφῆς παχυτέρας, κἂν ἀσθενεστέρα τύχῃ οὖσα. ὁπόσοις δὲ μέλλει ἡ ἀκμὴ ἤγουν ἡ κρίσις μετὰ πολλὰς ἔσεσθαι ἡμέρας, τούτους ἐς ἐκεῖνο μὲν τὸ μέρος τοῦ χρόνου, καθ' ὃ δηλονότι μέλλει γενέσθαι ἡ κρίσις καὶ πρὸ ἐκείνου ὀλίγον, ἀφαιρετέον καὶ χώρισον τῆς τροφῆς τὸν νοσοῦντα ἤγουν πρὸ μιᾶς ἢ δύο τυχὸν ἡμερῶν. ἔμπροσθεν δὲ ἤγουν πρὸ τῆς κρίσεως, θρέψον τοῦτον παχυτέρως, ἵνα ἐξαρκέσῃ ἡ φύσις φθάσαι τὸν τῆς κρίσεως καιρὸν καὶ μὴ πρότερον ὑπὸ τῆς ἄγαν νεκρωθῇ ἀτροφίας.

ια΄. Ἐν δὲ τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάβη. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι. —

ΘΕΟΦ. Διδάξας πότε δεῖ τρέφειν, νῦν διδάσκει πότε οὐ δεῖ, λέγων ἐν τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρὴ τουτέστι μὴ τρέφειν. καὶ διὰ μὲν τοῦ εἰπεῖν ἐν τοῖσι παροξυσμοῖσι ἐδήλωσεν ὅτι οὔτε ἐπὶ τῶν συνεχῶν δεῖ τρέφειν οὔτε ἐπὶ τῶν διαλειπόντων πυρετῶν. ἀλλ' ἐπὶ μὲν τῶν διαλειπόντων, ἁπλῶς εἶπε τὸν παροξυσμὸν, ἐπὶ δὲ τῶν συνεχῶν καταχρώμενος ἀντὶ τοῦ ἐπιπαροξυσμοῦ. τὸ δὲ 2) ἐπαγόμενον δοκεῖ ὅμοιον εἶναι τῷ ἀνωτέρῳ. οὐκ ἔστι

---

1) τ. ἀκ. om. V. b. 2) ἐπειγόμενον V. b.

δὲ ὅμοιον. πῶς; ἐπειδὴ εἶπεν Ἱπποκράτης, ὅτι δεῖ ὑποστέλλεσθαι τοὺς παροξυσμοὺς, ἵνα μήτις ὑπολάβῃ ἐπὶ τῶν πυρεκτικῶν νοσημάτων μόνον εἰρῆσθαι τοῦτο, φησὶν, ὅτι καθόλου δεῖ ἐπὶ πάσης περιόδου ὑποστέλλεσθαι κἄν τε κωλικῆς ὀδύνης εἴη παροξυσμὸς, κἄν τε νεφρικῆς, κὰν ἄλλη οἱαδήποτε εἴη περίοδος. Ἀλλ' ἰστέον ὅτι ἐπὶ τῶν συνεχῶν ἐν ταῖς μειοπυρεξίαις δεῖ τρέφειν, ἐπὶ δὲ τῶν διαλειπόντων πυρετῶν ἐν ταῖς ἀνέσεσιν, οὐχὶ δὲ ἐν τοῖς παροξυσμοῖς, 1) *διὰ τὸ μὴ ἐμεθήσεσθαι τὰς τροφὰς καὶ πλέον ταραχθῆναι τὴν φύσιν. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι παροξυσμός ἐστι τὸ σφοδρότερον μέρος τῆς ὅλης περιόδου. περίοδος δέ ἐστιν ἡ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ* 2) *ἀποκατάστασις.*

ιβ'. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας 3) *δηλώσουσι αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀντεπιδόσιες, ἤν τε κατὰ ἡμέρην, ἤν τε παρὰ ἡμέρην, ἤν τε καὶ διὰ πλέονος χρόνου γίνωνται. —*

ΘΕΟΦ. Ἐν τῷ πρὸ τοῦδε ἀφορισμῷ διδάξας ἐν τοῖς παροξυσμοῖς μὴ τρέφειν, ὡς τινὸς ἀποροῦντος καὶ πόθεν ἔχωμεν γνῶναι τὸν παροξυσμὸν, νῦν ἐπιφέρει λέγων, τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλοῦσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ τὰ ἑξῆς. 4) *Ἀλλ' ἰστέον ὅτι ὁ νῦν ἀφορισμὸς καθ' ὑπερβατὸν ἀναγινωσκόμενος σαφὴς εὑρίσκεται, οἷον, τὰς δὲ καταστάσιας καὶ τοὺς παροξυσμοὺς ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται, δηλοῦσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσεις· αἱ νοῦσοι μὲν οὕτως, οἷον* 5) *ὁ μὲν τριταῖος ταχὺ*

---

1) Pergit rursum post folium ablatum V. c. *ἐμεῖσθαι — ταράττεσθαι* V. c. 2) E Stephano: Scholium longius. Explicat vocabulum periodi, differentias febrium, — *τὸ ἀνετικὸν μόριον τοῦ χρόνου ἐπὶ τῶν διαλειπόντων διάλειμμα ὀνομάζεται, ἐπὶ δὲ τῶν συνεχῶν μειοπυρεξία καὶ παρακμή;* — quando cibum sumere oporteat in intermittentibus — — *ληξιπύρετον* febrifugum — *ἐπὶ μὲν τῶν διαλειπόντων παροξυσμὸς ἁπλῶς λέγεται, ἐπὶ δὲ τῶν συνεχῶν ἐπιπαροξυσμός.* 3) *δηλοῦσιν* V. a. c. D. 4) *ἀλλ' — ἐπιδόσιες* om. V. b. C. 5) *εἰ* V. a. c. Fort. *ταχυκρίσιμος.*

κρίσιμος καὶ διὰ τρίτης ὁ παροξυσμὸς, εἰ δὲ ἀμφημερινὸς καὶ καθ' ἑκάστην ὁ παροξυσμὸς, 1) εἰ δὲ ἀμφημερινὸς, χρόνιος καὶ καθ' ἑκάστην ὁ ποροξυσμὸς, ὁ δὲ καὶ τεταρταῖος, ὅτι καὶ τοῦδε χρονιώτερος, καὶ διὰ τετάρτης ὁ παροξυσμός. οὕτως δὲ καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων δηλοῦνται οἵ τε παροξυσμοὶ καὶ αἱ 2) καταστάσιες. αἱ ὧραι δὲ τοῦ ἔτεος οὕτως· εἰ συμβῇ γενέσθαι τεταρταῖον ἐν θέρει, βραχυχρόνιος γινήσεται, εἰ δὲ ἐν χειμῶνι 3) [ὁ μὲν ἐν θέρει βραχυχρονιώτερος γενήσεται, ὁ δ' ἐν χειμῶνι] 4) πολυχρονιώτερος. καὶ ἐπὶ τῶν ἄλλων ἑκάστων νοσημάτων τάχος μὲν τὸ θέρος, βραδυτῆτα δὲ ὁ χειμὼν προστίθησιν. ἀλλὰ καὶ οἱ παροξυσμοὶ διὰ τρίτης μὲν τοὐπίπαν ἐν θέρει, διὰ τετάρτης δὲ ἐν φθινοπώρῳ, καθ' ἑκάστην δὲ ἡμέραν ἢ νύκτα χειμῶνος. αἱ τῶν περιόδων δὲ ἐπιδόσιες οὕτως, ὅτι εἰ συντόμως 5) ἀναβαίη τὸ νόσημα, δηλοῖ ἐγγὺς εἶναι τὴν ἀκμὴν καὶ ὅτι οἱ παροξυσμοὶ ὀλίγον χρόνον κρατήσουσιν· εἰ δὲ κατὰ μικρὸν, πoῤῥωτέρω τὴν ἀκμὴν καὶ τοὺς παροξυσμοὺς 6) οὐκ ὀλίγον χρόνον κρατεῖν δηλώσει. ἐπίδοσις δέ ἐστιν ἡ ἀνάβασις τοῦ νοσήματος.

ΔΑΜ. Φησὶν ἐν τῷ παρόντι ἀφορισμῷ, ὅτι πρέπει τὸν ἰατρὸν ὑποστέλλεσθαι καὶ φοβεῖσθαι διδόναι τοῖς παροξυνομένοις τροφάς. βλάβη γὰρ γίνεται τὸ προστιθέμενον τούτοις ἐκ τῆς τροφῆς καὶ ὁπόσα νοσήματα ἔχουσι τοὺς παροξυσμοὺς κατὰ περιόδους, ἤγουν μὴ συνεχεῖς, ἀλλ' ἢ ἀμφημερινοὺς ἢ τριταίους ἢ τεταρταίους. περίοδος γάρ ἐστιν ἡ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκατάστασις. τούτους γοῦν τοὺς κατὰ περιόδους παροξυνομένους ἤγουν

---

1) εἰ — ὁ δὲ om. V. a. 2) E Stephano: *Τοὺς παροξυσμοὺς καὶ τὰς καταστάσιας γνωρίσεις πρῶτον μὲν τεχνικῷ στοχασμῷ*, (parum secura methodo, *ἀπὸ τοῦ εἴδους τοῦ νοσήματος, ὕλης*,) *δεύτερον τεχνικῇ σημειώσει*, (*ἐξ ὥρας, χώρας, ἡλικίας, κράσεως, βίου*), *τρίτον ἐπιστημονικῇ διαγνώσει* (ex symptomatis). Dein explicat, quid sit *κατάστασις*. — *εἰς τέσσαρας δὲ τροπὰς ἀναλογούσας τοῖς τέσσαρσι καιροῖς τοῦ ἐνιαυτοῦ καὶ τὸ ἡμερονύκτιον διαιρεῖται· τὸ μὲν γὰρ ἑωθινὸν τῆς ἡμέρας ἀναλογεῖ τῷ ἔαρι, τὸ δὲ μεσημβρινὸν τῷ θέρει — τὸ δὲ δειλινὸν τῷ φθινοπώρῳ — ἡ δὲ νὺξ τῷ χειμῶνι.* 3) *ὁ — χειμῶνι* om. V. b. c. C. 4) *πολυχρόνιος*. V. b. c. 5) *ἀναβαίνει* V. b. *ἀναβαίνοι* V. c. 6) *δηλοῖ προβῆναι καὶ πολὺν χρόν.* V. c.

τοὺς μὴ συνεχεῖς, ἀλλὰ διαλείποντας τοὺς παροξυσμοὺς ἔχοντας, διαίτησον μὲν λεπτοτάτῃ τροφῇ, καθ' ἣν ἡμέραν οὐ μέλλουσι παροξύνεσθαι, ἀλλ' ἄνετον ταύτην διαβιβάζειν. ἐπὰν δὲ ἡ τοῦ παροξυσμοῦ ἡμέρα ἐπιστῇ, τότε χρὴ ἄσιτον παντελῶς τὸν τοιοῦτον παραφυλάττειν, ἵνα ἡ φύσις ἐλευθέρα οὖσα βρωμάτων εὐκόλως τὴν τοῦ παροξυσμοῦ ἀνάγκην διαβιβάσῃ. τοὺς δὲ παροξυσμούς φησι καὶ τὰς καταστάσεις αὐτῶν, εἴτε καθημερινοὶ εἴτε διαλείποντες γίνονται, δηλοῦσιν αἱ νοῦσοι, ἤγουν οἱ χυμοὶ οἱ πλεονάζοντες ἐν τῷ πάσχοντι σώματι· εἰ μὲν γὰρ ξανθὴ πλεονάζει χολὴ, τριταίους ποιεῖ, εἰ δὲ μέλαινα, τεταρταίους. εἰ δὲ φλέγμα, ἀμφημερινούς. δηλοῦσι δὲ τούτους καὶ οἱ καιροὶ τοῦ ἔτους. εἰ μὲν γὰρ θέρος ἐστὶ, τριταῖοι οἱ παροξυσμοὶ γίνονται, εἰ δὲ ἔαρ, ὡς ἐπὶ τὸ πλεῖστον ἀμφημερινοὶ, τεταρταῖοι δὲ, εἰ χειμών ἐστιν.

Codex Vindobonensis medicus XXVIII, chartaceus, saec. XV, hoc scholion anonymi autoris habet, a Galeni explanatione diversum:

Τρεῖς ἀπεδείχθησαν διαίτης σκόποι ὁ ἀπὸ τῆς δυνάμεως, ὁ ἀπὸ τῆς τοῦ νοσήματος καταστάσεως καὶ ὁ ἀπὸ τῶν κατὰ μέρος παροξυσμῶν. καὶ τὴν δύναμιν διαγιγνώσκομεν ἀπό τε τῶν σφυγμῶν καὶ τῶν κατὰ τὸ πρόσωπον καὶ τῶν ἄλλων τῶν ἐν τῷ προγνωστικῷ ῥηθέντων, τὴν δὲ κατάστασιν τοῦ νοσήματος τῷ εἶναι αὐτὸ κάτοξυ ἢ ὀξὺ ἢ χρόνιον, κἀντεῦθεν ἢ ταχέως λήψεσθαι τὴν ἀκμὴν ἢ βραδέως, πρὸς ἣν ἀφορῶντες τὴν δίαιταν καταρτίζομεν. καὶ τοὺς παροξυσμοὺς δὲ, τῷ διὰ δ' ἢ διὰ γ' ἢ καθ' ἡμέραν ἐκ τῶν νόσων αὐτῶν καταλαμβάνομεν, οἷον ἐπὶ μὲν τῶν διαλειπόντων, ὁ μὲν τριταῖος ταχυκρίσιμος, ὁ δὲ τεταρταῖος καὶ ἀμφημερινὸς χρόνιοι. ἐπὶ δὲ τῶν συνεχῶν οἱ μὲν καυσώδεις ὀξεῖς, οἱ δὲ τυφώδεις χρόνιοι, μέσοι δ' ἀμφοῖν οἱ ἡμιτριταῖοι. καὶ τοῦτο μὲν ἡ κατάστασις ἐκ τῶν νούσων δηλοῦται. οἱ δὲ παροξυσμοὶ οὕτω γνωσθήσονται, εἰ ἐν ἀρχῇ γνωρίσεις τριταῖον εἰσβάλλοντα ἔκ τε τῶν ξανθοχόλων εἶναι καὶ ἀπὸ τῆς τοῦ κάμνοντος

ἡλικίας καὶ κράσεως καὶ ὥρας καὶ χώρας καὶ τῶν λοιπῶν δυνατόν ἐστι λαβεῖν ἀπ᾽ αὐτοῦ, ὅτι ταχυκρίσιμος καὶ ὅτι διὰ τρίτης ἔσται ὁ παροξυσμός. ὡσαύτως καὶ ἐπὶ μελαγχολικοῦ, ὅτι χρονίως καὶ ὅτι διὰ δ´ ἡ τῶν παροξυσμῶν ἀνταπόδοσις. ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων. ὥσπερ δὲ ἐπὶ τῶν πυρετῶν, οὕτω κἀπὶ τῶν ἄλλων νούσων. Πλευρῖτις δὲ καὶ περιπνευμονία ὀξέα νοσήματα. — Συνάγχη δὲ καὶ κυνάγχη καὶ χολέρα καὶ τέτανος κατοξέα. — Ὕδερος δὲ καὶ μελαγχολία καὶ ἐμπύημα καὶ φθίσις, χρόνια. Καὶ οἱ παροξυσμοὶ δὲ, φρενίτιδες μὲν καὶ πλευρίτιδες ὡς τὰ πολλὰ διὰ γ´, τοῖς δὲ κατὰ γαστέρα καὶ καθ᾽ ἧπαρ ἐμπυήμασι καὶ φθίσεσι καὶ καθ᾽ ἑκάστην ἡμέραν καὶ μᾶλλον τὴν νύκτα. τοῖς δ᾽ ἀπὸ τοῦ σπληνὸς καὶ ὅλως μελαγχολικοῖς διὰ δ´. ἀλλὰ καὶ αἱ ὧραι τοῦ ἔτεος τὰς καταστάσεις τῶν νόσων δηλώσουσιν, οἷον ἐν τῷ θέρει τεταρταῖος εἰσβάλλων ἀναγκαίως ταχέως κριθήσεται καὶ ἄλλως μὲν ταχυκρίσιμος, ἐν δὲ τῷ χειμῶνι εἰσβάλλων δυσκρίσιμος διὰ τὴν ὥραν· πᾶσι γὰρ τοῖσι νοσήμασι τάχος μὲν τὸ θέρος, βραδυτῆτα δὲ ὁ χειμὼν προσδίδωσι. ἀλλὰ καὶ οἱ παροξυσμοὶ διὰ γ´ μὲν τοὐπίπαν ἐν θέρει, διὰ δ´ ἐν φθινοπώρῳ, καθ᾽ ἑκάστην δὲ ἡμέραν ἢ νύκτα χειμῶνος. ὡς δὲ ἐπὶ τῶν ὡρῶν, οὕτω νόει καὶ ἐπὶ τῶν ἡλικιῶν καὶ χωρῶν καὶ τῶν ἑξῆς. ἐξ ἑνὸς γὰρ καὶ τὰ σύστοιχα τούτων δηλοῦνται.

Ἰστέον δὲ ὅτι τὰ μὲν τῶν σημείων εἰσὶ παθογνωμονικὰ, τὰ δὲ συνεδρεύοντα, τὰ δὲ κρίσιμα, τὰ δὲ ἀπεψίας, τὰ δὲ πέψεως, καὶ τὰ μὲν σωτηρίας, τὰ δὲ ὀλέθρου δηλωτικά. τὰ μὲν οὖν παθογνωμονικὰ συνεισβάλλει τῷ νοσήματι καὶ δηλοῦσι τὸ εἶδος αὐτοῦ, ὡς τῇ πλευρίτιδι συνεισβάλλει τό τε νυγματῶδες ἄλγημα καὶ ὁ ὀξὺς πυρετὸς, ἡ δύσπνοια καὶ ὁ βήξ. τὰ δὲ συνεδρεύοντά ποτε μὲν συνεισβάλλει, ποτὲ δὲ ἐπιγίνεται, ποτὲ δὲ οὐδ᾽ ὅλως γίνεται. οὐ γάρ εἰσι ἀχώριστα σημεῖα, ὡς τὰ παθογνωμονικά. ἔστι δὲ συνεδρεῦον τὸ διήκειν τὴν ὀδύνην εἰς ὑποχόνδριον ἢ εἰς τὴν κλεῖν ἢ ῥᾷον ἐπὶ τοῦ πεπονθότος κατακλίνεσθαι πλευροῦ ἢ ἐπὶ τοῦ ἀντικειμένου. Ἀρχὴ δὲ νοσήματος τριχῶς λέγεται, ἥ τε πρώτη εἰσβολὴ

ἡ ἄπλατης καὶ ἀκαριαία προσαγορευομένη καὶ ἡ πλατικὴ ἥτις ἄχρι τῆς τρίτης ἡμέρας ἐκτείνεται, καὶ ἡ ὡς μέρος ὅλου τοῦ νοσήματος, ὅτε εἰς ἀρχὴν, ἀνάβασιν, ἀκμὴν καὶ παρακμὴν μερίζεται νόσημα. Εἰσὶ δὲ κρίσιμα σημεῖα ταῦτα· ἱδρῶτες, ῥίγη, αἱμοῤῥαγίαι. Τὰ δὲ τῆς πέψεως οὐδ᾽ αὐτὰ συνεισβάλλουσι τῇ πρώτῃ τοῦ νοσήματος ἀρχῇ. περιορίζει δὲ ταῦτα ἐπιφανέντα τὴν ὡς μέρους ἀρχὴν ὅλης τῆς νόσου, ὡς τότε ἀρχῆς ἐούσης. ἔσταν ὠμὸν ἔτι καὶ ἄπεπτον τὸ νόσημα ὑπάρχῃ. εἰσὶ δὲ πέψεως σημεῖα ὡς πτύελα λεῖα καὶ λευκὰ καὶ ὁμαλὰ καὶ τῇ συστάσει μήτε παχύτατα μήτε λεπτότατα. καὶ οὖρα δὲ εὔχροα καὶ νεφέλην χρηστὴν ἔχοντα, καὶ διαχωρήματα ἑκάστου τοῖσι κατὰ φύσιν ἐγγίζοντα· τὰ δὲ τῆς ἀπεψίας τὸ μηδ᾽ ὅλως πτύειν ἢ πάνυ ἀχύμωτα, καὶ τὰ οὖρα εἶναι λεπτὰ καὶ λευκὰ καὶ ἀκόσμητα καὶ τὰ ἑξῆς. τὰ τῆς σωτηρίας ὡς ἔσται ἐῤῥωμένη δύναμις μετὰ τῶν τῆς πέψεως σημείων, ἥ τε εὐφορία τοῦ κάμνοντος ἢ εὔπνοια ἤ τις διανοίας ῥῶσις ἢ εὔσχημος κατάκλισις καὶ τὰ λοιπά. Τὰ δὲ τοῦ ὀλέθρου, πτύσματα ἀκράτως ξανθὰ ἢ ἰώδη ἢ μέλανα ἢ πελιδνά. Τὰ ἐπὶ προσώπου ὑφ᾽ Ἱπποκράτους εἰρημένα, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες καὶ τὰ τούτοις ὅμοια. σημείωσαι δὲ ὡς τὰ μὲν τῆς πέψεως σημεῖα εἰς ἀεὶ ἀγαθαὶ λύσιν τῆς νόσου δηλοῦντα, ὡς καὶ τὰ ὀλέθρια κακὰ, ἀπώλειαν προσημαίνοντα. τὰ δὲ τῆς ἀπεψίας χρόνιον μὲν ἐξ ἀνάγκης δηλοῦσι τὸ νόσημα, τεθνήξεσθαι δὲ ἢ σωθήσεσθαι, ὅσον ἐφ᾽ αὐτοῖς τοῦ δήλου, προσλογιζομένῳ δέ σοι τὴν ῥώμην τῆς δυνάμεως καὶ ταῦτα ὑπάρξει σοι γνωρίζειν. Γένος δὲ κρισίμων σημείων. Ἱδρῶτες καὶ ῥῖγος καὶ γαστὴρ καταῤῥήξασα, πολλαὶ αἱμοῤῥαγίαι καὶ πολλοὶ ἔμετοι, ἄλγημα κεφαλῆς ἐξαιφνιδίως ἢ δύσπνοια παράλογος ἢ καρδιωγμὸς ἤ τις ὑποχονδρίου σύντασις ἀνώδυνος, ἀγρυπνία τε σφοδρὰ καὶ παραφροσύνη ἢ νὺξ ἀλόγως δύσφορος καὶ προληπτικοὶ παροξυσμοί· ἀλλὰ καὶ δάκρυον ἀκούσιον ἐν ἀπαθέσιν ὀφθαλμοῖς, ἄνευ λύπης, ἔρευθός τε καὶ τὸ κάτω χεῖλος σειόμενον, ὀρφνώδη τέτινα προφαινόμενα τῶν ὀφθαλμῶν ἢ μαρμαρυγαί τινες, μῆλον ἢ ῥὶς ἐξαίφνης ἐρυθρὰ γινόμενα ἢ ὅλως ἀποσκήμ-

ματος εἰς ἄρθρον τις γένεσις καὶ ἄλλα τοιαῦτα. ταῦτα μὲν κατὰ τὴν ἰδίαν οὐσίαν ὀνομάζεται συμπτώματα· καθότι δὲ μεταβολὴν ὀξύῤῥοπον δηλοῖ, κρίσιμα προσαγορεύονται. διττὴν οὖν ταῦτα παρέξει σοι τὴν πρόγνωσιν. εἰ μὲν ἐπὶ πεπεμμένῳ τῷ νοσήματι γένοιτο, σωτηρίαν ὑπουργεῖ· εἰ δὲ ἐπὶ ἀπέπτῳ, κρίσιν οὐκ ἀγαθὴν ἢ εἰς ὄλεθρον ἄγουσαν ἢ εἰς μῆκος χρόνου· καὶ τὰ μὲν τῆς πέψεως σημεῖα, καθ ὃν ἂν φαίνοιτο καιρὸν τοῦ νοσήματος, ἀγαθὰ διὰ παντὸς, τὰ δὲ τῆς κρίσεως οὐκέτι, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. καὶ αὖθις τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐξανόμενα ἐπιφαίνεσθαι. οὐ μάχεται δὲ τοῦτο τὸ ἔπος τῷ λέγοντι· ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἐπιφαίνεται· τοῦτο γὰρ πέψεως, ἐκεῖνο δὲ κρίσεως ἴδιον. συνίσταται γοῦν τὰ εἰρημένα, τὸ, τὰ μὲν τῆς πέψεως διὰ παντὸς ἀγαθὰ, τὰ δὲ κρίσιμά ποτε καὶ κακά. ἐπαινῶν δὲ καὶ διδάσκων ταῖς ἐν τοῖς ἀναπνευστικοῖς πέψεσίν φησι· χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς πτύελον ταχέως ἀποπτύεσθαί τε καὶ εὐπέπτως ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ.

Ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισι, οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου, βραχύνει· ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. —

ΘΕΟΦ. Νῦν καὶ ἐκ τῶν 1) φαινομένων λαμβάνει τὴν διάγνωσιν τῶν παροξυσμῶν καὶ τὰς καταστάσεις τῶν νοσημάτων. τὰ δὲ φαινόμενα τριττά· ἢ γὰρ σωτηρίας καὶ ὀλέθρου ποιεῖται τὴν δήλωσιν ἢ κρίσεως καὶ ἀκρισίας ἢ πέψως καὶ ἀπεψίας· ἐνταῦθα οὖν τὰ τῆς πέψεως καὶ ἀπεψίας σημεῖα μεταχειρίζεται. ταῦτα δὲ ἐν τοῖς ἐκκρινομένοις θεωρεῖται. τὰ δὲ ἐκκρινόμενα θεωρεῖται ἐν 2) πτύσμασιν, ἐν διαχωρήμασι καὶ ἐν οὔροις. φησὶν οὖν ὅτι ἐπὶ τῆς πλευρίτιδος, ἢν μὲν αὐτίκα ἀνενεχθῇ ἤγουν ἔνδον τῶν τριῶν ἡμερῶν πτύελον, σημαίνει, ὅτι πλησίον ἡ ἀκμὴ

1) E Stephano: *Τὰ δύο τοίνυν γένη τῶν ἐπιφαινομένων ἐνταῦθα παραλιπὼν ὁ Ἱπποκράτης, φημὶ τὰ κριτικὰ καὶ τὰ σωτηρίας ἢ ὀλέθρου δηλωτικὰ, περὶ ὧν πολὺν λόγον ἐν τῷ περὶ κρίσεων καὶ κρισίμων ἡμερῶν ὁ Γαληνὸς καταβάλλεται. — ὁ Ἱπποκράτης πτύελον τὸ πεπεμμένον, πτύσμα δὲ τὸ ἄπεπτον καλεῖ.* 2) *πτυέλοις* V. c.

καὶ τὴν πλευρῖτιν βραχύνειν. εἰ δὲ περὶ τὴν ὀγδόην ἢ τὴν τεσσαρεσκαιδεκάτην, χρόνιον ἐνδείκνυται τὸ νόσημα. πτύελον δὲ καὶ πτύσμα οὕτω διαφέρει, πτύελον μὲν γάρ ἐστι τὸ πεπεμμένον, τὸ δὲ ἄπεπτον πτύσμα.

ΔΑΜ. Διδάξας ἡμᾶς ὁ Ἱπποκράτης περὶ τῶν παροξυσμῶν καὶ ὅπως χρὴ ἀπὸ τεχνικῆς σημειώσεως προγινώσκειν αὐτοὺς, ὁποῖοί τινες ἔσονται, ἔπειτα προθέμενος ἐν τῷ παρόντι ἀφορισμῷ περὶ ἄλλων εἰπεῖν νοσημάτων, ἐξ ἐπιστημονικῆς σημειώσεως διδάσκει προγινώσκειν αὐτὰ, ὁποῖα ἔσονται καὶ ὡς ἐν παραδείγματος σχήματι, τὴν πλευρῖτιν προτίθησι. φησὶ γοῦν ὅτι ἐν τοῖς πλευριτικοῖς νοσήμασιν, ἐὰν αὐτίκα ἀρχομένης τῆς πλευρίτιδος πτύελον πτύσῃ ὁ πάσχων, βραχύνει ἤγουν συντόμως λύεται τὸ νόσημα. ἐὰν γὰρ περὶ τρίτην ἢ τετάρτην ἐπιφανείη τὸ πτύελον, εἴη δὲ καὶ τελέως πεπεμμένον ἤως λευκὸν καὶ λεῖον καὶ ὁμαλὸν καὶ κατὰ τὴν σύστασιν μήτε ὑπέρυγρον μήτε ὑπέρπαχυ, οὐ δυνατόν ἐστι τῆς ἑβδόμης ποῤῥωτέρω προβῆναι τὸ νόσημα, ἀλλ' εὐθὺς ἐν αὐτῇ λύεται. ἐὰν δὲ μὴ εὐθὺς ἐν ἀρχαῖς ἐπιφανείη τὸ τοιοῦτον πτύελον, ἀλλ' ἐσύστερον ἤγουν μετὰ πολλὰς τὰς ἡμέρας, θάνατον μὲν τοῦ πάσχοντος οὐ δηλοῖ, ὅσον ἐφ' ἑαυτῷ· συμμετροῦντι δέ σοι καὶ συλλογιζομένῳ τὴν τοῦ πάσχοντος δύναμιν, ὑπάρξει σοι προγινώσκειν καὶ τοῦτο. δηλοῖ μέντοι μῆκος τῆς νόσου πολὺ ἡ μετὰ πολλὰς ἡμέρας τοῦ πτυέλου ἐπιφάνεια.

Καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νουσήματα, ἐπιφαινόμενα δηλοῖ. —

ΘΕΟΦ. Ἐκ μὲν τῶν φαινομένων ἐπὶ τῆς πλευρίτιδος ἐποιήσατο τὴν διάγνωσιν, καὶ μὲν δὴ καὶ ἐκ τῶν οὔρων καὶ διαχωρημάτων 1) καὶ ἱδρώτων ἄρτι ποιεῖται τὴν διάγνωσιν λέγων, καὶ οὖρα καὶ ὑποχωρήματα καὶ τὰ ἑξῆς. εἰ μὲν γὰρ ἔνδον τῶν τριῶν ἡμερῶν ἐν τούτοις ἡ πέψις φανῇ, δῆλον ὅτι πλησίον ἡ ἀκμὴ καὶ εὔκριτον τὸ νόσημα, εἰ δὲ μήγε, δῆλον ὅτι ποῤῥωτέρω καὶ δύσκριτον.

---

1) ἱδρώτων ἄρτι om. V. a.

ιγ'. Γέροντες εὐφορώτατα νηστείην φέρουσι· δεύτερον, οἱ καθεστηκότες· ἥκιστα, μειράκια· πάντων δὲ μάλιστα παιδία· τουτέων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωϋτέων προθυμότερα ἐόντα. —

ΘΕΟΦ. 1) Ἀκολούθως 2) νῦν ἐπὶ τὰς ἡλικίας χωρεῖ, βουλόμενος καὶ ἐξ αὐτῶν ἔνδειξιν τοῦ εἴδους τῆς διαίτης ποιήσασθαι. φησὶν οὖν γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες καὶ τὰ ἑξῆς. γέροντας καλεῖ οὐ τοὺς ἐν ἐσχάτῳ γήρᾳ ὄντας, ἀλλὰ τοὺς ἑξηκοντούτεις μικρῷ πλεῖον ἢ ἔλασσον, καθεστηκότας δὲ τοὺς ἐν παρακμῇ τυγχάνοντας. ἀμφότεροι οὖν τὴν ἀσιτίαν φέρουσιν εὐφόρως, ἀλλ' οἱ μὲν γέροντες πλέον διὰ τὸ ὀκλάσαι σχεδὸν ἐπ' αὐτοῖς τὴν δύναμιν καὶ διὰ τὸ εἶναι αὐτοὺς ψυχροτέρους. 3) οἱ δὲ καθεστηκότες ἤτοι παρακμάζοντες καὶ αὐτοὶ μὲν φέρουσι τὴν ἀσιτίαν, ἧττον δὲ τῶν γερόντων διὰ τὰς αὐτὰς αἰτίας, τὰ μέντοι μειράκια ἥκιστα τουτέστιν ἐπολίγον διὰ τὸ αὔξειν ἐν αὐτοῖς ἔμφυτον θερμόν. οἱ παῖδες δὲ οὐδαμῶς διὰ τὸ εὐδιαφόρητον ἔχειν τὸ σῶμα καὶ διὰ τὸ πλούσιον τοῦ ἐμφύτου θερμοῦ. ἀλλὰ τούτων αὐτῶν τουτέστι τῶν

---

1) E Stephano: Scholium longius. Cibus sumitur ob duas rationes, κατά τε ἀναπλήρωσιν τοῦ διαφορουμένου καὶ κατὰ αὔξησιν τοῦ ἐμφύτου θερμοῦ. Senes vero tres propter causas ἀσιτίαν εὐφόρως φέρουσι, ὅτι οὐκ ἔστιν ἐπ' αὐτῶν εὐδιαφόρητον τὸ σῶμα· ὅτι καὶ ὀλίγον κατ' οὐσίαν ἐστὶ τὸ ἐν αὐτοῖς θερμόν· ὅτι πολύς ἐστιν ἐπ' αὐτοῖς ὁ ψυχρὸς καὶ ὠμὸς χυμός. Contraria omnia ἐπὶ τοῖς παιδίοις, quae nutrimento indigent et διὰ θρέψιν καὶ διὰ αὔξησιν. De divisione τῶν ἡλικιῶν. — ποικίλως διαιρεῖ τὰς ἡλικίας ὁ Ἱπποκράτης, πῇ μὲν γὰρ εἰς ἑπτὰ διαιρέσεις αὐτάς ἐστι τέμνων, ὡς ἐν τῷ περὶ ἑβδομάδων εἴρηται, πῇ δὲ εἰς τέσσαρας — παιδικὴν, μειρακιώδη, παρακμαστικὴν, γεροντικήν. — Stephanus quintam aetatem ἀκμαστικὴν addit. — οὐ τοὺς ἐσχατογήρους ἐνταῦθα γέροντας λέγει, οἵ γε δὴ καὶ κυφογέροντες ἐπιλέγονται ἢ παρὰ τὸ γῆς ἐρᾶν κυρίως οὕτω λεγόμενοι γέροντες — ἢ παρὰ τὸ τὴν γῆν ὁρᾶν. — καθεστηκότες] — — τὸν λογισμὸν σώφρονες καὶ βεβηκότες ὑπάρχουσιν — — διὰ τὸ τὸ ζέον τοῦ θερμοῦ λωφηθῆναι καὶ κατασταλῆναι. ὠμογέροντες vocantur, qui excipiunt τοὺς καθεστηκότας. — ἐπ' ὀλίγον φέρουσι] — ὃ δηλοῖ παρ' Ἱπποκράτει τὸ ἥκιστα. τοῦτο γὰρ παρὰ μὲν τοῖς ῥήτορσι τὸ οὐδαμῶς σημαίνει, παρὰ δὲ τῷ Ἱπποκράτει τὸ ἐπ' ὀλίγον. — 2) οὖν V. b. c. 3) οἱ — οἱ παῖδες om. V. c.

παιδίων πλέον οὐ φέρουσι τὴν ἀσιτίαν ἃ ἂν τύχῃ αὐτὰ ἑαυτῶν προθυμότερα. δι' ἣν αἰτίαν; ἐπειδὴ προθυμότερα ὄντα καὶ εὐκινητότερα γινόμενα μᾶλλον ἐκθερμαίνονται, ἐφ' ὅσον δὲ ἐπικρατεῖ τὸ ἔμφυτον θερμὸν, ἐπὶ τοσοῦτον οὐδὲ τὴν ἀσιτίαν ὑποφέρουσιν.

ΔΑΜ. Ἐν τῷ παρόντι ἀφορισμῷ διδάσκει, ὅτι καὶ ἡ τῶν ἡλικιῶν διαφορὰ συμβάλλεταί τι πρὸς τὸ ἀβλαβῶς διαιτᾶν. φησὶ γοῦν ὅτι οἱ γέροντες εὐκόλως ὑπομένουσι τὴν ἀτροφίαν διὰ τὸ ὀλίγον ἐν αὐτοῖς τὸ ἔμφυτον εἶναι θερμόν· οἱ δὲ καθεστηκότες ἤγουν οἱ μήτε πρὸς γεροντικὴν φθάσαντες ἡλικίαν, μήτε μὴν ἄγαν τυγχάνοντες νέοι, ἀλλ' ἐν καταστάσει γεγονότες ἡλικίας ἤγουν οἱ περί που τὸν τριακοστὸν πέμπτον ὄντες χρόνον, οὗτοι δυσκολώτερον φέρουσι τὴν νηστείαν διὰ τὸ ἐν αὐτοῖς πλεῖον θερμόν· ἥκιστα δὲ πάντων τούτων ἤγουν σφόδρα δυσκολώτερον ὑπομένουσι τὰ παιδία ἤγουν οἱ σφόδρα νέοι, δηλονότι οἱ περὶ δωδέκατον ὄντες χρόνον, διότι πλέον τῶν προῤῥηθεισῶν ἡλικιῶν τὸ ἔμφυτον θερμὸν κέκτηνται. καὶ τούτων αὐτῶν τῶν παίδων ἐκεῖνα μάλιστα καὶ περισσοτέρως οὐχ ὑπομένουσι τὴν νηστείαν ἅπερ ἂν τύχωσιν προθυμοτέρας ὄντα φύσεως πρὸς ὄρεξιν καὶ οἷον σπουδαιοτέρας. ταῦτα γὰρ συντόμως πέττοντα τὴν τροφὴν αὖθις ἑτέρας ὀρέγονται. καὶ ὁ μὲν τοῦ Ἱπποκράτους λόγος τοιοῦτος, δεῖται δὲ καὶ μικρᾶς τινος προσθήκης. ἐπὶ μὲν γὰρ τῶν ἐν ἀρχῇ τῆς γεροντικῆς ὄντων ἡλικίας καλῶς εἴρηται τὸ, γέροντες εὐφορώτατα νηστείαν φέρουσιν, ἐπὶ δὲ τῶν εἰς πολὺ γῆρας ἐφθακότων οὐκ ὀρθῶς εἴρηται. οἱ γὰρ ἐσχατόγηροι οὐδαμῶς ὑπομένουσι νηστείαν. ὅταν 1) οὖν γέροντες εἴπῃ εὐφορώτατα νηστείαν φέρουσι, τότε σὺ πλὴν τῶν ἐσχατογήρων νόει καὶ οὐ σφαλῇς οὐδὲν ἐν τῇ τοῦ ἀφορισμοῦ διαγνώσει.

ιδ'. Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, πλείστης οὖν δέεται τροφῆς· ἢν δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται· γέρουσι δὲ ὀλίγον τὸ θερμόν· διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται· ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες· ψυχρὸν γὰρ τὸ σῶμα. —

1) γοῦν in mg.

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς τὰς αἰτίας παραδίδωσι τοῦ πρὸ αὐτοῦ ἀφορισμοῦ καί φησιν ὅτι διὰ τοῦτο τὰ παιδία οὐδ' ὅλως φέρουσι τὴν ἀσιτίαν, ὅτι τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλεῖστον δὲ ὂν τὸ ἔμφυτον θερμὸν, πλείστης καὶ τροφῆς δέεται. ἢν δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται τῷ δραστηρίῳ τῆς ἐμφύτου θερμασίας. αὕτη γὰρ, μὴ ὑποκειμένης τροφῆς, αὐτὴν τὴν οὐσίαν τοῦ σώματος ἐξαναλίσκει. πάλιν οἱ γέροντες ὀλίγον ἔχοντες τὸ θερμὸν ὀλίγων 1) ὑπεκκαυμάτων ἤτοι τροφῶν δέονται. ὑπὸ πολλῶν γὰρ ἀποσβέννυνται, 2) ὡς ἡ λυχνιαία φλὸξ, ἀθρόου αὐτῇ καὶ πολλοῦ τοῦ ἐλαίου καταχυθέντος. ἀποδεῖξαι δὲ θέλων Ἱπποκράτης 3) ὅτι ἐπὶ τῶν αὐξανομένων πολὺ τὸ θερμὸν, ἐπὶ δὲ τῶν γερόντων ἧττον, φησὶν, διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες. οἱ μὲν γὰρ ἀκμάζοντες ὀξέως πυρέττουσιν, ὡς θερμότεροι, οἱ δὲ γέροντες οὐχ ὁμοίως· ψυχρὸν γὰρ τὸ σῶμα ἔχουσιν.

ΔΑΜ. Οὗτος ὁ ἀφορισμὸς δοκεῖ ὥσπερ ἐξήγησις εἶναι τοῦ πρὸ αὐτοῦ ἀφορισμοῦ. τὰ αὐξανόμενα γάρ φησι ἤγουν τὰ πρὸς αὔξησιν ἐρχόμενα σώματα πλεῖστον ἔχουσι τὸ ἔμφυτον, διὰ τοῦτο καὶ πλειόνως αὐτὰ δεῖ τρέφειν. ἐὰν δὲ μὴ θρέψῃς ὅσον χρήζουσιν αὐτὰ, ἐξ ἀνάγκης τὸ σῶμα ἀναλίσκουσι καὶ δαπανῶσιν ὑπὸ τῆς πολλῆς ἐξάψεως ἐν αὐτοῖς ἐμφύτου θερμοῦ. οἱ δὲ γέροντες, φησὶν, ὀλίγον τὸ τοιοῦτον θερμὸν κέκτηνται, καὶ ὀλίγων ὑπεκκαυμάτων ἤγουν ἀναλωμάτων ἤγουν τροφῶν χρείαν ἔχουσιν. ἐὰν γὰρ πολλοῖς ὁ γέρων χρήσηται βρώμασι, τὸ ἐν αὐτῷ ὀλίγον θερμὸν κατασβέσει, ὥσπερ καὶ ἐὰν εἰς μικρὸν λύχνον δαψιλὲς καὶ ἀθρόον ἔλαιον ἐπιχύσῃς. εὐθὺς γὰρ σβεσθήσεται καὶ οἷον ἀποπνιγήσεται τὸ ἐν αὐτῷ φῶς. διὰ τοῦτο καὶ ὅταν πυρεκτικῷ πάθει κρατηθῶσιν οἱ γέροντες, οὐ πυρέσσουσιν ὀξέως καὶ πάνυ διακαῶς, ὥσπερ οἱ νέοι, διότι ψυχρὸν αὐτῶν ἐστι τὸ σῶμα.

---

1) Stephanus: ὑπεκκαύματα] δὲ καλοῦσιν οἱ παλαιοὶ τοῦ πυρὸς τὰ λεπτὰ τῶν ξύλων, καὶ αὐτὰ τὰ ξύλα καὶ διὰ τοῦτο ὁ Ἱπποκράτης ὑπεκκαύματα τὰς τροφὰς ἐκάλεσε ὡς ὕλην οὔσας τοῦ ἐν ἡμῖν ἐμφύτου θερμοῦ. 2) ὥσπερ V. b. c. 3) ὅτι om. V. a.

ιέ. Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος, θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσι οὖν τῇσι ὥρῃσι καὶ τὰ προσάρματα πλέω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ· τροφῆς οὖν πλέονος δέονται. σημεῖον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί. —

ΘΕΟΦ. Νῦν ὁ Ἱπποκράτης μετάγει τὴν ἑαυτοῦ διδασκαλίαν ἐπὶ τὰς ὥρας καὶ διδάσκει, ποῖαι θερμοτέρας ποιοῦσι τὰς κοιλίας καὶ ποῖαι ψυχροτέρας καὶ πῶς δεῖ εἰς ταύτας ἀποβλέποντας διαιτᾶν. φησὶν οὖν, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει. κοιλίαν 1) λέγει τὴν σιτοδόχον καὶ πᾶσαν κοιλότητα ἐν βάθει κειμένην, οἷον ἐγκεφάλου, καρδίας καὶ ἥπατος καὶ τῶν λοιπῶν 2) αὗται

---

1) λέγων V. b.

2) E Stephano: αἱ κοιλίαι χειμῶνος θερμόταται] — — Ἰστέον δὲ ὅτι κατὰ δύο αἰτίας θερμότεραι γίνονται αἱ κοιλίαι χειμῶνος, μίαν μὲν φυσικὴν, ἑτέραν δὲ Ἀριστοτελικήν. φησὶ γὰρ ἐκεῖνος, ὅτι ἀντιπεπονθότως ἔχουσι πρὸς ἑαυτὰ τὰ στοιχεῖα καὶ ἀνθυποχωροῦσιν ἀλλήλαις καὶ ἀντιπεριΐστανται αἱ ποιότητες. ὅτε μὲν γὰρ ἐν βάθει ἐστὶν ἡ θερμασία, καταλαμβάνει τὴν ἐπιφάνειαν ἡ ψύξις, καὶ ἔμπαλιν εἰς τὸ βάθος ὑποχωρούσης τῆς ψύξεως, εἰς τὴν ἐπιφάνειαν ἐφαπλοῦται ἡ θερμασία. ἐν τῷ χειμῶνι τοίνυν τῆς ψύξεως περὶ τὴν ἐπιφάνειαν σχολαζούσης, εἰς τὸ βάθος ὑποστέλλεται ἡ θερμασία, ἐν δὲ τῷ θέρει τῆς θερμασίας τὴν ἐπιφάνειαν καταλαβούσης, ἐπὶ τοῦ βάθους ἡ ψύξις ἐνδομυχεῖ. δευτέρα δὲ αἰτία ἐστὶ κατὰ τοὺς ἰατροὺς αὕτη· — — πεπύκνωται ἡ ἐπιφάνεια τοῦ σώματος, ἐπείγεται τὸ ἔμφυτον θερμὸν ὡς ἀεικίνητον ἐπὶ τὸ ἐκτὸς ἀχθῆναι, οὐχ εὑρίσκει διέξοδον, εἶτα ἀντανακλᾶται καὶ ἀνθυποστροφεῖ ἐπὶ τὰ ἐντὸς, καὶ τούτου πολλάκις γινομένου τοῦ διαύλου, πολλαπλασιάζεται καὶ δριμύτερον ἑαυτοῦ γίνεται, κἀντεῦθεν ποιεῖ τὰς κοιλίας θερμάς. κοιλίαν δὲ καλεῖ ἐνταῦθα οὐ μόνον τὴν σιτοδόχον γαστέρα, ἀλλὰ πᾶσαν κοιλότητα ἐν τῷ βάθει κειμένην, πλὴν τοῦ θώρακος. — — Qui? dixerit aliquis, aestate crediderim majorem inesse nobis calorem propter sitim. At haec non secundum naturam est, Hippocrates vero hoc in loco de naturalibus loquitur. Altera quaestio: quum hyeme perspiratio non fiat, quomodo nutritio (τοῦ διαφορηθέντος καὶ λείποντος ἡ ἀναπλήρωσις) fit? At est perspiratio ἄδηλος — — ἀτμοὶ ἀνεπαισθήτως διαφοροῦνται. καὶ τοῦτο ἔξεστί σοι μαθεῖν ἐκ τῆς τοῦ στόματος ἀποφορᾶς. τότε γὰρ μέγα ἀποφυσῶμεν, κάπνου δίκην παχυμεροῦς τῆς ἀναπνοῆς ἐν χειμῶνι ἐξαγομένης. Aestate autem, debilitato innato nobis calore neque sufficiente ad vapores aliciendos, ἱδρῶσι περιῤ-

οὖν αἱ κοιλίαι ἐν τῷ χειμῶνι θερμότεραί εἰσιν ἑαυτῶν φύσει, ὅτι διὰ τὴν ψύξιν τοῦ περιέχοντος ἀέρος πίλησις

ῥέονται. Dein etiam caeterae evacuationes frequentiores et copiosiores sunt hyberna tempestate per vesicam, intestina, nasum, bronchia. Tertia ἀπορία, quomodo αἱ κοιλίαι χειμῶνι θερμαὶ εἶναι possint, καὶ μὴν ὁρῶμεν τὰ ἕρποντα τῶν ζώων νεκρούμενα ἐν τῷ χειμῶνι, ὥστε καὶ ταῖς χερσὶν ἀναλαμβάνεσθαι, μηδὲν ὅλως ἀδικοῦντα; πρὸς οὓς λέγομεν ὅτι ἐκεῖνα τῶν ζώων θερμὰς ἔχει τὰς κοιλίας ἐν χειμῶνι, ὅσα μεταξὺ τῆς κοιλότητος καὶ τῆς ἐπιφανείας πολὺ φέρουσι τὸ ἐν μέσῳ διάστημα, καὶ ὅσα εὔσαρκά εἰσι. τὰ δὲ μήπω πολὺ τὸ μεταξὺ διάστημα ἔχοντα μήτε εὔσαρκα, ἀλλ᾽ οἷον ἀβαθῆ καὶ ὀλιγόσαρκα, ψυχρὰ διόλου ἐν χειμῶνι εὑρίσκεται. τὰ οὖν ἕρποντα καὶ ἰοβόλα τῶν θηρίων, ἅτε ὀλιγόσαρκα καὶ ἀβαθῆ, μὴ πολλοῦ τοῦ μεταξὺ τῆς κοιλότητος καὶ τῆς ἐπιφανείας ὄντος αὐτοῖς διαστήματος, ψύχεται καὶ ναρκοῦται χειμῶνι. φθάνει γὰρ περὶ τὸ βάθος ἀφικέσθαι ψύξις, ὥστε καὶ αὐτοῦ τοῦ ἐμφύτου θερμοῦ αὐτῶν ἅπτεσθαι, οὗτινος καταψυχομένου, νεκροῦνται τὰ τοιαῦτα ζῶα. — — καὶ ὅτι τοῦτο ἀληθὲς, αὐτὸς ὁ Ἱπποκράτης κατιὼν πιστοῦται· — ἔστι δὲ ὅκου ἐπὶ τετάνων ἐν εὐσάρκῳ θέρεος μέσου ἄνευ ἕλκεος, λέγων, ψυχροῦ πολλοῦ κατάχυσις θέρμης ὑπανάκλησιν ποιέεται. Θέρμην ταῦτα ῥύεται etc. Quarto loco quaeritur, si calidae αἱ κοιλίαι hyeme, τί δήποτε τότε πολὺ φλέγμα γεννᾶται ἐν τῇ γαστρὶ καὶ ἐν τοῖς ἐντέροις; καὶ πολλὰ ἐν χειμῶνι πτύομεν μᾶλλον καὶ διὰ μυκτήρων φέρομεν, καὶ πολλὰ νοσήματα γίνονται, κατάῤῥοιαι τυχὸν καὶ βῆχες καὶ κοιλιακαὶ διαθέσεις etc. At si comederent tantum hyeme, quantum concoquere posset ventriculus, nihil tale accideret, ἀλλ᾽ εἰδότες, ὅτι πολύ ἐστι τὸ ἐν ἡμῖν θερμὸν κατὰ τὴν ὥραν ταύτην, τούτῳ τε πεποιθότες πολλὰς καὶ ὑπὲρ τὴν ἀναλογίαν τροφὰς προσφερόμεθα, ἅστινας πέψαι διὰ τὴν ὑπερβολὴν μὴ δυνάμενοι, τῶν τοιούτων αἴτιοι χυμῶν ἡμεῖς ἑαυτοῖς καθιστάμεθα. Bilis vero non nascitur, quum fabrica nostra τῷ περιέχοντι et tempestati respondeat; itaque hyems pituitam facit. Veris vero initium et medium intelligenda sunt; ultima pars enim nimis similis aestati. ὕπνοι μακρότεροι] ἐπειδὴ οἶδεν ὁ Ἱπποκράτης ἐν χειμῶνι μεγάλας τὰς νύκτας, ἐκεῖνο τὸ μέρος τοῦ ζωδιακοῦ κύκλου διανύοντος τοῦ ἡλίου, ἐν ᾧ ἐστήρικται τοξότης καὶ αἰγόκερως καὶ ὑδροχόος, μείζονος περιφερείας κατὰ τὸ ὑπὸ γῆν ἡμικύκλιον ἐνταῦθα περιγραφομένης, ὡς ἐντεῦθεν πλείονας ὥρας τοῦ ἡλίου ὑπὸ γῆν διατρίβοντος, τῇ χρονίᾳ τούτου ἀπουσίᾳ τὸν ὑπὲρ γῆν ψύχεσθαι τόπον. — Quid? quod propter noctes longas somni etiam longiores, πῶς ὁρῶμέν τινας ἐν τρισὶν ἢ τέτρασιν ὥραις ἀρκουμένους τῷ ὕπνῳ; et si multus hieme calor nobis inest, qui somnus longus, εἴ γε ἡ θερμασία τῷ ἀεικινήτῳ καὶ ζέοντι ἀγρυπνητικοὺς ἡμᾶς ποιεῖ; At nutritione largiore hyemali ἀτμοὶ χρηστοὶ τίκτονται — οἵτινες παρὰ τὸν

καὶ πύκνωσις γίνεται τῶν πόρων. τὸ οὖν ἔμφυτον θερμὸν ἔρχεται ἐπὶ τὸ διαφορηθῆναι, καὶ οὐχ εὑρίσκει διέξοδον. πυκνὸν γὰρ τὸ σῶμα, κἀντεῦθεν φέρεται ἐπὶ τὰ ἔσω, καὶ πάλιν χωρεῖ ἐπὶ τὰ ἔξω καὶ τῇ πολυειδεῖ ταύτῃ κινήσει ἐκθερμαινόμενον πολυπλασιάζεται καὶ θερμότερον ἑαυτοῦ γίνεται. ἐν δὲ τῇ θέρει οὐχ οὕτως θερμαὶ διὰ τὸ ἐναντίον. πάλιν ἐν τῷ ἔαρι θερμαὶ καταρχὰς καὶ ἐν τῷ μέσῳ, ἐν μὲν ταῖς ἀρχαῖς διὰ τὸ ἐπικρατεῖν τὸ ψύχος, ἐν δὲ τοῖς μέσοις διὰ τὴν εὐκρασίαν. ὕπνοι δὲ μακρότατοι ἐν χειμῶνι καὶ ἦρι, διότι ἐκ τῆς πολλῆς τροφῆς τῆς διδομένης ἀτμοὶ χρηστοὶ γίνονται, διὰ τὸ κατὰ λόγον γίνεσθαι τὰς πέψεις, οἵτινες παρὰ τὸν ἐγκέφαλον ἀνιόντες 1) καθυγραίνουσιν αὐτὸν καὶ τὸν ὕπνον φέρουσιν· ἐν ταύταις οὖν ταῖς ὥραις καὶ τὰ προσάρματα ἤτοι τὰς τροφὰς 2) πλείονας χρὴ παρέχειν διὰ τὸ πλούσιον τοῦ ἐμφύτου θερμοῦ. τὸ δὲ σημεῖον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί, ὡς παραδείγματι κέχρηται, ἐπὶ τούτων γὰρ πολὺ τὸ ἔμφυτον θερμόν.

ΔΑΜ. Διδάξας ἡμᾶς ἐν τοῖς πρόσθεν ἀφορισμοῖς, ὅτι καὶ αἱ ἡλικίαι συμβάλλουσι πρὸς τὸ ἀβλαβῶς διαιτᾷν, νῦν ἐν τῷ παρόντι ἀφορισμῷ, ὅτι καὶ οἱ καιροὶ τοῦ ἔτους συμβάλλουσι πρὸς τοῦτο. φησὶ γοῦν ὅτι ἐν μὲν τῷ χειμῶνι καὶ ἐν τῷ 3)* ἀέρι θερμόταταί εἰσιν αἱ κοιλίαι φύσει ἦως λίαν. ἡ δ' αἰτία ὅτι διὰ τὸ περιϊστάμενον ἐν ταύταις ταῖς ὥραις ἔξωθεν κρύος πᾶν τὸ ἔμφυτον θερμὸν εἰς τὰ βάθη καταφεύγει τοῦ σώματος καὶ εὐθὺς πᾶν τὸ ἐν αὐτοῖς δαπανᾷ καὶ πέττει ὑπὸ τῆς ἄγαν θερμότητος. διὰ γοῦν τὴν αὐτὴν ταύτην αἰτίαν καὶ τὰ προσάρματα ἤγουν τὰς τροφὰς πλείους δοτέον τοῖς σώμασιν ἐν ταύταις ταῖς ὥραις, ὅτι καὶ ὕπνοι μακρότατοι τὸ τηνικαῦτα γίνονται διὰ τὸ μῆκος τῶν νυκτῶν, διότι οὐδὲ τοῦτο πρὸς τὰς φυσικὰς ἐνεργείας μικρὸν συντελεῖ. τὸ δὲ κατὰ τὸ τέ-

---

ἐγκέφαλον ἀνϊόντες καθυγραίνουσι καὶ ἐμφράττοντες αὐτοῦ τὰς κοιλίας, τὸν ὕπνον ἐπιφέρουσι. — Hieme plus comedamus necesse est, ἵνα μὴ τὸ πλεονάζον θερμὸν — τὸ σῶμα ἐκτήκηται.

1) καθυγραίνοντες V. b. 2) πλείω δοτέον V. b. c. 3) ἴσως θέρει in mg.

λος τοῦ ἀφορισμοῦ κείμενον τὸ, σημεῖον αἱ ἡλικίαι καὶ οἱ ἀθληταὶ, ὥσπερ τεκμήριον τοῦτο δίδωσι τοῦ δεῖσθαι τροφῆς πλείονος, ἔνθα τὸ θερμὸν πλεονάζει. καὶ γὰρ καὶ οἱ παῖδες, διότι θερμὸν ἔχουσι πλεῖστον, διὰ τοῦτο καὶ δέονται πλειόνων· καὶ οἱ ἀθληταὶ, διότι τοῖς γυμνασίοις αὐξάνουσι τὴν ἔμφυτον θερμασίαν, διὰ τοῦτο καὶ τροφῶν ἀπολαύειν δύνανται πλειόνων.

ις'. ιζ'. Αἱ ὑγραὶ δίαιται 1) πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι· μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι τοῖσι οὕτω εἰθισμένοισι διαιτᾶσθαι. Καὶ οἷσι ἅπαξ ἢ δὶς, καὶ πλέω ἢ ἐλάσσω, καὶ κατὰ μέρος· δοτέον δέ τι 2) καὶ τῷ ἔθεϊ, καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ. —

ΘΕΟΦ. Ἐν τῷ πρὸ τούτου ἀφορισμῷ δίαιταν ὑγιαινόντων ὁ Ἱπποκράτης παρεδίδου, 3) ἐνταῦθα 4) δὲ ποιεῖ-

---

1) πᾶσαι D. 2) τῇ χ. καὶ τῷ ἔθ. καὶ τῇ ἡλικ. V. a. b. c. D. 3) δὲ — λόγον om. V. a. 4) E Stephano: αἱ ὑγραὶ δίαιται] In febribus (morbo sicco et calido) diaetam humidam commendat; διὰ τὴν βραχυλογίαν omisit et frigidam, quum multis προσδιορισμοῖς opus fuisset, si haec addidisset. Febricitanti enim quando aquam frigidam propinaturi sumus, ratio habenda aetatis, consuetudinis, stadii morbi, tempestatis etc. καὶ ἡνίκα ταῦτα καθάπερ χορὸς συμφωνεῖ, τότε ὕδωρ παρέχομεν. Τί οὖν; si hydropi (morbo frigido et humido) febris supervenit, num diaeta humida danda sit? At Hippocrates ἁπλῶν πυρετῶν θεραπείας παραδίδωσιν, οὐ μὴν συνθέτων. Ἀλλ' ἐπὶ τῶν παθημάτων, ἐφ' ὧν ἀντένδειξις θεωρεῖται, πρὸς τὸ κατεπεῖγον δεῖ ἐνίστασθαι, μηδετέρου παντάπασιν ἀμελοῦντας. Si febris in hydrope praevalet, diaeta humectante uteris; si vero hydrops, contra illum ibis. — Quid? ponamus febrem simplicem, amphemerinam, num curabimus τοῖς ψύχουσι καὶ ὑγραίνουσι; αὐξήσομεν γὰρ τὴν ὕλην ἀφ' ἧς ἀνάπτεται. καίτοι ὁ Γαληνὸς ὀξυμέλιτι κεχρῆσθαι κελεύει ἐπὶ τῶν ἀμφημερινῶν καὶ ζέματι ἀψινθίου καὶ τῷ διοσπολιτικῷ φαρμάκῳ καὶ ἁπλῶς εἰπεῖν τοῖς θερμαίνουσι καὶ λεπτύνουσι καὶ τέμνουσι καὶ φράττουσι. Ἀλλ' οὐδέποτε τὸ φλέγμα πυρετὸν ἀνάψαι δύναται, μὴ σηπόμενον. πάντα δὲ τὰ σηπόμενα θερμότερα καὶ δριμύτερα γίνονται, τὰ δὲ δριμύτερα ἐπὶ τὸ ξηρότερον ῥέπει. Itaque in febribus amphemerinis phlegma non humidum, sed siccum est· — ἔθος δευτέρα φύσις, ἄκουε τοῦ Ἱπποκράτους λέγοντος. — πολλάκις] Da nutrimenta,

ται τον λόγον ἀκολούθως περὶ διαίτης νοσούντων καί φησιν· ὑγραὶ δίαιται πᾶσι τοῖς πυρεταίνουσι ξυμφέρουσι. καὶ ἡ αἰτία, ἐπειδὴ πᾶσα 1) θεραπεία δι᾽ ἐναντιώσεως γίνεται. ἐναντίον γὰρ 2) τῷ ξηρῷ τὸ ὑγρόν. ἀλλά τινες ἀποροῦσι λέγοντες ὅτι ὁ πυρετὸς οὐ μόνον ξηρός ἐστιν, ἀλλὰ καὶ θερμός. οὐκοῦν ἔδει τῷ Ἱπποκράτει τὸν πυρετὸν θεραπεύοντι μὴ μόνον ὑγρῷ, ἀλλὰ καὶ ψυχρῷ χρήσασθαι. πρὸς τοῦτο λεκτέον, ὅτι ὁ Ἱπποκράτης βραχυλόγος ὢν, τῆς μιᾶς μνησθεὶς ἀντιθέσεως, τῆς κατὰ τὸ ὑγρὸν καὶ 3) ξηρὸν [γινομένης, ἤγουν] μαχομένης, καταλέλοιπε προσυπακούεσθαι τὴν ἑτέραν ἀντίθεσιν, τὴν κατὰ τὸ θερμὸν καὶ ψυχρὸν πολεμοῦσαν. μάλιστα δὲ παιδίοισι 4) συμφέρει, ἐπειδὴ καὶ τρέφει αὐτὰ καὶ τὸν πυρετὸν ἀπομάχεται· κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ κατὰ φύσιν ὑπὸ τῶν ὁμοίων φυλάττεται, τὰ δὲ παρὰ φύσιν ὑπὸ τῶν 5) ἐναντίων ὠφελοῦνται. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τοῖς οὕτως εἰθισμένοις διαιτᾶσθαι ἡ ὑγρὰ δίαιτα συμφέρει, διότι τὸ ἔθος τῶν ὁμοίων δεῖται τὴν φύσιν μιμούμενον. εἶτα ἐπιφέρει διδάσκων, ἐπὶ ποίων ὀφείλομεν ἅπαξ τῆς ἡμέρης διδόναι τροφὴν, ἐπὶ ποίων δεύτερον ἢ πλείω ἢ ἐλάττω τοῦ δὶς καί φησι, καὶ τοῖσιν ἅπαξ ἢ δὶς ἢ πλείω ἢ ἐλάττω καὶ κατὰ μέρος. καὶ ἔστι τοῦτο τρόπος τῆς χρήσεως καὶ κατορθοῦται πρὸς δύο τινὰ ἀφορώντων ἡμῶν, πρὸς τὴν δύναμιν καὶ πρὸς τὸ σῶμα· καὶ πρὸς μὲν τὴν δύναμιν, εἰ ἔῤῥωται, τρέφειν πολλὰ καὶ πολλάκις, πρὸς δὲ τὸ σῶμα, εἰ δέεται, εἰ δὲ τοὐναντίον ἔχει ἡ δύναμις καὶ τὸ σῶμα, ὀλίγα 6) καὶ ὀλιγάκις. πάλιν εἰ μὲν ἡ δύναμις ἔῤῥωται, τὸ δὲ σῶμα οὐ δέεται, πολλὰ ὀλιγάκις. 7) εἰ δὲ τοὐναντίον, ἐδήλωσε ταύτην τὴν συμπλοκὴν ἐναντίως διὰ τοῦ εἰπεῖν κατὰ μέρος. τὸ μέντοι δοτέον καὶ τῇ ὥρῃ καὶ τῇ χώρῃ καὶ τὰ ἑξῆς προσδιορι-

---

quanta respondent corpori et viribus, ἐφ᾽ ὅσον γὰρ ὁ ἐργάτης ὀχεῖν δύναται, ἐπὶ τοσοῦτον καὶ τὸ φορτίον βαρύνομεν.

1) αἰτία V. c. 2) τὸ ξηρ. τῷ ὑγρῷ V. b. c. 3) ψυχρὸν V. a. 4) οὐ add. V. b. 5) ὁμοίων V. a. b. 6) καὶ om. V. a. 7) ἐναντίαν γὰρ ταύτην τ. σ. ἐδήλ. V. b. C.

σμοῦ χάριν εἴρηται, ὅτι οὐ μόνον δεῖ πρὸς τὴν δύναμιν, καὶ τὸ σῶμα ἀποβλέπειν, ἀλλὰ δεῖ παρέχειν τι καὶ τῇ ὥρῃ. εἰ γάρ ἐστι θέρος κἂν δέηται τὸ σῶμα, ἀλλ᾽ ὅμως οὐ παρέχομεν τροφὴν πλείονα, 1) ἀλλ᾽ ὀλίγην, πολλάκις δὲ διὰ τὸ μὴ ἐῤῥῶσθαι τὴν δύναμιν. εἰ δὲ χειμὼν εἴη, κἂν μὴ δέηται τὸ σῶμα, παρέχομεν πλείονα τροφὴν, διὰ τὴν περιουσίαν τοῦ θερμοῦ τοῦ ἐμφύτου, ὀλιγάκις δέ. ὅπερ δὲ ἐπὶ τῶν ὡρῶν, τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἡλικιῶν καὶ ἐπὶ τῶν κράσεων καὶ τῶν λοιπῶν εἴρηται. ἰστέον δὲ ὅτι ὁ Ἱπποκράτης 2) ἐπὶ τῶν ἁπλῶν πυρετῶν διαγορεύει τὸν λόγον. ἐπὶ γὰρ τῶν πεπλεγμένων, οἷον ἐπὶ ὑδρωπικῶν πρὸς τὸ κατεπεῖγον δεῖ ἐνίστασθαι.

ΔΑΜ. Ἐν μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς περὶ τοῦ πόσην εἶναι δεῖ τὴν τροφὴν τοῖς διαιτωμένοις ἡμᾶς ἐδίδαξεν· ἐνταῦθα δὲ περὶ τοῦ ὁποίαν διδάσκει, καὶ πρῶτον μὲν ὅπως χρὴ διαιτᾷν τοὺς πυρέττοντας διαλέγεται. φησὶ γοῦν ὅτι πᾶσαι αἱ ὑγρότεραι τροφαὶ συμφέρουσι καὶ ὠφελοῦσι τοῖς πυρέσσουσι, διότι δηλονότι θερμὸν καὶ ξηρὸν ὑπάρχει πάθος ὁ πυρετός. ἔστι γὰρ μεταβολὴ τοῦ ἐμφύτου θερμοῦ ἐπὶ τὸ πυρῶδες καὶ διὰ τοῦτο ὑγρὰν ἐπ᾽ αὐτὸ συμβουλεύει τροφήν. πλέον δὲ πάντων ὠφελοῦσι τοῖς παιδίοις, ὅταν πυρέσσωσι, διότι σφόδρα διακαῶς οὗτοι πυρέττουσι. καὶ ὅσοι, φησὶν, ὑγιαίνοντες ἔθος ἔχουσιν ὑγρῶς τρέφεσθαι, καὶ τούτοις πλέον τῶν ἄλλων ἡ ὑγρὰ συμφέρει τροφὴ, ὅταν πυρέσσωσιν, ἔπειτα διδάσκει προσέχειν καὶ εἴτε ἅπαξ εἴτε δὶς ἑκάστης ἡμέρας ἢ νυκτὸς χρὴ τρέφειν. χρὴ γὰρ εἰδέναι καὶ τοῦτο τὸν ἰατρόν. σκόπει γοῦν οὕτως. καὶ ἐὰν μὲν ἡ δύναμις τοῦ πάσχοντος ἀσθενής ἐστι καὶ ἡ διάθεσις ὑπ᾽ ἐνδείας πάσχουσα, ὀλίγην μὲν διὰ τὴν τῆς φύσεως ἀσθένειαν, πολλάκις δὲ τῆς ἡμέρας διὰ τὸ δεῖσθαι ὑπὸ τῆς ἐνδείας· εἰ δὲ καὶ ἡ δύναμις μὲν ἀσθενής ἐστι καὶ οὔτε ἔνδειά τις συνυπάρχει, συμμετρία δὲ ἢ ἰσότης τῶν χυμῶν ἢ καὶ πλῆθος, ὀλιγάκις τε καὶ ὀλίγα τού-

---

1) διὰ τὴν ἔνδειαν τοῦ ἐμφύτου θερμοῦ add. V. b. 2) περὶ V. b. c. C.

τοις δώσομεν. καὶ ἐπὶ τοῖς ἑξῆς οὕτω σκοπῶν οὐ σφαλήσῃ πρὸς οὐδὲν τὸ παράπαν.

In codice Vindob. XXVIII. hoc est scholion:

Χρὴ διαιτᾷν τοὺς πυρέσσοντας ὡς ὑγρῷ καὶ ξηρῷ πάθει ὄντι ὑγρὰν δίαιταν, ταῖς δὲ ὑγραῖς φύσεσι, εἴτε δι' ἡλικίας εἴτε δι' ἔθος, οὐ τὴν ἐναντίαν, ἀλλὰ τὴν οἰκείαν. δεῖ γὰρ τὴν φύσιν αὐτῶν διὰ τῶν ὑγρῶν οὐκ ἀνασκευάζεσθαι ᾧτινι νοσήματι. εἰ δέ τις προχειριζόμενος σύνθετα νοσήματα, οἷον ἅμα πυρετῷ ὕδερον ἢ πλευρῖτιν μεθ' αἵματος ἀναγωγῆς, ἀκουέτω, ὡς ἕκαστον τῶν ἁπλῶν ἰδίας θεραπείας δεῖται, τῶν δ' ἐπιπλεκομένων ἀλλήλοις, εἰς ὅσον ἐπιπλέκονται, εἰς τοσοῦτον ἕξουσι ποικίλην καὶ τὴν τῆς θεραπείας ἔνδειξιν, ὥστε ἢ πρὸς τὸ κατεπεῖγον ἵστασθαι μηδὲ θατέρου παντάπασιν ἀμελοῦντα ἢ ὁμοτίμως ἅπασιν βοηθεῖν. πρῶτοι μὲν οὖν ἐκεῖνοι σκοποὶ, ἥτε νόσος καὶ ἡ τοῦ κάμνοντος δύναμις, ἔπειτα καὶ ἡ ὥρα καὶ ἡ χώρα καὶ ἡλικία καὶ τἄλλα τούτοις ἀνάλογα. ἡ γὰρ δύναμις ἀσθενής ἐστι καὶ ἡ κατὰ τὸ σῶμα διάθεσις ἢ κατὰ διαφθορὰν ἢ κατ' ἐνδείαν· τούτοις ὀλίγην τροφὴν πολλάκις δώσομεν, ὀλίγην μὲν διὰ τὴν τῆς δυνάμεως ἀῤῥωστίαν. τὸ γὰρ ἀθρόον πλῆθος οὐ στέγει ἡ τοιαύτη· πολλάκις δὲ, ὅτι πολλῶν ἡ διάθεσις δεῖται, καὶ ἡ μὲν ἔνδεια προσθέσεως δεῖται, ἡ δὲ διαφθορὰ τῆς ἐπικράσεως. ὡσαύτως ἐνδείξεις ληπτέον καὶ ἀπὸ τῆς ὥρας καὶ τῆς χώρας καὶ τῆς ἡλικίας καὶ τῶν λοιπῶν. οἷον ἐν τῇ θερινῇ ὥρᾳ ὅσον ἐπ' αὐτῇ πολλάκις ὀλίγον δοτέον διὰ τὴν πολλὴν διαφορὰν καὶ τὴν ἀσθένειαν τῆς δυνάμεως· ἐν δὲ τῇ χειμερινῇ πολλὴν μὲν διὰ τὴν ῥώμην τῆς δυνάμεως, οὐ πολλάκις δὲ διὰ τὸ ἐπὶ τῇ ὥρᾳ ἀκένωτον τῶν σωμάτων καὶ ἐπὶ τῶν ἄλλων ἑξῆς. κατὰ τὸ ἔαρ μὲν μέσον, ὀλίγοις καὶ διὰ πολλῶν τρέφειν. πληθωρικῆς γὰρ διαθέσεως ἐγγύς εἰσι τότε τὰ σώματα διὰ τὴν ἐν τῷ χειμῶνι πεπηγότων χύσιν καὶ μᾶλλον ἐπὶ πυρεττόντων. τὸ δὲ φθινόπωρον τοῖς κατὰ διαφθορὰν ἐνοχλοῦσι νοσήμασιν ἔοικεν· ἐπ' αὐτῷ οἱ πυρέττοντες τῆς τοῦ χρηστοῦ προσθέσεως δέονται συνεχῶς,

εἰ καὶ ἡ δύναμις, ὡς πολλάκις πολλὰ δοῦναι αὐτοῖς, εἰ δ' ἀσθενεῖς, πολλάκις ὀλίγα. παραπλησίως δὲ ἄν τις λαμβάνοι τὰς ἐνδείξεις καὶ ἀπὸ ἡλικιῶν καὶ ἐθῶν καὶ χωρίων καὶ τῶν λοιπῶν τῶν ὁμοίων εἰς τοὺς πρώτους β' σκοποὺς ἀνάγων. ἕκαστον γὰρ τῶν εἰρημένων ἢ ἰσχυρὰν ἢ ἀσθενῆ τὴν δύναμιν ἐργάζεται καὶ ἢ πληθωρικὸν ἢ ἐνδεὲς ἢ κακόχυμον τὸ 1) *σῶμα.*

ιη'. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι· χειμῶνος, ῥήϊστα· ἦρος, δεύτερον. —

ΘΕΟΦ. Τινὲς καὶ ἐνταῦθα ἔφασαν ταυτολογεῖν τὸν Ἱπποκράτην. προεῖπε γὰρ, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει καὶ τὰ ἑξῆς. οὐκ ἔστι δὲ ταυτολογία. ἐκεῖ μὲν γὰρ 2) *ἐπὶ ὑγιαινόντων ἦν ὁ λόγος, ἐνταῦθα δὲ περὶ νοσούντων. φησὶν οὖν, ὅτι θέρει καὶ φθινοπώρῳ τὰ σιτία δυσφόρως φέρουσιν, ἐν μὲν τῷ φθινοπώρῳ τῷ λόγῳ τῆς ἀνωμαλίας, ἐν δὲ τῷ θέρει τῇ ἔξω διαφορήσει τῆς ἡμῶν θερμότητος, ἐν χειμῶνι δὲ πάλιν ῥήϊστα τουτέστιν εὐχερῶς διὰ τὸ ἐναποκεκλεῖσθαι ἐντὸς τὴν θερμότητα, δεύτερον δὲ, ἐν τῷ ἔαρι τῷ λόγῳ τῆς εὐκρασίας.*

ΔΑΜ. Κατὰ μὲν τὸ θέρος δυσκόλως ὑπομένουσι τα σώματα τὰ βρώματα, διότι πᾶν τὸ ἔξωθεν περιέχον θερμόν ἐστι· κἀντεῦθεν καὶ τὸ ἔμφυτον θερμὸν ἔξω κέχυται πρὸς τὸ συγγενὲς καὶ ὅμοιον· κατὰ δὲ τὸ φθινόπωρον, διότι τότε ἄρχονται τὰ σώματα ψύχεσθαι καὶ πυκνοῦσθαι. κατὰ δὲ τὸν χειμῶνα διὰ τοῦτο εὐκόλως ὑπομένουσι τὰ βρώματα, διότι πᾶν τὸ θερμὸν εἰς βάθος ὑποφεύγει καὶ πέττει ταῦτα. κατὰ δὲ τὸ ἔαρ, εὐκόλως μὲν καὶ τότε φέρουσι καὶ ὑπομένουσι τὰ σώματα πλὴν κατὰ δεύτερον τρόπον· ἐπεὶ οὐ παντελῶς τὸ θερμὸν ἐντὸς περιφεύγει εἰς βάθος, ἐπεὶ καὶ τὸ ἔαρ μέσως ἔχει πρός τε κρύος καὶ θέρμην.

ιθ'. Τοῖσι ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν δι-

---

1) Scholia codicis 28 secundum Galenum composita sunt.
2) *περὶ* V. a. b.

δόναι, μηδὲ ἀναγκάζειν, ἀλλὰ ἀφαιρέειν τῶν προσθέσεων πρὸ τῶν κρίσεων. —

ΘΕΟΦ. Κρίσιν ἐνταῦθα ὁ Ἱπποκράτης λέγει καταχρώμενος τὸν παροξυσμόν. ἔστι γὰρ κρίσις καὶ ἡ ἀθρόα ἐν νόσῳ μεταβολὴ καὶ ὁ ἀγὼν τῆς φύσεως καὶ τοῦ νοσοποιοῦ αἰτίου καὶ ἡ προηγουμένη τούτων ταραχή. λέγει οὖν ὅτι τοῖς κατὰ περίοδον παροξυνομένοις μὴ 1) *ἐπιδῷς τροφὴν μηδὲ ἀναγκάσῃς, ἀλλ' ἀφαίρει τῶν προσθεσίων ἤτοι τῶν τροφῶν* 2) *πρὸ τῶν κρίσεων. εἰ γὰρ ἐπιδώσεις, τὸ τηνικαῦτα ἀναγκάζων, τὰ μέγιστα βλάψεις ἢ πρὸς ἔμετον* 3) *παρασκευάσεις τὸν κάμνοντα διὰ τοῦ βάρους τῆς τροφῆς, ἢ τῷ νοσοποιῷ αἰτίῳ προσθήκης αἴτιος γενόμενος, αὐξήσεις τὸ νόσημα.*

ΔΑΜ. Οἱ μὲν τῶν παροξυσμῶν γίνονται κατὰ περιόδους ἤγουν τεταγμένως καὶ κατὰ τὴν αὐτὴν τῆς ἡμέρας ὥραν, οἱ δὲ οὐ τεταγμένως, ἀλλ' οἷον τύχῃ τῆς ἡμέρας καιρόν. ἀλλ' ἐπὶ τούτων μὲν οὐκ ἔστι δυνατὸν ἐξευρεῖν ἀκριβῶς τὸν καιρὸν, καθ' ὃν ἁρμόζει τρέφειν αὐτοὺς διὰ τὸ τοῦ καιροῦ ἄδηλον, καθ' ὃν ὁ παροξυσμὸς γίνεται δηλονότι. τοὺς δὲ κατὰ τάξιν φησὶ παροξυνομένους ἐν τῷ καιρῷ τοῦ παροξυσμοῦ μὴ τρέφειν, ἀλλὰ τρέφειν τὴν ἄνετον τούτους ἡμέραν, ὀλίγον δὲ πρὸ τῶν κρίσεων ἤγουν πρὸ τῆς ἐλεύσεως τοῦ παροξυσμοῦ χωρίζειν αὐτοὺς τῶν προσθέσεων, ἤως τροφῶν, ἵνα ἡ φύσις ἄνετος οὖσα κουφότερον ὑπομείνῃ τὸ νόσημα.

κ'. Τὰ κρινόμενα, καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίῃσι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλὰ ἐᾷν. —

ΘΕΟΦ. 4) *Πολυειδῶς καὶ πολυτρόπως τὸν περὶ δι-*

---

1) *ἐπιδώσῃς* V. a. 2) E Stephano: *πρὸ τῶν κρίσεων] κρίσιν δὲ καλεῖ τὸν παροξυσμὸν καταχρώμενος. εἰ μέντοι ἀδοκήτως εἰσβολή τις γένηται καὶ ἄτακτος εὑρεθῇ ἡ περίοδος, οὐδὲν περὶ τοῦτο ἁμαρτάνει ὁ ἰατρὸς, εἰ καὶ πρὸ ὀλίγου τοῦ παροξυσμοῦ ἔθρεψε. θεοῦ γὰρ μόνον ἐστὶ τὸ πάντα γινώσκειν, ὁ μέντοι τεχνίτης τῇ ἐμμεθόδῳ χρῆται προγνώσει.* 3) *διεγείρεις* V. c. 4) Stephanus de variis praecur-

αἴτης λόγον ὁ Ἱπποκράτης διδάξας νῦν ἐπὶ ἕτερον μετάγει ἑαυτὸν κεφάλαιον καὶ διδάσκει πότε δέον ἐστὶν ἐν ταῖς κρίσεσι τῶν νοσημάτων ἐπικουρεῖν τῇ φύσει καὶ πότε οὐ δέον καί φησι, σκόπει τὴν γινομένην ἢ γενομένην κρίσιν καὶ εἰ εὕροις αὐτὴν ἀνελλιπῶς καὶ αὐτοτελῶς ὑπαντήσασαν — τοῦτο γὰρ ἔστι τὸ ἀρτίως — μηδεμίαν κίνησιν ἐπιτηδεύσῃς, μηδὲ νεωτεροποιήσῃς τουτέστι καινόν τι 1) ἐπιτηδεύσῃς, ἀλλ᾽ ἔασον. διὰ τί; ὅτι τὸ τηνικαῦτα ἡ φύσις οὐ δεῖται βοηθείας, ἑαυτῇ 2) ἐξαρκέσασα. ἄλλως τε ὅτι ἡσυχίη κρείττων πράξεως. φαρμακίαν δὲ ἐνταῦθα ὁ Ἱπποκράτης φησὶ τὴν κάθαρσιν, ἐρεθισμούς τε ἄλλους, κλυστῆρα, ἐμετικὸν φάρμακον, ὑπήλατον καὶ ἄλλο οἱονδήποτε τὸ δυνάμενον ἐρεθισμὰν 3) ποιεῖν ἐν τῷ σώματι.

ΔΑΜ. Ἐν τούτῳ τῷ ἀφορισμῷ διδάσκει, πότε χρὴ ἐπιτρέπειν τῇ φύσει διαπράττεσθαι τὸ πᾶν περὶ τὸν νοσοῦντα, μηδὲν τεχναζομένου τοῦ ἰατροῦ, πότε δὲ οὐ μόνον τῇ φύσει τὸ πᾶν διδόναι, ἀλλά τι βοηθεῖν καὶ τὸν ἰατρόν. φησὶ γοῦν ὅτι, ὅτε μὲν ἢ γέγονε τελεία τοῦ νοσήματος κρίσις, ἢ γίνεται νῦν, τότε τῇ φύσει τὸ πᾶν ἐπιτρέπειν προσήκει καὶ μηδὲν τὸν ἰατρὸν νεωτεροποιεῖν· ὅτε δὲ μὴ τελέως, ἀλλ᾽ ἐλλιπῶς ἡ κρίσις γίνεται, τότε χρὴ τὸ ἐπίλοιπον προστιθέναι τὸν ἰατρὸν, διότι μετὰ τὴν κρίσιν ὑπολειπόμενα εἰ μή τις καθάρῃ, ὑποστροφὰς εἴωθε ποιεῖν τοῦ νοσήματος. ταῦτα γοῦν κινείτω ὁ ἰατρός. τὰ δὲ ὁλοκλήρως κριθέντα, ταῦτα οὐ χρὴ κινεῖν οὔτε ἐν φαρμακείαις οὔτε ἄλλοις τισὶν ἐρεθισμοῖς καὶ κινήμασι.

κα΄. Ἃ δεῖ ἄγειν, ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις, ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων. —

---

soriis signis crisium loquitur, quae si adsint, nihil agat medicus crisinque exspectet; φύσεως γὰρ ὑπηρέτης ὑπάρχει ὁ ἰατρὸς — εἰ μέντοι ὀκλάσει καὶ καταπέσει ἐν τούτῳ ἡ φύσις, τότε δεῖ καὶ τὸν τεχνίτην χεῖρα ὀρέξαι καὶ ἐπικουρῆσαι αὐτῇ, clystere ubi per anum, sudoriferis, ubi per cutem velit fieri crisis. ἀρτίως] ἀντὶ τοῦ ὑγιῶς καὶ ὁλοκλήρως καὶ ἀνελλιπῶς εἴρηται. μηδὲ κινέειν] διττόν ἐστι, τὸ μὲν τοπικῶς γινόμενον, τὸ δὲ ψυχικῶς. νεωτεροποιέειν] ἀντὶ ξενοπρεπῶς τι ἐπιτηδεύειν.

1) ἐνεργήσῃς V. c. 2) ἐξαρκοῦσα V. b. 3) κινῆσαι V. b. c.

ΘΕΟΦ. Ἐν τῷ ἀνωτέρω ἀφορισμῷ ὁ Ἱπποκράτης παρακελευσάμενος τὰ κρινόμενα καὶ τὰ κεκριμένα τελείως μὴ κινεῖν, νῦν φησιν ἀκολούθως, ἐὰν ἀτελὴς γένηται ἡ κρίσις, ἐκεῖσε δεῖ ποιῆσαι τὴν κένωσιν, ὅπου ῥέπει διὰ τῶν ξυμφερόντων χωρίων, οἷον εἰ μὲν φλεγματικὸς ὁ χυμὸς ᾖ ἢ μελαγχολικὸς κάτω βρίθων, καὶ δι' ἐντέρων πάντως ὥρμησεν ἡ φύσις διῶξαι τὸ περιττὸν, δεῖ τὸν ἰατρὸν ἐρεθισμὸν ποιήσασθαι κλυστῆρι χρώμενον ἢ προσθέτῳ τινί· εἰ δὲ χολὴ πλεονάζουσα καὶ ἄνω ῥέπει καὶ διὰ στόματος ἡ φύσις ὥρμησεν ἀποδιῶξαι αὐτὴν, δεῖ καὶ τὸν ἰατρὸν ἐμετικὸν 1) παρασκευάσαι φάρμακον. καὶ τοῦτό ἐστιν, ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις· ἐὰν γὰρ ἐναντίως ποιήσῃς, πολλὴν 2) παρέξεις ταραχὴν τῇ φύσει καὶ κάματον τῇ δυνάμει καὶ κίνδυνον τοῖς νοσοῦσι.

ΔΑΜ. Διδάξας πρότερον ὅτι τὰ μὴ τελέως κρινόμενα, ἐκεῖνα δεῖ κινεῖν τὸν ἰατρὸν, ἐν τούτῳ τῷ ἀφορισμῷ καὶ πῶς δεῖ κινεῖν ταῦτα διδάσκει καὶ διὰ ποίων μερῶν τοῦ σώματος. φησὶ γοῦν, ὅτι ἐκεῖνα ἃ πρέπει ἄγειν ἤγουν κενοῦν, ταύτῃ ἤγουν ἐκ τούτου τοῦ μέρους κενοῦν τοῦ σώματος, ὅπου ἡ φύσις ῥέπει καὶ κινεῖ μάλιστα διὰ τῶν χωρίων τῶν ὠφελούντων ἤγουν πρὸς κένωσιν ἐπιτηδείων. ἐπιτήδεια δὲ χωρία πρὸς κένωσίν εἰσιν, ἔντερα, γαστὴρ καὶ σύμπαν τὸ δέρμα. πρέπει γοῦν ἕνα ἕκαστον τῶν χυμῶν διὰ τῶν συμφερόντων χωρίων κενοῦν, οἷον εἰ τὸν ἐγκέφαλόν τις μέλλει καθαίρειν, διὰ ῥινῶν τοῦτο ποιεῖν, εἰ δὲ τὸ ἧπαρ, διὰ γαστρὸς, καὶ ἐπὶ τοῖς ἑξῆς ἀκολούθως.

κβʹ. Πέπονα 3) φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. —

ΘΕΟΦ. Ὁ πρὸ τούτου ἀφορισμὸς τὸν ἐγκαταλιμπανόμενον ἐν τῇ κρίσει χυμὸν ἐδίδαξε κενοῦν ἡμᾶς καὶ διὰ ποίων χωρίων, ἀλλ' ἵνα μήτις ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὸν κενώσῃ, ὁ νῦν ἀφορισμὸς σαφηνίζει λέγων, πέπονα φαρμακεύειν

---

1) παρασκευάσασθαι V. b. 2) παράσχῃς V. a. b. 3) θεραπεύειν V. a.

καὶ κινέειν, μὴ ὠμὰ τουτέστιν πεπεμμένα. ὁ γὰρ ἰατρὸς ὀφείλει τὴν φύσιν μιμεῖσθαι καὶ ὥσπερ ἡ φύσις οὐ πρότερον ὁρμᾷ πρὸς τὴν κένωσιν, εἰ μὴ πρότερον συμπέψῃ τὴν ὕλην, οὕτω καὶ ὁ ἰατρὸς οὐκ ἄπεπτον, ἀλλὰ πεπεμμένην τὴν ὕλην κενοῦν ὀφείλει. εἰ γὰρ ἔστιν ὠμὴ ὕλη, οὐκ εἴκει τῷ καθαρσίῳ καὶ χαλεπὰ γίνεται συμπτώματα. διὰ τοῦτο γὰρ εἶπε 1) μηδ' ἐν ἀρχαῖς. ἄπεπτος γὰρ τότε ἡ ὕλη ὡς ἐπὶ τὸ πλεῖστον, ἐν ταῖς ἀρχαῖς τῶν νοσημάτων. τὸ δὲ ἢν μὴ ὀργᾷ εἶπε διὰ τὰ ὀργῶντα ἐν ἀρχῇ τουτέστι κατεπείγοντα· ταῦτα δέ εἰσι τὰ κατόξεα νοσήματα· τὰ γὰρ λοιπὰ οὐκ ὀργᾷ.

ΔΑΜ. Ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι τοὺς λυποῦντας τὸ σῶμα χυμοὺς, ὅσοι μὲν ὀργῶσι καὶ κινοῦνται καὶ ἐνοχλοῦσι τὸν ἄνθρωπον, τούτους κινεῖν ἤγουν καθαίρειν διὰ φαρμάκων, ὅταν ἐν κινήσει καὶ μεταφορᾷ καὶ ῥεύσει τυγχάνωσιν. οἱ γὰρ χυμοὶ πολλάκις ἐν κινήσει σφοδροτέρᾳ καὶ μεταβάσει ἀπὸ μορίων εἰς μόρια κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐνοχλοῦσι τὸ σῶμα, κινοῦντες καὶ γαργαλίζοντες καὶ ἡσυχάζειν οὐδόλως ἐῶντες. τούτους γοῦν καθαίρειν προσήκει. ὅσοι δὲ καθ' ἕν τι μέρος τοῦ σώματος στηριχθῶσι, τούτους οὔτ' ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν οὔτε φαρμακεύειν πρὶν πεφθῆναι. τότε γὰρ ἤδη καὶ ἡ φύσις βοηθεῖ πρὸς τὴν κένωσιν. καλῶς δὲ προσέθηκεν, ὅτι, τὰ δὲ πολλὰ οὐκ ὀργᾷ· οἱ γὰρ χυμοὶ ἄλλοτε εἰς ἄλλο μέρος κινοῦνται τοῦ σώματος. πλὴν ὀλιγάκις τοῦτο συμβαίνει· οἱ πλείονες δὲ ἡσυχάζουσι καὶ μένουσι καθ' ἓν μέρος, ἐν ᾧ καὶ πέττονται παρ' ὅλον τοῦ νοσήματος τὸν καιρὸν ἄχρι λύσεως.

κγ΄. Τὰ χωρέοντα μὴ τῷ πλήθεϊ τεκμαίρεσθαι, ἀλλὰ ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως· καὶ ὅκου δεῖ ἄχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέσῃ ὁ νοσέων. —

ΘΕΟΦ. Ἐν τοῖς πρὸ τούτου ἀφορισμοῖς περὶ καθάρσεως διελέχθη, ἐν δὲ τούτῳ κριτήριον ἐκκρίσεως πα-

1) Stephanus: μηδὲ ἐν ἀρχῇσιν] ἀρχὴ λέγεται ἥ τε πρώτη καὶ ἀκαριαία εἰσβολὴ τοῦ παροξυσμοῦ.

ῥαδίδωσι τὴν εὐφορίαν. φησὶ γὰρ τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι τουτέστι τὰ ἐκκρινόμενα οὐ δεῖ τῷ πλήθει τῶν ἐξαναστάσεων ἢ τῶν ἐκκρινομένων σημειοῦσθαι, ἀλλ᾽ ὅπως ταῦτα καθαίρωνται, σκοπεῖν τουτέστι καλῶς ἢ κακῶς. τοῦ γὰρ βλαπτικοῦ ἐκκρινομένου χυμοῦ, πρόδηλον ὅτι εὐφορία τὸν κάμνοντα διαδέξεται, εἰ δὲ μὴ, τὸ ἀνάπαλιν. εἶτα ἐπάγει, καὶ ὅκου δεῖ 1) ἄχρι λειποθυμίας ἄγειν, καὶ τοῦτο εἰπὼν μετήγαγε τὸν λόγον ἀπὸ τῆς καθάρσεως ἐπὶ τὴν κένωσιν ἤτοι τὴν φλεβοτομίαν. ἐπὶ ποίων δὲ ἄχρι λειποθυμίας ἄγομεν; δηλονότι ἐπὶ τῶν διακαῶς πυρεττόντων, ἀλλὰ καὶ ἐπὶ τούτων οὐ πάντων, ἀλλ᾽ ἐφ᾽ ὧν ἔῤῥωται ἡ δύναμις. τοῦτο γάρ ἐστιν, ἢν ἐξαρκέσῃ ὁ νοσέων· δι᾽ ἣν δὲ 2) αἰτίαν μέχρι λειποθυμίας τὴν κένωσιν ἐπὶ τῶν τοιούτων φέρομεν; ὅτι οἱ καυσώδεις πυρετοὶ ἐπὶ χυμοῖς ἀνάπτονται σηπομένοις. δύο δέ τινα ἡ σηπεδὼν ἔχει, ὕλην σεσηπυῖαν καὶ ποιότητος μοχθηρίαν. εἶτα ἡ μέχρι λειποθυμίας ἐπὶ τῶν τοιούτων πυρετῶν 3) ληφθεῖσα φλεβοτομία καὶ τοῦ ποσοῦ τῆς ὕλης ἀφαιρεῖται καὶ τὴν φλογώδη καὶ δριμεῖαν ποιότητα κατασβέννυσι. καὶ γὰρ λειποθυμία ψύχει τὸ 4) σῶμα.

ΔΑΜ. Φησὶν ἐν τῷ παρόντι ἀφορισμῷ, ὅτι εἴτε ὑφ᾽ ἡμῶν ἡ κένωσις γίνεται, εἴτε ὑπὸ τῆς φύσεως, οὐ πρέπει σημειοῦσθαι τοὺς κενουμένους χυμοὺς, εἰ καλῶς ἐκενώθησαν, ἐκ τοῦ πλήθους τῆς κενώσεως, ἀλλ᾽ ἔχειν

---

1) E Stephano: τὸ μέτρον τῆς ἐκκρίσεως κανονίσαι βουλόμενος — — ἄχρι λειποθυμίας] — — ἐπὶ τῶν διὰ φλεβοτομίας κενουμένων πολύτροπος γίνεται ἡ λειποθυμία, τῶν μὲν δι᾽ ἄκραν δειλίαν ἀκοῇ καὶ μόνου τοῦ φλεβοτόμου ταρασσομένων, τινῶν δὲ αὖ ἐκ τοῦ ὁρᾷν τὸ σιδήριον λειποθυμούντων· ἕτεροι δὲ φλεβοτομηθέντες ἐν ἀρχῇ τῆς κενώσεως ἢ περὶ τὰ μέσα, χυμοῦ τινος περὶ τὸν στόμαχον συῤῥεύσαντος, τὰς λειποθυμίας ὑφίστανται. ἕτερος δὲ τρόπος λειποθυμίας ὁ παρατεινόμενος πρὸς τὴν τοῦ κάμνοντος δύναμιν τῆς κενώσεως ἐπιγενομένης. περὶ ταύτης τῆς λειποθυμίας νῦν διαλέγεται ὁ Ἱπποκράτης. — — σκεδασμῷ τοῦ ζωτικοῦ τόνου. οὐδὲν γάρ ἕτερόν ἐστι λειποθυμία ἢ λεῖψις τοῦ θερμοῦ, εἰκὼν ὑπάρχουσα θανάτου. 2) δίαιταν ταν V. a. 3) ἐνεργηθεῖσα V. c. 4) εἰκὼν ὑπάρχουσα θανάτου addit V. c.

σημεῖον τὴν εὐφορίαν, ἤγουν ἐὰν εὐκόλως ὁ κενῶν τὴν κένωσιν ὑπομείνῃ. εἰ γὰρ τὸ πλεονάζον ἐκκενοῦτο, κουφότερον ἀνάγκη τὸν κάμνοντα γίνεσθαι· εἰ δ᾽ οὔ, τοῦτο περιττεῦον, ἀλλ᾽ ἥπερ ἔχειν ἡ φύσις ἔχρῃζεν, ἀνάγκη καταλύεσθαι καὶ ἀῤῥωστεῖν αὐτοῦ τὴν δύναμιν καὶ δυσφορίας αἰσθάνεσθαι. τὸ δὲ καὶ ὅκου δεῖ μέχρι λειποθυμίας ἄγειν, οὕτως ἔχει· οὐ λέγει ἐνταῦθα τοιαύτην λειποθυμίαν, ἣν πάσχουσί τινες καὶ πρὸ τοῦ διαναστῆναι καὶ καθίσαι ἢ τὴν τῆς φλεβὸς τομὴν φοβούμενοι, ἢ ἄλλου τινὸς βοηθήματος χρῆσιν. αὕτη γὰρ παράλογος ἡ λειποθυμία, οὓς κατακειμένους φλεβοτομοῦσι πολλάκις, ἀλλὰ τὴν ἐξ ὑπερβολῆς γινομένην κένωσιν. δεῖ γοῦν, φησὶν, ὁρᾷν, ἐν οἵοις νοσήμασιν ἄχρι λειποθυμίας χρὴ ἄγειν τὴν κένωσιν καὶ οὕτω ταύτην ἐργάζεσθαι. καὶ γὰρ ἐν τοῖς ἰσχυροτάτοις πυρετοῖς καὶ ἡ μέχρι λειποθυμίας φλεβοτομία κατάψυξιν ἐργάζεται καὶ τὸν πυρετὸν σβέννυσι καὶ τὴν γαστέρα κινεῖ καὶ ἱδρῶτας προχέει. ὁμοίως ἐν ταῖς ἰσχυροτάταις ὀδύναις οὐδὲν ἄλλο μεῖζον βοήθημα παρὰ τὸ μέχρι λειποθυμίας ἐκκενῶσαι. πλὴν ὁρᾷν χρὴ καὶ τοῦτο, ἐὰν ἐξαρκέσει καὶ δυνήσεται καὶ ὁ νοσῶν τὴν τοιαύτην ὑπερβολικὴν κένωσιν καὶ οὕτω ταύτην ἐργάζεσθαι. εἰ δὲ ἄγαν ἐστὶν ἀσθενεστάτης φύσεως ὁ πάσχων, σύμμετρον ποιεῖν καὶ τὴν κένωσιν, ἵνα μὴ πρὸς τῷ μηδὲν ὠφελῆσαι καὶ κίνδυνός τις συμβῇ.

κδ΄. Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι, τῇσι φαρμακίῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν. —

ΘΕΟΦ. Ὀξέα νοσήματα Ἱπποκράτης νῦν καλεῖ τὰ ὀλιγοχρόνια, τὰ συντόμως κινούμενα, τὰ διακαῆ καὶ ζέουσαν ἔχοντα τὴν ὕλην καὶ τὴν θερμασίαν, πάθος δὲ καταχρηστικῶς τὸ νόσημα, φαρμακίαν δὲ τὴν κάθαρσιν. ἐν τούτοις οὖν τοῖς πάθεσιν ὀλιγάκις δεῖ χρήσασθαι τῇ καθάρσει διὰ τὸ πολλὴν ἀνίαν ἐπιγενέσθαι τοῖς σώμασι τῇ εὐκινήτῳ φορᾷ τοῦ νοσοποιοῦ αἰτίου, κἂν ἄπεπτόν ἐστιν. ἀλλὰ καὶ τοῦτό φησι προεξευκρινήσαντας ποιεῖν δεῖ τουτέστι προμελετήσαντας καὶ ἐξερευνήσαντας. ἐὰν γὰρ ἡ δύ-

ναμις ἔῤῥωται καὶ εὔροά εἰσι τὰ σώματα, 1) δεῖ παραλαβεῖν κάθαρσιν· εἰ δὲ τἀναντία, μᾶλλον δὲ καὶ ὠμὸς χυμὸς ἐπιπολάζει περὶ τὸν στόμαχον ἢ πολλάκις ἀναπέμπονται χυμοὶ, οὐ χρὴ τότε τὴν κάθαρσιν παραλαμβάνειν.

ΔΑΜ. Φησὶν ὅτι ἐν ταῖς ἀρχαῖς τῶν ὀξέων νοσημάτων ὀλίγας χρὴ τὰς καθάρσεις ποιεῖν. ἐν μὲν γὰρ τοῖς χρονίοις πάθεσι χρὴ τὸν πεπασμὸν ἀναμένειν· ἐν δὲ τοῖς ὀξέσι νοσήμασιν, ὅταν κίνησις καταρχὴν γίνηται τῶν χυμῶν, εὐθὺς καθαίρειν καὶ τοῦτο πρᾶξαι μετὰ πολλῆς εὐλαβείας καὶ σκέψεως. χρὴ γὰρ εἶναι καὶ τοὺς χυμοὺς τοῦ κάμνοντος εὐρουστάτους τουτέστι λεπτοὺς καὶ μὴ γλίσχρους καὶ τοὺς πόρους ἀνεῳγμένους, δι᾽ ὧν ἡ κάθαρσις μέλλει γίνεσθαι, καὶ μηδεμίαν ἔχοντας ἔμφραξιν. ταῦτα χρὴ προβλέπειν τὸν ἰατρὸν, ἐπειδὰν κάθαρσιν ἐργάζεσθαι μέλλῃ.

κε΄. Ἢν, οἷα δεῖ καθαίρεσθαι, καθαίρηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δὲ ἐναντία, δυσχερῶς. —

ΘΕΟΦ. 2) Εἰ καὶ ἀνωτέρω εἴρηται ὁ νῦν 3) λεγόμενος

---

1) χρὴ λαβεῖν V. b. 2) E Stephano: ὁ μέντοι Γαληνὸς ἐνταῦθα γενόμενος ἐπέστησεν ὡς οὐδέποτε ἐν τοῖς ὀξέσι νοσήμασιν αὐτὸς ἐχρήσατο καθάρσει, ὅπερ οὐδὲ τὸν Ἱπποκράτην διέλαθεν, εἰρηκότα ὅτι δεῖ ἐπ᾽ αὐτῶν ὀλιγάκις κεχρῆσθαι τῇ καθάρσει, ἀλλ᾽ ἐφλεβοτόμησα, φησὶν, ἐπὶ τῶν τοιούτων ὁ Γαληνὸς, εἰ καὶ καθάρσεως ἐδεῖτο τὸ σῶμα, τὰ δύο ἐντεῦθεν πραγματευσάμενος, τό τε τὴν ὕλην κενῶσαι καὶ τὴν δυσκρασίαν σβέσαι, τῷ μέχρι λειποθυμίας τὴν φλεβοτομίαν παραλαβεῖν. ἐνταῦθα γάρ ἐστιν ἐν ἐμοὶ καὶ στῆσαι, ὅτε βούλομαι, τὴν κένωσιν καὶ μὴ στῆσαι, ὅπερ ἐπὶ τῶν καθαιρόντων οὐκ ἔστι διαπράξασθαι. οὔτε γὰρ ποιῆσαι λειποθυμίαν ἐν ἐμοί ἐστιν, οὔτε ἐπιτεταμένην κένωσιν εὐχερῶς ἐπισχεῖν. κύκλον δὲ μιμούμενος ὁ Ἱπποκράτης, ὅθεν ἤρξατο, ἐκεῖ καὶ παύεται· τὸν κολοφῶνα γὰρ τοῦ λόγου καθαρὸν ἀπεργάζεται, σφραγῖδά τινα βεβαίαν καὶ ἀσφαλῆ ἐπιθέμενος τῷ τῆς καθάρσεως λόγῳ, τὴν εὐφορίαν φημί. λέγει γὰρ ἐν ἀρχῇ, ἵν᾽ οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τί οὖν; ταυτολογεῖ πάλιν ταῦτα φάσκων; οὐχί· ἀλλ᾽ ἐκεῖ μὲν φυσικὴν καθαίρων κάθαρσιν καὶ αὐτόματον, τῷ ἐπιλόγῳ τούτῳ ἐκέχρητο. νῦν δὲ τεχνικὴν καὶ ἐξ ἐπιτηδεύσεως παρεισάγει γεγεννημένην, ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις καὶ τὸ πρῶτον τμῆμα πεπλήρωται. 3) λεγόμενος om. V. a.

ἀφορισμὸς, ἀλλ' οὐχ ὁμοίως εἴρηται. ἐκεῖ μὲν γὰρ περὶ φυσικῆς κενώσεως εἴρητο, ἐνταῦθα δὲ περὶ τεχνικῆς. ἡ δὲ ἑρμηνεία πᾶσα τοῦδε τοῦ ἀφορισμοῦ ἐν ἐκείνῳ τῷ περὶ φυσικῆς κενώσεως διαλεγομένῳ ἀφορισμῷ σαφῶς διηγόρευται.

ΔΑΜ. Προέγραψε μὲν τὸν παρόντα ἀφορισμὸν, ἀλλ' ἐπειδὴ κατὰ τοῦτο τὸ μέρος τοῦ βιβλίου περὶ τῶν παρὰ τοῦ ἰατροῦ γινομένων καθάρσεων διαλέγεται καὶ περὶ παντὸς σχεδὸν ἔγραψε τρόπου κενώσεως, οὐκ ὤκνησεν οὐδὲ τοῦτον προσθεῖναι τὸν ἀφορισμὸν, οὐδὲν μὲν διδάσκων νεώτερον, ἀναμιμνήσκων δὲ τῶν προγραφέντων περὶ τῶν φυσικῶν κενώσεων καὶ συμπληρῶν ἅμα τὸν περὶ καθάρσεως σύμπαντα λόγον, ὥστε ἔχειν τὸν παρόντα ἀφορισμὸν ὥσπερ τόπον ἐπιλόγου καὶ τέλους τοῦ πρώτου τμήματος.

Ἀρχὴ σὺν Θεῷ τοῦ δευτέρου τμήματος.

α'. Ἐν ᾧ νουσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. —

ΘΕΟΦ. 1) *Ἐν τῷ παρόντι ἀφορισμῷ τοῦ δευτέρου τμήματος σημείωσιν ὁ Ἱπποκράτης ἀπὸ τῶν ὕπνων διδάσκει,*

---

1) E Stephano: Quatuor capita tractat Stephanus: primum 1) *τί ἐστιν ὕπνος; — — ἡσυχία καὶ ἀνάπαυλα τῶν ψυχικῶν δυνάμεων μετ' ἐπιθέσεως τῶν ψυχικῶν ἐνεργειῶν· ἠρεμούσης γὰρ τῆς ψυχῆς καὶ μὴ ἀναγκαζομένης ὑπουργεῖν τῇ φύσει, λείπεται τοῖς οἰκείοις ἔργοις ἀδιασπάστως ταύτην σχολάζειν, — —* deinde 2) *τίς ἡ μερικὴ χρεία τοῦ ὕπνου; — — συμβάλλεται τῇ πρώτῃ τῶν ἀρχῶν, φημὶ δὴ τῷ ἐγκεφάλῳ. — — καὶ ἰστέον ὡς αἱ κρείττονος ἀξιώματος μεταλαβοῦσαι ἀρχαὶ, ἐγκέφαλός φημι καὶ καρδία καὶ ἧπαρ, ἡσυχίᾳ τινὶ καὶ ἀναπαύσει τὰς οἰκείας ἀνακτῶνται δυνάμεις,* v. c. Cor in systole requiescit et hepar per totum diem quietem agit; ejus enim officia, *νῦν μὲν ἕλκει, νῦν δὲ κατέχει, ἐφεξῆς δὲ ἀλλοιοῖ, καὶ τέλος ἀποκρίνει,* et his vicissitudinibus restauratur. Cerebrum quoque reficitur quiete i. e. somno; — — *οὔτε γὰρ τὸν ἄκρον δάκτυλον, ἢ τελευταίαν δακτυλίδα κινῆσαι δυνατὸν, ἄνευ τοῦ τὸν ἐγκέφαλον κινηθῆναι. — —* 3) *τίς ὁ τρόπος τῆς γενέσεως τῶν ὕπνων; — — ἀτμοί τινες χρηστοὶ ἐν τῇ ζυμώσει τῶν σίτων πεττομένων γινόμενοι, ἐπὶ*

ἐξ ἧς ἐστι γνῶναι, εἴτε σωτήριον εἴτε ὀλέθριον ὑπάρχει τὸ νόσημα. φησὶν οὖν ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον, ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. ὁ πόνος τριττός· πόνος ἡ βλάβη, ὡς ἐνταῦθα, καὶ τὸ γυμνάσιον ὡς τὸ, πόνοι σιτίων ἡγείσθωσαν, καὶ ἡ ὀδύνη, ὡς τὸ δύο πόνων ἅμα γινομένων. πάλιν οἱ καιροὶ τῶν νοσημάτων τέσσαρες, ἀρχὴ, ἀνάβασις, ἀκμὴ καὶ παρακμή. ἐν μὲν οὖν τῇ ἀρχῇ ὁ ὕπνος πόνον ποιεῖ, ἤτοι βλάβην ποιεῖ, περὶ ἧς ὁ λόγος οὐκ ἔστι τῷ Ἱπποκράτει. οὐ γὰρ 1) θάνατον σημαίνει· ὅσον οὔπω γὰρ ἐξαναφθήσεται τὰ τῆς θερμασίας καὶ τῶν περιττωμάτων τὸ φρύαγμα καταπαλήσεται. ἐν δὲ τῇ ἀναβάσει καὶ τῇ ἀκμῇ καὶ τῇ πα-

---

τὸν ἐγκέφαλον ἀναδίδονται, οἵτινες ἐπιτέγγουσιν αὐτὸν καὶ ὑγρότερον ἀπεργάζονται, ἔτι γε μὴν καὶ τὰς κοιλίας ἐμφράττουσι καὶ τὸ ψυχικὸν πνεῦμα ἀπολαμβάνουσιν, ᾧτινι ὡς ὀργάνῳ χρωμένη ἡ ψυχὴ, πᾶσαν ἑαυτῆς ἐπιτελεῖ τὴν ἐνέργειαν. — — τούτου οὖν στερούμενον τὸ σῶμα ἀνενέργητον ἀποτελεῖται. — — — ἡ καταλαμβάνουσα τὸ σῶμα διάθεσις ὕπνος ὀνομάζεται. ἀδύνατον δὲ ἢ παντελῶς ἀκαταύγαστον γενέσθαι τὸ σῶμα, ἔτι ὑπνοῦντος τοῦ ζώου. διὰ τοῦτο οὖν ἀμυδρῶς πως καὶ ἐν τοῖς ὕπνοις ἐλλάμπεται, ὡς δηλοῦσιν ἡ τοῦ θώρακος κίνησις καὶ οἱ ὄνειροι, ἀκτινοειδῶς διαδιδράσκοντος διὰ τῆς ἀτμώδους φύσεως τοῦ ψυχικοῦ πνεύματος. — — 4) τί χρήσιμον τοῦ ὕπνου τῷ παντὶ σώματι; — — Calor versus interna vergit; inde ψύχεσθαι μὲν ἀνάγκη τὰ ἐκτὸς, ὡς δηλοῖ τὸ περιβλημάτων ἡμᾶς καὶ σκεπασμάτων δεῖσθαι ἐν τοῖς ὕπνοις. — Itaque αἱ πέψεις γίνονται, χυλοποίησις, ἐξαιμάτωσις, πρόσφυσις, θρέψις, διάκρισις τοῦ χυμοῦ. — — unde mane subito mingimus et ventrem exoneramus. — — δυσὶ γὰρ τούτοις ἐτίμησε τὸ ζῶον ἡ φύσις, ὕπνῳ καὶ ἐγρηγόρσει, τὸ μὲν διὰ τὴν τοῦ σώματος ἀνάπαυσιν καὶ τὴν τῆς πέψεως ἀκρίβειαν, τὸ δὲ διὰ τὴν τῆς ψυχῆς πρᾶξιν καὶ τὴν τῶν περιττωμάτων ἀπόθεσιν. — — ὅσῳ γὰρ οὔπω ἐξαφθήσεται τὰ τῆς θερμασίας, καὶ τῶν περιττωμάτων τὸ φρύαγμα καταστραφήσεται. in prioribus enim εἰκὼν erat, si debiliori flammae multa et humida ligna imponuntur, aut flammae magnae pauca et sicca ligna. Dein quaerit de significatu verbi πόνος. 1) γυμνάσια v. c. πόνοι σιτίων ἡγείσθωσαν. 2) ὀδύνη v. c. δύο πόνων ἅμα γιγνομένων. 3) κατὰ τῶν συμπτωμάτων τὸ τοῦ πόνου ἐπιφέρειν εἴωθε ὄνομα v. c. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. Ita in nostro loco, ubi intelligas meteorismum, cephalalgiam, lipothymiam, phlegmonen etc.

1) θανάσιμον V. a.

ρακμῇ, τοὐπίπαν ἐν ἀρχῇ, τὶς ὠφέλεια τοῖς ὕπνοις ἀκολουθεῖ, καὶ μάλιστα ἐναργεστάτη ταῖς παρακμαῖς. ἐὰν οὖν ἐν τούτοις τοῖς καιροῖς καὶ μάλιστα ἐν τῇ 1) ἀκμῇ βλάβην ὁ ὕπνος ποιήσῃ, θανάσιμόν ἐστιν. ἐν ᾧ γὰρ ἕκαστον ὠφελιμώτατόν ἐστιν, ἐὰν πρὸς τῷ μηδὲν ὠφελεῖν ἔτι καὶ βλάπτῃ, θάνατον εἰκότως δηλώσει. τοῦτο δὲ γίνεται διὰ τὴν ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ μὴ δυναμένου περιγενέσθαι τοῦ νοσοποιοῦ αἰτίου. εἶτά φησιν, ἢν ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. καὶ εἰκότως· δηλοῦνται γὰρ ἐκ τούτου καλῶς αἱ ὕλαι 2) πεπέφθαι.

ΔΑΜ. Ὅταν ἐξ ὕπνου γένηταί τις βλάβη, θανάσιμον εἶναι τὸ νόσημά φησιν, ὅταν δ' ὠφέλεια, μὴ θανάσιμον. βλάβαι δ' ἐξ ὕπνων εἰσὶν αἱ ταῖς ὠφελείαις ἐναντίαι, τό τε τὸν πυρετὸν ἢ μὴ λύεσθαι πρὸς αὐτῶν ἢ καὶ παροξύνεσθαι καὶ τὸ τὰς ὀδύνας ἐπιτείνεσθαι καὶ τὰ ῥεύματα πλείω γίνεσθαι καὶ τὰς φλεγμονὰς αὐξάνεσθαι. τινὲς δὲ καὶ κατ' αὐτοὺς τοὺς ὕπνους φθέγγονται παρακοπτικῶς καὶ ἢν ἐξεγείρωνται, μέχρι πολλοῦ παρανοοῦσιν. ἐνίοις δ' ἀρχὴ κώματος ἐν τῷ ὕπνῳ γίνεται καὶ μόλις ἀνίστανται νυττόμενοι. συμβαίνει δὲ ταῦτα πάντα διὰ τὴν τῶν χυμῶν κακοήθειαν, οὓς ὅταν μὲν ἰσχυρότερον ᾖ τὸ ἔμφυτον ἡμῶν θερμὸν, ἐκπέττει κατὰ τοὺς ὕπνους, ὅταν δ' ἀσθενέστερον, ἐνικήθη μὲν ὑπ' ἐκείνων ἐκεῖνο, βαρύνεται δ' ὑπ' αὐτῶν τὰ σπλάγχνα καὶ τοῖς εἰρημένοις ἁλίσκεται πάθεσιν ὁ ἄνθρωπος. αὐτὸς γὰρ ὁ Ἱπποκράτης βούλεται τὸν μὲν ἐγρηγορότα ἔξωθεν θερμότερον εἶναι, τὸν δὲ καθεύδοντα ἐναντίως.

β'. Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν. —

ΘΕΟΦ. 3) Ἄνω καθολικὸν τὸν λόγον ποιούμενος ἔλεγε, ὅπου ὕπνος πόνον παύει, οὐ θανάσιμον. καὶ ὃ ἔλεγεν ἐκεῖ, πιστοῦται νῦν διὰ παραδείγματος ἐν τῷ φάναι, ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν. καὶ αὐτὸς μὲν

---

1) παρακμῇ **V. a.** 2) πεφθῆναι **V. c.** 3) **E Stephano:** *Καί φησιν ὁ Γαληνὸς ὅτι δεῖ καινοτομῆσαι τὴν λέξιν καὶ τὸν γ ὰ ρ καταθεῖναι σύνδεσμον, ὥστε μίαν ἀπαρτίζεσθαι συνέχειαν,* — ut primus cum secundo aphorismo jungatur.

ὡς φιλοσύντομος τοῦ χαλεπωτάτου νοσήματος τουτέστι τῆς παραφροσύνης μνησθεὶς ἐδήλωσεν, ὅτι καὶ τὰ λοιπὰ τουτέστι πυρετὸν, φλεγμονὴν, ὀδύνην ἐὰν ὕπνος παύῃ, ἀγαθόν ἐστιν.

ΔΑΜ. Ἀπὸ τοῦ κινδυνωδεστάτου νοσήματος δηλοῖ καὶ τὰ ἄλλα.

γʹ. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γενόμενα, κακόν. —

ΘΕΟΦ. 1) Ἄμφω κακὰ ὡς ἄμετρα, ἀλλ' ὁ μὲν ὕπνος καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον, ὡς σημεῖον μὲν, ἐπειδὴ δηλοῖ πλῆθος ὕλης καὶ ἀσθένειαν δυνάμεως, ὡς αἴτιον δὲ, ὅτι ἐπιτείνει τὸ πλῆθος, μὴ συγχωρῶν αὐτὸ διαφορηθῆναι. αἱ γὰρ διαφορήσεις ἐν τῇ ἐγρηγόρσει γίνονται. πάλιν δὲ καὶ ἡ ἐγρήγορσις ὡς σημεῖον καὶ ὡς αἴτιον κακὸν, ὡς σημεῖον μὲν ὅτι ἐνδείκνυται ξηρότητα, ὡς αἴτιον δὲ, ὅτι ἐπιτείνει αὐτὴν τῇ διαφορήσει. ἀποροῦσι δέ τινες λέγοντες, ὅτι διὰ τί εἶπεν ὕπνον μακρόν; ὁ γὰρ μακρὸς ὕπνος οὐχ ὕπνος, ἀλλὰ κῶμα. 2) λύσις. ὅτι ἄλλο κῶμα καὶ ἄλλο μακρὸς ὕπνος· τὸ μὲν γὰρ κῶμα οὐ μόνον τῷ μήκει χαρακτηρίζεται, ἀλλὰ καὶ τῷ δυσεγέρτῳ· ὁ δὲ μακρὸς ὕπνος τῷ μήκει μὲν, οὐ μὴν δὲ καὶ τῷ δυσεγέρτῳ.

ΔΑΜ. Γίνεται δὲ μακρὸς ὕπνος ἐπὶ ψύξει τοῦ πρώτου αἰσθητικοῦ ἤγουν τοῦ ἐγκεφάλου, ἥτις ὅταν ἰσχυρὰ γένηται, μετὰ μὲν ὑγρότητος μιχθεῖσα τὰ ληθαργικὰ πάθη ποιεῖ, μετὰ δὲ ξηρότητος τὰς καλουμένας καταλήψεις. οὕτω δὲ καὶ ἀγρυπνίαι διὰ θερμασίαν τοῦ ἐγκεφά-

---

1) E Stephano: *οἱ μὲν γὰρ παῖδες πλείους τῶν ὀκτὼ ὡρῶν καθεύδειν πεφύκασιν. ἐπὶ τοσοῦτον δὲ ἢν ὁ ἀκμάζων καθευδήσῃ, ἀμέτρως ὑπνοῖ. οἱ γὰρ ἀκμάζοντες ἓξ ὥρας τὸ μήκιστον καθεύδειν δύνανται.* — — Hyeme diutius quam aestate dormimus. — — *τὴν ἀγρυπνίαν ἀντὶ τῆς ἐγρηγόρσεως εἴρηκεν ὁ Ἱπποκράτης.* — Quid? immodicus somnus non somnus, sed *κῶμα* est. At *φαμὲν οὖν ὅτι ἄλλο κῶμα καὶ ἄλλο μακρὸς ὕπνος, καὶ ταῦτα διορίζει ἡ δυσχερὴς* (coma) *καὶ εὐχερὴς* (somnus) *ἐπανάστασις — μετά τινος κραυγῆς καὶ δονήσεως.* 2) *λέγεται* V. b.

λου γίνονται ἢ διὰ δυσκρασίαν μόνην ἢ καὶ χυμοῦ χολώδους πλεονάσαντος.

δ΄. Οὐ πλησμονὴ, οὐδὲ λιμὸς, οὐδὲ ἄλλο οὐδὲν ἀγαθὸν, ὅ τι ἂν μᾶλλον τῆς φύσιος ἔῃ. —

ΘΕΟΦ. 1) Διὰ τί πλησμονῆς καὶ λιμοῦ ἐμνήσθη ἐνταῦθα, οὐ μέντοι ἄλλης τινὸς ἐναντιώσεως, οἷον θερμασίας καὶ ψύξεως; ὡς αἴτια τῶν πρὸ αὐτῶν εἰρημένων. ὁ μὲν γὰρ πολὺς ὕπνος τῇ πλησμονῇ γίνεται τῶν βρωμάτων, ἡ δὲ ἀγρυπνία τῷ ὑπερβάλλοντι λιμῷ. ἀπὸ δὲ τούτων ἐπὶ τὸ καθολικώτερον ἀναγόμενός φησιν, οὐδὲ ἄλλο οὐδὲν ἀγαθὸν, ὅ τι ἂν μᾶλλον τῆς φύσιος ᾖ. καὶ ἡ αἰτία. ὅτι οὐδὲν ἄμετρον ἀγαθόν.

ΔΑΜ. Ὅσαι μὲν γὰρ 2) * αἱ μετρίαι πλεῖστον ἀποκεχωρήκασι τοῦ συμμέτρου, ἤδη νοσήματα ὑπάρχει. ὅσαι δ᾽ οὐδέπω τὸ μέχρι πλείστου κέκτηνται, νοσημάτων ἐνδείκνυνται γένεσιν.

ε΄. Κόποι αὐτόματοι φράζουσι νούσους. —

ΘΕΟΦ. Αὐτομάτους κόπους ὀνομάζει τὰς ἄνευ φανερᾶς αἰτίας γινομένας 3) ἀνιαρὰς συναισθήσεις, ἐξ ὧν καὶ τὴν διάγνωσιν νῦν ποιεῖται. ἀλλ᾽ οὗτοι οἱ κόποι τριττοί· οἱ μὲν γάρ εἰσι 4) τονώδεις οἱ ἐκ πνευμάτων φυσωδῶν τεινόντων τὸ ὅλον σῶμα μετ᾽ αἰσθήσεως γινόμενοι, οἱ δὲ ἑλκώδεις· ὥσπερ γὰρ ἐπὶ ἕλκους δοκεῖ τούτοις συναίσθησις γίνεσθαι, οἵτινες γεννῶνται ἐξ ὕλης δριμείας τε καὶ δακνώδους· οἱ δὲ ὀστοκοπώδεις, ἐπειδὴ δοκοῦσι συντεθλάσθαι τὰ ὀστᾶ, γινόμενοι ἐκ παχέος καὶ γεώδους χυμοῦ. οὗτοι οὖν οἱ κόποι φράζουσι τουτέστι δηλοῦσι καὶ 5) προμηνύουσι μέλλουσαν γίνεσθαι νόσον. τέως γὰρ ἠρεμεῖ ὁ χυμὸς, ὁ αἴτιος τῶν κόπων, λοιπὸν δὲ ὕστερον

---

1) E Stephano: **Alia contraria sunt**, σκληρότης καὶ μαλακότης, πυκνότης καὶ ἀραιότης, θερμασία καὶ ψύξις, ἴσχνανσις καὶ πάχυνσις. 2) Legas ἀμετρίαι. 3) ἀν. συναισθ. om. C. 4) E Stephano: ἐπὶ μὲν τοῦ ἑλκώδους καθάρσει χρηστέον, ἐπὶ δὲ τοῦ τονώδους φλεβοτομίᾳ, ἐπὶ δὲ τοῦ ὀστοκοπώδους τῷ συναμφοτέρῳ. 5) μηνύουσι V. b. c.

ἐμφράττεται, 1) ἀδιαπνευστεὶ σήπεται κἀντεῦθεν χαλεπὰ γίνονται νοσήματα.

ΔΑΜ. Οὐ τῆς τῶν κινήσεων ἀμετρίας ὄνομά ἐστιν ὁ κόπος, ἀλλὰ τῆς ἐγγινομένης διαθέσεως ἐν τοῖς τῶν ζώων σώμασιν ὑπὸ τῶν τοιούτων κινήσεων. οὐ μνημονεύει γὰρ γινομένων κόπων, ἀλλὰ τῶν αὐτομάτων. ὅταν οὖν ἄνευ κινήσεως ἡ τοιαύτη γένηται διάθεσις, οὐ κόπος ἁπλῶς, ἀλλὰ κόπος αὐτόματος ὀνομάζεται. εἰσὶ δὲ τριττοὶ κόποι, καλεῖται δὲ ὁ μὲν ἑλκώδης, ὁ δὲ τονώδης, ὁ δὲ φλεγμονώδης καὶ γίνεται ὁ μὲν ὑπὸ κακοχυμίας, ὁ δὲ ὑπὸ πλησμονῆς, ὁ δὲ ὑπ' ἀμφοτέρων τούτων.

ς'. Ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων μὴ αἰσθάνονται, τουτέοισι ἡ γνώμη νοσέει. —

ΘΕΟΦ. Συνεχὴς καὶ οὗτος τῷ πρὸ αὐτοῦ ἀφορισμῷ. ἐν ἐκείνῳ μὲν γὰρ περὶ τοῦ αἰσθητικῶς γινομένου πόνου 2) διηγόρευεν, ἐνταῦθα δὲ περὶ τοῦ ἀναισθήτως καί φησιν, ἐάν τις ὀδυνηρὰν ἔχων διάθεσιν ἐν οἱῳδήποτε μέρει τοῦ σώματος αἰσθητικῷ μὴ αἰσθάνηται τῆς ὀδύνης, κακόν· δηλοῖ γὰρ ὅτι ὁ ἐγκέφαλος πέπονθεν, οἷον ἐπὶ παραδείγματος· ἔστιν ὁ κάμνων ἐρυσίπελας ἔχων ἢ φλεγμονὴν περὶ τὸν μηρόν. τοῦτο ὁ ἰατρὸς ὁρῶν κατὰ λόγον τὰ δέοντα ποιῶν παραμυθεῖται· εἰς τὴν ἑξῆς ἐλθὼν εἰ παρὰ τοῦ 3) παρακολουθήσαντος μάθοι, ὅτι ὅλως οὐκ ᾔσθετο τῆς ὀδύνης ἐν τῇ νυκτὶ πρότερον μὴ ὑποφέρων αὐτὴν, λογίζεται συναγαγὼν, μὴ ἄρα διεφορήθη ὁ τοιοῦτος 4) ὄγκος ἢ μετωχετεύθη καὶ τούτῳ τῷ λόγῳ ἀνώδυνος γέγονεν. εἶτα εἰ ἐρευνῶν μηδὲν ἐκ τούτων εὕροι, 5) τὸν δὲ ὄγκον τὸν αὐτὸν θεάσηται, εὐθέως τεκμαίρεται, ὅτι ἢ παρεφρόνησεν ὁ ἄνθρωπος ἢ μέλλει παραφρονεῖν. ἐβλάβη γὰρ τὸ 6) κρῖνον. τὸ δὲ π ο λ λ ὰ κεῖται νῦν ἀντὶ τοῦ ὡς ἐπίπαν.

---

1) ἀδιαπνευστεὶ om. V. b. c. C. 2) διηγόρευσεν V. b. 3) παρακ. καὶ δουλεύοντος V. c. μαθητοῦ V. b. ab aegroto vel ab aliis. C. 4) χυμὸς V. b. inflammatio C. 5) τῶν δὲ εἰκότων ἔξω θεάσ. V. b. om. C. 6) κρανίον V. b. om. haec verba C.

ΔΑΜ. Γνώμην τὴν κατάστασιν τοῦ νοός φησιν.

ζ΄. Τὰ ἐν πολλῷ λεπτυνόμενα, νωθρῶς ἐπανατρέφειν· τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως. —

ΘΕΟΦ. Ἐνταῦθά φησι πρὸς τὸν ἰατρὸν, ὅτι σκόπει ἐπὶ τῶν ἀνακομιζομένων τὸ προηγησάμενον αἴτιον ἤγουν νόσημα εἴτε χρόνιον ἦν, εἴτε ὀξύ. διὰ γὰρ τοῦ εἰπεῖν ἐν πολλῷ καὶ ὀλίγῳ ταῦτα ἐδήλωσε. καὶ εἰ μὲν ἐν πλείονι χρόνῳ ἐλεπτύνθη τὸ σῶμα, νωθρῶς θρέψον τουτέστιν ἐν πλείονι χρόνῳ καὶ κατὰ μέρος, διὰ τόδε, ὅτι τοῖς ἐν πλείονι χρόνῳ λεπτυνθεῖσι ἐκτήκονται μὲν αἱ σάρκες, ἰσχνὰ δὲ γίνονται καὶ τὰ ἄλλα, δι᾽ ὧν αἱ πέψεις τοῖς ζώοις ἐπιτελοῦνται καὶ ἡ ἀνάδοσις καὶ ἡ αἱμάτωσις, ὥστε οὐ δυνήσεται τοσαύτην κατεργάσασθαι τροφὴν, ὅσην 1) χρήζει τὸ σῶμα. εἰ δὲ ἐν ὀλίγῳ, ὀλίγως τουτέστι συντόμως πλείονα τροφὴν 2) παρέχομεν. ἐπὶ τούτων γὰρ τὰ ὑγρὰ μόνον ἐκενώθη, τὰ μέντοι στερεὰ εὔρωστά εἰσιν. οὕτως οὖν χρῶ ἐπὶ ταύτων θαῤῥῶν τῇ τῶν στερεῶν εὐρωστίᾳ.

ΔΑΜ. Τὰ μὲν ἐν ὀλίγῳ χρόνῳ 3) λεπτυνόμενα κενώσει τῶν ὑγρῶν καὶ τῶν πνευμάτων τοῦτο πέπονθε· τὰ ἐν πολλῷ δὲ πρὸς τούτοις καὶ τῇ τήξει τῶν στερεῶν, δι᾽ ὧν ἥ τε πέψις καὶ ἀνάδοσις καὶ θρέψις γίνεται, ὥστε τούτων ἀτονησάντων, οὐ δεῖ ἁδρῶς τρέφειν, ἀλλὰ λεπτῶς καὶ κατὰ βραχὺ, ἐπὶ δὲ τῶν προτέρων ἁδρῶς καὶ διὰ ταχέων.

η΄. Ἣν ἐκ νούσου τροφὴν λαμβάνων μὴ ἰσχύῃ, σημαίνει ὅτι τὸ σῶμα πλέονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίνηκαι, σημαίνει ὅτι κενώσιος δέεται. —

ΘΕΟΦ. Καὶ οὗτος συνεχὴς τῷ ἀνωτέρω καὶ ἀναληπτικὸς ὁ ἀφορισμός. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὅσοι ὀρεγόμενοί τε καὶ τροφὴν 4) δαψιλῆ προσφερόμενοι ἐκ

---

1) *δέεται* V. b. 2) *παρέχων* V. a. *παρέχειν* V. c. 3) *λεπτυνθέντα* in mg. 4) *ταχεῖαν* V. b. crassum C. *τραχεῖαν*.

νόσου ἀνακομιζόμενοι τὴν ὑγιεινὴν ἰσχὺν ἀδυνατοῦσιν ἀνακτήσασθαι, δηλοῖ ὅτι πλείονι χρῶνται τροφῇ καὶ διὰ τοῦτο ἀδυνατοῦσι. βαρύνονται γὰρ μᾶλλον ἢ τρέφονται παρ᾽ αὐτῆς διὰ τὸ τὰς φυσικὰς δυνάμεις τοῦ σώματος ἀσθενεῖς εἶναι καὶ μήτε χυλοποίησιν κατὰ λόγον μήτε ἐξαιμάτωσιν μήτε θρέψιν γίνεσθαι. ὅσοι δὲ οὐ λαμβάνειν αὐτάρκως δυνάμενοι τροφὴν τὴν ἀδυναμίαν ἔχουσι, μοχθηροὺς ἔχουσι χυμούς, 1) οὓς εἰ μὴ κενώσειαν, ἀδύνατον αὐτοῖς τὴν ὑγιεινὴν ἰσχὺν ἀναλαβεῖν. τὰ γὰρ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψαις, μᾶλλον βλάψεις. εἰ δέ τις ἀπορεῖ λέγων, ὅτι καὶ εἰ ὀρέγονται, πῶς οὐ τρέφονται, λέγομεν οὖν, ὅτι ὀρέγονται μὲν ἐκ τοῦ ἐῤῥῶσθαι τὴν ὀρεκτικὴν δύναμιν, οὐ πέττουσι δὲ διὰ τὴν ἀσθένειαν τῆς ἀλλοιωτικῆς, καὶ διὰ τοῦτο οὐ τρέφονται.

ΔΑΜ. Ὅσοι μὲν οὖν ὀρεγόμενοί τε καὶ τροφὴν δαψιλῆ προσφερόμενοι τὴν ἰσχὺν τὴν ὑγιεινὴν ἀδυνατοῦσιν ἀνακτήσασθαι· βαρύνονται γὰρ μᾶλλον, οὐ τρέφονται πρὸς αὐτῆς διὰ τὴν ἀσθένειαν τῆς πεπτικῆς δυνάμεως. ὅσοι δὲ οὐδὲ λαμβάνειν αὐτάρκως δύνανται, μοχθηροὺς ἔχουσι χυμούς, οὓς εἰ μὴ κενωθεῖεν, ἀδύνατον αὐτοῖς ἐστι τὴν ὑγιεινὴν ἰσχὺν ἀναλαβεῖν.

Θ΄. Τὰ σώματα χρή, ὅκου τις βούλεται καθαίρειν, εὔροα ποιέειν. —

ΘΕΟΦ. Κατὰ συνέχειαν καὶ οὗτος ὁ ἀφορισμός· ἐν μὲν γὰρ τῷ πρὸ αὐτοῦ ἔλεγεν Ἱπποκράτης, ἣν τροφὴν μὴ λαμβάνοντος τοῦτο γίνηται, κενώσεως δεῖται, ἀλλ᾽ ἵνα μήτις ἀπροόπτως καὶ ὡς ἔτυχε τὸ κενωτικὸν παράσχῃ βοήθημα καὶ ἀδικήσῃ τὸν κάμνοντα, φησὶν ἐνταῦθα, ὅτι δεῖ τὸν ἰατρὸν τὸν μέλλοντα καθαίρειν εὔροιαν ἐπιτηδεύειν ἐν τῷ σώματι. 2) ἡ δὲ εὔροια τὴν ἀκώλυτον δηλοῖ διέξοδον, ἥτις κατὰ δύο τρόπους γίνεται, κατά τε λέπτυν-

---

1) ὡς — κενωθεῖεν V. a. 2) V. a. ita habet: εἰ γὰρ λεπτύνει καὶ τέμνει τοὺς παχεῖς καὶ γλίσχρους ἐν τῷ σώματι χυμοὺς καὶ τοὺς πόρους, δι᾽ ὧν οὗτοι μεταλαμβάνονταί τε καὶ ἕλκονται, πρὸ τῶν καθαρτικῶν φαρμάκων ἀναστομώσειεν, ἡ κένωσις αὐτοῖς ἀρίστη γίνεται κατὰ πάντα.

σιν τῆς ὕλης καὶ τῶν χωρίων μαλακότητα. δεῖ οὖν καὶ τὰ περιέχοντα χαλάσαι καὶ ἀραιῶσαι καὶ τοὺς πόρους ἀναπετάσαι καὶ τῶν ἀγγείων τὰ στόμια ἀνευρῦναι καὶ τοὺς περιεχομένους τῷ σώματι παχεῖς καὶ γλίσχρους χυμοὺς τεμεῖν καὶ λεπτῦναι. εἶτα δοθέντος φαρμάκου καθαρτικοῦ, μεταλαμβάνονταί τε καὶ ἕλκονται πρὸς αὐτοῦ καὶ ἀρίστη γίνεται ἡ κάθαρσις αὐτοῖς κατὰ πάντα. οὔτε γὰρ στρόφοι, οὔτε ἴλιγγοι, 1) ἄσαι τε πολλαὶ καὶ κακοσφυξίαι καὶ ἐκλύσεις ἀπαντῶσιν αὐτοῖς.

ι'. Τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις. —

ΘΕΟΦ. Ὅτι συνδιαφθείρεται ἡ ἐπιοῦσα τροφὴ τῇ προϋπαρχούσῃ κατὰ τὸ σῶμα κακοχυμίᾳ, καθάπερ καθαρὸν ὕδωρ ἐν βορβόρῳ χεόμενον, ὥστε αὐξάνεσθαι μὲν αὐτῆς τὴν ποσότητα, φυλάττεσθαι δὲ τὴν ποιότητα. κἀντεῦθεν ἀνόητος ὁ σκοπὸς γίνεται τοῦ τρέφειν.

ΔΑΜ. Ἰσχυρὰ ποιεῖν τὰ σώματα χρὴ διὰ τοῦ τῶν χυμῶν παραλεπτυσμοῦ καὶ τῆς τῶν πόρων ἀναπετείας ἢ ἀποφράξεως καὶ ἀναστομώσεως, καὶ διὰ τῆς ῥύψεως καὶ λεπτύνσεως τῶν ὑγρῶν.

ΣΤΕΦ. Φησὶν ὁ Γαληνὸς, ἔδει τὸν παρόντα ἀφορισμὸν τῷ μικρῷ πρόσθεν εἰρημένῳ συντάξαι, ἐν ᾧ εἴρηκεν, ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίνηται, σημαίνει ὅτι κενώσεως τοῦτο δεῖται· ὥς τινος γὰρ λέγοντος διὰ τί κενώσεως δεῖται, αὐτὸς ἐπιφέρει, τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις, διότι κακοχυμίας πεπληρωμένον, οὕτως προσίεται τὴν τροφὴν, εἶτα μετὰ τοῦτον τὸν ἀφορισμὸν ἔδει συνάψαι τὸν μεταξὺ ὄντων δύο τεταγμένον. ἐρωτώμενος γὰρ πάλιν ὁ Ἱπποκράτης πῶς δεῖ τῇ καθάρσειχρή σασθαι ἐπήγαγεν, τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρειν, εὔροα ποιέειν.

ια'. Ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίων. —

ΘΕΟΦ. Πᾶσα γὰρ σιτηρὰ τροφὴ, ὡς παχυτέρα, δυ-

1) vertigine vel inflammatione vel exolutione C.

σαλλοίωτός ἐστι καὶ δυσανάδοτος, ἡ δὲ ὑγρὰ ὡς εὐαλλοίωτος ἑτοίμως ἀναδίδοται, πλὴν ποτὸν ἀκουστέον οὐ πᾶν ὑγρὸν διὰ στόματος λαμβανόμενον, ἀλλ' οἶνον, ὡς κἂν τῷ περὶ τροφῆς εἴρηται, 1) [ὑγρᾶς] τροφῆς ὄχημα οἶνος. οὐδὲν γὰρ τούτου ἐν τροφαῖς μᾶλλον εὐανάδοτον καὶ συναγαγεῖν καὶ ῥῶσαι δύναμιν διασκεδασθεῖσαν δυνάμενον. οὐ μόνον δὲ εὐανάδοτος, ἀλλὰ καὶ εὐπρόσθετός ἐστι καὶ διὰ τοῦτο τροφιμώτατος, καὶ μάλιστα εἰ ξανθὸς καὶ 2) κιῤῥὸς ὁ οἶνος. οὗτος γὰρ κατὰ πάντα ἄριστος. Ἰστέον δὲ ὅτι διὰ τὸ προειρηκέναι αὐτὸν περὶ ἀνακομιζομένων, διὰ τοῦτο μέμνηται τῶν δύο ὑλῶν, ὑφ' ὧν πεφύκασιν ἀνατρέφεσθαι.

ΔΑΜ. Ποτοῦ δηλονότι τοῦ φύσιν ἔχοντος τρέφειν, οἷον οἴνου ἐρυθροῦ καὶ παχέος. ὁ γὰρ λεπτὸς καὶ λευκὸς οἶνος καὶ οἷον ὑδατώδης οὔρησιν μὲν κινεῖ, τρέφει δ' ἥκιστα. ὅσοι δὲ παχεῖς καὶ τὴν χρόαν ἐρυθροὶ, τροφιμώτατοι πάντων οἴνων εἰσίν.

ιβ'. Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφώδεα. —

ΘΕΟΦ. Ἐγκαταλιμπανόμενα κέκληκε τὰ λείψανα τῶν μοχθηρῶν χυμῶν, ἅπερ ἀνάγκη σηπόμενα τῷ χρόνῳ πυρετοὺς ἐξάπτειν. συνέζευκται δὲ ὁ παρὼν ἀφορισμὸς ἐκείνῳ τῷ λέγοντι, ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσεως δεῖται. καὶ τὴν αἰτίαν παραδίδωσι τῆς κενώσεως λέγων, τὰ γὰρ ἐγκαταλιμπανόμενα 3) μετὰ κρίσιν 4) ὑποστροφὰς ποιέειν εἴωθεν.

ΔΑΜ. Ἐγκαταλιμπανόμενα κέκληκε τὰ λείψανα τῶν μοχθηρῶν χυμῶν, ἅπερ ἀνάγκη σηπόμενα τῷ χρόνῳ πυρετοὺς ἐξάπτειν.

ιγ'. Ὁκόσοισι κρίσις γίνεται, τουτέοισι ἡ νὺξ δύσφορος,

---

1) Om. V. b. C. 2) amarum C. ὀῤῥὸν Steph. 3) E Stephano: κρίσιν] Quid? crisi facta, morbus recurrit? At ἡ κρίσις ἐστὶν ὁμώνυμος· ἔστι γὰρ καὶ τελεία καὶ ἀτελής. Et de crisi imperfecta sermo. 4) ὑποστροφώδεα. V. b. c.

ἡ πρὸ τοῦ παροξυσμοῦ· ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη, ὡς ἐπὶ τὸ πουλύ. —

ΘΕΟΦ. Περὶ μελλούσης κρίσεως διαλέγεται. κρίσις δέ ἐστιν 1) ἀγὼν φύσεως καὶ νοσήματος καὶ ἀθρόα ἐν νόσῳ μεταβολή. ταύτης τῆς κρίσεως ἡ προηγουμένη νὺξ δύσφορος γίνεται· καὶ εὐλόγως· ὥσπερ γὰρ ἀθλητὴς ἢ στρατηγὸς ὅσον οὔπω τοῦ ἀγῶνος ἐπικειμένου ταράττεται καὶ προευτρεπίζεται, πῶς μὲν ὀφείλει τοῖς πολεμίοις ἐπελθεῖν, πῶς δὲ αὐτοὺς ἐκκλῖναι, οὕτω καὶ ἡ φύσις προταράττεται εὐτρεπίζουσα τὰς ἑαυτῆς δυνάμεις πρὸς τὸ ἀποδιῶξαι καὶ ἀλλοιῶσαι τὴν νοσοποιὸν ὕλην. κἀντεῦθεν δυσφορία γίνεται, πλὴν ἐν νυκτὶ διὰ τὸ ἐναργῶς τὸ τηνικαῦτα φαίνεσθαι τὴν δυσφορίαν, διακοπτομένων τῶν ὕπνων ὑπὸ τῆς ταραχῆς. ἡ μέντοι ἐπιοῦσα εὐφορωτέρα ὡς ἐπὶ τὸ πολὺ διὰ τὸ τῶν κρίσεων τὰς πλείους εἰς ἀγαθὸν τελευτᾷν, μηκέτι χειμαζομένης τῆς φύσεως τῇ 2) ἀποχῇ τῶν περιττῶν.

ΔΑΜ. Ἡ μὲν κρίσις ὀξύῤῥοπός ἐστιν ἐν νόσῳ μεταβολὴ πρὸς ὑγείαν ἢ θάνατον. γίνεται δὲ τῆς φύσεως διακρινούσης ἀπὸ τῶν χρηστῶν τὰ μοχθηρὰ καὶ παρασκευαζούσης πρὸς τὴν ἔκκρισιν. εἰκότως οὖν ἐπὶ τῇ τοιαύτῃ ταραχῇ δυσφοροῦσιν οἱ κάμνοντες. γίνεται δὲ κατὰ τὰς νύκτας ἡ δυσφορία κατάφορος, διότι ἔθος ἡμῖν κατὰ

---

1) E Stephano: οὕτως γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς ἀγωνιζομένων ἐστὶ θεάσασθαι, εἴτε γὰρ παλαίστρα εἴτε δρόμος εἴτε ἄλλο τι τῶν γυμνασίων ὁ προκείμενος εἴη ἆθλος, ἐν φροντίδι καὶ ἀγρυπνίᾳ τούς τε ἀγωνοθέτας καὶ τοὺς εἰς τὸν ἀγῶνα παρασκευαζομένους τὸ πᾶν τῆς προηγουμένης νυκτὸς ὄψει διατελοῦντας, πληρωθέντος δὲ τοῦ ἀγῶνος ἠρεμία τοὺς ἀγωνισαμένους διαδέχεται, καὶ μάλιστα τοὺς τὸ τῆς νίκης κράτος διαδεξαμένους. — — Adpropinquantibus criticis turbationibus, ὁ μὲν ἰδιώτης δεδιὼς τὸν κίνδυνον, ταράττεται καὶ ὑπαναχωρεῖ, ὁ δὲ Ἱπποκράτειος ἰατρὸς εὐφραίνεται ταῦτα ὁρῶν. — Cur noctis solius dysphoriam esse dixit? — — Interdiu fit ἡ λέπτυνσις τῶν χυμῶν διὰ τὴν τοῦ περιέχοντος ἀλέαν. 1) ἐν τῇ νυκτὶ τῷ ἀδιαφορήτῳ τῆς ὕλης (omnia introrsum vergunt) μᾶλλον ἡ φύσις βαρύνεται καὶ τὸ νόσημα βοηθεῖται. 2) Nox somno dicata est, ut dysphoria nocturna major evadat. δυσχερῶς καὶ ἐπισφαλῶς φέρομεν, ἀγρυπνοῦντες τῆς νυκτός. 2) ἐποχῇ V. b.

ταύτας κοιμᾶσθαι. διακοπτομένων οὖν τῶν ὕπνων ἐναργὴς ἡ δυσφορία, ἡ δ' ἐπιοῦσα νὺξ ὡς ἐπὶ πολὺ εὐφορωτέρα διὰ τὸ τῶν κρίσεων τὰς πλείστας εἰς ἀγαθὸν τελευτᾷν. ἴσμεν γὰρ, ὡς οἱ σωζόμενοι πλείους ἐν τοῖς νοσοῦσι τῶν ἀποθνησκόντων, εἰ μὴ λοιμώδης εἴη κατάστασις.

ιδ'. Ἐν τῇσι τῆς κοιλίης ῥύσεσι, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς πονηρὰ μεταβάλλῃ. —

ΘΕΟΦ. Ἐνταῦθα παραδίδωσι διάγνωσιν, ἵνα βεβαιότερον μάθῃς, εἰ τελεία ἡ κρίσις ἐστὶν ἢ οὔ. καί φησιν, ὅτι σκόπει τῆς κατὰ γαστρὸς ἐκκρίσεως τὰ διαχωρήματα, ὁποίαν μεταβολὴν ἴσχουσιν, ἆρα πάλαι ξανθὰ ἢ πελιδνὰ φερόμενα νῦν ἤρξαντο ἐπὶ τὸ κάλλιον μεταβάλλειν ἢ οὔ; καὶ εἰ μὲν ἐπὶ τὸ 1) κάλλιον εὕρῃς τὴν μεταβολὴν, γίνωσκε ὅτι οὐδὲν 2) φαῦλον ἔνεστιν ἐν τῷ σώματι, κἂν εὐφορία τάχα τὸ τηνικαῦτα μὴ ἐπακολουθήσῃ. εἰ μέντοι ἐπιμένουσι τὰ αὐτὰ, ἢ καὶ εἰς χείρονα μεταβάλλουσι, τότε κακὸν, κἂν τάχα μὴ δυσφορία ᾖ. ἰστέον δὲ ὅτι οὗτος ὁ λόγος καὶ καθολικὸς δύναται εἶναι· οὐ γὰρ μόνον ἐπὶ ῥύσεως ἁρμόζει γαστρὸς, ἀλλὰ καὶ ἐπὶ πάσης 3) κενώσεως.

ΔΑΜ. Αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελοῦσιν, ἐπεὶ πολλὰς ἰδέας ἐκκενοῦσι χυμῶν καὶ διὰ τοῦτο ἀκριβέστερον ἐκκαθαίρουσι τὸ σῶμα, εἰ μὴ συντήξεως ἢ σηπεδόνος ἔχοιεν γνώρισμα ἢ λιπαρὰ ἢ 4) κακόσημά εἰσιν.

ιε'. Ὅκου φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι τὰς ἐκκρίσιας· ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει· ἢν δὲ 5) ὅμοιαι τοῖσι ὑγιαίνουσι, ἀσφαλὲς τὸ σῶμα τρέφειν. —

ΘΕΟΦ. Ἡ 6) κρίσις διττή. ἢ γὰρ δι' ἐκκρίσεως γίνεται ἢ διὰ ἀποστάσεως. καὶ περὶ μὲν τῆς κατ' ἔκκρισιν γινομένης

---

1) κρεῖττον V. b. 2) χαῦνον V. b. 3) E Stephano: ἢν μὴ εἰς πονηρὰ etc.] τουτέστιν ἐὰν μὴ ἀπειψίᾳ ἡ μεταβολὴ γένηται, ἀλλὰ βίᾳ συμπτώματος προπηλακίζοντος αὐτὴν καὶ ἐρεθίζοντος — — μὴ μόνον τὰ ἄπεπτα τυχὸν τὰ παχύτερα ἢ λεπτότερα, ἀλλὰ καὶ τὰ μοχθηρὰ v. c. colore, systasi (ἁδρομερῆ, λεῖα). 4) Fort. κάκοσμα. 5) οἷαι D. ταῖς τῶν ὑγιαινόντων V. a. 6) E Stephano: Si excrementa

κρίσεως διαλέγεται φάσκων, ὅκου φάρυγξ νοσέει ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι τὰς ἐκκρίσιας. καὶ τὰς ἐκκρίσιας λέγει σκέπτεσθαι, διότι ἐκ τούτων 1) δύνασαι γνῶναι, εἴτε κατὰ μετάδοσιν ἠνέχθη ἡ ὕλη, εἴτε κατὰ μετάστασιν. εἰ γὰρ ἀποστάσεως γινομένης φέρεται τὰ διαχωρήματα χολώδη, πρόδηλον ὅτι κατὰ μετάδοσιν ἠνέχθη ἡ ὕλη, 2) καὶ οὐκ ἀπηλλάγη τὸ σῶμα ἤτοι τὰ κύρια μόρια τῆς κακοχυμίας, ἀλλ' ἔτι ἀῤῥωστοῦσι. διὸ καὶ οὐκ ἀσφαλῶς τρέφειν τότε δεῖ. εἰ μέντοι τὰ διαχωρήματα ὅμοια ἠνέχθη τῶν κατὰ φύσιν, τότε πρόδηλον ὅτι πᾶσα ἡ ὕλη κατὰ μετάστασιν ἠνέχθη, ἀπὸ τῶν κυρίων ἐπὶ τὰ ἀκυρότερα μόρια, καὶ ἀσφαλῶς τὸ τηνικαῦτα δεῖ τρέφειν τὸ σῶμα.

ΔΑΜ. Τῆς φύσεως ἐκκαθᾶραι τὸ σῶμα ὁρμησάσης, μὴ δυνηθείσης δὲ λεπτῦναι εἰς ἱδρῶτας τὰ περιττὰ, δια τὸ πάχος αὐτῶν γίνεται φύματα, καὶ ἡ φάρυγξ ὑποδεχομένη τοὺς ἐκ τῆς κεφαλῆς καταῤῥέοντας χυμοὺς ἐνοχλεῖται· τὰ φύματα δὲ γίνονται χολώδη, ἐπειδὴ πέφυκε γίνεσθαι ταῦτα, θερμανθέντος αἵματος ὑπὸ τοῦ πικροχόλου χυμοῦ.

ιϛ'. Ὅκου λιμὸς, οὐ δεῖ πονέειν. —

ΘΕΟΦ. Ἁρμόδιος οὗτος ὁ ἀφορισμὸς ἐπὶ ὑγιαινόντων. οὐ δεῖ 3) γὰρ γυμνάζειν καὶ κινεῖν τοὺς λιμώττοντας διὰ τὸ μὴ ἐπιτείνεσθαι τῷ λόγῳ τῶν γυμνασίων τὴν ξηρότητα ἢ διὰ τὸ μὴ καταβληθῆναι μᾶλλον τὰς δυνάμεις ἐπὶ τῇ τοιαύτῃ κινήσει. εἰ δέ τις εἴποι, ὅτι καὶ τί χρείαν ἔχει ὁ Ἱπποκράτης τῶν ὑγιαινόντων μεμνῆσθαι, λέγομεν ὅτι οὐ μόνον τὴν νόσον ἀνελεῖν πραγματεύεται, ἀλλὰ καὶ τὴν οὖσαν ὑγείαν φυλάξαι 4) προτίθεται. ἰστέον δὲ ὅτι ὁ 5) λιμὸς διττός· λιμὸς ἡ ἔνδεια τοῦ

---

sunt bona, haud purges; nam partialis est morbus. Sed purga, si universalis. — εἶτα εἰσελθὼν πρὸς τὸν αὐτὸν καί τις ἀγελαῖος ἰατρὸς εὐθέως ἐχώρησεν ἐπὶ τὴν κάθαρσιν καὶ ἀπροόπτως κενώσας, πλέον ἠδίκησε.

1) δυνήσῃ V. b. 2) καὶ — κακοχυμ. om. V. a. 3) οὖν V. a. 4) προτείνεται V. b. c. 5) E Stephano: Ὁμώνυμον γάρ ἐστι τὸ τοῦ

σίτου, οὗ Ἱπποκράτης ἐν ἐπιδημίαις μέμνηται λέγων, ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες σκελέων ἀκρατέες ἐγένοντο· ἡ στέρησις οὖν τοῦ χρησίμου τουτέστι τοῦ σίτου λιμὸς λέγεται. προσαγορεύεται δὲ λιμὸς καὶ ἡ ἀσιτία, ἧς καὶ ἐνταῦθα μέμνηται. Ἰστέον δὲ ὅτι καὶ ἐπὶ νοσούντων οὗτος ὁ ἀφορισμὸς δύναται εἰρῆσθαι.

ΔΑΜ. Ὅπου ἔνδεια σιτίων κατὰ προαίρεσιν ἢ κατὰ πρόσταγμα, οὐ δεῖ κοπιᾷν.

ιζ΄. Ὅκου ἂν τροφὴ πλείων παρὰ φύσιν ἐσέλθῃ, νοῦσον ποιέει· δηλοῖ δὲ ἡ ἴησις. —

ΘΕΟΦ. Ἡ 1) τροφὴ τριττή· τροφὴ τὸ μέλλον ἤγουν τὰ σιτία· τροφὴ τὸ οἷον, οἷον ὁ χυλὸς ὁ ἐν τῇ γαστρί· τροφὴ τὸ τρέφον, ὅπερ καὶ κυρίως τροφὴ ὀνομάζεται, καθ' ἣν προστεθὲν τῷ νεύρῳ γίνεται νεῦρον καὶ ἐν μυῒ μῦς καὶ ἐν φλεβὶ φλέψ. ἐνταῦθα οὖν ὁ λόγος ἁρμόδιος ἐπὶ πάσης τροφῆς. φησὶ γὰρ ὅπου ἂν τροφὴ κατὰ ποιό-

---

λιμοῦ ὄνομα. λιμός γάρ ἐστι καὶ ἡ λεῖψις τοῦ σιτίου. λιμὸς λέγεται καὶ ἡ ἀσιτία. καὶ αὕτη διττῶς, ἢ κατὰ προαίρεσιν ὡς ὅταν τις διά τινα θρησκείαν νηστεύων ἀπέχηται τῶν βρωμάτων, ἢ ἀπροαιρέτως. καὶ οὕτως διττὸν, ἢ γὰρ κατὰ πρόσταξιν ἄρχοντος, ἐν εἱρκτῇ ἀποκλεισθῆναι τὸν ἄνθρωπον καὶ μένειν ἄσιτον, ἢ κατὰ ἰατρικὴν ἀκρίβειαν, ὡς ὅτα πληθωρικὸν ὑπόκειται σῶμα.

1) E Stephano: *Ἰστέον ὅτι τὸ τῆς τροφῆς ὄνομα ὁμώνυμόν ἐστι· κατὰ πολλῶν γὰρ φέρεται σημαινομένων, ὡς αὐτὸς ὁ Ἱπποκράτης ἐν τῷ περὶ τροφῆς ἐδήλωσε, τροφῆς εἰπὼν τὸ τρέφον τροφὴ καὶ τὸ οἷον καὶ τὸ μέλλον. — — οἷον τροφή ἐστι τὸ μέλλον ἀναδίδοσθαι ἐξ ἥπατος· οἷον τροφὴ δὲ λέγεται, ἐπειδὴ πολλάκις φλεβοτομίας γενομένης, κενοῦται, μήπω διασπαρὲν, ὥστε γενέσθαι καὶ πρόσφυσιν καὶ ἐξομοίωσιν. — — μέλλον* sunt *τὰ σιτία. χρόνῳ γάρ τινι μέλλει ταῦτα χυλοποιεῖσθαι.* — Sanguis nimius morbum facit, et victus lautior et lauta nutritio facit *ἐμφράξεις καὶ φλεγμονὰς καὶ ἐρυσιπέλατά τε καὶ ἕρπητας* etc. *πλείων*] — — *ἢ πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων* — v. c. *εἰ τὰ σιτία — τὸ τῆς γαστρὸς ὑπερβάλλει κύτος, ἥτις ταῦτα λαμβάνουσα ἀχθοφορεῖν ἀναγκάζεται — ἢ πρὸς τὴν δύναμιν τοῦ λαμβάνοντος. — παρὰ φύσιν*] *τὸ κατὰ ποιότητα ἄμετρον. — — ἐκ τῆς ἰάσεως δῆλον.* Nam qui nimium comedens morbo afficitur, convalescit, quantitate ciborum imminuta.

τητα ἀσύμμετρος καὶ κατὰ ποσότητα 1) πλείων εἰσέλθῃ, τοῦτο νόσον ποιεῖ· οὐδὲν γὰρ οὕτως ὡς ἀμετρία τὴν φύσιν λυμαίνεται. καὶ τοῦτο δῆλον ἐκ τῆς ἰάσεως· καθόλου γὰρ ἐπὶ τῆς κατὰ ποιότητα καὶ κατὰ ποσότητα παρατροπῆς ἡ διὰ τῶν ἐναντίων 2) προσαγωγῆς ἐπὶ τὸ κατὰ φύσιν ἐπανάκλησις βεβαιοτέραν καὶ ἀσφαλῆ τὴν τῶν βλαπτόντων αἰτίων ἀποφαίνει σημείωσιν.

ΔΑΜ. Πλείονα τροφήν φησι τὴν κατὰ ποσότητα καὶ ποιότητα. παρὰ φύσιν δὲ ἀντὶ τοῦ ὑπερβαλλόντως. τὴν γὰρ ὀλίγον ὑπερβάλλουσαν οὐ βλάπτειν ἀνάγκη. δηλοῖ δὲ καὶ ἡ ἴασις. κρεῖττον γὰρ προστιθεμένου τοῦ καὶ συνδέσμου γράφεσθαι, ὡς οὐ μόνης τῆς ἰάσεως τοῦτο παριστώσης, ἀλλὰ καὶ τῆς τοῦ πράγματος φύσεως. ἐν ἁπάσαις γὰρ τέχναις τοῖς καλῶς ἐπινοουμένοις καὶ ἡ ἀπὸ τῆς ἐκβάσεως μαρτυρία προσέρχεται. ἔστι δ' ἐνταῦθα ἡ ἐπὶ ταῖς κενώσεσι τῶν λυπούντων χυμῶν ἴασις. σημείωσαι δὲ ὅτι κένωσίς ἐστιν, ὅταν ὁμοτίμως πάντες οἱ χυμοὶ κενῶνται. γίνεται δὲ τοῦτο διὰ φλεβοτομίας πρώτως· ἐγγὺς δὲ ταύτης ἡ διὰ γυμνασίων καὶ τρίψεων καὶ λουτρῶν, καὶ προσέτι κατὰ συμβεβηκὸς ἡ διὰ τῆς ἀσιτίας· κάθαρσις δὲ, ὅταν κενῶνται οἱ μοχθηροὶ κατὰ ποιότητα.

ιή. Τῶν τρεφομένων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ διαχωρήσιες γίνονται. —

ΘΕΟΦ. Ἐπειδὴ ἀνωτέρω ἔλεγε ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίων, ὥς τινος ἀποροῦντος καὶ ποῖά εἰσι ῥᾷον πληροῦντα, ποῖα οὐ ῥᾷον, νῦν ἐπιφέρει λέγων, ὅτι τὰ 3) ταχέως πληροῦντα ταχέως καὶ διαχωροῦνται, τὰ

---

1) πλείων — ποσότητα om. V. b. C. 2) παραγωγῆς V. b. c. 3) E Stephano: Tres πέψεις, et tres coctionum secretiones, in ventriculo (κόπρος), ἐν ἥπατι ἐξαιμάτωσις (οὖρον), in corpore toto (sudor). — καὶ τὸ μὲν ταχέως τέθεικε ἐπὶ τοῦ τῆς πέψεως καιροῦ, τὸ δὲ ἀθρόως ἐπὶ τοῦ τῆς προσθέσεως. — — ἐπειγόμενον γὰρ τάχος δηλοῖ τὸ ἀθρόως, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον, τῶν ταχέως πεττομένων καὶ ἀθρόως προστιθεμένων, ταχεῖαι etc. — — Προσδιορισμοί. 1) — τὸ ταχίστην ἐπάγον τὴν διαχώρησιν, οὐκ ἤδη καὶ θρέψις ταχεῖα ἐγένετο v. c. κράμβαι καὶ τεῦτλα καὶ φακὸς etc. ῥυπτι-

δὲ βραδέως, βραδέως· οἷον δεῖ ζητεῖν, εἰ μετὰ μίαν ὥραν τοῦ δοθῆναι τὴν τροφὴν 1) ἐξεκρίθη τὰ περιττὰ ἢ μετὰ πλείονας, καὶ εἰ μετὰ μίαν, δεῖ εἰδέναι, ὅτι εὐαλλοίωτός ἐστιν ἡ τροφὴ, εἰ δὲ μετὰ πλείονας, δυσαλλοίωτος. ἀθρόως μὲν οὖν τρέφει καὶ ταχέως ἡ ὑγρὰ τροφὴ, οἷον οἶνος, 2) τὰ σιτηρὰ δὲ πάντα βραδέως. παρασχεθεὶς γὰρ ὁ οἶνος, καὶ εἴ τι τοιοῦτον, ἀθρόως τρέφει τουτέστιν ἐν ὀλίγῳ χρόνῳ καὶ ταχέως τουτέστι μετ' ὀλίγον χρόνον τῆς προσφορᾶς ἀλλοιούμενος. ὅσα οὖν ἀθρόως καὶ ταχέως τρέφει, ταχέως καὶ διαχωροῦνται, ὅσα δὲ βραδέως, τοὐναντίον. ἡ γὰρ γαστὴρ ἀπολαύει τῶν σιτίων, 3) πρῶτον τὸν οἰκειότατον ἐξ αὐτῶν ἕλκουσα χυμὸν, εἶτα ἐπειδὰν τοῦδε κορεσθῇ, τὸ τηνικαῦτα πρὸς τὴν διαχώρησιν ὁρμᾷ.

ΔΑΜ. Τὰ τρέφοντα δηλονότι ἐν ὀλίγῳ χρόνῳ ταχεῖαν ἔχουσι καὶ τὴν διαχώρησιν, τὰ δὲ βραδέως καὶ βραδεῖαν τὴν διαχώρησιν ἔχουσιν, ὡς βόειον κρέας, κοχλίαι, καρίδες, κάραβοι καὶ ὅσα σκληρόσαρκα.

ιθ'. Τῶν ὀξέων νουσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ 4) προδιαγορεύσιες, οὔτε τῆς ὑγείης, οὔτε τοῦ 5) θανάτου. —

ΘΕΟΦ. Ὀξέα νοσήματα καλεῖ, ὅσα καὶ ὀλίγον χρόνον κρατεῖ καὶ ζέουσαν καὶ διακαῆ θερμασίαν καὶ χαλεπὰ συμπτώματα ἔχουσι καὶ ἁπλῶς τὰ ἐκ χολῆς γινόμενα. ἀλλὰ ταῦτα ἢ ὁμοτίμως ἐν ἅπασι τοῖς τοῦ ζώου μορίοις γίνονται, ὡς οἱ καῦσοι, ἢ ἐν τόπῳ τινὶ πεπονθότι, ὡς

κήν τινα καὶ ὑπαγωγὸν ἔχοντα δύναμιν — — ταχεῖαν μὲν ἐπάγει τὴν ἔκκρισιν, οὐκ ἤδη δὲ καὶ ταχεῖαν τὴν πέψιν ἐποιήσατο. 2) — ὅστις λαμβάνεται πρὸς τῆς καρυκείας ἤτοι ἀρτύσεως (ἀρτήσεως Cod.) τῶν ὄψων v. c. γάρον, ἅλας, ταριχηρὰ, λάχανα ἐκζεστὰ, ᾠὰ τρομητὰ σὺν ἐλαιογάρῳ. repente subducit, parum vero nutrit. — 3) ἀπὸ τοῦ τρόπου τῆς ἑψήσεως. — ζωμευθεῖσα ὄρνις citius concoquitur ἢ ὀπτή. 4) ἀπὸ κράσεως τῶν τρεφομένων σωμάτων i. e. hic cito, ille tarde concoquit.

1) ἐκκρίνεται V. b. 2) τὰ — οἶνος om. V. b. C. 3) πρώτως V. a. 4) προαγορ. D. 5) νόσου V. c.

περιπνευμονία καὶ συνάγχη. ἐπὶ τούτων οὖν τῶν ὀξέων νοσημάτων οὐ 1) πάμπαν τουτέστιν οὐ παντελῶς ἀσφαλεῖς αἱ προῤῥήσεις οὔτε ὑγείας οὔτε θανάτου διὰ τὴν ἐν αὐτοῖς ὀξύῤῥοπον μεταβολὴν, ἥτις 2) ἕπεται τῇ φύσει τῶν ἐργαζομένων αὐτὰ χυμῶν καὶ διὰ τὸ μεταῤῥεῖν ἐνίοτε τὸν λυποῦντα χυμὸν ἐξ ἑτέρου εἰς ἕτερα τουτέστιν ἀπὸ κυρίων μορίων εἰς ἄκυρα, καὶ ἀπὸ ἀκύρων εἰς κύρια.

ΔΑΜ. Ὀλιγάκις σφάλλεσθαι τὸν ἄριστον ἰατρόν φησι διά τε τὴν ὀξύῤῥοπον τῶν ἐν αὐτοῖς χυμῶν μεταβολὴν καὶ διὰ τὸ μεταῤῥεῖν ἐνίοτε τὸν λυποῦντα χυμὸν ἐξ ἑτέρων εἰς ἕτερα.

κ΄. Ὁκόσοισι νέοισιν ἐοῦσι αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσι ξηραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι, ὑγραίνονται. —

ΣΤΕΦ. Νῦν περὶ ἡλικιῶν βούλεται διαλεχθῆναι καὶ τούτων διαφορὰς ἡμῖν παραδοῦναι, οὐκ ἐν ὀλίγῳ χρόνῳ θεωρουμένας, ἑνὶ τυχὸν ἢ δυσὶν ἢ τρισὶν, ἀλλ' ἐν τριάκοντα ἔτεσι. λέγει γὰρ οὕτως· ὅσοι νέοι ὄντες τὰς κοιλίας ὑγρὰς ἔχουσιν, οὗτοι ἐν γήρᾳ ἐρχόμενοι, ξηρὰς αὐτὰς ἔχουσι καὶ τοὔμπαλιν. κοιλίαν δὲ τὴν σιτοδόχον λέγει γαστέρα. προσκείσθω δὲ τὸ ἐπὶ πολὺ, εἰ μὴ μέλλοι ψευδὴς εἶναι ὁ λόγος. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἀέναός ἐστι τοῦ ἡμετέρου σώματος ἡ διαφόρησις, καὶ πρῶτον μὲν ἡ ἐπιφάνεια διαφορεῖται, ὡς καὶ τῷ ἐκτὸς ἀέρι ἀμέσως ὁμιλοῦσα, ἐφεξῆς δὲ καὶ τὰ λοιπὰ κατὰ τάξιν, ἐκ τῶν παρακειμένων ἑκάστου ἕλκοντος, τῆς μὲν ἐπιφανείας ἐκ τῶν σαρκῶν, τῶν δὲ σαρκῶν ἐκ τῶν φλεβῶν τῶν εἰς ὅλον τὸ σῶμα διανενεμημένων, φημὶ δὴ τῶν πρὸ τῆς κοίλης φλεβῶν, τῶν δὲ φλεβῶν ἐκ τοῦ ἥπατος, τοῦ δὲ ἥπατος ἐκ τῶν μεσαραίων, τῶν δὲ μεσαραίων ἐκ τῆς γαστρὸς, ἐκ τοῦ στομάχου. καὶ πᾶσα αὕτη ἡ ὄρεξις, φυσικὴ λέγεται ἡ μέχρι τῆς γαστρὸς γινομένη. τὸ μέντοι στόμα τῆς γαστρὸς μετὰ συναισθήσεως προαιρετικῆς τοῦ

1) παντελῶς V. b. c. et τουτ. οὐ παν. om. 2) νέμεται τὸν etc. V. b.

λείποντος ἐφιέμενον τὴν κυρίως ποιεῖ ὄρεξιν, ἥτις καὶ πεῖνα προσαγορεύεται. αὕτη οὖν ψυχική ἐστιν ὄρεξις, καθ' ἣν ἐφιέμεθα τῶν σιτίων, ἅτινα λαμβάνοντες πέττομεν. καὶ πάλιν καὶ πολλάκις. ἐπειδὴ ἡ διαφόρησις ἀεννάως γίνεται, ἔστι δ' ὅτε καὶ διὰ ψυχρὸν καὶ ὀξώδη χυμὸν, ὑποτραφέντα ἐν τῷ στόματι τῆς γαστρὸς, γίνεται ὄρεξις, ἥτις καὶ παρὰ φύσιν ἐστί. τούτων οὕτως ἐχόντων, ἰστέον ὅτι κατὰ δύο αἰτίας ἡ διάῤῥοια γίνεται τῆς γαστρὸς, ἢ διὰ πλῆθος σιτίων ἢ δι' ἐνδεῆ ἀνάδοσιν. καὶ διὰ μὲν πλῆθος σιτίων τριχῶς· πρῶτον μὲν ὅτι πολλῶν δεδομένων καὶ καλῶς μὴ πεττομένων, διαφθείρεσθαι αὐτὰ συμβαίνει κἀντεῦθεν τὰ διαχωρήματα ἐκκρίνεται. εἴρηται γὰρ ὅτι ψυχρὰ γαστὴρ ὀρεχθῆναι μὲν ἀγαθὴ, πέψαι δὲ οὐκ ἀγαθή· δεύτερον δὲ ὅτι ἀσθενεῖν συμβαίνει τὴν καθεκτικὴν δύναμιν καὶ οἷον ἐκλύεσθαι τὸν τόνον αὐτῆς τῇ ὑγρότητι, ὡς μὴ κατέχειν τὰ σιτία, ἀλλ' ἐᾷν αὐτὰ φέρεσθαι ὑγρὰ καὶ ἀμετάβλητα· ξηρότητι γὰρ αὐτὴν χαίρειν μεμαθήκαμεν, ὥσπερ οὖν ἀσθενεῖν συμβαίνει καὶ τὴν ἀποκριτικήν. διΰγρου γὰρ καὶ πλαδαροῦ γινομένου τοῦ στόματος τῆς γαστρὸς, καὶ μὴ ἰσχυούσης παρατεῖλαι αὐτὴν τῆς καθεκτικῆς δυνάμεως, ἀφίεται ἄπεπτα τὰ σιτία, ἀφ' οὗ πάλιν ὑγρὰ γίνεται διαχώρησις. συμβαίνει δὲ πάλιν τοῦτο αὐτὸ καὶ διὰ ῥώμην τῆς ἀποκριτικῆς δυνάμεως, πρὸ ὥρας ἐπανισταμένης καὶ ἐξωθούσης τὰ σιτία. κἀντεῦθεν γὰρ πάλιν ὑγρὰ γίνεται διαχώρησις διὰ τὴν ἐνδεῆ ἀνάδοσιν. διχῶς οὖν ὑγραίνεται ἡ γαστὴρ, ἢ διὰ ψυχρότερον ἧπαρ ἢ διὰ θερμότερον· διὰ μὲν ψυχρότερον, ὅτι μὴ ἐῤῥωμένως ἕλκει τὸν χυλὸν ἀπὸ τῆς γαστρός. θερμότητι γὰρ συμμέτρῳ τὴν ἑλκτικὴν εἶπον δύναμιν ἐνεργεῖν. ἐντεῦθεν οὖν μένων ὁ χυλὸς εἰς τὴν γαστέρα ὡς φορτικὸς καὶ ἀλλότριος, ἐπὶ ἔντερα ἐκκρίνεται καὶ ὑγρὰν ποιεῖται τὴν διαχώρησιν· διὰ δὲ θερμότητα, ἡνίκα ἂν τὸ θερμὸν ἐκκαίῃ τὸ αἷμα, καὶ πολὺν τὸν ξανθοχολικὸν γεννᾷ χυμὸν, ἐπὶ τῶν ἐντέρων αὐτὸν δαψιλῆ ἀπεργάζεται, ὅστις μαστίζει συνεχέστερον τὴν ἀποκριτικὴν δύναμιν, κἀκείνη διὰ παντὸς ἐπεγειρομένη ἀπωθεῖται τάχιστα τὰ σιτία, κἀκεῖθεν ὑγροτέρα γίνεται ἡ διαχώρησις. ξηραίνεται δὲ πάλιν ἡ γαστὴρ κατὰ δύο αἰτίας

ἢ διὰ τὴν ὀλιγότητα τῶν σιτίων ἢ διὰ πολλὴν ἀνάδοσιν, καὶ διὰ μὲν τὴν ὀλιγότητα τῶν σιτίων τριχῶς· πρῶτον μὲν ὅτι ταχέως πέττονται ὀλίγα ὄντα καὶ ῥᾷον ἀναδίδονται καὶ οὐδὲν ἐν τῇ γαστρὶ καταλιμπάνεται· δεύτερον δὲ, διὰ ῥώμην τῆς καθεκτικῆς· ξηροτέρας γὰρ καὶ ἀνίκμου τῆς γαστρὸς γινομένης, ἰσχυρῶς καὶ ἐπιτεταμένως αὕτη ἐνεργεῖν δύναται· καὶ τρίτον, διὰ τὴν τῆς ἀποκριτικῆς ἀσθένειαν· αὕτη γὰρ ἀσθενοῦσα οὐκ ἐπεγείρεται εἰς τὸ ἀποδιῶξαι καὶ ξηρὰ διὰ τοῦτο εὑρίσκεται ἡ διαχώρησις· διὰ δὲ πολλὴν ἀνάδοσιν, ἢ θερμοτέρου ὄντος τοῦ ἥπατος καὶ τοῦ ὅλου σώματος καὶ ὅλον ἀνέλκοντος, τοῦ μὲν τὸν χυλὸν, τοῦ δὲ τὸ αἷμα, ἢ διὰ τὸ μὴ καταῤῥεῖν ἐν τοῖς ἐντέροις χολὴν, μὴ μαστίζεσθαι τὰ ἔντερα καὶ πρὸς ἔκκρισιν ἐπεγείρεσθαι.

Οὐκοῦν, εἰ δοκεῖ, ὡς ἐξ ὑποθέσεως ἐπὶ τῶν ἡλικϊῶν τὸν λόγον γυμνάσωμεν. ὑποκείσθω τις ἔχων ὑγρὰν τὴν γαστέρα διὰ πλῆθος θερμότητος καὶ ὄρεξιν ἐπιτεταμένην. καὶ μὴ ἀπορήσῃς ὅτι πῶς ἐνδέχεται ἐπὶ νέας ἡλικίας, ἐφ' ἧς τὸ θερμὸν δυναστεύει, ἐπιτεταμένην εἶναι τὴν ὄρεξιν· τοῦτο γὰρ ψυχροῦ στομάχου σημεῖον. δυνατὸν γὰρ ἐν τοῖς μορίοις ἡμῶν εἶναι κρᾶσιν ἀνώμαλον, καὶ τὸ μὲν ἧπαρ τυχὸν θερμὸν ὑπάρχειν, τὸ δὲ στόμα τῆς γαστρὸς ψυχρὸν, κἀντεῦθεν ἐπιτεταμένην γίνεσθαι ὄρεξιν, ἢ καὶ χυμόν τινα περιέχοντος τούτου, καὶ πλῆθος σιτίων μεταλαμβάνοντος. ταῦτα δὲ μὴ πεττόμενα τὰ σιτία ὑγροτέραν ἐξ ἀνάγκης ἀπεργάζονται τὴν γαστέρα, τῆς ψύξεως μενούσης, καὶ μέχρι τῆς γεροντικῆς ἡλικίας μᾶλλον αὐτοῖς τὰ τῆς ὀρέξεως ἐπιτείνεται, καὶ πλέον ἢ πρόσθεν αἱρούμενοι τὰ σιτία, καὶ μὴ πέττοντες αὐτὰ, μένουσι κἂν τῇ γεροντικῇ ἡλικίᾳ ὑγρὰν ἔχοντες τὴν γαστέρα. εἰ δέ γε ἐπιταθῇ ἡ ψύξις τῷ λόγῳ τῆς γεροντικῆς ἡλικίας, ὡς τελείως ναρκῶσαι τὸν στόμαχον καὶ καταλῦσαι τὴν ὄρεξιν, οὐ προσίεται τὸ τηνικαῦτα τὰ σιτία. τῆς δὲ ὕλης ἐνδεῶς ἐχούσης, ἀνάγκη ἀπέριττον καὶ ξηρὰν αὐτοῖς ἐν γήρᾳ γενέσθαι τὴν γαστέρα. πάλιν ὑποκείσθω ἕτερος νέος, ὑγρὰν ἔχων τὴν γαστέρα, ἐπὶ ἀσθενείᾳ τῆς καθεκτικῆς δυνάμεως, ἥτις ἐπὶ ὑγρότητι καταλύεται.

ἐπὶ τούτου φημὶ πάντως ἐν γήρᾳ ξηρὰν ἔσεσθαι τὴν γαστέρα, διὰ τὸ τὴν ὑγρότητα δαπανᾶσθαι καὶ εἰς ξηροτάτην μεταπίπτειν κρᾶσιν ἐπὶ τῶν γερόντων, ἥτις ῥώννυσι τὴν καθεκτικὴν δύναμιν. ταύτης δὲ κατεχούσης, ἐξ ἀνάγκης ξηραίνεται ἡ γαστήρ. ἕτερος πάλιν νέος, ὑγρὰν ἔχων τὴν γαστέρα, ἐπὶ ῥώμῃ τῆς ἀποκριτικῆς δυνάμεως ὑποκείσθω, ἥτις ξηρότητι ἕπεται. καὶ ἐνταῦθα τοίνυν εἰ τὰ αὐτὰ μέτρα μείνωσι τῆς ξηρότητος, ὑγρὰν ἕξει ὁ τοιοῦτος καὶ ἐν γήρᾳ τὴν γαστέρα· εἰ δὲ ἐπιταθῶσι τῷ λόγῳ τῆς γεροντικῆς ἡλικίας, ὡς καταλῦσαι τῇ ἀμετρίᾳ τὴν ἀποκριτικὴν δύναμιν, ταύτης ἀσθενούσης οὐδὲν ἀποκρίνεται, καὶ γίνεται ξηρὰ ἡ γαστήρ. ἔχει οὖν καὶ οὗτος ὁ λόγος τὸ ἐνδεχόμενον, ὁ δὲ δεύτερος, τὸ ἀληθές. πάλιν ὑποκείσθω ἕτερος νέος, ὑγρὰν ἔχων τὴν γαστέρα, διὰ ψυχρότερον ἧπαρ, ἀφ᾽ οὗ λέγω ὅτι εἰ ἐν τῇ νέᾳ ἡλικίᾳ ψυχρὸν ἔχει τὸ ἧπαρ, πολλῷ μᾶλλον ἐν τῷ γήρᾳ ψυχρότερον αὐτὸ ἕξει. τοιοῦτον δὲ ὄν, οὐχ ἑλκύσει ἐφ᾽ ἑαυτὸ τὸν χυλόν. μὴ γινομένης δὲ ἀναδόσεως, ἐκχεῖται οὗτος εἰς τὰ ἔντερα καὶ ὑγραίνει τὴν διαχώρησιν, ὥστε οὖν καὶ γηράσας ὁ τοιοῦτος οὐδὲν ἧττον ὑγρὰν ἔχει τὴν γαστέρα. καὶ ἔψευσται ὁ λόγος οὗτος πάντῃ. πάλιν ἕτερος ὑποκείσθω ὑγρὰν ἔχων τὴν γαστέρα, 1) χολώδους περὶ τὰ ἔντερα φερομένου περιττώματος, καὶ συνεχῶς αὐτὴν ἐπεγείροντος πρὸς ἔκκρισιν. ἐνταῦθα ἀποφαίνομαι, ὅτι ὁ τοιοῦτος ἐν τῷ γήρᾳ ξηρὰν ἕξει τὴν γαστέρα, ψυχρᾶς οὔσης τῆς ἡλικίας. οὐ γὰρ γεννᾶται τοσαύτη χολή, ὥστε πέμπεσθαι δαψιλῶς αὐτὴν εἰς τὰ ἔντερα καὶ τὴν ἀπόκρισιν συνεχῆ ἀπεργάζεσθαι. ὅστις λόγος ἔχει τὸ ἀληθές. τρέψωμεν δὴ οὖν τὸν λόγον καὶ ἐπὶ τοῦ ἑτέρου. προκείσθω τις νέος, ξηρὰν ἔχων τὴν γαστέρα. καὶ ζητῶν, εὑρίσκω ὅτι δι᾽ ἔνδειαν σιτίων τοῦτο ὑφίσταται, ἐνδεῶς μεταλαμβάνων τροφῆς, διὰ τὸ ἐσβέσθαι αὐτῷ τὴν ὄρεξιν ἐπὶ θερμοτέρᾳ τῇ τοῦ στομάχου κράσει. ἐπὶ τούτου τοίνυν λέγω, ὅτι πάντως ἐν γήρᾳ ὑγροτέρα γενήσεται ἡ διαχώρησις· τῷ ψυχρῷ γὰρ τῆς ἡλικίας ἐπεγείρεται ἡ ἔφεσις, ὡς πλείονα προσφέρεσθαι τὰ σιτία, διὰ τὴν φυσι-

1) χολῶδες A. a.

κὴν πάντως ἀντιπεπόνθησιν. πλειόνων δὲ προσφερομένων καὶ μὴ κατὰ λόγον πεττομένων διὰ τὴν ψυχρότητα, ὑγροτέρα ἐξ ἀνάγκης ἡ διαχώρησις γίνεται· εἶτα ἐφ᾽ ἑτέρου νέου ξηροτέραν εὑρίσκω τὴν γαστέρα, διὰ ῥώμην τῆς καθεκτικῆς δυνάμεως. καί φημι ἐπὶ τούτου, ὅτι ἐὰν τὰ αὐτὰ μέτρα μείνῃ τῆς ξηρότητος καὶ ἐν τῇ πρεσβυτικῇ ἡλικίᾳ, καὶ ἡ γαστὴρ μενεῖ ξηροτέραν ποιουμένη τὴν διαχώρησιν· εἰ δὲ πλεονάσει τὰ αὐτὰ μέτρα τῆς ξηρότητος ἐν τῷ γήρᾳ, ὡς καταλῦσαι τὴν καθεκτικὴν, καὶ ἀσθενῆ αὐτὴν ἀπεργάσασθαι, τοτηνικαῦτα ὑγρὰ ἐκ μεταπτώσεως ἐν γήρᾳ ἡ διαχώρησις γίνεται· καὶ ἔχει ὁ λόγος τὸ ἐνδεχόμενον. ἄλλος πάλιν νέος ἐχέτω ξηροτέραν γαστέρα, ἐπὶ ἀσθενείᾳ τῆς ἀποκριτικῆς δυνάμεως, ὑγρότητος αὐτὴν βλαπτούσης. ἐπὶ τούτου ἐν τῷ γήρᾳ ξηροτέρας γινομένης τῆς κράσεως, ῥωμαλεωτέρα ἡ ἀποκριτικὴ ἀπεργάζεται δύναμις καὶ ὑγροτέραν ποιεῖται τὴν διαχώρησιν. ἕτερος πάλιν ἔστω νέος, ξηρὰν ἔχων γαστέρα, τῷ λόγῳ τῆς ἐπιτεταμένης ἀναδόσεως, θερμοῦ αὐτῷ ὑποκειμένου τοῦ ἥπατος. καὶ ἐπειδὴ πᾶς ὁ χυλὸς ἀνειλκυσμένος ἄνικμον καταλιμπάνει τὴν γαστέρα, τὸ τῆς ξηρότητος κατὰ τὴν διαχώρησιν ἡ γαστὴρ ὑφίσταται πάθημα. ἐπὶ τούτου οὖν ἀποφαίνομαι ὅτι γηράσκων ὑγρὰν σχοίη τὴν διαχώρησιν, διὰ τὸ, ἐπὶ τὸ ψυχρότερον τῆς κράσεως μεταβαλλομένης τοῦ ἥπατος, τὸν χυλὸν εἰς τὴν γαστέρα καταλιμπάνεσθαι. εἶτα καὶ ἕτερος ὑποκείσθω, ξηρὰν ἔχων τὴν γαστέρα, διὰ τὸ μὴ πλείστην χολὴν ἐπιῤῥεῖν ἐν τοῖς ἐντέροις, καὶ μαστίζειν αὐτὰ πρὸς ἔκκρισιν, ἐφ᾽ οὗ λέγω ὅτι οὐδὲν ἧττον ἐπὶ τούτου, καὶ ἐν πρεσβυτικῇ ἡλικίᾳ, ἐξηραμένη ἔσται ἡ γαστήρ. εἰ γὰρ ἐν νεότητι οὐ τοιαύτης εὐπορεῖ ὕλης, δυναμένης μαστίζειν τὰ ἔντερα καὶ ἐπεγείρειν αὐτὰ εἰς ἀπόκρισιν, πολλῷ μᾶλλον ἐν τῇ πρεσβυτικῇ ἡλικίᾳ γενόμενος τοιούτου χυμοῦ ἀπορήσει, ὥστε οὖν κἀνταῦθα ἔψευσται πάντη ὁ Ἱπποκράτειος λόγος. ἐπειδὴ δὲ εἰρήκαμεν ὅτι διὰ τὸ ἀέναον τῆς διαφορήσεως ξηρὰ πολλάκις γίνεται ἡ γαστὴρ, ἐάν ποτε ἐν νέᾳ ἡλικίᾳ τοῦτο φανῇ, λέγω δὴ ξηραινομένη κατὰ διαφόρησιν ἡ γαστὴρ, προλέγειν ἐπὶ τῶν τοιούτων εἰκὸς, ὅτι γηράσκοντες ὑγρὰν ἕξουσι πάντως τὴν γαστέρα διὰ τὸ ἐν γεροντικῇ ἡλικίᾳ.

πυκνουμένης τῆς ἐπιφανείας, ἐπέχεσθαι τὴν διαφόρησιν, ἥστινος μὴ γενομένης, τὰ εἰωθότα διαφορεῖσθαι ὑγρὰ, ἐπὶ γαστέρα ἀντικαταῤῥεύσαντα, ὑγροτέραν ποιεῖται τὴν διαχώρησιν.

ΘΕΟΦ. Ἐπὶ τῶν ἀκμαζόντων ὑγρὰ γίνεται ἡ γαστὴρ ἢ διὰ ψύξιν οὖσαν περὶ τὴν γαστέρα ἢ διὰ ῥώμην τῆς ἀποκριτικῆς δυνάμεως ἢ διὰ χολὴν παραῤῥέουσαν τῇ γαστρὶ καὶ τοῖς ἐντέροις· οἷς οὖν νεάζουσιν αἱ κοιλίαι ὑγραί εἰσι διὰ ψύξιν γαστρὸς, τούτοις γηράσκουσι ξηραὶ διὰ τὴν ἐπίτασιν τῆς ψύξεως· καὶ οἷς νεάζουσιν ὑγραὶ διὰ ῥώμην τῆς ἀποκριτικῆς, τούτοις γηράσκουσι ξηραὶ διὰ ἀσθένειαν τῆς δυνάμεως. καὶ οἷς νεάζουσιν ὑγραὶ διὰ χολὴν παραῤῥέουσαν, τούτοις γηράσκουσι ξηραὶ διὰ τὸ μὴ γεννᾶσθαι ἐν αὐτοῖς χολήν. πάλιν ἐπὶ τῶν ἀκμαζόντων ξηρὰ γίνεται ἡ γαστὴρ ἢ διὰ θέρμην οὖσαν περὶ τὴν γαστέρα ἢ διὰ τὸ μὴ παραῤῥέειν χολὴν ἐν γαστρὶ καὶ τοῖς ἐντέροις ἢ διὰ ἀνάδοσιν γινομένην κατὰ λόγον. οἷς οὖν νεάζουσιν αἱ κοιλίαι ξηραί εἰσι διὰ θερμότητα, τούτοις ἀπογηράσκουσιν ὑγραὶ διὰ ψυχρότητα, καὶ οἷς νεάζουσι ξηραὶ δι᾽ ἔνδειαν χολῆς, τούτοις ἀπογηράσκουσιν ὑγραὶ οὐχ ἁπλῶς διὰ τὸ μὴ γεννᾶσθαι χολὴν, ἀλλὰ διὰ τὸ 1) ὑπὸ πλήθους βαρεῖσθαι. καὶ οἷς νεάζουσι ξηραὶ διὰ τὴν κατὰ λόγον ἀνάδοσιν, τούτοις ἀπογηράσκουσιν ὑγραὶ δι᾽ ἐνδεῆ ἀνάδοσιν ἐξ ἀσθενείας τοῦ ἥπατος. Ἰστέον δὲ ὅτι ὑγρὰν καὶ ξηρὰν λέγει γαστέρα οὐ πρὸς τὴν οὐσίαν, ἀλλὰ πρὸς τὰ περιττώματα. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι οὗτος ὁ λόγος ὡς ἐπὶ τὸ πολύ ἐστιν.

ΔΑΜ. Ὑγρὰς δὲ καὶ ξηρὰς κοιλίας οὐχ ἁπλῶς, ἀλλὰ τὰς ἐπὶ τοῖς αὐτοῖς διαιτήμασι καὶ γήρᾳ κἀν τῇ νεότητι. γίνεται δὲ ὑγροτέρα γαστὴρ τοῦ συμμέτρου, ὅταν ἡ χυλωθεῖσα τροφὴ κατὰ αὐτὴν ἐνδεέστερον ἀναδίδοται, ξηροτέρα δὲ πάλιν, ἁπάσης τῆς κατ᾽ αὐτὴν ὑγρότητος εἰς τὸ ἧπαρ ἀναφερομένης. ὅστις γοῦν τὸ στόμα τῆς κοιλίας ψυχρότερον ἔχει τῇ κράσει, οὗτος εὐόρεκτος. τὸ δὲ ἧπαρ εἰ ψυχρὸν, ἧττον ἕλκει. ὑγρὰ γαστὴρ τὴν καθεκτικὴν

---

1) *μὴ* add. V. b.

ἀσθένειαν κέκτηται, καθάπερ τὴν προωστικὴν διὰ ξηρότητα ῥωμαλέαν. γηρῶν οὖν ἐπειδὰν ψυχρότερον ἔτι κτήσηται τὸ σῶμα, τὴν ἐν τῷ στόματι τῆς κοιλίας ἀνάγκη γενέσθαι ψυχρότητα εἰς τοσοῦτον ψυχρὰν, ὡς μεταπίπτειν εἰς ἀνορεξίαν, ὥστε ξηραίνεσθαι ἐντεῦθεν τὴν διαχώρησιν ἐνδείᾳ τῶν ἐσθιομένων, ὡς πρὸς τὴν ἀνάδοσιν. οὕτως δὲ καὶ ὅσοι διὰ τὴν φύσιν ἢ τὸ πλῆθος τοῦ πικροχόλου χυμοῦ τὴν κοιλίαν ὑγραίνονται, πρὸς τοὐναντίον μεταπίπτουσιν ἐν τῷ γήρᾳ, μηκέτι τούτου γινομένου· τῶν δὲ τῆς καθεκτικῆς ἀῤῥωστίᾳ ὑγραινομένων τὴν κοιλίαν οὐχ ἅπασιν ἡ μετάπτωσις ἔσται, ἀλλὰ περὶ τὸ ποσὸν τῆς συνεζευγμένης αὐτοῖς θερμασίας. εἰ μὲν γὰρ ψυχρὰ ἐξ ἀρχῆς ἦν ἡ γαστὴρ, ἐν τῷ γήρᾳ εἰς μετρίαν ψυχρότητος ἀγομένη τὴν καθεκτικὴν ὁμοίως ἢ καὶ πλέον ἄῤῥωστον ἕξει διὰ τὸ πᾶσαν ἄμετρον δυσκρασίαν ἐκλύειν τὰς ἐνεργείας· εἰ δ᾽ ἄκρως ἦν θερμὴ, μέχρι πλείστου τῆς ἡλικίας ἰσχυρὰν ἕξει τὴν καθεκτικὴν, ὡς ἂν καὶ ξηρὰ οὖσα. εἰ γὰρ φύσει ἦν ὑγροτέρα, ἄῤῥωστον ἂν εἶχε τὴν καθεκτικήν. δῆλον οὖν ὡς ὀλίγου δεῖν ἅπασι νέοις, οἷς ὑγρότεραί εἰσιν αἱ γαστέρες φύσει, εἰς τοὐναντίον μετάπτωσις ἔσται γηράσκουσιν· οἷς δ᾽ εἰσὶ φύσει ξηρότεραι, τούτοις γηρῶσιν ὑγραὶ γενήσονται διὰ τὰς ἐναντίας αἰτίας.

Post aphorismum 20. intercalatur in codice Damascii:

Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι νέοι μὲν ὄντες βέλτιον ἀπαλλάσσουσι τῶν ξηρὰς ἐχόντων, εἰς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ αὐτέοισιν ὡς ἐπὶ πολὺ τοῖσιν ἀπογηράσκουσιν. —

ΔΑΜ. Ὅμοιος ὁ ἀφορισμὸς οὑτοσὶ τῷ πρὸ αὐτοῦ ἀφορισμῷ.

κα΄. Λιμὸν θώρηξις λύει. —

ΘΕΟΦ. 1) Λιμὸν ἐνταῦθα τὴν 2) σφοδροτέραν καὶ

---

1) E Stephano: *Λιμὸς* frigida materia in stomacho excitata ὄρεξις. οἶνος ἔστω κιῤῥὸς ἢ ξανθὸς – et de diversis vinis pauca disserit. τινὲς δὲ λιμὸν λέγουσιν ἐνταῦθα καλεῖν τὸν Ἱπποκράτην τὴν σιτοδείαν τουτέστι τὴν λεῖψιν τοῦ σιτίου, ὅτι ἐὰν τυχὸν ἀπορία ἐστὶ σίτου, παρακελεύεται οἶνον παρέχειν διὰ τὸ τρόφιμον αὐτοῦ. ἔστι δὲ τοῦτο πιθανόν. ἕτεροι δέ φασιν, ὅτι λιμὸν τὸν βούλιμον καλεῖ — — ὅπερ οὐκ εὔλογον. In bulimo noceret vinum. Itaque est κυνώδης ὄρεξις ἀπὸ ὀξώδους χυμοῦ in stomacho. 2) σφοδρὰν V. a.

ἄπαυστον ὄρεξιν τῶν σιτίων ὀνομάζει, ἣν ἔνιοι κυνώδη προσαγορεύουσιν. αὕτη δὲ διττὴ, ἡ μὲν δι' ἄμετρον γενομένην διαχώρησιν, ἡ δὲ διὰ ψυχρὸν χυμὸν ὑποκείμενον περὶ τὴν γαστέρα, ὃς τῇ ψύξει μὲν ἐπεγείρει τὴν ὄρεξιν, καταλύει δὲ καὶ ἀμβλύνει τὴν πέψιν. κἀντεῦθεν πολλὴν μὲν τροφὴν λαμβάνουσιν, οὐ πέττουσι δὲ καὶ λιμαγχονεῖται τὸ ὅλον σῶμα. ταύτην οὖν ἡ θώρηξις ἤγουν ἡ ἀκρατοποσία παύει. πραΰνεται γὰρ εὐθέως ὁ λιμὸς ἐπὶ τῇ τοιαύτῃ διαίτῃ. ἐν πλείονι δὲ χρόνῳ πραττόντων οὕτω, παύεται τῷ ἐξατμίζεσθαι καὶ διαφορεῖσθαι τὴν ὕλην, τὴν τὸν λιμὸν ἐργαζομένην, τῇ θερμασίᾳ τοῦ οἴνου. οἶνον γὰρ ἀκουστέον οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν 1) κιῤῥὸν τὴν χροιάν.

ΔΑΜ. Οὐ πᾶσαν ἔνδειαν ὀνομάζει λιμὸν, ἀλλὰ την σφοδρὰν καὶ ἄπαυστον ὄρεξιν, ἣν καὶ κυνώδη ὀνομάζουσιν. οἱ κιῤῥοὶ τοίνυν τῶν οἴνων ἢ οἱ ἐρυθροὶ ἰῶνται τὸν τοιοῦτον λιμὸν, ὡς πλείονα τὴν θέρμην κεκτημένοι. γίνεται δὲ κυνώδης ὄρεξις ἢ διὰ δυσκρασίαν μόνην τὴν ἐπὶ τὸ ψυχρότερον ἢ διά τινας χυμοὺς ὀξεῖς ἀναποθέντας εἰς αὐτὸ τὸ στόμα τῆς γαστρὸς.

κβ'. Ἀπὸ πλησμονῆς ὁκόσα νουσήματα γίνεται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσιος γίνεται, πλησμονή· καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις. —

ΘΕΟΦ. 2) Ἐν τῷ πρὸ τοῦδε ἀφορισμῷ μερικὴν ἐποιεῖτο τὴν θεραπείαν τοῦ λιμοῦ διὰ τῆς θωρήξεως

---

1) *πυῤῥὸν* V. b. 2) E Stephano: *εὐμεθοδεύτου ἰατροῦ ἐστιν ἐπιζητεῖν.* — Quaerit an *γενικὸς ὁ λόγος.* Tria *παρὰ φύσιν* sunt: *αἴτια, νοσήματα, συμπτώματα.* 1) *αἴτια* v. c. *πλῆθος δεῖ κενοῦν* 2) In morbis idem facimus. At in quibusdam febribus *ζέμασι βοτανῶν χρώμεθα* (*ἀνήθου, σελίνου, ἀψινθίου* etc.) *εἴ γε καὶ ὁ πυρετὸς θερμὸν χρῆμά ἐστιν.* — Sed curamus aut *καθ' ἑαυτὸ καὶ πρώτως* i. e. refrigerantibus (ptisana, thridacine, *ὑδρομέλιτι*) aut *κατὰ συμβεβηκὸς* (*λεπτύνομεν ζέμασι τὴν ὕλην τοῦ πυρετοῦ.*) Itaque manet *ἡ ἐναντίωσις.* 3) In symptomatis solum *παρηγορικοὶ λεγόμεθα.* v. c. In dolore *κώλου ναρκοῦντα* damus, ut dolorem mitigemus. Nam *ἡ ὀδύνη ἐπανακάμπτει.* Itaque est *γενικὸς ὁ λόγος.*

λύων, ἐν δὲ τούτῳ καθολικὸν ποιεῖται τὸν λόγον. φησὶ γὰρ ὅτι καθόλου πᾶσα πλησμονὴ ὑπὸ κενώσεως θεραπεύεται ὥσπερ καὶ τὸ ἀνάπαλιν· τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα. ἐν δὲ τούτοις καὶ ὁ ὅρος 1) ἀναφαίνεται τῆς ἰατρικῆς κατὰ τὸν Ἱπποκράτην ὁ λέγων, ἰατρική ἐστι πρόσθεσις καὶ ἀφαίρεσις, πρόσθεσις μὲν τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ τῶν πλεοναζόντων.

κγ΄. κδ΄. Τὰ ὀξέα τῶν νουσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. Τῶν ἑπτὰ, ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. θεωρητὴ δὲ ἡ ἑνδεκάτη· αὕτη γάρ ἐστι τετάρτη ἀπὸ τῆς ἑτέρης ἑβδομάδος· θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη· αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης. —

ΘΕΟΦ. Ἐνταῦθα ἔσχατον ὅρον ὁ Ἱπποκράτης τῶν ὀξέων νοσημάτων τὴν τεσσαρασκαιδεκάτην ἡμέραν παραδίδωσι. τὰ γὰρ ὀξέα νοσήματα ἐπὶ λεπτῇ καὶ δριμείᾳ ὕλῃ γίνεται, ἥτις διὰ μὲν τὴν σύστασιν ἔχει τὸ εὐδιαφόρητον, διὰ δὲ τὴν δριμύτητα τὸ εὔκριτον. δάκνουσα γὰρ καὶ ἀνιῶσα τὴν φύσιν ἐπεγείρει αὐτὴν, ὥστε ἀποδιῶξαι τὰ λυποῦντα 2) τὸ σῶμα καὶ ταχέως ὑποστῆναι τὴν 3) κρίσιν. ἀλλά φησι, τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. πῶς; ἐπειδὴ ἡ τετάρτη κρίσιμός ἐστιν. ἐὰν οὖν τῇ τετάρτῃ οὐ γέγονε τελεία ἡ κρίσις, ἐν τῇ ἑβδόμῃ τελεία γενήσεται διὰ τὸ ἀκμὴν ἀσθενῆ εἶναι τὴν δύναμιν καὶ μὴ δύνασθαι ταχέως ἀποδιῶξαι τὰ νοσοποιὰ αἴτια. εἰ δὲ μὴ ἐν τῇ ἑβδόμῃ γέγονε τελεία, ἐν τῇ ἑνδεκάτῃ τελεία γενήσεται. εἰ δὲ καὶ ἐν τῇ ἑνδεκάτῃ ἀτελὴς, ἐν τῇ τεσσαρασκαιδεκάτῃ τελεία. αὗται μὲν οὖν αἱ ἡμέραι ἐπίδηλοι καὶ θεωρηταὶ καλοῦνται, ἐπίδηλοι μὲν, ὅτι μηνύουσι τὴν ὅσον οὔπω μέλλουσαν κρίσιν, θεωρηταὶ δὲ, ἐπειδὴ ὡς

1) ἀναφέρεται V. b. 2) τοῦ σώματος V. a. 3) E Stephano: εἶπε κρίνεται, καὶ οὐ παύεται διὰ τὸ τὴν κρίσιν ἢ τελείαν εἶναι ἢ ἀτελῆ, ἢ ἀγαθὴν ἢ κακήν. — θεωρητικὴν ἡμέραν ἐκείνην λέγομεν, ἥτις κρίσιμος μέν ἐστι καὶ αὐτὴ τῷ οἰκείῳ λόγῳ, διὰ δὲ τὸ ἀπαρασκεύαστον εἶναι τὴν ὕλην, οὐ κρίνει μὲν, σημεῖον ἐδ τι ὑποφαίνει τῆς κρίσεως.

πρὸς ταύτας ἀφορῶντες προλέγομεν. 1) αὗται οὖν αἱ τετραδικαὶ περίοδοι, αἱ μὲν κατὰ συνέχειαν ἀριθμοῦνται, αἱ δὲ κατὰ διέχειαν. αἱ μὲν οὖν πρῶται δύο τετράδες κατὰ συνέχειαν· τὸ γὰρ πέρας τῆς τετράδος τὸ αὐτὸ καὶ ἀρχὴ λαμβάνεται· ἡ δὲ τρίτη τετρὰς κατὰ διέχειαν. οὐ γὰρ τὸ πέρας τῆς τετράδος καὶ ἀρχὴ γίνεται. ἡ δὲ τετάρτη τετρὰς κατὰ συνέχειαν πάλιν· ἡ γὰρ ἑνδεκάτη καὶ ἀρχὴ καὶ τέλος νομίζεται. εἰ δέ τις εἴποι, ὁρῶμεν ὅτι ὀξέα νοσήματα καὶ τῇ ἑπτακαιδεκάτῃ καὶ τῇ εἰκοστῇ κρίνονται, λέγομεν ὅτι ταῦτα τῶν σπανίως. εἰ δέ τις πάλιν εἴποι, πῶς ἐν τῷ προγνωστικῷ λέγει, ἔσχατον ὅρον εἶναι τὴν τεσσαρακοστὴν ἡμέραν τῶν ὀξέων νοσημάτων, νῦν δὲ τὴν τεσσαρασκαιδεκάτην, λέγομεν ὅτι ἐκεῖ οὐ τῶν ἁπλῶς ὀξέων λέγει τὴν τεσσαρακοστὴν ἡμέραν ἔσχατον ὅρον εἶναι, ἀλλὰ τῶν ἐκ μεταπτώσεως 2) ὀξέων.

ΔΑΜ. Τῶν κρίσεων ἓξ αἱ διαφοραί, ἢ ἀθρόα γίνεται μεταβολὴ πρὸς τὸ ἄμεινον ἢ τὸ χεῖρον ἢ μικτὴ πρὸς ὑγείαν, βληχρῶς ἀρξαμένη καὶ ὀξέως διὰ κρίσεως ἐλθοῦσα εἰς ὑγείαν, ἢ ὀξέως μὲν ἐξ ἀρχῆς ἀρξαμένη, βληχρῶς δὲ ὕστερον πρὸς θάνατον ἐρχομένη, ἢ κατὰ βραχὺ εὐθέως ἐξ ἀρχῆς πρὸς ὑγείαν, καὶ λέγεται σύμπεψις, ἢ κατὰ βραχὺ εὐθὺς ἐξ ἀρχῆς πρὸς θάνατον, καὶ λέγεται μαρασμός. ὅρον δ' ἐπὶ τῶν ὀξέων νοσημάτων ἔθετο τὸν δυοῖν ἑβδομάδοιν χρόνον, ὡς ἐξωτέρω μὲν οὐδενὸς προϊόντος, ἔμπροσθεν δὲ τῆς ιδ' πολλῶν κρίνεσθαι δυναμένων. ἐπιδήλους δὲ καὶ θεωρητὰς εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν ἡμέρας, ἐν αἷς τι σημεῖον φαίνεται δηλωτικὸν τῆς ἐσομένης κρίσεως ἐν ἑτέρᾳ τινὶ τῶν μελλουσῶν ἡμερῶν.

κε'. Οἱ θερινοὶ τεταρταῖοι ὡς τὰ πολλὰ γίνονται βραχέες, οἱ δὲ φθινοπωρινοί, μακροί, καὶ 3) μάλιστα οἱ πρὸς τὸν χειμῶνα ξυνάπτοντες. —

---

1) Ἰστέον δὲ ὅτι τετράδες δύο εἰσὶ μέχρι τῆς ζ' κατὰ συνέχειαν διὰ τὸ τὴν τετάρτην τέλος εἶναι τῶν προηγησαμένων ἡμερῶν καὶ ἀρχὴν τῶν ἐπιουσῶν. ἑβδόμη δὲ πρὸς τὴν ὀγδόην οὐ κατὰ συνέχειαν, ἀλλὰ κατὰ διέχειαν διὰ τὸ τέλος εἶναι τὴν ζ', ἀρχὴν δὲ τὴν η'. ἡ δὲ ια' καὶ αὐτὴ κατὰ συνέχειαν ὥσπερ ἡ τετάρτη V. b. 2) quorum ultimus terminus est quadragesimus add. C. 3) μᾶλλον D.

ΘΕΟΦ. Ἐν τῷ ἀνωτέρω ἀφορισμῷ πρόνοιαν ἐποιεῖτο τῶν ὀξέων νοσημάτων, ἐν τούτῳ δὲ κατὰ συνέχειαν τῶν χρονίων. φησὶν οὖν, οἱ θερινοὶ τεταρταῖοι τουτέστιν οἱ ἐν τῷ θέρει γινόμενοι βραχέες γίνονται ἤγουν ὀλιγοχρόνιοι ὡς ἐπὶ τὸ πολὺ, ὅτι ἡ τοῦ περιέχοντος θερμασία λεπτύνει τὴν ὕλην καὶ ἀραιοῖ τοὺς πόρους καὶ διαφορεῖ αὐτήν. οἱ μέντοι φθινοπωρινοὶ τουτέστιν οἱ ἐν τῷ φθινοπώρῳ γινόμενοι μακροὶ 1) καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα πλησιάζοντες διὰ τὴν ψύξιν καὶ διὰ τὸ πυκνοῦσθαι ὑπὸ τῆς ψύξεως τοὺς πόρους καὶ διὰ τὸ παχυτέραν εἶναι τὴν ὕλην. εἰ δέ τις 2) ἀπορήσει καὶ πῶς ἐν θέρει γίνεται τεταρταῖος, ὅπου τοσαύτη θερμασία καὶ διαφόρησις, λέγομεν ὅτι ὅσον ἐπὶ τῇ ὥρᾳ οὐκ ἔδει γενέσθαι, πλὴν διὰ τὴν δίαιταν γίνεται. ἡ γὰρ θερμασία παχυτέρας καὶ γεώδους τροφῆς δρασσομένη οἷον κράμβης ἢ βοείων κρεῶν καὶ τῶν τοιούτων, μελαγχολικὸν χυμὸν γεννᾷ, κἀντεῦθεν τεταρταῖος γίνεται.

ΔΑΜ. Ὥσπερ δ' ἐν τῷ θέρει καὶ τοὺς χυμοὺς διαφορεῖσθαι καὶ τὴν δύναμιν διαλύεσθαι συμβέβηκεν, οὕτως ἐν τῷ χειμῶνι τὰ ἐναντία καὶ τοὺς χυμοὺς ἔνδον μένειν ὥσπερ φωλεύοντας καὶ τὴν δύναμιν ἐῤῥωμένην διαμένειν. οὔτε οὖν λύονται τὰ νοσήματα, μενόντων τῶν ποιούντων αὐτὰ χυμῶν, οὔτ' ἀποθνήσκουσιν οἱ κάμνοντες, ἐξαρκούσης αὐτῶν τῆς δυνάμεως.

κϛ'. Πυρετὸν ἐπὶ σπασμῷ γενέσθαι βέλτιον, ἢ σπασμὸν ἐπὶ πυρετῷ. —

ΘΕΟΦ. Σπασμός ἐστι κίνησις ἀπροαίρετος ἐν προαιρετικοῖς μορίοις ἢ ὀργάνοις γινόμενος. γίνεται δὲ ἢ ἐπὶ πλήθει, πληρουμένων τῶν νεύρων καὶ τοῦ ἐγκεφάλου καὶ διατεινομένων αὐτῶν, ἢ ἐπὶ ξηρότητι 3) συνιζανόντων τῶν νεύρων πρὸς ἄλληλα. ξηραινόμενα γὰρ καὶ διατεινόμενα ἐπὶ τὴν οἰκείαν ἀρχὴν ἀνατρέχουσι καὶ ποιοῦσιν ἀπροαίρετον κίνησιν. βέλτιον οὖν φησὶν ὁ Ἱπποκράτης πυρετὸν ἐπὶ σπασμῷ τῷ ἐπὶ πληρώσει γενέσθαι ἢ τὸ ἀνάπαλιν.

---

1) Hinc incipit Cod. Nan. Venet. 2) ἀπορήσειε V. b. 3) συναυξανόντων V. c.

ἐπειδὴ γὰρ ὁ πυρετὸς μέχρι βάθους 1) χωρεῖ, εἴωθεν ὡς τὰ πολλὰ θερμαίνειν καὶ λεπτύνειν καὶ διαφορεῖν τοὺς χυμοὺς τοὺς τὸν σπασμὸν ἐργασαμένους. εἰ δὲ ἐπὶ πυρετῷ σπασμὸς ὁ ἐπὶ ξηρότητι γένηται, κακόν· χρήζει γὰρ χρόνου τὰ νεῦρα πρὸς τὴν τῆς ξηρότητος ἴασιν. οὐκ ἀναμένει δὲ χρόνον ἡ συντονία τοῦ νοσήματος, ἀλλ᾽ ἐν τάχει καταλύει τὴν δύναμιν. καὶ ὀξὺν θάνατον ἐπιφέρει.

ΔΑΜ. Ἐπὶ πληρώσει καὶ κενώσει γίνεται ὁ σπασμός. ὅταν οὖν ἐφ᾽ ὑγιαίνοντος συμβῇ γενέσθαι σπασμὸν, πάντως ἐπὶ πληρώσει τοῦτον ἀναγκαῖον εἶναι· πληροῦνται δὲ τὰ νεῦρα γλίσχρων καὶ ψυχρῶν χυμῶν, οἷς τρέφονται. τούτοις ἐπιγενόμενος πυρετὸς λεπτύνει καὶ θερμαίνει καὶ διαφορεῖ. εἰ δὲ ἐκ διακαῶν πυρετῶν ξηρανθῇ τὸ νευρῶδες τοῦ σώματος, καὶ σπασμὸς ἐπακολουθήσει, μέγιστον τοῦτο καὶ ἐγγὺς ἀνίατον. ἡ γὰρ συντονία τοῦ νοσήματος ἐν τάχει καταλύει τὴν δύναμιν καὶ ὀξὺν φέρει τὸν θάνατον.

κζ΄. Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβέεσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθε. —

ΘΕΟΦ. Ἐνταῦθα παρακελεύεται τὸν ἰατρὸν μὴ ὡς ἔτυχε θαῤῥεῖν ἢ φοβεῖσθαι λέγων, τοῖς μὴ κατὰ λόγον ῥαστώνην 2) δεξαμένοις οὐ δεῖ πιστεύειν ἤτοι θαῤῥεῖν, οἷον ὅταν εἰσβάλῃ νόσημα σφοδρὸν, εἶτ᾽ ἐξαίφνης ῥαΐσῃ 3) εἴτε δι᾽ ἐμέτων ἢ ἱδρώτων ἢ διαχωρημάτων ἢ οὔρων ἢ δι᾽ αἱμοῤῥαγίας κενωθέντος τοῦ σώματος, ἀλλὰ μηδὲ πέψεως φανέντων σημείων, ἄπιστον ἡγητέον εἶναι τὴν τοιαύτην ῥαστώνην. τὰ γὰρ ἀσήμως ῥαστωνήσαντα, καθὼς ἐν ἑτέροις λέλεκται, φιλυπόστροφα. εἶτα φησὶν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως, οἷον ὅταν δυσπνοήσῃ τις ἀλόγως ἢ παραφρονήσῃ ἢ μεγάλῳ ῥίγει καταληφθῇ, καὶ τοῦτο ἀβέβαιον ἡγητέον. οὐ δεῖ γὰρ

---

1) χωρῶν V. a. 2) δοξαζομένοις V. a. b. δεξαμένοις V. c. N. 3) μήτε V. a.

1) φοβεῖσθαι τὰ νομιζόμενα μὲν εἶναι μοχθηρὰ, μὴ οντα δὲ κυρίως, ἀλλὰ παραλόγως γινόμενα. τέως γὰρ οὐδὲν χαλεπὸν σημαίνουσιν.

ΔΑΜ. Εἰ γὰρ οὐ κατὰ λόγον ῥαστωνήσει τὸ νόσημα σφοδρὸν ἤως οὐ δι' ἱδρώτων ἢ διαῤῥοίας ἢ ἐμέτων ἢ αἱμοῤῥαγίας κενωθέντος τοῦ σώματος, ἢ μηδὲ πέψεως φανέντων σημείων, ἄπιστον ἡγητέον τὴν τοιαύτην ῥαστώνην, ὥσπερ καὶ εἰ δυσπνοήσειεν ἀλόγως ἢ παραφρονήσειεν ἢ μεγάλως ῥιγώσειεν. ὁμοῦ καὶ ταῦτα ἀβέβαια· πολλάκις γὰρ κρίσιν ἀγαθὴν ἀγγέλλει.

κη'. Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ ξυντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν· τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθενείην. —

ΘΕΟΦ. Νῦν ἐκ τῆς 2) ἕξεως τοῦ σώματος ποιεῖται τὴν διάγνωσιν. φησὶ γὰρ, τῶν πυρεσσόντων 3) μὴ παντάπασιν ἐπιπολαίως, ἀλλὰ μέσως τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, μοχθηρόν· δηλοῖ γὰρ πύκνωσιν τοῦ 4) δέρματος καὶ πάχος χυμῶν καὶ διὰ τοῦτο καὶ μῆκος νόσου. Τὸ δὲ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον γίνεται διὰ λεπτότητα χυμῶν καὶ μανότητα τοῦ δέρματος, καὶ διὰ τοῦτο καὶ αὐτὸ μοχθηρόν· ἀσθένειαν γὰρ δυνάμεως δηλοῖ. Ἰστέον δὲ ὅτι τὸ μᾶλλον τοῦ κατὰ λόγον κατ' ἀμφότερα εἴρηται, πρός τε τὸ μὴ 5) ἐνδιδόναι καὶ τὸ συντήκεσθαι.

ΔΑΜ. Σημεῖον ἀσθενείας φησὶν, ἡ παρὰ φύσιν ἰσχνότης· σημαίνει δὲ ὅτι τὸ τοῦ σώματος ἀσύμπτωτον ἐπὶ πυκνώσει τοῦ δέρματος ἕπεται καὶ πάχει χυμῶν. τὸ συντήκεσθαι δέ ποτε μὲν διὰ λεπτότητα χυμῶν καὶ μανότητα

---

1) φοβηθῆναι V. c. N. 2) τάξεως τοῦ νοσήματος V. a. 3) E Stephano: μὴ παντάπασιν ἐπιπολαίως] addidit, quia in febribus ephemeris ἀσύμπτωτον manet corpus neque mali quicquam illud indicat διὰ τὸ τοὺς ἐφημέρους πυρετοὺς ἐπιπολαίους πως εἶναι καὶ τοῦ βάθους μὴ ἅπτεσθαι. 4) σώματος V. b. corporis C. 5) ἐνδιδεῖν V. a. N.

τοῦ δέρματος, ποτὲ δὲ διὰ μόνην ἀσθένειαν δυνάμεως.

κθ'. Ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστι. —

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς ἐπὶ τῶν ὀξέων ἁρμόδιος· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι σκόπει, ἐὰν ὀργᾷ ἡ ὕλη, καὶ τότε 1) κένωσον· τοῦτο γάρ ἐστιν, ἤν τι δοκέῃ· ἢν δὲ μὴ ὀργᾷ, μὴ κενώσῃς· 2) κίνησιν δὲ ἐνταῦθα λέγει καὶ φλεβοτομίαν καὶ κάθαρσιν. πλὴν εἰ δοκεῖ ἐν ἀρχῇ κάθαρον ἢ κένωσον, ἵνα εὑρίσκουσα ἡ φύσις ὀλίγην τὴν ὕλην σύντομον ποιήσηται τὴν πέψιν καὶ τὴν ἀπαλλαγὴν τῆς ὕλης· ἐν τῇ ἀκμῇ δὲ ἡσυχίαν ἔχειν βέλτιόν ἐστι. τότε γὰρ κατεκράτησεν ἡ φύσις τῆς ὕλης καὶ σύμπεψις γέγονε καὶ οὐ 3) χρείαν ἔχει τῆς τοῦ ἰατροῦ ἐπικουρίας. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι ἐπὶ τούτων τῶν νοσημάτων λεπτὸς ὑπόκειται ὁ χυμὸς καὶ εὔοργος καὶ εὐκίνητος καὶ δεῖ αὐτὸν ἐν ἀρχῇ ταχέως 4) ἀπελάσαι τοῦ σώματος, ὥστε μὴ τῇ ἀτάκτῳ κινήσει ἐπὶ κύρια ῥεύσας μόρια μέγα κακὸν ἀπεργάσηται. ἐν δὲ τῇ ἀκμῇ ἡσυχίαν ἔχειν χρὴ διὰ τὸ πρὸς πέψιν 5) ἧξαι τὴν ὕλην, τῆς ζωτικῆς καὶ 6) φυσικῆς δυνάμεως ἰσχυρῶν οὐσῶν ἐν τούτῳ τῷ χρόνῳ, τῆς ψυχικῆς δὲ τοὔπιπαν κεκμηκυίας, ὥσπερ ἐν τῇ ἀρχῇ τὸ ἀνάπαλιν.

λ'. Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλεα πάντα 7) ἀσθενέστερα· περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα. —

---

1) *κενώσει χρῶ* V. b. c. 2) *κένωσιν* V. c. N. 3) *ἔστι χρεία* V. b. 4) *ἀπαλλάξαι* V. c. 5) *ἦχθαι τὴν ὕλην* V. b. Om. V. a. c. 6) E Stephano: Rationem quasi reddit hic aphorismus praeeuntis, cur in principio debilia sint omnia. Tria secundum naturam sunt, *δυνάμεις ψυχικαὶ* (*αἰσθητικαὶ, λογιστικαὶ, κινητικαὶ*) *φυσικαὶ* (*ἑλτικὴ, καθεκτικὴ, ἀλλοιωτικὴ, ἀποκριτικὴ,*) *ζωτικαὶ,* (*σφυγμικὴ, ἀναπνευστική*). *παρὰ φύσιν* tria, *αἴτια, νοσήματα, συμπτώματα.* In principio *αἱ δυνάμεις φυσικαὶ ἀσθενεῖς εἰσι διὰ τὸ ἄπεπτον τῶν χυμῶν* (quod excretiones indicant), ceterae vires fortes; *τῶν παρὰ φύσιν* in principio debiles sunt morbi. In acme sunt fortes *αἱ φυσικαὶ δυνά-*

ΘΕΟΦ. 1) *Καὶ οὗτος ὁ ἀφορισμὸς συνεχής ἐστι τῷ πρὸ αὐτοῦ. ἐν μὲν γὰρ ἐκείνῳ ἔλεγεν, ἀρχομένων τῶν νούσων ἤν τι δοκέῃ κινέειν, κίνει. ἐνταῦθα δὲ τὴν αἰτίαν παραδίδωσι. περὶ γὰρ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστερα, περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότερα. ἀρχὴν δὲ ἐνταῦθά φησι τὴν ἀντιδιαστελλομένην τοῖς λοιποῖς καιροῖς, ἀναβάσει φημὶ, καὶ ἀκμῇ, καὶ παρακμῇ. ἔστι γὰρ ἀρχὴ καὶ ἡ ἀκαριαία ἀρχὴ καὶ ἡ τρισὶν ἡμέραις περιγραφομένη,, τέλος δέ φησι τὴν παρακμήν. ἐν μὲν οὖν τῇ ἀρχῇ πάντα ἀσθενέστερά εἰσι τουτέστι παροξυσμοὶ πυρετῶν, ἀγρυπνίαι, ἀλγήματα καὶ τὰ λοιπὰ συμπτώματα. οὔτε γὰρ εὐθέως σφοδρῶς εἰσβάλλει ὁ πυρετὸς πρὸς τὴν οἰκείαν ἀκμὴν συγκρινόμενος, οὔτε μὴν πάνυ κατεπείγει ἀγρυπνία, κεφαλαλγία ἢ παραφορά· ἐν δὲ τῇ ἀκμῇ προκόπτοντος τοῦ χρόνου τὸ μέγεθος αὐτῶν ἀπολαμβάνουσιν.*

ΔΑΜ. Πάντα τὰ συμπτώματα δηλονότι περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη ἀσθενέστερα, περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότερα, καίτοιγε ἡ νόσος οὐκ ἐξ ἅπαντος ἐν τῇ ἀκμῇ ἰσχυροτέρα· ἀλλ' ἐπὶ τῶν σωθησομένων πολλῷ βελτίων ἡ ἐν ἀρχῇ τῆς νόσου· ἐν ᾗ ἀρχῇ εἰ δεῖ κινεῖν διὰ φλεβοτομίας ἢ κλυστῆρος, κίνει, ὡς ἂν ἐλάττονος γενομένης τῆς ὕλης, ῥᾷον αὐτῆς ἡ φύσις κρατήσειεν· ἐν δὲ ταῖς ἀκμαῖς ἡσυχάζειν· αἱ γὰρ πέψεις τῶν νόσων τηνικαῦτα γίνονται.

λα'. Τῷ ἐξ ἀῤῥωστίης εὐσιτεῦντι, μηδὲν ἐπιδιδόναι τῷ σώματι, μοχθηρόν. —

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς ἀναληπτικός ἐστὶ καὶ δῆλον ἐκ τοῦ εἰπεῖν ἐξ ἀῤῥωστίης. εὐσιτία δέ ἐστιν ἡ πολλὴ τροφή· φησὶν οὖν ἐὰν πολλῇ τις κεχρημένος τροφῇ μηδὲν ἐπιδιδῷ κατὰ τὸ σῶμα, μοχθηρόν. διὰ τί; ἐπειδὴ

μεις (quod excretiones dicunt) et morbi et symptomata, anima et pulsus debiles et causae. 7) *ἀσθενέστατα — ἰσχυρότατα.* V. a. b. 1) Hoc scholion non expressit Corad. Est in cod. N. Scholion in 74 hoc est brevissimum: *Αἱ γὰρ τῶν νοσημάτων δυσφορίαι ἐν τῇ ἀναβάσει καὶ ἀκμῇ ἔχουσι τὸ ἐπαχθὲς καὶ ἐπώδυνον, οὐχ οὕτω δὲ ἐν τῇ ἀρχῇ, ἢ ἐν τῇ παρακμῇ. τότε γὰρ μετριώτεραι ὑπάρχουσιν.*

ἡ ὄρεξις οὐκ ἔστι κατὰ φύσιν. ὀξώδης γὰρ ὑπόκειται χυμὸς περὶ τὴν γαστέρα, ὃς ἐπεγείρει μὲν τὴν ὄρεξιν· πλὴν διὰ ψύξιν οὐ πέττεται ἡ τροφὴ καὶ ἐντεῦθεν ἀτροφεῖ τὸ σῶμα.

ΔΑΜ. Τὸ μήτε εἰς εὐτροφίαν ἐπιδιδόναι τὸ σῶμα τρεφόμενον ἀξιολόγως, μήτε ἰσχύειν, ἢ διὰ τῆς τρεφούσης δυνάμεως ἀσθένειαν γίνεται, ἢ διὰ μοχθηρῶν χυμῶν περιουσίαν.

λβ'. Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατὰ ἀρχὰς μὲν εὐσιτεῦντες [1) καὶ μηδὲν ἐπιδιδόντες,] 2) πρὸς τῷ τέλεϊ πάλιν ἀσιτέουσι. οἱ δὲ κατὰ ἀρχὰς μὲν ἀσιτεῦντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτεῦντες, βέλτιον ἀπαλλάσσουσι. —

ΘΕΟΦ. Καὶ οὗτος ἀναληπτικὸς ὁ ἀφορισμὸς, δύο δέ τινα ἡμῖν ἐνταῦθα παραδίδωσιν, ὧν καὶ σύγκρισιν ποιεῖται. καὶ τούτων τὸ μὲν διαβάλλει, τὸ δὲ ἀποδέχεται. φησὶν οὖν, ὅτι οἱ φαύλως ἔχοντες τουτέστιν οἱ χυμούς τινας περὶ τὸ σῶμα μοχθηροὺς ἐγκαταλελειμμένους ἔχοντες, καταρχὰς μὲν εὐσιτέοντες, ὕστερον ἀσιτοῦσι καὶ χεῖρον ἀπαλλάσσουσιν· οἱ δὲ τὸ ἀνάπαλιν ἔχοντες ἀπαλλάσσουσι βέλτιον, διότι οἱ καταρχὰς εὐσιτέοντες εὐρωστίᾳ τῶν ὀρεκτικῶν μορίων εὐσίτουν. ἀλλ' ἐν τῷ χρόνῳ διὰ τὸ πλῆθος τῆς τροφῆς αὐξηθείσης τῆς κατὰ τὸ σῶμα μοχθηρίας, βλάπτεται καὶ ἡ ὄρεξις καὶ διὰ τοῦτο ἀσιτοῦσι πρὸς τῷ τέλει. διὸ καὶ χεῖρον ἀπαλλάσσουσιν· οἱ μέντοι καταρχὰς ἀσιτοῦντες ἰσχυρῶς τουτέστιν ὡς παντάπασιν ὀλίγα 3) λαμβάνοντες 4) ἠσίτουν, πεττούσης τῆς φύσεως τὸν μοχθηρὸν χυμὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, καθὸν ἐνδεῶς διῃτῶντο. τούτου δὲ πεφθέντος ἐξ ἀνάγκης πρὸς τὸ τέλος εὐσιτοῦσιν, οἵτινες καὶ βέλτιον ἀπαλλάσσουσιν.

ΔΑΜ. Οἱ κατ' ἀρχὰς εὐσιτέοντες, ὀρεγομένης τῆς φύσεως δηλονότι, καὶ μὴ λαμβάνοντές τινα ἐπίδοσιν κρείττονα, πάλιν ἀποσιτοῦσιν ἤτοι ἀνορέκτως διάκεινται· οἱ δὲ κατὰ

---

1) Om. V. a. c. 2) τὸ τέλος D. 3) λαμβάνειν V. a. 4) οἱ πέττουσι V. b. C. loco πεττούσης legunt ἐπικρατούσης.

ἀρχὰς ἀσιτοῦντες ἰσχυρῶς, ὕστερον δ' εὐσιτοῦντες, βέλτιον ἀπαλλάσσουσι, πεψάσης τῆς φύσεως τὴν κακοχυμίαν, ἥτις ἦν αἰτία τῆς ἀνορεξίας.

κγ'. Ἐν ἁπάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν· τὸ δὲ ἐναντίον, κακόν. —

ΘΕΟΦ. Οὗτος προγνωστικὸς ὁ ἀφορισμὸς καὶ ἀπὸ τῶν τιμιωτέρων ποιεῖται τὰς προγνώσεις τουτέστιν 1) *ἐγκεφάλου καὶ γαστρός. φησὶ γὰρ, ὅτι ἐν παντὶ νοσήματι τὸ τὴν διάνοιαν ἐῤῥῶσθαι καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς ἤτοι τὰς τροφὰς, ἀγαθόν. τὸ μὲν ἐῤῥῶσθαι τὴν διάνοιαν, ἀγαθὸν διὰ τὸ τὰ περὶ τὸν ἐγκέφαλον καὶ μήνιγγας, ἔτι τε νωτιαῖον μυελὸν καὶ διάφραγμα καὶ ὅλως τὰ νευρώδη μόρια καὶ μάλιστα ὅσα πλησίον τοῦ ἐγκεφάλου,* 2) *ὑγιᾶ σημαίνεσθαι. τὸ δὲ εὖ ἔχειν πρὸς τὰς προσφορὰς καὶ αὐτὸ ἀγαθὸν διὰ τὸ τὰ περὶ τὴν γαστέρα καὶ ἧπαρ, αὐτήν τε τὴν καρδίαν ὁμοίως ὑγιᾶ σημαίνεσθαι.*

ΔΑΜ. Τὴν γὰρ τοῦ ἐγκεφάλου διάθεσιν δηλοῖ καὶ τὴν τῆς γαστρὸς ῥῶσιν καὶ ἥπατος καὶ καρδίας.

λδ'. Ἐν τῇσι νούσοισι ἧσσον κινδυνεύουσι, οἷσιν ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος 3) *ἔῃ, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων. —*

ΘΕΟΦ. 4) *Καὶ οὗτος ὁ ἀφορισμὸς προγνωστικός ἐστι. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὅσα νοσήματα συμφωνεῖ*

---

1) E Stephano: Neque ventriculus neque *αἱ φυσικαὶ δυνάμεις* laborant, si cerebrum bene se habet, propter consensum utriusque. *εὖ ἔχειν πρὸς τὰς προσφορὰς]* — — *ἰστέον γὰρ ὅτι ἡ τῶν σιτίων προσαγωγὴ ἐπιθυμία τις ἐστὶ καὶ ἔφεσις. — εἰ τοίνυν ἐν τῇ ἐπιθυμίᾳ κεῖται ἡ τῶν σιτίων προσφορὰ, ἡ δὲ ἐπιθυμία ἐν τῷ ἥπατί ἐστι, δῆλον ὅτι καὶ τὸ ἧπαρ εὖ ἔχον πρὸς τὰς ὑποφορὰς τῶν νούσων, ὑγιὲς ὑπάρχει.* — Ne tamen salutem repente praedicas; laborare enim possunt *ἔντερα, πνεύμων.* 2) *ὑγιεινὰ* V. b. *πάντως* add. N. 3) *ὑπάρχῃ* D. 4) E Stephano: *Λέγει ὅτι ὅσα νοσήματα τοῖς ἰδίοις σύμφωνα συστοίχοις ἧττονα ἔχει τὸν κίνδυνον. καὶ ἀπορεῖ ὁ Διοκλῆς πρὸς τὸν*

τοῖς ἰδίοις συστοίχοις, ἧττον ἔχει τὸν κίνδυνον, 1) ὅσα δὲ οὐ συμφωνεῖ, μέγαν ἐπιφέρει τὸν κίνδυνον, οἷον ἐπὶ παραδείγματος· ἐὰν γένηται ἐν 2) ἀκμαστικῇ ἡλικίᾳ τριταῖος, γένηται δὲ καὶ ἐν γεροντικῇ ἡλικίᾳ, διότι ἀσύμφωνός ἐστι τῇ γεροντικῇ ἡλικίᾳ, μᾶλλον ἐπικίνδυνος, 3) ἧττον δὲ ἐν τῇ ἀκμαστικῇ, διότι σύμφωνος αὐτῇ ἐστι· πάλιν εἰ ἐν θέρει γένηται τριταῖος, οὐκ ἔστι κινδυνώδης, εἰ δέ ἐν χειμῶνι, ἐπικίνδυνος. δηλοῖ γὰρ ἐπὶ τούτων τουτέστι τῶν ἀσυμφώνων τὸ αἴτιον ἰσχυρὸν εἶναι, ὥστε δύνασθαι νικᾷν τῆς ἐκ τῆς ὥρας γινομένης ἐναντιώσεως. ἐπὶ δὲ τῶν συμφώνων οὐ δηλοῦται μέγα τὸ αἴτιον· ἐπὶ τὸ ὅμοιον γὰρ ἡ θέρμη τὴν ἐκτροπὴν ἐπεδείξατο, ἥτις εὐχερῶς γίνεται κἂν μὴ σφοδρὸν εἴη τὸ τὴν ἐκτροπὴν ἐργαζόμενον αἴτιον. ὡσαύτως δὲ καὶ ἐπὶ φύσεως ἤτοι κράσεως τοῦ σώματος καὶ τῶν λοιπῶν εἴρηται.

Ἱπποκράτην λέγων, τί φὴς, ὦ Ἱππόκρατες, ὁ καῦσος, ᾧτινι ἕπεται ζέσις διὰ τὴν ποιότητα τῆς ὕλης καὶ δίψος ἀφόρητον, καὶ ἀγρυπνία καὶ τὰ τοιαῦτα, ὅσα ἐν θέρει ἐστὶν, ἐπιεικέστερος διὰ τὴν τῶν συστοίχων ὥραν ἐστὶν, ὅτε πάντα τὰ κακὰ ἐπιτείνεται, ἢ ἐν τῷ χειμῶνι, ἡνίκα τὸ σφοδρὸν τῆς κινήσεως κολάζεται καὶ φλογώσεως, καὶ ἀμαυρότερον γίνεται καὶ τὸ δριμὺ ἀμβλύνεται καὶ τὸ ὅλον νόσημα ἠπιώτερον καθίσταται; καὶ λέγομεν ὅτι ἐν τῷ θέρει ἡ θερμασία ἐστὶ τοῦ περιέχοντος ἐπικρατὴς καὶ χολὴν τοτηνικαῦτα γενέσθαι συμβαίνει. ἐὰν οὖν ἐν τῇ ὥρᾳ ταύτῃ καῦσον ἢ τριταῖον συμβαίνῃ γενέσθαι, οὐ δηλοῦται μεγάλη ἡ ποιήσασα αἰτία· ἐπὶ τὸ ὅμοιον γὰρ ἡ θερμὴ ποιότης τὴν ἐκτροπὴν ἐδέξατο, ἥτις εὐχερῶς γίνεται, κἂν μὴ σφοδρὸν εἴη τὸ τὴν ἐκτροπὴν ἐργαζόμενον αἴτιον. εἰ δὲ ἐν τῷ χειμῶνι, ὃς ψυχρότατος τῇ φύσει ὑπάρχει, συμβῇ καῦσος, χαλεπὸν τὸ τοιοῦτον· μεγάλην γὰρ καὶ δραστικὴν σημαίνει τὴν αἰτίαν, ἐπὶ τὸ ἀνόμοιον τῆς ἐκτροπῆς γενομένης, ὡς ἐκβιάσασθαι τὸ ἐναντίον, λέγω δὴ τὴν ψύξιν, καὶ κινῆσαι αὐτὴν εἰς τὸ ἐναντίον, τὴν ζέσιν λέγω καὶ καῦσιν. οὐ μόνον γὰρ τὴν ὑποκειμένην ἐν τῇ ὥρᾳ ψύξιν ἐνίκησεν, ἀλλὰ καὶ θερμασίαν ὑφῆψεν. ὡσαύτως καὶ ἐπὶ ἡλικιῶν δεῖ λαβεῖν τὸν λόγον etc. καί ἐστιν ἀπορῆσαι, πῶς ὁ Ἱπποκράτης παρακατιὼν εἴρηκε βράγχοι etc. τοῖσι σφόδρα πρεσβυτέροισιν οὐ πεπαίνονται (et est aetas frigida et morbus frigidus); πρὸς ὃ λέγομεν, ὅτι αὐτὸς ἑαυτόν ἐπελύσατο εἰπὼν τοῖσι σφόδρα πρ. τουτέστι τοῖς πάνυ γεγηρακόσι. 1) ὅσα — κίνδυνον om. V. a. 2) aetate declinante C. παρακμασ. 3) ἧττον — ἐπικίνδ. om. V. b. C.

ΔAM. Καὶ γὰρ τῇ μὲν θερμῇ φύσει καὶ ἡλικίᾳ καὶ ἕξει καὶ ὥρᾳ, δηλονότι καὶ καταστάσει καὶ χώρᾳ τὰ θερμότερα τῶν νοσημάτων ἐστὶν οἰκεῖα, ταῖς δὲ ψυχροτέραις τὰ ξηρότερα καὶ ταῖς ὑγροτέραις τὰ ὑγρότερα.

λε΄. Ἐν ἁπάσῃσι τῇσι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι· τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν· ἐπισφαλὲς δὲ τὸ τοιοῦτον πρὸς τὰς κάτω καθάρσιας. —

ΘΕΟΦ. Οὗτος σημειωτικὸς ὁ ἀφορισμός· σκόπει γὰρ, φησὶν, ἐπὶ τῶν νοσημάτων τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον, καὶ εἰ μὲν 1) πάχος ἔχει ταῦτα, καλὸν, εἰ δὲ κάτισχνά εἰσι καὶ ἐκτετηκότα, μοχθηρόν. Ἰστέον δὲ ὅτι τὸ σύμπαν μέρος τὸ ἀπὸ τοῦ ξιφοειδοῦς χόνδρου μέχρι τῶν τῆς ἥβης ὀστῶν εἰς τρία διαιρεῖται, καὶ τὰ μὲν ἄνω αὐτοῦ καλοῦνται ὑποχόνδρια, τὸ δὲ μέσον τὰ περὶ τὸν ὀμφαλὸν, τὰ δὲ τελευταῖα, ἦτρον. ἐν πάσῃ οὖν νόσῳ τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν βέλτιόν ἐστι. πρὸς τοῦ πάχους γὰρ τῶν ἐπικειμένων σωμάτων ὠφελεῖται θαλπόμενα καὶ ἡ πέψις, τούτων οὕτως ἐχόντων, καλῶς γίνεται καὶ ταῖς καθάρσεσι 2) καλῶς ὑπηρετοῦσιν ὡς ἰσχυρά. τὸ μέντοι σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς κα-

---

1) E Stephano: *πάχος δὲ ἁπλῶς εἰπεῖν ἀντὶ τοῦ σύμμετρον· — ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ξιφοειδοῦς χόνδρου μέχρι τοῦ περιτοναίου, ὅπερ καὶ κτένα καλοῦμεν, ἐπὶ γαστέρα* (num *ἐπιγάστριον*?) *τὸ πᾶν ὀνομάζεται. διαιρεῖται δὲ τοῦτο εἰς δύο, εἰς αὐτό τε τὸ ἐπιγάστριον, ὅπερ καὶ ὀμφαλὸν καλοῦμεν, καὶ εἰς τὸ ὑπογάστριον, ὅπερ ἐστὶ τὸ κάτω τῆς γαστρὸς, ὃ δὴ καὶ ἦτρον προσαγορεύεται.* — Caloris sedes hepar et cor, unde secundum modulum diversum in ceteras partes derivatur (majore copia in ventriculum, *ὄργανον πεπτικὸν*, minus in vesicam, *ὄρ. χωρητικὸν ἤτοι ἀγγεῖον δεκτικόν*). Ventriculus, cordi vicinus, *ὥστε ἄφθονον αὐτῇ* (i. e. *γαστρὶ*) *τὴν τοῦ θερμοῦ χορηγείαν, οἷον ἐκ πρώτης ἀφετηρίας, χορηγεῖσθαι.* Item ex hepate et liene ventriculus calorem haurit; et ut calorem conservet, *περιεφόρησεν αὐτὴν* (sc. *ἡ φύσις*) *τῷ καλουμένῳ ἐπίπλῳ, πανταχόθεν αὐτῇ περικειμένῳ.* — — Itaque macritas harum partium, *κακόν. χηρεύει γὰρ ἡ γαστὴρ τῶν οἰκείων σκεπασμάτων καὶ φυλαττόντων τὸ ἔμφυτον θερμόν*; inde coctio laborat et humores. 2) *κάλλιον* V. b. c.

κὸν διὰ τὰς ἐναντίας αἰτίας. εἰ δέ τις εἴποι, διὰ τί καὶ 1) οὐ τὰς ἄνω καθάρσεις εἶπεν, ἐπισφαλεῖς γάρ εἰσι καὶ αὗται τοῖς οὕτω διακειμένοις, 2) φήσομεν, ὅτι ὡς σαφεῖς ἐκείνας παρέλιπεν.

ΔΑΜ. Ταῦτα γὰρ 3) σημεῖα καὶ ἀσθενείας καὶ τοῦ μὴ πέττεσθαι κατὰ γαστέρα τὰ σιτία καὶ κατὰ τὸ ἧπαρ μὴ αἱματοῦσθαι. τὸ δ' ὑποχόνδριον διαιρεῖται εἰς τρία, εἰς τὰ ἐπιγάστρια, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον.

λϛʹ. Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακίῃσι 4) [καθαιρόμενοι] ἐκλύονται ταχέως, καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι. —

ΘΕΟΦ. Ἐνταῦθα συμβουλεύει ὁ Ἱπποκράτης, ὑγείας προκειμένης, μὴ καθαίρειν φαρμάκοις καθαρτικοῖς. λέγει γὰρ ἐκλύεσθαι αὐτούς. πῶς; ὅτι ἐπὶ τῶν ὑγιεινῶν ἀπέριττόν ἐστι τὸ σῶμα, τὸ δὲ φάρμακον δοθὲν καὶ μὴ εὑρίσκον τι κενῶσαι περιττὸν ἀναστοιχειοῖ τὴν τοῦ σώματος ἕξιν καὶ ἅπτεται τῶν πνευμάτων, εἶτα τῶν ὑγρῶν, εἶτα καὶ τῶν στερεῶν καὶ τὰ μὲν σκεδαννύει, τὰ δὲ διαφορεῖ, τὰ δὲ τήκει. τούτων δὲ γινομένων, ἀνάγκη λειποθυμίαν καὶ συγκοπὴν ἕπεσθαι. καὶ μὴν καὶ τοὺς πονηρᾷ τροφῇ χρωμένους ἐκλύεσθαί φησι τῇ καθάρσει, ὅτι 5) μάχεται τῇ κακοχυμίᾳ τὸ φάρμακον, τῇ πληθυνθείσῃ ἐκ τῆς 6) μοχθηρᾶς τροφῆς, καὶ ἄρχεται καθαίρειν αὐτήν. αὕτη οὖν καθαιρομένη καὶ περιϊοῦσα διὰ τῶν αἰσθητικῶν μορίων, δριμεῖα καὶ δακνώδης ὑπάρχουσα, τῇ ἀνίᾳ καὶ δήξει τὴν ἔκλυσιν ἐπιφέρει. πονηρὰν δὲ τροφὴν λέγει τὴν προσεχῆ τῶν μορίων, ἥτις ἐστὶν ὁ αἱματικὸς, καὶ τὴν ἔξω, ἥτις ἐστὶ τὰ σιτία.

ΔΑΜ. Οἱ ὑγιεινῶς ἔχοντες καὶ φαρμακευόμενοι συντήκονται καὶ οὐ καθαίρονται.

λζʹ. Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργῶδες. —

---

1) μὴ V. b. 2) λέγομεν V. b. c. N. 3) σημαίνει in text. σημεῖα in mg. 4) Om. Codd. 5) δέχεται V. b. c. 6) πονηρᾶς V. b.

ΘΕΟΦ. Τῆς αὐτῆς ἐννοίας καὶ οὗτος ἔχεται ὁ ἀφορισμός. φαρμακεύεσθαι λέγει ἀντὶ τοῦ καθαίρεσθαι· εὖ δὲ, τὸ σύμμετρον. χαλεπὸν οὖν φαρμακεύεσθαι τοὺς συμμέτρως ἔχοντας τὸ σῶμα. διὰ τί; ὅτι ἡ κάθαρσις περιττωμάτων ἐστὶ κάθαρσις. εἰ δὲ γένηται ἐν ὑγιαίνουσι σώμασι, μὴ εὑρίσκουσα τὸ οἰκεῖον ἕλκειν, συντήκει τὰ 1) *μόρια.*

ΔΑΜ. 2) *Ἀποροῦσι γὰρ κακοχυμίας συντήκεται τῷ καθαρτικῷ φαρμάκῳ τὸ αἷμα καὶ αἱ σάρκες.*

λη'. Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον 3) *αἱτετέον. —*

ΘΕΟΦ. Διαιτητικὸς ὑπάρχει ὁ παρὼν ἀφορισμὸς καὶ ἡδυτάτην φράσιν τε καὶ 4) *ἐπαγγελίαν περιέχει. ἔστι δὲ αὐτοῦ ἡ σύνταξις οὕτως. τὸ ὀλίγον κακὸν, κἂν πόμα ἢ κἂν σιτίον, ἡδύτερον δὲ τῷ κάμνοντι τῶν βελτιόνων μὲν ἤτοι εὐπέπτων, ἀηδεστέρων δὲ ὁμοίως τῷ κάμνοντι, τοῦτο μᾶλλον αἱρετέον. καὶ ἡ αἰτία οὐ διὰ τὸ κεχαρισμένον μόνον τῷ κάμνοντι, καθὼς ἐν ταῖς ἐπιδημίαις εἴρηται, ὅτι χάριτες καμνόντων* 5) *πρέπουσαι τῇ τέχνῃ· δεῖ γὰρ χαρίζεσθαι τοῖς κάμνουσιν, ἐν οἷς μὴ ἀκολουθεῖ μεγάλη βλάβη, ἀλλὰ καὶ ὡς ὠφελιμώτατον αὐτῷ γενησόμενον. ὃ γὰρ ἂν ἡδέως προσενεγκώμεθα, περιστέλλεσθαι τοῦτο ἡ γαστὴρ εἴωθε καὶ πέττειν μᾶλλον, ἀποχωρεῖν δὲ ἀπὸ τῶν ἀηδῶν, ὡς ναυτίας καὶ τὰ λοιπὰ κακὰ ἐπαγγελλόντων.*

ΔΑΜ. Τὸ πόμα καὶ τὸ σιτίον, τὸ ἥδιον μὲν ὂν τῷ νοσοῦντι, βλαβερὸν δ' ἐπ' ὀλίγον, μᾶλλον αἱρετὸν τῶν βελτιόνων μὲν καὶ ὠφελιμωτέρων ὄντων, ἀηδεστέρων δὲ δοκούντων τῷ κάμνοντι.

λθ'. Οἱ πρεσβύται τῶν νέων, τὰ μὲν πολλὰ νοσέουσι ἧσσον· ὁκόσα δὲ ἂν αὐτέοισι χρόνια νουσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει. —

---

1) *σῶμα* V. a. 2) Cod. *εὐποροῦσι.* 3) *αἱρετόν* D. 4) *ἑρμηνείαν* V. a. *καὶ — περιέχ.* om. C. 5) *πρέπουσι* V. c. N. E Stephano: *ὅπερ νῦν φησι, καὶ ἐν τῇ ἕκτῃ ἐπιδημίᾳ εἶπεν, αἱ χάριτες τοῖς νοσέουσι καὶ τὰ ἑξῆς.*

ΘΕΟΦ. *Δύο ἡλικιῶν παραβολὴν ποιεῖται οὗτος ὁ ἀφορισμὸς, ἀκμαστικῆς καὶ γεροντικῆς. λέγει γὰρ ὅτι οἱ πρεσβῦται τῶν νέων ὡς τὰ πολλὰ νοσοῦσιν ἧττον καὶ τὰ ἑξῆς. καὶ ἡ αἰτία αὕτη, ὅτι οἱ γέροντες σώφρονα λογισμὸν ἔχοντες φείδονται ἀδδηφαγίας, ὑφ' ἧς πλῆθος γεννᾶται περιττωμάτων· ἀπέριττοι δ' ἐντεῦθεν τὰ πολλὰ τυγχάνοντες ἧττον νοσοῦσι. οἱ δὲ* 1) *νέοι διὰ τὸ τοῦ λογισμοῦ ἄστατον πλῆθος σιτίων προσφέρονται κἀντεῦθεν ἀπεψίαις ἑτοιμότατα τῷ πλήθει περιπίπτοντες εὐχερῶς καὶ ὡς ἐπίπαν νοσοῦσιν. εἶτά φησιν, ὁκόσα δ' ἂν αὐτοῖς τοῖς γέρουσι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν, μὴ δυναμένης ῥᾳδίως πέττειν τὰς νόσους.*

ΔΑΜ. *Ἡ γὰρ δύναμις αὐτῶν ἀσθενής ἐστι τοῦ πέττειν τὰ χρόνια νοσήματα διὰ τὸ εἶναι ψυχρά· διὸ καὶ γέρουσι μᾶλλον ἢ νεωτέροις γίνεται. τοῖς γὰρ οἰκείοις νοσήμασιν εὐαλωτότεροι πάντες.*

μ'. Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα 2) *πρεσβύτῃσιν οὐ πεπαίνονται. —*

ΘΕΟΦ. 3) *Παράδειγμά τι τέθεικε τοῦ πρὸ αὐτοῦ ἀφορισμοῦ τόδε· ἐκεῖ γὰρ ἔλεγεν, ὁκόσα δ' ἂν αὐτοῖς χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει. ὥς τινος οὖν ἐρωτῶντος διὰ τί;* 4) *ἐπάγει λέγων, βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται. καὶ ἡ αἰτία; διὰ τὴν ἔνδειαν τοῦ θερμοῦ καὶ τὴν ἀσθένειαν τῶν δυνάμεων.*

ΔΑΜ. *Καὶ γὰρ οὐ μόνον ταῦτα συναποθνήσκει τοῖς πρεσβύταις, ἀλλὰ καὶ νεφρῖτις καὶ ποδάγρα καὶ ἀρθρῖτις καὶ ἰσχιὰς καὶ τἄλλα ὅσα διὰ ψυχροὺς καὶ παχεῖς γίνονται χυμοὺς, οὓς καὶ τῶν ἀκμαζόντων τινὶ, μὴ ὅτι πρεσβύτῃ χαλεπὸν ἐκπεφθῆναι.*

---

1) *νεώτεροι* V. b. c. 2) *πρεσβυτέροισι* D. *γέρουσι* V. b. 3) E Stephano: *Οὗτος ὁ ἀφορισμὸς τὸν γοῦν προσλαβὼν σύνδεσμον συνεχὴς τῷ πρὸ αὐτοῦ εὑρεθήσεται,* — *κόρυζα* in naso, *βράγχος* in faucibus et arteria aspera, *βὴξ* in thorace. 4) *ἐπείγει* V. a.

μα'. Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσι. —

ΘΕΟΦ. 1) *Ἐνταῦθα πρόγνωσιν θανάτου ποιεῖται λέγων, ὅτι ἐάν τις ἐκλύηται πολλάκις καὶ ἰσχυρῶς ἄνευ προφάσεως φανερᾶς, οὗτος ἐξαπίνης τῷ χρόνῳ τελευτᾷ·* 2) *ἐὰν γὰρ ἐπὶ φανερᾷ αἰτίᾳ ἐκλύωνται, οὐ τελευτῶσι· γυνὴ γάρ τις, ὥς φησὶ Γαληνὸς, ἔν τινι βαλανείῳ συνεχῶς ἐξελύετο· ἐξεκαίετο δὲ πονηρᾷ ὕλῃ τὸ βαλανεῖον· διὸ καὶ ἐλειποθύμει.* 3) *ζητουμένης δὲ τῆς αἰτίας, ὥς φησιν ὁ Γαληνὸς, ἀνατεμὼν εὗρον ἐν ταῖς κοιλίαις τῆς καρδίας* 4) *χιτῶνα περικείμενον πεπληρωμένον ὑγροῦ δυσώδους, ὅπερ ὑγρὸν ἐκεῖνο τῇ μοχθηρᾷ ποιότητι διέφθειρεν ἀεὶ καὶ ἐλυμαίνετο τὸν ζωτικὸν τόνον, καὶ τὸ πάθος τῆς ἐκλύσεως ἐποίει. ἐπειδὴ δὲ φανερὸν ἦν τὸ ποιοῦν αἴτιον, οὐκ ἦν αὐτῇ κακόν. ἐὰν οὖν ἄνευ φανερᾶς αἰτίας ἐκλύωνταί τινες, ἤτοι λειποθυμοῦσι πολλάκις τε καὶ ἰσχυρῶς, ἐξαπίνης τε-*

---

1) E Stephano: Tria ad morbum efficiendum requiruntur, *ἐπιτηδειότης τοῦ κάμνοντος, μέγεθος τοῦ δρῶντος, δαψίλεια τοῦ μεταξὺ χρόνου.* Quod exemplis illustrat, v. c. ferrum non offendit adamanta *διὰ τὸ μὴ πεφυκέναι αὐτὸν ἐνδαμάζεσθαι σιδήρῳ. — οὕτω γοῦν διὰ φλογὸς τὴν χεῖρα πολλάκις ἐν ἀκαριαίῳ χρόνῳ παροδεύοντες, οὐδὲν ὑπὸ τοῦ πυρὸς πάσχομεν.* — deinde indicat tria haec in hoc lipopsychiae casu adesse. *προσδιορισμός*: Galeni casum refert, memoratum quoque a Theophilo, ubi a malis balneis *ἐκλύονται*; *προσδιορισμὸς* est additus *ἄνευ φανερᾶς προφάσεως. — — ζητῶν δὲ τὴν αἰτίαν, ὥς φησιν ὁ Γαληνὸς, πόθεν ἡ συνεχὴς αὕτη τοῖς οὕτω πάσχουσι λειποθυμία γίνεται, ἥτις τῷ χρόνῳ καὶ εἰς θάνατον ἀποτελευτᾷ, εὗρεν ὅτι πολλὰ τῶν ζώων ἀνατμηθέντα, τρόπῳ τοιούτῳ ἀδοκήτως προτεθνηκότα, εὕρηνται ἐν ταῖς κοιλίαις τῆς καρδίας χιτῶνά τινα περικείμενον ἔχοντα, πεπληρωμένον ὑγροῦ δυσώδους, ὅπερ ὑγρὸν τῇ μοχθηρᾷ ἐκείνῃ ποιότητι διέφθειρεν ἀεὶ καὶ ἐλυμαίνετο τὸν ζωτικὸν τόνον, καὶ τὸ πάθος τῆς ἐκλύσεως ἐποίει* et ultimum diem adferebat. — *τοῦτο οὖν καὶ ἐπὶ τῶν ἀνθρώπων συμβαίνει* (primo frequentes lipothymiae, tum mors); *διὸ οἱ τοιοῦτοι καὶ παλμοῦ τινος κατὰ τὴν καρδίαν αὐτῶν γινομένου αἰσθάνονται, ὅπερ καὶ Ἀντιπάτρῳ συνέβαινε τῷ ἰατρῷ, ὅστις ἐπὶ πολλαῖς λειποθυμίαις λειποθυμήσας, ἐξαίφνης ἐτελεύτησεν.* 2) *ἐὰν — τελευτῶσι* om. V. a. 3) *ζητ. — ἐποίει* ultima sunt aphorismi verba in V. b. c. C. om. N. 4) Morbum cordis organicum.

λευτῶσι· διὸ καὶ ἐπὶ τούτων ὁ ζωτικὸς τόνος πάνυ ἀσθενεῖ· διὸ καὶ ῥαδίως ἐπὶ τοῖς τυχοῦσιν ἐκλύονται καὶ διὰ τοῦτο καὶ ἐξαπίνης τελευτῶσι διὰ τὸ ἐμποδίζειν τὴν καρδίαν διαστελλομένην ὄγκον ἔνυγρον ἢ ξηρὸν ἐπικείμενον τῷ περικαρδίῳ.

ΔΑΜ. Οὐ πάντες οἱ ἐκλυόμενοι τελευτῶσιν ἐξαίφνης, ἀλλ' οἱ πάσχοντες τοῦτο κατὰ διορισμοὺς τρεῖς ἤτοι πολλάκις καὶ ἰσχυρῶς καὶ ἄνευ φανερᾶς προφάσεως τῆς γινομένης δηλονότι ἀπὸ τῆς ἐν βαλανείῳ συνεχοῦς διατριβῆς, ἢ ἐξ ἀσιτίας, ἤ τινος ἄλλης προφάσεως.

μβ'. Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον. —

ΘΕΟΦ. 1) *Ἀποπληξία ἐστὶν ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν· τὸ δὲ αἴτιον αὐτῆς,* 2) *ὑγρότης φλεγματώδης πληροῦσα τὸν ἐγκέφαλον καὶ* 3) *τὸ τούτου σῶμα. γίνεται δὲ οὕτως· ὥσπερ νέφος παρατρέχον ἥλιον κωλύει καὶ οὐκ ἐᾷ αὐτὸν καταλάμπειν τὴν γῆν, οὕτω καὶ ἐνταῦθα ἡ ὑγρότης, ὥσπερ τι νέφος, περισκέπουσα τὸν ἐγκέφαλον, κωλύει αὐτὸν ἐκπέμπειν τὰς δυνάμεις ἐν ὅλῳ τῷ σώματι, καὶ διὰ τοῦτο ἀκίνητον καὶ ἀναίσθητον μένει. ἔστι μὲν οὖν ἡ ἀποπληξία διττὴ, ἡ μὲν μεγάλη, ἡ δὲ μικρά· ἄμφω δὲ κρίνονται τῷ μέτρῳ τῆς ἀναπνοῆς. ὅσοι γὰρ ἀναπνέουσι μετὰ βίας σφοδροτάτης καὶ διαλείπουσαν ἔχουσι τὴν ἀναπνοὴν, τούτοις ἰσχυρὰ ἡ ἀποπληξία, ἣν καὶ λύειν Ἱπ-*

---

1) E Stephano: Quaeritur de natura apoplexiae, est *ἔμφραξις τῶν κοιλιῶν τοῦ ἐγκεφάλου*, diathesi, causa, (*παχὺς καὶ γλίσχρος χυμὸς*) et loco affecto. *ἀποροῦσι δὲ οἱ διαλεκτικοὶ* quomodo in *ἀκινησίᾳ* (itaque *στερήσει*) *ἀσθενὴς καὶ μεγάλη* apoplexia esse possit. At dicimus quoque *ἀσφύκτους*. Et in apoplexia respiratio perseverat, ex cujus integritate gradum apoplexiae sumimus, e motu thoracis. Alterum signum majoris aut minoris apoplexiae *ἐκ τῆς αἰσθησίας* sumimus, quae minus affecta est quam *κίνησις. φησὶ γὰρ ὁ Γαληνὸς ὅτι ὑπὸ μείζονος δυνάμεως ἡ κίνησις ἐπιτελεῖται, ἡ δὲ αἴσθησις ὑπὸ ἥττονος.* 2) *ὑγρότητος φλεγματώδους πλήρωσις* **V.** a. 3) *ἐργαζομένη τὸ σῶμα ἀκίνητον* **V.** b. C.

ποκράτης ἀμήχανον ἔφη, διὰ τὸ βλάπτειν μεγάλως τὴν ἀναπνοήν· ὅσοι δὲ τάξιν τινὰ σώζουσι τῆς ἀναπνοῆς, ἀσθενὴς τούτοις ἡ ἀποπληξία, ἣν καὶ οὐ ῥᾴδιον τουτέστιν εὔκολον λύειν ἔφη, διὰ τὸ καὶ αὐτὴν τὴν ἀναπνοὴν βλάπτειν. εἰ δέ τις εἴποι διὰ τί, τῶν ἄλλων μυῶν ἁπάντων ἐν ταῖς ἀποπληξίαις ἀκινήτων γενομένων, οἱ τὸν θώρακα δαστέλλοντες κινοῦνται πολλάκις, λέγομεν διὰ τὴν χρείαν τῆς ἀναπνοῆς, ἐπεγειρούσης αὐτὴν τῆς ἐν τοῖς νεύροις δυνάμεως ἐπὶ τὴν ἐνέργειαν. πρὸς δὲ τοὺς ἀποροῦντας ὅτι εἰ ἀποπληξία ἐστὶν ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς σώματος, ταῦτα δὲ στερήσεις εἰσὶ, πῶς ἐνδέχεται ἐπὶ στερήσει λαμβάνειν τὸ μᾶλλον καὶ ἧττον, ὡς λέγειν ὅτι ἡ μὲν μᾶλλόν ἐστιν ἀποπληξία, ἡ δὲ ἧττον, λέγομεν, ὅτι οὐκ ἔστι παντελῶς ἀναισθησία καὶ ἀκινησία ἐπὶ τῶν ἀποπλήκτων· οἱ γὰρ τὸν θώρακα κινοῦντες μύες πάντες 1) κινούμενοι οὐκ ἀκινησίαν παντελῆ ἐνεργοῦσιν.

ΔΑΜ. Ἐν ταῖς ἀποπληξίαις ἐξαίφνης ἀναίσθητοί τε καὶ ἀκίνητοι γίνονται πᾶν τὸ σῶμα, πλὴν μόνης τῆς ἀναπνοῆς, ὡς εἴγε καὶ αὕτη κωλυθείη, μεγίστη τέ ἐστιν ἤδη καὶ ὀξυτάτη. γίνεται δὲ πᾶσα ἀποπληξία, τῆς ψυχικῆς δυνάμεως ἐπιῤῥεῖν ἀδυνατούσης τοῖς κάτω τῆς κεφαλῆς, ἢ διὰ φλεγμονώδη τινὰ διάθεσιν ἐν αὐτῷ τῷ ἐγκεφάλῳ συστᾶσαν, ἢ τῶν κοιλιῶν αὐτῷ πιμπλαμένων ὑγρότητος φλεγματώδους ἢ παχείας· κινοῦνται δὲ πάντες οἱ μύες οἱ κινοῦντες τὸν θώρακα, καὶ οὐδεὶς ἕτερος τῶν ἐν τῷ σώματι διὰ τὸ τῆς ἀναπνοῆς ἀναγκαῖον.

μγ΄. Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μήπω τεθνηκότων, οὐκ ἀναφέρουσι, οἷσιν ἂν ἀφρὸς ἔῃ περὶ τὸ στόμα. —

ΘΕΟΦ. Σημεῖον Ἱπποκράτης παραδίδωσιν ἐπὶ τῶν ἀπαγχομένων καὶ καταλυομένων τὸν ἀφρόν· φησὶ γὰρ τῶν 2) ἀπαγχομένων τουτέστιν ἀγχόνῃ ἑαλωκότων καὶ κα-

---

1) κιν. — παντελῆ om. V. a. ποιοῦσιν. V. b. 2) E Stephano: πολλάκις τις ἀπαγχονεῖται ἢ ὑπὸ κελεύσεως ἄρχοντος ἢ βασιλέως. De spuma disserit: ἀφρός ἐστι μάχη ὑγροῦ καὶ πνεύματος ἢ ἄθροισμα

ταλυομένων ἤτοι μελλόντων ἀποθνήσκειν, 1) μηδέπω δὲ τεθνηκότων, φιλανθρωπίας ἀξιουμένων, οὐκ ἀναφέρουσιν, οἷς ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα. διότι ἐπὰν ληφθῇ τις ἀγχόνῃ, πίλησιν ὑφίσταται τὰ περὶ τὸν τράχηλον νεῦρα καὶ ἀγγεῖα. τούτων πιλουμένων, ἀποκλείονται δηλονότι οἱ πόροι· τούτων ἀποκλειομένων, οὐκ ἐκκρίνεται τὰ λιγνυώδη περιττώματα καὶ ἀὴρ οὐκ εἰσάγεται. τούτου μὴ εἰσαγομένου, οὐ ῥιπίζεται τὸ ἔμφυτον θερμὸν, κἀντεῦθεν ἐπείγεται ὡς ἐπὶ τὰ ἔξω· εἶτα περιτυγχάνει τοῖς πόροις πεπιλημένοις καὶ πάλιν ὑπονοστεῖ· εἶτα πάλιν ἐπὶ τὰ ἔξω ὁρμᾷ κἀντεῦθεν πολυειδῶς κινούμενον, ἅμα καὶ θερμότερον ἑαυτοῦ γινόμενον τὸν ἀφρὸν 2) ἀπεργάζεται, πνευμάτων ἐν τῇ τοιαύτῃ κινήσει τικτομένων καὶ ὑμενούντων, ἤτοι ἐξαφριζόντων τὴν παρατυγχάνουσαν ἐκεῖ ὑγρότητα. καὶ οὕτως κινδυνεύει μὴ ῥιπιζόμενον εἰσαγωγῇ τοῦ ἔξωθεν 3) ἀέρος μηδὲ τῶν λιγνυῶν ἔτι ἐκκρινομένων, σβεσθῆναι τὸ ἔμφυτον θερμόν.

ΔΑΜ. Πᾶσα γένεσις ἀφροῦ ἐκ δυεῖν οὐσιῶν μίξεως ἀποτελεῖται, πνευματικῆς καὶ ὑγρᾶς, βιαίως κινουμένων ἢ ἀμφοῦν ἢ τῆς ἑτέρας, ποτὲ δὲ ὑπὸ ἰσχυρᾶς κινουμένων θερμότητος· παράδειγμα τοῦ πνεύματος οἱ ἐν τῇ θαλάσσῃ ἄνεμοι, τῆς δὲ θερμότητος οἱ ὑποκαιόμενοι λέβητες. οὕτω κἀν τοῖς ζώοις, ἐν μὲν τοῖς ἐπιληπτικοῖς σπασμοῖς ἡ συντονία τῶν κινήσεων γεννᾷ τὸν ἀφρὸν, ἐπὶ δὲ τῶν κάπρων ἡ θερμασία, ἐπὶ δὲ τῶν δρομέων ἵππων ἄμφω φαίνεται σύντονα. ὀλέθριον οὖν ἐστι σημεῖον ὁ ἀφρὸς, ἐπειδὴ τῆς βίας τοῦ πνεύματός ἐστι δηλωτικὸν, ἣν πάσχει, πνιγομένου τοῦ ζώου.

πλειόνων πομφολύγων. πομφόλυξ δέ ἐστιν ὑγρότης λεπτὴ καὶ ὑμενώδης περιεκτικὴ πνεύματος. Fit ἢ διὰ κίνησιν (ἐν ἀκταῖς) ἢ διὰ θερμασίαν (ἐν ζωμοῖς) ἢ διὰ τὸ συναμφότερον (ἐν τρέχουσιν ἵπποις). — Spuma non e ventriculo venit. Nam tum vomitum excitaret. Fit autem inquietudine τοῦ ἐμφύτου θερμοῦ, quod ultro citroque movetur, collo obstipato, et tandem in pulmonem devehitur. Tussim vero spuma non excitat; est enim ἀερωδέστερος ὁ ἀφρός.

1) μηδ. — ἀξιουμ. om. V. a. 2) κατεργ. V. a. 3) ἀέρος om. V. a.

μδ'. Οἱ παχέες σφόδρα 1) κατὰ φύσιν, ταχυθάνατοι μᾶλλον γίνονται τῶν ἰσχνῶν. —

ΘΕΟΦ. Σκόπει πανταχοῦ 2) πῶς τὰς ἀμετρίας φεύγει ὁ Ἱπποκράτης. ταχυθανάτους γὰρ τοὺς φύσει καὶ σφόδρα παχεῖς ἤτοι τοὺς ἐκ γενετῆς ἀποφαίνει μᾶλλον τῶν ἰσχνῶν ἢ ὅτι ἀσθενὲς ἐν τοῖς τοιούτοις σώμασι τὸ ἔμφυτον θερμὸν ἢ ὅτι πλῆθος ὑπόκειται πιμελῆς καὶ περιττωματικὴ ὑγρότης καὶ πύκνωσις τῆς ἐπιφανείας, ἧστινος πεπυκνωμένης ἀδιαφόρητα γίνεται τὰ περιττώματα. ταῦτα δὲ μὴ διαφορούμενα ἀθροίζεται ἐν τῷ βάθει, 3) ἐκεῖσε δὲ χωροῦντα πληροῦσι τὰς ἀρτηρίας καὶ τὰς φλέβας, ὧν στενοχωρουμένων καταπνίγεται τὸ ἔμφυτον θερμὸν κἀντεῦθεν θάνατος ἐπακολουθεῖ. οἱ μέντοι ἰσχνοὶ ἀποθνήσκονσι καὶ αὐτοὶ, ἧττον δὲ ἐκείνων, ὅτι οὐκ ἔστιν αὐτοῖς τοσαῦτα περιττώματα, ὥστε καταπνίγεσθαι τὸ ἔμφυτον θερμόν· ἄλλῳ δὲ τρόπῳ 4) τῷ διαφορεῖσθαι ἐπὶ τούτων 5) τὸ ἔμφυτον θερμὸν καὶ διὰ τὸ κάτισχνον καὶ 6) εὐπαθὲς τοῦ σώματος. λείπεται οὖν ὁ 7) εὔσαρκος ἤγουν ὁ σύμμετρος εἰς μακρὸν γῆρας ἀφικέσθαι τῷ λόγῳ τῆς συμμετρίας.

ΔΑΜ. Στεναὶ γάρ εἰσι τούτων αἱ ἀρτηρίαι καὶ αἱ φλέβες, διὸ καὶ αἷμα καὶ πνεῦμα παντελῶς ὀλίγον ἔχουσιν, ὥστε ἐπειδὰν προέρχωνται καθ' ἡλικίαν, ταχέως ἐπὶ μικρᾷ προφάσει ἡ ἔμφυτος αὐτῶν θερμασία διαφθείρεται.

με'. Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν ὡρέων, καὶ τῶν τόπων, καὶ τῶν βίων ποιέουσι. —

ΘΕΟΦ. 8) Ἐπιληψία ἐστὶ σπασμὸς τοῦ ὅλου σώμα-

---

1) *κατὰ φύσιν* om. V. a. 2) *πῶς διαλέγεται ὁ* V. b. C. Om. V. c. 3) *ἀθροιζόμενα δὲ καὶ εἴσω* V. b. 4) *τὸ* N. *διαφορεῖται* V. c. 5) *τὰ περιττώματα* V. a. 6) *ἀπαθὲς* V. a. 7) E Stephano: *Μεμαθήκαμεν γὰρ ἐν τῷ περὶ τροφῆς, ὅτι οἱ εὐδιαφόρητοι ὑγιεινοὶ μὲν κατὰ τοῦτο, ἀσθενεῖς δὲ, διὰ τὸ συνδιαφορεῖσθαι καὶ τὴν χρηστὴν ὕλην τῇ ἀχρήστῳ· οἱ δὲ δυσδιαφόρητοι, εὐσθενεῖς μὲν, μὴ διαφορουμένων τούτοις τῶν ἀναγκαίων ἑτοίμως, νοσεροὶ δὲ, διὰ τὸ πλῆθος τῶν ἐπισωρευομένων αὐτοῖς περιττωμάτων.* 8) E Stephano: *Ἡ ἐπιληψία*

τος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν. φλεγματικὸς δὲ χυμὸς ὡς ἐπίπαν καταλαμβάνων τὰς τοῦ ἐγκεφάλου κοιλίας ποιεῖ αὐτήν. ἐπεὶ οὖν ὡς ἐπίπαν ἀπὸ φλέγματος γίνεται, καλῶς ὁ Ἱπποκράτης εἶπε, τοῖσι νέοισι ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίας καὶ τῶν ὡρέων καὶ τῶν βίων ποιέουσιν, ἀλλὰ καὶ τῶν χωρίων. μεταβαλλόμεναι γὰρ αἱ τῶν νέων ἡλικίαι ἤτοι τῶν παιδίων ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον, μέγιστον βοήθημα γίνεται τῶν ἐπιληπτικῶν διαθέσεων. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ αἱ μεταβολαὶ τῶν χωρίων καὶ τῶν ὡρέων, ὅτε εἰς

συγγενής ἐστιν ἀποπληξίᾳ κατά τε τὸν τόπον καὶ τὸ εἶδος τῆς διαθέσεως, καὶ κατὰ τὴν αἰτίαν τὴν ποιοῦσαν. — — διαφέρει δὲ, — — καθὸ ἡ μὲν ἐπιληψία ἐν κινήσει ἔχει τὸ εἶναι, ἡ δὲ ἀποπληξία ἐν ἀκινησίᾳ καὶ ἀναισθησίᾳ. — — ἡ μὲν ἀποπληξία παντελής ἐστιν ἔμφραξις τῶν κοιλιῶν τοῦ ἐγκεφάλου, ἡ δὲ ἐπιληψία ἀτελής. -- Epilepsia saepe etiam ab humore melancholico nascitur, os ventriculi mordente nervisque suam affectionem cum cerebro communicante. — — ἡ ἐπιληψία πολυώνυμός ἐστι. λέγεται γὰρ ἐπιληψία, λέγεται καὶ παιδικὸν, λέγεται καὶ ἱερὰ νόσος καὶ ἡρακλεία νόσος. Rationem reddit horum nominum, ἱερὸν διὰ τὸ ἱερὸν εἶναι τὸν πάσχοντα τόπον, λέγω δὴ τὸν ἐγκέφαλον, ὡς δὲ ἕτεροι, διὰ τὸ μέγεθος τοῦ νοσήματος· οὕτω γοῦν καὶ ἱερὸν ἰχθὺν τὸν μέγαν φαμέν. — ἡρακλεία — οὐκ ἐπειδή τινες ὑπενόησαν ἐνεῖναι τὸ τοιοῦτον πάθος τῷ Ἡρακλεῖ, ἀλλ' ὅτι ὥσπερ ἐκεῖνος δυσκαταγώνιστος. — Si majores infantes hoc morbo affecti sunt, ἀποφαινόμεθα ὡς οὐκ ἐνδέχεται θεραπευθῆναι, διὰ τὸ τὴν καταβολὴν ὅλου τοῦ σπέρματος σύμφυτον ἐσχηκέναι τὸ πάθος. — An lac corruptum matris sit, explorandum. Si nihil horum causa est, λεπτύνουσι καὶ θερμαίνουσι χρῆσθαι. Quae si non prosunt, τί λοιπὸν ἐπὶ τοῦτο ἡ τέχνη φησὶν, ἣν ὁ Ἱπποκράτης συνεστήσατο; pubertatis tempus expectandum est, quo calor summus est, κεντριζόμενον τὸ ζῶον ὑπὸ τῆς ἥβης. Sed ars adjuvet naturam. — ἐνταῦθα γενόμενος ὁ Γαληνὸς, δεῖ φησι προσυπακούειν τὸ, παιδίοισιν εἰ ἐπιληψία γένηται, ταύτην ἡ κατὰ τὴν ἥβην ἤτοι νέαν ἡλικίαν μεταβολὴ παύει. — Ἰστέον τοίνυν ὅτι τὸ ἐν μήτρᾳ δημιουργούμενον κύημα, καὶ ἔμβρυον κυρίως λέγεται, τὸ δὲ ἀποτεχθὲν παιδίον ὀνομάζουσιν. ἔστι δ' ὅτε καταχρώμενος τοῖς ὀνόμασιν ὁ Ἱπποκράτης, καὶ τὸ ἔτι κυοφορούμενον παιδίον ὀνομάζει, ὡς δηλοῖ ἡ ἐπιγραφὴ τοῦ περὶ παιδίου φύσεως συγγράμματος. ἐκεῖσε γὰρ προθέμενος τὴν ἐκ τῆς μήτρας γινομένην δημιουργίαν τοῦ ἐμβρύου διεξελθεῖν, οὐ περὶ κυήματος φύσεως ἢ ἐμβρύου, ἀλλὰ περὶ παιδίου φύσεως τὸ βιβλίον ἐπέγραψε. — Aestate, loco calido, bona diaeta propellitur morbus.

θερμοτέραν τε καὶ ξηροτέραν μεθίστανται. ἀλλὰ μὴν καὶ αἱ τῶν βίων μεταλλαγαὶ, ὅσαι δηλαδὴ θερμοτέραν καὶ ξηροτέραν ἐργάζονται τὴν τοῦ σώματος ἕξιν. βίον δὲ ἐνταῦθα τὴν δίαιταν ἀκουστέον.

ΔΑΜ. Ἐπειδὴ ὁ αἴτιος χυμὸς τῆς ἀποπληξίας καὶ τῆς ἐπιληψίας ψυχρὸς καὶ παχὺς, ἡ δὲ τῶν νεανίσκων ἡλικία ξηρὰ καὶ θερμὴ οὖσα, ὡς ἐναντία τοῖς ἐπιληπτικοῖς, βοήθημα μέγιστον, οὕτω καὶ τῶν τοιούτων χωρίων αἱ μεταβολαὶ καὶ τῶν διαιτημάτων· ἐπεὶ γὰρ ἡ μοχθηρὰ δίαιτα νοσερὰ, ἡ ἐναντία ὠφέλιμος.

μς΄. Δύο πόνων ἅμα γιγνομένων, μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον. —

ΘΕΟΦ. Πόνους ἐνταῦθα τὰς ὀδύνας ἀκουστέον, τόπον δὲ τὸ μόριον, καθὼς ἐν τῇ προγνωστικῇ εἴρηται, τόπους ὀνομάζουσι τὰ μόρια τοῦ σώματος. ὅταν οὖν δύο γίγνωνται πόνοι ἤτοι ὀδύναι μὴ κατὰ τὸν αὐτὸν τόπον, ἀλλ᾽ ὁ μὲν τυχὸν ἐν χειρὶ, ὁ δὲ ἐν σκέλει, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον, διὰ τὸ τὴν αἰσθητικὴν δύναμιν ὅλην ἐπὶ τὸ σφοδρότερον ἀπάγεσθαί τε καὶ περιέλκεσθαι. εἰ γὰρ ἐν ἑνὶ μορίῳ δύο ὑποστῶσιν ὀδύναι, συναύξουσιν ἀλλήλαις τὴν ἀνίαν, μηδετέρου τὸν κάμνοντα διαλανθάνοντος. τὸ δὲ ἀμαυροῖ, οὐ τὸ παύει σημαίνει, ἀλλὰ τὸ ἐπισκιάζει.

ΔΑΜ. Τοῦτο καὶ κατὰ τὰς λύπας εἴωθε συμβαίνειν.

μζ΄. Ἐν ἁπάσῃ κινήσει σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον. —

ΘΕΟΦ. Οἱ πόνοι μὲν τῷ λόγῳ τοῦ τείνεσθαι τὸ τὴν ὕλην περιέχον μόριον διά τε τὴν χύσιν αὐτῆς καὶ τῶν πνευμάτων τὴν ἀνάλυσιν, πλείονα τόπον αὐτῆς περιέχειν 1) δυναμένης, οἱ πυρετοὶ δὲ διὰ τὴν τῆς σηπεδόνος μετάδοσιν διὰ τῶν παρακειμένων ἀρτηριῶν τῷ τὴν 2) πυο-

---

1) δεομένης **V. c. N.** 2) **E Stephano:** Ἡ πέψις ἢ ἀναγκαίων ἐστὶν ἀλλοίωσις (χυλοποίησις ἐξαιμάτωσις), ἢ περιττῶν ἀναγκαίων (κόπρου, οὔρων, πτυσμάτων). — παρὰ φύσιν δὲ πέψις, ἡ λεγομένη

ποίησιν ἔχοντι μορίῳ ἐπὶ τὴν καρδίαν γινομένην. ταῦτα μὲν συμβαίνουσι περὶ τὰς γενέσεις τοῦ πύου. μετὰ δὲ τὸ γενέσθαι αὐτὸ τὸ πῦον οὔτε πόνος συνεδρεύει οὔτε πυρετός. ἤδη γὰρ ἐλεπτοποιήθη τὰ τῆς ὕλης καὶ 1) ἐξικμάσθη τὸ πολὺ τῶν πνευμάτων. πέπαυται δὲ καὶ τὰ τῆς σηπεδόνος, τὸν φύσει κόσμον τοῦ πύου ἀπειληφότος.

ΔΑΜ. Τὸ πονεῖν σημαίνει καὶ τὸ ἀλγεῖν καὶ τὸ κάμνειν. καθ᾽ ἕτερον γοῦν ὁ λόγος ἀληθής ἐστιν, ἐάν τε γὰρ ἀλγῶσι, διὰ πλείονας κινήσεις, ἐάν τε κάμνωσιν ὡς ἐνεργεῖν μόγις δύνασθαι, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

μη΄. Περὶ τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι καὶ οἱ πυρετοὶ ξυμβαίνουσι μᾶλλον, ἢ γενομένου. —

ΘΕΟΦ. Κίνησιν ἐνταῦθα πᾶν γυμνάσιον λέγει εἴτε διὰ παλαίστρας εἴτε δι᾽ 2) ἱππασίας εἴτε δρόμου. ἐν πάσαις οὖν ταῖς τοιαύταις κινήσεσι, ὁπόταν ἄρχηται πονέειν ἤτοι ἀλγεῖν καὶ κάμνειν τὰ μόρια, ὡς ἐνεργεῖν μόλις δύνασθαι, τούτοις τὸ ἀναπαύειν εὐθὺς ἄκοπόν ἐστι τουτέστι παυσάμενοι τοῦ γυμνασίου ἄκοποι 3) παραυτίκα γίνονται. διὰ τί; ὅτι ἀνακτᾶται αὐτῶν ἡ δύναμις ἐν τῇ ἀνέσει.

ΔΑΜ. Τὸ πῦον ἐξ αἵματος γίνεται, μεταβάλλοντος εἰς ἡμιμόχθηρον, ὡς ἄν τις εἴποι, μεταβολήν. οὔτε γαρ πάντη παρὰ φύσιν οὔτε πάντη κατὰ φύσιν. μικτὴ γάρ πώς ἐστιν ἡ τῆς φλεγμονῆς. γίνεται δὲ ὁ πόνος, τεινομένου τε ἅμα καὶ θερμαινομένου παρὰ φύσιν τοῦ φλεγμαίνοντος μορίου. πυρετοὶ δὲ ἕπονται, τῆς ἀρχῆς συνεκθερμανθείσης. καὶ ταῦτ᾽ ἄμφω συμβαίνει κατὰ τὴν οἷον ζέσιν καὶ καῦσιν τοῦ αἵματος.

σῆψις, ἐξ ἧς ἕλμινθες γίνονται καὶ ἀσκαρίδες καὶ πυρετοί. μικτὴ δὲ πέψις ἡ τοῦ πύου λεγομένη ἀλλοίωσις. In suppuratione ἡ ὕλη χεῖται καὶ τὰ πνεύματα ἀναλύεται, majusque spatium quaerunt, tendunt, dolorem injiciunt febremque.

1) ἐξητμίσθη Steph. 2) εἴτε ἱππασίας εἴτε κοπηλασίας Steph. 3) παραχρῆμα V. b. c. N.

μθ'. Οἱ εἰθισμένοι τοὺς ξυνήθεας πόνους φέρειν, κἢν ἔωσιν ἀσθενέες, ἢ καὶ γέροντες, τῶν ἀξυνηθέων, ἰσχυρῶν τε καὶ νέων, ῥᾷον φέρουσι. —

ΘΕΟΦ. Καὶ οὗτος ὁ ἀφορισμὸς περὶ ὑγιεινῶν εἴρηται παραγγελμάτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. εἰσὶ δύο τινὲς, ὁ μὲν γέρων, ὁ δὲ ἀκμάζων. ἀμφότεροι τοῦ σκάπτειν ἀπάρχονται. καὶ τῷ μὲν γέροντι συνέβη καλῶς τὸ σκάπτειν, τῷ δὲ ἀκμάζοντι οὐχὶ, ἐκείνῳ μὲν διὰ τὸ σύνηθες, κἂν ἔστιν ἀσθενὴς, τούτῳ δὲ διὰ τὸ ἀσύνηθες, κἂν ἰσχυρός ἐστι. καθόλου γὰρ χρὴ γινώσκειν, ὅτι εὐτονώτερα τῶν ἄλλων γίνεται τὰ γυμναζόμενα μόρια καὶ διὰ τοῦτο ῥᾷον ὑπομένει τοὺς συνήθεις πόνους. ἐκ δὲ μερικοῦ τούτου παραδείγματος ἔξεστι καὶ περὶ πάντων τῶν 1) τοιούτων συλλογίζεσθαι.

ΔΑΜ. Ἄλλος γὰρ ἄλλῳ συνήθης πόνος, ᾧ μὲν δρόμος, ᾧ δὲ ἄροτρον, ᾧ δὲ ἐρεσία. εὐτονώτερα τοίνυν γινόμενα τὰ γυμναζόμενα μόρια ῥᾷον φέρουσι τοὺς συνήθεις πόνους.

ν'. Τὰ ἐκ πολλοῦ χρόνου ξυνήθεα, κἢν ἔῃ χείρω, τῶν ἀξυνηθέων ἧσσον ἐνοχλέειν εἴωθε. δεῖ οὖν καὶ ἐς τὰ ἀξυνήθεα μεταβάλλειν. —

ΘΕΟΦ. Οὗτος ὁ λόγος καθολικώτερος τοῦ πρὸ αὐτοῦ· ἐκεῖ μὲν γὰρ μόνον περὶ γυμνασίων ἔλεγεν, ἐνταῦθα δὲ καὶ περὶ ἐνδείας καὶ πληρώσεως καὶ θάλψεως καὶ ψύξεως. λέγει οὖν ὅτι τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἂν ᾖ χείρω τῶν ἀξυνήθων, ἧττον ἐνοχλεῖν εἴωθεν· ἧττον γὰρ ἕκαστον αὐτῶν βλάπτει, σύνηθες γενόμενον τοῦ φύσει μὲν ἀλβαβεστέρου, μηδέποτε δὲ εἰς ἔθος ἀφιγμένου, οἷον ὁ εἰθισμένος 2) μᾶζαν ἐσθίειν, εἰ ἐπὶ χρηστὴν μεταβάλλει τροφὴν, ἀδικεῖται διὰ τὸ ἄηθες καὶ ὁ εἰθισμένος ὑδροποτεῖν, ἐὰν εἰς ἀκρατοποσίαν μεταβάλλῃ, βλάπτεται, ἐπειδὴ τὸ ἔθος 3) παραβαίνεται. οὕτω δὲ καὶ ἐπὶ τῶν κατὰ μέρος. Ὅμως δὲ δεῖ καὶ ἐπὶ τὰ ἀξυνήθεα μεταβάλ-

---

1) *ἄλλων* V. b. c. 2) *μάννα* V. b. C. *μᾶζαν* V. a. N. 3) *παρακρούεται* V. b.

λειν, ἵνα τύχης ποτὲ βιαζομένης, δυνώμεθα φέρειν τὰ ἐξ ἀνάγκης προσιόντα. τὸν γὰρ χρώμενον πολλῇ τροφῇ δεῖ καὶ ὀλιγοσιτεῖν, ἵνα ἐν περιστάσει φέρῃ καὶ ἐκείνου τὴν χρῆσιν.

ΔΑΜ. Συνήθη φησὶν οὐ τὰ γυμνάσια μόνον, ἀλλὰ καὶ ἐδέσματα καὶ πόματα καὶ λουτρὰ καὶ ἀλουσίαι καὶ ἀγρυπνίαι καὶ θάλψεις καὶ ψύξεις καὶ τὰ τοιαῦτα. ἀσφαλείας γοῦν χάριν ὑγιεινῆς μεταβάλλεσθαι δεῖ καὶ εἰς τὰ ἀσυνήθη. σφαλερὸν γὰρ, πᾶν ἔθος μονοειδὲς, ἀδοκήτοις τύχαις ὑποπιπτόντων ἁπάντων ἀνθρώπων. ἵνα οὖν μὴ ἐξαίφνης περιπεσόντες ἀήθεσι πράγμασι βλαβῶμεν, δεῖ πάντων πεπειρᾶσθαι.

να'. Τὸ κατὰ πουλὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινέειν, σφαλερόν· διότι πᾶν τὸ πουλὺ τῇ φύσει πολέμιον· τὸ δὲ κατὰ 1) ὀλίγον, ἀσφαλές· καὶ ἄλλως 2) ἢν ἐξ ἑτέρου μεταβαίνῃ ἐπὶ ἕτερον. —

ΘΕΟΦ. Ἐπειδὴ ἐν τῷ ἀνωτέρω ἀφορισμῷ ἔλεγεν, ὅτι δεῖ καὶ εἰς τὰ ἀξυνήθεα μεταβάλλειν, ἵνα μήτις 3) εἴπῃ, ἀθρόαν τὴν μεταβολὴν τὸν Ἱπποκράτην λέγειν, ἐπιφέρει λέγων αὐτὸς, ὅτι τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν ἢ πληροῦν καὶ τὰ ἑξῆς σφαλερόν. καὶ ἡ λύσις πρὸς αὐτοῦ. πᾶν γὰρ τὸ πολὺ τῇ φύσει πολέμιον. ἡ γὰρ φύσις ἐν συμμετρίᾳ ἐστὶ καὶ χαίρει αὐτῇ καὶ ἐπὶ ἀμετρίαν ἐκβῆναι οὐ θέλει. εἰ δ' ἄρα καὶ γένηται ἐπὶ ἀμετρίαν ποτὲ ἐξελθεῖν, ἀσφαλέστερον τὸ κατὰ μικρὸν ἐκβαίνειν ἢ τὸ κατὰ πολύ. οὐδὲν γὰρ θαυμαστὸν κατολίγον καὶ ἐν πλείονι χρόνῳ χρήσασθαι ἢ τοῖς θερμαίνουσιν ἢ τοῖς ψύχουσιν ἢ τῇ κενώσει ἢ τῇ πληρώσει καὶ μὴ ἀδικῆσαι τὸν ἄνθρωπον. τὸ δὲ ἄλλως τὸ ἐξ ἑτέρου μεταβαίνειν εἰς ἕτερον τοιοῦτόν ἐστιν, ὅτι καὶ μάλιστα ὅτε ἀπὸ τῶν ἐναντίων εἰς ἐναντία μέλλομεν 4) μεταβαίνειν. εἰ γὰρ

---

1) μικρὸν D. 2) τε τὸ ἀφ' ἑτ. μεταβαίνειν V. a. 3) νοήσῃ V. b. c. N. 4) μεταφέρειν N.

ἐπὶ τῶν 1) συγγενῶν τὸ ἀθρόως βλάπτει, πολλῷ μᾶλλον ἐπὶ τῶν ἐναντίων βλάψει.

ΔΑΜ. Εἰπὼν ἐς τὰ ἀσυνήθη μεταβάλλειν διδάσκει φεύγειν τὴν ἀμετρίαν.

νβʹ. Πάντα κατὰ λόγον ποιεῦντι, μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐπὶ ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς. —

ΘΕΟΦ. 2) Ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι τῷ κατὰ λόγον ὀρθὸν εὑρηκότι πάντα, κἀντεῦθεν ποιοῦντι τὸ συμφέρον οὐ δεῖ ἀφίστασθαι τοῦ δόξαντος ἐξ ἀρχῆς, κἂν μηδὲν φαίνηται σαφὲς ἐπὶ τῇ χρήσει γεγενημένον· καθάπερ γὰρ ἐπὶ τῆς ἐνδελεχούσης ῥανίδος τῇ πέτρᾳ αἰσθητὸν γίνεται τῷ χρόνῳ τὸ τοῦ λίθου πάθος, οὕτως συμβαίνει καὶ ἐπὶ τῶν δυσπέπτων διαθέσεων.

ΔΑΜ. Οὐ σμικρᾶς ἐπιστήμης ἔργον ἐστὶ τὸ μὴ μεταβαίνειν ἀπὸ τῶν ὀρθῶς δοξάντων, εἰ καὶ μηδέπω φαίνεται σαφὴς ἡ ὠφέλεια τοῖς οὕτω γινομένοις ἑπομένη. καθάπερ γὰρ ἐπὶ τοῦ πλήττοντος τὴν ὑποκειμένην πέτραν σταλαγμοῦ, παμπόλλῳ χρόνῳ μόγις αἰσθητὸν γίνεται τὸ τοῦ λίθου πάθος, οὕτω συμβαίνει κἀπὶ τῶν δυσπέπτων διαθέσεων, ἐφ᾽ ὧν ὁ κατὰ λόγον ὀρθὸν εὑρηκὼς τὸ σύμμετρον, οὐκ ἀφίσταται τοῦ δόξαντος ἐξ ἀρχῆς, οὐδ᾽ ἂν μηδὲν φαίνηται σαφὲς ἐπὶ τῇ χρήσει γεγενημένον.

---

1) In codice Nan. quae sequuntur, desunt usque ad sect. VI. 27. 2) E Stephano: *Ἐνταῦθα διαλεκτικὴ ἡμᾶς ἀπορία διαδέχεται, ὅτι ἔσταν δρᾷ τὸ ποιοῦν, πάντως ἐστὶ τὸ πάσχον. ἀδύνατον γὰρ ἀνεπιτηδείως ἔχοντος τοῦ πάσχοντος, ἐνεργεῖν τὸ ποιοῦν, οἷον καίει μὲν πῦρ, ἀλλ᾽ οὐ σαλαμάνδρας ἢ ἀμίαντον, ἢ ἀδάμαντα, διὰ τὸ ἀνεπιτηδείως ἔχειν ταῦτα πρὸς τὸ καυθῆναι. ὁμοίως καὶ τὸ ὕδωρ ψύχει, ἀλλ᾽ ἐκεῖνα ὅσα ἐπιτηδείως ἔχει τοῦ ψυχθῆναι· οὐδὲ γὰρ κρύσταλον ψύχει ἢ χιόνα, ἀλλὰ σῶμα τυχὸν ζώου. εἰ δὲ τοῦτο, πῶς ἐνδέχεται τὰ μὲν βοηθήματα δρᾶν, εἴ γε κατὰ λόγον αὐτοῖς χρώμεθα, τὰ δὲ νοσοποιὰ αἴτια, ἐπιτηδείως πρὸς τὸ παθεῖν ἔχοντα, μηδὲν ἐξ αὐτῶν ὑφίσταται; πρὸς ὃ ῥητέον, ὅτι μιᾶς λέξεως τῷ ἀφορισμῷ προστεθειμένης, λυθήσεται τὸ ἄπορον. καὶ δεῖ προσθεῖναι κατὰ τὸ φαινομενον.*

νγ'. 1) Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ἐόντες βέλτιον ἀπαλλάσσουσι τῶν τὰς ξηρὰς ἐχόντων· ἐς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ, ὡς ἐπὶ τὸ πουλὺ, τοῖσιν ἀπογηράσκουσι. —

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς ἐν τοῖς ἔμπροσθεν καλῶς ἐσαφηνίσθη, πλὴν ἵνα παντάπασιν ἀληθὴς ᾖ ὁ λόγος, νῦν 2) ἀκριβῶς τῷ προσδιορισμῷ ἐχρήσατο τῷ ὡς ἐπὶ πολύ.

νδ'. Μεγέθει σώματος ἐννεάσαι μὲν, ἐλευθέριον καὶ ὀκ 3) ἀειδές· ἐγγηράσαι δὲ, δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων. —

ΘΕΟΦ. Τὸ μέγεθος τριχῶς εἴρηται. ἔστι γὰρ μέγεθος κυρίως τὸ κατὰ μῆκος καὶ βάθος καὶ πλάτος ὑπὲρ τὸ σύμμετρον ηὐξημένον, καὶ τὸ κατὰ μῆκος μόνον ηὐξημένον ἐπὶ πλέον, καὶ τὸ κατὰ πλάτος καὶ βάθος κατά τινος ὑπὲρ τὴν ἀναλογίαν ηὐξημένον. Τρία οὖν σημαίνοντος τοῦ μεγέθους, περὶ τοῦ 4) δευτέρου σημαινομένου ἐνταῦθα ὁ λόγος τῷ Ἱπποκράτει· ὅπερ ἐστὶ ἐν νεότητι μὲν οὐκ ἀηδὲς, ἐν γήρᾳ δὲ δύσχρηστον καὶ τῶν ἐλασσόνων χεῖρον. ἐν μὲν γὰρ τῇ νεότητι ἀκμαζούσης τῆς κινητικῆς δυνάμεως, οἱ μύες οἱ ῥαχῖται συνέχουσι τὴν ῥάχιν ἔσωθέν τε καὶ ἔξωθεν καὶ στηρίζουσιν· ἐν δὲ τῷ γήρᾳ ἀποκάμνουσιν οἱ μύες καὶ ποιοῦσι τὴν 5) κάμψιν ἐπὶ τὰ πρόσω μόνον· οὐ γὰρ ἐπὶ τὰ ὄπισθεν διὰ τὴν ἄκανθαν, ὥστε ἐν μὲν τῇ νεότητι οὐκ ἀηδὲς διὰ τὸ ὄρθιον, ἐν δὲ τῷ γήρᾳ, δύσχρηστον διὰ 6) τὸ κυρτοῦσθαι.

---

1) Om. cum scholio D. 2) πρὸς ἀκρίβειαν V. b. 3) ἀηδὲς Codd. 4) Stephanus repetit ex Aristotelis decem categoriis unam, τὸ ποσὸν, cum suis subdivisionibus, ut μέγεθος explicet. Homines proceri sunt ἀξιάγαστοι τῷ εἴδει. — senes vero curvantur, quum musculi dorsales relaxentur. ἐνταῦθα γενόμενος ὁ τρισευδαίμων σοφιστὴς Γέσιος, καὶ τὸν ἀφορισμὸν τοῦτον ἐξηγούμενος, ἀστείως φερόμενος, τοῖς ἀκροαταῖς ἔλεγεν· εἰ βούλεσθε ἀκριβῶσαι τὸ ὑφ' Ἱπποκράτους λεγόμενον, ἐμὲ αὐτὸν ὑπόθεσιν τοῦ λόγου ποιήσασθε. οὗτος γὰρ ἐν νεότητι μακρὸς ἦν καὶ εὐπρεπὴς τοῖς ὁρῶσιν, ἐν δὲ γήρᾳ κεκυφὼς ἐγένετο κατὰ τὴν εἰρημένην αἰτίαν. 5) κύφωσιν V. b. 6) τὴν κύρτωσιν V. b.

ΔΑΜ. *Κυφοῦται γάρ.*

Ἀρχὴ τοῦ τρίτου τμήματος.

α΄. Αἱ μεταβολαὶ τῶν ὡρέων, μαλιϛα τίκτεσι νεσήματα, καὶ ἐν τῇσι αὐτέῃσι ὥρῃσι αἱ μεγάλαι 1) *μεταλλαγαὶ ἢ ψύξιος, ἢ θάλψιος, καὶ τἄλλα κατὰ λόγον οὕτω.* —

ΘΕΟΦ. 2) *Σκόπος ἐν τῷ παρόντι τμήματι τῷ Ἱπποκράτει περὶ κράσεων ὡρῶν διαλεχθῆναι καὶ νοσημάτων τῶν ἐν αὐταῖς γινομένων, ἀλλὰ μὴν καὶ περὶ ἡλικιῶν. καὶ πρῶτον μὲν περὶ ὡρῶν. λέγει γὰρ ἕτως, αἱ μεταβολαὶ τῶν ὡρέων τίκτεσι μάλιϛα νοσήματα. μεταβολὰς λέγει τὰς κατὰ τὴν κράσιν ἀλλοιώσεις τῶν ὡρῶν, οἷον ὅταν ὁ χειμὼν μεταβάλλῃ τὴν οἰκείαν φύσιν, θερμότερος*

---

1) *μεταβολαὶ* D.

2) Stephanus prooemio brevi utitur, *ἀνακεφαλαιῶν*, quae in secunda sectione docuit Hippocrates. Nunc *ἐπὶ τὰ μείζονα καὶ βαθύτερα ἑαυτὸν ἀνάγων, περὶ ὡρῶν ἐν αὐτῷ* (in tertio tmemate) *διαλέγεται. δεῖ δὲ εἰδέναι, ὅτι πολλοῖς ὁ περὶ τῶν ὡρῶν λόγος καταβέβληται, οὐ μόνον τοῖς ἀρίστοις τῶν φιλοσόφων, ἀλλὰ καὶ τῶν ἰατρῶν τοῖς βελτίστοις.* Pauca disserit, quomodo solis motu tempestates oriantur. — *ἀλλ᾽ ἐπειδὴ αὗται, συμμεταβαλλόμεναι ταῖς τῶν οὐρανίων σωμάτων κινήσεσι, συμμεταβάλλουσι τὰ στοιχεῖα, ὧν τινων τρεπομένων συμμεταβάλλονται καὶ τὰ ζῶα καὶ τὰ φυτὰ, καθάπερ καὶ ἐν τῷ περὶ ἀέρων* (*ἀέρων* E. *ἀερίων* A. a.) *ὑδάτων εἴρηται γράμματι.* — *θέλε γινώσκειν δὲ καὶ τοῦτο, ὅτι Λύκος ἰατρὸς* (*καὶ φοιτητὴς Κοΐντου* E. add.) *ἦν ἐξηγούμενος τὰ Κοΐντου, τοῦ ἰδίου διδασκάλου, συγγράμματα, ὃς παρατηρήσει κεχρημένον τὸν Ἱπποκράτην ταῦτα λέγειν ὑποτίθεται· ἡμεῖς δὲ, προϊόντος λόγου, δείξομεν, ὡς οὐ μόνον πείρᾳ κέχρηται, ἀλλὰ καὶ λόγῳ. ἀμφοτέροις γὰρ κεκόσμηται ὁ παλαιὸς, λόγῳ μὲν ἐξευρίσκων τὰ πράγματα, πείρᾳ δὲ βεβαιῶν τὰ τοῦ λόγου. ἀλλ᾽ ἐπὶ τὴν ἐξήγησιν τραπῶμεν τῆς λέξεως.* — Sic finitur prooemium. — — *προσεκτέον δὲ ἀκριβῶς τὸν νοῦν· διάφοροι γὰρ τοῦ ῥησειδίου τούτου φέρονται ἐξηγήσεις.* 1. Naturales vicissitudines quatuor temporum anni gignunt morbos; *ἀληθὴς* (sc. *ἐξήγησις*), *ἀναξία δὲ τῆς Ἱπποκράτους διανοίας.* Hoc enim est *εὔδηλον καὶ πεπατημένον.* 2. Mutationes dicit unius eiusdemque tempestatis v. c. aestatem frigidam. *ἀληθὴς δὲ καὶ αὕτη, ὡς ἔχομεν ἐν τῷ περὶ ἀέρων, ὑδάτων μαθεῖν.* — *αἱ μεγάλαι μεταβολαὶ* non summi sunt gradus neque frigus aestivum neque a frigore in calorem et vicissim, sed sunt *μεταβολαὶ ἀνώμαλοι.*

γινόμενος, καὶ πάλιν τὸ θέρος μὴ μένῃ θερμὸν, ἀλλὰ γένηται ψυχρὸν μᾶλλον ἑαυτοῦ. Ἰστέον δὲ ὅτι ποτὲ μὲν αἱ πᾶσαι ὧραι τὴν μεταβολὴν δέχονται, αἳ καὶ μάλιστα τίκτουσι νοσήματα, ποτὲ δὲ πλείους, ποτὲ δὲ μία, ἥτις καὶ τίκτει νοσήματα, ἐὰν μεγάλην μεταβολὴν σχῇ. ἐὰν γὰρ μικρὰν σχῇ, οὐδαμῶς 1) τέξει νοσήματα. φησὶν οὖν Ἱπποκράτης, αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα καὶ ἔστιν οὗτος καθολικὸς ὁ λόγος περὶ πασῶν ὡρῶν ἐναλλαγῆς κράσεως, λέγων, ἐν αἷς καὶ μάλιστα συμβαίνει γίνεσθαι τὰ νοσήματα. ἀλλὰ μήν φησι καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαί· καὶ ἔστιν οὗτος μερικὸς ὁ λόγος περὶ μιᾶς καὶ τῆς αὐτῆς ὥρας, ἣ καὶ μεγάλην τὴν μεταβολὴν δεχομένη οὐ μικρὰ καὶ αὐτὴ τίκτει νοσήματα. ἡ δὲ αἰτία τοῦ τίκτεσθαι ἐν ταῖς μεταβολαῖς τῶν ὡρῶν νοσήματά ἐστιν αὕτη, ὅτι αἱ μεταβολαὶ τῶν ποιοτήτων τοῦ ἀέρος μεταβάλλουσι τὰ σώματα, κἀντεῦθεν πάροδος γίνεται τῶν νοσημάτων καὶ ἐπὶ μεταβολῇ δὲ μιᾶς ὥρας ὁμοίως, ὅτι διάφοροι τίκτονται χυμοὶ καὶ ὅτι καταλύονται αἱ δυνάμεις.

ΔΑΜ. Οὐχ αἱ διαδοχαὶ, ἀλλ' αἱ κατὰ τὴν ἰδίαν αὐτῶν κράσιν ἀλλοιώσεις, ὡς ὅταν χειμὼν 2) θερμότερος καὶ ξηρότερος τοῦ δέοντος γένηται καὶ τὸ θέρος ψυχρότερον καὶ αἱ ἄλλαι ὧραι ὁμοίως.

β'. Τῶν φύσεων, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι. —

ΘΕΟΦ. Φύσιν ἐνταῦθα τὴν κράσιν λέγει. τῶν κράσεων οὖν αἱ μὲν πρὸς θέρος 3) εὖ ἔχουσιν, αἱ δὲ πρὸς χειμῶνα, καὶ καλῶς μὲν ἔχουσιν ἐν θέρει αἱ ψυχραὶ καὶ ὑγραί. κολάζεται γὰρ ἡ ἀμετρία αὐτῶν ἐκ τῆς θερμότητος καὶ ξηρότητος καὶ εἰς εὐκρασίαν ἔρχονται. κακῶς δὲ

---

1) ἕξει V. b. 2) θερμοῦται D. in mg. θερμότερος. 3) E Stephano: Καλῶς ὁ Ἱπποκράτης ἀπεφήνατο ταῦτα. ἔξεστι δὲ ταῦτα ἐπὶ τῶν ψυχῶν ἐκλαβεῖν καὶ εἰπεῖν, ὅτι τῶν ψυχῶν αἱ μὲν πρὸς τήνδε τὴν μάθησιν, αἱ δὲ πρὸς τήνδε εὖ καὶ κακῶς ἔχουσι. καὶ μάρτυς ὁ λέγων· ἑτέρῳ τὸ πλεῖν, ἑτέρῳ δὲ τὸ δανείζειν ἥρμοσεν· οὐδὲ γὰρ ταὐτὸν δέδοται πᾶσιν οὐδὲ συμφέρει.

ἔχουσι τότε αἱ θερμαὶ καὶ ξηραὶ, ἐπειδὴ ἐπιτεινομένη ἡ τοιαύτη κρᾶσις εἰς ἀμετρίαν ἐμπίπτει· πάλιν αἱ ψυχραὶ καὶ ὑγραὶ κράσεις ἐν τῷ χειμῶνι 1) κακῶς ἔχουσι διὰ τὸ ὑπὸ τοῦ ὁμοίου τὴν αὔξησιν ἐπιτείνεσθαι. ἡ δὲ θερμὴ καὶ ξηρὰ καλῶς ἔχει, ἐπειδὴ κολάζεται καθ' ἑκατέραν ἀντίθεσιν ὑπὸ τῆς ψυχρότητος καὶ ὑγρότητος καὶ εἰς συμμετρίαν ἔρχεται.

ΔΑΜ. Φύσεις τὰς κράσεις φησὶν, οἷον πρὸς μὲν θέρος αἱ ψυχραὶ καὶ ὑγραὶ κράσεις ἄριστα διάκεινται, πρὸς χειμῶνα δὲ αἱ θερμαὶ καὶ ξηραὶ, ὥσπερ τοὐναντίον αἱ θερμαὶ καὶ ξηραὶ πρὸς θέρος κακῶς, αἱ δ' ὑγραὶ καὶ ξηραὶ πρὸς χειμῶνα. ἡ δ' ὑγρὰ καὶ θερμὴ μετρίως καθ' ὁτιοῦν ὠφελεῖται καὶ βλάπτεται, θέρους μὲν ὠφελεῖται, ὡς ὑγρὰ, χειμῶνος δὲ ὡς θερμή.

γ'. Καὶ τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι· καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας. —

ΘΕΟΦ. Ἵνα σαφὲς γένηται τὸ λεγόμενον, 2) εἰρήσθω οὕτως· τῶν νούσων καὶ τῶν ἡλικιῶν ἄλλαι πρὸς ἄλλας χώρας καὶ ὥρας καὶ διαίτας εὖ καὶ κακῶς πεφύκασιν. Ἰστέον δὲ ὅτι τὸ εὖ καὶ κακῶς διττῶς εἴρηται κατά τε τὴν γένεσιν καὶ κατὰ τὴν λύσιν. ὅσα οὖν θερμὰ νοσήματα ἐν τῷ θέρει εὖ ἔχουσι τὴν γένεσιν, κακῶς δὲ τὴν λύσιν διὰ τὸ πλεονάζον αἴτιον, ταῦτα δὲ πάλιν ἐν τῷ χειμῶνι κακῶς ἔχουσι τὴν γένεσιν. δηλοῦσι γὰρ μεγάλην τὴν ἐκβιασαμένην αἰτίαν, τὴν δὲ λύσιν εὖ διὰ τὴν ἐναντίωσιν. πάλιν ἐν τῇ Αἰθιοπίᾳ εὖ ἔχουσι τὴν γένεσιν, κακῶς δὲ τὴν λύσιν τὰ θερμὰ νοσήματα· τὰ δὲ αὐτὰ ἐν τῇ Σκυθίᾳ τὸ ἀνάπαλιν. καὶ αἱ αἰτίαι εἴρηνται. πάλιν τὰ θερμὰ νοσήματα ἐπὶ ἐδωδῇ θερμῇ εὖ τὴν γένεσιν ἔχουσι, κακῶς δὲ τὴν λύσιν, ἐπὶ δὲ ψυχρᾷ τὸ ἀνάπαλιν. οὕτως μὲν ἐπὶ νόσων. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἡλικιῶν. αἱ ἀκμαστικαὶ ἡλικίαι εὖ ἔχουσιν ἐν χειμῶνι, ἐπειδὴ ἐκ τῆς ψύξεως εἰς συμμετρίαν ἔρχονται, κακῶς δὲ πρὸς τὸ

---

1) *καλῶς* V. a. 2) usque ad *ἰστέον* om. C.

θέρος διὰ τὸ διπλασιάζεσθαι τὴν 1) θερμότητα. ὡσαύτως δὲ καὶ ἐπὶ χωρῶν καὶ διαιτημάτων. Ἰστέον δὲ ὅτι περὶ νοσωδῶν ἡλικιῶν ὁ Ἱπποκράτης ποιεῖται τὸν λόγον.

ΔΑΜ. Νόσοι μὲν εὖ πεφύκασι πρὸς ὥρας, πρὸς μὲν γένεσιν αἱ ὅμοιαι, πρὸς δὲ λύσιν αἱ ἐναντίαι. ἡλικίαι δὲ καὶ φύσεις αἱ θερμαὶ πρὸς τὰς ψυχρὰς, αἱ ψυχραὶ δὲ πρὸς τὰς θερμάς. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ πρὸς τὰς χώρας, οὐχ αἱ νόσοι μόνον, ἀλλὰ καὶ αἱ ἡλικίαι διάκεινται. γεννῶνται γὰρ μᾶλλον ταῖς θερμοτέραις χώραις αἱ θερμαὶ νόσοι καὶ ἧσσόν εἰσι κινδυνώδεις, ὑγιαίνουσί τε μᾶλλον ἐν ταῖς ψυχροτέραις χώραις αἱ θερμότεραι τῶν ἡλικιῶν· ἐπὶ δὲ τῶν ἄλλων, ἀνὰ λόγον. οὕτω καὶ αἱ δίαιται ἄλλαι πρὸς ἄλλας νόσους καὶ ἡλικίας εὖ ἢ κακῶς διάκεινται καὶ ἁπλῶς εἰπεῖν, αἱ μὲν ἐναντίαι πρὸς τὰς ἐναντίας καλῶς, κακῶς δὲ αἱ ὅμοιαι πρὸς τὰς ὁμοίας· πλὴν εἰ σύμμετρος ἡ ἡλικία συμμέτρῳ παραβάλλοιτο διαίτῃ τε καὶ ὥρᾳ καὶ χώρᾳ.

δ΄. 2) Ἐν τῇσι ὥρῃσι, ὁκόταν τῆς αὐτέης ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψύχος γίνηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι δεῖ. —

ΣΤΕΦ. 3) Ἐπὶ τῆς μεγάλης μεταβολῆς φθινοπωρινὰ δέχου τὰ νοσήματα, τουτέστιν ὁποῖα ἐν φθινοπώρῳ γίνεται, διὰ τὸ τῆς ὥρας ἀνώμαλον. γίνονται δὲ ἐν ἡμῖν αἱ ἀνωμαλίαι τρόπῳ τοιῷδε, ὅταν ἐν τρισὶν ὥραις γένηται θερμασία, διαχεῖται ἡ φύσις πρὸς τὰ ἐκτὸς, εἶτα πάλιν ἀθρόως ψύξεως ἐπιστάσης, ὑπονοστεῖ ἐν τῷ βάθει καὶ πίλησις ἐν τῷ σώματι γίνεται. τῆς οὖν δυνάμεως οὕτω καταλυομένης, διὰ τὸ ποτὲ μὲν πρὸς τὴν θέρμην, ποτὲ δὲ πρὸς τὴν ψύξιν καταμερίζεσθαι, πλημμελὴς ἡ πέψις γίνεται καὶ ποικιλία γεννᾶται χυμῶν ἐν ἡμῖν, ποικίλα τινὰ καὶ ἀνώμαλα νοσήματα τίκτουσα.

COD. ESC. 4) *Αὕτη* ἡ ῥῆσις πρὸς τὰ ἀνωτέρω εἰρημένα ἀποδέδοται. μεγάλην γὰρ νόμιζε μεταβολὴν τὴν ἐπὶ ψύξιν

---

1) θερμασίαν V. b. 2) ἐν τ. ὥρ. om. V. a. 3) Totum, quod apud Stephanum est, scholion transscripsi. 4) Ut pateat, Commenta-

καὶ θάλψιν ἀνωμαλίαν, καὶ τοσοῦτον ὅτι ἀνώμαλα καὶ φθινοπωρινὰ τὰ νοσήματα ποιεῖν εἴωθεν. καὶ ταῦτα μὲν ἐπὶ τῆς μεγάλης μεταβολῆς. ὃ δὲ βούλεται εἰπεῖν ὁ Ἱπποκράτης, τοῦτό ἐστιν, ὅτι ὅταν ἐν ταῖς ὥραις οἷον ἐν ἔαρι ἐν τῇ μιᾷ ἡμέρᾳ ἀρχομένῃ τυχὸν γένηται θερμασία, εἶτα περὶ τρίτην ὥραν ψύξις, κατὰ δὲ τὸ μέσον τῆς ἡμέρας πάλιν θερμασία, εἶτα ἐντεῦθεν ψύξις, φθινοπωρινὰ τοτηνικαῦτα δεῖ προσδέχεσθαι τὰ νοσήματα ἐν τοῖς σώμασιν, οὐχ ὅτι ἡ ἐνεστῶσα ἀνωμαλία ἐν τῷ ἔαρι παρέρχεται καὶ τὸ ἔαρ ὅλον καὶ τὸ θέρος καὶ ἐν τῷ φθινοπώρῳ ποιεῖ τὰ νοσήματα, ἀλλ' ὅτι τῇ αὐτῇ καταστάσει ἐν μιᾷ ἡμέρᾳ γινομένῃ ἐν αὐτῇ τῇ ὥρᾳ ἀνώμαλα ποιεῖ καὶ τὰ νοσήματα, καθάπερ τὸ φθινόπωρον ἐν διαφόροις ἀποδέδεικται ὅτι ἀνώμαλα ἐν φθινοπώρῳ γίνονται τὰ νοσήματα διὰ τὸ φύσει ἀνώμαλον τῆς ὥρας. ζητητέον δὲ λοιπὸν τὴν ἀνωμαλίαν πῶς γίνεται. Ἰστέον ὅτι ὅταν ἐν ταῖς τρισὶν ὥραις γένηται θερμασία, διαχεῖται ἡ φύσις πρὸς τὰ ἐκτὸς καὶ χαλᾶται τὸ σῶμα, εἶτα πάλιν, ψύξεως ἀθρόως ἐπιστάσης, ὑπονοστεῖ ἐν τῷ βάθει ἡ φύσις, πίλησιν τοῦ σώματος ὑφισταμένου, καὶ ἐνταῦθα μεριζομένη ποτὲ μὲν πρὸς τὴν θερμασίαν, ποτὲ δὲ πρὸς τὴν ψύξιν καταλύεται κάμνουσα, κἀντεῦθεν οὐ γίνεται κατὰ λόγον ἡ πέψις. ταύτης δὲ πλημμελουμένης, πᾶσα λοιπὸν γένεσις χυμῶν ἐν τῷ ἡμετέρῳ σώματι βασιλεύει, ὧν τῇ ποικιλίᾳ ἀνάγκη τὰ νοσήματα ποικίλα καὶ σύνθετα καὶ ἀνώμαλα γίνεσθαι. τοῦτο γὰρ γνῶθι ὅτι οὐχ ὡς ὀνόματα ἐξετάζει ὁ Ἱπποκράτης, ἀλλὰ πράγματα. καὶ γὰρ ἔαρ τῷ ὀνόματι ὑποκείμενον, ἀλλ' οὖν γε τῷ πράγματι φθινόπωρον μιμεῖται τῷ λόγῳ τῆς ἀνωμαλίας. ταῦτα γνοὺς ὁ Ἱπποκράτης εἰς τὸν παρόντα λόγον ἐτράπη, ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις. —

ΘΕΟΦ. Ἡν ἔννοια τοῦ ἀφορισμοῦ σαφής. λέγει γὰρ

---

rios Stephani Ambrosianos diversos esse ab Escorialensi, quamvis initium tertiae sectionis idem fuerit, hoc scholion describo ex codice Escorialensi. Ita mihi res se habere videtur. Codex Ambrosianus et Parisiensis Stephani commentarium in *πράξεις* distributum, contraxerunt, qui in codice Escorialensi integer legitur.

ὅτι ἐν ταῖς ὥραις οἷον τυχὸν ἐν ἔαρι, ἐὰν ἐν τῇ μιᾷ ἡμέρᾳ ἀρχομένῃ γένηται θερμασία, εἶτα περὶ τὴν τρίτην ὥραν ψύξις, κατὰ δὲ μέσον τῆς ἡμέρας πάλιν θερμασία, εἶτα ἐντεῦθεν ἡ ψύξις, τὸ τηνικαῦτα φθινοπωρινὰ τὰ νοσήματα ἤτοι ἀνώμαλα προσδέχεσθαι δεῖ, διότι τοῖς καιροῖς συμμεταπίπτουσι καὶ τὰ νοσήματα.

έ. Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. 1) ὁκόταν οὕτω δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσι. —

ΘΕΟΦ. Περὶ ὡρῶν μέρος τι διαλεχθεὶς, νῦν καὶ περὶ ἀνέμων διαλέγεται, καὶ πρῶτον μὲν περὶ τοῦ νότου. ἀλλ' οὗτος θερμός ἐστι καὶ ὑγρὸς, καὶ θερμὸς μὲν διὰ τὸ διὰ τὴν κεκαυμένην ζώνην πορεύεσθαι, ὑγρὸς δὲ διὰ τὸ τὴν λεπτομερῆ ἀφαρπάζειν ὑγρότητα τῇ θερμότητι. θερμοὶ οὖν καὶ ὑγροὶ τὴν φύσιν ὄντες οἱ νότοι εἰ ἐπικρατοῦσι, βαρυήκοοι καὶ ἀχλυώδεις καὶ καρηβαρικοὶ, νωθροί τε καὶ διαλυτικοὶ ὑπάρχουσι. μετὰ γὰρ πολλῆς ὑγρότητος τὰ τῶν αἰσθήσεων ὄργανα ἀποφαίνουσι καὶ καρηβαρίαν ἐργάζονται τῷ πλήθει· τῆς δὲ ἀρχῆς τῶν νεύρων ὑγρανθείσης, ἀνάγκη καὶ τὰς καθ' ὁρμὴν ἐνεργείας νωθροτέρας γενέσθαι καὶ ὥσπερ διαλελυμένον ἑαυτῷ φαίνεσθαι τὸν ἄνθρωπον. βαρυήκοοι δὲ εἴρηνται καὶ τὰ λοιπὰ, οὐχ ὅτι αὐτοὶ 2) αὐτὰ τὰ πάθη προσκέκτηνται, ἀλλ' ὅτι τῶν τοιούτων παθῶν αἴτιοι γίνονται.

Ἢν δὲ βόρειον ἔῃ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων· ὁκόταν οὕτω δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι δεῖ. —

ΘΕΟΦ. 3) Ὁ Βορέας ψυχρός ἐστι καὶ ξηρὸς διὰ τὸ

---

1) ὁ. νότος δυν. D. 2) ὑπὸ τοιούτων παθῶν πως κεκράτηνται V. b. C. 3) E Stephano: ἄνεμοι, οἵτινες ἐκ τῆς καπνώδους ἀναθυμιάσεως γίνονται. θερμοὶ μὲν οὖν εἰσι καὶ ξηροὶ διὰ τοῦτο, τοιοῦτος γὰρ καὶ ὁ καπνός. — — καρηβαρικοὶ] — τονικήν φησιν ὁ Γαληνὸς ἐν τῇ διαγνωστικῇ τὴν συναίσθησιν τὴν τοιαύτης ὀδύνης γίνεσθαι περὶ τὸν ἐγκέφαλον. — Notus ex Aethiopia per mare spirans gravidus evadit humoribus. νωθροὶ] — τῆς δυνάμεως καταβαπτιζομένης καὶ καταπνιγομένης. — βοῤῥᾶς V. b. c.

εἶναι τὸν τόπον, ἐξ οὗ γεννᾶται, ψυχρὸν καὶ ὃν διαπορεύεται. ἐὰν οὖν βόρειον ᾖ τὸ κατάστημα 1) κατ' ἐπικράτειαν τουτέστιν ἄνυδρον, ψυχρὸν καὶ ξηρὸν, βῆχες γίνονται, φάρυγγες ξηραὶ καὶ τὰ λοιπά. διὰ τί; διότι τὸ εἰσπνεόμενον ψυχρὸν ὂν τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα πλήττει τῇ ψύξει, κἀντεῦθεν βῆχα ἀπεργάζεται, τῆς ἀποκριτικῆς δυνάμεως ἐπεγειρομένης πρὸς τὸ ἀποδιῶξαι τὸ παρὰ φύσιν ἐφιέμενον. 2) φάρυγγες δὲ τουτέστι τὰ περὶ τὸν φάρυγγα πάθη διὰ τὸ ἀμέσως τὸν εἰσπνεόμενον ψυχρὸν ἀέρα τῇ φάρυγγι ὁμιλεῖν πρῶτον. ἀλλὰ καὶ κοιλίαι 3) σκληραὶ γίνονται, ἐπειδὴ τότε πυκνοῦται ἡ ἐπιφάνεια ψυχομένη καὶ ἀποκλείεται ἐν τῷ βάθει τὸ ἔμφυτον θερμόν. τούτου οὖν ἀποκλειομένου, ἐξικμάζεται τὸ ἐν τοῖς ἐντέροις περίττωμα κἀντεῦθεν κοιλίαι σκληραὶ γίνονται. δυσουρίαι δὲ φρικώδεις διὰ τὸ πλήττεσθαι καὶ αὐτὴν τὴν κύστιν τῇ ψύξει, νευρώδη ὑπάρχουσαν κἀκ τούτου πόνου αἰσθέσθαι. τοῦτο γάρ ἐστι φρικώδεες. ἀλλὰ καὶ ὀδύναι πλευρέων. καὶ αὐτὰ γὰρ ὡς νευρώδη τὰ περὶ τὰ πλευρὰ μέρη καὶ στήθη ὑπὸ τῆς ψύξεως πλήττεται, ἅτινά εἰσιν ὑπεζωκὼς καὶ οἱ μεσοπλεύριοι μύες.


ΔΑΜ. Τὴν αἰτίαν, δι' ἣν οἱ νότοι βαρυηκοΐαν τε ποιοῦσι καὶ ἀχλυώδη τὴν ὄψιν, οὐ χαλεπὸν ἐκ τῆς κράσεως αὐτοῦ κατανοῆσαι, θερμοῦ καὶ ὑγροῦ τὴν φύσιν ὑπάρχοντος. πάντα γὰρ τὰ τοιαῦτα πληρωτικὰ τῆς κεφαλῆς ἐστι. διὰ τοῦτο οὖν τά γε τῶν αἰσθήσεων ὄργανα μετὰ πολλῆς ὑγρότητος ἀποφαίνουσι καὶ καρηβαρίας ἐργάζονται. τῆς δ' ἀρχῆς τῶν νεύρων ὑγραινομένης, ἀναγκαῖόν ἐστι καὶ περὶ τὰς καθ' ὁρμὴν ἐνεργείας γίνεσθαι νωθρότητας. ἐξ ὑπεναντίας δὲ πάλιν ἐν τοῖς βορείοις,

---

1) καὶ ἐπικρατῇ V. b. 2) Cod. Escor: εἴωθε δὲ πολλάκις ὁ Ἱπποκράτης ἀντὶ τοῦ πάθους τὸν πεπονθότα τόπον ὀνομάζειν. οὕτω γοῦν καὶ σπλῆνας λέγει ἀντὶ τῶν σπληνικῶν διαθέσεων. 3) ψυχραὶ V. a. durae C. E Stephano: σκληραὶ κοιλίαι] — ἐκ τῆς πλήξεως πλήττεται γαστὴρ, πυλωρὸς καὶ ἔντερα. καὶ συναγομένων τῶν ἐν τούτοις πόρων, σκληρὰ ἡ κόπρος ἀποτελεῖται ἢ ἐπειδὴ ψύχεται ἡ ἐπιφάνεια.

ὡς αὐτὸς ἐρεῖ κατωτέρω, συνίσταται τὰ σώματα, εὔτονα καὶ εὐκίνητα καὶ εὐηκοώτερα γίνεται. ἐν δὲ τοῖς βορείοις γίνονται βῆχες, διὰ δυσκρασίαν δηλονότι τῶν ἀναπνευστικῶν ὀργάνων καὶ διὰ τὴν τραχύτητα τῆς φάρυγγος, καὶ τἄλλα γίνονται ἐν ταῖς βορειναῖς καταστάσεσι. ψυχρὸς γάρ ἐστι καὶ ξηρὸς τὴν φύσιν ὁ βοῤῥᾶς.

COD. ESCOR. Πρᾶξις σὺν θεῷ β'. Ζητοῦμεν δὲ πάλιν περὶ πνευμάτων, οὐχ ὡς φιλόσοφοι, ἀλλ' ὡς ἰατροί. ζητητέον δὲ τῷ Ἀριστοτέλῃ περὶ ἀνέμων πρῶτον τίς ἡ γένεσις, εἶτα ἡ ὕλη καὶ ὁ τῆς κινήσεως τρόπος. — ἡμεῖς δὲ ταῦτα οὐ ζητοῦμεν, ἀλλ' ἐῶμεν αὐτὰ πολυπραγμονεῖν τοὺς τὴν ἀποδεικτικὴν θεωρίαν ἐγγεγυμνασμένους, ζητοῦμεν δὲ ὡς ἰατροὶ ποῖα ἐκ τούτων πέφυκε γίγνεσθαι νοσήματα. — ποικίλλεται ἐν τῇ τῶν πνευμάτων διδασκαλίᾳ ὁ Ἱπποκράτης, ποῦ μὲν συνάγων αὐτὰ (ut in nostro loco, ubi solum de borealilus et australibus loquitur), ποῦ δὲ πλατύνων συμμέτρως (ἐν τῷ περὶ ἀέρων, τόπων, ὑδάτων, ubi quatuor plagis quatuor ventos tribuit), ποῦ δὲ καὶ τὴν κατὰ μέρος ἐπεκτεινόμενος πραγματείαν (in aliis libris, ubi unumquodque clima in tres ventos distribuit, et duodecim ventos habet). Quatuor climata ἀνατολικὸν, δυτικὸν, ἀρκτῷον, μεσημβρινόν. Quorum unumquodque dividitur in θερινὸν, ἰσημερινὸν καὶ χειμερινόν. De ventis: ἀνατολικὸς ἰσημερινός ἐστιν ἀφηλιώτης, ὃν καὶ γλάρον καλοῦσι, δυτικὸς ἰσημερινὸς ζέφυρος. — παρακεῖται δὲ τῷ μὲν ἀφηλιώτῃ κατὰ τὰς θερινὰς τροπὰς καικίας ὁ καὶ μεσεὺς, κατὰ δὲ τὰς χειμερινὰς εὖρος. ὡσαύτως καὶ τῷ ζεφύρῳ παρακεῖται κατὰ μὲν τὰς θερινὰς τροπὰς ἀργέστης ὁ καὶ ἰάπυξ, κατὰ δὲ τὰς χειμερινὰς λίψ. — ἀρκτικὸς ὁ ἀπαρκτίας καλούμενος, ἀνταρκτικὸς δὲ (ἢ μεσημβρινὸς) ὁ νότος. — παρακεῖται δὲ τῷ μὲν ἀπαρκτίᾳ ἀνατολικώτερος βοῤῥᾶς, δυτικώτερος δὲ θρασκίας· ὁμοίως καὶ τῷ νότῳ ἀνατολικὸς μὲν εὐρόνοτος, δυτικὸς δὲ λιβόνοτος.



Naturam Boreae Notique explicat uberius. —

ς΄. Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι δεῖ. —

ΘΕΟΦ. Περὶ ἀνέμων διαλεξάμενος Ἱπποκράτης, βορέου καὶ νότου τῶν γενικωτάτων, ἔτι νῦν περὶ ὡρῶν λέγει, ὅτι ἐὰν γένηται θέρος ἦρι ὅμοιον τουτέστι σύμμετρον τῇ κράσει, ἱδρῶτας ἐν τοῖς πυρετοῖς πολλοὺς προσδέχεσθαι δεῖ. διὰ τί; ὅτι τὸ τηνικαῦτα τὰ δυνάμενα ποιεῖν ἱδρῶτα πάρεισι, θερμότης τοῦ ἔξωθεν περιέχοντος ἀέρος καὶ ὑγρότης περιττεύουσα ἐν τῷ σώματι. ἀλλ᾽ ἐπειδὴ τὸ ἐαρινὸν κατάστημα διὰ μὲν τὴν θερμασίαν ἕλκει πρὸς τὸ δέρμα τὸ ὑγρὸν, διὰ δὲ τὴν ὑγρότητα οὐ δύναται ἀτμοειδῶς ἕλξαι, εἰκότως ἀθρόως ἐν τοῖς πυρετοῖς τὸ ὑγρὸν ἅπαν ἐκκρινόμενον ἱδρῶτας ἐργάζεται.

ΔΑΜ. Ἦρι ὅμοιον τουτέστι σύμμετρον τῇ κράσει. ἱδρῶτες γίνονται πολλοὶ ἐν ὥρᾳ τοιαύτῃ, διότι τὸ μὲν αὐχμηρὸν ἱκανῶς θέρος δαπανᾷ τε καὶ διαφορεῖ τὴν ὑγρότητα, τὸ δ᾽ ὅμοιον ἦρι διὰ μὲν τὴν θερμότητα λεπτύνει τὴν ὑγρότητα καὶ ἕλκει πρὸς τὸ δέρμα, διὰ δὲ τὴν ὑγρότητα διαφορεῖν ἀτμοειδῶς οὐ δύναται. ἀθρόον οὖν ἐν ταῖς τῶν νόσων κρίσεσι τὸ ὑγρὸν ἅπαν ἐκκρινόμενον ἱδρῶτας ἐργάζεται.

ζ΄. Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται· καὶ ἢν μὲν ἐπὶ πλέον ἔῃ τὸ ἔτος τοιοῦτον ἐὸν, ὁκοίην καὶ τὴν κατάστασιν ἐποίησε, ὡς ἐπὶ τὸ πουλὺ, καὶ τὰ νουσήματα τοιαῦτα δεῖ προσδέχεσθαι. —

ΘΕΟΦ. 1) *Αὐχμὸν καλεῖ Ἱπποκράτης τὴν ξηρότητα τὴν πέρα τοῦ μετρίου, ὥσπερ καὶ ἐπομβρίαν τὴν ὑγρότητα τὴν πέρα τοῦ μετρίου. ἐν τούτοις οὖν τοῖς αὐχμοῖς πυρετοὶ ὀξέες μὲν γίνονται, ὀλίγοι δὲ, διότι ἡ ξηρότης ἐνδεεστέρους εἴωθε τῷ πλήθει τοὺς χυμοὺς ἐργάζεσθαι, χολωδεστέρους δὲ τῇ ποιότητι. ἀλλ' ἢν μὲν ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιοῦτον γινόμενον, ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι, φησὶν Ἱπποκράτης, ὀξέα καὶ ἐπικίνδυνα ἢ ὥς φησι Ροῦφος λοιμικὰ, οἷον βουβῶνας. καὶ γὰρ καὶ ἀπὸ ξηρότητος συνίστανται τὰ τοιαῦτα. ἐν γὰρ τούτῳ τῷ λοιμῷ* 2) *ἐν Λιβύῃ, φησὶν αὐτὸς, βουβῶνες αὐτοῖς ἐγένοντο καὶ δευτεραῖοι καὶ τριταῖοι. εἰ δέ τις ἀπορεῖ καὶ πῶς, ὑγρότητος μὴ ὑπούσης, ἐπὶ ξηρότητι οἱ βουβῶνες ἐγένοντο, λέγομεν, ὅτι ἐπικρατησάσης τῆς ξηρότητος, κατελύθησαν αἱ δυνάμεις· τούτων δὲ καταλυθεισῶν, ἀπεψία ἐπηκολούθησεν· ἀπεψίας δὲ οὔσης, τὰ περιττὰ ἐπλεόνασαν καὶ ἐντεῦθεν ἀνίεσαν οἱ βουβῶνες, ὥστε κατὰ συμβεβηκὸς καὶ ὑγρότης ἐπηκολούθησεν.*

ΔΑΜ. Ἡ γὰρ αὐχμότης ἐνδεεστέρους μὲν τοὺς χυμοὺς, ἀλλὰ χολωδεστέρους ἐργάζεται.

η'. Ἐν τοῖσι καθεςεῶσι καιροῖσιν, 3) *ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐςαθέες καὶ εὐκρινέσταται αἱ νὲσοι γίνονται· ἐν δὲ τοῖσιν ἀκαταςάτοισιν, ἀκατάςατοί τε, καὶ δύσκριτοι. —*

ΘΕΟΦ. Ἐνταῦθα περὶ τῶν κατὰ φύσιν ὡρῶν διαλέγεται. καθεστῶτας δὲ καλεῖ καιροὺς τὰς ἐν τάξει τὴν οἰκείαν 4) *φύσιν ἀπειληφυίας, καθὼς ἐν τῷ περὶ ἀέρων, τόπων, ὑδάτων εἴρηται. ἢν ἐν τῷ μετοπώρῳ ὕδατα γένηται καὶ ὁ χειμὼν μὴ εὔδιος ἄγαν μηδὲ ὑπερβάλλων τῷ ψύχει καὶ ἐν τῷ ἦρι ὕδατα ὡραῖα, μὴ οἷα ἐν τῷ χειμῶνι, ἀλλὰ πρέποντα τῇ ὥρᾳ καὶ ἐν τῷ θέρει* 5) *ἤπιον*

---

1) *αὐχμὸν — ἐν τούτοις* om. C. 2) E Stephano: *ἱστορεῖ γὰρ ὁ Ῥοῦφος ἐπὶ ξηρότητί ποτε λοιμοῦ γενομένου βουβῶνας τοῖς ἀνθρώποις προσγενέσθαι καὶ δευτεραίους καὶ τριταίους ἀποθνήσκειν αὐτούς.* 3) *καὶ* D. 4) *κράσιν* V. c. C. 5) *οἰκεῖον* V. b. C.

τὸ θερμὸν, οὗτός ἐστιν ὁ καθεστηκὼς ἐνιαυτός. ἐν τοῖς τοιούτοις οὖν καθεστηκόσι καιροῖς ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσι τετέςιν εὐκαίρως καὶ προσηκόντως τῇ ὥρᾳ τὰ πρέποντα ἀποδιδῶσιν, οἷον ὀπῶραι, ἄνθη, ῥόδα, ἀλλὰ μὴν καὶ αἱ ποιότητες τοῦ περιέχοντος ἀέρος σύμμετροι, καὶ ἄνεμοι σύμμετροι καὶ 1) εὐςαθέες ὑετοὶ, καὶ εὐκρινέςαται αἱ νοῦσοι γίνονται τετέςιν εὔκριτοι, διότι καὶ αἱ φύσεις καὶ αἱ δυνάμεις ἐῤῥωμέναι εἰσὶ καὶ ἐκκόπτεσι τὰ αἴτια καὶ μάλιςα κοσμίως τῇ διαίτῃ χρωμένοις. ἀλλὰ μὴν καὶ τὰ νοσήματα ἁπλᾶ εἰσι καὶ οὐκ ἔχουσι ποικιλίαν. μόνον γὰρ κατὰ τὴν ἀπειψίαν γίνονται. πάλιν δὲ ἐν τοῖσιν ἀκαταςάτοισιν ἀκατάςατοι καὶ δύσκριτοι διὰ τὴν ἐναντίωσιν τῶν προειρημένων.

ΔΑΜ. Ἥως ὅπου δεῖ τοῦ καιροῦ, ψύξις· ὅπου δεῖ, ὄμβροι καὶ ἑξῆς.

θ'. Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται 2) τοὐπίπαν· ἦρ δὲ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες. —

ΘΕΟΦ. Συγκρίνει ἔαρ τῷ φθινοπώρῳ, λέγων ὅτι τὸ μὲν 3) θανατώδεις νόσους ἐπιφέρει, τὸ δὲ ὑγιεινότατόν ἐστιν, ἐπειδὴ τὸ φθινόπωρον ἀνώμαλόν ἐστι, ποτὲ μὲν ἐπικρατούσης θερμότητος, ποτὲ δὲ ψυχρότητος, καὶ διότι ταύτῃ τῇ ἀνωμαλίᾳ καταλύονται αἱ δυνάμεις καὶ διότι παντοδαπὴς γεννᾶται ἐν αὐτῷ κακοχυμία καὶ πρὸς τὸ βάθος ὠθεῦνται οἱ χυμοὶ ἐν αὐτῷ· τὸ δὲ ἦρ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες ἤτοι ἐπολίγον, ἐπειδὴ εὔκρατόν ἐστι καὶ ἐπὶ τῇ εὐκρασίᾳ ἐῤῥωμέναι εἰσὶν αἱ δυνάμεις, καὶ

---

1) E Stephano: *διὰ δὲ τοῦ εὐσταθοῦς τὸ ἁπλοῦν καὶ εὐδιάγνωστον καὶ ὁμαλὸν τῇ φύσει, ἀτάραχον τῶν νοσημάτων ἐδήλωσεν.* 2) *ὡς ἐπ.* D. *ὑγιεινέστ.* V. a. 3) COD. ESC.: Quatuor *Λύσεις* proponuntur, cur auctumno acutissimi morbi sint: 1. Auctumnus vires prosternit; viribus prostratis, cacochymia oritur, putrescit et febres acutas incendit. 2. Bilis flava aestate perspiratur, auctumno ob aerem frigidum corpori inhaeret, putrescit, febresque incendit. 3. Auctumnus anomalus vires resolvit, viribusque resolutis morbo via panditur 4. Fructuum horaeorum esu pravi humores nascuntur morbique praeparantur.

ἐῤῥωμέναι οὖσαι ἐκδιώκουσι τὰ περιττὰ ἀπὸ τοῦ σώματος ἢ ὅτι χρηστῆς ὕλης γεννητικὸν τὸ ἔαρ τουτέστιν αἵματος, καὶ ἐπὶ ταύτῃ τῇ ὕλῃ πάντα τὰ μόρια καὶ ἡ φύσις ἔχει πέψιν καὶ ἀνάπαυλάν τινα. εἰ δέ τις ἀπορεῖ, ὅτι πῶς τὸ φθινόπωρον ψυχρὸν καὶ ξηρὸν ὂν ὀξέων νοσημάτων αἴτιόν ἐστι, λέγομεν ὅτι ἡ ξανθὴ χολὴ καὶ ἐν θέρει γίνεται καὶ ἐν τῷ φθινοπώρῳ, ἀλλ' ἐν μὲν τῷ θέρει μᾶλλον γίνεται καὶ διαφορεῖται διὰ τὸ τηνικαῦτα ἀραιότερον εἶναι τὸ δέρμα. ἐν μέντοι τῷ φθινοπώρῳ ἧττον γεννᾶται, καὶ μὴν καὶ τὸ ἐκ τοῦ θέρους πλεονάσαν ἐπιμένει καὶ οὐ διαφορεῖται διὰ τὸ περιέχον ψυχρὸν, μὴ διαφορουμένη δὲ σήπεται καὶ σηπομένη ὀξεῖς ἀνάπτει πυρετούς. πρὸς δὲ τοὺς ἀποροῦντας πάλιν, καὶ πῶς παρακατιὼν λέγει τοῦ μὲν ἦρος τὰ μελαγχολικὰ καὶ μανικὰ καὶ τὰ ἑξῆς, λέγομεν ὅτι αὕτη ἡ κακοχυμία οὐκ ἐν τῷ ἔαρι, ἀλλ' ἐν τῷ χειμῶνι καὶ ἐν τῷ φθινοπώρῳ ἐπλεόνασεν, ἥτις διὰ τὴν πύκνωσιν τοῦ ἔξωθεν ἀέρος μένει καὶ οὐ διαφορεῖται ἐν ταύταις ταῖς ὥραις, εἶτα ἐν τῷ ἔαρι προσομιλήσασα τῇ θερμότητι ἡ κακοχυμία, ῥᾷστον ἡ χύσις αὐτῆς γίνεται, καὶ ἔνθα ῥεύσῃ, τοιαῦτα καὶ τὰ νοσήματα γίνονται, εἰ μὲν ἐπὶ τὴν κεφαλὴν, μελαγχολίαι καὶ ἐπιληψίαι, εἰ δὲ εἰς τὸν πνεύμονα, φθίσις καὶ αἵματος χύσις, ὥστε οὐ τοῦτο αἴτιον, ἀλλ' ἐκεῖνα.

ΔΑΜ. Ἦρ ὑγιεινότατον, ὡς εὐκρατότερον.

ι'. Τὸ φθινόπωρον τοῖσι φθίνουσι κακόν. —

ΘΕΟΦ. 1) Φθίνοντας ὀνομάζει πάντας τοὺς δαπάνῃ συντηκομένους καὶ οἷς 2) ἕλκωται ὁ πνεύμων. ἀμφοτέροις οὖν τὸ φθινόπωρον κακὸν, τοῖς μὲν διὰ τὸ ἀναπνεῖν τὸν

---

1) COD. ESC. *Μεταξὺ λαβήσας τὸν περὶ τοῦ ἔαρος λόγον, πάλιν ἐπὶ τὸ φθινόπωρον ἀνατρέχει. — ἀναπνοὴ* per os et laryngem, *διαπνοὴ* per cutem distinguuntur. E Stephano: *φθίσις — ἡ ἐπὶ ἑλκώσει τοῦ πνεύμονος (τοῖς ἕλκεσι τὸ ψυχρὸν δακνῶδες.* Itaque tussiunt nihilque exspuunt, *ἀλλ' ἢ μόνον σπαράσσονται) ἢ ἐκ προσβολῆς ἑκτικῶν πυρετῶν ἢ ἀσιτίας ἀμέτρου.* Quum enim extenuati sint nimis, frigus intrat caloremque extinguit. 2) *ἑλκοῦται* V. b.

τηνικαῦτα ψυχρὸν ἀέρα, ὅστις πλήττει καὶ ἀνιᾷ καὶ δάκνει τὸν πνεύμονα καὶ μεγάλως αὐτὸν βλάπτει. ἑλκεσι γὰρ τὸ ψυχρὸν δακνῶδες. τῇ ἓν πλήξει καὶ δήξει ταράττεται ὁ πνεύμων καὶ εἰς βῆχα 1) τὸ ζῶον ἐπεγείρεται. εἶτα διὰ τὸ περιέχον ψυχρὸν οὐδὲν ἀναφέρουσιν, ἀλλὰ μᾶλλον ταράττονται, καὶ ἐκ τῆς ταραχῆς καταβάλλονται ἥ τε φύσις καὶ αἱ δυνάμεις, καὶ ἕτως αἱ δυνάμεις ἀπόλλυνται. τοῖς δ᾽ ἄλλοις, ἐπειδὴ ἄσαρκοί εἰσι, ἑτοίμως εἰς τὸ βάθος διέρχεται ἡ ψύξις διὰ τῆς ἀναπνοῆς καὶ εἰσδύνουσα εἰς τὸ βάθος, μέγα βλάπτει τὸ ἔμφυτον θερμόν.

ΛΑΜ. Ἐπειδὴ ψυχρόν τ᾽ ἐστιν ἅπαν ἅμα καὶ ξηρὸν καὶ ἀνώμαλον.

ια΄. Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρόν τε καὶ νότιον, ἀνάγκη τȣ̃ θέρεος πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιϛα δὲ τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσι 2) ὑγροῖσι τὰς φύσιας. —

ΘΕΟΦ. 3) Ἀνωτέρω μερικῷ ἐχρήσατο τρόπῳ· περὶ

---

1) tussim vehementem C. Fort. ὀξεῖαν. 2) ὑγρὰς ἔχȣσι τὰς φύσιας Codd. 3) COD. ESC. Praemittuntur tria problemata περὶ παρεκτροπῆς τῶν ὡρῶν 1. Tempestates anni et praecedens et sequens, regulares esse debent. 2. Distinguendum, an Hippocrates unam pluresve tempestates irregulares esse dicat. 3. πότερον ἡ παρεκτροπὴ, ἐπὶ τὸ ὁμοειδὲς ἢ ἐπὶ τὸ ἀνομοειδές. Dein de quatuor quaestionibus disserendum statuit. 1. ποῖα γίνονται νοσήματα his mutationibus tempestatum; — in quo ita citat: ἐν τῷ περὶ τόπων, ἀέρων, ὑδάτων. — γίνονται τὰ σηπεδονώδη. 2. πότε γίνονται; ἐν τῷ θέρει. 3. ἐν ποίοις μορίοις γίνονται; — Fere ubique. 4. τίσι γίνεται; — In quo citatur: ὥσπερ καὶ ὁ Γαληνὸς ἐν τῷ σφυγμικαρίῳ ἐποίησεν. — a. ὡς ἐν γένει. i. e. ταῖς γυναιξίν. b. ὡς ἐν ἡλικίᾳ i. e. τοῖς παισίν. Haec omnia in Hippocratis verbis invenies. ἀποροῦσι δέ τινες, quomodo mutationibus tempestatum acuti morbi fieri possint. At τὸ ὀξὺ οὐ μόνον κατὰ τὸ συνεχὲς δεῖ νοεῖν, ἀλλὰ καὶ τὸ ὀλιγοχρόνιον. — καὶ ἐνταῦθα καταβάλλεται Κόϊντος καὶ ὁ Λύκος, λέγοντες καὶ νομίζοντες ἐμπειρικὸν εἶναι τὸν Ἱπποκράτην. ὁ γὰρ ἐμπειρικὸς τὰ ὄντα καὶ φαινόμενα διαγινώσκει, ἀλλὰ καὶ τοῦτο ἀπὸ τῆς τηρήσεως καὶ τῆς μνήμης, οὐ μὴν τὰ μέλλοντα γενέσθαι προγινώσκει ὁ ἐμπειρικός. ὁ μέντοι Ἱπποκράτης τὰ μέλλοντα ἔγνω καὶ τῶν μελλόντων πρόγνωσιν ἐποιήσατο, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπιστημονικῶς.

μιᾶς γαρ ὥρας 1) διελάμβανεν, ἁπλῆν ἐχέσης την δυσκρασίαν. ἐνταῦθα δὲ καθολικωτέρῳ κέχρηται τρόπῳ καὶ διαλέγεται περὶ πλειόνων ὡρῶν. Ἰστέον δὲ ὅτι ἡ παρατροπὴ τῶν ὡρῶν ἢ ἐπὶ τὸ ὁμοειδὲς παρεκτρέπεται ἢ ἐπὶ τὸ ἀνομοιοειδές. ἐνταῦθα οὖν λαμβάνει Ἱπποκράτης ψυχρὸν καὶ ξηρὸν τὸν χειμῶνα· τὸ γὰρ αὐχμηρὸν δηλοῖ τὴν ξηρότητα, τὸ δὲ βόρειον τὴν ψυχρότητα, τὸ δὲ ἔαρ θερμὸν καὶ ὑγρόν. 2) τὸ γὰρ ἔπομβρον δηλοῖ τὸ ὑγρὸν, τὸ δὲ νότιον τὸ θερμόν. τούτων οὕτως ἐχόντων, ἀνάγκη τε θέρεος, ὡς αὐτός φησι, πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας γίνεσθαι, τοῖς ἐπιτηδείως ἔχουσι δηλονότι πρὸς ταῦτα τὰ πάθη, διὰ τόδε ὅτι ὁ χειμὼν ἄκρως ψυχρὸς γεγονὼς κατέβαλε τῇ ἄκρᾳ ψύξει τὰς δυνάμεις καὶ τὴν κακοχυμίαν τὴν ἀπὸ τοῦ φθινοπώρου ἀθροισθεῖσαν ἐν τῷ σώματι ἐναπέκλεισεν· εἶτα τὸ ἔαρ ἐλθὸν, θερμὸν καὶ ὑγρὸν, χύσιν ἐποίησε τῆς ὕλης καὶ ὑγρὰ τὰ σώματα ἀπειργάσατο τῇ ὑγρότητι· εἶτα πάλιν ἐλθὸν τὸ θέρος κατὰ φύσιν θερμὸν καὶ ξηρὸν, ἐπιτηδείαν ὕλην εὑρὸν εἰς σῆψιν μετέβαλε. τῇ μεταδόσει οὖν τῆς σηπεδόνος διὰ τῶν ἀρτηριῶν πρὸς καρδίαν, ὀξεῖς γίνονται πυρετοί· εἶτα πάλιν ἐκ τῆς σηπεδόνος ἀναπέμπονται ἀτμοὶ δριμεῖς ἐν τῇ κεφαλῇ, καὶ εἰ μὲν ἀσθενὴς ἡ κεφαλὴ ᾖ, μένουσιν ἐν αὐτῇ καὶ ἐπιληψίαι καὶ ἀποπληξίαι καὶ σκοτώσεις 3) γίνονται· εἰ δὲ ἔῤῥωται, διώκει τὴν ὕλην ἢ εἰς τὰ παρακείμενα μόρια καὶ ποιεῖ ὀφθαλμίας καὶ ὠταλγίας ἢ εἰς τὰ πόῤῥω· εἰ μὲν πρὸς τὰ ἀναπνευστικὰ, ποιεῖ δύσπνοιαν καὶ βῆχα· εἰ δὲ εἰς γαστέρα καὶ ἔντερα, ποιεῖ δυσεντερίαν, τῇ δήξει αὐτῶν ἑλκεμένων. μάλιςα δὲ ταῖς γυναιξὶ καὶ τοῖς ὑγρὰς ἔχουσι τὰς φύσεις συμβαίνει ταῦτα· εἰ γὰρ ὅλην τὴν κατάστασιν ὡς σήπουσαν τὰ σώματα μεμφοίμεθα, πρόδηλον ὅτι μᾶλλον ἡ σηπεδὼν ἐν τοῖς ὑγροῖς ἐστι σώμασιν. εἰ δέ τις εἴποι ὅτι διὰ τί μὴ ἐν τῷ ἔαρι τὰ νοσήματα γεγόνασι, λέγομεν, ὅτι μᾶλλον τότε πρὸς συμμετρίαν 4) ἐπανήρχετο τὰ σώματα, ἐν τῷ θέρει δὲ διὰ τὴν ἄγαν θερμασίαν εὐθέως ἤρξαντο σήπεσθαι οἱ χυμοί.

---

1) *διέλαβεν* V. b. 2) *τὸ — ὑγρὸν* om. V. b. C. 3) *γεννῶνται* V. b. 4) *ἐπεισέρχονται* V. b.

ΔΑΜ. Τῶν γὰρ ἐν τοῖς σώμασι χυμῶν σηπομένων ἀπό γε τοιούτου χειμῶνος, καὶ ὑγραινομένων ὁμοίως ἀπὸ τοιέτου ἔαρος, καὶ θερμανθέντων καὶ ἐκπυρωθέντων ἀπὸ τοῦ θέρους, ὀφθαλμίαι καὶ δυσεντερίαι γίνονται κατὰ τὴν ἐπιτηδειότητα τῶν βλάπτεσθαι δυναμένων μορίων. ἄλλα γὰρ ἄλλων μᾶλλον εὐπαθῆ τε ἐστὶ καὶ δυσπαθῆ κατὰ τὰς κράσεις τῶν σωμάτων· αἱ μὲν γὰρ ὀφθαλμίαι σχεδὸν ἅπαντας ἐνοχλοῦσι, πληρουμένης τῆς κεφαλῆς, πλὴν εἴ τινες ἰσχυροὶ πάνυ τοὺς ὀφθαλμοὺς εἶεν· δυσεντερίαι δὲ τοῖς ὑγρὰς ἔχουσι τὰς φύσεις καὶ ταῖς γυναιξίν· ὑγρότεραι γάρ εἰσι καὶ αὗται τῶν ἀνδρῶν. καὶ πυρετοί. μένοντες γὰρ οἱ σεσημμένοι χυμοὶ ἐν τῷ σώματι ποιοῦσι τοὺς πυρετοὺς, κινηθέντες δὲ ἐπὶ τἀκτὸς ποιοῦσι τὰς δυσεντερίας καὶ ἄλλα τινά.

ιβ'. Ἢν δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος, καὶ εὔδιεινὸς γίνηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες, ἧσι οἱ 1) τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσι. αἳ δὲ ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσι, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι 2) βροτοῖσι δυσεντερίαι, καὶ ὀφθαλμίαι ξηραὶ γίνονται· τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥοοι ξυντόμως ἀπολλύντες. —

ΘΕΟΦ. Ἐνταῦθα τὴν παρατροπὴν ὑπεναντίως τοῦ ἀνωτέρου ἀφορισμοῦ ποιεῖται. λέγει γὰρ, ἢν δὲ νότιος ὁ χειμὼν καὶ ἔπομβρος καὶ εὐδιεινὸς τουτέστι θερμὸς καὶ ὑγρὸς καὶ καθαρὸν ἀέρα ἔχων· τοῦτο γάρ ἐστι τὸ 3) εὔδιος· τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον τουτέστι ψυχρὸν καὶ ξηρὸν, αἱ μὲν γυναῖκες, ἧσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐπὶ ταῖς τυχούσαις προφάσεσιν ἐκτιτρώσκουσιν, ὅτι ἐν τῷ χειμῶνι κατελύθησαν αἱ δυνάμεις τῷ λόγῳ τῆς πληθώρας καὶ ἐνείθιστο τὰ βρέφη ἐν ἀλέᾳ καὶ τῆς μήτρας εἶναι καὶ τοῦ περιέχοντος, ἐπιλάμπει τὸ ἔαρ ψυχρὸν καὶ εἰσδύνει ἡ δύναμις τῆς ψύξεως παρὰ τὴν μήτραν καὶ πλήττει τὸ βρέφος. πληττόμενον δὲ νοσεῖ, νοσοῦν λακτίζει,

1) τοκετοὶ D. 2) Om. D. νεωτέροισι V. a. c. 3) εὐδιεινὸς V. b.

καὶ ἐπειδὴ βεβλαμμένη ἐστὶν ἡ μήτρα καὶ οἱ σύνδεσμοι ὑπὸ τῆς ψύξεως, λακτίζον καὶ ἀτάκτως κινούμενον, διαῤῥήσσονται 1) οἱ σύνδεσμοι καὶ τὰ ἀρτήματα καὶ ἐξέρχεται τεθνηκὸς, τῆς ἀποκριτικῆς δυνάμεως 2) ἐπεγειρομένης καὶ ἀποκρινούσης τὸ ἔμβρυον. ἐὰν δὲ καὶ τεχθῇ ζῶν, ἢ παραυτίκα, φησὶν Ἱπποκράτης, ἀπόλλυται προσομιλοῦν τῇ ψύξει ἢ λεπτὸν καὶ νοσῶδες μένει διὰ τὴν πληγὴν τοῦ περιέχοντος. τοῖσι δὲ ἄλλοισι νεωτέροισι δυσεντερίαι καὶ ὀφθαλμίαι, τοῖς μὲν φύσει θερμοῖς καὶ χολώδεσιν ὀφθαλμίαι ξηραὶ, τοῖς δὲ φλεγματώδεσι δυσεντερίαι, ὅτι ὁ χειμὼν θερμὸς καὶ ὑγρὸς γεγονὼς ἐπλήρωσε τὸ σῶμα περιττωμάτων, πλέον δὲ τὸν ἐγκέφαλον. παραγενόμενον δὲ τὸ ἔαρ ψυχρὸν θλίβει τὴν ὑγρότητα, καὶ εἰ μὲν εἰς τοὺς ὀφθαλμοὺς ἐνεχθῇ, ὀφθαλμίαι γίνονται, ξηραὶ δὲ ἢ διὰ

---

1) E Stephano: τῆς γὰρ ὕλης εἰς τὸ βάθος καὶ εἰς τὴν μήτραν ἀποδιωχθείσης, ὑπὸ τῆς ψύξεως διάβροχα γίνονται τὰ ταύτης ἀρτήματα καὶ οἱ σύνδεσμοι. — — σκαίρει τὸ βρέφος ἐν τῇ μήτρᾳ. — ἐπειδὴ τὰ τούτου (foetus) μόρια νεοπαγεῖ τυρῷ καὶ ἁπαλωτάτῳ κηρῷ ἔοικε. — ῥήσσει τούς τε συνδέσμους τῆς μήτρας. — — εἰ δὲ καὶ ἐνωραίως τέκωσιν, infans jam aegrotum nihilo minus ὄλλυται. — ἀμβλίσκονται δὲ κατά τε τὰς ἀρχὰς μάλιστα καὶ πρὸς τῷ τέλει τῆς γεννήσεως τὰ ἔμβρυα, 1, 2 et 3 mensi δι' ἀσθένειαν τῶν τῆς μήτρας ἀρτημάτων καὶ τῶν συνδέσμων, et 8 et 9 mensi διὰ βάρος τοῦ ἐγκυομένου, ὃν τρόπον καὶ ἐπὶ τῶν φυτῶν γίνεται, ἅπερ ἢν διασεισθῇ, ὁπότε τοὺς καρποὺς ἐγκυοφορεῖ καὶ ἀνθεῖ, ἑτοίμως αὐτοὺς ἀποβάλλεται, διὰ τὴν ἀσθένειαν τῶν πεισμάτων καὶ τῶν λαβῶν. — Quapropter intermediis mensibus φαρμακεύειν possumus mulieres. — ἡ τῶν συνδέσμων ἰσχυροποίησις. — COD. ESC. Duae sunt causae partus praematuri: 1. Plethora efficitur et ἀρτήματα ita relaxantur. 2. Vires matricis debilitantur vereque frigido palpitat foetus frigore perculsus perrumpitque ligamenta. Quaestiones: 1. Cur hic vere hos morbos fieri dicit, quum supra eosdem aestate gigni dixerit? Galenus hanc quaestionem solvit. ὁ δὲ ἐξηγητὴς (quis est?) λέγει καὶ ἄλλην αἰτίαν, ἀλλὰ πρότερον ἐπιτείνει τὴν ἀπορίαν. Faciliorne fit abortus in principio graviditatis, quando omnia debilia sunt, quam ultimis mensibus? solvitur haec quaestio exemplo plantarum. Quomodo jungi possunt ἔπομβρος καὶ εὔδιος? Alterum excluditne alterum ἔπομβρον significat tantum τὸ ἀχλυῶδες τοῦ νότου, non pluviam ipsam. — Citatur Γαληνὸς ἐν τῇ μεγάλῃ θεραπευτικῇ. — Definitiones omnium morborum, dysenteriae, catarrhi etc. sequuntur, quos Aphorismus nominat. 2) ἀποκρινομένης V. a.

τὴν πυκνότητα τῶν ὑμένων· πυκνοῦνται γὰρ ὑπὸ τῶν βορείων πνευμάτων, ἢ διὰ τὸ πάχος τοῦ χυμοῦ, κἂν τούτῳ τυχὸν οὐκ ἀποῤῥέει δάκρυον. εἰ δὲ εἰς γαστέρα καὶ ἔντερα, δυσεντερίαι διὰ τὸ δριμὺ τοῦ αἰτίου. ἐν γὰρ τῇ προκειμένῃ καταστάσει ἁλυκόν ἐστι τὸ φλέγμα διὰ τὴν ἐν τῷ χειμῶνι θερμασίαν. τοῖς πρεσβύταις δὲ κατάῤῥοοι γίνονται ξυντόμως ἀπολλύντες. κατάῤῥουν λέγει οὐ τὸ ἐπὶ πνεύμονα φερόμενον ῥεῦμα ἢ τὴν τραχεῖαν ἀρτηρίαν, ἀλλ' ἐπὶ φλέβας καὶ ἀρτηρίας, ὃς καὶ συντόμως ἀπόλλυσιν αὐτοὺς, πληρώσεις ἐργαζόμενος καὶ παραλύσεις, ἀφωνίας τε καὶ τὰ ἄλλα 1) χαλεπά.

ΔΑΜ. Δυσεντερίαι γίνονται τούτοις ἐπὶ καταῤῥέοντος φλέγματος ἐκ τοῦ ἐγκεφάλου, καὶ ὀφθαλμίαι ξηραὶ ἤτοι ἄνευ ῥεύματος καὶ δακρύων, πυκνεμένης τῆς ἐπιφανείας τῷ κρύει· τοῖς δὲ πρεσβυτέροις καὶ κατάῤῥοι συντόμως ἀπολλύντες διὰ τὴν προγενομένην ἀραίωσιν καὶ ἔκτηξιν τῶν φλεβῶν τῇ θέρμῃ, ὡς πληροῦσθαι ταύτας καὶ πνιγμὸν ἕπεσθαι. ἡ μὲν γὰρ κεφαλὴ ἐπεπλήρωτο πρόσθεν ἐν τῇ ὑγρᾷ καὶ θερμῇ καταστάσει, τὸ δὲ κρύος ἐπιγινόμενον, ὥσπερ χείρ τις ἔξωθεν περιλαβοῦσα καὶ θλίψασα, καθάπερ τινὰ σπόγγον, τὸν ἐγκέφαλον, ἐκθλίβει τὴν κατὰ αὐτὸν ὑγρότητα· φερομένης δ' αὐτῆς ἄλλοτε πρὸς ἄλλον τόποντῶν εὐπαθῶν, πλείονα γεννᾷ νοσήματα. καὶ κατὰ τοῦτο ὀφθαλμίαι συμβήσονται τοῖς ἀσθενέσι φύσει τοὺς ὀφθαλμούς. ἀποῤῥυήσεται δὲ οὐδὲν ἐκτὸς αὐτῶν διὰ τὴν τοῦ περιέχοντος ψυχρότητα, πυκνοῦντος τὴν ἐπιφάνειαν.

ιγ'. Ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν χειμῶνα, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες. —

ΘΕΟΦ. Περὶ χειμῶνος καὶ ἔαρος διελέχθη πρότερον, νῦν δὲ περὶ θέρους καὶ φθινοπώρου διαλέγεται καὶ ὑποτίθεται τὸ θέρος ψυχρὸν καὶ ξηρὸν, τὸ δὲ φθινόπωρον

1) τὰ λοιπὰ add. V. a.

θερμὸν καὶ ὑγρόν. ταῦτα ἂν οὕτως ἔχῃ, κεφαλαλγίαι εἰς τὸν χειμῶνα καὶ βῆχες καὶ βράγχοι καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες γίνονται. καὶ ἡ αἰτία ἐστὶν αὕτη, ὅτι τὸ θέρος ψυχρὸν ὑπόκειται καὶ ξηρὸν καὶ ἐπὶ τούτῳ πίλησιν ἐποίησε τῆς ὕλης· εἶτα ἐλθὸν τὸ φθινόπωρον θερμὸν καὶ ὑγρὸν ἀντεμάχησε μὲν 1) *τὴν δυσκρασίαν τοῦ θέρους, ὅμως καὶ αὐτὸ ἐπέτεινε τὴν ὕλην ὡς ὑγρόν. ἐλθόντος οὖν τοῦ χειμῶνος κατὰ φύσιν ψυχροῦ καὶ ὑγροῦ, ἔτι* 2) *ἐπέτεινε τὴν πληθώραν. ἐκ τῆς πληθώρας οὖν ἀναθυμιάσεις ἀνερχόμεναι πρὸς τὴν κεφαλὴν* 3) *μοχθηραὶ τὴν κεφαλαλγίαν ἀπεργάζονται, εἰ ἀσθενής ἐστιν ἡ κεφαλή. εἰ δὲ ἔῤῥωται, ἐκδιώκει τὴν ὕλην, εἰ μὲν ἐπὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν* 4) *πνεύμονα, ποιεῖ κατάῤῥουν, εἰ δὲ ἐπὶ τὸν λάρυγγα καὶ τὸν φάρυγγα, ποιεῖ βράγχους καὶ βῆχας, εἰ δὲ ἐπὶ τοὺς μυκτῆρας, κορύζας· τισὶ δὲ καὶ φθίσιες γίνονται. ποίοις; οἷς ῥέπει ἡ φύσις ἐπὶ τὸ φθινῶδες. οὗτοι δέ εἰσι σκελιφροὶ, μακροτράχηλοι, πτερυγώδεις καὶ στενοθώρακες. γίνεται δὲ αὐτοῖς ἡ φθίσις διὰ τόδε, ἐπειδὴ οὗτοι ἀβαθῆ ἔχουσι τὸν θώρακα καὶ ἑτοίμως πάσχουσι καὶ ἀπὸ τῶν ἐντὸς καὶ ἀπὸ τῶν ἐκτὸς, ἀπὸ μὲν τῶν ἐκτὸς, ἐπειδὴ εὐχερῶς εἰσδύνει ἡ ψύξις εἰς τὸν θώρακα καὶ πλήττει αὐτὸν, ἀπὸ δὲ τῶν ἐντὸς, ὅτι, πληθώρας ὑποκειμένης, φέρεται ἐπὶ τὸν θώρακα καὶ βλάπτει τὸν πνεύμονα ὡς ἀσθενῆ. σήπεται γὰρ ἡ ὕλη ἐκεῖσε ἐρχομένη καὶ ἑλκοῖ τὸν* 5) *πνεύμονα καὶ ἐκ τούτου φθίσις.*

ΔΑΜ. Κεφαλαλγίαι γίνονται, πληρωθείσης τῆς κεφαλῆς, βράγχοι δὲ καὶ κόρυζαι τῇ ὑγρότητι καὶ ψύξει τῆς ὥρας, ἐπὶ πλέον πληθυομένων ὑγρότητος τῶν σωμάτων· φθίσιες δὲ τοῖς ἐπιτηδείως ἔχουσι πρὸς τοῦτο ἤως τοῖς στενοθώραξι καὶ οἷς ἀπὸ τῆς κεφαλῆς εἰς πνεύμονα καταφέρεται ῥεῦμα.

ιδʹ. Ἢν δὲ βόρειον ἔῃ καὶ ἄνυδρον, τοῖσι μὲν 6) *ὑγροῖσιν ἐοῦσι τὰς φύσιας καὶ τῇσι γυναιξὶ ξυμφέρει· τοῖσι δὲ*

1) *τῇ δυσκρασίᾳ* V. c. 2) *ἐπειάθη τὰ τῆς πληθώρας* V. b 3) Om. V. b. c. 4) *φάρυγγα* V. a. 5) Stephanus: *πνεύμων σομφώδης καὶ εὔσηπτος.* 6) *ὑγρὰς ἔχουσι* V. a. b. c. *ἐοῦσι* om. D.

λοιποῖσιν ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ πολυχρόνιοι, ἐνίοισι δὲ καὶ μελαγχολίαι. —

ΘΕΟΦ. Ἐν τῷ ἀνωτέρω ἀφορισμῷ ὑπετίθετο τὸ φθινόπωρον ἔπομβρον καὶ νότιον, ἐνταῦθα δὲ ἐναντίως τὴν παρατροπὴν ποιεῖται καὶ ὑποτίθεται αὐτὸ ψυχρὸν καὶ ξηρόν. ἐὰν οὖν ἐστι τὸ θέρος ξηρὸν καὶ ἄνυδρον, τὸ δὲ φθινόπωρον ψυχρὸν καὶ ξηρὸν, τοῖς ὑγρὰς ἔχουσι τὰς φύσεις καὶ ταῖς γυναιξὶ ξυμφέρει. ἀναλίσκεται γὰρ αὐτῶν ἡ ὑγρότης, καθὼς ἐν τῷ περὶ ἀέρων τόπῳ διδάσκει, καὶ ἀφικνέονται πρὸς τὸν χειμῶνα 1) οὐ πλαδῶντες, ἀλλ' ἐξηρασμένοι. τοῖσι δὲ ἄλλοισι τουτέοισι τουτέστι χολώδεσιν ὀφθαλμίαι ξηραὶ καὶ πυρετοὶ ὀξέες διὰ τὴν πολλὴν ξηρότητα καὶ κόρυζαι χρόνιαι, διότι ἡ ἄκρα ξηρότης καταβάλλει τὰς δυνάμεις καὶ τὸ λόγῳ τροφῆς ἐν τῷ ἐγκεφάλῳ ἐρχόμενον φέρεται εἰς μυκτῆρας διὰ τῶν ἠθμοειδῶν ὀστῶν καὶ κόρυζαι γίνονται. ἀλλὰ μὴν καὶ μελαγχολίαι ἐν τοῖς ἐπιτηδείως ἔχουσι τῷ λόγῳ τοῦ ἐκδαπανᾶν τὴν ξηρότητα τὸ λεπτομερὲς καὶ χρηστὸν τοῦ αἵματος, ἐᾶν δὲ τὸ παχὺ καὶ γεῶδες ὅπερ τὴν μελαγχολίαν ἐργάζεται.

ΔΑΜ. Βόρειον καὶ ἄνυδρον τὸ φθινόπωρον ὂν σύμφορον τοῖς ὑγροῖς τὴν φύσιν, ἐπεὶ καὶ τὸ θέρος ἀνωτέρω τοιοῦτον ὑπέθετο. τῇ ξηρότητι γοῦν τῶν ὡρῶν εἰς συμμετρίαν ἔρχονται αἱ ὑγραὶ κράσεις. τοῖς δὲ λοιποῖς, τοῖς ξηροῖς καὶ θερμοῖς δηλονότι ὀφθαλμίαι ξηραὶ, τῶν ὀφθαλμῶν ἀμέσως τῷ ἀέρι ὁμιλούντων καὶ πληττομένων ὡς ἀσθενῶν. μελαγχολίαι δὲ καί τισι διὰ τὸ ἀποξηραίνεσθαι ἐπὶ πλέον τὸ χολῶδες τῇ δυσκρασίᾳ.

ιε'. Τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσὶ ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. —

ΘΕΟΦ. 2) Κατάστασις μεταβολῆς οὕτω διαφέρει,

---

1) εὐπλαδῶντες V. b. οὐ πλάδοντες V. a. 2) COD. ESC. κατάστασις et μεταβολὴ differunt τῷ καθολικωτέρῳ καὶ μερικωτέρῳ. (Aestas tota si frigida humidaque est, μεταβολὴ, si pauci tantum dies tales sunt, κατάστασις.) E Stephano: Ἀνατολὴ μὲν οὖν ἐστιν, ἡ ἀπὸ

ὅτι ἡ μὲν κατάστασις βραχυχρόνιός ἐστιν, ἡ δὲ μεταβολὴ πολυχρόνιος· οἷον ἐπὶ παραδείγματος· ἐὰν ἑξήκοντα τυχὸν ἡμέραις τὸ θέρος περιγράφηται, εἰ ὅλον τοῦτο ἀλλοιωθῇ ἐπὶ τὸ ψυχρότερον καὶ ὑγρότερον, μεταβολὴ λέγεται, εἰ δὲ μόναι τυχὸν δέκα ἡμέραι ἐπὶ τὸ ψυχρότερον τραπῶσιν, αἱ δὲ πεντήκοντα τὴν τοῦ θέρους κρᾶσιν φυλάξωσι, κατάστασις ὀνομάζεται. εἶτα τὸ ἀνάπαλιν, ἐὰν αἱ πεντήκοντα ἐπὶ τὸ ψυχρότερον τραπῶσιν, αἱ δὲ δέκα ἐπὶ τὸ κατὰ φύσιν εἶεν. τῶν τοιούτων οὖν καταστάσεων, τὸ μὲν ὅλον, ὥς φησιν Ἱπποκράτης, οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι καὶ ἧσσον θανατώδεες. ἐν μὲν γὰρ τοῖς αὐχμοῖς διαφορεῖται τὰ περιττὰ ὑγρὰ, κατὰ δὲ τὰς ἐπομβρίας ἔνδον τοῦ σώματος ἀθροιζόμενα σήπεται καὶ σηπόμενα πολλὰ χαλεπὰ τίκτουσιν.

ΔΑΜ. Ἐν γὰρ τοῖς αὐχμοῖς διαφοροῦνται τὰ περιττὰ κατὰ δὲ τὰς ἐπομβρίας ἔνδον τοῦ σώματος ἀθροιζόμενα σήπεται· πλὴν εἴ τις αὐτὰ καὶ ἑκάστην ἡμέραν ἐκκαθαίροι τοῖς γυμνασίοις ἢ βαλανείοις ἢ ἄλλοις τισὶ πόνοις.

ις'. Νουσήματα δὲ ἐν τῇσιν ἐπομβρίῃσι ὡς τὰ πολλὰ γίγνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. —

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς συνεχὴς τῷ πρὸ αὐτοῦ. ὥς τινος γὰρ ἐρωτῶντος, ὅτι ποῖά εἰσι τὰ νοσήματα, ἃ τίκτουσιν αἱ ἐπομβρίαι, ποῖα δὲ ἃ τίκτουσιν οἱ αὐχμοὶ, ἐπάγει λέγων, ἐν μὲν ταῖς ἐπομβρίαις πυρετοὶ μακροὶ

τοῦ ὑπὸ γῆν ἡμισφαιρίου εἰς τὸ ὑπὲρ γῆν τῶν ἄστρων ἀναφορὰ, ἄρτι ἀνισχόντων τὸν ὁρίζοντα, δύσις δὲ ἡ ἀπὸ τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου ἐπὶ τὸ ὑπόγειον κάθοδος, ἄρτι τὸν ὁρίζοντα τῶν ἄστρων καταδυομένων. ἐπιτολὴ δέ ἐστιν, ἡνίκα πεντεκαίδεκα μοιρῶν ἀπόστασιν ἀπὸ τοῦ ἡλίου τὸ οἱονοῦν ἄστρον ποιησάμενον καὶ γεγονὸς ἔξαυγον, ἄρχεται φαίνεσθαι, εἴτε ἐν τῷ ὑπὲρ γῆν, εἴτε ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ γενόμενον· κρύψις δέ ἐστιν, ἡνίκα ἐντὸς πεντεκαίδεκα μοιρῶν, ὑπὸ τὰς ἡλίου αὐγὰς, τελεῖ τὸ κρυπτόμενον ἄστρον, ὕπαυγον γινόμενον. Ita plejadum epitole aestatis initium est, epitole canis auctumni initium et arcturi epitole. occasus plejadum initium hiemis. — ὁ ἥλιος τὴν χειμερινὴν αὔλακα τοῦ ζωδιακοῦ διαδραμών. — Post haec: ἰτέον οὖν ἐπὶ τὴν τοῦ ἀφορισμοῦ ἐξήγησιν.

καὶ κοιλίης ῥύσιες καὶ τα ἑξῆς, ὅτι ἡ ἐπομβρία φλεγματικὸν καὶ ῥοώδη τίκτει χυμόν. οὗτος ὁ χυμὸς ἢ σήπεται καὶ πυρετὲς μακροὺς ἐργάζεται· πολλὴ γὰρ ὑγρότης ἐδέποτε ἀπὸ τοῦ σώματος διώκεται, εἰ μὴ πεφθείη. πέττεται δὲ ὡς ὑγρὰ διὰ πολλοῦ χρόνου ἢ ἀσαπὴς μείνασα ῥέπει εἰς γαστέρα καὶ ποιεῖ διαῤῥοίας. εἰ δὲ παρὰ τὸν ἐγκέφαλον 1) ῥέψει, ποιεῖ ἀποπλήκτους ἢ ἐπιλήπτους. εἰ μὲν οὖν πάσας ἐμφράξει τὰς κοιλίας τοῦ ἐγκεφάλου, ἀποπληξίαν ἐργάζεται, εἰ δὲ μερικῶς αὐτὸν ἐμφράξει, ἐπιληψίαν ποιεῖ. οὐ μόνον δὲ διαῤῥοίας ἀποτελεῖ, ἀλλὰ καὶ σηπεδόνας τουτέστι δυσεντερίας. ἀλλ' εἰ μὲν ἀσαπὴς κατέρχεται ἡ ὕλη, τὰς διαῤῥοίας ποιεῖ, σηπομένη δὲ δυσεντερίας· κυνάγχας δὲ, ὅτι ὑγρότης ὑπόκειται ἥτις σηπομένη καὶ διωκομένη καὶ ἀπὸ τῆς κεφαλῆς κατὰ τοὺς μῦς τοῦ λάρυγγος χωροῦσα, τῇ δήξει φλεγμονὴν ἐργασαμένη τὴν κυνάγχην ἀποτελεῖ.

Ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινάδες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι. —

ΘΕΟΦ. Τὰ ἐκ τῶν ἐπομβριῶν γινόμενα πάθη ἀνωτέρω κατέλεξε· καὶ νῦν δὲ καταλέγει τὰ ἐκ τῶν αὐχμῶν. φησὶ γὰρ ὅτι οἱ αὐχμοὶ φθινάδας ποιοῦσιν, ὀφθαλμίας καὶ τὰ ἑξῆς, ἐπειδὴ ἡ ξηρότης ὥσπερ ἡ θερμὴ δυσκρασία καὶ ξηρὰ χολὴν γεννᾷ· αὕτη ἡ χολὴ φερομένη ἐπὶ τὸν πνεύμονα δάκνει καὶ ἀνιᾷ καὶ ἑλκοῖ αὐτὸν καὶ ποιεῖ φθινάδα, ἥντινα οἱ Ἀθηναῖοι φθίσιν ὀνομάζουσιν, οὐκ ἐπὶ πάντων δὲ, ἀλλ' ἐπὶ τῶν ἐπιτηδείως ἐχόντων πρὸς τὸ πάθος. τῷ αὐτῷ δὲ λόγῳ καὶ ὀφθαλμίαι γίνονται· ἡ γὰρ χολὴ φερομένη ἐν τοῖς ὀφθαλμοῖς δάκνει καὶ δριμύσσει καὶ ἑλκοῖ αὐτοὺς καὶ οὕτω ποιεῖ ὀφθαλμίας. τινὲς δὲ καὶ συνημμένως ἀναγινώσκουσι, φθινάδες ὀφθαλμίαι. καὶ τὴν αἰτίαν οὕτω φασὶν, ὅτι ἡ ἀσύμμετρος δυσκρασία καταβάλλει καὶ τὴν δύναμιν, ἀλλὰ καὶ ἐκδαπανᾷ τὸ ἐν τοῖς ὀφθαλμοῖς περιεχόμενον ὑγρὸν καὶ τὸ πνεῦμα διαφορεῖ τὸ διογκοῦν τοὺς ὀφθαλμοὺς, κἀκ τούτου ἀτροφοῦσι καὶ σχναίνονται καὶ γίνονται φθινάδες ὀφθαλμίαι, καὶ τὴν

---

1) ῥεύσει V. b.

αἰτίαν οὕτω ἀποδιδόασιν. ἀρθρίτιδες δὲ, διότι ἡ ξηρότης καταβάλλουσα τὰς δυνάμεις, τὸ λόγῳ τροφῆς ἐν τοῖς ἄρθροις ἐρχόμενον ἀπεπτεῖται, καὶ ἀπεπτούμενον ῥευματίζονται τὰ ἄρθρα καὶ ἀρθρίτιδες γίνονται. ἀλλὰ μὴν καὶ στραγγουρίαι, διότι ἡ χολὴ ἐρχομένη δάκνει καὶ ἐπεγείρει συνεχῶς τὴν κύστιν καὶ στραγγοειδῶς ἀπουρεῖ. ἐπὶ δὲ τὰ ἔντερα πορευομένη πάλιν δυσεντερίαν ἀπεργάζεται.

ΔΑΜ. *Πρόσεξι γὰρ τὸ ψυχροτέρους τε καὶ φλεγματικωτέρους ἐν ταῖς ἐπομβρίαις γίνεσθαι τοὺς χυμοὺς, ὥσπερ αὖ πάλιν ἐν αὐχμοῖς χολωδεστέρους, ὥστε καὶ κατὰ τοῦτο χρονίζουσι μὲν ἐν ταῖς ἐπομβρίαις, ὀξύτεροι δὲ ἐν τοῖς αὐχμοῖς οἱ πυρετοὶ γενήσονται. κυνάγχη δὲ γίνεται μὲν, ἔστιν ὅτε καὶ αὐτοῦ τοῦ πλήθους τῶν περιττωμάτων ἐνεχθέντος εἰς φάρυγγα, γίνεται δὲ ὡς τὰ πολλὰ, καὶ τῶν ἀπὸ τῆς κεφαλῆς ῥευμάτων ἐν φάρυγγι στηριχθέντων. στραγγουρίαι δὲ γίνονται διά τε δριμύτητα τῶν οὔρων καὶ ἀῤῥωστίαν τῆς ἐν κύστει καθεκτικῆς δυνάμεως, ἥτις πάλιν ἀῤῥωςία γίνεται δι' ἄμετρόν τινα δυσκρασίαν.*

ιζ. *Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι, τά τε σώματα ξυνιστῶσι, καὶ εὔτονα, καὶ εὐχροώτερα, καὶ εὐκίνητα, καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρακα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσι.* —

ΘΕΟΦ. 1) *Οὐ ταυτολογεῖ, ὥς φασί τινες, Ἱπποκράτης, περὶ ἀνέμων καὶ νῦν διαλεγόμενος. ἄνω μὲν γὰρ περὶ τῆς κακίας αὐτῶν καὶ μόνης διελέχθη. ἐνταῦθα μέντοι καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ λέγει τὰ συμβαίνοντα ἐν αὐτοῖς καί φησιν, αἱ δὲ καθ' ἡμέρην καταστάσιες αἱ μὲν βόρειοι συνιστῶσι τὰ σώματα καὶ τὰ ἑξῆς, διότι ὁ βοῤῥᾶς ψυχρὸς καὶ ξηρὸς ὢν τὰ ἐν τῷ σώματι περιττὰ ἀναλίσκει καὶ τόνον ἐντίθησι τοῖς ὀργάνοις τῇ πιλήσει καὶ ψύξει καὶ συνέχει τὰς δυνάμεις. διὰ μὲν γὰρ τοῦ φάναι εὐκίνητα καὶ εὐηκοώτερα τὰς ψυχικὰς δυνάμεις ᾐνίξατο, διὰ*

---

1) E Stephano: *συνιστῶσιν ἀντὶ τοῦ συνιστάμενα ποιοῦσι. — εὔτονα ἀντὶ τοῦ ἐῤῥωμενέστερα. — εὔχροια γίνεται — ἢ ἐκ τοῦ πλεονάζειν αἷμα ψυχρὸν, ἢ ἐκ τοῦ εὔκρατον εἶναι τὸ πνεῦμα τὸ ζωτικόν.*

δὲ τοῦ εὔχροα, τὰς φυσικάς. ταῦτα μὲν ἀγαθὰ ταῖς βορείαις ὑπάρχει καταστάσεσι. ἔστι δέ τινα καὶ μικρὰ ἐν αὐταῖς κακὰ, τὸ ἐπισχεθῆναι τὴν γαστέρα καὶ τὸ δηχθῆναι τοὺς ὀφθαλμοὺς καὶ τὸ παροξυνθῆναι τὰς προϋπαρχούσας ὀδύνας 1) περὶ τὸν θώρακα. αἱ δὲ αἰτίαι τούτων ἀνωτέρω εἴρηνται, ἔνθα γέγραπται, ἢν δὲ βόρειον ᾖ, βῆχες, 2) φάρυγγες καὶ τὰ ἑξῆς. καὶ ἴσως ἀπορήσει τις, ὅτι πῶς ἀνωτέρω διαλεγόμενος περὶ τῶν ἀνέμων ἀπὸ τοῦ νότου ἤρξατο, ἐνταῦθα δὲ ἀπὸ τοῦ βοῤῥᾶ, καὶ λέγομεν, ἐπειδὴ ὑγιεινότερός ἐστι τοῦ νότου καὶ θέλων ἐκτραγῳδῆσαι τὰ ἀγαθὰ τὰ συμβαίνοντα ἐν αὐτοῖς ἀπ᾿ αὐτοῦ ἤρξατο ὡς πλεονεκτοῦντος εἰς αὐτὰ, ὥσπερ ἐκεῖσε τὰ κακὰ αὐτῶν θέλων ἐξειπεῖν, ἀπὸ τοῦ νότου ἤρξατο ὡς περιττεύοντος εἰς αὐτά.

Αἱ δὲ 3) νότιοι διαλύουσι τὰ σώματα, καὶ ὑγραίνουσι, καὶ καρηβαρίας, καὶ βαρυηκοΐας ποιέουσι, καὶ ἰλλίγγες ἐμποιέουσι ἔν τε τοῖσιν ὀφθαλμοῖσι, καὶ ἐν τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι. —

ΘΕΟΦ. Ἐνταῦθα λέγει [ἐν τῷ παρόντι ἀφορισμῷ] τὰ συμβαίνοντα ἐν τοῖς νοτίοις καταστήμασι πάθη. ἀλλὰ τούτων 4) ἡ αἰτία ἀνωτέρω ἐῤῥήθη, πλὴν ἰλίγγου. ἔστιν οὖν ἴλιγξ ἡ σκοτόδινος, γίνεται δὲ ἐν τοιαύτῃ καταστάσει οὕτως· ὅτι οἱ νότοι ὑγραίνουσι τὰ σώματα. αὕτη οὖν ἡ ὑγρότης ἀτμοειδῶς φέρεται ἐπὶ τὴν κεφαλὴν καὶ συναναπλέκεται τῷ ψυχικῷ πνεύματι καὶ ἀμαυροῖ αὐτό. τοῦτο οὖν τὸ ψυχικὸν πνεῦμα, μὴ δυνάμενον ὀρθοπορῆσαι, περιφέρεται καὶ ἑλίσσεται ὧδε κἀκεῖσε καὶ ποιεῖ τοὺς ἰλίγγους. Ἰστέον δὲ ὅτι ὁ Γαληνός φησιν, ἄμεινον ἦν ἀντηλλάχθαι τὸ κατ᾿ ἀρχὴν τοῦ λόγου γεγραμμένον καὶ πρῶτον μὲν εἰρῆσθαι τὸ ὑγραίνουσιν, εἶτα τὸ διαλύουσι. καὶ ἡ αἰτία, ὅτι πρῶτον ὑγραίνουσι καὶ οὕτω διαλύουσι, καὶ τῶν ἄλλων ἕκαστον ποιοῦσι, συντελούσης εἰς αὐτὰ καὶ τῆς θερμασίας.

ΔΑΜ. Ξηρὸς καὶ ψυχρὸς ὑπάρχων ὁ βοῤῥᾶς ἀναλί-

---

1) κατὰ V. b. c. 2) βράγχοι V. b. 3) νόσοι D. 4) αἱ αἰτίαι ἐῤῥήθησαν V. b. C.

σκει μὲν ἅπαντα τὰ ἐκ τοῦ σώματος περιττὰ, τόνον δ' ἐντίθησι τοῖς ὀργάνοις αὐτοῖς ἐκ τοῦ σφίγγειν τε καὶ συνάγειν αὐτά. Ἴλιγγος δὲ λέγεται ἡ σκοτοδινία, ἥτις γίνεται, ὑγροῦ μετὰ παχέος πνεύματος κινουμένου περὶ τὴν κεφαλήν· διὸ καὶ προηγεῖται ἐπιληψίας καὶ ἀποπληξίας.

ιη'. Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος οἱ παῖδες, καὶ οἱ τουτέων ἐχόμενοι τῇσι ἡλικίῃσιν, ἄριςά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα· τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος, οἱ γέροντες· τὸ δὲ λοιπὸν, καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσι ἡλικίῃσι. —

ΘΕΟΦ. Καὶ ἐνταῦθα λέγει ὅτι αἱ εὔκρατοι ἡλικίαι ἐν ταῖς εὐκράτοις ὥραις καλῶς διάγουσιν, αἱ δὲ δύσκρατοι ἐν ταῖς δυσκράτοις ὥραις, αἱ μέσαι δὲ ἡλικίαι ἐν ταῖς μέσαις ὥραις. οἱ μὲν οὖν παῖδες, ὥς φησιν Ἱπποκράτης, καὶ οἱ ταύτης ἐχόμενοι τῆς ἡλικίας τουτέστι τὰ μειράκια ἐν τῷ ἔαρι καὶ ἄκρῳ τοῦ θέρους καλῶς διάγουσιν, ἀλλὰ τὰ μὲν μειράκια, ὡς εὔκρατα καὶ ἀπέριττα 1) πρὸς τοὺς παῖδας, ἐν τῷ ἔαρι καλῶς διάγουσιν, οἱ παῖδες δὲ ἐν ἄκρῳ τῷ θέρει διὰ τὸ ἀναλίσκεσθαι αὐτῶν τοτηνικαῦτα τὸν ὠμὸν χυμόν. πάλιν οἱ γέροντες ἐν τῷ θέρει καὶ καταρχὰς τοῦ φθινοπώρου καλῶς διάγουσιν, ἐπειδὴ ψυχροί εἰσι φύσει καὶ ὑπὸ τῆς θερμότητος τοῦ θέρους καὶ ὀλίγον τοῦ φθινοπώρου κολάζεται αὐτῶν τὸ θερμῷ ἐναντίον ἤτοι τὸ ψυχρὸν κἀντεῦθεν καλῶς διάγουσι. οἱ μέντοι μέσοι ταῖς ἡλικίαις ταύταις τουτέστιν οἱ ἀκμάζοντες ἐν τῷ λοιπῷ τοῦ φθινοπώρου καὶ ἐν τῷ χειμῶνι καλῶς διάγουσιν, ἐπειδὴ θερμοί εἰσι κατὰ ποσότητα καὶ δριμύτερον ἔχουσι τὸ θερμόν. ἡ οὖν ψῦξις τοῦ φθινοπώρου καὶ χειμῶνος εἰς εὐκρασίαν αὐτὲς ἄγει κἀντεῦθεν καλῶς διάγουσιν.

ΔΑΜ. Ταῖς μὲν εὐκράτοις ἡλικίαις καὶ φύσεσι καὶ χώραις ἀρίστη τῶν ὡρῶν ἐστιν ἡ εὐκρατοτάτη, δεομέναις γε οὐ μεταβολῆς ἧς ἔχουσιν ἕξεως, ἀλλὰ φυλακῆς, ἐπειδὴ τῶν ὄντων ἕκαστον, ὑπὸ μὲν τῶν ὁμοίων φυλάττεται, με-

---

1) πρὸς τ. π. om. V. a.

ταβάλλεται δὲ ὑπὸ τῶν ἐναντίων· καὶ τὰ μὲν μειράκια τοῦ ἦρος, τοὺς δὲ παῖδας ἐν ἀρχῇ τοῦ θέρους ἄριστα διάγειν. ἐπὶ δὲ τῶν γερόντων διὰ τὴν ψυχρότητα τῆς κράσεως ὠφέλιμόν ἐστι τὸ θέρος, ὥσπερ γε καὶ τοῖς ἀκμάζουσιν ὁ χειμὼν ὠφελιμώτατος. ἐναντίος γὰρ οὗτος τῇ κατὰ τούτους δυσκρασίᾳ, χολώδεις ὄντας· οὕτως τῶν φύσεων αἱ μὲν χολωδέστεραι χειμῶνος ἄριστα διάγουσιν, αἱ δὲ φλεγματωδέστεραι θέρους, αἱ δ' εὔκρατοι τοῦ ἦρος. ὁμοίως καὶ ἐπὶ τῶν χωρῶν, αἱ μὲν εὔκρατοι κάλλιστον ἔχουσι τὸ ἔαρ, αἱ δ' ἄλλαι, θέρους μὲν αἱ ψυχραὶ, χειμῶνος δ' αἱ θερμαί.

ιθ'. Νουσήματα πάντα μὲν ἐν πάσῃσι τῇσι ὥρῃσι 1) γίνεται· μᾶλλον δὲ ἔνια κατὰ ἐνίας αὐτέων καὶ γίνεται, καὶ παροξύνεται. —

ΘΕΟΦ. Τὰ νοσήματα ἢ συγγενῆ εἰσι ταῖς ὥραις ἢ ἀλλότρια· καὶ τὰ μὲν συγγενῆ γίνονται ἐν ταῖς πρεπούσαις τῶν ὡρῶν κράσεσι, τὰ δὲ ἀλλότρια διὰ τὰ ἄλλα τοῦ βίου πλημμελήματα, οἷον διὰ δίαιταν, διὰ βίον καὶ τὰ λοιπά. φησὶν οὖν Ἱπποκράτης, νοσήματα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνονται· πᾶσαι μὲν γὰρ νόσοι ἐν πάσαις γίνονται ὥραις, ἀλλὰ μᾶλλον, ὡς φησὶν αὐτὸς, ἔνιαι κατ' ἐνίας αὐτῶν τουτέστι πλείους καθ' ἑκάστην αὐτῶν αἱ οἰκεῖαι νόσοι γίνονται, ἧττον δὲ αἱ ἀλλότριαι, αἳ καὶ παροξύνονται προϋπάρχουσαι, οἷον ἔδοξεν ἐν τῷ θέρει πεπαῦσθαι τεταρταῖος καὶ διέλειπε, καὶ ἐπειδὴ παραγέγονε τὸ φθινόπωρον καὶ εὗρε σπέρμα τοῦ χυμοῦ, ἀνήγειρε τὸν πυρετόν.

ΔΑΜ. Τουτέστι πᾶσαι μὲν νόσοι ἐν πάσαις ἔσονται ταῖς ὥραις, πλείους δὲ καθ' ἑκάστην αὐτῶν αἱ οἰκεῖαι.

κ'. Τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, κυνάγχαι τε καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά. —

---

1) E Stephano: *γίνεται*] — *ἀκουστέον ἐπὶ τῶν συγγενῶν νοσημάτων — παροξύνεται, ἐπὶ τῶν ἑτερογενῶν.*

ΘΕΟΦ. Ὁ παρὼν ἀφορισμὸς παράδειγμά ἐστι τοῦ πρὸ αὐτοῦ. ὡς τινος γὰρ μέλλοντος ἀπορεῖν, ὅτι ποῖα καὶ πόσα καὶ πῶς γίνεται ἐν ταῖς ὥραις τὰ νοσήματα, αὐτὸς λέγει, ὅτι τοῦ μὲν ἦρος τὰ μανικὰ καὶ τὰ μελαγχολικὰ καὶ τὰ ἑξῆς. καὶ ἡ αἰτία ἐστὶν αὕτη· τινὲς ἐν τῷ φθινοπώρῳ καὶ ἐν τῷ χειμῶνι μοχθηρὰς τροφὰς διαιτηθέντες μοχθηροὺς χυμοὺς 1) ἐπεσύναξαν. τῇ ψύξει οὖν ἀποκλείει αὐτοὺς ὁ χειμὼν ἐν τῷ βάθει· εἶτα ἐλθὸν τὸ ἔαρ, εὔκρατον ὂν, χύσιν καὶ μόνον ποιεῖται τῶν ἀθροισθέντων χυμῶν. φέρονται οὖν ἀτμοειδῶς ἐπὶ τὴν κεφαλὴν, καὶ εἰ μὲν φλεγματικός ἐστιν ὁ χυμὸς, ποιεῖ ἐπιληψίαν, εἰ δὲ μελαγχολικὸς, μελαγχολίας καὶ μανίας· εἶτα πάλιν τὸ ἔαρ, ὅσον ἐπὶ τῇ εὐκρασίᾳ, ἄνοσόν ἐστι· τίκτεται γὰρ ἐν αὐτῷ ὁ αἱματικὸς χυμός· οὗτος, σύμμετρος ὢν, ἄνοσον διαφυλάττει τὸ σῶμα· εἰ δὲ καὶ παρεκτραπῇ, ἢ κατὰ ποιότητα παρεκτρέπεται καὶ ποιεῖ συνόχους ἢ κατὰ ποσότητα καὶ ποιεῖ αἵματος ῥύσεις εἴτε διὰ μυκτῆρος, εἴτε διὰ βηχὸς ἐκ θώρακος· ποιεῖ δὲ καὶ ἕτερα πάθη, οἷον κυνάγχην, ὅτι αἵματος ποσότης ἐν τῷ ἔαρι οὖσα φέρεται ἐν τοῖς μυσὶ τοῦ 2) λάρυγγος καὶ ποιεῖ φλεγμονὴν καὶ οὕτως κυνάγχην ἀπεργάζεται. ποιεῖ δὲ καὶ κόρυζαν, τῆς ὕλης δι᾽ ὑπερῴας ἐνηνεγμένης, ποιεῖ καὶ βῆχας, τῆς ὕλης ἐν τῷ θώρακι φερομένης· ἀλλὰ μὴν καὶ λέπρας καὶ λειχῆνας καὶ ἀλφοὺς, ὅτι εὐκράτου ὄντος τοῦ ἀέρος, ῥώννυνται αἱ δυνάμεις· τούτων ῥωννυμένων, ἀποδιώκεται ἡ ὕλη πρὸς τοὐκτὸς, καὶ εἰ μὲν φλεγματική ἐστι καὶ σεσημμένη, ποιεῖ 3) λέπρας, εἰ δὲ ἀσαπὴς, ἀλφοὺς, εἰ δὲ μελαγχολικὴ, ποιεῖ λειχῆνας, εἰ δὲ χολώδης, ποιεῖ τὰ ἐξανθήματα· εἰ δὲ αἱματικὴ, ποιεῖ φύματα. ἀλλὰ μὴν καὶ ἀρθριτικὰ, τῆς χολῆς ἐκεῖσε φερομένης καὶ τῇ δήξει ὀδύνας ποιούσης. Ἰστέον δὲ ὅτι συγγενῆ τοῦ ἔαρος νοσήματά εἰσιν ἐνταῦθα, αἵματος ῥύσεις, κυνάγχαι καὶ βῆχες, ἀλλό-

---

1) ἐπεσώρευσαν V. c. 2) φάρυγγος V. b. C. 3) E Stephano: λέπραι καὶ ἀλφοὶ γίνονται] — ῥωννυμένων τῶν φυσικῶν δυνάμεων καὶ περὶ τὴν ἐπιφάνειαν τοῦ δέρματος τὴν ὕλην ἐκπεμπουσῶν, ἐπεὶ μήτε δι᾽ ἐμέτων, μήτε διὰ τῶν φυσικῶν ὑπονόμων ἐκκρίνειν ταύτην ἰσχυόυσιν, ὅ γε δὴ πρὸς ἔπαινον τοῦ ἔαρος εἴρηται. ὡς γὰρ οὗτος ἀλλαχοῦ φησιν, ὕβρις ἐπιφανίης, βάθεος ἄκος. —

τρια δὲ, μελαγχολίαι, μανίαι, ἐπιληψίαι, λέπραι καὶ τὰ ἑξῆς τοῦ ἀφορισμοῦ.

ΔΑΜ. Ἐν ταύτῃ γὰρ τῇ ὥρᾳ ἐκκαθαίρεται τὸ βάθος τοῦ σώματος, ἀπὸ τῶν κυρίων μερῶν ἐπὶ τὸ δέρμα τῶν μοχθηρῶν χυμῶν ἀφικνουμένων. εἰ δέ τι σῶμα παρέλαβεν εὔχυμον ἡ τοῦ ἦρος ὥρα, φυλάττει τοῦτο ὑγιεινότατον, οὐδὲν ἐκ τῆς ἰδίας φύσεως νεωτερίζουσα.

κα΄. **Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι, καὶ τριταῖοι πλεῖστοι, καὶ ἔμετοι, καὶ διάῤῥοιαι, καὶ 1) ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων ἑλκώσιες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα. —**

ΘΕΟΦ. Ἐνταῦθα τὰ ἐν τῷ θέρει γινόμενα συγγενῆ τε καὶ ἀλλότρια νοσήματα, καθὼς καὶ ἐν τῷ ἔαρι, φησί· καὶ πρῶτον μὲν ἀπὸ τῶν ἑτερογενῶν ἄρχεται λέγων· τοῦ δὲ θέρεος ἔνιά τε τούτων τουτέστι τινὰ τῶν ἐν ἔαρι γινομένων νοσημάτων καὶ ἐν τῷ θέρει γίνονται, καταρχὰς μὲν ῥύσιες αἵματος καὶ συνεχεῖς πυρετοὶ διὰ τὸ πλεονάζειν ἀκμὴν τὸ αἷμα, ἀλλὰ μὴν καὶ καῦσοι καὶ τὰ ἑξῆς, ἅ εἰσιν ἴδια τοῦ θέρους διὰ τὸ πλεονάζειν τὸν ξανθοχολικὸν χυμόν. καὶ γὰρ ταῦτα τούτῳ τῷ λόγῳ γίνονται· ἀλλὰ μὴν καὶ ἔμετοι, τῆς χολῆς ἐπιπολαζούσης, καὶ διάῤῥοιαι, τῆς ὕλης κάτω χωρούσης, καὶ ὀφθαλμίαι, τῆς κεφαλῆς πληρουμένης. ὁμοίως δὲ καὶ ὤτων πόνοι καὶ ἑλκώσεις στομάτων διὰ τὸν χολώδη χυμόν· ἀλλὰ καὶ σηπεδόνες καὶ αἰδοίων 2) ἱδρῶα· καὶ σηπεδόνες μὲν αἰδοίων διὰ τὸ ὑγρότερα εἶναι τὰ μόρια καὶ ὑπὸ τῆς θερμότητος ταχὺ σήπεσθαι τὸ ὑγρόν. 3) ἱδρῶα δὲ τουτέστιν ἱδρωτίδες διὰ τὸ τοὺς πολλοὺς ἱδρῶτας τὸ τηνικαῦτα χολωδεστέρους εἶναι· δάκνουσι γὰρ αὐτοὶ τὸ δέρμα καὶ κνησμῶδες ἐργάζονται.

ΔΑΜ. Πυρετοὶ συνεχεῖς καὶ καῦσοι καὶ τριταῖοι γίνονται, τῆς ξανθῆς χολῆς κρατούσης. καὶ γὰρ οὖν καὶ

---

1) ὀφθαλμῶν V. a. D. 2) ἱδρῶτες V. c. 3) E Stephano: ἱδρῶα δέ φησιν, ἃς ἡμεῖς ἱδρωτίδας φαμέν. — τὸ γὰρ ἡλκωμένον δέρμα ἱδρῶα ὁ Ἱπποκράτης εἴρηκεν.

ἔμετοι γινονται, ταυτης ἐπιπολαζούσης, καὶ αἱ διάῤῥοιαι, κάτω χωρούσης, γίνονται, καὶ ὀφθαλμίαι δὲ πολλαὶ τοῦ θέρους, ὡς ἂν τῆς κεφαλῆς πληρουμένης. οὕτω δὲ καὶ ὤτων πόνοι, καὶ τἄλλα δὲ τὰ ὅμοια πάσχει τὸ σῶμα τῷ θέρει διὰ τὴν πλήρωσιν τῆς κεφαλῆς, ἄλλοτε εἰς ἄλλο μέρος ἀποτιθεμένης τὸ περιττόν. τὰ δὲ ἱδρῶα τῶν κατὰ τὴν ἐπιφάνειαν ἐξανθημάτων ἐστὶν ἑλκωδῶς τραχύνοντα τὸ δέρμα, καὶ γίνεται, καθάπερ καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται διὰ τοὺς πολλοὺς ἱδρῶτας, ὅταν χολωδέςεροί πως ἢ ὅλως δακνωδέστεροι τύχωσιν ὄντες.

κβ'. Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τεταρταῖοι, καὶ πλάνητες, καὶ σπλῆνες, καὶ ὕδρωπες, καὶ φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, 1) καὶ δυσεντερίαι, καὶ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοὶ, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά. —

ΘΕΟΦ. Ἀκολούθως καὶ περὶ τοῦ φθινοπώρου διαλέγεται. λέγει γὰρ, τοῦ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλὰ τουτέστι τὰ πολλὰ τῶν θερινῶν νοσημάτων καὶ ἐν τῷ φθινοπώρῳ γίνονται ἐν ταῖς ἀρχαῖς διὰ τὸ ἐπικρατεῖν ἀκμὴν τὸν ξανθοχολικὸν χυμόν. ταῦτα μὲν οὖν εἰσιν ἑτερογενῆ, οἷον τριταῖοι καὶ καῦσοι καὶ τὰ ὅμοια τούτοις. γίνονται δὲ καὶ οἰκεῖα νοσήματα ἐν τῷ φθινοπώρῳ, οἷον τεταρταῖοι καὶ τὰ ἑξῆς· καὶ τεταρταῖοι μὲν διὰ τὸ ἐν τῇ τοιαύτῃ ὥρᾳ πλεονάζειν τὸν μελαγχολικὸν χυμὸν, ἐξ οὗ γίνονται· ἀλλὰ μὴν καὶ πλάνητες, διὰ τὴν ἀνωμαλίαν τοῦ καιροῦ καὶ τῶν χυμῶν, καὶ σπλῆνες διὰ τὸ μελαγχολικὸν περίττωμα· οὗτος γὰρ δοχεῖόν ἐστι τοῦ μελαγχολικοῦ χυμοῦ· καὶ ὕδεροι διὰ τὸν σπλῆνα, ὅτι ὑπόκειται πεπληρωμένος μελαγχολικοῦ χυμοῦ καὶ πεπληρωμένος αὔρας ἐκπέμπει ψυχρὰς τῷ ἥπατι καὶ καταβάλλει τὴν ἐξαιματοποιητικὴν δύναμιν τοῦ ἥπατος καὶ οὐ πέττει καλῶς. ἀπεψίας οὖν γενομένης 2) διὰ τὸ ἧπαρ, ὕδρωπες γίνονται. εἶτα πάλιν φθίσεις τῷ λόγῳ τῆς ἀνωμαλίας, ποτὲ μὲν ψυχροῦ ἀέρος εἰσπνεομένου, ποτὲ δὲ θερμοῦ. τῇ ψύ-

1) καὶ δυσ. om. V. a. c. 2) διὰ τ. ἧπ. om. V. b. C.

ξει οὖν ἐπιτείνει τὸν βῆχα καὶ γίνεται ῥῆξις ἀγγείων καὶ οὕτω φθίσις. καὶ στραγγουρίαι, τῆς κακοχυμίας ἐκεῖσε φερομένης καὶ τῇ δριμύτητι ἀνιώσης καὶ ἐπεγειρούσης πρὸς ἔκκρισιν τὴν ἀποκριτικὴν δύναμιν. λειεντερίαι δὲ ἢ διὰ ἀῤῥωςίαν τῆς καθεκτικῆς δυνάμεως τῆς κοιλίας καὶ τῶν ἐντέρων ἢ δι᾽ ἕλκωσιν ἐπιπολῆ δριμυτέρου χυμοῦ. καὶ ἰσχιάδες τῇ κακοηθείᾳ τῶν χυμῶν καὶ τῇ ψύξει· καὶ κυνάγχαι, χολῆς φερομένης ἐπὶ τοὺς μύας τῆς φάρυγγος. ἀλλὰ τοῦτο ἑτερογενὲς τὸ νόσημα. καὶ ἄσθματα τουτέστι δύσπνοιαι διὰ τὸ τὴν ὕλην ἐπὶ τὰ ἀγγεῖα τοῦ πνεύμονος φέρεσθαι καὶ ἐμφράττειν αὐτά. 1) εἰλεοὶ διὰ τὸ τῷ πάχει τῶν χυμῶν ἐμφράττεσθαι τὴν διέξοδον τῆς τροφῆς ἢ διὰ τὸ φλεγμαίνειν. ἐπιληψίαι διὰ τὴν ἀνωμαλίαν καὶ τὰ μανικὰ καὶ τὰ 2) ἐπιληπτικὰ πάθη διὰ τὸ πλεονάζον αἴτιον. ἀλλ᾽ ἡ μὲν μανία ἀπὸ ξανθοχολικῆς, ἡ δὲ μελαγχολία ἀπὸ μελαίνης γίνεται 3) χολῆς, ἅπερ ἔστι καὶ ἄμφω εὑρεῖν ἐν τῷ φθινοπώρῳ.

ΔΑΜ. Ἐν τῷ φθινοπώρῳ φησὶ καὶ τῶν θερινῶν νοσημάτων γίνεσθαι πολλὰ, μένοντος δηλονότι καὶ τοῦ θερινοῦ χυμοῦ, τῆς ξανθῆς χολῆς. οὐ γὰρ ὥσπερ ἐν τῷ ἦρι τὸ θέρος γινόμενον ἐκκενοῖ τοὺς χυμοὺς, οὕτω καὶ τὸ φθινόπωρον ἐκκενοῖ τοὺς θερινοὺς, ἀλλὰ καὶ τοὐναντίον ἅπαν ἀπὸ τῶν ἐκτὸς μερῶν εἰς τὸ βάθος ἄγει. καὶ μέντοι καὶ τεταρταίους πυρετοὺς ἐν ταύτῃ τῇ ὥρᾳ γίνεσθαί φησιν, ἐπὶ τῇ μελαίνῃ δηλονότι συνισταμένους χολῇ, διττὴν ἐχούσῃ τὴν γένεσιν, ἐκ μὲν τῆς ξανθῆς ὑπεροπτηθείσης τὴν ἑτέραν, ἐκ δὲ τοῦ παχέος αἵματος τὴν ἑτέραν· γίνονται καὶ πλάνητες πυρετοὶ διὰ τὴν ἀνωμαλίαν τῆς κράσεως, σπλῆνες μεγάλοι διὰ τὸ μελαγχολικὸν περίττωμα καὶ ὕδεροι διὰ τὸν σπλῆνα. καὶ εἴ τι φθινῶδες ἀμφίβολον, ἐν φθινοπώρῳ μάλιστα ἐξελέγχεται διὰ τὴν ξηρότητα καὶ ψύξιν καὶ τὴν ἀνωμαλίαν τῆς ὥρας, οὐδὲν δ᾽ ἧττον καὶ διὰ τὴν κακοχυμίαν.

---

1) E Stephano: εἰλεὸς, — δίκην χορδῆς τῶν ἐντέρων ἑλισσομένων. 2) μελαγχολικὰ C. bene. 3) ξανθοχολικοῦ — μέλανος χυμοῦ V. a.

κγ'. Τοῦ δὲ χειμῶνος πλευρίτιδες, περιπνευμονίαι, κόρυζαι, 1) βράγχοι, βῆχες, πόνοι ςηθέων, πλευρέων, ὀσφύος, κεφαλαλγίαι, ἴλιγγοι, καὶ ἀποπληξίαι. —

ΘΕΟΦ. Νῦν καὶ περὶ τοῦ χειμῶνος διαλέγεται. ἀνωτέρω γὰρ τῶν τριῶν ἐμνήσθη καιρῶν. φησὶν οὖν τοῦ δὲ χειμῶνος πλευρίτιδες, περιπνευμονίαι καὶ τὰ ἑξῆς. πλευρίτιδες γίνονται καὶ περιπνευμονίαι καὶ τὰ ἑξῆς ὅμοια τούτοις, διὰ τὸ κρύος βλαπτομένων τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ ἁπλῶς τῶν νευρωδῶν μορίων κἀντεῦθεν ῥευματιζομένων· κόρυζαι δὲ καὶ βράγχοι καὶ βῆχες καὶ ἴλιγγοι διὰ τὸ πλεονάζειν ἐν τῷ χειμῶνι τὸ αἴτιον τὸ ποιοῦν αὐτὰ, ὅπερ ἐστὶ ψυχρὸν καὶ ὑγρὸν φλέγμα. διὰ τί δὲ οὐκ εἶπε, τοῦ δὲ χειμῶνος τὰ πολλὰ τῶν φθινοπωρινῶν ἢ ἔνια, ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἔλεγεν; ὅτι γε ἀπὸ κοινοῦ βουλόμενος ἡμᾶς προσυπακοῦσαί τι τῶν εἰρημένων. καὶ γὰρ τὰ πρῶτα τοῦ χειμῶνος κοινωνεῖ τῷ φθινοπώρῳ.

ΔΑΜ. Πλευρίτιδες καὶ περιπνευμονίαι γίνονται διὰ τὸ κρύος βλαπτομένων τῶν ἀναπνευςικῶν ὀργάνων. ὁμοίως διὰ ταύτην τὴν ψύξιν βῆχες γίνονται καὶ πόνοι πλευρῶν, στηθῶν, καὶ διὰ ταύτην τὴν αἰτίαν ἡ κεφαλὴ βλαπτομένη κορύζας τε καὶ βράγχους καὶ βῆχας ἐργάζεται.

κδ'. κε'. Ἐν δὲ τῇσι ἡλικίῃσι 2) τοιάδε ξυμβαίνει· τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλῶ φλεγμοναὶ, ὤτων ὑγρότητες. πρὸς δὲ τὸ ὀδοντοφυέειν προσάγουσιν, οὔλων ὀδαξισμοὶ, πυρετοὶ, σπασμοὶ, διάῤῥοιαι, καὶ μάλιςα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν 3) παιδίων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι. —

ΘΕΟΦ. Νῦν ἀπὸ ὡρῶν ἐπὶ 4) ἡλικίας μετατρέπεται

1) *βράγχοι* om. V. a. b. c. 2) *τοιαῦτα* D. 3) *παίδων* D. 4) E Stephano: *Ἑπτὰ τυγχάνουσιν ἡλικίαι καθ' Ἱπποκράτην, ἡ νεογενὴς, ἥτις καὶ ὑποτίτθιος λέγεται, ἡ ὀδοντοφυητικὴ, παιδικὴ, ἡβικὴ, ἀκμαστικὴ, παρακμαστικὴ, γεροντική. — — χορίον] ἢ διὰ τὸ εὐχωρήτους εἶναι τὰς φλέβας καὶ ἀρτηρίας, ἢ διὰ τὸ πεπλέχθαι χορδοειδῶς. —*

καὶ λέγει· ἐν δὲ τῇσι ἡλικίῃσι τοιαῦτα συμβαίνει, τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισι ἄφθαι, ἔμετοι, ἀγρυπνίαι καὶ τὰ ἑξῆς. ἄφθαι μὲν διὰ τὴν μαλακότητα τῶν ὀργάνων, μὴ φερόντων τὴν ποιότητα τοῦ γάλακτος. ὀρωδέστερον γὰρ ἔχει καὶ δριμύτερον καὶ τῇ δήξει ἐργάζεται τὰς ἐπιπολῆς ἑλκώσεις ἐν τῷ στόματι· ἔμετοι δὲ, ἐπειδὴ ἄφνω παρὰ τὴν συνήθειαν τὸ γάλα τὰ παιδία δεχόμενα καὶ πολὺ τῷ πλήθει βαρύνεται ὁ στόμαχος καὶ ἀπεπτεῖται τοῦτο, καὶ ἀπεπτούμενον ἐξεμεῖται· βῆχες διὰ τὸ ὑγρὸν τοῦ σώματος· ἀγρυπνίαι δὲ, ἐπειδὴ αἱ ἄφθαι λυποῦσι καὶ οἱ ἔμετοι ἐνοχλοῦσι· φόβοι δὲ δηλονότι μετὰ τῶν ὕπνων, ὅτι ταράττονται πολλάκις ἐν ὕπνοις, ὡς φαντασίαν ὑπομένοντα· τὸ δὲ πάθος στομαχικόν. ὀμφαλῶν φλεγμοναὶ διὰ τὸ τῇ τομῇ μετὰ τὸ τεχθῆναι τὰ βρέφη φλεγμαίνειν. ὤτων ὑγρότητες διὰ τὸ πλεονάζον αὐτοῖς ὑγρόν. ἕως ὧδε περὶ τῆς πρώτης ἡλικίας φησί. μετέρχεται δὲ λοιπὸν καὶ ἐπὶ τὴν δευτέραν λέγων· πρὸς δὲ τὸ ὀδοντοφυεῖν οὔλων ὀδαξισμοὶ καὶ τὰ λοιπά. ὀδαξισμός ἐστιν οἷον κνησμός τις μετὰ βραχείας ἀνίας· γίνεται δὲ τοῦτο, ὅπως σὺν τῷ κνησμῷ διαφορηθῇ τὸ αἴτιον. πυρετοὶ διὰ τὰς φλεγμονὰς τῶν οὔλων. σπασμοὶ διὰ τὴν ἀπειρίαν καὶ διὰ τὴν εὐπάθειαν τοῦ νευρώδους γένους. διάῤῥοιαι διὰ τὸ μὴ καλῶς πέττεσθαι τὴν τροφὴν ὑπὸ τῆς δυσκρασίας τῆς φλεγμονῆς, καὶ μάλισθ᾽ ὅταν ἀνάγωσι τοὺς κυνόδοντας διὰ τὸ 1) τιτρᾶσθαι τότε τὰ οὖλα ὑπὸ τῶν ὀδόντων καὶ ἀνιᾶσθαι. ταῦτα γίνονται καὶ τοῖς παχυτάτοις τῶν παιδίων, καὶ τοῖς σκληρὰς ἔχουσι τὰς κοιλίας σπασμοὶ γίνονται. πληθωρικὰ γὰρ καὶ περιττωματικὰ τὰ τοιαῦτα.

ΔΑΜ. κδ΄. Τοῖς γὰρ νεογενέσι παιδίοις ὑγρόν ἐστιν ὅλον τὸ σῶμα, ὡς καὶ τὴν τῶν ὀστῶν φύσιν αὐτοῖς οἷον

εἶτα ἐν ἑνὶ μὲν στελέχει τὰς φλέβας ἀποτελέσασα, ἐν ἑτέρῳ δ᾽ αὖθις τὰς ἀρτηρίας, οὕτω διὰ τοῦ ὀμφαλοῦ τοῦ ἐμβρύου ταύτας ἐνίησιν — et ita nutritur. Natum ore lac haurit, quod corruptum ἄφθας facit. — οὖλα] — ἐπαναστάσεις περιφερεῖς, ἐν τοῖς φατνώμασι φυόμεναι.

1) τιτρώσκεσθαι V. b. τετρᾶσθαι V. c.

κηρώδη μᾶλλον ὑπάρχειν ἢ λιθώδη· πολὺ δὲ μάλιςα τῶν ἄλλων ἁπάντων μορίων ὁ ἐγκέφαλός ἐστιν ὑγρὸς, ὡς ἂν καὶ τοῖς τελείοις ὑπάρχων τοιοῦτος, ὥστ' εὐλόγως αὐτοῖς, ἐπειδὴ πλῆθός ἐςι τῶν περιττῶν, διὰ πάντων ἐκκρίνεται τῶν πόρων. φόβοι δὲ γίνονται κατὰ τοὺς ὕπνους οὐ μόνον τοῖς νεογενέσιν, ἀλλὰ καὶ τοῖς τελείοις, φόβοι καὶ φαντασίαι φοβεραὶ, ὅταν πολλοί τε ἅμα καὶ μοχθηροὶ χυμοὶ βαρύνωσί τε ἅμα καὶ δάκνωσι τὰ κατὰ τὴν γαστέρα καὶ μάλιστα αὐτῆς τὸ στόμα. τοῦτο γάρ ἐστι τὸ αἰσθητικώτατον. νεωστὶ γὰρ ἐξελθόντα τῆς μήτρας τὰ παιδία ἐκπλήττονται διὰ τὴν εἰς τὸν περιέχοντα ἀέρα μετάστασιν, ὅθεν καὶ φόβοι αὐτοῖς γίνονται. αἱ δὲ τῶν ὀμφαλῶν φλεγμοναὶ τῶν ἀποτετμημένων οὐ πρὸ πολλῶν τοῖς νεογενέσι παιδίοις γίνονται.

ΔΑΜ. κέ. Ὀδαξισμός ἐστι κνησμός τις μετὰ βραχείας τινὸς ἀνίας· τὰ δ' ἄλλα πάντα συμβαίνουσι τοῖς παιδίοις μάλισθ' ὅταν ἀνάγωσι τοὺς κυνόδοντας. εὔλογον δὲ δήπου τῶν οὔλων διατετρημένων ὑπὸ τῶν ἀνιόντων ὀδόντων ταῦτα γενήσεσθαι τὰ συμπτώματα, καθάπερ ὅταν ἐμπεπαρμένος ᾖ σκόλοψ σαρκὶ, καὶ πλέον ἐςὶ κατὰ τοὺς ὀδόντας τῆς ἀνίας τοῦ σκόλοπος. οἱ μὲν γὰρ σκόλοπες ἡσυχάζουσιν ἐστηριγμένοι κατὰ τὸ μόριον, ᾧ κατ' ἀρχὰς ἐνεπάγησαν, οἱ δ' ὀδόντες ἀεὶ προχωροῦσι τοσοῦτον, ὅσον τιτραίνονται. διὰ γοῦν τὰς ὀδύνας πυρέττει τὰ παιδία καὶ ἀγρυπνεῖ καὶ οὐ πέττει τὴν τροφήν. διὰ τοῦτο καὶ διάῤῥοιαι καὶ σπασμοὶ μάλιστα τοῖς παχυτάτοις καὶ σκληρὰς ἔχουσι τὰς κοιλίας. πληθωρικὰ γάρ ἐστι τὰ τοιαῦτα καὶ περιττωματικά.

κϛ'. Πρεσβυτέροισι δὲ γενομένοισι, παρίσθμια, σπονδύλȣ τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες ςρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνος, 1) σατυριασμοὶ, χοιράδες, καὶ τἄλλα φύματα. —

ΘΕΟΦ. 2) Περὶ τῆς τρίτης ἡλικίας διαλέγεται τῆς

1) σατυρισμοὶ D. 2) Codex Ambrosianus Stephani Meletiique (ejusdem cum Stephano) Parisiensis ex hoc inde aphorismo Theophileos commentarios breviores habent. Codex Escorialensis, qui

πρεσβυτέρας τῶν παίδων, ἥτις ἐστὶ μεταξὺ τῆς ὀδοντοφυήσεως καὶ τῆς ἡβικῆς, καὶ διδάσκει ἡμᾶς τὰ συμβαίνοντα ἐν αὐτῇ 1) *πάθη, ἅπερ εἰσὶν, παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες καὶ τὰ ἑξῆς. καὶ παρίσθμια μέν εἰσι φλεγμοναὶ τῶν κατὰ τὸν ἰσθμὸν μορίων. φλεγμαίνουσι δὲ διὰ τὸ ὑποκεῖσθαι ἐπὶ τούτων ὑγρὰν τὴν κεφαλὴν, ἥτις εὐχερῶς ῥευματίζει αὐτὰ τὰ μέρη. τέτων οὖν ῥευματιζομένων, φλεγμαίνουσι. σπονδύλου δὲ τȣ̃ κατὰ τὸ ἰνίον εἴσω ὤσιες γίνονται διὰ τὸ συνέλκεσθαι τοῖς μορίοις τούτοις τὰ νεῦρα καὶ ἐκ τῶν νεύρων τοὺς συνδέσμους καὶ ἐκ τούτων τείνεσθαι τοὺς σπονδύλους. ἄσθματα δὲ διὰ τὸ καταῤῥέον ῥεῦμα ἐπὶ τὰς* 2) *σήραγ-*

Stephani est procul dubio, porro fusiores commentarios complectitur, e quibus multa transscripsi.

1) COD. ESC. *Τὰ διαφόροις ἡλικίαις συγγενῆ νοσήματα — διὰ πέντε τινῶν τούτων διαγινώσκομεν.* 1. *ἀπὸ τῆς κράσεως* v. c. *νεογενῆ φύσει ὑγρὰ* afficiuntur aphthis, insomnia, vomitu etc. 2. *ἀπὸ τῆς ἰδιότητος τῆς τροφῆς* v. c. *ὁ ὄρος τοῦ γάλακτος* facit Aphthas. 3. *ἀπὸ τῆς φυσικῆς ἀνάγκης* v. c. *ὀδαξισμοὶ* et dolores gingivarum. 4. *διὰ τὴν τῆς ἀκολουθίας ἀνάγκην* v. c. ob umbilici sectionem. 5. *ἀπὸ τȣ̃ βίου* v. c. *οἱ ἀκμάζοντες* comedunt multa et quae difficile diguntur indeque morbis incidunt. — Definitio: *ἰσθμὸς τοίνυν ἐστὶν ἡ ἐπιμήκης γῆ καὶ στενὴ ἐν μέσῳ δύο θαλασσῶν οὖσα, πορθμὸς δὲ θάλασσα στενὴ ἐν μέσῳ δύο γεῶν οὖσα. οὕτω καὶ ἐπὶ ἡμῶν ἐστιν ἰδεῖν· ἰσθμὸς τοίνυν ἐστὶν ἡ μεταξὺ οὐσία τοῦ τε οἰσοφάγου καὶ τοῦ λάρυγγος* etc. *παρίσθμια* sunt inflammationes tonsillarum. *οὕτως ȣ̃ν ἐν ἄλλοις τὰ πάθη ἐκ τῶν πεπονθότων τόπων ὀνομάζων· ἐν γὰρ τῇ δευτέρᾳ τῶν ἐπιδημιῶν σπλῆνες γίνονται ἀντὶ τοῦ φλεγμονοῦσιν οἱ σπλῆνες. — — ἕλκουσι τοὺς σπονδύλους τοῦ ἰνίου ἐπὶ τὰ ἔσω, — ὅπερ αὐτὸς ἐν ἄλλοις νεώτερον κυνάγχην ὀνομάζει.* — Loco *ὤσιες ὤφειλεν εἴσω ἕλξιες ἔχειν. — εἰ δὲ ἐπὶ τȣ̀ς ἀδένας τῶν μηρῶν ἢ τῶν μασχαλῶν ἐνεχθῇ ἡ ὕλη, γίνονται αὐτοῖς χοιράδες.* Lac caprinum sine coagulo concrescit, vaccinum autem, natura sua crassius, coagulatur *ἐν τοῖς γαλλάροις.* Ita et calculus infautium *διὰ τὴν ἐπιτηδειότητα τῆς ὕλης.* — Tria genera *τῶν ἑλμίνθων* 1. *στρογγύλαι* in tenuibus. 2. *πλατεῖαι* in crassis. 3. *ἀσκαρίδες* in recto.— *ἀκροχορδόνες γίνονται ἐν τῇ ἐπιφανείᾳ τοῦ δέρματος, εἰσὶ δὲ ἐπαναστάσεις τινὲς, ἔχουσαι ἴσην τὴν βάσιν καὶ τὴν ἔκφυσιν καὶ τὴν κορυφήν. τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι καὶ σατυριασμοί. τȣ̃το τὸ ῥησείδιον οὐκ ἐδεήθη ἐξηγήσεως, ἐπειδὴ τῶν σπανίως εἰσὶ φερόμενα ἔχοντα τῶν ἀντιγράφων. — φύματα* sunt tumores acuti, augmento et decremento celeri. 2) *σύριγγας* V. a.

γας καὶ τὰς κοιλότητας τοῦ πνεύμονος καὶ στενοχωρεῖν τὸ πνεῦμα. ἄσθματα δέ εἰσι πυκναὶ ἀναπνοαὶ, οἷαι συμβαίνουσι τοῖς δραμοῦσιν. λιθιάσεις δὲ διὰ τὴν ἀδδηφαγίαν συναγομένων χυμῶν 1) καὶ διὰ τὸ πλούσιον τοῦ θερμοῦ ἐξατμιζομένων αὐτῶν καὶ ἀπολιθουμένων. ἕλμινθες δὲ καὶ ἀσκαρίδες διὰ τὴν σῆψιν τῆς ὕλης. θερμοὶ γάρ εἰσι καὶ ἐκ τῆς ἀδδηφαγίας περιττωματικοί· ἀσκαρίδες δέ εἰσι λεπταὶ ἕλμινθες. ἀκροχορδόνες δὲ καὶ χοιράδες καὶ τὰ ἄλλα φύματα, ὅτι κακοχύμου πλήθους εἰσὶν ἔγγονα, ὅπερ πλῆθος, ἐῤῥωμένης οὔσης τῆς δυνάμεως, ἀποῤῥίπτεται πρὸς τὴν ἐπιφάνειαν καὶ ποιεῖ ταῦτα τὰ πάθη. φύματα δὲ αὐτὰ καλεῖ ἀπὸ μεταφορᾶς τῶν φυομένων ἐν τῇ γῇ διὰ τὸ ταχέως φύεσθαι καὶ αὔξεσθαι καὶ ἐκπυΐσκεσθαι.

ΔΑΜ. Πρεσβυτέρους ἐνταῦθα τοὺς ἄχρι ιβ' ἢ ιϛ' προιόντας ἔτους. ἰσθμὸν δὲ νοητέον ἐνταῦθα τὸ μεταξὺ τοῦ στόματός τε καὶ τοῦ στομάχου χωρίον ἐκ μεταφορᾶς τῆς μέσον δύο θαλαττῶν οὔσης γῆς. τὰ δὲ δὴ παρίσθμια ταῦτά ποτε μὲν αὐτοῦ τοῦ κοινοῦ τῇ τε γαστρὶ καὶ τῷ στομάχῳ καὶ τῇ φάρυγγι καὶ ὅλῳ τῷ στόματι χιτῶνός εἰσι φλεγμοναὶ, ποτὲ δὲ τῶν ὑποκειμένων αὐτῷ μυῶν. ἄσθματα δὲ γίνονται διὰ τὴν ςενοχωρίαν τῶν ἐν τῷ πνεύμονι κοιλιῶν τοῦ 2) πνεύμονος. ἡ στενοχωρία δὲ αὕτη, πληρουμένου τοῦ σπλάγχνε τῶν ἄνωθεν ῥευμάτων γίνεται· τὰ δὲ ῥεύματα ταῦτα πλείω τοῖς νεογενέσι παιδίοις ἐστί. λιθίασις δὲ τοῖς παιδίοις διὰ τὴν ἀδδηφαγίαν ὠμοὺς χυμοὺς ἀθροίζουσιν, ἐξ ὧν τὸ παχύτερον ἅμα τοῖς οὔροις εἰς τὴν κύστιν ἀφικνούμενον ὕλη τῆς τῶν λίθων ἐστὶ γενέσεως. ἀσκαρίδες δὲ λέγονται αἱ λεπταὶ ἕλμινθες ἐν τῷ κάτω μέρει τοῦ παχέος ἐντέρου γινόμεναι ἐξ ἀπεψίας, αἱ δὲ στρογγύλαι ἕλμινθες γεννῶνται μᾶλλον ἐν τοῖς ἐντέροις τοῖς ἄνω, ὥστε καὶ εἰς αὐτὴν ἐπαναβαίνουσιν ἔστιν ὅτε τὴν γαστέρα. πολὺ δὲ πλείους αὗται τῶν ἀσκαρίδων ἐν τοῖς παισὶ γίνονται· σπανιωτέρα δὲ τῆς πλατείας ἕλμινθος ἡ γένεσις ἐστιν, ἥτις καὶ μακροτάτη γίνεται πα-

1) καὶ — ἀπολιθουμ. om. V. b. C. 2) In mg. πνεύματος.

ῥεκτεινομένη πολλάκις ἅπασι τοῖς ἐντέροις. ἀκροχορδόνες δὴ καὶ χοιράδες φύματά εἰσιν.

κζ΄. Τοῖσι δὲ 1) ἔτι πρεσβυτέροισι, καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες. —

ΘΕΟΦ. Περὶ τῆς τετάρτης νῦν ἡλικίας διαλέγεται τουτέστι τῆς ἡβικῆς. γίνεται δὲ τοῖς ἐν ταύτῃ οὖσι τῇ ἡλικίᾳ καὶ τοῖς πλησιάζουσι τουτέων τὰ πολλὰ τουτέστι τῶν προλαβουσῶν ἡλικιῶν, ἅτινά εἰσιν ἕλμινθες καὶ λιθιάσεις, ἐπειδὴ ἡ αὐτὴ ὕλη ὑπόκειται καὶ ἐνταῦθα, 2) πλὴν παχυτέρα. πλὴν οἱ πυρετοὶ 3) χρόνιοι διὰ τὸ τὴν ὕλην ὑποκεῖσθαι παχεῖαν καὶ διότι αἱ δυνάμεις ἐῤῥωμέναι αἱ ὀφείλουσαι συμπαρομαρτῆσαι τῷ μήκει τοῦ νοσήματος. αἵματος δὲ ἐκ ῥινῶν ῥύσεις τοῖς τηλικούτοις γίνονται, ἐπειδὴ τότε ὁ τοιοῦτος χυμὸς πλεονάζειν ἄρχεται. διὰ τί δὲ πλεονάζει τότε πλέον τῶν προτέρων ἡλικιῶν; ἐπειδὴ νῦν οὐ τοσοῦτον δαπανᾶται ἐν ταῖς αὐξήσεσιν, ὅσον ἐν ἐκείναις. ἡ γὰρ αὔξησις τοῦ σώματος ἧττον ἐν αὐταῖς γίνεται ἤπερ ἐν ἐκείναις.

ΔΑΜ. Μετὰ τὸ ιδ΄ ἔτος ἄρχονται ἡβάσκειν οἱ παῖδες, καὶ οἱ μὲν θερμοὶ πρωϊαίτερον ἡβάσκουσιν, οἱ δὲ ψυχροὶ ὀψιαίτερον. αἵματος δὲ ῥύσεις ἐκ τῶν ῥινῶν γίνονται τοῖς τοιούτοις, ἐπειδὴ πλεονάζειν ἄρχεται κατὰ τὴν ἡλικίαν ἐκείνην ὁ χυμὸς οὗτος, οὐχ ὅτι πλείων γεννᾶται ἢ πρόσθεν, ἀλλ᾽ ὅτι νῦν ἧττον ἀναλίσκεται, διὰ τὸ καὶ τὴν αὔξησιν ὡς πρὸς τὴν ἀναλογίαν τοῦ σώματος ἧττον κατὰ τὴν ἡλικίαν ταύτην γίνεσθαι τῆς ἔμπροσθεν.

κη΄. Τὰ δὲ πλεῖςα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ καὶ πρὸς τὴν ἥβην προσάγεσι. ὅσα δὲ ἂν διαμείνῃ τοῖσι παιδίοισι, 4) καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τῇσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, 5) χρονίζειν εἴωθε. —

---

1) ἔτι om. D. 2) πλ. παχ. om. V. b. C. 3) COD. ESC. ὁ γὰρ Γαληνὸς τὸ μακροχρόνιον καὶ ὀξὺ τῶν νοσημάτων τῇ δυνάμει παραμετρεῖ. 4) πάθη add. D. 5) συγγηράσκειν D.

ΘΕΟΦ. Τὸ παιδίου ὄνομα τὰς προειρημένας τέσσαρας ἡλικίας περιορίζει. τούτων οὖν τῶν παίδων τὰ πλεῖστα πάθη τουτέστι τὰ χρόνια 1) κρίνεται, ὥς φησιν Ἱπποκράτης, τὰ μὲν ἐν μʹ ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ καὶ πρὸς τὴν ἥβην προσάγουσιν. Ἰστέον δὲ ὅτι αἱ κρίσεις τῶν νοσημάτων ἀπὸ τῆς πρώτης ἡμέρας μέχρι τῆς εἰκάδος τετραδικῶς ἀριθμοῦνται, ποτὲ μὲν κατὰ διέχειαν, ποτὲ δὲ κατὰ συνέχειαν, ἀπὸ δὲ τῆς εἰκάδος μέχρι τῆς τεσσαρακοστῆς ἑβδομαδικῶς κατὰ τὸν αὐτὸν τρόπον· ὅσα δὲ τὸν ἀριθμὸν τοῦτον ὑπερβῇ, κατὰ τὸν τῆς ἑβδομάδος λόγον ἴσχει τὴν κρίσιν οὐκέτι ἡμερῶν ἑπτὰ, ἀλλὰ μηνῶν, εἶθ᾽ ἑξῆς ἐτῶν. ἐν τεσσαράκοντα μὲν οὖν ἡμέραις κρίνονται ἤτοι λύονται, ἐπειδὴ ἡ τεσσαρακοστὴ κρίσιμός ἐστι τῶν χρονίων νόσων, ἔσχατος δὲ ὅρος τῶν ἐκ μεταπτώσεως ὀξέων· εἰ δὲ ταύτην ὑπερβῶσιν, ἐν ἑπτὰ μησὶν ἢ ἔτεσιν ἢ καὶ πρὸς τὴν ἥβην ἐπειγόμενα λύεται, ἐπειδὴ τότε μεγάλη ἐστὶν ἡ μεταβολὴ τῆς θερμότητος καὶ τῆς ἡλικίας, ἥτις θερμότης χύσιν καὶ ἀφανισμὸν τῶν νοσοποιῶν αἰτίων ποιεῖται· ἐπὶ δὲ τῶν θηλειῶν καὶ διὰ τὰς τῶν καταμηνίων ῥήξεις. Ἰστέον δὲ ὅτι πᾶσα μεταβολὴ ἡλικίας τρέφει τὸ σῶμα ἀνεπαισθήτως, ἡ δὲ τῆς ἥβης φανερῶς. ὅσα δὲ μὴ λυθῇ περὶ τὸ ἡβάσκειν ἢ ταῖς θηλείαις περὶ ταῖς τῶν καταμηνίων ῥήξεσιν, ὥς φησιν Ἱπποκράτης, χρονίζειν εἴωθε, καὶ εἰκότως. ὃ γὰρ ἡ φύσις οὐκ ἴσχυσε ποιῆσαι καὶ ἀπαλλάξαι αὐτοὺς τῶν παθῶν, πολλῷ μᾶλλον οὐδὲ ἡ τέχνη ποιήσει, κἂν βοηθήμασι χρήσηται.

ΔΑΜ. Τῶν μὲν οὖν ἡμερῶν ἡ τεσσαρακοστὴ πρώτη μὲν τῶν χρονιζόντων ἐστὶ κρίσιμος, ἐσχάτη δὲ τῶν ἐκ με-

---

1) COD. ESC.: *ἐπειδὴ γὰρ πολλὰ πάθη ἐξετραγῴδησεν, — λύσεως δὲ τούτων τῶν παθῶν οὐκ ἐμνημόνευσεν, ἐνταῦθα οὖν τοῦτο αὐτὸ ἐπραγματεύσατο.* Quaestio: 1. Quomodo in chronicis morbis Hippocrates dixit *κρίνεται*? Debebat dicere *λύεσθαι ἢ ἀπαλλάττεσθαι.* At *λέγομεν ὅτι κατεχρήσατο τῇ φωνῇ καὶ εἶπε κρίνεσθαι περὶ τὰ πράγματα ἐπειγόμενος. — — σκόπει δὲ πῶς ψυχοφελεῖς εἰσιν αἱ φράσεις καὶ αἱ λέξεις τοῦ Ἱπποκράτους. εἶπε γὰρ καὶ μη ἀπολυθῇ, ὡς οἱ ἐν δεσμοῖς κρατούμενοι.*

ταπτώσεως ὀξέων. ὅσα δὲ τὸν ἀριθμὸν τοῦτον ὑπερβαίνει, κατὰ τὸν τῆς ἑβδόμης λόγον ἴσχει τὴν κρίσιν, οὐκέτι ἡμερῶν ἑπτὰ συναριθμουμένων, ἀλλὰ πρότερον μὲν μηνῶν, εἶτα ἑξῆς ἐτῶν.

κθ'. Τοῖσι δὲ νεανίσκοισι αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἄλλα νουσήματα, μάλιστα δὲ τὰ προειρημένα. —

ΘΕΟΦ. Τὴν τῶν μειρακίων ἡλικίαν καταλιπὼν ὡς δυναμένην τοῖς τοιούτοις νοσήμασι παραλαμβάνεσθαι ταῖς περιεχούσαις αὐτὴν ἡλικίαις, ἡβικὴν λέγω καὶ ἀκμαστικὴν, περὶ τῶν ἀκμαζόντων διαλέγεται καί φησι· τοῖσι δὲ νεανίσκοισι αἵματος πτύσιες, φθίσιες καὶ τὰ ἑξῆς. καὶ αἵματος μὲν πτύσιες, διὰ τὴν ῥῆξιν τῶν ἀγγείων, ἃ ῥήγνυται τούτοις καὶ ἀπὸ προηγησαμένης καὶ ἔτι οὔσης κράσεως. ἔτι γὰρ ἔχουσι καὶ αὐτοὶ αἷμα πολὺ, ὃ διατεῖνον τῷ πλήθει ῥήγνυσιν, 1) ἔπειτα δὲ καὶ τῇ διαβρώσει τῆς ξανθῆς χολῆς τῆς πλεοναζέσης αὐτοῖς ἢ διὰ τὰ ἐπιτηδεύματα αὐτῶν. φθίσις δὲ διὰ τὴν τοῦ αἵματος πτύσιν. πυρετοὶ δὲ ὀξέες διὰ τὴν σῆψιν τῆς πλεοναζούσης αὐτοῖς χολῆς. 2) ἐπιληψίαι δὲ, οὐ διὰ τὴν κράσιν τῆς ἡλικίας, ἀλλὰ τὴν ἐν τῇ διαίτῃ πλημμέλειαν ἢ διὰ τὴν χολήν. γίνεται γὰρ καὶ ἀπὸ ξανθῆς χολῆς ἐπιληψία, καθὼς καὶ ἐν τῇ διαγνωστικῇ εἴρηται, δακνομένου τοῦ στομάχου καὶ κραδαινομένων τῶν 3) νεύρων καὶ τῆς ἀρχῆς αὐτῶν. γίνεται δὲ αὐτοῖς καὶ τὰ ἄλλα νοσήματα τουτέστιν ὅσα τῆς ξανθῆς χολῆς εἰσιν ἔκγονα, οἷον πλευρίτιδες, φρενί-

---

1) *αὐτά. ἢ διὰ βίαια ἐπιτηδεύματα. τούτοις δὲ τοῖς ἀγγείοις καὶ διάβρωσις γίνεται ὑπὸ* etc. **V. b.** 2) **COD. ESC.** Quomodo epilepsia *τοῖς ἀκμάζουσι γίνεται, εἴ γε αἱ ἐπιληψίαι ἐπὶ ψυχρᾷ ὕλῃ γίνονται;* 1. Ratio *ἐπιπόλαιος*. se esse fortes rati se implent frigidis cibis et inde phlegmate, quod cerebrum petens illud opprimit. 2. ratio *βαθυτέρα καὶ φυσικωτέρα.* Epilepsia a phlegmate *κατὰ τὸ πολὺ*, multoties vero a bile originem ducit. Bilis tamen *τῶν ἀκμαζόντων ἐστίν.* — Hippocrates *παρεσιώπησε τὴν ἡλικίαν μειρακιώδη*, quia est inter *ἡβικὴν* et *ἀκμαστικὴν* et harum aetatum morbos communes habet. Inde tamen dixit *τοῖσι νεηνίσκοισι* i. e. usus verbo amplioris significatus. 3) *ἀγγείων*, V. b. C.

τιδες καὶ μάλιστα τὰ προειρημένα. ποῖα; ὅσα αὐτὸς ἀπηριθμήσατο πάθη, τυχὸν αἵματος πτύσιν, φθίσιν, πυρετὸς καὶ ἐπιληψίας.

ΔΑΜ. Πυρετούς φησι τοὺς τριταίους καὶ καύσους· οὗτοι γὰρ χολωδέστατοι τῶν πυρετῶν ἁπάντων εἰσί. καὶ πλεῖζοι τοῖς νεανίσκοις γίνονται, διότι καὶ ἡ ξανθὴ χολὴ πλεονάζει κατὰ ταύτην τὴν ἡλικίαν, ὑφ' ἧς τοιαῦται νόσοι τοῖς ἀκμάζουσι γίνονται. φθίσεις δὲ καὶ πτύσεις αἵματος οὐ κατὰ τὴν φύσιν τῆς ἡλικίας γίνονται, ἀλλὰ κατά τι τῶν συμβεβηκότων αὐτῇ ἢ διὰ ψύξιν ἢ χαμευνίαν ἢ πλησμονὴν ἢ κραυγὴν σφοδρὰν ἢ δι' ἄλλο τι συμβεβηκός.

λ'. Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες. —

ΘΕΟΦ. Περὶ τῆς ἀκμαστικῆς ἡλικίας διαλεξάμενος ὁ Ἱπποκράτης νῦν ἐπὶ τὴν παρακμαστικὴν ἡλικίαν ἥκει καὶ λέγει ἐν αὐτῇ γίνεσθαι νοσήματα, πλευρίτιδας, περιπνευμονίας καὶ τὰ ἑξῆς. καὶ εἰκότως. ἔοικε γὰρ αὕτη ἡ ἡλικία τῷ φθινοπώρῳ· ὥσπερ γὰρ ἐν ἐκείνῳ πλεονάζει ὁ μελαγχολικὸς χυμὸς μᾶλλον, ἧττον δὲ ὁ φλεγματικὸς, φυλάττεται δέ τι καὶ ἐκ τοῦ θέρους, πλεονάσαντος τοῦ ξανθοχολικοῦ χυμοῦ, οὕτω καὶ ἐνταῦθα πλεονάζει μὲν ὁ μελαγχολικὸς μᾶλλον, ἧττον δὲ ὁ φλεγματικὸς, φυλάττεται δέ τι καὶ τὸ ἐν τοῖς ἀκμάσασι πλεονάσαν χολῶδες. γενήσονται οὖν νοσήματα ἐν ταύτῃ τῇ ἡλικίᾳ, ὥς φησιν Ἱπποκράτης, διὰ μὲν τὴν ξανθὴν χολὴν καῦσοι, χολέραι, πλευρίτιδες, φρενίτιδες, 1) διὰ δὲ τὸν μελαγχολικὸν χυμὸν καὶ τεταρταῖοι, διὰ δὲ τὸ φλέγμα περιπνευμονίαι, διάῤῥοιαι, ἄσθματα καὶ τὰ λοιπά. καὶ ταῦτα μὲν τὰ πάθη ὅπως γίνονται, ἐν τοῖς ἔμπροσθεν εἴρηται. λείπεται οὖν 2) περὶ αἱμοῤῥοΐδων εἰπεῖν· γίνεται δὲ αὐτοῖς αἱμοῤῥοῒς, τῆς ὕλης ἐπὶ τὰ κάτω φερομένης, καὶ τὰ περὶ τὴν

1) διὰ — τεταρταῖοι om. V. a. 2) COD. ESC. Haemorrhoides fiunt ὡς ἔπαινος; materiam enim morbosam educunt.

ἕδραν ἀναστομούσης, ἣ καὶ ἐπ' ὠφελείᾳ γίνεται τῶν παρακμαζόντων. Ἰστέον δὲ ὅτι ἡ ἀκμαστικὴ ἡλικία τῷ τριακοστῷ πέμπτῳ ἔτει περιγράφεται, ἡ δὲ παρακμαστικὴ τῷ 1) τεσσαρακοστῷ ἐννάτῳ.

ΔΑΜ. Κατὰ ταύτην τὴν παρακμαστικὴν ἡλικίαν οἰκεῖον προσθεῖναι τὰ μελαγχολικὰ πάθη, ὧν καὶ ἡ μελαγχολία, καὶ οἱ τεταρταῖοι. καὶ ἐν τοῖς παρακμάζουσι γίνονται μᾶλλον ἄσθματα καὶ πλευρίτιδες καὶ περιπνευμονίαι. φρενίτιδες δὲ καὶ καῦσοι καὶ χολέραι καὶ δυσεντερίαι τοῖς νεανίσκοις μᾶλλον διὰ τὸ πλεονάζειν αὐτοῖς τὴν ξανθὴν χολήν. αἱ διάῤῥοιαι δὲ τούτοις χρόνιαι γίνονται διὰ τὸ τῆς ἀναδόσεως ἐλλιπές. λήθαργοι δὲ γίνονται πλεονασμῷ φλέγματος· λειεντερίαι ἢ διὰ φλέγμα ἢ διὰ δυσκρασίαν, ἀσθενησάσης τῆς καθεκτικῆς δυνάμεως τῆς γαστρός. αἱ δ' αἱμοῤῥοΐδες γίνονται ὑπὸ μελαίνης χολῆς, ἐπειδὰν εἰς τὰς κατὰ τὴν ἕδραν φλέβας ἀθροώτερον αὕτη κατασκήψῃ.

λα'. Τοῖσι δὲ 2) πρεσβύτῃσι, δύσπνοιαι, κατάῤῥοοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, 3) ξυσμοὶ τοῦ σώματος ὅλε, ἀγρυπνίαι, κοιλίης, ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, καὶ βαρυηκοΐαι. —

ΘΕΟΦ. Περὶ τῆς ἐσχάτης ἡλικίας ὁ λόγος, ἥτις ἐστὶν ἡ τῶν πρεσβυτέρων καὶ γίνεσθαι λέγει νοσήματα ἐν ταύτῃ δυσπνοίας, κατάῤῥους βηχώδεις, στραγγουρίας καὶ τὰ ἑξῆς· δυσπνοίας μὲν διὰ τὸ καταῤῥέειν εἰς τὸν θώρακα τὸν πλεονάζοντα ἐν αὐτοῖς φλεγματικὸν χυμὸν καὶ δι' ἀσθένειαν τῶν μορίων· κατάῤῥοι δὲ βηχώδεις τουτέςι χρόνιοι· διὰ γὰρ τοῦ βηχώδεες ἠνίξατο τὸ χρόνιοι· διὰ τὰς αὐτὰς αἰτίας. ἀλλὰ μὴν καὶ στραγγουρίαι καὶ δυσουρίαι δι' ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως τῆς κύστεως καὶ διὰ φλέγμα ἐμφράττον τὸν πόρον. ἀλλὰ μὴν καὶ ἄρθρων πόνοι διὰ τὸ δυσκίνητα γίνεσθαι τὰ ἄρθρα, πολλάκις ψυχομένων τῶν νευρωδῶν μορίων· καὶ νεφρίτιδες,

---

1) triginta novem C. 2) πρεσβυτέροισι V. b. c. D. 3) κνησμοὶ V. a. c.

ὅπερ δηλοῖ ἢ πόνον νεφρῶν ἢ λιθίασιν. γίνεται δὲ τὸ μὲν δι' ἔμφραξιν τοῦ νεφροῦ ἀπὸ παχέος χυμοῦ, ἡ δὲ λιθίασις διὰ τὸ πάνυ εἶναι ὠμὸν τὸν χυμὸν καὶ παχύν· γίνονται δὲ καὶ ἴλιγγοι, τουτέστι πλημμελεῖς κινήσεις περὶ τὴν κεφαλὴν διὰ πνεῦμα, ὅπερ ἢ κατὰ τὸν ἐγκέφαλον γεννᾶται ἢ κατὰ τὴν γαστέρα κἀκεῖθεν ἄγεται. καὶ μὴν καὶ ἀποπληξίαι διὰ τὸ πληροῦσθαι τὸν ἐγκέφαλον φλεγματικῶν περιττωμάτων· καὶ καχεξίαι διὰ τὸ τῷ λόγῳ τροφῆς φερόμενον ἐν τῷ παντὶ σώματι ἀπεπτεῖσθαι τῇ ἀσθενείᾳ τῆς δυνάμεως. καχεξία δέ ἐστιν ἡ ἀτροφία τοῦ σώματος· διὸ καὶ ῥυτιδοῦνται καὶ κακοχροοῦσι. πάλιν δὲ κνησμοὶ ὅλου τοῦ σώματος γίνονται διὰ τὸ σήπεσθαι τὸ φλέγμα ἐν αὐτοῖς καὶ ἁλμυρώτερον φέρεσθαι πρὸς τὴν ἐπιφάνειαν τοῦ σώματος. διὰ τὴν αὐτὴν δὲ αἰτίαν καὶ ψῶραι καὶ λέπραι καὶ ἀλφοί. ἀγρυπνίαι δὲ αὐτοῖς γίνονται διὰ τὸ φροντιστικὸν καὶ διὰ τὴν τοῦ σώματος ξήρανσιν. κοιλίης καὶ ὀφθαλμῶν καὶ 1) ῥινῶν ὑγρότητες, τὸ μὲν τῷ λόγῳ τῆς ἀπεψίας καὶ τῷ μὴ ἀνάδοσιν γίνεσθαι πολλὴν, τὸ δὲ διὰ τὰ περιττὰ τοῦ ἐγκεφάλου. ἀμβλυωπίαι δὲ καὶ βαρυκοΐαι διὰ τὴν τῆς αἰσθητικῆς δυνάμεως ἀμαύρωσιν· γλαυκώσεις δὲ, ὅπερ ἐστὶν εἶδος ὑποχύματος, διὰ τὴν ἀσθένειαν τῶν ὀφθαλμῶν.

ΔΑΜ. Δύσπνοιαι καὶ κατάῤῥοι διὰ τὸ ῥαδίως ψύχεσθαι τὴν κεφαλὴν καὶ διὰ τὸ γεννᾶσθαι αὐτοῖς τὸ φλέγμα, στραγγουρίαι καὶ δυσουρίαι, διὰ τὸ παχὺ τοῦ χυμοῦ ἐμφραττομένων τῶν νεφρῶν, καὶ τῇ γλισχρότητι ἀπογεουμένων καὶ λιθίασιν ἐμποιούντων. ἄρθρων πόνοι ἢ διὰ συῤῥοὴν περιττῶν ἢ τῇ ψύξει τῶν νεύρων· ἴλιγγοι δι' ἀναθυμίασιν ἀτονούσης γαστρὸς ἢ διὰ κίνησιν ἀτμώδους πνεύματος ἐν τῇ κεφαλῇ. ξυσμοὶ ἤτοι κνησμοὶ, δυσχερῶς διαπνεομένου τοῦ ποιοῦντος χυμοῦ. ἀγρυπνίαι διὰ ξηρότητα· κοιλίας, ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες διὰ τὰ τοῦ ἐγκεφάλου περιττώματα ἐν τούτοις συῤῥέοντα καὶ τῇ γαστρί· ἀμβλυωπίαι διὰ τὴν τῆς αἰσθητικῆς δυνάμεως ἀμαύρωσιν· γλαυκώσεις διὰ τὴν τῶν ὀργάνων

---

1) aurium C.

ἄμετρον ξηρότητα· βαρυηκοΐαι διὰ τὴν ἀμαύρωσιν τῆς δυνάμεως.

Ἀρχὴ τοῦ τετάρτου τμήματος.

α΄. Τὰς κυέσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· 1) ἧσσον δὲ ταύτας· τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι. —

ΘΕΟΦ. 2) *Ἐνταῦθα περὶ καθάρσεως διαλέγεται τῶν ἐγκυμονουσῶν γυναικῶν καὶ διδάσκει πότε δεῖ καθαίρειν αὐτὰς φάσκων οὕτως· τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ τετράμηνα ἄχρι ἑπτὰ μηνῶν. φαρμακεύειν ἐστὶ τὸ καθαί-*

---

1) *ἧσ. δὲ τ.* om. D. 2) COD. ESC. *Σὺν θεῷ ἀπαρχόμενος τοῦ τετάρτου τμήματος ὁ Ἱπποκράτης περὶ καθάρσεως ἡμῖν διαλέγεται.* — Quamvis multa pericula *φαρμακείας* in muliere gravida noverit Hippocrates, *κάλλιον ἡγήσατο τὰς μητέρας διασωθῆναι διὰ τὴν παλιγγενεσίαν* (quia mater superstes plures adhuc parere potest infantes.) — Breviter totam evolutionis historiam peragit; *ἐν τῇ συνουσίᾳ ἀκοντίζεται τὸ σπέρμα τοῦ ἄῤῥενος εἰς τοὺς κόλπους τῆς μήτρας καὶ διὰ τοῦτο καὶ μακρὸν γέγονε τὸ αἰδοῖον, ἵνα εἰς αὐτὸν τὸν τράχηλον καὶ εἰς ἐκείνους πλησιάσῃ τοὺς τόπους, τουτέστι εἰς τὸ κύτος τῆς μήτρας. διὰ τοῦτο καὶ ἐντείνεται τὸ αἰδοῖον ἐν τῇ συνουσίᾳ, ἵνα ὡς ἀπὸ βαλλίστρας τινὸς καὶ τόξου πεμφθῇ καὶ ἀκοντισθῇ τὸ σπέρμα.* — miscetur semini muliebri et formatio fit; antea vero vasa fiunt, unde foetus nutriatur, venae et arteriae. — *οὕτω γοῦν καὶ οἱ ἄριστοι τῶν γεωργῶν πρὸ τῆς καταβολῆς τῆς ἐν τῇ γῇ τοῦ σπέρματος πρότερον ἐπιτηδεύουσι ῥύακάς τινας καὶ ὀχετοὺς καὶ αὔλακας, ἵνα ἔχωσι πόθεν ἀρδεύειν αὐτὰ τὰ μέλλοντα φύεσθαι* etc. Vasa chorion, quod vocant, efficiunt eademque vasa *συναναστομώσεσι* cohaerent cum vasis matricis. Quas cohaesiones subtilissimas ne motus rumpat sanguisque effundatur, *ἐμηχανήσατο ἡ φύσις ὑμένας τινὰς καὶ ἐπέθηκε ταῖς συναναστομώσεσιν.* — — *οὕτω οὖν οἱ ὑδραγωγοὶ ποιοῦσιν· τοὺς γὰρ σωλῆνας κατασφαλίζουσι καὶ ἐμμοτοῦσιν αὐτοὺς ἐλαιοκονίᾳ ἢ κηρομαρμάρῳ καὶ τοῖς τοιούτοις, ἵνα μὴ ἀπολῆται τὸ ὕδωρ,* — — *οὕς τινας ὑμένας οἱ ἀνατομικοὶ κοτυληδόνας ὀνομάζουσιν,* — — *καὶ μετὰ ταῦτα τυχὸν μετὰ τὸ ἀποθησαυρίσαι τὴν τροφὴν τοῦ μέλλοντος δημιουργεῖσθαι ἐμβρύου ἄρχεται ἡ φύσις τῆς δημιουργίας τοῦ ἐμβρύου ὡς ἐν τῷ περὶ παιδίου φύσεως εἴρηται.* — *ὀργᾷ τετράμηνα] τοῦτο τὸ χωρίον σολοικοφανές ἐστι τὸ εἰπεῖν αὐτὸν τετράμηνα. ὤφειλε γὰρ εἰπεῖν τετραμήνων τῶν βρεφῶν δεῖ καθαίρειν αὐτὰ, δῆλον διὰ μέσου τῶν μητέρων.*

ρειν, οργᾶν δὲ τὸ κινεῖσθαι. ἐὰν οὖν ὀργᾷ ἡ ὕλη, ἐπὶ τούτων δεῖ καθαίρειν, μήπως ἀπὸ ἀκύρων μορίων ἐπὶ κύρια συῤῥεύσῃ ἡ ὕλη καὶ μέγα κακὸν ἀπεργάσηται. ὀλίγον δὲ τουτέστι μὴ πρὸς ἀναλογίαν τῆς ὕλης διὰ τὸ ἀσθενὲς τὸ ἀπὸ τῆς κυήσεως. Ἵνα δέ τις μὴ ἁπλῶς καὶ ὡς ἔτυχε χρήσηται τῇ καθάρσει ἐπὶ τῶν τοιούτων, προσέθηκε τὸ τετράμηνα. τὸ τηνικαῦτα γὰρ ἀκριβῶς συνέχεται τῇ μήτρᾳ τὸ 1) ἔμβρυον, ὥστε καὶ κινήσεων σφοδροτέρων ἀνέχεσθαι τὴν κύουσαν, τοῦ ἐμβρύου μηδὲν ἀδικουμένου. ἐν μέντοι τοῖς πρώτοις καὶ τελευταίοις μησὶν οὐ δεῖ καθαίρειν, καθὼς Ἱπποκράτης φησίν· τὰ δὲ νήπια καὶ τὰ πρεσβύτερα εὐλαβέεσθαι χρὴ, ἐν μὲν τοῖς πρώτοις διὰ τὴν ἀσθένειαν τῶν ἀρτημάτων καὶ τῶν συνδέσμων καὶ διὰ τὸ ἀστήρικτον τοῦ ἐμβρύου, ἐν τοῖς τελευταίοις δὲ διὰ τὴν ἀσθένειαν τῶν δυνάμεων καὶ τὸ βάρος τοῦ κυοφορεμένου. Ἰστέον δὲ ὅτι νήπια καλεῖ τὰ ἀπὸ τοῦ πρώτου μηνὸς ἕως τετάρτου, μέσα δὲ τὰ ἀπὸ τετάρτου ἕως ἑβδόμου, πρεσβύτερα δὲ τὰ ἀπὸ ἑβδόμου ἕως ἐννάτου.

*ΔΑΜ. Ἀνάλογον τοῖς τῶν φυτῶν καρποῖς ταῖς μήτραις ἔχεται τὰ ἔμβρυα· καὶ γὰρ οἱ καρποὶ καταρχὰς ἀσθενέσι λαβαῖς τοῖς δένδροις ἔχονται. ὡσαύτως καὶ τελειωθέντες μόνοι ἀποπίπτουσι βίας χωρίς· κατὰ δὲ τὸν μέσον καιρὸν ἀσφαλῶς ἔχονται. οὕτω γοῦν καὶ τὰ ἔμβρυα κατανοήσας ὁ Ἱπποκράτης διοικεῖσθαι κατὰ τὸν μέσον καιρὸν, ὅς ἐστιν ἐκ τοῦ δ΄ μηνὸς ἕως τοῦ ζ΄, ἡνίκα ἀκριβῶς τῇ μήτρᾳ συνέχεται τὸ κυούμενον, φησὶ φαρμακεύειν. 2) * εἰ δ᾽ οὕτω πάσαις, ὅσαι καθαίρεσθαι δέονται, ἀλλ᾽ ἢν ὀργᾷ τὸ πάθος ἤως ἐπείγηται, ὥστε τοὺς καθ᾽ ἕν τι μόριον ἐστηριγμένους οὐ χρὴ κινεῖν, ὥς που φησὶν αὐτός.*

β΄. Ἐν τῇσι φαρμακίῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκοῖα καὶ αὐτόματα ἰόντα χρήσιμα· τὰ δὲ ἐναντίως ἰόντα παύειν. —

ΘΕΟΦ. Τὸν καιρὸν παραδοὺς τῆς 3) καθάρσεως

---

1) *κυούμενον* V. b. c. 2) Vitium latet. Fort. *μηδὲ οὕτω πάσας* etc. 3) COD. ESC. *ἡ κένωσις ἢ καθολική ἐστιν ἢ μερική. — καθολικὴ — ἡ διὰ φλεβοτομίας καὶ ἡ διὰ καθάρσεως, καὶ ἡ δι᾽ αἱμοῤῥοΐ-*

ἐπὶ τῶν ἐγκυμονουσῶν γυναικῶν, νῦν καὶ ποῖον χυμὸν ὀφείλεσι καθαίρεσθαι παραδίδωσι. φησὶν οὖν ὅτι ἐν τῇσι φαρμακίῃσι τοιαῦτα ἄγειν καὶ τὰ ἑξῆς. ἡ φύσις ἡνίκα κατακρατήσῃ, κένωσιν ἐργάζεται τοῦ λυποῦντος χυμοῦ, προπέψασα αὐτόν. εἰ δὲ παρὰ φύσιν ἐστὶ διάθεσις, οὐ πάντως ὁ 1) λυπῶν χυμὸς ἐκκενοῦται, ὅθεν ἐκεῖ μὲν εὐφοροῦσιν, ἐνταῦθα δὲ δυσφοροῦσι. λοιπὸν οὖν ὅσα, κατακρατούσης τῆς φύσεως, ἐκκρίνεται, χρήσιμά τέ εἰσι καὶ αὐτόματα καλοῦνται, χρήσιμα μὲν, ὅτι ἐκκενοῦται τὸ περιττὸν, αὐτόματα δὲ, ὅτι χωρὶς τοῦ πρᾶξαί τι τὸν ἰατρὸν ἐκκρίνονται. ὅσα δὲ, παρὰ φύσιν αὐτῆς διακειμένης, ἐκκρίνονται, 2) αὐτόματα μέν εἰσιν, οὐ χρήσιμα δέ. δεῖ οὖν τὸν ἰατρὸν μιμεῖσθαι τὴν φύσιν καὶ καθαίρειν ἐκεῖνα τὰ τὸ σῶμα λυποῦντα καὶ 3) ἐνοχλοῦντα.

ΔΑΜ. Συμβουλεύει μιμεῖσθαι τὴν φύσιν καὶ ἄγειν ἐκεῖνα, ἃ καὶ ἡ φύσις αὐτομάτως ἐκ τοῦ σώματος κενοῖ.

γ'. Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δὲ ἐναντία, δυσχερῶς. —

ΘΕΟΦ. Κατὰ τάξιν καὶ οὗτος ὁ ἀφορισμός. ἐν τῷ πρὸ τοῦδε γὰρ τὴν κένωσιν ἔλεγε γίνεσθαι ἢ φυσικῶς ἢ

δων γινομένη κένωσις, ἥντινα ἀσκληπιασμὸν (idem vocabulum in Theophili libro περὶ διαχωρημάτων p. 260.) καλοῦσιν· καθολικὴ λέγεται κένωσις καὶ ἡ τοῦ γυναικείου ῥοῦ, καὶ ἐμμήνων κάθαρσις· μερικαὶ αἱ διὰ τοῦ κλυστῆρος, ἡ διὰ ἀποζεμάτων, (ad κυρτὰ hepatis sola spectat) ὁ ἀποφλεγματισμὸς, ἡ διὰ πτυέλων, ἐμέτου. Omnis depletio universalis fit φυσικῶς ἢ τεχνικῶς ἢ βίᾳ συμπτώματος ἢ νοσήματος.

1) θλίβων V. c. 2) μᾶλλον βλάπτει· διὰ τοῦτο χρὴ παύειν τὴν τοιαύτην παρὰ λόγον κένωσιν. V. b. A. b. Cord. om. reliqua desiderantur. 3) τὰ μέντοι ἐναντίως ἰόντα παύειν, ὡς μὴ ὠφελοῦντα, ἀλλ' ἔτι καὶ βλάπτοντα. εἰ δέ τις εἴποι καὶ πόθεν ἔχω γνῶναι ποῖος χυμός ἐστιν ὁ πλεονάζων, λέγομεν ἐκ τῆς χροιᾶς τοῦ πάθους, εἰ ξανθὸς ὡς ἐπὶ ἰκτέρων καὶ ἐξανθημάτων· τῆς αὐτῆς γὰρ χροιᾶς καὶ ὁ χυμός. ἐκ νοσημάτων πάλιν, εἰ τριταῖος ἢ ἐρυσίπελάς ἐστι. ταῦτα γὰρ ξανθὴν χολὴν πλεονεκτοῦσαν σημαίνουσι. ἐκ τῆς κράσεως δὲ θερμὴ καὶ ξηρά ἐστιν. χολὴ γὰρ δηλοῦται ἐν αὐτῇ πλεονάζειν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν χυμῶν. ἐκ τούτων ἐστὶ γνῶναι τὸ πλεονάζον αἴτιον. καὶ εἰ αὐτομάτως ἢ ὑπὸ τοῦ ἰατροῦ κατὰ λόγον γένηται ἡ κένωσις, εὐφορία ἕπεται, εἰ δ' ἄλλως, δυσφορία. λοιπὸν συμβουλεύει ὁ Ἱππο-

τεχνικῶς ἢ βίᾳ συμπτώματος. καὶ διὰ μὲν τοῦ εἰπεῖν ἐν τῇσι φαρμακίῃσι τὴν τεχνικὴν ἐδήλωσε κένωσιν, διὰ δὲ τοῦ αὐτομάτως τὴν φυσικὴν, διὰ δὲ τοῦ ἐναντίως τὴν λόγῳ συμπτώματος. ἐνταῦθα δὲ τῶν τοιούτων κενώσεων παραδίδωσι τὴν σημείωσιν, τῶν μὲν τὴν εὐφορίαν, τῶν δὲ τὴν 1) δυσφορίαν.

δ'. Φαρμακεύειν θέρος μὲν 2) [μᾶλλον] τὰς ἄνω κοιλίας, χειμῶνος δὲ τὰς κάτω. —

ΘΕΟΦ. 3) Τὰς ἄνω κοιλίας δηλονότι θέρους φαρμακεύειν χρὴ, διότι ἐν τῷ θέρει γεννᾶται ἡ χολὴ καὶ ὡς λεπτὴ καὶ κέφη ἐπιπολαίως φέρεται καὶ ἐν τοῖς ἄνω μέρεσι. διὰ τοῦτο οὖν ἄνω, ἐπειδὴ καὶ ἄνω ἐςὶν ἡ χολή· χειμῶνος δὲ, τὰς κάτω διὰ το τηνικαῦτα πλεονάζειν τὸ φλέγμα, ὅπερ βαρὺ ὂν κάτω βρίθει καὶ διὰ τἒτο καὶ τὴν κάθαρσιν κάτω ποιητέον. ἀκτέον γάρ ἐστιν ἕκαστα διὰ τῶν ξυμφερόντων χωρίων. Ἰστέον δὲ, ὅτι ἄνω κοιλίαν λέγει τὸν στόμαχον καὶ τὴν γαστέρα, κάτω δὲ τὰ ἔντερα. εἰ δέ τις εἴποι, ἆρα οὖν οὐδέποτε 4) χρώμεθα ὑπηλάτοις ἐν θέρει, οὐδὲ ἐν χειμῶνι ἐμετικοῖς, λέγομεν ναὶ, ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον, ἐν μὲν τῷ θέρει μᾶλλον τοῖς ἐμετικοῖς, ἧττον δὲ τοῖς ὑπηλάτοις, ἐν τῷ χειμῶνι δὲ τοὐναντίον.

ΔΑΜ. Κατὰ μὲν τὸν καιρὸν τοῦ θέρους καθαίρειν τὰς ἄνω κοιλίας, δι' ἐμέτων δηλονότι, τὰς κάτω δὲ χειμῶνος.

ε'. Ὑπὸ κύνα, καὶ πρὸ κυνὸς, ἐργώδεες αἱ φαρμακίαι. —

ΘΕΟΦ. 5) Ἄλλο πρὸ κυνὸς καὶ ἄλλο ὑπὸ κύνα· πρὸ κυνὸς μὲν λέγεται αἱ πρὸ τῆς ἐπιτολῆς τοῦ κυνὸς

κράτης τῷ ἰατρῷ παύειν τοὺς τὴν δυσφορίαν ἐργαζομένους χυμοὺς, κενοῦν δὲ τοὺς λυποῦντας. V. c. A. a.

1) Om. V. a. hoc scholion. 2) Om. Codd. 3) Om. V. a. hoc scholion. 4) COD. ESC. ἡ φύσις αὐτοδίδακτος οὖσα, ἐγκατῳκισμένη οὖσα καὶ ἐντὸς τοῦ σώματος οὖσα, ἐπίσταται τὸν πλεονάζοντα χυμὸν ἡ μέντοι τέχνη ἐκτὸς οὖσα δέεται σημείων πρὸς τὸ διαγνῶναι τὸν πλεονάζοντα χυμόν. 5) COD. ESC. Ἡ ἐπιτολὴ τοῦ κυνὸς ἀπὸ ιθ' Ἰουλίου μηνὸς, καὶ ἐν μὲν τῷ περὶ ἀέρων, τόπων, ὑδάτων μέμνηταί

εἴκοσιν ἡμέραι, 1) ὑπὸ κύνα δὲ αἱ μετὰ τὴν ἐπιτολὴν τοῦ κυνὸς εἴκοσιν ἡμέραι. 2) γίνεται δὲ ἡ ἐπιτολὴ τοῦ κυνὸς ἀπὸ ιθ' τοῦ ἰουλίου μηνός. ἐν τούτοις οὖν τοῖς χρόνοις ὁ Ἱπποκράτης λέγει ἐργώδεις εἶναι τὰς φαρμακείας τουτέστι δυσχερεῖς. καὶ ἡ αἰτία· διὰ τὸ τηνικαῦτα ἀσθενῆ εἶναι τὴν δύναμιν διὰ τὸ καῦμα, καὶ δέος, μὴ προκαταλυθῇ τῇ καθάρσει· ἄλλως τε ὅτι τὸ περιέχον θερμὸν ἀνάπτεται, διὸ καὶ πυρέττουσι πολλοὶ τότε. καὶ μὴν καὶ τὸ διδόμενον φάρμακον θερμὸν καὶ ἡ ὕλη δριμεῖα καὶ δέος, μή πως οὐκ ἀσφαλὴς γένηται ἡ κάθαρσις, ἐκπυρουμένου τοῦ θερμοῦ καὶ δυσκρασίας πολλῆς καταλαμβανούσης τὸ σῶμα, ἄλλως τε ὅτι μάχεται τὸ φάρμακον καὶ ἡ τοῦ ἀέρος κατάστασις, ἡ μὲν περὶ τὴν ἐπιφάνειαν ἕλκουσα τὴν ὕλην, τὸ δὲ φάρμακον ἀντισπῶν ἔσω, καὶ δέος μήπως, μαχομένων ἀμφοτέρων, διασπασθῇ ἡ φύσις.

ΔΑΜ. Τὸ γὰρ σῶμα πεπυρωμένον ὂν οὐκ οἴσει τὴν τῶν καθαρτικῶν δριμύτητα· ἀσθενής τε οὖσα τῇ διαφορήσει ἡ φύσις πλέον ἀσθενήσει.

ϛ'. Τὸυς ἰσχνὸυς καὶ εὐεμέας ἄνω φαρμακεύειν, ὑποϛελλομένους χειμῶνα. —

ΘΕΟΦ. 3) Νῦν ἀπὸ τῆς ἕξεως τοῦ σώματος καὶ τῆς

τινων πρὸς τὸ παραιτεῖσθαι ἐπ' αὐτῶν τὰς καθάρσεις ἐπιτολῶν καὶ κρύψεων καὶ ἐπισημασιῶν τῶν ἄστρων. Naves, arbores, aedificia ventis conquassantur iis tempestatibus. — οὐ δεῖ οὖν καθαίρειν ἐπὶ τῇ ἐπιτολῇ καὶ κρύψει τοῦ κυνὸς διὰ τὸ ταραχῶδες. μαρτυρεῖ καὶ αὐτὰς ὁ ποιητὴς λέγων ὅτι ὥστε πολὺν πυρετὸν φέρειν δειλοῖσι βρότοισι. ἀλλὰ καὶ οὐχ ὥσπερ ἡ ἐν Δελφοῖς μαντεία καὶ λόγος, καὶ ἡμεῖς λέγομεν ὅτι εἴκοσι τὰς πρὸ κυνὸς καὶ εἴκοσι μετὰ κύνα οἴνῳ πνεύμονα τέγγε, φίλης δ' ἀπέχου Κυθερίης. — — ἡμεῖς γὰρ ὡς ἰατροὶ δέκα πρὸ τοῦ κυνὸς καὶ δέκα μετὰ κύνα φυλάττομεν καὶ οὐ κεχρήμεθα τῇ καθάρσει.

1) ἤγουν ἀπὸ τριακάδος τοῦ Ἰουνίου add. V. b. 2) ἤγουν ἕως ὀγδόης τοῦ αὐγούστου μηνός add. A. b. 3) COD. ESC. τινὲς λέγουσιν ὅτι κολωβὸς καὶ ἀτελής ἐστιν ὁ παρὼν ἀφορισμός. χρείαν γὰρ ἔχει τινὸς, τυχὸν τοὺς δὲ φθινώδεας ὑποστελλομένους καθαίρειν. — — In phthisi de pectore derivare oportet humores pravos depletione in ventrem. fit διὰ ξυμφερόντων χωρίων i. e. ἀπὸ κυρίων μορίων ἐπὶ

φυσικῆς κατασκευῆς τὴν ἔνδειξιν ὁ Ἱπποκράτης λαμβάνει καὶ προτρέπεται τοὺς ἰατροὺς, τοὺς ἰσχνοὺς τῷ σώματι, εἰ τύχοι, καὶ εὐεμεῖς ὄντας ἄνω φαρμακεύειν. διὸ οἱ τοιοῦτοι θερμοί εἰσι καὶ ξηροὶ ὡς ἐπίπαν. διὰ οὖν τὸν πλεονάζοντα αὐτοῖς χολώδη χυμὸν ἄνω τὴν φαρμακείαν κελεύει γίνεσθαι, πλὴν εἰ μὴ χειμὼν εἴη· τὸ τηνικαῦτα γὰρ κάτω βρίθουσιν αἱ ὕλαι.

ΔΑΜ. Βαρύτεροι γὰρ οἱ ἐν τῷ χειμῶνι χυμοὶ, φλέγμα καὶ μέλαινα.

ζ΄. η΄. Τοὺς δὲ δυσεμέας καὶ μέσως εὐσάρκους, κάτω, ὑποστελλομένους θέρεος· τοὺς δὲ φθινώδεας, ὑποστελλομένους. —

ΘΕΟΦ. Εἰ γάρ ἐστι μέσως εὔσαρκος καὶ δυσεμὴς, οὐ μέντοι ἀκριβῶς εὔσαρκος, τούτῳ φλεγματικὸς χυμὸς ἢ μελαγχολικὸς περιττεύει καὶ διὰ τοῦτο κάτω κενοῦσθαι χρή. πρόσκειται, εἰ μὴ ἀκριβῶς εὔσαρκος εἴη· ἐὰν γὰρ οὕτως διάκειται, ὁ τοιοῦτος οὐ δεῖται καθάρσεως διὰ τὸ πάντη ἐν συμμετρίᾳ εἶναι. τὸ δὲ φθινώδεας ὑποστελλομένους πρὸς τὸν ἀνωτέρω ἀφορισμὸν ἀποτείνει. ἐκεῖ γὰρ ἔλεγε τοὺς ἰσχνοὺς καὶ εὐεμέας ἄνω φαρμακεύειν. ἐνταῦθα δὲ τὸν προσδιορισμὸν τέθεικε τοὺς φθινώδεας ὑποστελλομένους. καὶ ἡ αἰτία· διὰ τὴν τῶν ἀναπνευστικῶν ὀργάνων ἀσθένειαν. 1) εἰ δέ τις ἐν τῷ παρόντι ἀφορισμῷ ἀπορεῖ λέγων, ὅτι διὰ τί οὐκ ἔφη Ἱπποκράτης, τοὺς δὲ δυσεμέας καὶ παχεῖς, ἀλλὰ μέσως εὐσάρκους, λέγομεν ὅτι ὡς ὁμολογούμενον παρέλιπεν αὐτό. τούτους γὰρ κάτω

ἀκυρότερα. Raro *ἀπὸ ἀκύρων* in *κύρια* fit derivatio, solum quando diu *τὰ ἄκυρα νοσήσωσι καὶ ταλαιπωρήσωσι. καὶ οὕτως ἐξηγήσαντο οἱ παλαιότεροι τῶν ἐξηγητῶν. ὁ μέντοι νεώτερος ἐξηγητὴς,* (quis!) *ὃν ἡμεῖς ἐξηγούμεθα, λέγει ὅτι οὐ δοκεῖ μοι λέγειν ταῦτα τὸν Ἱπποκράτην. — — καὶ τοῦτό ἐστιν ὅ φησιν ἐνταῦθα ὁ Ἱπποκράτης ὅτι οὐ δεῖ καθαίρειν τοὺς φθινώδεις, τυχὸν οὐ τοὺς ἔχοντας τὴν φθίσιν, τοῦτο γὰρ παντὶ ἀνθρώπῳ ἔγνωσται, ἀλλὰ τοὺς ἐπιτηδείως ἔχοντας πρὸς τὴν φθίσιν.*

1) *εἰ* usque ad finem om. A. a.

δεῖ καθαίρειν διὰ τὸ πλεονάζειν ἐν αὐτοῖς τὸν φλεγματιτὸν 1) χυμόν.

ΔΑΜ. Φθινώδεις λέγει τοὺς φθίσιν νοσοῦντας· ὑποστελλομένους δὲ πρὸς τὰς ἄνω φαρμακείας, εὐλαβουμένυς αὐτῶν τὴν ἐν τοῖς ἀναπνευςικοῖς ὀργάνοις ἀσθένειαν.

θ'. Τοὺς δὲ μελαγχολικὲς ἁδροτέρως τὰς κάτω, τῷὔτέῳ λογισμῷ τἀναντία προστιθείς. —

ΘΕΟΦ. Τὸ ἁδροτέρως τὸ σφοδροτέρως δηλοῖ. σφοδροτέρως οὖν τοὺς μελαγχολικοὺς κελεύει κάτω καθαίρειν διὰ τὸ τὸν περιττεύοντα αὐτοῖς χυμὸν, γεώδη καὶ παχὺν ὄντα, κάτω ῥέπειν. ἐκ δὲ τῶν μερικῶν ἐπὶ τὰ καθόλου ἀνάγων ἑαυτόν φησι· τῷ αὐτῷ λόγῳ τὰ ἐναντία προστιθεὶς τουτέστιν, εἴ ἄνωθέν ἐστιν ἡ ὕλη, ἄνω δεῖ κενοῦν, εἰ δὲ κάτωθεν, κάτω. καὶ πάλιν εἰ κούφη ἐστὶν ἡ ὕλη, ἄνω 2) κενωτέον, εἰ δὲ βαρεῖα, κάτω.

ΔΑΜ. Ἁδροτέρως ἤτοι ἰσχυρῶς διὰ τὸ βάρος τοῦ μελαγχολικοῦ χυμοῦ.

ι'. Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, ἢν ὀργᾷ, αὐθημερόν· χρονίζειν γὰρ ἐν τοῖσι τοιετέοισι κακόν. —

ΘΕΟΦ. Λίαν ὀξέα λέγει τὰ κατόξεα νοσήματα, ὧν ἔσχατος καιρός ἐστιν ἡ ἑβδόμη ἡμέρα. ἐὰν οὖν ἐπὶ τῶν τοιούτων, φησὶ, ὀργᾷ ἡ ὕλη ἤτοι ὁρμᾷ καὶ κινῆται ὧδε κἀκεῖσε περιπλαζομένη, αὐθημερὸν τὴν κάθαρσιν ποιητέον, τουτέστιν εὐθὺς ἐν ἀρχῇ, μὴ ἀναμείνας δευτέραν ἢ τρίτην ἡμέραν. καὶ ἡ αἰτία· διὰ τὸ μὴ φθάσαι καταλυθῆναι τὴν δύναμιν τῇ τοῦ πυρετοῦ μεγάλῃ θερμασίᾳ καὶ διὰ τὸ μὴ εἰς κύριον κατασκῆψαι μόριον τοὺς ἁλωμένους κατὰ τὸ σῶμα χυμούς.

ΔΑΜ. Τὰ κατόξεα αἰνίττεται, ὧν ὅρος κρίσεως ἡ ζ. ἐν τούτοις διὰ φαρμάκου κενοῦν φησιν αὐτίκα, πρὶν ἢ κακωθῆναι τὴν δύναμιν ἢ αὐξηθῆναι τὸν πυρετὸν ἢ εἴς τι καίριον κατασκῆψαι τοὺς ἁλωμένους χυμούς.

---

1) τὸ περίττωμα V. b. c. 2) ἀκτέον V. b.

ιά. Ὁκόσοισι στρόφοι, καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος ἄλγημα, μὴ λυόμενον μήτε ὑπὸ φαρμακίης, μήτε ἄλλως, ἐς ὕδρωπα ξηρὸν ἱδρύεται. —

ΘΕΟΦ. Καὶ οὗτος ὁ ἀφορισμὸς διαγνωστικός ἐστι παρόντων καὶ προγνωστικὸς μελλόντων συμπτωμάτων. φησὶ γὰρ ἐὰν περὶ τὸν ὀμφαλὸν καὶ τὰ ἔντερα 1) στρόφος καὶ πόνος περὶ τὴν ὀσφὺν ἐστι, μὴ λύεται δὲ, μήτε ὑπὸ φαρμακείας ἤτοι καθάρσεως ἢ ἄλλως τουτέστιν ἀπὸ ἄλλων βοηθημάτων, γίνωσκε ὅτι δυσκρασία τίς ἐστι ἐκτικὴ τῶν μορίων, ἥτις ὡς τὸ πολὺ χρονίζουσα τὸν ὕδρωπα ἐργάζεται ξηρὸν, ὃν ἔνιοι τυμπανίαν ὀνομάζουσι διὰ τὸ ἀποτελεῖν ψόφον τυπτόμενον οἷόν περ τὰ τύμπανα. τὴν δυσκρασίαν δὲ ταύτην, ὑφ᾽ ἧς ὁ τοιοῦτος ὕδρωψ γίνεται, ἀποτελεῖ ψύξις μεγάλη, τίκτουσα παχύτατα πνεύματα. 2) κατὰ ποῖον δὲ τρόπον ὕδερος ὀνομάζεται ὁ τυμπανίας; καθὸ καὶ ὑπ᾽ αὐτοῦ ὡς ἐπὶ τῶν λοιπῶν ὑδέρων τέταται ὁ περιτόναιος. Ἰστέον δὲ ὅτι ὕδρωψ διχῶς γίνεται ἢ πρωτοπαθοῦντος ἥπατος ἢ ἄλλῳ τινὶ συμπάσχοντος. ἐνταῦθα οὖν κατὰ συμπάθειαν τῶν ἐντέρων ἀποτελεῖται ὁ ὕδρωψ.

ΔΑΜ. Στρόφος γίνεται ἀπὸ πνεύματος διέξοδον μὴ ἔχοντος. ὕδρωπα δὲ ξηρόν φησιν τὸν τυμπανίαν. ὁ γὰρ ἀσκίτης ὕδερος ἐξ ὑγρότητος γίνεται.

ιβ'. Οἷσι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν. —

ΘΕΟΦ. Λειεντερία ἐστὶ ταχεῖα διέξοδος τῶν προσφερομένων σιτίων, ἀμεταβλήτων ἐκκρινομένων. γίνεται δὲ καὶ δι᾽ ἀῤῥωστίαν τῆς καθεκτικῆς δυνάμεως καὶ δι᾽ ἕλκωσιν ἐπιπολῆ τῆς γαστρὸς καὶ διὰ φλέγμα ψυχρὸν ἐν τοῖς ἐντέροις ἐμπεπλασμένον. περὶ τῆς δευτέρας οὖν λειεντερίας ὁ λόγος τῷ Ἱπποκράτει. γίνεται δὲ αὕτη ὑπὸ χυμοῦ

---

1) COD. ESC. στρόφοι] οἱ περὶ τὰς ἐτυμολογίας δεινοὶ στρόφον τὸ πάθος ὠνόμασαν ἐκ τοῦ οἱονεὶ στροφεῖσθαι τὰ ἔντερα. Causae: 1. ὕλη χολώδης. 2. παχέα καὶ δυσδιεξόδευτα πνεύματα. 2) κατὰ — περιτόναιος om. V. c. C.

δριμέος καὶ λεπτοῦ, ἥτις καὶ φαρμακείας τῆς ἄνω δεῖται διὰ τὸν χυμὸν τὸν πλεονάζοντα, ἀλλ᾽ οὐκ ἐν χειμῶνι. τότε γὰρ ὁ φλεγματικὸς χυμὸς πλεονάζει. τὸ μὲν οὖν τῆς λειεντερίας ὄνομα, εἰ καὶ ἐκ τῶν ἐντέρων λαμβάνεται, οὐ μόνον τῶν ἐντέρων ἐστὶ πάθος, ἀλλὰ καὶ αὐτῆς τῆς γαστρός.

ΔΑΜ. Λειεντερία ἐστὶν, ὅταν οἷα βρωθῇ τὰ σιτία, αὐτίκα ἐκκριθῇ, ὡς διὰ λείας ὁδοῦ τρέχοντα. γίνεται δὲ ἐπὶ τῆς καθεκτικῆς δυνάμεως ἀσθενείᾳ.

ιγ΄. Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος, προϋγραίνειν τὰ σώματα πλέονι τροφῇ καὶ ἀναπαύσει. —

ΘΕΟΦ. Ἐνταῦθα περὶ καθάρσεως διαλέγεται. 1) φέρεται δὲ τὸ τοῦ 2) ἐλλεβόρου ὄνομα ποτὲ μὲν κοινῶς ἐπὶ παντὸς καθαρσίου, ποτὲ δὲ ἰδίως. καὶ κοινῶς μὲν ὡς το ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσιν, ἰδίως δὲ ὡς ἐνταῦθα· περὶ γὰρ τοῦ κυρίως ἐλλεβόρου τουτέστι τοῦ φυτοῦ ὁ λόγος ἐστὶ νῦν τῷ Ἱπποκράτει. οὗτος δὲ ὁ ἐλλέβορος, τουτέστι τὸ φυτὸν, διττὸς, ὁ μὲν λευκὸς, ὁ δὲ μέλας. καὶ ἀμφότεροι παχέων καὶ γλίσχρων καὶ φλεγματικῶν περιττωμάτων εἰσὶ καθαρτικοί. καὶ ὁ μὲν λευκὸς ἄνω καθαίρει, ὁ δὲ μέλας κάτω. ἐνταῦθα οὖν περὶ τοῦ λευκοῦ ἐλλεβόρου φησὶ, καὶ δῆλον ἐκ τοῦ εἰπεῖν,

---

1) φαίνεται V. b. C. 2) COD. ESC. δεῖ δὲ εἰδέναι ὅτι τὸ τοῦ ἐλεβόρου ὄνομα ποτὲ μὲν κοινῶς τίθησιν ἐπὶ παντὸς καθαρσίου, ποτὲ δὲ ἰδικῶς. Duae species: ὁ λευκὸς δι᾽ ἐμέτου, ὁ μέλας κάτωθεν. — — ὅταν μέμνηται λευκοῦ ἐλεβόρου, ἁπλῶς οὕτως ἐλεβόρου μέμνηται, ὅταν δὲ τὸν μέλανα, μετὰ προσδιορισμοῦ ἐλέβορον μέλανα ὀνομάζει· τοῦτο δὲ δεῖ εἰδέναι ὅτι ὁ ἐλεβορισμὸς παρείχετο ἐν τοῖς Ἱπποκρατείοις χρόνοις, ἐπειδὴ ἀγροικότερα ἦσαν τότε τὰ σώματα καὶ γεωργικὰ καὶ δυσπαθῆ καὶ ἔφερον τὴν τοῦ ἐλεβορισμοῦ ἀλύπως δόσιν· ἐν μέντοι τοῖς τελευταίοις χρόνοις ȣ̓κ ἐχρήμεθα τῷ ἐλεβορισμῷ διὰ τὸ μὴ φέρειν τὰ σώματα. — — Itaque haec nunc necessaria sunt, quando quis heleborum propinare velit. 1. ὁ τȣ̃ Γαληνȣ̃ προεθισμὸς i. e. προέθιζε τὸν ἄνθρωπον ἐμεῖν cibis emeticis i. e. adiposis et oleosis. Nam ἀγελαῖός τις medicus propinabat sine hac cautela heleborum, qui obstipabat humores crassos in stomacho neque

τοῖς μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι. τοῖς οὖν μὴ ῥηϊδίως ἄνω καθαιρομένοις τουτέστι τοῖς μὴ εὐκόλως ἐμᾶσι, πρὸ τῆς πόσιος προϋγραίνειν δεῖ πολλῇ τροφῇ καὶ ἀναπαύσει τὰ σώματα πρὸς τὸ εὐρύτους γενέσθαι τοὺς χυμοὺς τῇ ὑγράνσει τῶν ἐπιτηδείων πρὸς ὕγρανσιν τροφῶν, κἀκ τούτου ῥᾴστην γενέσθαι τὴν κάθαρσιν τοῖς μὴ εὐκόλως καθαιρομένοις. τὸ γὰρ πολλῇ τροφῇ οὐ ποσότητι ληπτέον, ἀλλὰ ποιότητι, ἄλλως τε ὅτι ὁ ἐλλέβορος δραστήριός ἐστι καὶ δήξεις ἐργάζεται καὶ σπασμοὺς ἐπιφέρει καὶ ἕτερα χαλεπά. εἰ δὲ προϋγρανθῶσι τὰ νεῦρα καὶ οἱ σύνδεσμοι καὶ τὰ ἄλλα μόρια τῇ ὑγρᾷ τροφῇ καὶ τῇ ἀναπαύσει, οὐ ῥαδίως εἰς σπασμὸν ἔρχεται καὶ εἰς τὰ ἄλλα χαλεπά. δεῖ δὲ γινώσκειν ὅτι πρὸ τῆς πόσεως τοῦ ἐλλεβόρȣ χρὴ προϋγραίνεσθαι καὶ ἀναπαύεσθαι τὸν μέλλοντα τὸν ἐλλέβορον εἰληφέναι ἱκανὰς ἡμέρας.

ΔΑΜ. Ἤτοι πρὸ τῆς πόσεως ἐθίζειν τοῦτον ἐμεῖν καὶ προϋγραίνειν διὰ πλείονος τροφῆς καὶ ἀναπαύσεως. ἡ γὰρ πλείων τροφὴ καὶ ἀνάπαυσις ὑγραίνει.

ιδ΄. Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς ὕπνους καὶ τὰς ἀκινήσιας ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει. —

ΘΕΟΦ. 1) Ὁ πρὸ τοῦδε ἀφορισμὸς τὴν προπαρασκευὴν 2) παρεῖχε τῶν μελλόντων λαβεῖν ἐλλέβορον. οὗτος δὲ μετὰ τὸ ληφθῆναι τὸν ἐλλέβορον διδάσκει, τί δεῖ

---

exire poterat, lipothymiae et syncopae sequuntur. Medicus, suum errorem agnoscens, os late aperuit *καὶ καθελὼν κερκίδα* irritavit vim apocriticam, et vomuit humorem Sphaerae similem; quae in solum cecidit fragoremque magnum edidit. 2. *ἡ Ἱπποκράτους προπαρασκευὴ* i. e. humidis cibis.

1) COD. ESC. Adduntur *προσδιορισμοὶ* 1. *ἵνα μὴ ὁ στόμαχος τȣ̃ μέλλοντος εἰληφέναι τὸν ἐλέβορον ἀνθρώπου δύσκρατός ἐστιν κατὰ θερμότητα καὶ ξηρότητα.* nam dyscrasia talis coquit remedium neque fit depletio. 2. *ἵνα μὴ εὐεμής ἐστι,* nam tum depletio subitanea nihil proficit. 3. *οὐ πλεονάζειν δεῖ τὴν χολήν.* Nam bilis calefacit remedium concoquitque. 2) *διδάσκει* V. b.

ποιεῖν ἡμᾶς καί φησιν, ὅτι ἡνίκα λάβῃ τις τὸν ἐλλέβορον, πρὸς μὲν τὰς κινήσεις μᾶλλον ἄγε τὸν καθαιρόμενον. ἡ γὰρ κίνησις φέρει τὴν δύναμιν τῆς φαρμακείας ἐφ' ἧπαρ καὶ φλέβας καὶ 1) ἀναφέρεται πρὸς ἐγκέφαλον καὶ θώρακα καὶ τὰ ἄλλα μόρια καὶ οὕτως ἕλκει τὸν χυμὸν, ἄλλως τε καθ' Ἱπποκράτην ὅτι κίνησις τὰ σώματα ταράσσει· ὡς δηλοῖ ἡ ναυτιλίη μέχρι τοῦ καὶ πρὸς ἔμετον ὁρμᾷν, καὶ δραστικώτερον τὸ ἐμετικὸν φάρμακον ἀπεργάζεται τῇ συμμαχίᾳ, ἄλλως τε ὅτι ἡ κίνησις χύσιν τῶν χυμῶν ποιεῖται καὶ εὔρυτοι τὸ τηνικαῦτα γίνονται. πάλιν δέ φησι, πρὸς δὲ τοὺς ὕπνους καὶ τὰς ἀκινησίας ἧσσον ἄγε τὸν καθαιρόμενον, ἐπειδὴ ἐν τοῖς ὕπνοις καὶ τῇ ἀκινησίᾳ μᾶλλον ἐνεργοῦσιν αἱ φυσικαὶ δυνάμεις καὶ πέττουσι τὸ καθάρσιον.

ιε΄. Ἐπὴν βέλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα· ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει, καὶ μὴ κίνει. —

ΘΕΟΦ. Ἐνταῦθα λέγει ὅτι ἐὰν θέλῃς, ἵνα ἡ κένωσις δεόντως γένηται, μετὰ τὸ εἰληφέναι τὸν ἐλλέβορον, κίνει τὸ σῶμα. καὶ ἡ αἰτία εἴρηται. εἰ δὲ θέλεις ἐπισχεθῆναι τὴν κένωσιν, ὕπνον ποίει καὶ μὴ κίνει. ὁ γὰρ ὕπνος ἀνάπαυλαν ποιεῖται τῶν ψυχικῶν καὶ ζωτικῶν δυνάμεων καὶ τούτων ῥωννυμένων, δύναται πεφθῆναι τὸ ἐγκαταλειφθὲν καθάρσιον καὶ οἱ ἐγκαταλειφθέντες χυμοί. καὶ ἔστιν ὁ λόγος ἁρμόδιος ἐπὶ παντὸς καθαρσίου.

ις΄. Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι· σπασμοὺς γὰρ ποιέει. —

ΘΕΟΦ. Οὐ ταυτολογεῖ ὁ Ἱπποκράτης, ὥς τινές φασιν· ἀνωτέρω γὰρ, ἔνθα ἔλεγεν, ὡς οἱ εὖ τὰ σώματα ἔχοντες φαρμακεύεσθαι ἐργώδεες, περὶ παντὸς καθαρσίου διελέγετο, ἐνταῦθα δὲ περὶ τοῦ κυρίως ἐλλεβόρου καί φησιν, ὅτι ἐλλέβορος ἐπικίνδυνος τοῖς τὰς σάρκας ὑγιεῖς ἔχουσι. καὶ ἡ αἰτία· ὅτι σπασμὸν ἐμποιεῖ διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας. περιττὸν γὰρ μὴ εὑρίσκων ἐν τῷ σώ-

1) ἀναστρέφεται V. b.

ματι, τὴν συνεκτικὴν ὑγρότητα ἐκδαπανᾷ, κἀντεῦθεν συμβαίνει γίνεσθαι τὸν σπασμόν.

ΔΑΜ. Ἐξαίρετον γάρ τι πρόσεστι τῷ ἐλεβόρῳ τὰ τοῦ σπασμοῦ διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας.

ιζ΄. Ἀπυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακίης δέεσθαι σημαίνει. —

ΘΕΟΦ. Ἀνωτέρω διδάσκων τὰς καθάρσεις ποιεῖν, ὅπου ἂν ῥέπῃ ἡ φύσις διὰ τῶν συμφερόντων χωρίων, ὥς τινος ἀποροῦντος καὶ πόθεν ἔχω γνῶναι ποῦ ῥέπει, νῦν παραδίδωσι σημεῖα, καὶ πρῶτον μὲν τῆς ἄνω κινήσεως λέγων, ἐάν τις ἐστὶν ἀπύρεκτος καὶ ἀνόρεκτος, ἔχῃ δὲ 1) καρδιωγμὸν τουτέστιν ὀδύνην στομάχου· οἱ γὰρ παλαιοὶ τὸν στόμαχον καρδίαν ὠνόμαζον· καὶ ἐὰν στόμα ἐκπικρούμενον καὶ σκοτόδινον, γίνωσκε ὅτι χολὴ πλεονάζει ἐν τῷ στομάχῳ καὶ διὰ τοῦτο ἄνω φαρμακεύειν χρή. Ἰςέον γὰρ ὅτι ἡ χολὴ καταβάλλȣσα τὴν ὀρεκτικὴν δύναμιν ποιεῖ ἀποσιτίαν, δάκνουσα δὲ καὶ τὸν στόμαχον, τὸν καρδιωγμὸν, ἀναφερομένη δὲ διὰ τοῦ ὑμένος τοῦ ὑπαλείφοντος τὸν στόμαχον καὶ τὸν φάρυγγα ποιεῖ τὸ στόμα ἐκπικρȣ̃σθαι, πρὸς δὲ τὸν ἐγκέφαλον ἥκουσα καὶ μολύνουσα τὸ 2) ζωτικὸν πνεῦμα ποιεῖ τὴν σκοτοδινίαν.

ΔΑΜ. Ἀποσιτία ἡ ἀνορεξία· καρδιωγμὸς ἡ δῆξις τοῦ στόματος τῆς γαστρός· σκοτόδινος, ὅταν περιδινεῖσθαι δοκῇ τὰ βλεπόμενα. πάντα γὰρ ταῦτα διὰ δακνώδη χυμὸν γίνεται καὶ λεπτὸν καὶ κοῦφον.

ιη΄. Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ἄνω φαρμακίην σημαίνει· ὁκόσα δὲ κάτω, κάτω. —

---

1) COD. ESC. ἀσιτία ἐστὶν ἡ μήπως προσενεγκαμένη τροφὴ, δύναται δὲ ἴσως προσενέγκασθαι, ἀποσιτία ἡ παντελὴς ἀνορεξία. — γίνεται αὐτοῖς καὶ σκοτόδινος, ἥντινα ὁ Γαληνὸς δεινόσκοτον ὠνόμασεν· πρῶτον γὰρ γίνεται ἡ δίνησις καὶ οὕτως τὸ σκότος· ἀλλ᾽ οἱ παλαιοὶ ȣ̓κ ἐχρήσαντο τȣ́τῳ τῷ ὀνόματι διὰ τὸ κακόφωνον, ἀλλὰ σκοτόδινον ὀνομάζουσιν. 2) ψυχικὸν V. b. c.

ΘΕΟΦ. Φρένας ἐνταῦθα τὸ διάφραγμα ὀνομάζει. ὅσα μὲν οὖν ὑπεράνω τῶν φρενῶν ὀδυνῶνται καθάρσεως δεόμενα, ἄνωθεν δεῖ καθαίρειν, ὅσα δὲ κάτωθεν, κάτω. κατὰ γὰρ τὰς ῥοπὰς τῶν λυπούντων χυμῶν χρὴ καὶ τὰς κενώσεις ποιεῖσθαι, καὶ τὰς μὲν ἄνω διὰ τῶν ἐμετικῶν φαρμάκων δεῖ ποιεῖσθαι, τὰς κάτω δὲ δι᾽ ὑπηλάτων.

ΔΑΜ. Τὰς ἄνω κοιλίας φησὶ τὰς οὔσας ὑπεράνω τῶν νεφρῶν.

ιθ᾽. Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ 1) παύονται πρὶν ἢ διψήσωσι. —

ΘΕΟΦ. Κατὰ διαφόρους τρόπους γίνεται ἡ δίψα ἐπὶ τῶν καθαιρομένων· ἢ γὰρ διὰ κρᾶσιν θερμὴν τῆς γαστρὸς ῥαδίως κινοῦνται εἰς δίψαν, ποτὲ μὲν πρὸ τῆς κενώσεως, ποτὲ δὲ ὀλίγον μετὰ τὴν κένωσιν, ἢ διὰ τὸ εἶδος τοῦ φαρμάκου δριμυτέρου καὶ θερμοτέρου ὄντος, ὡς εὐφόρβιον, ἢ διὰ τὴν ἰδέαν τῶν κενουμένων χυμῶν, εἰ ξανθόχολοί εἰσι· περιῤῥέοντες γὰρ κατὰ γαστέρα, θερμοὶ ὄντες, δίψαν ποιοῦσι. γίνεται δὲ δίψα καὶ λόγῳ κενώσεως τῶν περιττωμάτων, περὶ ἧς ὁ λόγος τῷ Ἱπποκράτει, ἣν καὶ ὅρον τῆς κενώσεως τίθησι. φησὶ γὰρ ὅτι εἰ μὴ διψήσωσιν, οὐ παύονται, εἰ δὲ διψήσωσι, παύονται. καὶ ἡ αἰτία· ὅτι ἡ δίψα γινομένη ἐν ταῖς φαρμακοποσίαις ἀγγέλλει ἔνδειαν τῶν ὑγρῶν καὶ ἐπικράτειαν τῆς ξηρότητος, τὸ ἄδιψον δὲ δηλοῖ μὴ ἐκκενοῦσθαι τελέως τοὺς χυμούς.

ΔΑΜ. Οὐ παύονται τῶν λυπούντων χυμῶν δηλονότι πρὶν ἢ διψήσωσιν.

κ᾽. Ἀπυρέτοισιν ἐοῦσιν, ἢν γένηται στρόφος, καὶ γενάτων 2) βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακίης δέεσθαι σημαίνει. —

ΘΕΟΦ. Συνεχὴς οὗτος ὁ ἀφορισμὸς ἐκείνῳ, ἔνθα γέγραπται, ἀπυρέτοισιν ἐοῦσιν ἀποσιτίη καὶ καρδιωγμὸς καὶ τὰ ἑξῆς. φησὶν οὖν ὅτι τοῖς ἀπυρέτοις οὖσιν ἐὰν γένηται στρόφος καὶ βάρος γονάτων καὶ ὀδύνη περὶ τὴν

1) παύσονται V. a. 2) βάρος om. V. a.

ὀσφὺν, κάτωθεν τὴν κάθαρσιν δεῖ ποιεῖν, διὰ τὸ τὴν ὕλην ἐπείγεσθαι κάτω, φλεγματικὴν οὖσαν.

ΔΑΜ. Κατὰ γὰρ τὰς ὁρμὰς τῶν λυπούντων καὶ τὰς κενώσεις χρὴ ποιεῖσθαι.

κα΄. Ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα μέλαν, ἀπὸ ταὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ, κάκιστα. καὶ ὁκόσῳ ἂν χρώματα πονηρότερα ἔῃ, μᾶλλον κάκιον· ξὺν φαρμάκῳ δὲ, ἄμεινον, καὶ ὁκόσῳ ἂν χρώματα πλέω ἔῃ, οὐ πονηρά. —

ΘΕΟΦ. 1) Ἐνταῦθα περὶ αὐτομάτων καὶ τεχνικῶν κενώσεων διαλέγεται ὁ Ἱπποκράτης. Ἀλλ' ἡ αὐτόματος κένωσις διττή. ἢ γὰρ ὑπὸ τῆς φύσεως γίνεται ἢ βίᾳ συμπτώματος. ἐνταῦθα οὖν περὶ τῆς βίᾳ συμπτώματος γινομένης κενώσεως διαλέγεται καί φησι, ὅτι ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα τουτέστιν ὁποῖον τὸ ἐξ ἀναστομώσεως ἀγγείου πρὸς ἔντερα φερόμενον μελανθὲν πηκτὸν αἷμα, ἀπὸ ταὐτομάτου ἰόντα καὶ σὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιον. καὶ ἡ αἰτία, ὅτι ἄμφω τὰ σπλάγχνα πάσχει ὅ τε σπλὴν καὶ τὸ ἧπαρ, καὶ ὁ μὲν σπλὴν αὐτὸς καθ' αὑτὸν, τὸ ἧπαρ δὲ διὰ τὸν σπλῆνα· μὴ δυνάμενος γὰρ ὁ σπλὴν τὸ τρυγῶδες τοῦ αἵματος, ὅπερ ἐστὶν ὁ μελαγχολικὸς χυμὸς, ἕλξαι πρὸς ἑαυτὸν, ἐν

---

1) COD. ESC. Tres quaestiones. 1. *κατὰ πόσους τρόπους ἐκκρίνονται μέλανα διαχωρήματα; τριχῶς.* a.) Bilis nigra excernitur. b.) melancholicus humor *ἢ σεσηπὼς ἢ ἀσαπής.* c.) sanguis grumosus. 2. *τίς ἡ γένεσις αὐτῶν;* Bilis nigra praeter naturam est et excernitur, vel *διϊδροῦται αἷμα*, vel e splenis plethora melancholicus succus abscedit. 3. *τίνες αἱ διαφοραὶ αὐτῶν.* a.) *ἀπὸ συστάσεως.* b.) *ἀπὸ δυνάμεως.* c.) *ἀπὸ χρώματος* a.) v. c. *εἰ θρομβῶδες*, est sanguis, *καὶ ἰνῶδες* (*τὰς ἶνας* natura sanguini tribuit, ut adhaereat, ubi par est, velut *οἱ χρίσται* calci arenam admiscent, ut concrescat caementi instar. Sanguis niger est, quia est emortuus extra sphaeram suam et propter fibras *θρομβοῦται* b.) *ἀπὸ δυνάμεως*. Funde recrementorum nigrorum partem in terram, *ἐὰν ζυμοῖ τὴν γῆν, ἐπίστασαι ὅτι μέλαινά ἐστιν ἡ χολή.* c.) e colore *εἰ στιλβει, καθάπερ ἰουδαϊκὴ ἄσφαλτος, ἔστι μελαγχολικὸς σεσηπώς.*

τῷ ἥπατι μένει, καὶ μένων ἀσθένειαν παρέχει τῷ ἥπατι. τούτου οὖν ἀσθενοῦντος καὶ μὴ δυναμένου κατέχειν τὰ περιττὰ, τῇ οἰκείᾳ αὐτῶν τυραννίδι διεξέρχονται τὰ καλούμενα μέλανα. ταῦτα μὲν τὰ διαχωρήματα τὰ οἷον μέλανα ὡς αἷμα μέλαν, αὐτομάτως διαχωρούμενα, κακά εἰσιν, σὺν φαρμάκῳ δὲ ἄμεινον· ἀπαλλάττονται γὰρ τοῦ νοσήματος τῷ ἐρεθισμῷ τοῦ φαρμάκου καὶ οὐ τῇ ἥττᾳ τῆς φύσεως. ὁμοίως δὲ καὶ ἐὰν αὐτομάτως πλείονα χρώματα πονηρὰ ἐκκενοῦνται, μᾶλλόν ἐστι κάκιον, σὺν φαρμάκῳ δὲ, ἄμεινον. καὶ αὐτομάτως μὲν κάκιον, ὅτι λόγῳ συμπτώματος κενοῦνται, ἡττωμένης τῆς φύσεως, καὶ μεγάλην κάκωσιν ἐνδείκνυται τῶν σπλάγχνων, σὺν φαρμάκῳ δὲ ἄμεινον, ὅτι ἀπήλλακται ἡ φύσις τῆς ἐνοχλούσης κακοχυμίας. εἰ δέ τις λέγει καὶ πόθεν δῆλον, ὅτι περὶ τῆς βίᾳ συμπτώματος γενομένης αὐτομάτου κενώσεως ἐνταῦθα διαλέγεται, λέγομεν, ἐκ τοῦ εἰπεῖν ἰόντα. τοῦτο γὰρ τὸ ὄνομα μῆκος χρόνου ἐνδείκνυται, ἡ δὲ νόμῳ φύσεως κένωσις ἐν ὀλίγῳ χρόνῳ τὴν ἀπάλλαξιν τῶν χυμῶν ποιεῖται.

ΔΑΜ. Οὐ τὴν ἀκριβῶς μέλαινάν φησιν, ἀλλὰ τὰ μέλανα εἰπὼν τὴν οἷον τρύγα λέγει τοῦ αἵματος, ἧς χρονιζούσης ἐν τῷ σώματι καὶ σηπομένης, ἡ μέλαινα γίνεται, ἣν δὴ τρύγα ὁ σπλὴν καθαίρων τὸ αἷμα ἕλκει καὶ ταύτῃ τρέφεται.

κβ'. Νουσημάτων ὁκόσων ἀρχομένων, ἢν χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ὑπέλθῃ, θανάσιμον. —

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς παράδειγμά ἐστι τοῦ πρὸ αὐτοῦ ἀφορισμοῦ· ὥς τινος γὰρ ἀποροῦντος, ὅτι πότε κάκιον τὰ οἷον μέλαν αἷμα διαχωρήματα καὶ τὰ ἄλλα πονηρὰ ἐκκρινόμενα, φησὶν ἐνταῦθα, τὰ ἐν ἀρχαῖς τῶν νοσημάτων ἐκκρινόμενα· ποιεῖται οὖν τὸν λόγον περὶ ἑνὸς τῶν πονηρῶν χρωμάτων ἤτοι περὶ τῆς μελαίνης χολῆς καί φησι, ὅτι αὕτη ἡ μέλαινα χολὴ ἐὰν ἐν ταῖς ἀρχαῖς τῶν νοσημάτων ἢ ἄνω ἢ κάτω ὑπέλθῃ, θανάσιμόν ἐστι. καὶ ἡ αἰτία, ὅτι σημαίνει τὴν φύσιν παντελῶς κακῶς ἔχειν. ἔθος γάρ ἐστι τῇ φύσει τὰ περιττὰ πρῶτον πέτ-

ειν καὶ τότε τὴν κένωσιν αὐτῶν ποιεῖν, ὥστε οὖν, εἰ κενοῦνται ἐν ἀρχαῖς, οὐ νόμῳ φύσεως κενοῦνται, ἀλλὰ τῇ οἰκείᾳ αὐτῶν τυραννίδι· ἄλλως τε ὅτι ἡ μέλαινα χολὴ διαβρωτική ἐστιν· ἔχει γὰρ τὴν γένεσιν ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ σηπομένου ἢ ἐκ ξανθῆς χολῆς ὑπερωπτημένης. αὕτη οὖν εἰ μὲν κάτωθεν ἐνεχθῇ διὰ τῶν ἐντέρων, ξύει, διαβιβρώσκει καὶ δυσεντερίας ἀπεργάζεται· εἰ δὲ ἄνωθεν, ξύει τὸν στόμαχον καὶ ἑλκοῖ καὶ εἰς συμπάθειαν φέρει τὸν ἐγκέφαλον καὶ τὰ ἄλλα μόρια. διὰ οὖν ταύτας τὰς αἰτίας θανάσιμον. Ἰστέον δὲ ὅτι τὸ οἷον μέλαν αἷμα διαχώρημα τῆς μελαίνης χολῆς οὕτω διαφέρει· ἡ μὲν γὰρ μέλαινα χολὴ τὸ δριμὺ καὶ διαβρωτικὸν καὶ ὀξῶδες καὶ στίλβον προσκέκτηται, τὸ δὲ οἷον μέλαν αἷμα τῶν τοιούτων οὐδὲν ἔχει, ἀλλ᾽ ἔςιν ὥσπερ τις 1) ἰλὺς αἵματος ὡς ἡ ἐν τοῖς παχέσιν οἴνοις 2) ἀποκαθισταμένη τρύξ.

κγ΄. Ὁκόσοισιν ἐκ νουσημάτων ὀξέων, ἢ πουλυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως λελεπτυσμένοισι, χολὴ μέλαινα ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑςεραίῃ ἀποθνήσκεσι. —

ΘΕΟΦ. 3) Εἰ γὰρ ἐν ἀρχῇ τῶν νοσημάτων, ἐν ᾗ ἐῤῥωμένη ἐστὶν ἡ δύναμις, χολὴ μέλαινα κενωθῇ ἢ ὁποῖον μέλαν αἷμα, θάνατον σημαίνει, πολλῷ μᾶλλον ἐν τοῖς ὀξέσι νοσήμασι καὶ ἐν τοῖς πολυχρονίοις καὶ ἐν τοῖς ἕλκη παμμεγέθη ἔχουσι καὶ ἐν τοῖς ὁπωσοῦν λελεπτυσμένοις εἰ ἐπιφανῇ, θάνατον τῇ ὑστεραίᾳ δηλώσει· ἀσθενὴς γάρ ἐστιν ἐπὶ τῶν τοιούτων ἡ φύσις, ὡς μήτε πέψαι δύνασθαι, μήτε διακρῖναι τὰ οὕτω μοχθηρά.

ΔΑΜ. Ἐπὶ γὰρ τῶν τοιούτων ἀσθενὴς ἡ φύσις γεγονυῖα, ὡς μήτε πέψαι δύνασθαι μήτ᾽ ἐκκρῖναι τὰ οὕτως μοχθηρὰ διὰ μέγεθος τοῦ νοσήματος, ἀποχεῖ μὴ στεγόμενα, καὶ ταῦτα χαλεπὰ καὶ θάνατον αὐτίκα φέρει καὶ οὐχ ὕστερον.

κδ΄. Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.—

---

1) ὕλη V. b. 2) συνισταμένη V. b. 3) COD. ESC. Ἀπορία. In prognostico: ἐὰν χολὴ μέλαινα κενωθῇ, αὐθημερὸν ἀποθνήσκουσιν. Hic cur die secundo? At illic addidit δυσώδης, quae pejor est.

ΘΕΟΦ. 1) Εἰ γὰρ ἐπὶ τῆς γῆς ἐπιχεομένη ἡ μέλαινα χολὴ ζυμοῖ αὐτὴν διὰ τὸ δριμὺ καὶ λεπτὸν ὥσπερ ὄξος, πολλῷ μᾶλλον ἐν τῷ σώματι ἡμῶν ἀναίρεσιν ποιήσεται ὑγρῷ ὄντι καὶ εὐαισθήτῳ, ὥστε οὖν διὰ τὸ διαβρωτικὸν τῆς χολῆς θανάσιμος ἡ δυσεντερία.

κέ. Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ἔῃ, κακόν· κάτω δὲ, ἀγαθόν. —

ΘΕΟΦ. Καὶ ἐνταῦθα περὶ τῆς κενώσεως τῆς βίᾳ συμπτώματος διαλέγεται καί φησι, ὅτι ἐὰν αἷμα ὁποῖον ἂν ἔῃ τουτέστιν εἴτε ἀφρῶδες εἴτε ἐρυθρὸν εἴτε ξανθὸν εἴτε μέλαν ἄνωθεν διὰ στόματος κενωθῇ, κακόν ἐστιν, ἐπειδὴ τὰ ἄνω μόρια κυριώτερά εἰσι τῶν κάτω. καὶ αὐτὸ τὸ ἀναφερόμενον αἷμα ἢ διὰ ἀναστόμωσιν τῶν ἀγγείων ἢ διὰ ἀνάβρωσιν ἢ διὰ ῥῆξιν ἐξέρχεται, ὅπερ κακὸν, κάτω δὲ ἀγαθὸν τὰ μέλανα ὑποχωρέοντα ἤτοι ἄμεινον, ἐπειδὴ ἀκυρότερά εἰσι τῶν ἄνω τὰ κάτω. ἄλλως τε ἀγαθόν ἐστι τὸ μέλαν ὑποχώρημα, οὐχ ἁπλῶς ὁ μελαγχολικὸς χυμὸς, ἀλλ' ἡ κένωσις ἡ δι' αἱμοῤῥοΐδων γινομένη. ἴαται γὰρ τὰ μελαγχολικὰ πάθη. ὅταν γὰρ ἡ φύσις τοῦ ἀνθρώπου πολὺν ἀθροίσῃ τὸν μελαγχολικὸν χυμὸν, καὶ κενοῦται διὰ τῶν αἱμοῤῥοΐδων, τοῦτο ἀγαθόν ἐστι ἤτοι ἄμεινον. καὶ γὰρ οὐδ' αὕτη ἡ κένωσις κυρίως ἀγαθή ἐστι διὰ τὰς ἀμετρίας. τέτῳ γὰρ τῷ λόγῳ πολλάκις ὑδέρους ἐργάζεται.

ΔΑΜ. Ὁποῖον εἴτε ἀφρῶδες ἢ ξανθόν.

κϛ'. Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ ὁκοῖον αἱ σάρκες ὑποχωρήσωσιν, ἢ τὰ μέλανα διαχωρήματα, θανάσιμον. —

ΘΕΟΦ. Ἄνω περὶ ἀρχομένης δυσεντερίας ἐποιεῖτο

---

1) COD. ESC. ἀρχομένη τοίνυν δυσεντερία ἐστὶν, ἡνίκα δριμεῖς χυμοὶ συῤῥεύσουσιν ἐπὶ τὴν γαστέρα καὶ τὸ οἷον γάνωμα i. e. τὸ πιμελῶδες ἐκκρίνεται. καλῶς δὲ ἐχρησάμεθα τῷ τοῦ γανώματος ὀνόματι· οἱ γὰρ χαλκεῖς ἡνίκα βούλονται δυσπάθητα σκεύη ποιῆσαι, γανοῦσιν αὐτά. ῥητῶς ὁ Γαληνὸς τίθησιν ἐν τῇ περὶ χρείας μορίων ὅτι ἐστὶν ἰδιάζουσά τις σὰρξ ἐν ἑκάστῳ μορίῳ, καθ' ἣν καὶ τὴν ἐνεργείαν προβάλλεται. — ἡ ἰδιοτροπίᾳ τῆς λέξεως τοῦ Ἱπποκράτους.

τὸν λόγον, ἔνθα ἔλεγε, δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον, ἧς καὶ σημεῖον ἦν τὰ πιμελώδη πρῶτον, εἶθ' ἑξῆς τὰ ξυσματώδη διαχωρήματα· ἐνταῦθα δὲ περὶ τῆς ἤδη συμπληρωθείσης δυσεντερίας διαλέγεται καὶ ταύτης σημεῖον τὸ ὑποχωρεῖσθαι οἷον σάρκας, ὅπερ καὶ θανάσιμον, διὰ τὸ μὴ δύνασθαι τὸ τηνικαῦτα σαρκῶσαι τὴν τοιαύτην ἕλκωσιν μήτε ἀπαλωθῆναι, αὐτῆς τῆς οὐσίας τῶν ἐντέρων πεπονθυίας.

ΔΑΜ. Τεκμήρια γάρ εἰσιν αἱ σάρκες τῆς οὐσίας τῶν ἐντέρων.

κζ'. Ὁκόσοισι ἐν τοῖσι πυρετοῖσι αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσι ἀναλήψεσι, τουτέοισι αἱ κοιλίαι καθυγραίνονται. —

ΘΕΟΦ. Ἐνταῦθα λέγει ὅτι ἐὰν νοσημάτων κρίσις γένηται δι' αἱμοῤῥαγίας λάβρης, ἐν οἷς ἂν γένηται, τούτοις ἐν τῇ ἀναλήψει αἱ κοιλίαι καθυγραίνονται. ἡ γὰρ ἐπιτεταμένη κένωσις τοῦ αἵματος ἡ διὰ τῶν φυσικῶν ὑπονόμων γινομένη τουτέστι διὰ μυκτήρων, δι' αἱμοῤῥοΐδων, διὰ γυναικείου ῥοῦ, ἔνδειαν ποιεῖται τοῦ συμφύτου θερμοῦ κἀντεῦθεν 1) ἀτονοῦσιν αἱ πεπτικαὶ δυνάμεις. ἐν τῇ ἀναλήψει οὖν 2) ἀτόνων οὐσῶν τῶν πεπτικῶν δυνάμεων τῆς τε γαστρὸς καὶ τοῦ ἥπατος, ἀπεπτεῖται ἡ τροφὴ καὶ ἀπεπτουμένη φέρεται δι' ἐντέρων καὶ ποιεῖ ὑγρὰ τὰ διαχωρήματα.

ΔΑΜ. Τοῦ γὰρ ἐμφύτου ἀῤῥώστου γενομένου διὰ τὴν αἱμοῤῥαγίαν, οὔτε πέττεσθαι τὰ σιτία, οὔθ' αἱματοῦσθαι, οὔτ' ἀναδίδοσθαι δύνανται. εἰκὸς οὖν διὰ τοῦτο τὰς κοιλίας ὑγραίνεσθαι.

κη'. Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος ἐπιγενομένης παύεται, καὶ ὁκόσοισι κώφωσις, χολωδέων ἐπιγενομένων διαχωρημάτων, παύεται. —

ΘΕΟΦ. 3) Κώφωσιν λέγει οὐ τὴν μόνιμον, ἀλλὰ τὴν

---

1) ἀπεπτοῦσιν V. b. C. 2) ἀτονουσῶν V. b. 3) COD. ESC.

γινομένην πρόσφατον ἀπὸ ξανθῆς χολῆς φερομένης. φησὶν οὖν ὅτι οἷσι χολώδεα τὰ διαχωρήματα, κωφώσεως ἐπιγινομένης, παύεται, καὶ οἷσι κώφωσις, χολωδέων ἐπιγενομένων, παύεται. καὶ ἡ αἰτία, ὅτι ἡ χολώδης ὕλη ἡ ποιοῦσα χολώδη τὰ διαχωρήματα μετέστη ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω, ἥτις καὶ τὴν κώφωσιν ἐποίησε, τοὺς ἀκουστικοὺς πόρους καταλαβοῦσα καὶ ἐμφράξασα. καὶ διὰ τοῦτο τὰ χολώδη διαχωρήματα παύονται. 1) πάλιν δὲ οἷς ἐστι κώφωσις, ἐπιγίνονται δὲ χολώδη διαχωρήματα, παύεται ἡ κώφωσις, τῆς ὕλης ἐκ τῶν ἄνω ἐπὶ τὰ κάτω χωρούσης. τῷ λόγῳ οὖν τῆς μεταστάσεως τὰ χολώδη διαχωρήματα τὴν προηγησαμένην κώφωσιν παύουσι καὶ ἡ κώφωσις τὰ προηγησάμενα χολώδη διαχωρήματα τῷ αὐτῷ λόγῳ παύει.

ΔΑΜ. Τῆς γὰρ ὕλης μεταστάσης, γίνονται ταῦτα.

κθʹ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα. —

ΘΕΟΦ. Ῥῖγός ἐστι περίψυξις τοῦ παντὸς σώματος μετὰ κλόνου γινομένη τῶν μυῶν. καὶ ὁ μὲν κλόνος γίνεται διὰ τὴν δῆξιν τῶν 2) χυμῶν, δακνομένων τῶν μορίων, ἡ δὲ ψύξις διὰ τὸ δραπετεύειν εἰς τὸ βάθος τὸ ἔμφυτον θερμόν. ἔςι μὲν οὖν τὸ ῥῖγος σημεῖον κριτικὸν καὶ ἀπάλλαξις τοῦ πυρετοῦ, καθὼς ἐν ἐκείνῳ εἴρητο, ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις· ἀλλ᾽ ἐὰν μετὰ πέψεως καὶ ἐν ἀγαθῇ ἡμέρᾳ γένηται· ἐὰν δὲ μὴ οὕτως ἔχῃ, κακόκριτον τὸ τοιοῦτον. δύσκριτα οὖν ἤτοι δύσλυτα τὰ ἐν ἑκταίοις πυρετοῖς γινόμενα ῥίγη διὰ τὴν ἀκρίσιμον ἡμέραν· εἴωθε γὰρ αὕτη ἐπὶ κακῷ κρίνειν. ὡς γὰρ εἴρηται, ἡ ἕκτη ἡμέρα ἔοικε τυράννῳ, ἡ δὲ ἑβδόμη βασιλεῖ.

προσδιορισμοί: 1. si surditas ab alia materia originem ducit, οὐ παύεται cum excrementis biliosis. 2. Si non ipsa bilis excernitur sive sit in stomacho sive alibi, surditas non cessat.

1) καὶ ἡ κώφωσις τὰ προηγησάμενα χολώδη διαχωρήματα τῷ αὐτῷ λόγῳ παύει. V. c. ita aphorismum absolvit. 2) μυῶν V. b. C.

ΔΑΜ. Ἐπὶ κινήσει γὰρ ταῦτα τῆς φύσεως γίνεται, ὥστε κακὴν κρίσιν ἀγγέλλει ἡ ἕκτη.

λ'. Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, ἐς τὴν αὔριον 1) τὴν αὐτέην ὥρην ἢν λάβῃ, δύσκριτα. —

ΘΕΟΦ. 2) Ὁ νῦν ἀφορισμὸς διαγνωστικός ἐστι νοσημάτων μηκυνομένων, καὶ ὃ λέγει, τοιοῦτόν ἐστι, ὅτι ἐὰν παροξυσμὸς κατὰ τὴν ὥραν ἣν ἂν ἀφῇ τὸν κάμνοντα ὁ πυρετὸς, πάλιν τῇ ἑξῆς λάβῃ τὴν ὥραν ἐκείνην, ἥνπερ αὐτὸν εἴασε τὴν πρώτην ἡμέραν, δύσκριτον τουτέστι μηκύνεται τὸ νόσημα. καὶ ἡ αἰτία, ὅτι ἐστηριγμένον ἐστὶ τὸ τῶν παροξυσμῶν αἴτιον. εἰ γὰρ ἦν ἀστήρικτον, οὐκ ἂν 3) ἐτήρησε τάξιν τε καὶ περίοδον.

ΔΑΜ. Οἷον ἀρξάμενος πυρετὸς κατὰ τὴν πρώτην ὥραν τῆς ἡμέρας ἐπαύσατο κατὰ τὴν ἑβδόμην, καὶ τῇ αὔριον ἤρξατο κατὰ τὴν ἑβδόμην ὥραν, καθ' ἣν χθὲς ἐπαύσατο.

λα'. Τοῖσι κοπώδεσιν ἐν τοῖσι πυρετοῖσιν ἐς τὰ ἄρθρα, καὶ παρὰ τὰς γνάθους μάλιϛα, αἱ ἀποϛάσιες γίνονται.—

ΘΕΟΦ. 4) Ὁ κόπος διττὸς, ὁ μὲν ἀπὸ κινήσεως φανερᾶς, ὁ δὲ αὐτόματος. ἐὰν οὖν τις κοπωθῇ φανερῶς ἀπὸ τῆς ἔξωθεν κινήσεως ἐν ἀρχῇ πυρετοῦ, εἰς τὰ ἄρθρα καὶ παρὰ τὰς γνάθους αἱ ἀποστάσεις γίνονται, καὶ εἰς τὰ ἄρθρα μὲν, διότι τὰ ἄρθρα εὐρύχωρά εἰσι καὶ θερ-

---

1) τὴν — ἦν om. V. a. δύσκριτοι D. 2) COD. ESC. Σημειωτικός ἐστι καὶ οὗτος ὁ ἀφορισμὸς, πολλάκις δὲ ἀσφαλείας μεστός ἐστιν, ὥς τινας τῶν ἐξηγητῶν μὴ δύνασθαι ἐπιστῆναι μηδὲ παρακολουθῆσαι τῇ ἑρμηνείᾳ αὐτοῦ. τὰ γὰρ νῦν εἰρημένα οὐδέποτε συμβαίνει τῇ πείρᾳ ἢ ἐν τοῖς πράγμασιν. — καὶ ταῦτα μὲν ὁ Ἱπποκράτης. ὐδεμίαν δὲ συμφωνίαν ἔχουσι τὰ νῦν λεγόμενα τοῖς πράγμασιν. — — εἴρηται δὲ ἐν τῷ περὶ κρίσεως τῷ Γαληνῷ contrarium. 3) ἐφύλαξε V. b. c. 4) COD. ESC. Περὶ κόπων eorumque modis disserit. 1. ἐπὶ προηγουμένῃ αἰτίᾳ a.) ὀστοκοπώδης. b.) ἑλκώδης. c.) τονώδης. Hic de secundo sermo est. 2. ἐπὶ προκαταρκτικῇ αἰτίᾳ a.) προηγεῖται τῷ πυρετῷ. b.) ἕπεται. c.) ἐν αὐτῷ τῷ πυρετῷ ἐστιν. — — Hos tres casus exemplis cum rationibus suis exponit.

μανθέντα τῇ θερμότητι ἐπισπῶνται τὴν ὕλην. εἰ δὲ καὶ λεπτοτέρα τύχῃ εἶναι ἡ ὕλη, ἐπὶ τὴν κεφαλὴν ἀναφερομένη πρὸς τὰς γνάθους ἀφίσταται διὰ τὸ εἶναι αὐτὰς πάνυ ἀσθενεῖς καὶ μὴ δύνασθαι ἀποδιῶξαι εἰς ἕτερα μόρια τὸν τοιοῦτον χυμόν. καὶ ἐπὶ τοῖς αὐτομάτοις κόποις ἐν πυρετοῖς τὸ αὐτὸ γίνεται διὰ τὴν αὐτὴν αἰτίαν, καὶ μάλιστα ὅταν ὁ αὐτόματος κόπος διὰ πλῆθός ἐςιν, ὥστε οὖν ἐπ' ἀμφοτέρων τῶν κόπων ἐστὶν ὁ λόγος τῷ Ἱπποκράτει.

ΔΑΜ. Τοῖς διὰ κίνησιν σφοδρὰν καὶ πολλὴν ἐγκόποις εἰκὸς περὶ τὰ ἄρθρα τὰς ἀποστάσεις γίνεσθαι κινουμένοις καὶ θερμαινομένοις σφοδρῶς, περὶ δὲ τὰς γνάθους διὰ τὴν ἀναφορὰν τῆς ὕλης περὶ τὴν κεφαλὴν, κούφης ἴσως οὔσης καὶ ἀνωφεροῦς.

λβ'. Ὁκόσοισι ἀνιςαμένοισιν ἐκ 1) τῶν νούσων τι πονέει, ἐνταῦθα αἱ ἀποςάσιες γίνονται. —

ΘΕΟΦ. Τὸ λεγόμενον τοιοῦτόν ἐστιν· οἱ ἀνακομιζόμενοι ἐκ τῶν νόσων, μὴ τελείως δὲ τὴν κρίσιν δεξάμενοι, ἀλλ' ἔχοντές τινα περιττὰ ἐγκαταλελειμμένα, ἐὰν ὀδυνηθῶσί τι μόριον, ἐκεῖσε κατασκήπτει τὰ ἀποστήματα. πȢ; εἰς τὰ ἄρθρα καὶ παρὰ τὰς γνάθους. ἡ γὰρ ὀδύνη προτρέπει τὰ ῥεύματα, 2) ἀλλ' ἐκεῖσε διὰ τὴν ἔμπροσθεν εἰρημένην αἰτίαν. πόνον δὲ ἀκουστέον ἢ τὴν σφοδρὰν κίνησιν ἢ τὴν βλάβην.

ΔΑΜ. Καὶ γὰρ τὴν τοῦ ἐπικρατοῦντος χυμοῦ καὶ ἀκμὴν ἀπέπτου ὄντος πλήρωσιν δηλοῖ ὁ πόνος.

λγ'. Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ἔῃ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος. —

ΘΕΟΦ. Οἱ μὲν πρὸ τούτου δύο ἀφορισμοὶ, ὁ μὲν εἷς, οὗ ἀρχὴ ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι, περὶ τῶν ἐν ταῖς νόσοις κόπων διελέγετο, ὁ δὲ μετ' αὐτὸν περὶ τῶν ἐν ταῖς ἀναλήψεσιν, οὗτος δὲ περὶ τῶν προηγησαμένων

---

1) τῆς νόσου ἤν τι πονήσῃ **V. a. c. D.** 2) ἀλλ' — **usque ad fin. om. V. b. A. b.**

τῆς νόσου κόπων. φησὶ γὰρ, ἀτὰρ εἰ καὶ προεκπεπονηκώς τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νόσος, τουτέστι ἐὰν καὶ πρὸ τοῦ νοσεῖν ὀδυνηθῇ τὰ ἄρθρα, ἐκεῖσε γίνεται ἡ ἀπόστασις, εἰ ἐλπίς ἐστι κατὰ ἀπόστασιν γίνεσθαι τὴν κρίσιν, καὶ ἑδράζεται διὰ τὸ πάχος τῆς ὕλης.

λδ΄. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον. —

ΘΕΟΦ. 1) *Σημειωτικός ἐστιν ὁ ἀφορισμὸς καὶ περὶ κυνάγχης διαλέγεται καί φησιν, ὅτι ἐὰν ὑπὸ πυρετῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐπιφανῇ ἐξαίφνης, θανάσιμον. Διὰ τί; ἐπειδὴ οὐ διαφαίνεται τὸ πάθος αἰσθήτως ἐν τῷ τραχήλῳ. γίνεται δὲ ἡ πνὶξ τρόπῳ τοιούτῳ, τῆς τραχείας ἀρτηρίας τῶν ἐντὸς μυῶν φλεγμηνάντων ἐν τῷ πέρατι αὐτῆς κἀκ τούτου ἐμφραξάντων τὴν ἔξοδον καὶ εἴσοδον τοῦ πνεύματος, καὶ διὰ τοῦτο θανάσιμον· ἄλλως τε ὅτι πυρετὸς ὑπόκειται καὶ τὸ βάθος ζέει, τοτηνικαῦτα ψύξεως χρήζει τῆς ἀπὸ τοῦ ἔξωθεν ἀέρος. ἀδύνατον δὲ τοῦτο γίνεσθαι διὰ τὴν πνίγα, καὶ διὰ τοῦτο θανάσιμον.*

ΔΑΜ. Ὁ γὰρ πυρετὸς χρείαν ἔχων μεγάλης εἰσπνοῆς ἀποτυγχάνει ταύτης διὰ τὴν πνίγα, ἥτις πνὶξ γίνεται ἢ διὰ στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων ἢ δι᾽ ἀῤῥωστίαν τῆς κινούσης τὸν θώρακα δυνάμεως ἢ διὰ ψύξιν ἰσχυρὰν τῆς ζωτικῆς, ἢ διὰ παράλυσιν μυῶν τοῦ λάρυγγος.

λε΄. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. —

ΘΕΟΦ. 2) *Ὁ τράχηλος διαστρέφεται, ποτὲ μὲν ἔσω ἐπὶ τὸ βάθος καὶ καλεῖται λόρδωσις, ποτὲ δὲ ἔξω καὶ*

---

1) COD. ESC. *σαφὴς ὑπάρχει τοῖς ἐντυχοῦσι τῇ διαγνωστικῇ τῇ Γαληνοῦ πραγματείᾳ· ἐκεῖσε γὰρ περὶ κυνάγχης καὶ συνάγχης διαλέγεται.* 2) IBID. *περὶ κυνάγχης διαλέγεται οὐχὶ τῆς συνήθους ὀνομαζομένης, ἀλλὰ τῆς λεγομένης νεωτέρας κυνάγχης. ἣν καὶ ἐν τῷ δει-*

καλεῖται κύρτωσις, ποτὲ δὲ ἐπὶ τὰ δεξιὰ ἢ ἀριστερα καὶ καλεῖται σκολίωσις. γίνεται δὲ τοῦτο τὸ πάθος, ὃ καὶ εἶδος συνάγχης ἐστὶν, ἢ ἐπὶ προκαταρκτικῇ αἰτίᾳ ἢ ἐπὶ προηγουμένῃ, καὶ προκαταρκτικῇ μὲν, ὡς ἐπὶ ῥηγμάτων, πτωμάτων, ἐπὶ προηγουμένῃ δὲ, ὡς ἐπὶ φυμάτων, ὄγκων. ἐὰν οὖν ῥευματισθῶσιν οἱ τοῦ στομάχου ἐσώτεροι μύες ἢ αὐτὸς ὁ στόμαχος, φλεγμαίνεσι καὶ φλεγμαίνοντες διαστρέφουσι τὸν τράχηλον κατὰ λόρδωσιν· ἕλκουσι γὰρ τοὺς συνδέσμους τῶν σπονδύλων πρὸς ἑαυτούς. τούτων οὖν ἑλκομένων συνέλκονται οἱ σπόνδυλοι, καὶ ἀμφοτέρων ἐπὶ τὰ ἔσω τεινομένων, ὠθοῦσι τὴν φλεγμονὴν καὶ ἀποθλίβεται ὁ οἰσσφάγος, ἐκ δὲ τοῦ οἰσοφάγου καὶ ἡ τραχεῖα ἀρτηρία, ὥστε μὴ δύνασθαι καταπίνειν τὸν ἄνθρωπον. κἀντεῦθεν πνιγμὸς καὶ θάνατος ἐπιγίνεται, ἐπιμενούσης δηλονότι τῆς φλεγμονῆς· ἄλλως τε ὅτι πυρετὸς ὑπόκειται καὶ τοιοῦτος, ὥστε τῇ ξηρότητι αὐτοῦ καὶ διαστροφὴν τοῦ τραχήλου ἀπεργάζεσθαι, ὅπερ καὶ ὀλέθριον.

ΔΑΜ. Τεινομένων γὰρ τῶν νεύρων ἐπὶ τὰ φλεγμαίνοντα μόρια, ἀλλὰ δὴ καὶ τῶν συνδέσμων, τοὺς σπονδύλους ἀναγκαῖόν ἐστιν ἕπεσθαι ἢ εἰς τὰ ἐντὸς ἢ εἰς τὰ πλάγια.

λς΄. Ἱδρῶτες πυρεταίνοντι ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ 1) μιῇ καὶ εἰκοςῇ, καὶ ἑβδόμῃ καὶ εἰκοςῇ, καὶ τριηκοςῇ πρώτῃ, καὶ τριηκοστῇ τετάρτῃ· οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσι. οἱ δὲ μὴ οὕτω γινόμενοι, θάνατον σημαίνουσι, καὶ πόνους, καὶ μῆκος νούσου, καὶ ὑποτροπιασμόν. —

ΘΕΟΦ. 2) Περὶ κριτικοῦ σημείου τετέστι τῶν ἱδρώ-

τέρῳ τῶν ἐπιδημιῶν μέμνηται, καὶ ἐκεῖσε περὶ αὐτῆς διαλέγεται. τοῦτο δὲ τὸ πάθος οὐκ ἦν ἐγνωσμένον τοῖς παλαιοτέροις ἰατροῖς τοῖς πρὸ Ἱπποκράτους οὖσιν, ἀλλὰ αὐτοῦ ἐστιν ἡ ἱστορία. πρῶτος γὰρ αὐτὸς ἱστόρησε τὸ πάθος τοῦτο.

1) εἰκοσταῖοι D. 2) COD. ESC. *Πρᾶξις ς΄. Προσδιορισμὸς πε-*

των διαλέγεται νῦν ὁ Ἱπποκράτης καὶ περὶ ὀξέων νοσημάτων καί φησιν, ὅτι ἱδρῶτες πυρεταίνοντι ἢν ὀξέως ἄρξωνται, ἀγαθοὶ τουτέστι κρίσιμοι τριταῖοι καὶ πεμπταῖοι καὶ τὰ ἑξῆς. καὶ ἡ αἰτία, ὅτι τὰ κρίσιμα σημεῖα καὶ συμπτώματα ταῖς κρισίμοις ἡμέραις ἄρχεσθαι θέλει. ἐν ταύταις γὰρ τὰ ἐπιφαινόμενα 1) *θᾶττον κρίνουσι, τὰ δὲ μὴ ἐν ταύταις, μῆκος νόσου καὶ πόνον σημαίνουσι, συγκοπτικῶς διὰ βλάβην γινόμενα. ὅτι δὲ περὶ ὀξέων νοσημάτων ἐνταῦθα ὁ λόγος τῷ Ἱπποκράτει, δῆλον ἐκ τοῦ εἰπεῖν τοὺς ἱδρῶτας ἀγαθοὺς εἶναι ἐν τῇ τρίτῃ καὶ πέμπτῃ ἐπιφαινομένους· τὰ γὰρ ὀξέα τὰ σὺν ἱδρῶτι κρινόμενα ταῖς περιτταῖς ἡμέραις μᾶλλον τὴν κρίσιν ἔχει, ἄλλως τε ὅτι τὰ ὀξέα σὺν ἱδρῶτι κρίνονται, τὰ δὲ χρόνια οὐ* 2) *σὺν ἱδρῶτι πεφύκασι λύεσθαι, ἀλλ᾽ ἢ κατὰ σύμπεψιν ἢ δι᾽ ἀποστημάτων. πρὸς δὲ τοὺς λέγοντας ὅτι εἰ καὶ οἱ σύνοχοι πυρετοὶ ὀξεῖς εἰσι καὶ ἐν τῇ τετάρτῃ κρίνονται, διὰ τί μὴ ἐμνήσθη καὶ ταύτης ὁ Ἱπποκράτης, λέγομεν ὅτι οἱ σύνοχοι δι᾽ αἱμοῤῥαγίας κρίνονται, οὐ δι᾽ ἱδρώτων. ἐνταῦθα δὲ περὶ ἱδρώτων ἦν ὁ λόγος αὐτῷ καὶ διὰ τοῦτο οὐ καὶ αὐτῆς ἐμνήσθη.*

ΔΑΜ. *Τῆς γ′ καὶ ε′ ἐμνημόνευσε, τὴν δ′ καταλιπών, ὅτι ἡ γ′ προενεργεῖ τῆς δ′ ἐπὶ τῶν ὀξέων, οἷον προτρε-*

---

cessarius est: *ἱδρῶτες* diebus criticis boni sc. *μετὰ τὴν πέψιν τῆς ὕλης.* — Aphorismus extendi potest in omnes crises, quae *ἐν τοῖς κενουμένοις* consistunt. — Quae crises pendent a cursu lunae caelestiumque corporum; *τὴν δὲ αἰτίαν δι᾽ ἣν καὶ ποίῳ λόγῳ καὶ διὰ τί ὑπὸ τὴν σεληνιακὴν κίνησιν καὶ τὴν ἔλλαμψιν τῶν οὐρανίων σωμάτων κρίνονται τὰ πάθη, -- οὐκ ἔστιν ἡμῖν καιρὸς νῦν ἐπεξιέναι καὶ ζητεῖν ταῦτα διὰ τὸ μῆκος τῶν λεγομένων· ἀλλὰ δεόντως καὶ τελείως εἴρηται τῷ Γαληνῷ.* — Cur quarti diei critici et ipsius non meminit? Galenus *σφάλμα καλιγραφικὸν* vocat. Alia praeterea est ratio. Hippocrates acutos solum perlustrat morbos, qui diebus *ἀρτίοις* raro *κρίνονται.* At dicent: En synochum, morbum acutum, die quarto crisin facientem. Sed crisin facit per haemorrhagiam, non per sudores. Hippocrates vero de sudoris crisi agit. At cur diei decimi quarti meminit, *ἀρτίου*? Sed hic dies finis est acutorum morborum; inde additus.

1) *ἐπ᾽ ἀγαθῷ* V. b. 2) *δι᾽ ἱδρώτων* V. b. c.

χούσης τῆς φύσεως, καὶ ἡ έ δὲ ἐφυστερίζει, τῆς δ᾽ οἷον σχολαιότερον κινουμένης πολλάκις. μνείαν δ᾽ ἐποιήσατο τῶν ἐντὸς τῶν μ' ἡμερῶν μόνον. τὰ γὰρ τούτων χρονιώτερα νοσήματα οὐ πάνυ τι δι᾽ ἱδρώτων πέφυκε κρίνεσθαι, ἢ δι᾽ ἐκκρίσεως, ἀλλ᾽ ἢ κατὰ σύμπεψιν ἢ δι᾽ ἀποστημάτων.

λζ. Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξέϊ πυρετῷ γινόμενοι, θάνατον σημαίνουσι, ξὺν πρηϋτέρῳ δὲ, μῆκος νούσου. —

ΘΕΟΦ. Ψυχροὶ ἱδρῶτες γίνονται ἐν ὀξέσι πυρετοῖς, τοῦ χυμοῦ ψυχροτάτου ὄντος καὶ μὴ νικωμένης τῆς ψύξεως αὐτοῦ ὑπὸ τῆς πολλῆς θερμασίας, οἵτινες καὶ ὀλέθριοί εἰσιν ἐν τοῖς τοιούτοις νοσήμασι τουτέστιν ἐν τοῖς ὀξέσι καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον· ὡς σημεῖον μὲν, ἐπειδὴ μὴ θερμανθεὶς ὁ τοιοῦτος χυμὸς μήτε ὑπὸ τῆς κατὰ φύσιν θερμασίας, μήτε ὑπὸ τῆς παρὰ φύσιν δεῖται πάντως χρόνου πρὸς τὸ πεφθῆναι, τὸ δὲ νόσημα εἰς χρόνους οὐκ ἐκτείνεται, ὀξέος ὄντος τοῦ πυρετοῦ, κἀντεῦθεν γίνεται θάνατος· ὡς αἴτιον δὲ θανάσιμον, ὅτι προσκαταλύει τὴν δύναμιν. εἰ δέ τις εἴποι ὅτι καὶ πῶς γίνεται ὑπὸ τοῦ τοιούτου χυμοῦ ὀξὺς πυρετὸς, λέγομεν ὅτι πολλάκις καὶ ὠμὸς χυμὸς σηπόμενος δύναται ποιεῖν ὀξεῖς πυρετοὺς, ἄλλως τε ἐνδέχεται ἐν ταῖς φλεψὶν εἶναι θερμὸν χυμὸν ποιοῦντα ὀξὺν πυρετὸν, τὸν δὲ ψυχρὸν χυμὸν ἐκτὸς εἶναι, ὃς καὶ ἀναλυόμενος ὑπὸ τοῦ πυρετοῦ καὶ χεόμενος ποιεῖ ἱδρῶτας· ψυχρὸν δὲ διὰ τὸ μὴ θαλφθῆναι ὑπὸ τῆς θερμασίας. καὶ τοῦτο φανερὸν ἐπὶ κρυστάλλου· 1) ὁ γὰρ ἥλιος καταλάμπων αὐτὸν ἀναλύει, οὐκ εὐθέως δὲ καὶ τὸ ἀποῤῥέον θάλπει. οὕτως μὲν ἐὰν ἐν ὀξεῖ πυρετῷ γένηται ψυχρὸς ἱδρὼς, θανάσιμον, ἐὰν δὲ σὺν πρηϋτέρῳ, μῆκος νόσου ση-

---

1) COD. ESC. Galeni ἀπορίαν allegat, quomodo ὀξὺς πυρετὸς cum sudore frigido conjungatur. — Respondet: ἰδοὺ ἐπὶ τοῦ κρυστάλλου, ὅτι καταλάμποντος τοῦ ἡλίου ἡ θερμότης αὐτοῦ λύει τὸν κρύσταλλον καὶ χύσιν ἐν αὐτῷ ποιεῖται, οὐκ ἤδη δὲ καὶ τὸ ἀποῤῥέον ψυχρὸν ὕδωρ εὐθέως καὶ παραυτίκα ἔθαλψεν, ἀλλὰ ψυχρὸν πάνυ ἀποστάζει.

μαίνει, χρόνῳ πλείονι τῆς φύσεως δυναμένης τὸ πλῆθος τῶν χυμῶν πέψαι.

ΔΑΜ. Τοῦ γὰρ ἐμφύτου θερμοῦ σβεσθέντος, ψυχροὶ οἱ ἱδρῶτες γίνονται.

λη'. Ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα 1) φράζει τὴν νοῦσον. —

ΘΕΟΦ. Ἐνταῦθά φησιν Ἱπποκράτης ὅτι ἐὰν ἐν οἱῳδήποτε μορίῳ ἱδρὼς γένηται, ἐκεῖ 2) φράζει ἤτοι δηλοῖ τὴν νόσον εἶναι. καὶ ἡ αἰτία, ὅτι ἐκεῖσέ ἐστιν ἡ ὕλη, ἧς καὶ μέρος τι διεξερχόμενον τοὺς ἱδρῶτας ποιεῖ ἐν τῷ πάσχοντι μορίῳ.

ΔΑΜ. Ὁ γὰρ ἱδρὼς τοῦ πεπονθότος μέρους ἐκκενοῖ τὴν ὑγρότητα· γίνεται δὲ, ἢ τῆς φύσεως κενούσης τὰ περιττὰ, ἢ λόγῳ τοῦ νοσήματος τῷ μὴ στέγεσθαι κατὰ τὸ σῶμα.

λθ'. Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος. —

ΘΕΟΦ. Καὶ ἐνταῦθά φησιν, ἐν ᾧπερ ἂν μορίῳ τοῦ σώματος ἢ θερμότης ἢ ψύξις γένηται τυχὸν ἐὰν ἀπὸ τοῦ κατὰ φύσιν θερμοῦ ἐκοστῇ καὶ ψυχρότερον γένηται ἢ πάλιν θερμότερον τοῦ κατὰ φύσιν θερμοῦ, ἐκεῖ ἡ νόσος. διὰ τί; ὅτι τὸ κατὰ φύσιν ἐξέστηκε παρὰ φύσιν διατεθέν.

ΔΑΜ. Ἐξέστηκε γὰρ τῆς κατὰ φύσιν εὐκρασίας.

μ'. Ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖτις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου δέχηται, μῆκος νούσου σημαίνει. —

ΘΕΟΦ. Εἰ γὰρ ἡ ἁπλῆ μεταβολὴ τῆς τοῦ σώματος κράσεως μῆκος νόσου σημαίνει, τὸ ποτὲ ψύχεσθαι καὶ αὖθις θερμαίνεσθαι τὸ σῶμα, ὅπερ ἐστὶ σύνθετος δυσκρασία, πολλῷ πλέον μῆκος νόσου σημανεῖ. μερίζεται γὰρ ἐπ' αὐτῶν τῶν διαθέσεων ἡ φύσις καὶ ἀναγκάζεται,

---

1) ἐκφράζει D. 2) COD. BSC. φράζει] ἐκεῖ σημαίνει εἶναι τὴν ὕλην καὶ ἐκεῖσε καὶ τὴν ἔμφραξιν.

ποτὲ μὲν ταύτῃ προσέχειν τῇ διαθέσει, ποτὲ δὲ ἐκείνῃ· καὶ τῇ μιᾷ μαχομένῃ ἡ ἑτέρα αὔξεται, ὥστε διὰ τοῦτο εἰς μῆκος αὔξεσθαι τὸ νόσημα. τοῦ δὲ ποτὲ ψύχεσθαι, ποτὲ δὲ θερμαίνεσθαι σημεῖον τὰ χρώματα· ταῦτα γὰρ ταῖς δραστικαῖς ποιότησιν ἕπονται.

ΔΑΜ. Αἱ ποικίλαι γὰρ διαθέσεις χρονιώτεραι τῶν μονοειδῶν.

μα'. Ἱδρὼς πουλὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης φανερῆς γιγνόμενος, τὸ σῶμα σημαίνει ὅτι πλέονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίνηται, σημαίνει ὅτι κενώσιος δέεται. —

ΘΕΟΦ. Κατὰ δύο τόπους γίνεται πολὺς ἱδρὼς ἐξ ὕπνου· ἢ γὰρ διὰ πολλὴν τροφὴν ἢ διὰ περίττωμα· ἐὰν οὖν ἄνευ τινὸς αἰτίας φανερᾶς ἐξ ὕπνου γένηται ἱδρὼς πολὺς, τυχὸν, εἰ μή ἐστι νότιον τὸ κατάστημα, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρῆται. καὶ γὰρ αἱ τροφαὶ, μάλιστα δὲ αἱ θερμαὶ θερμαίνουσι τὰς ὕλας καὶ λεπτύνουσι καὶ ἀποδιώκουσιν αὐτὰς ἐπὶ τὰ ἐκτὸς καὶ ἱδρῶτας ποιοῦσιν. ἐὰν δὲ τροφὴν μὴ λαμβάνων ἐξ ὕπνου πολλὰ ἱδροῖ, τοῦτο σημαίνει, ὅτι πλῆθός ἐστι περιττωμάτων, ὅπερ πλῆθος κενώσεως δεῖται. διὰ τί δὲ εἶπεν ἐξ ὕπνου; ὅτι ἐν τοῖς ὕπνοις ἐνεργοῦσι πᾶσαι αἱ φυσικαὶ δυνάμεις καὶ τότε τὰ ἄχρηστα ἀπὸ τῶν χρηστῶν διακρίνονται.

μβ'. Ἱδρὼς πουλὺς, ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς 1) μείζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.—

ΘΕΟΦ. Σημειωτικὸς καὶ οὗτος ὁ ἀφορισμὸς καὶ περὶ ἱδρώτων διαλέγεται· ἀλλ' εἰ μὲν θερμὸς ὁ ἱδρὼς, βραχυχρόνιον τὸ νόσημα σημαίνει διὰ τὸ εὐδιαφόρητον τῆς ὕλης, ἥτις ἐστὶν ἡ ξανθὴ χολὴ, ἢ καὶ τὰς δυνάμεις ἐῤῥωμένας ἐνδείκνυται. ὁ ψυχρὸς δὲ ἱδρὼς μακροχρόνιον δηλοῖ τὸ νόσημα διὰ τὸ πάχος τῆς ὕλης καὶ τὸ δυσδιαφόρητον. οὕτως μὲν κεχωρισμένοι ὄντες σημαίνουσιν. εἰ δ' ἄμφω ὑποστῶσι παρὰ τὸ μᾶλλον καὶ ἧττον, εἰ μὲν ὁ

1) πλείω Codd.

θερμὸς ἐπικρατεῖ, βραχυχρόνιον τὸ νόσημα, εἰ δ' ὁ ψυχρὸς ἱδρὼς, μακροχρονιώτερον. καὶ αἱ αἰτίαι εἴρηνται. Ἰστέον δὲ ὅτι διὰ τοῦ ἀεὶ ῥέων τὴν ἐπίμονον ῥύσιν τοῦ ἱδρῶτος ἐδήλωσεν.

ΔΑΜ. Ἀκρίτως ἐν παντὶ χρόνῳ τῆς νόσε ἀμφότεροι δηλοῦσι πλῆθος. ἔστι δὲ ὁ μὲν ψυχρὸς χείρων, ὁ δὲ θερμὸς ἧττον ὀλέθριος.

μγ'. Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὁτέῳ δὲ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι. —

ΘΕΟΦ. Ἐνταῦθα περὶ συνεχῶν πυρετῶν διαλέγεται, ὡς δηλοῖ τὸ εἰπεῖν αὐτὸν, ὁκόσοι μὴ διαλείποντες, μὴ διαλείποντες γὰρ συνεχεῖς εἰσιν, ἀλλὰ καὶ συνεχῶν ἐκείνων τῶν καυσωδῶν. καὶ τοῦτο πάλιν δῆλον διὰ τοῦ εἰπεῖν αὐτὸν, διὰ τρίτης ἰσχυροὶ γίνονται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐὰν οἱ καυσώδεις πυρετοὶ διὰ τρίτης ἰσχυρότεροι γίνωνται τουτέστιν ἐὰν ὁ τρίτος ἐπιπαροξυσμὸς σφοδρότερος φανῇ, ἐπικίνδυνοί εἰσι. καὶ ἡ αἰτία, ὅτι ἐνδείκνυται πάχος ὕλης καὶ ἀσθένειαν δυνάμεως, ἀλλὰ μὴν καὶ ὅτι οὐ καιρὸς ἐπιδόσεως τροφῆς ἐστι τὸ τηνικαῦτα διὰ τὴν συνέχειαν τοῦ παροξυσμοῦ· ἄλλως τε ὅτι σημαίνουσι κύριον φλεγμαίνειν μόριον, τυχὸν πνεύμονα ἢ ἧπαρ. ἀλλὰ μὴν καὶ σῆψιν πολλὴν ἐν τοῖς ἀγγείοις δηλοῦσι. διὰ ταύτας οὖν τὰς αἰτίας οἱ μὴ διάλειμμα δεχόμενοι πυρετοὶ ἐπικίνδυνοι, οἱ μέντοι διάλειμμα δεχόμενοι, οὐ κινδυνώδεις διὰ τὰς ἐναντίας αἰτίας. διάλειμμα δὲ ἀκουστέον οὐ τὴν παντελῆ ἀπυρεξίαν, ἀλλὰ τὴν μειοπυρεξίαν.

ΔΑΜ. Εἴτε σφοδροῦ καὶ μακροῦ γεγονότος τοῦ παροξυσμοῦ, εἴτε καὶ μὴ, σημαίνει ὅτι ἀκίνδυνον, ὡς μήτε διὰ φλεγμονὴν γινόμενοι, μήτε ἐπὶ κακοήθει σήψει χυμῶν. ἀμφότερα γὰρ οὐκ ἀφικνοῦνται εἰς ἀπυρεξίαν.

μδ'. Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται. —

ΘΕΟΦ. Πυρετοὶ μακροὶ γίνονται διὰ πάχος ὕλης· ἐπὶ τῶν τοιούτων οὖν πυρετῶν καὶ κατὰ ἀπόστασιν ἡ

κρίσις γίνεται ὥσπερ τοῖς ὀξέσι δι' ἱδρώτων διὰ τὸ εὐδιαφόρητον τῆς ὕλης. αἱ οὖν ἀποστάσεις τοῖς χρονίοις νοσήμασιν εἰς τὰ ἄρθρα γίνονται διὰ τὴν εὐρυχωρίαν ἢ διὰ τὴν θερμασίαν τῶν ἄρθρων, προτρεπομένης ταύτης τὰ περιττὰ, ἐξ ὧν καὶ πόνοι ἤτοι ὀδύναι τοῖς ἄρθροις γίνονται. οὕτως μὲν εἰ εὐπαθῆ εἰσι τὰ ἄρθρα· εἰ γὰρ ῥωμαλέα εἰσὶ, τῇ αὐτῶν δυνάμει ἐκρίπτουσιν ἐπὶ τὸ δέρμα τοὺς χυμοὺς κἀντεῦθεν τὰ φύματα συμβαίνει γίνεσθαι.

ΔΑΜ. Μηκύνονται οἱ πυρετοὶ διὰ τρεῖς αἰτίας ἢ διὰ χυμῶν πλῆθος ἢ πάχος ἢ ψυχρότητα τούτων.

με΄. Ὁκόσοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλέοσι χρέονται. —

ΘΕΟΦ. Ὁ νῦν ἀφορισμὸς περὶ τῶν ἀνακομιζομένων ἐκ νόσου εἴρηται. λέγει δὲ ὅτι ὅσοις μετὰ τοῦ ἀπαλλαγῆναι τοῦ νοσήματος συμβαίνει γίνεσθαι φύματα ἢ πόνους περὶ τὰ ἄρθρα, ὡς ἐπὶ τὸ πολὺ οὗτοι πλήθει σιτίων χρῶνται. καὶ ἡ αἰτία, ὅτι ὑπὲρ τὴν ἀναλογίαν τῆς δυνάμεως αὐτῶν κέχρηνται τῇ τροφῇ, κἂν τούτῳ ἀπεπτοῦσι καὶ περισσότερα ἀθροίζονται τὰ περιττὰ, ὅθεν εἰ μὲν πρὸς τὰ ἄρθρα ἐνεχθῶσι, γίνονται ἀποστάσεις κἀκ τούτου πόνοι, εἰ δ' ἐπὶ τὸ δέρμα, τὰ καλούμενα φύματα.

ΔΑΜ. Μὴ δυναμένης τῆς φυσικῆς δυνάμεως φέρειν τὸ πλῆθος.

μς΄. Ἢν ῥῖγος ἐμπίπτῃ, πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενέϊ ἐόντι, θανάσιμον. —

ΘΕΟΦ. Ἐνταῦθα περὶ συνεχῶν πυρετῶν σημαίνεται ὁ λόγος αὐτῷ εἶναι ἐκ τοῦ εἰρῆσθαι πυρετῷ μὴ διαλείποντι· ἐὰν οὖν συνεχεῖ πυρετῷ ῥῖγος ἐπιπίπτῃ τουτέστιν εἰ μέχρι πολλοῦ χρόνου εἰσβάλλει τὸ ῥῖγος, ἤδη ἀσθενοῦς ἐούσης τῆς δυνάμεως, θανάσιμον, ὅτι ἐπὶ τῷ ῥίγει ἢ κενοῦνται τὰ περιττὰ ἢ οὐ κενοῦνται. καὶ εἰ μὲν κενοῦνται, πλέον καταλύεται ἡ δύναμις διὰ τὴν κένωσιν· εἰ δὲ οὐ κενοῦνται, δηλοῦται παντελῶς ἀσθενὴς εἶναι ἡ δύναμις, καὶ διὰ τοῦτο ὀλέθριον· ἄλλως τε ὅτι εἰ κενοῦνται τὰ περιττὰ, ὁ πυρετὸς δὲ μένει, δηλοῦται περιουσία χυμῶν.

εἰ δὲ μὴ κενοῦνται, δηλοῦται 1) ἀδρανὴς εἶναι ἡ δύναμις καὶ διὰ τοῦτο θανάσιμον.

ΔΑΜ. Οὐκ εἶπεν ἐπιπέσῃ, ὃ δὴ μίαν καταβολὴν τοῦ ῥίγους δηλοῖ, ἀλλ' ἐπιπίπτῃ, ὃ πλείονας καταβολὰς δηλοῖ.

μζ'. Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, ἅπασαι κακαί· ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί· οὕτω καὶ κατὰ τὰς διαχωρήσιας, καὶ τὰ οὖρα. ἢν δὲ μή τι τῶν ξυμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν. —

ΘΕΟΦ. Ὁ παρὼν ἀφορισμὸς, ἀπὸ μοχθηρῶν 2) σημείων χρηστὴν ποιεῖται διάγνωσιν. λέγει γὰρ ὅτι τὰ κενούμενα 3) μοχθηρὰ ἀπὸ τοῦ σώματος ἐν συνεχέσι πυρετοῖς ἢ διὰ στόματος ἢ δι' οὔρων ἢ διὰ διαχωρημάτων εἰ μὲν πρὸ πέψεως ἐκκριθῶσι, ὀλέθριά εἰσι· λόγῳ γὰρ συμπτώματος καὶ οὐ νόμῳ φύσεως ἐκκενοῦνται. εἰ δὲ μετὰ πέψιν ἐκκριθῶσιν, ἀγαθά εἰσι νόμῳ φύσεως ἐκκρινόμενα καὶ οὐ βίᾳ συμπτώματος. αἱ μὲν οὖν πελιδναὶ 4) ἀποχρέμψιες τουτέστιν αἱ καθάρσεις αἱ διὰ λάρυγγος καὶ τραχείας ἀρτηρίας πρὸ πέψεως γενόμεναι ἀποχρέμψεις νέκρωσιν τῶν μορίων σημαίνουσιν, αἱ δὲ αἱματώδεις διάβρωσιν ἀγγείου, αἱ δυσώδεις δὲ σηπεδόνας, καὶ αἱ χολώδεις χολὴν ἄκρατον. κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ οὔρων καὶ διαχωρημάτων· ἐκκρινόμεναι κακαί εἰσιν αἱ διαχωρήσεις· εἰ δὲ μετὰ πέψιν, πᾶσαι αἵ τε διὰ στόματος κενώσεις καὶ οὔρων καὶ διαχωρημάτων ἀγαθαί εἰσι. τεκμήριον δὲ τοῦ καλῶς ἐκκρίνεσθαι ταῦτα ἡ εὐφορία, τοῦ δὲ κακῶς, ἡ δυσφορία. ἀλλὰ μὴν καὶ ἡ τοῦ κάμνοντος

---

1) *παναδρανὴς* **V. a. c.** 2) *χυμῶν* **V. a.** 3) *περιττὰ* **V. a.** 4) COD. ESC. *ἀνάχρεμψις ἡνίκα δι' ὑπερῴας ἐστὶ τὸ ἐμούμενον φερόμενον. ἀπόχρεμψις δὲ λέγεται ἐπὶ τῇ καθάρσει τοῦ λάρυγγος καὶ τῆς τραχείας ἀρτηρίας. — ἀγελαῖος ἰατρὸς* opponitur *Ἱπποκρατείῳ. — ὁ ἀγελαῖος ἰατρὸς καὶ ἰδιώτης, ὁ δὲ τεχνίτης καὶ Ἱπποκρατείοις ὀφθαλμοῖς κεχρημένος ἰατρός. — δεῖ προσυπακοῦσαι τὸν προσδιορισμὸν ἐκεῖνον τὸν ἐν τῷ ὑπομνήματι εἰρημένον τῷ Γαληνῷ τῇ διαίτῃ.*

κρᾶσις καὶ ἡ τοῦ νοσήματος ἰδέα καὶ ὥρα καὶ χώρα. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον τοιοῦτόν ἐστι, ὅτι ἐὰν μή τι τῶν ξυμφερόντων ἢ διὰ στόματος ἢ δι' οὔρων ἢ διὰ διαχωρημάτων κενοῦται, κακόν ἐστιν.

ΔΑΜ. Ἀποχρέμψιάς φησιν τὰς διὰ στόματος ἐκκρίσεις, ὥσπερ ἀποχωρήσεις τὰς διὰ τῆς ἕδρας.

μη'. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ἔῃ, τὰ δὲ ἔσω καίηται καὶ δίψην ἔχῃ, θανάσιμον. —

ΘΕΟΦ. Περὶ συνεχῶν πυρετῶν καὶ νῦν διαλέγεται καί φησιν, ὅτι ἐν τοῖς μὴ διαλείπουσι πυρετοῖς ἢν τὰ μὲν ἔξω ψυχρὰ ἔῃ, τὰ δὲ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον. δηλοῖ γὰρ φλεγμονὴν εἶναι ἐν τοῖς σπλάγχνοις ἢ ἐρυσίπελας, καὶ ἐπειδὴ ἡ φύσις πρόνοιαν ποιεῖται τοῦ πάσχοντος μορίου, συννεύει πρὸς τὰ ἐντὸς μετὰ τοῦ ἐμφύτου θερμοῦ κἀντεῦθεν τὰ ἔξω ψύχεται, τὰ δὲ ἔσω καίεται. διὰ γοῦν τὴν ἀξιόλογον φλεγμονὴν τοῦ σπλάγχνου ἢ τὸ ἐρυσίπελας ὁ θάνατος ἕπεται. ὅτι δὲ ἀξιόλογος ἡ φλεγμονὴ, καὶ ἡ δίψα δηλοῖ.

μθ'. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖς, ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἐόντος ἀσθενέος, ὅ τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος. —

ΘΕΟΦ. Ἐν τῷ παρόντι ἀφορισμῷ θανατώδη σημεῖα καταλέγει καὶ ἔνδειξιν λαμβάνει ἀπὸ τῶν 1) ψυχικῶν δυνάμεων ἤτοι κινητικῶν καὶ αἰσθητικῶν. φησὶν οὖν ἐν συνεχέσι πυρετοῖς ἐὰν ταῦτα τὰ πάθη φανῶσιν, ἀσθενοῦς ὄντος τοῦ κάμνοντος, ἐγγὺς ὁ θάνατος. δηλοῦται γὰρ ἄμετρος θερμότης ἐκ φλεγμονῆς τοῦ ἐγκεφάλου, ἥτις καὶ τὸν ἐπὶ ξηρότητι σπασμὸν εἰργάσατο, ὑφ' οὗ 2) σπασμοῦ καὶ τὰ προειρημένα μόρια διεστράφησαν. ὁ τοιοῦτος δὲ

---

1) ζωτικῶν V. b. C. 2) COD. ESC. οὐκέτι γὰρ ἀκτινοειδῶς ἡ φύσις ἐφαπλοῖ καὶ οἷον ἐπεκτείνει τὸ ἔμφυτον θερμὸν, ἀλλ' εἰς τὸ βάθος συννεύουσα ἀπρονόητα ἐᾷ τὰ ἄκρα, quae frigida sunt et οἷον νενεκρωμένα.

σπασμος ἀνίατος, ἄλλως τε ὅτι ἀσθένεια παντελης τοῦ ψυχικοῦ πνεύματος δηλοῦται. ἀλλ᾽ ἰστέον, ὅτι εἰπὼν, ἢν χεῖλος ἢ ὀφθαλμὸς ἢ ὀφρὺς ἢ ῥὶς διαστραφῇ, ἐδήλωσε τὰς κινητικὰς δυνάμεις πάσχειν, τὰς αἰσθητικὰς δὲ διὰ τοῦ εἰπεῖν, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ.

ΔΑΜ. Αἱ διαστροφαὶ τῶν μορίων γίνονται τεινομένων τε καὶ συνελκομένων ἐπὶ τὰς ἰδίας ἀρχὰς τῶν εἰς αὐτὰ καθηκόντων νεύρων· αὐτὸ δὲ τὸ τείνεσθαι φλεγμοναῖς καὶ σκίῤῥοις καὶ ξηρότησι καὶ ψύξεσιν ἀμέτροις ἕπεται.

ν΄. Ὅκου ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γίνεται καὶ παραφροσύνη, θανάσιμον. —

ΘΕΟΦ. Δύσπνοιά ἐστι κακὴ ἀναπνοή. αὕτη ἢ μεγάλη ἐστὶ καὶ πυκνὴ ἢ μεγάλη καὶ ἀραιὰ ἢ μικρὰ καὶ πυκνὴ ἢ μικρὰ καὶ ἀραιά. ἐνταῦθα οὖν περὶ τῆς μεγάλης καὶ ἀραιᾶς ὁ λόγος τῷ Ἱπποκράτει. αὕτη γὰρ τὴν παραφροσύνην 1) μηνύει. φησὶν οὖν, ὅτι ἐὰν ἐν πυρετῷ διακαεῖ δύσπνοια γένηται, τουτέστι μεγάλη καὶ ἀραιὰ ἀναπνοὴ καὶ παραφροσύνη, θανάσιμον. καὶ ἡ αἰτία, ὅτι ἡ μὲν τὴν καρδίαν δηλοῖ πεπονθέναι, ἡ δὲ παραφροσύνη τὸν ἐγκέφαλον. γίνεται δὲ αὕτη ἡ δύσπνοια, ἥτις καὶ τὴν παραφροσύνην μηνύει, ἐπὶ βλάβῃ τῶν ἀναπνευστικῶν ὀργάνων φλεγμηνάντων. ἡ παραφροσύνη δὲ διὰ τὸ πέμπεσθαι ἀτμοὺς περὶ τὸν ἐγκέφαλον, ὡς ἐστιν ἰδεῖν ἐπὶ περιπνευμονίας. γίνεται γὰρ ἐπὶ τῆς περιπνευμονίας φλεγμονὴ ἐν τῷ πνεύμονι· διὰ ταύτης βλάπτεται ἡ ἀναπνοὴ, ἀτμίζουσα δὲ πέμπει παρὰ τὸν ἐγκέφαλον καὶ ποιεῖ παραφροσύνην, ὥστε προηγεῖται ἡ δύσπνοια τῆς παραφροσύνης.

ΔΑΜ. Δύσπνοια καὶ παραφροσύνη γίνεται, ποτὲ μὲν ἀμφότερα, πεπονθότος τοῦ ἐγκεφάλου, ποτὲ δὲ δύσπνοια, πεπονθότων τῶν ἀναπνευστικῶν. ὅταν οὖν προηγήσηται παραφροσύνη, ἐπακολουθήσῃ δὲ ἡ δύσπνοια, τοῦ ἐγκε-

---

1) δηλοῖ V. b.

φάλου ἐστὶ τὸ πάθος. εἰ δὲ προηγήσηται ἡ δύσπνοια, τῶν ἀναπνευστικῶν μᾶλλόν ἐστι τὸ πάθος.

να'. Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα, μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, 1) μῆκος νούσου σημαίνει. —

ΘΕΟΦ. Πρώτας κρίσιας λέγει τὰς τετάρτας ἡμέρας καὶ τὰς ἑβδόμας. ἐὰν ἓν κατὰ ἀπόστασιν γένηται ἡ κρίσις ἐν πυρετοῖς, καὶ μὴ λυθῶσιν ἐν ταύταις ταῖς ἡμέραις τὰ ἀποστήματα, εἰς μῆκος χρόνου ἐκταθήσεται τὸ νόσημα, διότι ἡ ὑποκειμένη ἐν τοῖς ἄρθροις ὕλη παχυτάτη ἐστὶ καὶ διὰ τοῦτο χρόνου δεῖται πρὸς πέψιν.

COD. ESC. 2) Καὶ οὗτος ὁ ἀφορισμὸς σαφής ἐστιν. ὑποτίθεται γὰρ ὅτι ἐὰν πυρέττοντός τινος ἡ κρίσις κατὰ ἀπόστασιν γένηται ἔν τισι τῶν ἄρθρων, εἶτα μὴ λυθῶσι τυχὸν μὴ πυοποιηθῶσι τὰ ἀποστήματα ἐκεῖνα, τὸ γὰρ μὴ λυόμενα ἀντὶ τοῦ μὴ πυοποιηθῶσι πρὸς τὰς πρώτας κρίσιας, τυχὸν ἐὰν μὴ ἐν ταῖς πρώταις ἡμέραις τῶν κρίσεων πυοποιηθῶσι τουτέστιν ἐν τῇ τετάρτῃ ἡμέρᾳ ἢ ἐν τῇ ἑβδόμῃ, σημαίνει ὅτι εἰς μῆκος χρόνου ἐκταθήσεται ἢ αὐτὸν τὸν πυρετὸν εἰς μῆκος χρόνε ἐκτείνεσθαι, ἐπειδὴ ὑπόκειται ἡ ὕλη παχεῖα οὖσα ἐν τοῖς ἄρθροις· διὰ τοῦτο οὐδὲ ἐλύθη· ἢ ἐὰν ἀπεπαύσατο ὁ πυρετὸς, σημαίνει ὅτι αὐτοὶ οἱ ὄγκοι τῶν ἀποστάσεων τῶν ἐν τοῖς ἄρθροις * ὄντων ὅτι εἰς μῆκος χρόνου ἐκταθήσονται διὰ τὸ πάχος τῆς ὕλης ἀμεταβλήτου τυγχανούσης.

νβ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν οἱ ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον· ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον. —

ΘΕΟΦ. 3) Δάκρυόν ἐστιν ὑγροῦ κένωσις δι' ὀφθαλμῶν·

---

1) παραφροσύνην δηλοῦσιν ἢ μᾶλλον εἰπεῖν μῆκος νόσου V. a.
2) Totum scholion transscripsi, ut discrepantia inter Stephanum sive interpretem Escorialensis codicis et Theophilum pateat.
3) COD. ESC. κατὰ προαίρεσιν δακρύομεν, ἡνίκα ἐξιλεούμεθα καὶ δεόμεθα τὸ θεῖον, — ἡνίκα ἀποβολὴν φίλων ἢ συγγενῶν ἢ στέρησιν χρημάτων ὑπομένομεν. — ἀπροαιρέτως διὰ αἰκισμοῦ καὶ μάστιγος,

γίνεται δὲ τὸ δάκρυον ἢ ἀπροαιρέτως ἢ κατὰ προαίρεσιν· καὶ κατὰ προαίρεσιν μὲν ἢ δι᾽ ἐξιλασμὸν ἢ διὰ στέρησιν φίλων ἢ χρημάτων, ἀπροαιρέτως δὲ, 1) ἢ δι᾽ αἰκισμὸν, διὰ τὴν ὀδύνην ἢ διὰ πολλὴν οἰνοποσίαν τῷ θερμαίνεσθαι τὰς ὕλας ἐν τῇ κεφαλῇ ἢ διὰ φλεγμονὴν τοῦ ὑπεζωκότος ὑμένος τοῦ ὀφθαλμοῦ ἢ δι᾽ ἀσθένειαν τῆς αὐτοῦ καθεκτικῆς δυνάμεως, περὶ οὗ νῦν ὁ λόγος τῷ Ἱπποκράτει, ὅπερ καὶ ἀτοπώτερον ἔφη τῶν λοιπῶν τῶν κατὰ προαίρεσιν γινομένων διὰ τὸ ἐσχάτην ἀτονίαν τῆς καθεκτικῆς δυνάμεως σημαίνειν. Ἰστέον δὲ ὅτι διὰ τοῦ μερικοῦ παραδείγματος τοῦ ὀφθαλμοῦ τὸ ὅλον σῶμα ἐδήλωσεν ἄτονον ἔχειν τὴν καθεκτικὴν δύναμιν.

ΔΑΜ. Εἰ γὰρ μὴ διά τι πάθος τῶν ὀφθαλμῶν, ἀῤῥωστία τῆς καθεκτικῆς ἐμφαίνεται.

νγʹ. Ὁκόσοισιν ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνεται, 2) ἰσχυρότεροι γίνονται αὐτέων οἱ πυρετοί. —

ΘΕΟΦ. 3) Σημεῖον ἐνταῦθα δίδωσι τοῦ εἰς χρόνον ἐπιτείνεσθαι τὸ νόσημα τὸ γλίσχρους γίνεσθαι τοὺς ὀδόντας ἐπὶ τῶν πυρετῶν· σημαίνουσι γὰρ παχεῖαν ὕλην καὶ φλεγματικὴν τὴν τοῦτο ποιοῦσαν. γίνεται δὲ οὕτω τὸ περίγλισχρον, ψυχρῶν καὶ γλίσχρων χυμῶν ὄντων ἐν τῷ στομάχῳ, ἀτμοειδῶς εἰς τὰ οὖλα τῶν ὀδόντων ἀνιεμένης τῆς ὕλης καὶ πηγνυμένης εἰς τοὺς ὀδόντας διὰ τὸ εἶναι αὐτοὺς ψυχροὺς καὶ ξηρούς.

ΔΑΜ. Ταῦτα γὰρ γίνεται ὑπὸ πλήθους θερμασίας, ὑγρότητα φλεγματικωτέραν ὑπάρχειν τῷ σώματι μεταδηλοῦντα.

νδʹ. Ὁκόσοισιν ἐπὶ πουλὺ βῆχες ξηραὶ, βραχέα ἐρεθίζου-

— διὰ πολλὴν οἰνοποσίαν, — διὰ φλεγμονὴν τοῦ ἐπιπεφυκότος ὑμένος τοῦ ὀφθαλμοῦ, — δι᾽ ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως.

1) ἢ — ὀδύνην om. C. 2) ἰσχυροὶ D. 3) COD. ESC. δεῖ δὲ καὶ τῷ Γαληνείῳ προσδιορισμῷ μεμνῆσθαι i. e. cogitare diaetam aegroti. — saepe enim dentium viscositas e victu nascitur.

σαι, ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσι. —

ΘΕΟΦ. 1) *Βῆχες ξηραὶ λέγονται, ἐφ᾽ ὧν οὐδὲν ἀναπτύεται. γίνονται δὲ ἐπὶ τραχύτητι τῆς φάρυγγος ἀπὸ ψυχρᾶς δυσκρασίας, ἥτις διὰ τὴν ἐν βηχὶ κίνησιν ἐκ τῶν πλησίων ἕλκει ὑγρότητα, κἂν τούτῳ παύει τὴν δίψαν τῶν καυσωδῶν πυρετῶν. ὅτι δὲ περὶ τῆς βηχὸς ταύτης ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει, δῆλον ἐκ τοῦ εἰπεῖν βραχέα ἐρεθίζουσαι· αὕτη γὰρ καὶ μόνον βραχέα ἐρεθίζει.*

ΔΑΜ. Αἱ ξηραὶ βῆχες γίνονται ἢ ἐπὶ δυσκρασίᾳ τῶν ἀναπνευστικῶν ἢ ἐπὶ τραχύτητι τῆς φάρυγγος ἢ ὀλίγου καὶ λεπτοῦ ὑγροῦ καταῤῥέοντος. ὅτι δ᾽ ἂν ᾖ τούτων, ἐπιτέγγεταί πως καὶ οὐ ξηραίνεται τὰ περὶ τὴν ἀρτηρίαν χωρία, διὸ ἧττόν εἰσι διψώδεις.

νε΄. Οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων. —

ΘΕΟΦ. 2) *Βουβὼν ἐστι φλεγμονὴ ἀδένων, ἀδὴν δέ ἐστι σῶμα σπογγῶδες. ἀλλὰ τῶν βουβώνων οἱ μὲν ἐπὶ*

---

1) COD. ESC. *ἡ ἄπτυστος πλευρῖτις. βὴξ ξηρὰ* non est ea, quae *παρὰ πᾶσι τοῖς παλαιοῖς διαβεβλημένη ἐστὶν*, sed tussis irritans e frigido aere. — *τὸ οὐ πάνυ ἀδιαφόρως κεῖται· ποτὲ μὲν γὰρ τὸ οὐ πάνυ ἀντὶ τοῦ οὐδαμῶς οὐδ᾽ ὅλως εἴρηται, ποτὲ δὲ τὸ οὐ πάνυ ἀντὶ τοῦ ἐπ᾽ ὀλίγον εἴρηται, καὶ διάφορα φέρονται σημαινόμενα ὑπὸ τῶν παλαιῶν. οὕτω γοῦν ὁ Πλάτων ἔφη πέπονθα τοῖς πολλοῖς παραπλήσιόν τι, οὐ πάνυ τι σοι πιστεύω. — δυνατὸν οὖν ἐνταῦθα τὸ οὐ πάνυ κατὰ τῶν ἀμφοτέρων νοῆσαι*, ut aut *οὐδ᾽ ὅλως* aut *ἐπ᾽ ὀλίγον* sit. 2) IBID. *Σεσαφήνισται ἡμῖν ὁ παρὼν ἀφορισμὸς ἐν τῷ πρώτῳ λόγῳ τῷ πρὸς Γλαυκῶνα, πλὴν καὶ νῦν τὰ εἰκότα τυχῆναι τῆς ἐξηγήσεως.* — Luce clarius est, Stephanum esse auctorem. — *Βουβὼν γίνεται ἐπὶ προκαταρκτικῇ* v. c. lapsu. — *ὥσπερ γὰρ στρατηγὸς ὁρμᾷ κατὰ τῶν ἀντιπάλων πάντως μετὰ τῶν οἰκείων ἐκστρατευμάτων κινεῖ, οὕτως καὶ ἡ φύσις μετὰ τῶν οἰκείων ὀχημάτων συννεύει ἐπὶ τὸ ὀδυνώμενον μόριον πρὸς ἀμύναν τοῦ λυποῦντος. — ὡς γὰρ ἐν τῇ περὶ διαφορᾶς πυρετῶν, θεοῦ διδόντος, μαθησόμεθα. — βουβὼν ἐπὶ προηγουμένῃ* v. c. e cacochymia, quae in articulos propellitur. — *πλὴν οὐ μόνον ἐπὶ τῶν μηρῶν λέγονται βουβῶνες, ἀλλὰ καὶ ἐν ταῖς μασχάλαις καὶ ἐν τοῖς παρισθμίοις, ἐπειδὴ ἐν τούτοις εἰσὶ τεταγμένοι ἀδένες.*

προκαταρκτικῇ αἰτίᾳ γίνονται, ὡς οἱ ἐπὶ προσπταίσματι τοῦ ποδὸς ἢ λύπῃ ἢ θυμῷ, οἵτινες καὶ ἐφήμεροι καλοῦνται καὶ ἀκίνδυνοί εἰσι διὰ τὸ λύεσθαι διὰ μιᾶς ἡμέρας· οἱ δὲ ἐπὶ προηγουμένῃ αἰτίᾳ γίνονται, οὓς καὶ κακοὺς λέγει εἶναι Ἱπποκράτης διὰ τὸ ἐνδείκνυσθαι τὰ σπλάγχνα φλεγμαίνειν ὑπὸ σήψεως. καὶ τοῦτο δῆλον ὅτι φλεγμονή ἐστιν ἐν τοῖς ὑποχονδρίοις ἐκ σήψεως· τούτοις συμπάσχουσι καὶ τὰ ἀσθενέστερα μόρια. δέχονται οὖν τῆς ὕλης τι οἱ βουβῶνες ὡς ἀσθενεῖς τῷ λόγῳ τοῦ πλήθους, καὶ ἐξογκοῦνται φλεγμαίνοντες. δεῖ δὲ γινώσκειν, ὅτι τοῖς ἐν προκαταρκτικῇ αἰτίᾳ γινομένοις βουβῶσιν ἕπεται πυρετὸς, τοῖς δὲ ἐκ προηγεμένης, προηγεῖται. εἰ δέ τις λέγει, ὅτι εἰ καὶ τοῖς βουβῶσιν ἕπεται πυρετὸς, τοῖς δὲ προηγεῖται, διὰ τί Ἱπποκράτης ἁπλῶς εἶπεν ἐπὶ βουβῶσι πυρετοὶ, λέγομεν, ὅτι τῇ συνηθείᾳ ἀκολουθῶν τοῦτο εἶπεν· ἡ γὰρ συνήθεια τοῖς βουβῶσί φησιν ἕπεσθαι τὸν πυρετόν.

νς'. Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλέω σημαίνει. —

ΘΕΟΦ. 1) Ἐνταῦθά φησιν Ἱπποκράτης ὅτι ἐὰν πυρετός ἐστι συνεχὴς καὶ γίνεται πολὺς ἱδρὼς, καὶ οὐ παύει τὸν πυρετὸν τῇ κενώσει, μηκύνεται ἡ νόσος. καὶ ἡ αἰτία ὅτι πλῆθος ὑγρότητός ἐστιν, ὅπερ χρόνου δεῖται εἰς πέψιν. διὰ οὖν τὴν ὑγρασίαν τὴν πολλὴν μηκύνεται τὸ νόσημα.

ΔΑΜ. Ἡ γοῦν ὑγρασία αὕτη δεῖται πέψεως· ἀναγκαῖον οὖν ἐστι μηκῦναι τὴν νόσον πρὸς τὸ πλῆθος τῆς ὕλης.

νζ'. Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ, πυρετὸς ἐπιγενόμενος λύει τὸ νούσημα. —

---

1) COD. ESC. δεῖ εἰδέναι ὡς πολλάκις ἡμῖν εἴρηται ὅτι ὁ Ἱπποκράτης διὰ καλλωπισμὸν φράσεως καταφρονεῖ τῆς τάξεως καὶ τῆς συνεχείας τῶν λεγομένων. — ὀφείλων γὰρ εἰπεῖν ὅτι οἷσι πλείων ἡ ὑγρασία ἐν τῷ σώματι, σημαίνει ὅτι εἰς μῆκος χρόνου ἐκταθήσεται τὸ νόσημα, invertit ordinem.

ΘΕΟΦ. 1)Ὁ σπασμὸς καὶ ὁ τέτανος ὑπὸ κενώσεως ἢ πληρώσεως γίνονται. ἄμφω οὖν τούτοις ὁ πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα, δηλονότι τοῖς ἐπὶ πλήθει συνισταμένοις. περὶ γὰρ τούτων νῦν ὁ Ἱπποκράτης διαλέγεται. καὶ ἡ αἰτία, ὅτι ὁ πυρετὸς πέττει καὶ 2) ἀλλοιοῖ καὶ διαφορεῖ τὴν ὕλην τὴν ταῦτα τὰ πάθη ἐργασαμένην. δεῖ δὲ καὶ τοῦτο γινώσκειν ὅτι σπασμοὶ τρεῖς εἰσιν, ὁ μὲν ἐμπροσθότονος ὀνομαζόμενος, ὃς ἐπὶ πάθει τῶν ἐντὸς μυῶν τῆς ῥάχεως γίνεται, ὁ δὲ ὀπισθότονος, ὃς ἐπὶ πάθει τῶν ἐκτὸς μυῶν τῆς ῥάχεως γίνεται, ὁ δὲ τέτανος, ὃς ἐπὶ πάθει τῶν ἐντὸς καὶ ἐκτὸς μυῶν τῆς ῥάχεως γίνεται. εἰ δέ τις εἴποι, ὅτι εἰ καὶ ὁ τέτανος σπασμός ἐςι, πῶς προσέθηκεν ὁ Ἱπποκράτης ὑπὸ σπασμοῦ ἢ τετάνου, λέγομεν, ὅτι ἵνα ἄμφω δηλώσῃ καὶ τὸ γένος καὶ τὸ εἶδος· ὁ μὲν γὰρ σπασμὸς γένος ἐστὶν, ὁ δὲ τέτανος σπασμὸς μὲν καὶ αὐτὸς, ἀλλ᾽ εἶδος.

ΔΑΜ. Τῷ γὰρ κεκρατημένῳ ὑπὸ σπασμοῦ ἢ τετάνου ἐπιγενόμενος πυρετὸς λύει τὸ νόσημα, τὸ μέν τι διαφορῶν τῆς περιττῆς ὕλης, τὸ δέ τι καὶ πέττων τῆς ψυχρότητος. σήμανον ὅτι τρεῖς σπασμοί εἰσιν, ὀπισθότονος, ἐμπροσθότονος καὶ τέτανος.

νη´ Ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένȣ, λύσις. —

ΘΕΟΦ. 3)Ἐνταῦθά φησιν ὅτι ἐὰν, πυρετοῦ διακαοῦς ὑποκειμένου, ἐπιγένηται ῥῖγος, λύει αὐτόν. διὰ τί; διότι ἐπὶ τοῦ καύσου ἔνδον οὖσα ἡ ὕλη τῶν ἀγγείων συνεχῆ τὸν πυρετὸν ἐποίει, τὸ δὲ ῥῖγος ἐπιγενόμενον μετάστασιν τῆς ὕλης ἐποιήσατο ἀπὸ τῶν ἔσω ἔξω, ἧς καὶ δι᾽ ἱδρώτων ἀποδιωκομένης καὶ ἀπαλλαττομένης τοῦ σώματος,

---

1) COD. ESC. οὐκ ἐκυριολόγησεν ὁ Ἱπποκράτης ἐνταῦθα εἰπὼν λύει τὸ νόσημα· ἔδει γὰρ αὐτὸν εἰπεῖν, λύει τὸ σύμπτωμα. — ὁ γὰρ σπασμὸς καὶ ὁ τέτανος συμπτώματά εἰσι προδήλως.—ἀκυριολεξίᾳ ὧν ἐχρήσατο Ἱπποκράτης. At si quis cogitat, ἔμφραξιν tolli superveniente febre, λύει τὸ νόσημα bene se habet. 2) διαλύει V. b. C. 3) COD. ESC. ῥῖγος οὐχ ἁπλοῦν τι χρῆμά ἐστιν, ἀλλὰ σύνθετον· σύγκειται γὰρ ἀπὸ κλόνȣ καὶ περιφρίξεως. — Ἀπορία. Quomodo in febre ardente ῥῖγος fit, ubi αἱ ὕλαι θερμαί εἰσι? Fit τῇ ἀπουσίᾳ τοῦ θερμοῦ, quod introrsum iabiit.

λύσις ἀνάγκῃ τοῦ πυρετοῦ γίνεται. πρὸς δὲ τοὺς ἀποροῦντας πῶς ἐνδέχεται ῥῖγος γενέσθαι ἐπὶ τῶν θερμῶν ὑλῶν, εἴ γε ὁ καῦσος ἐπὶ χολῇ γίνεται, ἔστιν εἰπεῖν, ὅτι δριμεῖα ὕλη ὑπόκειται καὶ θερμὴ ἐπὶ τῶν τοιούτων πυρετῶν. διὰ τὴν ἀνίαν οὖν τῆς δριμύτητος τοῦ χυμοῦ τὸ ἔμφυτον θερμὸν ἐπὶ τὸ βάθος συννεύει κἀκ τούτου ῥῖγος γίνεται.

ΔΑΜ. Ἡ γὰρ ξανθὴ χολὴ διὰ τῶν αἰσθητικῶν φερομένη ὀξέως σωμάτων ῥῖγος ἐργάζεται, ἐφ' ᾧ δηλαδὴ καὶ κοιλίαι καταῤῥήγνυνται καὶ χολῆς ἔμετος καὶ ἱδρῶτες γίνονται.

νθ'. Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον. —

ΘΕΟΦ. 1) Ὁ νῦν ἀφορισμὸς προθεσμίαν ποιεῖται νοσήματος ἀκριβοῦς τριταίου. ἡ δὲ προθεσμία ἐστὶν ἡ τεσσαρεσκαιδεκάτη ἡμέρα καὶ δῆλον ἐκ τοῦ λέγειν, ἐν ἑπτὰ περιόδοισιν· ὁ γὰρ τριταῖος διὰ μιᾶς παροξύνει· ἔστιν οὖν τριταῖος ἀκριβὴς, ὃς ἔχει χολώδεις ἐμέτους, διαῤῥοίας χολώδεις, καῦμα σφοδρὸν, ὃς κρατεῖ δώδεκα ὥρας τὸ μήκιστον. ὁ γὰρ μὴ τοιοῦτος τριταῖος νόθος ἐστίν. οὗτος οὖν ὁ ἀκριβὴς τριταῖος κρίνεται ἐν ἑπτὰ περιόδοις τὸ μακρότατον, ὥς φησιν Ἱπποκράτης· ἔστι γὰρ ὅτε καὶ τῇ ἑβδόμῃ καὶ τῇ ἐννάτῃ καὶ τῇ ἑνδεκάτῃ λύεται διὰ τὸ εὐδιαφόρητον τῆς ὕλης ἥτις ἐστὶ ξανθὴ χολὴ ἡ τοῦτον τὸν πυρετὸν ἐργαζομένη.

ΔΑΜ. Ὁ μὲν καῦσος ἐν ταῖς φλεψὶν ἅμα τῷ αἵματι τὴν ξανθὴν χολὴν πλεονάζουσαν καὶ ζέουσαν ἔχει, ὁ δὲ τριταῖος ἐν ὅλῳ τῷ σώματι φερομένην καὶ κινουμένην.

ξ' Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ,

---

1) COD. ESC. *Τινὰ τῶν ἀντιγράφων ἔχουσι τὸ ἀκριβεῖς τριταῖοι ὥσπερ ἐνταῦθα, τινὰ δὲ οὐκ ἔχουσι. τοῦτο οὖν οὐ μάτην ἐμνημονεύσαμεν, ἐπειδὴ γινώσκομεν ὅτι ἐπὶ τῇ ἁπλῇ καὶ ἀμιγεῖ χολῇ διάφοροι τριταῖοι γίνονται, ὡς δηλοῦσι τοῦτο καὶ οἱ μερικοὶ παροξυσμοὶ τοῦ χρόνου. — ῥαγδαῖος ἱδρώς.* — Hippocrates agit de tritaeo *ἀνοθεύτῳ*.

αἷμα ἐκ τῶν ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νούσημα. —

ΘΕΟΦ. Ἐν πυρετῷ κωφῶνται τὰ ὦτα, ἀτμῶν τινων ἐπὶ τὴν κεφαλὴν ἀνερχομένων ἐκ τῆς ὑποκειμένης ὕλης καὶ καταλαμβανόντων τοὺς ἀκουστικοὺς πόρους καὶ ἐμφραττόντων αὐτούς. ὅσοις οὖν ἐν πυρετοῖς τὰ ὦτα κωφωθῇ, ἢ διὰ ῥινῶν αἱμοῤῥαγία ἢ ἐκτάραξις γαστρὸς χολωδῶν περιττωμάτων γινομένη παύει τὴν κώφωσιν. διατί; ἐπειδὴ ἡ ὕλη ἐκενώθη ἡ ποιήσασα τὸν πυρετὸν καὶ τὴν κώφωσιν, καὶ ἐπὶ τούτῳ ἐπαύθη ἡ κώφωσις.

ΔΑΜ. Εἰ κωφωθῇ τις ἐν πυρετῷ, λύεται διὰ τῶν δηλωθεισῶν κενώσεων τοῦ λυποῦντος χυμοῦ.

ξα΄. Ἢν μὴ ἐν κρισίμῳ ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθε. —

ΘΕΟΦ. 1) Ἐνταῦθα περὶ τῶν ὀξέων νοσημάτων ὁ λόγος τῷ Ἱπποκράτει. καὶ δῆλον ἐκ τοῦ εἰπεῖν, ἐν περισσῇσι· ταῦτα γὰρ ἐν περιτταῖς ἢ παρὰ μίαν παροξύνει διὰ τὸ εὐδιαφόρητον καὶ θερμὸν τῆς ὕλης. ὅπου δὲ ὁ παροξυσμὸς, ἐκεῖ καὶ ἡ κρίσις. τοῖς οὖν ὀξέως νοσοῦσιν, ἢν μὴ ἐν περιτταῖς ἡμέραις ὁ πυρετὸς ἀφῇ, ὑποτροπιάζει. καὶ ἡ αἰτία, διὰ τὸ μὴ νόμῳ φύσεως γεγενῆσθαι τὴν κρίσιν, ἀλλὰ βίᾳ συμπτώματος. ἄλλως τε τὸ ἐν περισσῇσιν ἀντὶ τοῦ ἐν κρισίμοις εἴρηται. ἐὰν οὖν ἐν περιτταῖς ἡμέραις ἤτοι ἐν κρισίμοις ὁ πυρετὸς ἀφῇ, ἀγαθόν· ἢν δὲ μὴ, ὑποτροπιάζειν εἴωθε. καὶ ἔστιν ἡ ἐξήγησις αὕτη ἀναγκαιοτέρα τῆς ἑτέρας, συμπεριλαμβάνουσα καὶ τὴν τετάρτην καὶ τὴν τεσσαρασκαιδεκάτην καὶ εἰκοστὴν καὶ τεσσαρακοστὴν, αἵτινές εἰσι κρίσιμοι.

2) Τὰ ἐν ἀρτίῃσι ἡμέρῃσι κρινόμενα δύσκριτα καὶ φιλυπόστροφα. —

---

1) COD. ESC. Ἀπορία: At quartus, decimus quartus etc. dies nonne sunt critici et ἄρτιοι? Sed quartus dies raro criticus et 14 κρίνει ὡς περιττὴ ἡμέρα, καὶ οὐχ ὡς ἀρτία. Nam si dies octavus principium secundae hebdomadis, 14 dies est septimus. 2) Hic aphorismus in vulgatis nostris editionibus omittitur.

ΘΕΟΦ. 1) *Ἐν τῷ ἀνωτέρω ἀφορισμῷ εἰπὼν τὰς ἀγαθὰς κρίσεις ἐν περιτταῖς ἤτοι ἐν κρισίμοις ἡμέραις γίνεσθαι, ἐξ ἀνάγκης τοῦτον τὸν ἀφορισμὸν τίθησι, διδάξαι βουλόμενος τὰς ἀχρήστους κρίσεις ἐναντίαις ἤτοι ἀκρισίμοις ἡμέραις γίνεσθαι.*

ξβ΄. *Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερέων, κακόν, [ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ κοιλίην γένωνται].* —

ΘΕΟΦ. 2) *Ἴκτερος γίνεται ἐπὶ ἐμφράξει τοῦ χοληδόχου ἀγγείου· οὐ καθαίρεται γὰρ τὸ τηνικαῦσα διὰ τὴν ἔμφραξιν καὶ ἀκάθαρτον ἀναδίδοται τὸ αἷμα καὶ γίνεται ἴκτερος. γίνεται δὲ καὶ σκιῤῥουμένου καὶ φλεγμαίνοντος τοῦ ἥπατος· ἐκχολοῦται γὰρ τὸ τηνικαῦτα τὸ ὅλον αἷμα διὰ τὴν δυσκρασίαν καὶ οὐκ ἰσχύει ὅλον ἑλκύσαι ἡ χοληδόχος κύστις, ἀλλ᾽ ἀναδίδοται ὅλον χολωδέστερον τὸ αἷμα ἐν τῷ παντὶ σώματι, καὶ γίνεται ἴκτερος· γίνεται δὲ καὶ φυσικῷ τρόπῳ τοιῷδε, τῆς φύσεως κηδομένης τῶν ἐν βάθει μορίων κριτικῶς ἐκρίπτει τὴν ὕλην ἐπὶ τὰ ἐκτὸς καὶ γίνεται ἴκτερος ὥσπερ ἐπὶ καύσου καὶ τριταίου, τῆς φύσεως* 3) *φειδομένης τῶν ἐν βάθει μορίων καὶ πρὸς τὰ ἐκτὸς τὴν ὕλην ἐκριπτούσης. οἱ οὖν πρὸ τῆς ἑβδόμης*

---

1) COD. ESC. *Οὗτος ὁ ἀφορισμὸς δοκεῖ περιττὸς εἶναι· ταῦτα γάρ ἐστιν τὰ ἐν ἀρτίαις κρινόμενα δύσκριτα, — ὅθεν ὁ Γαληνὸς οὐδὲ ἠξίωσεν αὐτὸν ἐξηγήσεως, λέγων ὅτι ἐμπαρατέθειται· — — οἱ μέντοι ἐξηγηταὶ παραμυθίας ἕνεκεν ἐξηγήσαντο τὸν τρόπον τοῦτον· — προσδιωρίσατο* Hippocrates *πυρέσσοντι* addens. 2) IBID. *Οἶμαι ὑμᾶς μὴ ἀγνοεῖν ὅτι ὁ ἴκτερος σύμπτωμά ἐστιν.* — Quatuor *ζητήματα* de ictero: 1.) *ποίας δυνάμεως ἢ ἐνεργείας ἤτοι ἔργου ἐστὶ βλάβη ὁ ἴκτερος; τῆς διακριτικῆς,* quae est vis composita, *γινομένη ἀπὸ τῆς ἀποκριτικῆς τοῦ ἥπατος καὶ ἀπὸ τῆς ἑλκτικῆς τῆς χοληδόχου κύστεως.* 2.) *ποίοις νοσήμασι πέφυκεν ἕπεσθαι ὁ ἴκτερος; γίνεται ἐπὶ ἐμφράξει τῶν χοληδόχων ἀγγείων, — ἐπὶ ταῖς ζεούσαις φλεγμοναῖς τοῦ ἥπατος, — ἐπὶ τοῖς ἐρυσιπελατώδεσιν ὄγκοις τοῦ ἥπατος, θερμῇ δυσκρασίᾳ τοῦ ἥπατος.* 3.) *ἐν ποίοις μορίοις συναγομένης καὶ ἀθροιζομένης τῆς χοληδόχου ὕλης διαφαίνεται καὶ λέγεται ἴκτερος; ἐν τοῖς ὑπὸ δέρμα ὑμέσι καὶ ἐν αὐτῷ τῷ δέρματι.* 4.) *ἐν ᾧ σημειῶσίν τινα εἴτε νοσερὸς γέγονεν ὁ ἴκτερος εἴτε κριτικὸς καὶ εἴτε νόμῳ φύσεως εἴτε βίᾳ συμπτώματος* etc. 3) putrefaciente C! *σηπομένης!*

ἡμέρας ἴκτεροι ἐν πυρετοῖς ἐπιγινόμενοι κακοί. 1) καὶ ἡ αἰτία· θᾶττον γὰρ οὐχ οἷόν τε κριτικῶς ἀναδοθῆναι τὴν χολὴν εἰς τὸ σῶμα. λείπεται οὖν βίᾳ συμπτώματος τοῦτο γίνεσθαι καὶ διὰ τοῦτο κακόν. τινὲς δὲ προσγράφουσι τὸ ἢν μὴ ξυνδόσιες καὶ τὰ ἑξῆς, βουλόμενοι καθαίρεσθαι τὸ χολῶδες ἐπ' ὠφελείᾳ.

ΔΑΜ. Ἴκτερος κακὸν πρὸ τῆς ζ', ἐὰν μὴ ἡ κοιλία ὑγρὰ γένηται.

ξγ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται. —

ΘΕΟΦ. 2) Περὶ ἀμφημερινοῦ διαλέγεται, καὶ σαφὴς ἡ ἔννοια τοῦ ἀφορισμοῦ ἐξ αὐτῆς τῆς φράσεως. φησὶ γὰρ ἐὰν καθ' ἡμέραν πυρέσσοντι καθ' ἡμέραν αὐτῷ ἐπιγίνηται ῥῖγος, λύει τὸν πυρετόν· ἡ γὰρ ὕλη ἐκτὸς τῶν ἀγγείων ἐκρίπτεται, ἥτις ἐντὸς ἔσα τὸν πυρετὸν ἐποίει. ἀλλ' ἀπορέσί τινες λέγοντες, καὶ πῶς ἐπὶ τε ἡμιτριταίτ τε καθ' ἑκάςην ἡμέραν ῥῖγος ποιοῦντος οὐ παύεται πυρετὸς καί φαμεν, ὅτι περὶ ἁπλοῦ πυρετοῦ ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει νῦν, οὐ περὶ συνθέτου. οὗτος δὲ σύνθετός ἐστιν ἐκ δύο πυρετῶν, ἀπό τε συνεχοῦς ἀφημερινοῦ καὶ τριταίου διαλείποντος.

ΔΑΜ. Τουτέστιν ἀπύρετοι γίνονται οἱ κάμνοντες ὡς ἐπὶ τριταίων καὶ τεταρταίων.

ξδ'. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ ἑνδεκάτῃ, ἢ τῇ τεσσαρεσκαιδεκάτῃ, ἴκτερος ἐπιγίνεται, ἀγαθὸν, ἢν μὴ τὸ ὑποχόνδριον τὸ δεξιὸν σκληρὸν γένηται· ἢν δὲ μὴ, οὐκ ἀγαθόν. —

ΘΕΟΦ. Ἀγαθοὺς λέγει τοὺς ἐν τοιαύταις ἡμέραις ἐπιγινομένους ἐν πυρετῷ ἰκτέρους, ἐπειδὴ νόμῳ φύσεως

---

1) Quae sequuntur, om. C. τινὲς usque ad finem Om. V. b. A. b. 2) COD. ESC. Προσδιορισμοί: 1.) τὸ ῥῖγος δεῖ προηγεῖσθαι τοῦ πυρετοῦ, εἰ μέλλοι παύειν αὐτόν. 2.) τὸν πυρετὸν δεῖ ἁπλοῦν εἶναι, εἰ τὸ ῥῖγος παύειν μέλλοι. 3.) δεῖ τὸ ἐπιγινόμενον ῥῖγος τῷ πυρετῷ παροξυντικὸν εἶναι, καὶ οὐκ ἄλογον.

ἐγεγόνησαν, ἐν κρισίμοις ἡμέραις φανέντες· πλὴν προσέθηκε προσδιορισμὸν εἰπὼν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν γένηται. ἐὰν γὰρ φλεγμονή ἐστι τοῦ ἥπατος κἂν ἐν κρισίμοις ἡμέραις γένηται ὁ ἴκτερος, κακόν ἐστι διὰ τὸ νοσερῶς διακεῖσθαι τὸ ἧπαρ.

ΔΑΜ. Τουτέστιν εἰ μή τις ἐν τῷ ἥπατι κακοπραγία τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων ὑπάρχει, φλεγμονή τις ἢ σκίῤῥος ἢ ἔμφραξις.

ξέ. Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν. —

ΘΕΟΦ. 1) Κοιλίαν λέγει νῦν τὴν σιτοδόχον, καὶ δῆλον ἐκ τοῦ εἰπεῖν τὸν καρδιωγμόν· καρδιωγμὸς γάρ ἐστι δῆξις τοῦ στόματος τῆς γαστρός. 2) ἐὰν οὖν, πυρετοῦ ὑποκειμένου, περὶ τὴν κοιλίαν καῦμα ἰσχυρὸν γένηται καὶ καρδιωγμὸς, κακὸν τὸ τοιοῦτον, ἐπειδὴ δηλοῖ δριμεῖαν καὶ ζέουσαν ὕλην ὑποκεῖσθαι περὶ τὴν γαστέρα, ἥτις τῇ μὲν ζέσει τὸ καῦμα ποιεῖ, τῇ δὲ δήξει τὸν καρδιωγμόν. διὰ οὖν τὸ ἀνιᾶσθαι τὸν στόμαχον τῇ δήξει τοῦ χυμοῦ κακόν.

ΔΑΜ. Τὸ μὲν οὖν ἰσχυρὸν καῦμα τῆς κοιλίας ὑπὸ τῆς ξανθῆς χολῆς ζεούσης ἐν τοῖς χιτῶσιν αὐτῆς γίνεται. κατὰ λόγον δὲ τοῖς οὕτω διακειμένοις καὶ τὸ στόμα τῆς γαστρὸς δάκνεται καὶ διὰ τοῦτο κακόν ἐστι τὸ σύμπτωμα.

ξς'. Ἐν τοῖσι πυρετοῖσι οἱ ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοὶ, κακόν. —

ΘΕΟΦ. Ἐνταῦθά φησιν Ἱπποκράτης, ὅτι ἐὰν πυρετῦ ὑποκειμένου, ἐξ ὕπνου σπασμὸς καὶ φόβος ἐπιγένηται, κακόν. καὶ ἡ αἰτία· δηλοῦται γὰρ μελαγχολικώτερος χυμὸς εἶναι ἄπεπτος, ὃς ἐμφράττων τὰ νευρώδη μόρια τὸν

---

1) COD. ESC. ἐνταῦθα δὲ γενόμενος ὁ Γαληνὸς κεκρυμμένην γνώμην καὶ ἔννοιαν. δημοσιεύει τοῦ Ἱπποκράτους, ac si hic sermo sit περὶ ἐρυσιπελατώδους ὄγκου κατὰ τὴν γαστέρα. 2) Omnia quae sequuntur, om. C.

σπασμὸν ποιεῖ, ἀναφερόμενος δὲ πρὸς τὴν κεφαλὴν καὶ μολύνων τὸ ψυχικὸν πνεῦμα τὸν φόβον ἀπεργάζεται. ὅτι δὲ ἄπεπτός ἐστιν ὁ χυμὸς, δῆλον ἐκ τοῦ βλαβεροὺς ἐπιφέρεσθαι τοὺς ὕπνους.

ΔΑΜ. Φόβοι γίνονται ἐν τοῖς ὕπνοις, τοῦ λυποῦντος χυμοῦ ἐπὶ τὸν ἐγκέφαλον ἀνερχομένου, καὶ μελαγχολικοῦ μὲν ὄντος, φόβοι γίνονται, καὶ μελαγχολικοῦ δὲ, πόνοι. γίνονται δὲ φόβοι καὶ ἄλλως, τοῦ στόματος τῆς γαστρὸς βαρυνομένου μοχθηροῖς χυμοῖς.

ξζ'. Ἐν τοῖσι πυρετοῖσι τοῖσι ὀξέσι οἱ σπασμοὶ, καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν. —

ΘΕΟΦ. Καὶ ἐνταῦθα περὶ σπασμοῦ διαλέγεται καί φησιν, ὅτι ἐὰν, πυρετοῦ διακαοῦς ὑποκειμένου, σπασμὸς ἐπιγένηται καὶ πόνος περὶ τὰ ὑποχόνδρια, κακόν. ὁ μὲν σπασμὸς, ὅτι δηλοῦται ἐκ ξηρότητος συνίστασθαι, πυρετοῦ διακαοῦς ὑποκειμένου, ὁ πόνος δὲ ὁ ἰσχυρὸς περὶ τὰ ὑποχόνδρια, ὅτι καὶ αὐτὸς ὁμοίως πολλὴν τὴν ξηρότητα ἐμφαίνει. καὶ γὰρ ἐκ τῆς ἀμέτρου ξηρότητος ἀνιῶνται τὰ σπλάγχνα κἀντεῦθεν πονοῦσιν.

ΔΑΜ. Παραπλησίως γὰρ πυρὶ ξηραίνοντες οἱ πυρετοὶ τὰ νεῦρα τείνουσι καὶ σπῶσι. τῷ αὐτῷ δὲ λόγῳ καὶ τοῖς σπλάγχνοις ἐμποιοῦσιν ὀδύνας.

ξη'. Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει. —

ΘΕΟΦ. 1) *Καὶ ἐνταῦθα περὶ σπασμοῦ διαλέγεται. λέγει δὲ, ὅτι ἐὰν ἐν πυρετῷ τὸ πνεῦμα ἤτοι ἡ ἀναπνοὴ προσκόπτηται τουτέστι διακόπτηται, κακόν· καὶ ἡ αἰτία καθ' Ἱπποκράτην· σπασμὸν γὰρ σημαίνει τὸν ἐπὶ ξηρότητι ὅλου τοῦ σώματος καὶ μάλιστα τῶν τοῦ θώρακος μυῶν. τούτων γὰρ παθόντων, καὶ ἡ ἀναπνοὴ ἐμποδίζεται. πῶς; διαστελλομένου γὰρ τοῦ θώρακος, γίνεται ἡ εἰσπνοὴ, συστελλομένου δὲ, ἡ ἐκπνοή. οὗτος οὖν ὁ σπασμὸς καὶ*

1) COD. ESC. *πνεῦμα δὲ ὁ Ἱπποκράτης εἴωθε τὴν ἀναπνοὴν καλεῖν. οὕτω γὰρ ἐν τῷ προγνωστικῷ λέγει ὅτι πνεῦμα πυκνὸν μὲν ἐὸν* etc.

τὴν ἀναπνοὴν προσκόπτειν ποιεῖ, ἧς καὶ διασπωμένης, κακόν ἐστι, διότι ἡ ἀναπνοὴ σύνθετός ἐστιν, ἐκ τῆς εἰσπνοῆς καὶ ἐκπνοῆς συγκειμένη. ἐὰν οὖν ἡ εἰσπνοὴ διακόπτηται, οὐκ ἐμψύχεται τὸ ἔμφυτον θερμὸν ἐκ τοῦ ἔξωθεν ἀέρος 1) οὐδὲ ῥιπίζεται καὶ κινδυνεύει ἀπομαρανθῆναι. ἐὰν δὲ πάλιν ἡ ἐκπνοὴ διακόπτηται, συνάγονται τὰ λιγνυώδη περιττώματα, μὴ δυνάμενα διὰ τῆς ἐκπνοῆς ἐξελθεῖν, καὶ πλημμυροῦντα ἀποσβεννύουσι τὸ ἔμφυτον θερμόν.

ΔΑΜ. Ἡ ἀναπνοὴ εἴτε κατὰ τὴν ἔσω, εἴτε κατὰ τὴν ἔξω φορὰν προσκόπτουσα, κακόν.

ξθ'. Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, ἐκ ἀπυρέτοισι, πλῆθος ἐλθὸν ἐκ τουτέων λεπτῶν, ὠφελέει· μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει. —

ΘΕΟΦ. 2) Θαυμάσιος ὁ Ἱπποκράτης, ὅτι τῶν σπανίως αὐτῷ ἑωραμένων τὴν κατάστασιν ἐπισημαίνεται. ὑποτίθεται οὖν πυρετὸν ἐπὶ πλήθει καὶ πάχει χυμῶν ἀπέπτων γενόμενον καὶ λέγει, ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι τυχὸν ὅτι οἷς τοιοῦτος ὑπόκειται πυρετὸς, ἐν τῇ πρώτῃ καὶ β' τῶν ἡμερῶν ὁ τοιοῦτος ἀπέθετο τὸ οὖρον, ὀλίγον 3) τὸ πᾶν καὶ πλεῖστον αὐτοῦ ὑπόστασιν ἔχον παχεῖαν καὶ ἀνώμαλον καὶ ἄπεπτον, ὅπερ κακόν· ἀσθένειαν γὰρ τῆς ἀλλοιωτικῆς δυ-

---

1) *οὐδὲ ῥιπίζεται* **Om. V. b. C.** 2) **COD. ESC.** *ἐνταῦθα γενόμενος ὁ Γαληνὸς ἐν τῷ ὑπομνήματι ἐξηγούμενος τὸν παρόντα ἀφορισμὸν λέγει, ὅτι τὰ νῦν λεγόμενα ὑπὸ τοῦ Ἱπποκράτους ἐν μὲν τοῖς χρόνοις τοῖς ἡμετέροις τῶν ὡς ἐπίπαν καὶ ἀεὶ γινομένων ἐστὶν, ἐν μέντοι τοῖς Ἱπποκρατείοις χρόνοις τῶν σπανίως ἦσαν συμβαίνοντα, διὰ τὸ τρυφηλοὺς κεχρῆσθαι νῦν τοὺς ἀνθρώπους καὶ κώμοις καὶ μέθαις καὶ ἀργίαις* etc. Multus est Stephanus in comparando medico vulgari, qui morbum *θερμασίαν* solam esse declarat, non febrem, falsus, cum medico perito artis suae. — *ὠφελέει τὸ λεπτὸν οὖρον*] *ἐνταῦθα δὲ ὁ Γαληνὸς ἐπεσημήνατο ἐν τῷ ὑπομνήματι ὅτι καὶ ἐνταῦθα ἀντὶ τοῦ δηλωτικοῦ τὸ ποιητικὸν τέθεικεν ὁ Ἱπποκράτης;* non enim urina proficit, sed vis concoquens *τὸ παχὺ καὶ θρομβῶδες.* 3) *πάνυ* **V. b.**

νάμεως ἐνδείκνυται, μὴ ἰσχυούσης λεπτῦναι καὶ πέψαι καὶ ἀλλοιῶσαι τὴν ὕλην. διὸ καὶ διὰ τὸ πάχος μόλις διεξιόντα ὀλίγα ἐφέρετο. ἐὰν δὲ μετ' ὀλίγον χρόνον ἔλθῃ πολὺ καὶ λεπτὸν οὖρον ἐκ τούτων, ὑπόστασιν ἔχον λείαν καὶ ὁμαλὴν, ὠφελεῖ, ὥς φησιν Ἱπποκράτης. δηλοῦται γὰρ ἡ ἀλλοιωτικὴ δύναμις ἐῤῥῶσθαι, λεπτὸν ποιήσασα, λεπτὸν δὲ, οὐ κυρίως λεπτόν· τοῦτο γὰρ ἄπεπτον. ἀλλὰ πρὸς σύγκρισιν τῶν θρομβωδῶν, ὡς εἶναι αὐτὸ σύμμετρον. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον τὸ, μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται οἷσιν ἐξ ἀρχῆς ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει, τοιοῦτόν ἐστι· μάλιστα δὲ τοῦτο συμβαίνει ἐπ' ἐκείνων τῶν πυρετῶν, ἐφ' ὧν ἢ τῇ α' ἢ τῇ β' ἢ τῇ τρίτῃ ἡμέρᾳ εὐθὺς ἀπόστασιν ἴσχει τὸ οὖρον λόγῳ βάρους τῆς ὕλης, οὐ λόγῳ 1) φύσεως.

ΔΑΜ. Ὁπόσοις ἀνθρώποις πυρέττουσιν ὑπάρχει καταρχὰς οὖρα παχέα καὶ θρομβώδη ἤως διεσπαρμένα καὶ ἀνώμαλα, εἶτα τῆς κακοχυμίας διὰ τῶν παχέων ἀναλωθείσης, φαίνονται λεπτὰ τὰ οὖρα. τούτοις ὠφελεῖ ἡ ἐκ τῶν παχέων ἐπὶ τὰ λεπτὰ μετάπτωσις τῶν οὔρων. ἐκκρίνεται δὲ τὰ λεπτότερα πολλὰ, καὶ εἰκότως διὰ τὸ πρόσθεν ἴσχεσθαι, καθ' ὃν χρόνον μόλις διεξῄει τὰ παχέα.

ο'. Ὁκόσοισι ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα, οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι πάρεισιν, ἢ παρέσονται. —

ΘΕΟΦ. 2) Ὁ παρὼν ἀφορισμὸς σημειωτικός ἐστιν· ἀπὸ γὰρ οὔρων διαγινώσκει κεφαλῆς διάθεσιν. φησὶ γὰρ, ὁκόσοισιν ἐν πυρετοῖς τὰ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισι ἢ παρέ-

1) μὴ δυναμένης κατ' ἀρχὰς τὸν παρὰ φύσιν παχὺν χυμὸν κατεργάσασθαι V. b. addit. 2) COD. ESC. ἐπειδὴ δὲ οὔρου ἐμνημόνευσεν, ἵνα μὴ πολλὰ περὶ οὔρου λέγωμεν, δεῖ ἡμᾶς μεταγαγεῖν τὰ ἐν τῇ περὶ κρίσεων περὶ οὔρων εἰρημένα. — Tres διαφοραὶ: 1.) οὖρα θολώδη καὶ παχέα, ἔξωθεν δὲ ὑπόστασις. Ostendunt naturae victoriam. 2.) θολώδη καὶ παχέα, καὶ μένουσι διὰ παντὸς οὕτως. Inter naturam et morbum sunt. 3.) λεπτὰ καὶ καθαρὰ, ἔξωθεν δὲ ἀναθολοῦνται. natura vincitur.

σονται. τὸ τεταραγμένον οὖρον ἐκ τριῶν τινων συνίσταται. ἐξ ὠμῆς ὕλης καὶ φυσώδους πνεύματος καὶ ὀῤῥώδους ὑγρότητος. γεννῶνται γὰρ πνεύματα ἐξ ὕλης παχείας ὑπὸ βληχροῦ πυρετοῦ θερμαινομένης. ἐὰν οὖν φανῇ ἐν πυρετοῖς τοιοῦτον οὖρον, εἰκότως κεφαλαλγίαν δηλοῖ, τῶν πνευμάτων ἐν τῇ κεφαλῇ χωρησάντων, 1) ἀλλὰ καὶ δηλώσει, μελέτης γινομένης τοῦ πάθους διά τε τὴν θερμότητα καὶ τὸ πνεῦμα.

ΔΑΜ. Ἡ γὰρ ταραχὴ ὑπὸ παχείας ὕλης καὶ πυκνῆς γίνεται. διὰ τοῦτο καὶ κεφαλαλγοῦσιν οἱ ταῦτα οὐροῦντες, φυσώδους πνεύματος μετὰ θέρμης τινὸς ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων.

οα΄. Ὁκόσοισι ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τὰ ἄλλα κατὰ λόγον. —

ΘΕΟΦ. 2) Ἐνταῦθά φησιν ὅτι οἷς ἐν τῇ ἑβδόμῃ κρίνεται τὸ νόσημα, τούτοις ἐπινέφελον ἴσχει τὸ οὖρον ἐρυθρὸν καὶ τὰ ἄλλα κατὰ λόγον. ποῖά εἰσι τὰ ἄλλα; διαχωρήματα, πτύσματα, μάλιςα εἰς τὸ πάθος τοῦ θώρακος σφυγμός· ἐὰν γὰρ ταῦτα πάντα κατὰ λόγον εἰσὶ καὶ τὸ οὖρον ἐπινέφελον ἴσχει ἐρυθρὸν, πέψιν δηλοῦν τῇ τετάρτῃ ἡμέρᾳ, πάντως τῇ ἑβδόμῃ κριθήσεται. διὰ τί; διότι δηλωτική ἐστιν ἡ τετάρτη τῆς ἑβδόμης, καθὼς αὐτός φησι, τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. διὰ τί εἶπεν, ἐπινέφελον ἴσχει ἐρυθρὸν, καὶ οὐκ εἶπε λευκόν; διότι θερμὴ καὶ χολώδης ὕλη ὑπόκειται, οὐ παχεῖα καὶ φλεγματική. καὶ τοῦτο δῆλον ἐκ τοῦ τῇ ἑβδόμῃ κρίνεσθαι. καὶ ἐπειδὴ ὕλη ξανθὴ ὑπόκειται καὶ θερμὴ, διὰ τί μὴ εἶπεν ἐπινέφελον ἴσχει ξανθόν; ἀλλὰ τὸ ξανθὸν οὐ δια-

---

1) praeterea diuturnitatem affectionis. C. 2) COD. ESC. Omnem lapidem moverunt, ut explicarent *τὸ κατὰ λόγον*. 1.) Alii ita interpretantur: *δεῖ σε ἐπισκέψαι (μετὰ τὸ φανῆναι τὴν νεφέλην ἐν τῷ οὔρῳ) εἰ καὶ τὰ ἄλλα* (sc. *συμπτώματα*) *κατὰ λόγον*. 2.) Alii dicunt, Hippocratem unum hoc febris exemplum posuisse investigandosque reliquisse ceteros morbos secundum hanc suam methodum. 3.) Et ceteras urinae partes explora.

φαίνεται αὐτὸ ἐν ὑποστάσει, τῷ εἶναι αὐτὸ διαφανές. καταχρησάμενος οὖν ἀντὶ τοῦ ξανθοῦ τὸ ἐρυθρὸν εἶπεν.

ΔΑΜ. Καθότι ἐστὶν ἡ δ' τῆς ζ' ἐπίδηλος, εἰ ἐν αὐτῇ σημεῖον φανῇ ἀξιόλογον πέψεως, τὴν κρίσιν ἐπὶ τῆς ζ' δηλοῖ, ὥστε οὐ μόνον ἐρυθρὰ νεφέλη ἐπιφανεῖσα σημαίνει κρίσιν, ἀλλὰ καὶ ἡ λευκή. ἀξιοῖ δὲ ὡς ταῦτα καὶ τἆλλα κατὰ λόγον ἡμᾶς ἐννοεῖν, ὅσα σημαίνει κρίσις, ἤως καὶ διαχωρήματα καὶ πτύσματα σὺν τοῖς οὔροις.

οβ'. Ὁκόσοισιν οὖρα διαφανέα, λευκὰ, πονηρά· μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται. —

ΘΕΟΦ. Ὁ παρὼν ἀφορισμὸς ἀπὸ οὔρων ποιεῖται διάγνωσιν ἐγκεφάλου καί φησιν, ὅτι ἐν τοῖς φρενιτικοῖς λευκὰ καὶ 1) διαφανέα οὖρα, μάλιστα ἐπιφαινόμενα, πονηρά. εἰσὶ γὰρ καὶ ἀλλαχοῦ τὰ λευκὰ πονηρὰ, διαφανῆ ὄντα, διὰ τὸ σημαίνειν ἐσχάτην ἀπεψίαν, ἀλλ' ἐν τοῖς φρενιτικοῖς μᾶλλον πονηρά. διὰ τί; διότι ὁ φρενίτης ἀπὸ χολώδους χυμοῦ γίνεται, καὶ ἔδει καὶ τὰ οὖρα ξανθὰ εἶναι. ἀλλ' ἐπειδὴ τοῦτο οὐ γίνεται, σημεῖον κακόν. δηλοῖ γὰρ ὅτι ἀνήκει πᾶσα ἡ χολώδης ὕλη ἐπὶ τὸν ἐγκέφαλον καὶ διὰ τὸ πάσχειν κύριον μόριον ἤτοι τὸν ἐγκέφαλον, κακόν ἐστι. διὰ τί δὲ εἶπε διαφανῆ καὶ λευκά; τί γάρ; τὰ διαφανῆ οὐκ εἰσὶ λευκά; φαμὲν ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἔστιν ὅτε καὶ διαφανῆ εἰσιν, ἀλλ' οὐκ εἰσὶ λευκὰ, ἀλλὰ ξανθὰ ἢ ὠχρά. διὰ οὖν τὸ διάφορον τοῦ διαυγοῦς προσέθηκε τὸ λευκά.

ΔΑΜ. Ταῦτα γὰρ σὺν τῇ ἀπεψίᾳ καὶ τῆς ξανθῆς χολῆς πᾶσαν τὴν ὁρμὴν ἐπὶ τὴν κεφαλὴν δηλοῦσιν.

ογ'. Ὁκόσοισι ὑποχόνδρια πετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος 2) ἔλθῃ· ἐπὶ πυρετοῖσι δὲ ταῦτα. —

ΘΕΟΦ. 3) Ἵνα σαφὲς γένηται τὸ λεγόμενον, ἐξ ὑπο-

---

1) COD. ESC. διαφανὲς] διαυγὲς καὶ καθαρὸν ὑφ' οὗ δυνάμεθα τὰ ἐν μέσῳ ὁρᾶν. 2) ὑπέλθῃ D. 3) COD. ESC. Quatuor ζητήματα:

θέσεως γυμναζέσθω ο λόγος. ὑποκείσθω νόσημα πυρετὸς καὶ ὄγκος ἐν τοῖς ὑποχονδρίοις ἀπὸ πνεύματος φυσώδους καὶ ὑγρότητος ἐγκαταμεμιγμένης τῷ πνεύματι. ἐὰν οὖν οὕτως 1) γένηται καὶ ἄφνω 2) ἄλγημα περὶ τὴν ὀσφὺν γένηται, αἱ κοιλίαι καθυγραίνονται διὰ τὴν μετάστασιν τῆς ὕλης· πλὴν εἰ μὴ χωρισθῶσιν ἀλλήλων τὰ μεμιγμένα τό τε ὑγρὸν καὶ τὸ πνεῦμα, καὶ τὸ μὲν ὑγρὸν δι᾽ οὔρων, τὸ δὲ πνεῦμα δι᾽ ἐντέρων κενωθῇ.

ΔΑΜ. Βορβορυγμός ἐστι πνεύματος σὺν ὑγρότητι μετρίᾳ κίνησις, ψόφον ἀποτελοῦσα οὔτε πολὺν οὔτε μέγαν· τῷ γοῦν βορβορυγμῷ κατιόντι συμβαίνει τὸν τῶν ὑποχονδρίων ὄγκον εἰς τὸ κατὰ τὴν ὀσφὺν ἅμα ἑαυτῷ καταφέρειν, ἐφ᾽ ᾧ τεινομένων τῶν ἐνταῦθα μορίων, ἄλγημα γίνεσθαι κατὰ αὐτὴν, εἶθ᾽ οὕτως ποτὲ μὲν εἰς ἀνάδοσιν ὁρμήσαντος τοῦ ὑγροῦ, τὸ φυσῶδες πνεῦμα διαχωρηθῆναι μόνον, ἐνίοτε δὲ σὺν τῷ ὑγρῷ· καὶ μέντοι καὶ τὸ ἀναδοθὲν ὑγρὸν ὡς τὰ πολλὰ δι᾽ οὔρων ἐκκρίνεται. ἔστι δὲ ὅτε καὶ ἄμφω πρὸς ἀνάδοσιν ὁρμήσαντα, τό τε ὑγρὸν καὶ τὸ πνεῦμα διεξέρχεται ταχέως ἐπὶ κύστιν.

οδ΄. Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πουλὺ, κάρτα παχὺ καὶ λευκὸν γενόμενον, οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἐνίοισι ἄρχεται γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται. —

ΘΕΟΦ. Ἐλπίς ἐστιν ἤτοι προσδοκία εἰς τὰ ἄρθρα γίνεσθαι τὴν ἀπόστασιν τοῖς ὁπωσοῦν κοπϊώδεσι πυρετοῖς· ἀλλὰ τούτων οἱ μὲν ἐπὶ προκαταρκτικῇ αἰτίᾳ γίνονται,

---

1.) *δεῖ σαφηνίσαι ὄνομα ἀσαφὲς ἐγκείμενον ἐν τῷ ῥητῷ, διαβορβορύζοντα. τί δέ ἐστι βορβορυγμὸς ὡς, θεοῦ διδόντος ἐν τῇ περὶ αἰτίας μαθησόμεθα.* Est *κίνησις φυσώδους πνεύματος, συναναπεπλεγμένου τῷ πνεύματι, καὶ περιττωματικῆς ὑγρότητος οὔρου.* 2.) *τὸ εἶδος τοῦ νοσήματος. — πυρετὸς ἄνευ τόπου πεπονθότος.* Itaque haud credas intestina suspensa ab organo aliquo affecto esse. 3.) *παραδοῦναι τὴν ἱστορίαν ἐφ᾽ ᾗ γυμνάζει τὸν λόγον;* Aphorismi symptomata persequitur. 4.) *ἐξηγήσασθαι τὸ ῥητόν.*

1) *ἔχοντος* V. b. c. 2) *ὀδύνη* V. b. c.

οἱ δὲ ἐπὶ προηγεμένη. ἐνταῦθα ἓν περὶ τε ἐπὶ προκαταρκτικῇ αἰτίᾳ γινομένε κόπε ὁ λόγος τῷ Ἱπποκράτει 1) [καὶ ἐπὶ τε προκαταρκτικῇ αἰτίᾳ τοῦ προηγουμένου κόπου] τῷ πυρετῷ· ἐπὶ τέτε γὰρ μάλιςα ἐλπὶς κατὰ ἀπόςασιν λύεσθαι τὴν νόσον. τριττὸς γάρ ἐστιν ὁ κόπος· ἢ γὰρ προηγεῖται ὁ κόπος τε πυρετοῦ ἢ ἕπεται ἢ σύνεστιν. ἐὰν οὖν προηγήσατο ὁ κόπος τῷ πυρετῷ, ἐλπὶς κατὰ ἀπόστασιν τὴν κρίσιν γίνεσθαι ἐν τοῖς ἄρθροις, καὶ ἡ αἰτία εἴρηται. ἐφ' οἷς οὖν ἔστιν ἐλπὶς κατὰ ἀπόςασιν γίνεσθαι τὴν κρίσιν, ἐὰν ἔλθῃ οὖρον πολὺ. λευκὸν οἷον ἔν τισι τῶν κοπιωδῶν πυρετῶν τῇ τετάρτῃ ἡμέρᾳ ἐπιφαίνεται, διὰ τὴν ψύξιν, ταχὺ ῥύεται τῆς ἀποστάσεως ὁ κάμνων τῆς μελλούσης ἔσεσθαι, διὰ τὸ κενοῦσθαι τὰ αἴτια τῆς ἀποστάσεως τὰ νοσοποιά. εἰ δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσει, καὶ πάνυ ταχὺ λύεται· καταμερίζεται γὰρ ἡ ὕλη ἄνω τε καὶ κάτω, καὶ τάχιστα 2) ἀπόλυσις γίνεται τοῦ 3) νοσήματος.

ΔΑΜ. Εἰς ἄρθρα ἀπόστασις γίνεται τοῖς προπεπονηκόσιν αὐτά. εἰ οὖν ἡ φύσις εὐρωστήσει δι' οὔρων ἐκκαθᾶραι τὸ σῶμα, τῆς ἀποστάσεως ἐῤῥύσατο τὸν κάμνοντα, τὸν χυμὸν διὰ τῆς κύστεως ἐκκενώσασα. τῶν κοπϊωδῶν πυρετῶν ὡς παραδείγματος ἐμνημόνευσεν. οἷς οὖν ἡ θερμασία πλείων γινομένη μετέωρον εἰργάσατο τὴν ὕλην, ἢ διὰ ῥινῶν αἱμοῤῥαγοῦσιν ἢ παρωτίδας ἴσχουσιν· οἷς δὲ ἐλάττων μὲν ἡ θερμασία, βαρύτεροι δὲ οἱ χυμοὶ, διὰ τὸ πάχος συμπεττόμενοι δι' οὔρων ἐκκρίνονται.

οε'. Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει. —

ΘΕΟΦ. 4) Εἰπὼν οὐρέει ἀπεῤῥάπισε τὲς λέγοντας ἐξ ἀποστήματος ῥαγέντος ἐν ἥπατι ἢ ἄλλῳ μορίῳ φέρεσθαι

---

1) Om. V. b. Fort. recte et legendum τοῦ πυρετοῦ. in causa autem primitiva lassitudo praecedit febrem C. 2) ἀπόπαυσις V. c. 3) προσυπακουστέον δὲ καὶ τὸ ἐὰν ἡ γαστὴρ ῥεύσῃ ἢ ἄλλο τι τῶν τοιούτων addit V. b. 4) COD. ESC. ἀμέλει ἀπὸ τε παρόντος ἀφορισμοῦ μέχρι τοῦ τέλους τοῦ ἐνεστῶτος τετάρτου τμήματος πρόκειται αὐτῷ περὶ τῶν παθῶν τῶν συμβαινόντων ἐν τοῖς οὐρητικοῖς ὀργάνοις διαλεχθῆναι. — Τὰ οὐρητικὰ ὄργανα sunt διακριτικὰ (νεφροὶ), παρο-

τὸ οὖρον· ἐπ' ἐκείνων μὲν γὰρ ἐπὶ μιᾷ ἢ δευτέρᾳ ἢ τρίτῃ καθαίρεται ἡμέρᾳ καὶ οὐκέτι, τὸ δὲ ἐν παρατάσει χρόνου καθαίρεσθαι ἐν νεφρῷ ἢ ἐν κύστει γίνεται, ὅπερ ἐδήλωσε διὰ τοῦ οὐρέει. ἐὰν οὖν αἷμα καὶ πῦον οὐρῇ, τῶν νεφρῶν ἢ τῆς κύστεως ἕλκωσιν σημαίνει. τοῦ γὰρ ἕλκους διαβιβρωσκομένου συναναβιβρώσκονταί τινα ἀγγεῖα καὶ ἅμα τῷ πύῳ κενοῦται καὶ αἷμα, ὥσπερ καὶ ἐπὶ τῶν δυσεντεριώντων γίνεται. διὰ τί δὲ τῶν οὐρητήρων οὐκ ἐμνήσθη; γίνεται γὰρ κἀκεῖσε τοῦτο. διότι μνησθεὶς τῶν ἄκρων συμπεριέλαβε καὶ τὰ μέσα.

ΔΑΜ. Τὸ, οὐρέῃ πολλαῖς ἡμέραις ἢ μησὶν αἰνίττεται. οὐ γὰρ ταυτὸν τὸ οὐρέῃ τῷ οὐρήσῃ.

οϛ'. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχέϊ ἐόντι σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται. —

ΘΕΟΦ. Οὖρον παχὺ ἐνταῦθα τὸ κατὰ φύσιν καλεῖ, παραβάλλων αὐτὸ τῷ παρὰ φύσιν λεπτῷ. τοῦτο γὰρ τὸ κατὰ φύσιν μέσον ὂν πρὸς μὲν τὸ λεπτὸν παραβαλλόμενον λέγεται παχὺ, πρὸς δὲ τὸ παχὺ, λεπτόν. ἐὰν οὖν ἐστι τὸ οὖρον κατὰ φύσιν, δῆλον ὅτι ἔῤῥωται τὸ ἧπαρ, καταλείπεται δὲ τὸ πάθος εἶναι ἐν τοῖς νεφροῖς καὶ ὥσπερ μὲν σαρκία σμικρὰ ἐκκρίνονται, ἅ τινες ὀροβοειδῆ καλοῦσιν, ὑπεροπτωμένου παχέος αἵματος ἐν νεφροῖς ὑπὸ δυσκρασίας θερμῆς, ἐκεῖσε οὔσης. ὥσπερ δὲ τρίχες δηλονότι λευκαὶ ἐκκρίνονται, τῆς παρὰ φύσιν θερμασίας τῆς ἐν τοῖς νεφροῖς 1) φρυττούσης τὴν περιεχομένην ἐν αὐτοῖς

δευτικὰ (οὐρητῆρες s. οὐρητικὰ ἀγγεῖα) ὑποδεκτικὰ (κύστις οὐροδόχος) ἀποκριτικὰ (τράχηλος τῆς κύστεως). — Ἀπορία. — τί δήποτε, διαφόρων ὄντων τῶν οὐρητικῶν ὀργάνων, μόνων τῶν δύο ἐμνημόνευσε, νεφρῶν καὶ κύστεως; 1.) ἀπολογία. μνησθεὶς τῶν ἄκρων συμπεριέλαβε καὶ τὰ μέσα. 2.) ex ureteribus raro sanguis destillat raroque pus fit. Rariora tamen in Aphorismis Hippocrates intacta reliquit. 3.) διὰ τὴν ἐνέργειαν i. e. renes et vesica ad secretionem urinae faciunt, alia organa μόνην χρείαν ποιοῦνται i. e. ureteres.

1) φρυγούσης V. b.

παχεῖαν καὶ φλεγματικωτέραν ὕλην. καὶ διὰ τοῦτο καὶ πρὸς τὸ σχῆμα τῶν νεφρῶν ἐπιμήκη ἐκκρίνονται.

ΔΑΜ. Τὰ μὲν οὖν σμικρὰ σαρκία τῆς οὐσίας τῶν νεφρῶν ἑλκωθέντων ἐστὶ μόρια, τὰ δ' οἷον τρίχες ἐν νεφροῖς μὲν λαμβάνει τὴν σύστασιν, ὥσπερ οἱ λίθοι, μόρια δὲ οὐκ ἔστι τῆς οὐσίας αὐτῶν.

οζ'. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα ξυνεξουρέεται, τουτέοισι ἡ κύστις ψωριᾷ. —

ΘΕΟΦ. 1) *Καὶ ἐνταῦθα παχὺ οὖρον τὸ σύμμετρον λέγει. ἐὰν οὖν παχύ ἐστι τὸ οὖρον ἤτοι σύμμετρον καὶ πιτυρώδη ἐκφέρονται σὺν αὐτῷ, ἡ κύστις ψωριᾷ. ψωρίασιν δὲ ἐνταῦθα τὴν ἐπιπολῆς ἕλκωσιν τῆς κύστεώς φησι· ὥσπερ γὰρ ψώρας οὔσης κατὰ παντὸς τοῦ σώματος ἐκπίπτουσί τινες λεπίδες, ὡς ἀπὸ ἰχθύων, καὶ μάλιστα εἰ κνῶνται, οὕτω καὶ ἐπὶ τῆς ἐπιπολῆς ἑλκώσεως τῆς κύστεως πιτυρώδη τινὰ σὺν τῷ οὔρῳ ἐκκρίνονται.*

ΔΑΜ. Ὥσπερ γὰρ ἡ ἐπιφάνεια τοῦ δέρματος, ἡ καὶ ἐπιδερμὶς, κατὰ τὰς ψώρας καὶ λειχῆνας καὶ λέπρας ἀποβάλλει τι λεπτὸν, οὕτω κἀπὶ τῶν ἔνδον.

οη'. Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει. —

ΘΕΟΦ. Καὶ ἐνταῦθα περὶ παθῶν συμβαινόντων ἐν τοῖς νεφροῖς διαλέγεται καί φησιν, ὅτι ἐὰν αἷμα οὐρῶσί τινες ἀπὸ ταὐτομάτου, ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει. καὶ πόθεν δῆλον ὅτι ἀπὸ τῶν νεφρῶν καὶ οὐχὶ ἀπὸ τῶν ἀναπνευστικῶν ἢ θρεπτικῶν; ἐκ τοῦ εἰπεῖν, οὐρέουσι. τοῦτο γὰρ τὴν ἐπίμονον οὔρησιν τοῦ αἵματος δηλοῖ. εἴτε γὰρ ἀπὸ τῶν ἀναπνευστικῶν, εἴτε ἀπὸ τῶν θρεπτικῶν διὰ ῥήξεως φλεβίου ἐστὶ, πρὸς ὀλίγον οὐρεῖται καὶ εὐθέως παύεται. πόθεν δὲ δῆλον ὅτι οὐ κατὰ ἀνά-

---

1) COD. ESC. *ψωρίασιν νῦν ὁ Ἱπποκράτης τὴν ἐπιπόλαιον ἕλκωσιν τῆς κύστεως ὑποτίθεται. — Ἀπορία.* Verum est, *ἐπὶ συντήξει τῶν νεύρων* excerni *πεταλώδη*, cur hic *πιτυρώδη* secernuntur? At vesica non nervus, sed *οὐσίας νευρώδους ἐστίν.*

βρωσιν, ἀλλὰ κατὰ ῥῆξιν γίνεται ἡ αἵματος οὔρησις; ἐκ τοῦ εἰπεῖν, ἀπὸ ταὐτομάτου. τὸ γὰρ ἀπὸ ταὐτομάτου τὸ ἐξαίφνης καὶ ἀθρόως δηλοῖ. διὰ τὸ πλῆθος γὰρ τοῦ αἵματος τείνονται τὰ φλεβία καὶ τῇ τάσει ῥήγνυνται καὶ πολὺ αἷμα οὐρεῖται, ἐπὶ δὲ τῆς ἀναβρώσεως ὀλίγιστον. καὶ πόθεν δῆλον ὅτι οὐ κατὰ ἀναστόμωσιν φέρεται, ἀλλὰ κατὰ ῥῆξιν; ὅτι τὸ κατὰ ἀναστόμωσιν φερόμενον οὐκ ἔστι τέλειον αἷμα, ἀλλ᾽ αἱματῶδες.

ΔΑΜ. Τὸ ἀπὸ ταὐτομάτου τὸ ἐξαίφνης δηλοῖ καὶ χωρὶς αἰτίας προηγησαμένης.

οθʹ. Ὁκόσοισιν ἐν τοῖσι οὔροισι ψαμμώδεα ὑφίσταται, τουτέοισι ἡ κύστις λιθιᾷ, ἢ νεφροί. —

ΘΕΟΦ. 1) Ὁ λίθος ἢ ἐν τοῖς νεφροῖς γίνεται ἢ ἐν τῇ κύστει· ὅπου δὲ λίθος, καὶ ψάμμων ἔκκρισις γίνεται διὰ τὸ ἀποθρύπτεσθαί τι μέρος ἀπὸ τῶν λίθων. τοῦ οὖν ὡς ἐπίπαν ἐμνήσθη ὁ Ἱπποκράτης· ἐπειδὴ γὰρ ὡς ἐπὶ τὸ πολὺ ἐν τῇ κύστει γίνονται οἱ λίθοι διὰ τὸ ἀξιόλογον ἔχειν κοιλότητα τὴν κύστιν· διὰ τοῦτο γὰρ ταύτης μόνης ἐμνήσθη, οὐχὶ καὶ τῶν νεφρῶν. Ἰστέον δὲ ὅτι ὁ λίθος ποιητικὴν μὲν αἰτίαν ἔχει θερμασίαν παρὰ φύσιν, ὑλικὴν δὲ, πάχος χυμῶν.

ΔΑΜ. Ὑφίσταται ἤως ἐν τῷ πυθμένι ὄντα.

πʹ. Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν κτένα καὶ τὸ ὑπογάστριον καὶ τὸν περίναιον, καὶ τὰ περὶ τὴν κύστιν πονέει. —

ΘΕΟΦ. Ἀκολούθως ὁ νῦν ἀφορισμὸς τέτακται. ἐπειδὴ γὰρ αἷμα εἶπεν, ἐπήγαγε καὶ θρόμβους καὶ στραγγουρίαν. θρόμβος δὲ αἵματος γίνεται, τοῦ αἵματος ἐκτὸς τῶν ἀγ-

---

1) **COD. ESC.** ἐπειδὴ δέ τινα τῶν ἀντιγράφων ἔχουσι ἢ κύστις ἢ νεφρὸς λιθιᾷ, τινὰ μόνον ἡ κύστις λιθιᾷ ἔχουσιν, ἐνταῦθα γενόμενος ὁ θαυμασιώτατος Γαληνὸς ἐν τῷ ὑπομνήματί φησιν, ὅτι κολωβός ἐςιν ὁ παρὼν ἀφορισμός· λείπει γάρ τι. δεῖται γὰρ προσθήκης ἵνα ἔχῃ οὕτως, τουτέοισιν ἢ κύστις ἢ νεφρὸς λιθιᾷ. τῦτο δὲ καλλιγραφικὸν γέγονε σφάλμα τῦ ἐξ ἀρχῆς μεταγράψαντος τὸ παρὸν βιβλίον.

γείων γεγονότος καὶ πηγνυμένου τῇ ψύξει, ἡ στραγγουρία δὲ κατ' ἔμφραξιν τȣ̃ τραχήλȣ τῆς κύςεως διὰ λίθον ἢ φλεγμονὴν ἢ δι' αὐτὸν τὸν θρόμβον. ἐὰν ȣ̃ν αἷμα ȣ̓ρέῃ καὶ θρόμβȣς καὶ στραγγουρίην ἔχῃ, καὶ τὰ λοιπὰ, τὰ περὶ τὴν κύστιν πονέει τουτέστι κοινῶς τὰ οὐρητικὰ ὄργανα. καὶ τοῦτο δῆλον· εἰπὼν γὰρ ὀδύνη περὶ τὸ ὑπογάστριον ἐσήμανε τοὺς νεφρούς, εἰπὼν δὲ κτένα τὴν κύστιν, περίναιον δὲ τὸν τράχηλον τῆς κύστεως.

ΔΑΜ. Οὐ τὴν κύστιν μόνον νοσεῖ, ἀλλὰ καὶ νεφροὺς καὶ οὐρητῆρας.

πά. Ἢν αἷμα καὶ πῦον οὐρέῃ καὶ λεπίδας, καὶ ὀδμὴ βαρείη ἔῃ, τῆς κύστιος ἕλκωσιν σημαίνει. —

ΘΕΟΦ. 1) Τρία τινὰ παραδίδωσιν ἡμῖν ὁ παρὼν ἀφορισμὸς, τόπον πεπονθότα, διάθεσιν καὶ κακοήθειαν τοῦ πεπονθότος. διὰ γὰρ τοῦ εἰπεῖν λεπίδας ἤτοι 2) πεταλώδη, σημαίνει τὴν κύστιν πεπονθέναι, διὰ δὲ τοῦ εἰπεῖν αἷμα καὶ πῦον, λύσιν συνεχείας· ἀδύνατον γὰρ πῦον οὐρηθῆναι ἄνευ ἕλκους· διὰ δὲ τοῦ εἰπεῖν ὀδμὴν βαρεῖαν ἤτοι δυσώδη τὴν κακοήθειαν· τὸ δυσῶδες γὰρ σημεῖον σηπεδόνος ἐςὶ, ἡ σηπεδὼν δὲ κακοήθειαν ἐνδείκνυται. Ἰςέον δὲ ὅτι διὰ τοῦ εἰπεῖν ὀδμὴν βαρείην ἀπεκρούσατο τοὺς λέγοντας, ἀφ' ἥπατος ἢ τῶν ἀναπνευστικῶν ἔρχεσθαι πεταλώδη. ἐκεῖνα γὰρ κἂν ὀδμὴν ἔχωσι, τῷ μήκει τῆς παρόδου τὴν δυσωδίαν ἀποβάλλουσιν.

ΔΑΜ. Τὸ μὲν αἷμα καὶ τὸ πῦον οὐρούμενα πάντων οὐρητικῶν ἡλκωμένων κοινὰ σημεῖα. τὸ δὲ βαρὺ τῆς ὀσμῆς ἤως ἀηδὲς, ἔτι τε αἱ λεπίδες μᾶλλον ἴδια τῆς κύστεως μόνης.

πβ΄. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύσις. —

ΘΕΟΦ. Οὐρήθραν νῦν τὸν τράχηλον τῆς κύστεως καλεῖ. φησὶν οὖν, ἐὰν ἐν τῇ οὐρήθρῃ ἤτοι τῷ τραχήλῳ

---

1) COD. ESC. Hic περὶ κύστεως ἑλκώσεως διὰ βάθους agit, supra de ulceratione superficiali. 2) λεπιδώδη V. b.

τῆς κύστεως φύματα γένηται ἐκπυήσαντα, τυχὸν πυοποιηθέντα καὶ ἐκραγέντα, λύσις γίνεται. λύσις δὲ τίνος; ἀλλ' ἢ τῆς ὀδύνης καὶ στραγγουρίας. διὰ γὰρ τὰ φύματα ὀδύνη ἐγεγόνει καὶ ἔμφραξις ἐπηκολούθει, ἐξ ἧς ἡ στραγγουρία.

πγ'. Οὔρησις 1) νύκτωρ πουλλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει. —

ΘΕΟΦ. 2) Οὗτος διαγνωστικὸς ὁ ἀφορισμός· λέγει γὰρ, ὅτι ἐὰν διὰ τῆς νυκτὸς πολλὴ οὔρησις γένηται, σμικρὴν ἤτοι ὀλίγην διὰ κόπρου τὴν ὑποχώρησιν σημαίνει. καὶ ἡ αἰτία, ὅτι πολλὴ καὶ ἀθροωτέρα γέγονεν ἀνάδοσις ἐν τῷ ἥπατι καὶ ἀντιμετωχετεύθη ἡ ὕλη, καὶ διὰ τοῦτο πολλὰ οὖρα ἠνέχθησαν, ὀλίγη δὲ κόπρος. καὶ τὸ ἀνάπαλιν, ἐὰν πολλὴ διαχώρησις γένηται διὰ κόπρου, ὀλίγη ἔσται ἡ δι' οὔρων διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι ὀλίγη γέγονεν ἡ ἀνάδοσις, καὶ διὰ τοῦτο ὀλίγον οὖρον, πολλὴ δὲ ἡ διὰ κόπρου διαχώρησις διὰ τὸ ἐν τῇ γαστρὶ μένειν τὸ ὑγρόν. ἐκ νυκτὸς δὲ εἶπεν, ὅτι αἱ πέψεις ἐν νυκτὶ γίνονται καὶ αἱ διακρίσεις τῶν περιττωμάτων.

Τμῆμα Πέμπτον.

α'. Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμος. —

Ἀρχὴ τοῦ πέμπτου τμήματος.

ΘΕΟΦ. 3) Διαγνωστικοὺς καὶ προγνωστικοὺς κανόνας παραδίδωσιν ἐν τούτῳ τῷ τμήματι ὁ Ἱπποκράτης,

---

1) ἐκ νυκτὸς V. b. c. 2) COD. ESC. Ἐνταῦθα δὲ γενόμενος ὁ Γαληνός φησιν ὅτι λείπει τῷ ἀφορισμῷ τὸ ἄλλο ἓν καὶ δεῖ σε προσυπακοῦσαι καὶ προσθεῖναι τὸ καὶ πολλὴ ἐὰν γένηται ὑποχώρησις, ὀλίγη γίνεται ἡ οὔρησις, πλήν φησιν ὁ Γαληνὸς ὅτι ἐγὼ εὗρον εἰς τὰ παλαιὰ τῶν ἀντιγράφων τὰ ἀμφότερα γεγραμμένα, ἀλλ' οὐχ ὡς ἔτυχεν, ἀλλ' οὕτως εἶχεν οὔρησις ἐν νυκτὶ πολλὴ γινομένη σμικρὴν τὴν ὑποχώρησιν σημαίνει. ὡσαύτως δὲ καὶ τὸ ἐναντίον τουτέστιν ὅτι καὶ πολλὴ ἡ ὑποχώρησις ἐὰν γένηται, σμικρὴν τὴν οὔρησιν σημαίνει καὶ εἰ μὲν ἔχει οὕτως, ἰδοὺ καὶ καλῶς, ἐπείτοι γε προσυπάκουσον καὶ τὸ ἄλλο. ταῦτα ἔχει ὁ παρὼν ἀφορισμὸς καὶ ἐν τούτοις πληροῦται τὸ τέταρτον τμῆμα. ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις. — Inde a quinta sectione in codice Esc. altera, nitidior manus conspicitur. 3) IBID. Παραδεδωκὼς ἡμῖν ὁ Ἱπποκράτης διαφορὰς πολλῶν θεω-

ὥσπερ καὶ ἐν τῷ τετάρτῳ. καὶ δὴ ποιεῖται πρόγνωσιν τρόπου ἐκβάσεως νοσήματος, ὅπερ ἐστὶ σπασμὸς, ὃς ἐξ ἐλλεβόρου γενόμενος θανάσιμός ἐστιν. ἀλλ᾽ ἰστέον, ὅτι ὁ ἐλλέβορος διττός ἐστιν, ὁ μὲν λευκὸς, ὁ δὲ μέλας. ἐνταῦθα οὖν περὶ τοῦ λευκοῦ ἐλλεβόρου φησὶ καὶ δῆλον ἐκ τοῦ ἁπλῶς εἰρῆσθαι. ἐπὶ γὰρ τοῦ μέλανος μετὰ προσθήκης εἴρηται, οἷον ἐλλέβορος μέλας. σπῶνται οὖν ἐπὶ τῷ λευκῷ ἐλλεβόρῳ οἱ χρώμενοι αὐτῷ ἢ διὰ πλήρωσιν, ὡς ὅταν πολλάκις τοῦ καθαρσίου ἑλκύσαντος ἀθρόως πολὺν χυμὸν περὶ τὴν γαστέρα, καὶ ἐπὶ τῇ διατάσει σπᾶται, κἄπειτα ὅλον τὸ νευρῶδες γένος τῷ στομάχῳ συμπάσχον, ἢ διὰ κένωσιν ἄμετρον· τῇ γὰρ ἀμέτρῳ κενώσει ξηρότης ἕπεται καὶ τῇ ξηρότητι σπασμός· ἢ δι᾽ εὐπάθειαν τοῦ στομάχου· πολλάκις γὰρ, δραστικωτέρου ὄντος τοῦ φαρμάκου, δάκνεται ὡς εὐπαθὴς ὁ στόμαχος καὶ σπᾶται ἢ διὰ δριμὺν χυμὸν ἑλχθέντα ἀπὸ τοῦ καθαρσίου ἐπὶ τὴν γαστέρα. καὶ οὗτος γὰρ τῇ δήξει σπασμὸν ποιεῖ. περὶ τοῦ δευτέρου οὖν τρόπου ὁ λόγος τῷ Ἱπποκράτει τοῦ ἐπὶ ξηρότητος, ὅστις καὶ ἀνίατός ἐστιν, ὅτι, δαπανηθείσης τῆς συνεκτικῆς ὑγρότητος, ἀδύνατόν ἐστιν αὐτὴν ἀνακαλέσασθαι· οἱ γὰρ ἄλλοι τρόποι κακοὶ μέν εἰσιν, οὐ μὴν θανάσιμοι.

ρημάτων καὶ θαυμαστῶν ἐν τῷ τετάρτῳ τμήματι· παρέδωκε γὰρ ἡμῖν διαφορὰς πυρετῶν καὶ εἴδη πυρετῶν, ἔτι γε μὴν πρὸς τῷ τέλει τοῦ τετάρτου τμήματος παρέδωκεν ἡμῖν καὶ πάθη τῶν συμβαινόντων τοῖς οὐρητικοῖς ὀργάνοις. νῦν οὖν ἐν τῷ πέμπτῳ τμήματι ἐπὶ ἕτερα θαυμαστὰ θεωρήματα μετάγει ἑαυτὸν ὁ Ἱπποκράτης. Τρία ζητήματα. **1.)** τί ἐστι σπασμός; κίνησις ἀπροαίρετος ἐν προαιρετικοῖς μορίοις συνισταμένη κατὰ ἔκτασιν ἢ κάμψιν ὑπὸ παρὰ φύσιν αἰτίας γινομένη. **2.)** τὰ μόρια ἐν οἷς συνίσταται. **Musculi, nervi,** τένοντες, σύνδεσμοι. **3.)** τὰς αἰτίας ὑφ᾽ ἃς γίνεται. **a.** κατὰ πλήρωσιν. **b.** κατὰ κένωσιν ἤτοι ξηρότητα. — ὥσπερ γὰρ ἐλέγομεν ἐπὶ τῶν χορδῶν, ὅτι αἱ χορδαὶ ἐὰν ταθῶσι ἐν νοτιαίῳ τόπῳ καὶ διΰγρῳ ὑπὸ σκέπην, ἐμπίπλανται τῆς ὑγρότητος καὶ πληροῦνται· πληρούμεναι δὲ τείνονται καὶ τῇ τάσει σπῶνται καὶ ῥήγνυνται, ἢ ὅτι ἐὰν ταθῶσιν αἱ χορδαὶ ἐν αὐχμηρῷ καὶ ἡλιακῷ καταστήματι, ἐξικμάζεται ἡ ἐν αὐταῖς ἰκμὰς καὶ ξηραίνονται καὶ τῇ ξηρότητι σπῶνται καὶ ῥήγνυνται. — ὁ ἐπὶ πληρώσει **melior, sanabilis, alter** ἀνίατος.

ΔΑΜ. Σπασμὸς γίνεται ἐπὶ πληρώσει καὶ κενώσει. ὁ μὲν οὖν ἐπὶ πληρώσει γενόμενος ἰαθῆναι δύναται, ὁ δ' ἐπὶ κενώσει οὔ, τῆς τῶν νεύρων οὐσίας ξηρανθείσης τῇ κενώσει. ἐλέβορον δὲ τὸν λευκόν φησιν· τούτῳ γὰρ ἐχρῶντο.

β'. Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμος. —

ΘΕΟΦ. 1) Τινὰ ἔχουσι τῶν βιβλίων ἐπὶ τραύματι, τινὰ ἐπὶ 2) τρώματι, ὃ καὶ ἀληθέστερον. ἑκάτερον δὲ τούτων λύσιν συνεχείας δηλοῖ. ἀλλ' εἰ μὲν ἐν σαρκὶ, ἡ λύσις τῆς συνεχείας τραῦμα καλεῖται, εἰ δὲ ἐν νεύρῳ, νύγμα ἤτοι τρῶμα. γίνεται μὲν οὖν ἐπὶ τραύματος σπασμὸς οὐ διὰ τὴν ἐν σαρκὶ λύσιν, ἀλλ' ἐπειδὴ συνδιαιροῦνται καὶ φλέβες καὶ ἀρτηρίαι, κἀντεῦθεν ἐπὶ τῇ ἀμέτρῳ κενώσει γίνεται σπασμός· ἐπὶ δὲ τρώματι, ὅτι ὀδύνη σφοδροτάτη ἕπεται, κἀντεῦθεν ῥευματισμὸς, ἐπὶ τούτῳ φλεγμονὴ, εἶτα διάτασις καὶ τοσοῦτον, ὥστε καὶ τὰ νευρώδη συνδιαταθῆναι κἀντεῦθεν σπασμὸν γίνεσθαι. ἐπ' ἀμφοτέρων οὖν τούτων τῶν τρόπων ὁ σπασμὸς θανάσιμον ἤτοι ἐπισφαλές.

ΔΑΜ. Γίνεται δὲ λόγῳ τῆς ἑπομένης φλεγμονῆς, ὅταν ἅψηται τῶν νευρωδῶν μορίων καὶ τῆς ἀρχῆς αὐτῶν.

γ'. Αἵματος πολλοῦ ῥυέντος, σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν. —

ΘΕΟΦ. Ἐνταῦθα ἐπὶ αὐτομάτῳ κενώσει τὸν σπασμὸν ὑποτίθεται γίνεσθαι καί φησιν, ἐὰν αἵματος πολλοῦ ῥυέντος ἢ διὰ μυκτήρων ἢ δι' ἕδρας, σπασμὸς ἢ λυγμὸς ἐπιγένηται, θανάσιμον. καὶ ἡ αἰτία, ὅτι ἐπὶ ἀμέτρῳ κε-

---

1) COD. ESC. δεῖ εἰδέναι ὅτι τὸ τραῦμα ὁ Ἱπποκράτης καὶ οἱ παλαιοὶ τῶν ἰατρῶν ἐπὶ οἱουδήποτε μορίου λύσιν τῆς συνεχείας ἐκάλουν, οἱ μέντοι νεώτεροι καὶ μεταγενέστεροι ἰατροὶ διεῖλον καὶ πρὸς τὴν διαφορὰν τῶν μορίων διαφόρου τετυχήκασιν ὀνόματος· οὕτω γοῦν τὴν ἐν σαρκὶ λύσιν τῆς συνεχείας ἕλκος ὠνόμασαν, τὴν δὲ ἐν ὀστῷ κάταγμα, τὴν δὲ ἐν νεύρῳ νύγμα. 2) e perforatione C. τρήματι.

νώσει ὑποτίθεται τὸν σπασμὸν καὶ λυγμὸν ἐπιγίνεσθαι, ἄλλως τε ὅτι, τοῦ αἵματος πολλοῦ κενουμένου, ἀμοιροῦσι τροφῆς τὰ μόρια, ἀμοιροῦντα δὲ ἐπὶ φθορὰν ὁδεύουσι. δεῖ δὲ γινώσκειν, ὅτι διαφέρει σπασμὸς λυγμῶ, ὅτι ὁ μὲν σπασμὸς ἐν παντὶ μορίῳ προαιρετικῷ συνίσταται καὶ ψυχικόν ἐστι πάθος, ὁ δὲ λυγμὸς ἐν στομάχῳ καὶ φυσικόν ἐστι πάθος.

δ'. Ἐπὶ ὑπερκαθάρσεϊ σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν. —

ΘΕΟΦ. Ἐπὶ ὑπερκενώσει ὑποτιθέμενος τὸν σπασμὸν διὰ τί κακόν φησι καὶ οὐ θανάσιμον, ὥσπερ ἐν τῷ πρὸ τούτου ἔφη ἀφορισμῷ; ἐκεῖσε μὲν θανάσιμον εἶπε διὰ τὸ δραστήριον καὶ τυραννικὸν τοῦ ἐλλεβόρου, ἐνταῦθα δὲ κακὸν, ἐπειδὴ ἐνδέχεται, καὶ οἱουδήποτε παρασχεθέντος βοηθήματος, ὑπερκαθάρσεως γενομένης, σπασμὸν γενέσθαι καὶ μὴ εἶναι θανάσιμον διὰ τὸ δυνατὸν θεραπεύεσθαι αὐτοὺς τροφαῖς ἢ λουτροῖς.

ε'. Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται. —

ΘΕΟΦ. 1) Ὁ οἶνος πολὺς πινόμενος ὡς θερμὸς καὶ ὑγρὸς τοὺς περὶ τὸν λάρυγγα καὶ φάρυγγα πληρῶν μύας,

---

1) COD. ESC. Δεῖ πρὸ τῆς ἐξηγήσεως ἐπιμνησθῆναί τινων. 1.) ὅτι ἀποπληξία καὶ κάρος καὶ ἐπιληψία καὶ κῶμα καὶ λήθαργος καὶ κάτοχος καὶ τὰ τοιαῦτα ἰδικὰ πάθη εἰσὶ τῆς κεφαλῆς ἐν βλάβαις ἐνεργειῶν θεωρούμενα. 2.) ὁ Ἱπποκράτης ὁτὲ μὲν τὴν ἀποπληξίαν κάρον καλεῖ καὶ τὸν κάρον ἀποπληξίαν. Nam similes sunt, καὶ διὰ τοῦτο ἀμφαλλὰξ αὐτὰ καλεῖ. 3.) ὅτι ἰδίωμά ἐστιν Ἱπποκράτειον ἀπὸ τῆς βλάβης τῶν τιμιωτέρων ἐνεργειῶν τὸ πάθος σημαίνειν, — hic ἐκ τῆς ἀφωνίας τὴν ἀποπληξίαν σημάνας. 4.) ἄλλα μόριά εἰσι τὰ φωνητικὰ (γαργαρεὼν, λάρυγξ, τραχεῖα ἀρτηρία, πνεύμων, θώραξ, τὰ παλινδρομοῦντα νεῦρα) ἄλλα τὰ διαλεκτικὰ (γαργαρεὼν, γλῶσσα, ὀδόντες, χείλη, ῥὶς καὶ οὐρανίσκος). 5.) κραιπάλη ἐστὶ διάθεσις τῆς κεφαλῆς ἐκ τῶν πνευμάτων φερομένων εἰς τὴν κεφαλὴν, ἣν ποιοῦσι παλμωδῶς κινεῖσθαι.— Inde κραιπάλαι ἐκ τοῦ τὸ κάρα πάλλειν. — ἐνταῦθα γενόμενος ὁ Γαληνός φησιν, ὅτι οὐ δεῖ ἀναγνῶναι τὸν παρόντα ἀφορι-

τὴν ἀφωνίαν ἐργάζεται, ὅπερ κακόν. εἰ δὲ καὶ σπασμὸν ἐπιφέρει, τοῦτο θανάσιμον· δηλοῖ γὰρ ὅτι οὐ μόνον τὰ περὶ τὸν λάρυγγα ἐπληρώθη, ἀλλὰ καὶ τὰ ἐν ὅλῳ τῷ σώματι νευρώδη μόρια. πλὴν θανάσιμον, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ· ἐὰν γὰρ ἐπιλάβῃ, σύμπεψις γίνεται τῆς ὕλης καὶ λεπτυνομένη διαφορεῖται. ἢ πάλιν, ἐὰν μὴ εἰς τὴν ὥραν, καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται· εἰ γὰρ φθέγξηται, οὐκέτι θανάσιμον· δηλοῖ γὰρ ὅτι ἠδυνήθη ἡ φύσις συμπέψαι τὴν ὕλην. καιρὸν δὲ τῆς κραιπάλης οὐκ ἀποτετμημένον οὐδὲ περιγεγραμμένον ἀκουστέον. τινὲς μὲν γὰρ κατὰ τὴν ὑστεραίαν τῆς κραιπάλης παύονται, τινὲς δὲ κατὰ τὴν ἐπιγενομένην 1) νύκτα.

ΔΑΜ. Διὰ πλήρωσιν πάντως τῶν νεύρων ὁ τοιοῦτος σπασμός. πληροῖ γὰρ ταῦτα ὁ οἶνος, ὡς θερμὸς καὶ λεπτομερής. τῷ μὲν οὖν πλήθει τῆς οὐσίας σπασμὸν ἐπιφέρει, τῇ ποιότητι δὲ θεραπεύει, ἐκθερμαίνων καὶ ξηραίνων τὰ νεῦρα. εἰ δὲ τοῦτο μὴ δυνηθῇ, θάνατος ἕπεται. τῇ δὲ αὐτῇ δυνάμει καὶ ὁ πυρετὸς ἶᾶται, σπασμοῖς ἐπιγενόμενος. ἀφώνους νῦν καλεῖ τοὺς ὁπωσοῦν καρουμένους. ἔστι δὲ κάρος ἡ παντὸς τοῦ σώματος ἐξαιφνίδιος ἀκινησία καὶ ἀναισθησία, τῆς ἀρχῆς τῶν νεύρων παθούσης.

ϛ'. Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσι ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. —

ΘΕΟΦ. Ὁ τέτανος ἐπὶ παχείᾳ ὕλῃ γίνεται, καὶ ὅσον

σμὸν ἦν — ἄφωνος γένηται καὶ ὑποστίξαι σπασθεὶς ἀποθνήσκει, οὐ δεῖ οὕτως ἀναγνῶναι, ἀλλὰ δεῖ μεθ' ὑπερβατὸν ἀναγνῶναι, ἢν μὴ πυρετὸς ἐπιλάβῃ καὶ τὰ ἑξῆς. ἐπὶ γὰρ τίνι ἀποθνήσκει, οὐχὶ ἐπὶ τῷ σπασμῷ, ἀλλ' ἐπὶ τῇ ἀφωνίᾳ ἤτοι ἐπὶ τῇ ἀποπληξίᾳ. ἐὰν γὰρ οὕτως ἀναγνῶμεν, εὐοδοῦται τὰ νῦν ὑφ' Ἱπποκράτους λεγόμενα καὶ εὐπαρακολούθητα, ἔσονται. καὶ πάνυ μὲν θαυμασίως ἐξηγήσατο ὁ Γαληνός. Ὁ μέντοι ἐξηγητὴς τοῦ παρόντος, βιβλίου λέγει, ὅτι τὴν ἀφωνίαν οὐ δεῖ ἐπὶ τῇ ἀποπληξίᾳ λαβεῖν, ἀλλ' ἐπὶ τῇ βλάβῃ τῶν φωνητικῶν· ὀργάνων, μεσοπλευρίων μυῶν καὶ παλινδρομούντων νεύρων, καὶ τῶν τοιούτων μερικὸν σπασμὸν ἐσχηκότων.

1) δίψαν V. b. C.

ἐπὶ τούτῳ χρόνιον ἔδει εἶναι τὸ νόσημα, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως κάτοξυ εὑρίσκεται. ὅσοι οὖν ὑπὸ τετάνου συσχεθῶσιν, ἐντὸς τῶν τεσσάρων ἡμερῶν ἀπόλλυνται, ἐπειδὴ τονική ἐστι κίνησις ἐπ᾽ αὐτοῦ καὶ ἀδιάκοπος, καὶ ἐπὶ τούτῳ ἑτοίμως καταβάλλονται αἱ ζωτικαὶ δυνάμεις· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται, τῆς δυνάμεως δηλονότι ἐπαρκούσης. τὰ γὰρ κατόξεα μέχρι τῆς τετάρτης τὴν κρίσιν ἔχει.

COD. ESC. 1) *Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ πυρετὸς ἐπιγενόμενος ὀξὺς λύει τὸ νόσημα.* —

Τινές φασιν ὅτι παρεντέθειται ὁ παρὼν ἀφορισμός. οὐδὲν γὰρ καινότερον περιέχει τοῦ ἀφορισμοῦ τοῦ λέγοντος, πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι ἢ σπασμὸν ἐπὶ πυρετῷ. καὶ ἐνταῦθα γὰρ λέγει, ὅτι ἐὰν πυρετὸς ὀξὺς ἐπιγένηται σπασμῷ, λύει αὐτόν. ἕτεροι δὲ λέγουσιν, ὅτι διαφέρουσιν, καθὸ ἐκεῖνος περὶ μόνου σπασμοῦ διαλέγεται, οὗτος δὲ καὶ περὶ τετάνου. ἢ ἔστιν εἰπεῖν, ὅτι καὶ ὁ τέτανος σπασμός τις ἐστὶν, εἰ μὴ ἄρα εἴπῃ τις, ὥς φησὶν ὁ Γαληνὸς, ὅτι οὐ διαφαίνονται τὰ μόρια ἐπὶ τοῦ τετάνου ἐφ᾽ ὧν ὁ σπασμός ἐστι, καὶ δοκεῖ μηδὲ ὁρᾶσθαι ὁ τέτανος. ὄρθιον γὰρ τὸ σχῆμα τῆς ῥάχεως φυλάττεται ἐπὶ τοῦ τετάνου. καὶ ἔστιν εἰπεῖν ὅτι σπασμὸν καὶ τέτανον τὸν ἐπὶ πληρώσει ὑποτίθεται, οὐ μὴν τὸν ἐπὶ ξηρότητι, ἐπειδὴ ὁ πυρετὸς καὶ ἐπιτείνει τὸν ἐπὶ ξηρότητι γινόμενον σπασμόν. ἁπλῶς οὖν τὸν ἐπὶ πληρώσει ὑποτίθεται ἐνταῦθα σπασμὸν, καί φησιν ὅτι ἐὰν ἐπὶ τοῦ τοιούτου σπασμοῦ ἐπιγένηται πυρετὸς ὀξὺς, λύει αὐτὸν, ἐπειδὴ ὁ πυρετὸς χύσιν ποιεῖται τῆς ὕλης καὶ ἐπιτηδείαν αὐτὴν ποιεῖ, εἶτα δραξαμένη ἡ φύσις τῆς ἐπιτηδειότητος ἐπεγείρει τὸ ἔμφυτον θερμὸν σὺν ταῖς οἰκείαις δυνάμεσι καὶ πέττει τὴν ὕλην. εἴρηται γὰρ ὅτι τῷ ἐμφύτῳ θερμῷ πέττονται αἱ ὕλαι, οὐ μὴν τῷ ἐπικτήτῳ θερμῷ καὶ οὕτως λύει, ὡς αὐτὸς εἶπε, τὸ νόσημα· οὐ πάντως δὲ λύει τὸ νόσημα, ἀλλὰ λύει τὸ σύμπτωμα. ὁ

---

1) Cf. Aphor. IV. 57.

γὰρ σπασμὸς σύμπτωμά ἐστιν, ἐν βλάβαις ἐνεργειῶν θεωρουμένης τῆς κινήσεως. ἔδει οὖν αὐτὸν εἰπεῖν, λύει τὸ σύμπτωμα καὶ μὴ τὸ νόσημα. ἢ εἰπὲ τὸ ἀνωτέρω εἰρημένον ὅτι καλῶς εἶπε, λύει τὸ νόσημα τὸ παρὰ τὸν πόρον. ἡ γὰρ ἔμφραξις νόσημά ἐστιν, αἰτία τοῦ παρὰ τὸν πόρον. τοῦ οὖν πυρετοῦ χύσιν ποιοῦντος τῆς ὕλης, ἐμφράττεται ὁ πόρος καὶ λύεται ἡ ἔμφραξις ἤτοι τὸ νόσημα, καὶ οὕτως λοιπὸν συναποπαύεται καὶ τὸ σύμπτωμα ἤτοι ὁ σπασμός.

ΔΑΜ. Κάτοξυ πάθος ὁ τέτανος· σύγκειται γὰρ ἐξ ἐμπροσθοτόνου τε καὶ ὀπισθοτόνου. εἰκότως οὖν σύντομον ποιεῖται τὴν κρίσιν κατὰ τὴν πρώτην τῶν κρισίμων περίοδον, μὴ φερούσης τῆς φύσεως τὸν ἐπὶ τῇ τάσει κάματον.

ζ'. Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει· οἷσι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τὰ πολλὰ ξυναποθνήσκει. —

ΘΕΟΦ. Τὴν ἐπιληψίαν ὠμοτέρα καὶ παχεῖα ὕλη 1) ποιεῖ, ὅθεν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παιδίοις γίνεται· διὸ καὶ 2) παιδίον καλεῖται τὸ νόσημα ἤτοι ἡ ἐπιληψία. τούτοις δὲ τοῖς παισὶ γίνεται διὰ τὸ ἔχειν πλεῖστον ὠμὸν χυμὸν ἐκ πλημμελείας τῆς διαίτης. φησὶν οὖν Ἱπποκράτης, ὅτι τὰ ἐπιληπτικὰ οἷς πρὸ τῆς ἥβης γίνεται, περὶ τὸ ἡβάσκειν μετάστασιν ἴσχει τουτέστι τελείαν ἀπαλλαγὴν διὰ τὸ ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον μεταβάλλεσθαι· ὅσα δὲ ἔξω τῆς ἥβης γίνεται, τὰ πολλὰ συναποθνήσκει· οὐ γὰρ πάντα· ἔστι γὰρ ὅτε διὰ σώφρονα δίαιταν ἐν τῇ παρακμῇ παύονται. Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ 3) τεσσαρασκαιδεκάτου ἔτους μέχρι εἰκοστοῦ πέμπτου καθ' Ἱπποκράτην ἡβικὴ ἡλικία ὀνομάζεται.

ΔΑΜ. Τῶν ἡβώντων ἡ ἡλικία, ἐπὶ τὸ ξηρότερον μεταβάλλουσα καὶ περὶ γυμνασίαν καὶ δίαιταν τρεπομένη, ξηραντικὴν καὶ εὔχυμον κέκτηται φύσιν. διὰ τοῦτο καὶ ἐν

---

1) ποιεῖν εἴωθεν V. b. C. 2) παιδικὸν V. b. 3) ιη'. V. b. C.

αὐτοῖς ἡ ἐπιληψία ἰάσιμος. ἀπὸ δὲ τῆς εἰκοσιπενταετοῦς ἡλικίας μέχρι καὶ τῆς ἐσχάτης συναποθνήσκει.

η'. Ὁκόσοι πλευριτικοὶ γινόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα 1) μεθίσταται. —

ΘΕΟΦ. 2) Τῆς τεσσαρασκαιδεκάτης ἐμνημόνευσεν ὡς κρισίμου τῶν ὀξέων νοσημάτων· τὰ δὲ ὀξέα νοσήματα ἐπὶ θερμῇ καὶ λεπτῇ ὕλῃ γινόμενα τάχιον τὴν κρίσιν ποιοῦνται. φησὶν οὖν ὅτι ὅσοι πλευριτικοὶ γινόμενοι μὴ ἀνακαθαρθῶσι τουτέστι μὴ ἀνάξωσι, μὴ ἀναπτύσωσι τὰ ἀθροισθέντα ὑγρὰ, ἐν τεσσαρασκαίδεκα ἡμέραις τούτοις εἰς ἐμπύημα μεθίσταται διὰ τὸ εἶναι ψυχροτέραν καὶ παχυτέραν τὴν ὕλην· γινώσκουσα γὰρ τοῦτο ἡ φύσις εἰς δεύτερον πλοῦν ὁδεύει καὶ πυοποιεῖ τὴν ὕλην, ἣν πυοποίησιν 3) ἐμπύημα καλοῦσιν.

ΔΑΜ. Οὐκ ἀνακαθαίρονται, ἀντὶ τοῦ, διὰ τῶν πτυσμάτων κενοῦνται. ἐμπύημα δὲ λέγει τὴν εἰς πῦον μεταβολὴν τῆς φλεγμονῆς.

θ'. Φθίσιες γίνονται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα. —

ΘΕΟΦ. Ἐν τῷ τετάρτῳ τμήματι περὶ τῶν παθῶν τῆς πρώτης ἀρχῆς τουτέστι τοῦ ἐγκεφάλου διαλεχθεὶς τρέπεται νῦν καὶ ἐπὶ τὴν δευτέραν ἀρχὴν τουτέστι τὴν καρδίαν. καὶ ἤδη διελέχθη περὶ πλευρίτιδος, θωρακινοῦ δηλονότι οὔσης αὐτῆς πάθους. καὶ νῦν δὲ κατὰ συνέχειαν περὶ τῶν αὐτῶν θωρακινῶν παθῶν διαλέγεται, περὶ φθίσεως, καί φησι, φθίσιες γίνονται καὶ τὰ ἑξῆς. φθίσις ἐστὶν ἕλκωσις τοῦ πνεύμονος· γίνεται δὲ ἢ λόγῳ 4) ῥήξεως, ἢ λόγῳ διαβρώσεως.

---

1) περιΐστ. V. a. c. 2) COD. ESC. ἐμπύημα δὲ ὁ Ἱπποκράτης καὶ οἱ παλαιοὶ εἰώθασι καλεῖν οὐ μόνον τὴν ἐν τοῖς κενοῖς τοῦ θώρακος συναγομένην ὕλην καὶ πυοποιουμένην καὶ ἀθρόαν ἀναγωγὴν αὐτοῦ τοῦ πύου, ἀλλὰ καὶ ἐὰν ἐν τοῖς μεσοπλευρίοις μυσὶ γένηται ὑγροῦ συναγωγὴ, καὶ ἐὰν ἐν αὐτῷ τῷ ὑπεζωκότι καὶ πυοποιηθῇ, ἐμπύους ὀνομάζουσιν. 3) ἐμπυοποίημα V. b. 4) ratione temperaturae κράσεως.

διὸ καὶ τοῖς μειρακίοις μάλιστα γίνεται διὰ τὸ ἐπίπονον τῆς ἡλικίας. ἐξέρχονται γὰρ εἰς 1) κυνηγέσια, εἰς πολέμους, πηδῶσι, τρέχουσι, κἀντεῦθεν ῥῆξις αὐτοῖς γίνεται· ἄλλως τε ὅτι ἐπὶ τῶν μειρακίων πολὺς αἱματικὸς χυμὸς γεννᾶται κἀντεῦθεν τῇ πληρώσει τείνονται τὰ ἀγγεῖα καὶ τῇ τάσει ῥήγνυνται καὶ μάλιστα τὰ τοῦ πνεύμονος ὡς εὐπαθῆ· τούτων δὲ ῥηγνυμένων, γίνεται αἵματος πτύσις, ἐπὶ τῇ πτύσει ἕλκος ἐν τῷ πνεύμονι, ἐπὶ τῷ ἕλκει ἔκτηξις τοῦ παντὸς σώματος, ἥντινα διάθεσιν φθίσιν ὀνομάζουσι. καὶ μὴν καὶ τοῖς ἀκμάζουσι γίνεται φθίσις διὰ τὴν κρᾶσιν. χολωδέστερον γὰρ καὶ δριμύτερον ἔχουσι τὸ αἷμα, ὃ τῇ δριμύτητι καὶ ἀνίᾳ ἀναβιβρώσκει τὰ ἀγγεῖα, καὶ γίνεται καὶ αὐτοῖς αἵματος πτύσις, εἶτα ἕλκος καὶ οὕτως φθίσις ἐπακολουθεῖ. ὅτι δὲ περὶ τῶν δύο ἡλικιῶν τουτέστι μειρακιώδους καὶ ἀκμαστικῆς ὁ Ἱπποκράτης διαλέγεται, δῆλον ἐκ τοῦ εἰπεῖν πληθυντικῶς ἡλικίῃσι. καὶ ἀπὸ μὲν τῶν ιη´ ἐτῶν μέχρι τῶν κε´ τὴν ἡβικὴν ὑποτίθεται ἡλικίαν, ἀπὸ δὲ τοῦ κε´ ἔτους μέχρι τοῦ λε´ τὴν ἀκμαστικήν.

ΔΑΜ. Γίνεται δὲ τοῦτο διὰ τὴν ἀκρασίαν αὐτῶν τὴν ἔν τε τοῖς προσφερομένοις καὶ διαπραττομένοις οἷον ἅλμασι, δρόμοις καὶ τοῖς ὁμοίοις χαμευνίαις τε καὶ ἡλιώσεσι καὶ ψύξεσι καὶ κραυγαῖς.

ι´. Ὁκόσοι κυνάγχην διαφεύγουσι, τουτέοισι ἐς τὸν πλεύμονα τρέπεται καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσι· ἢν δὲ ταυτέας διαφύγωσιν, ἔμπυοι γίνονται. —

ΘΕΟΦ. 2) Ἐνταῦθα περὶ φλεγμονῆς τοῦ λάρυγγος διαλέγεται· οὗτος δὲ ὁ λάρυγξ ἔχει μύας καὶ ἀνοίγοντας αὐτὸν καὶ κλείοντας, καὶ τοὺς μὲν ἀνοίγοντας αὐτὸν ἔξωθεν, τοὺς δὲ κλείοντας ἔσωθεν ἔχει. καὶ εἰ μὲν περὶ τοὺς ἔσωθεν ἡ φλεγμονὴ γένηται, κυνάγχη καλεῖται τὸ πάθος, εἰ δὲ περὶ τὰς ἔξωθεν, παρακυνάγχη. ἐνταῦθα οὖν φλεγ-

---

1) COD. ESC. σκαφελατοῦσι καὶ ἐρέσσουσι. 2) IBID. ἐνταῦθα δὲ γενόμενος ὁ Γαληνὸς ἐπεσημήνατο ὅτι τινὰ τῶν ἀντιγράφων ἔχουσιν ἀνεμέουσιν, τινὰ ἀναβήττουσιν, τινὰ ἀναπτύουσιν. Prima lectio mala, quum quae e pulmone rejiciantur, non evomantur.

μονην τῶν ἔσω μυῶν ὑποτίθεται καὶ τῆς αὐτὴν ἐργασαμένης ὕλης μετάστασιν. φησὶν οὖν, ὁκόσοι κυνάγχην διαφεύγουσιν, ἐς τὸν πνεύμονα τουτέοισι τρέπεται καὶ τὰ ἑξῆς. ἵνα σαφὴς γένηται ὁ ἀφορισμὸς, ὑπερβιβαζέσθω ὁ καὶ σύνδεσμος καὶ ἀναγινωσκέσθω οὕτως· ὁκόσοι κυνάγχην διαφεύγουσι καὶ εἰς τὸν πνεύμονα γίνεται ἡ μετάςασις, οὗτοι ἐν ἑπτὰ ἡμέραις ἀποθνήσκουσιν. 1) ἐὰν γὰρ ἐν ἀκυροτέρῳ μορίῳ οὔσης τῆς ὕλης τουτέστιν ἐν φάρυγγι, θανάσιμον ἦν, πολλῷ μᾶλλον ἐπὶ κυρίῳ μορίῳ τουτέστιν ἐν πνεύμονι μετενεχθείσης τῆς ὕλης, ὁ θάνατος ἐπακολουθήσει, πνιγμοῦ γεγονότος, καὶ ὥς φησιν Ἱπποκράτης, τῇ ἑβδόμῃ ἡμέρᾳ, διότι ἡ κυνάγχη ὀξὺ νόσημά ἐστι καὶ τάχιον ἐπιφέρει τὴν κρίσιν. ἑβδόμην δὲ ἡμέραν ἀκουστέον, οὐκ ἀφ᾽ οὗ ἡ μετάστασις γέγονεν, ἀλλ᾽ ἐξ ἀρχῆς τοῦ νοσήματος· ἢν δὲ ταύτην διαφύγωσιν, εἰς δεύτερον πλοῦν ὁδευούσης τῆς φύσεως καὶ πυοποιούσης τὴν ὕλην, ἔμπυοι γίνονται καὶ οὕτω σπανιάκις ὑγιαίνουσιν.

ΔΑΜ. Τοῦ γὰρ πάθους μεθισταμένου, ἢ θάνατος ἀκολουθεῖ ἢ ἐμπύησις.

ιά. Τοῖσι ὑπὸ τῶν φθίσεων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅτι ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανάσιμον. —

ΘΕΟΦ. Καὶ οὗτος ὁ ἀφορισμός προγνωστικός· τρία δὲ ἡμῖν παραδίδωσι, νόσημα καὶ τὴν κακοήθειαν τοῦ νοσήματος καὶ χρόνον τῆς ἐκβάσεως, καὶ διὰ μὲν τοῦ εἰπεῖν τοῖσιν ὑπὸ τῶν φθίσεων, τὸ πάθος, διὰ δὲ τοῦ, βαρὺ ὄζει, τὴν κακοήθειαν τοῦ νοσήματος, καὶ ἐκ ταύτης τῆς δοκιμασίας τὸν χρόνον τῆς ἐκβάσεως, ὅτι θανατῶδες. ἐν τούτοις οὖν τοῖς νοσήμασι ἀπόπειραν ποιεῖται ὁ Ἱπποκράτης θανάτου ἐκ τῆς τοῦ πτύσματος ὀδμῆς· λέγει γὰρ, ὅτι δεῖ τὸ ἀνεχθὲν βάλλειν ἐπ᾽ ἀνθράκων, πλὴν οὐκ

---

1) κάτοξυ γὰρ τὸ πάθος ἐστὶν, ὡς μέχρι τῆς δ΄ ἡμέρας διήκειν καὶ θανάσιμον, εἰ ἐπιμένοι τῷ λάρυγγι διὰ τὸ πνιγμὸν ἐμποιεῖν· εἰ δὲ μετάςασιν σχοίη πρὸ τῆς δ΄ τῷ πνεύμονι ἐνσκῆψαν, ἐν τῇ δευτέρᾳ τετράδι θανάσιμον ἤγουν τῇ ζ΄ V. b. A. b.

ἀμέσως, ἀλλ' εἰς ὕελον ἐπιβεβλημένον καὶ οὕτως εἰς τοὺς ἄνθρακας, ἵν' οὕτως διαλυόμενον δηλώσῃ τὴν οἰκείαν αὐτοῦ δυσωδίαν. ἐὰν οὖν βαρὺ ὄζῃ, ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, ὅπερ ἂν ἀποβήσσωσι, — διὰ δὲ τούτου ᾐνίξατο τὸν πεπονθότα τόπον τουτέστι τὰ περὶ τὸν θώρακα, — θανατῶδες· εἰ γὰρ ἡ καρδία πολλάκις, τοῦ ἔξωθεν ἀέρος μεμολυσμένου ὄντος, παραβλάπτεται, ὡς καὶ θάνατον γενέσθαι, πολλῷ μᾶλλον καταβλαβήσεται καὶ θάνατος ἐπακολουθήσει, πλησίον τῆς καρδίας οὔσης τῆς δυσωδίας. μάλιστα δὲ θανάσιμόν ἐστι, καὶ εἰ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσι· δηλοῦται γὰρ ὅτι ἢ ἐνδεής ἐστιν ἡ τροφὴ, ἐξ ἧς καταξηραίνεται τὸ ὅλον σῶμα ἢ διαφθορὰ χυμῶν.

ΔΑΜ. Γίνεται δὲ τοῦτο ἢ δι' ἔνδειαν τροφῆς ἢ διαφθορὰν χυμῶν.

ιβ΄. Ὁκόσοισι φθισιῶσι αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσι, οὗτοι, διαῤῥοίης ἐπιγενομένης, ἀποθνήσκουσι. —

ΘΕΟΦ. Καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον θανάσιμός ἐστιν ἡ διάῤῥοια τοῖς φθισιῶσιν, ὡς μὲν σημεῖον, ἐπειδὴ δηλοῖ ἀσθένειαν τῶν φυσικῶν δυνάμεων, ὡς αἴτιον δὲ, ὅτι τῇ συνεχείᾳ τῆς ἐξαναστάσεως καταλύεται ἡ δύναμις. εἰ γὰρ ἐπὶ τῶν ὑγιαινόντων διάῤῥοια ἐπιγενομένη καταλύει τὴν δύναμιν, πολλῷ μᾶλλον, φθίσεως ὑποκειμένης, ἐπιγινομένη.

ΔΑΜ. Ὡς αἴτιον καὶ σημεῖον κακοῦ, αἴτιον μὲν ἀτονίας τῆς δυνάμεως, σημεῖον δὲ ἐπὶ τοῖς ῥηθεῖσιν ἐκβρώσεως.

ιγ΄. Ὁκόσοι αἷμα ἀφρῶδες 1) ἀναπτύουσι, τουτέοισι ἡ ἀναγωγὴ ἐκ τοῦ πλεύμονος γίνεται. —

ΘΕΟΦ. Τινὰ ἔχουσι τῶν βιβλίων ἀναβήττουσι, τινὰ δὲ ἐμέουσι. ἀλλ' εἰ μὲν ἀναβήττουσιν ἔχει, σαφές· τὰ γὰρ ἀπὸ τοῦ πνεύμονος διὰ βηχὸς ἀνάγονται· εἰ δὲ ἔχει ἐμέουσι, μεταφορικῶς εἴρηται ἀπὸ τῶν ἐμουμένων διὰ γαστρός. τί οὖν; φησὶν Ἱπποκράτης, ὅτι ἐὰν ἐνεχθῇ

1) ἐμέουσι V. a. c.

ἀφρῶδες αἷμα, ἀπὸ τοῦ πνεύμονός ἐστι. καὶ πόθεν δῆλον; ὅτι ὁ πνεύμων λεπτὸν καὶ ἀερῶδες καὶ εἰλικρινὲς αἷμα δέχεται κἀκ τούτου τρέφεται. ἐὰν οὖν τοιοῦτον ἐνεχθῇ, πρόδηλον ὅτι ἐξ αὐτοῦ τοῦ πνεύμονος ἀνάγεται, ὃ καὶ χαλεπὸν, ὅτι αὐτὴ ἡ οὐσία τοῦ πνεύμονος πάσχει.

ΔΑΜ. Ἡ γὰρ οὐσία τοῦ πνεύμονος ἀφρώδης ἐστίν.

ιδ'. Ὑπὸ φθίσιος ἐχομένῳ, διάῤῥοια ἐπιγινομένη, θανατῶδες. —

ΘΕΟΦ. 1) Ἀνωτέρω μὲν ἐπὶ φθίσει τὴν διάῤῥοιαν 2) εἴρηκε θανάσιμον εἶναι, πύου καὶ τριχῶν μνημονεύσας, ἐνταῦθα δὲ ἁπλῶς θανατῶδες εἶπε τὴν διάῤῥοιαν, ὡς ἱκανὴν οὖσαν καὶ μόνην τὸν θάνατον δηλῶσαι, ἀλλ' οὐ ταχὺν, ὡς ἡ ἔμπροσθεν εἰρημένη φθίσις.

ιε'. Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν μὲν ἀνακαθαρθέωσιν, ἐν τεσσαρήκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, 3) παύονται, ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται. —

ΘΕΟΦ. Πλευρῖτίς ἐστι φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἀλλ' αὕτη ἐὰν ἀνακαθαρθῇ, ἐν τεσσαρασκαίδεκα ἡμέραις παύεται· εἰ δὲ ὑπερβάλλει τὴν τεσσαρασκαιδεκάτην, εἰς ἐμπύημα μεθίσταται, καθὼς ἀνωτέρω εἴρηται. ἐνταῦθα οὖν περὶ τῆς ἀνακαθάρσεως τοῦ πύου διαλέγεται ἤτοι τῆς ἀναγωγῆς καί φησιν, ὅτι ἐὰν ἐντὸς τῶν τεσσαράκοντα ἡμερῶν κενωθῇ τελέως τὸ πῦον, λύονται· εἰ δὲ ὑπερβῇ τὰς τεσσαράκοντα, εἰς φθίσιν μεθίσταται. διὰ τί; ἐπειδὴ ὁ πνεύμων 4) μανώδης ἐστὶ καὶ σπογγώδης καὶ ἐ φέρει τὴν ἀεὶ πάροδον τοῦ πύου, 5) σηπεδόνα καὶ δριμύτητα. ἀλλὰ διὰ τὸ εὐπαθὲς 6) ξέεται καὶ ἑλκοῦται καὶ γίνεται ἔκτηξις τοῦ σώματος, ἥτις φθί-

---

1) COD. ESC. Ἐὰν γὰρ ἐπιχεόμενα ἐπὶ τοὺς ἄνθρακας βαρὺ ὄζῃ καὶ αἱ τρίχες τῆς κεφαλῆς μαδῶσι καὶ ἀποῤῥέωσιν, ἐπιγένηται δὲ καὶ διάῤῥοια γαστρὸς, πῶς οὐκ ἔσται θανατῶδες; οὐκοῦν δυνάμει προείρηται. Hoc totum est scholion. 2) ἔλεγε V. b. c. 3) λύονται D. 4) χαυνὸς V. b. μανὴς V. c. 5) σηπεδονώδη καὶ δριμυτάτην V. b. 6) fervet C.

σις 1) λέγεται. τεσσαράκοντα δὲ ἡμέρας δεῖ λαβεῖν οὐκ ἀπ' ἀρχῆς τῆς πλευρίτιδος, ἀλλὰ μετὰ τὴν ῥῆξιν.

ΔΑΜ. Διαβρωθέντος γὰρ τοῦ πνεύμονος, γίνεται τοῦτο, ἐὰν ἐπὶ πλέον χρονίσῃ ἐκεῖσε τὸ πῦον.

ις'. Τὸ θερμὸν βλάπτει ταῦτα πλεονάκις χρεομένοισι, σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας· ταῦτα οἷσι θάνατος. —

ΘΕΟΦ. 2) Περὶ διαγνώσεως καὶ προγνώσεως παθῶν διαλεχθεὶς, νῦν περὶ αἰτίων νοσημάτων διαλέγεται καί φησιν, ὅτι τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πολλάκις χρωμέουις· σαρκῶν ἐκθήλυνσιν λέγει τὴν ἀσθένειαν τῶν σαρκῶν ἀπὸ μεταφορᾶς τοῦ θήλεος γένους. ποιεῖ δὲ ταύτην τὸ πλεῖστον θερμὸν τῇ ἀμέτρῳ διαφορήσει· διαφοροῦν γὰρ τὴν συνεκτικὴν αὐτῶν ὑγρότητα ἐκλύει αὐτάς. ποιεῖ δὲ καὶ νεύρων ἀκράτειαν τουτέστιν ἀσθένειαν, ἐπειδὴ τὸ θερμὸν ἀνευρύνει καὶ χαῦνα αὐτὰ ποιεῖ, πυκνὰ καὶ 3) στεγανὰ ὄντα, καὶ διαφορεῖ τὴν ἐν αὐτοῖς συνεκτικὴν ὑγρότητα. τῇ γὰρ διαφορήσει ἐκλύονται τὰ νεῦρα τὰ κρατοῦντα τὰ μόρια καὶ οὐκέτι δύνανται κρατεῖν. ποιεῖ δὲ καὶ γνώμης νάρκωσιν ὁμοίως τῇ διαφορήσει τουτέστιν ἀσθένειαν. ἐπιφέρει δὲ καὶ αἱμοῤῥαγίας ταῖς ἐπιτηδείως ἐχούσαις πρὸς αἱμοῤῥαγίας διαθέσεσι τῇ ἀνευρύνσει καὶ 4) ἀναπετεία τῶν πόρων. 5) ἄλλως τε τῇ χύσει καὶ τῷ πλεονασμῷ τοῦ αἵματος αἱ φλέβες τεινόμεναι ῥήγνυνται κἀκ τούτου αἱμοῤῥαγίαι γίγνονται. ποιεῖ δὲ καὶ λειποθυμίας διὰ τὰς αἱμοῤῥαγίας. οἷσιν ἓν πάντα ταῦτα γίνονται τὰ εἰρημένα, θάνατος γενήσεται. εἰ τὸ ὅμοιον τῷ ὁμοίῳ χαίρει, πῶς τὰς σάρκας θερμὰς καὶ ὑγρὰς οὔσας βλάπτει τὸ θερμὸν καὶ ὑγρόν; ἐπειδὴ ἄμετρον ὑπόκειται.

---

1) ὀνομάζεται V. b. c. 2) COD. ESC. τὸ θερμὸν sc. ὕδωρ, non ζιγγίβερ ἢ πέπερι ἢ κώνειον etc. — ἀλλὰ νάρκην ἐνταῦθα λέγει τὴν ἀσθένειαν τοῦ λογισμοῦ. καὶ γὰρ διαφόροις ὀνόμασιν ἐχρήσαντο τὸ αὐτὸ δηλοῦσιν. ἀεὶ γὰρ εἰώθασιν οἱ συγγραφεῖς διαφόροις κεχρῆσθαι ὀνόμασιν ἐπὶ ἑνὸς πράγματος διὰ καλλωπισμὸν φράσεως. 3) στενὰ V. b. στεγνὰ V. c. 4) ἀναπετάσει V. b. 5) Om. aliqua C.

ΔΑΜ. Διαλυομένης τῆς τῶν νεύρων οὐσίας καὶ αὐτοῦ τοῦ ἐγκεφάλου ὑπὸ τοῦ θερμοῦ. τὸ δὲ οἷσι θάνατος ἀντὶ τοῦ ἐπακολουθεῖ θάνατος ταῖς αἱμοῤῥαγίαις καὶ λειποθυμίαις.

ιζ. Τὸ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, 1) μελασμοὺς, καὶ ῥίγεα πυρετώδεα ἐμποιέει. —

ΘΕΟΦ. Περὶ τοῦ θερμοῦ πρότερον διαλεχθεὶς ὡς δραστικωτέρου ὄντος τοῦ ψυχροῦ μέτεισι νῦν καὶ ἐπὶ τὰ πάθη τὰ γινόμενα ἀπὸ ψυχροῦ ὕδατος· τοῖσι δηλονότι πλεονάκις χρεομένοισι καὶ σπασμοὺς μὲν καὶ τετάνους ποιεῖ, διότι πύκνωσιν ποιεῖται τῶν πόρων καὶ τῇ πυκνώσει ἀποκλείονται τὰ περιττώματα καὶ ἐντεῦθεν μὴ εὑρίσκοντα διάπνοιαν, τρέπονται κατὰ τῶν νευρωδῶν μορίων, καὶ ποιῦσι σπασμὲς καὶ τετάνες, τὲς ἐπὶ πληρώσει. ποιεῖ δὲ καὶ ἐπὶ ξηρότητι σπασμὲς καὶ τετάνες, εἰ τύχοι ξηρὸν καὶ ἀπέριττον εἶναι τὸ σῶμα, ὡς χωρῆσαι διὰ βάθους τὴν ψύξιν. καὶ αὐτὴ γὰρ καταξηραίνει τῷ ἐκπυρινίζειν τὴν ὑγρότητα καὶ ἐκθλίβειν δίκην σπογγίας. ποιεῖ δὲ καὶ μελασμοὺς τῷ καταψύχειν καὶ ἀποσβεννύειν τὸ ἔμφυτον θερμὸν ἢ διότι πυκνοῖ τοὺς πόρους, ἀποκλείει τὰ περιττώματα, ἅπερ ἀδιαπνευστοῦντα σήπεται καὶ ἐπὶ τῇ σήψει ὁ μελασμὸς ἐπακολουθεῖ. ποιεῖ δὲ καὶ ῥίγεα πυρετώδεα, τὸ μὲν ῥῖγος τῇ ψύξει, ὡς εἶναι αὐτὸ τῇ ἁφῇ γνώριμον, τὸν πυρετὸν δὲ κατὰ συμβεβηκὸς ἐπακολουθοῦντα τῷ ῥίγει ἢ ὅτι ἀποκλειομένων τῶν πόρων καὶ σήψεως γενομένης, δάκνονται τὰ αἰσθητικὰ μόρια, κἀντεῦθεν κλόνος καὶ ἐπὶ τῷ κλόνῳ 2) σύννευσις τοῦ ἐμφύτου θερμοῦ, κἀκ τούτου ῥῖγος.

ΔΑΜ. Ὥσπερ γὰρ εἰκὸς λύεσθαι τὴν οὐσίαν τῶν νεύρων ὑπὸ τῆς ἀμέτρου θερμότητος, οὕτω τῷ περαιτέρω τοῦ προσήκοντος ἀποψύχεσθαι, συνάγεσθαί τε καὶ σφίγγεσθαι.

ιη΄. Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροισιν, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ, τὸ δὲ θερμὸν ὠφέλιμον. —

1) μελ. om. V. a. b. c. 2) συνέλευσις V. b.

ΘΕΟΦ. Ἀπὸ τῆς ἐπιμόνου χρήσεως τοῦ ψυχροῦ ὕδατος φησὶν Ἱπποκράτης ταῦτα βλάπτεσθαι τὰ μόρια διὰ τὸ εἰς ἀμετρίαν ἐκτρέπεσθαι αὐτῶν τὴν κατὰ φύσιν καὶ σύμμετρον κρᾶσιν. ἀποροῦσι δέ τινες λέγοντες, ὅτι πῶς τὰ ὀστᾶ, φύσει ἀναίσθητα ὄντα, βλάπτονται ὑπὸ τοῦ ψυχροῦ; καί φαμεν, ὅτι τὰ ὀστᾶ κἂν φύσει ἀναίσθητά εἰσιν, οὐκ εἰσὶν ἀπαθῆ, ἀλλ' οὖν ὅμως πάσχουσι φθορὰν, ὥσπερ καὶ ὁ λίθος πάσχει φθορὰν, καὶ φθείρεται καὶ μειοῦται. εἶτα πάλιν ἀποροῦσιν, ὅτι πῶς εἰπὼν ὀστέοισι διεστείλατο καὶ εἶπεν ὀδοῦσι· μὴ γὰρ οἱ ὀδόντες οὐκ εἰσὶν ὀστᾶ; καὶ λέγομεν, ὅτι ἔχουσι μὲν κοινωνίαν πρὸς τὰ ὀστᾶ, ἔχουσι δὲ καὶ διαφοράν. καὶ κοινωνίαν μὲν ἔχουσι, καθὸ παχεῖαν καὶ γεώδη ἔχουσι τὴν οὐσίαν καὶ στεγανὴν καὶ ξηρὰν, διαφέρουσι δὲ ὅτι αἰσθάνονται, τῶν ὀστῶν ἀναισθήτων ὄντων. διὰ οὖν τοῦτο διεστείλατο τοὺς ὀδόντας τῶν ὀστῶν. δεῖ δὲ οὕτως ἀναγνῶναι τὸν λόγον, τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσιν, ἐγκεφάλῳ, νωτιαίῳ καὶ ὑποστίξαι, εἶτα ἀναγνῶναι μυελῷ, ἵνα παντὶ μυελῷ ἁρμόσῃ τὸ λεγόμενον, τὸ δὲ θερμὸν, ὠφέλιμον. καὶ ἡ αἰτία, ὅτι ἃ βλάπτει ἡ ψύξις, ὠφελεῖ ἡ θερμασία, πλὴν θερμὸν δεῖ λαμβάνειν, οὐ τὸ ἄμετρον· τοῦτο γὰρ καταλύει τὴν δύναμιν, ἀλλὰ τὸ μεμετρημένον.

ΔΑΜ. Πολέμιόν ἐστι τὸ ψυχρὸν τοῖς φύσει ψυχροῖς καὶ ἀναίμοις.

ιθ'. Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν χρὴ, πλὴν ὁκόσα αἱμοῤῥαγέει, ἢ μέλλει. —

ΘΕΟΦ. Ἐν τῷ πρὸ τούτου ἀφορισμῷ ἔλεγε τὸ θερμὸν φίλον ὀστέοισι, ὀδοῦσι καὶ τοῖς λοίποις, ἐνταῦθα δὲ τὴν αἰτίαν παραδίδωσι λέγων, ὅτι ὅσα κατέψυκται, ἐκθερμαίνειν δεῖ· τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα, πλὴν εἰ μὴ συμπτώματα ἕπεται· τὸ τηνικαῦτα γὰρ κώλυσις γίνεται τῆς ἐναντιώσεως· οἷον μέλλει τις θερμᾶναι καὶ κεκώλυται, διότι αἱμοῤῥαγία μέλλει γίνεσθαι. ὅσα οὖν αἱμοῤῥαγεῖ ἢ μέλλει, οὐ δεῖ θερμαίνειν, μήπως τὸ θερμὸν ὡς χύσιν ἐργαζόμενον καὶ ἀραιῶν ἐπιπλέον 1) ἐργάσηται αἱμοῤῥαγεῖν.

1) ἐπιβουλεύσῃ V. b. c. C.

ΔΑΜ. Πρὸς γὰρ τὸ κατεπεῖγον ἵστασθαι χρὴ, ὡς καὶ νῦν τὴν αἱμοῤῥαγίαν ἢ οὖσαν ἢ μέλλουσαν.

κ'. Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει, μελαίνει, ῥίγεα πυρετώδεα, σπασμοὺς, τετάνους ποιέει. —

ΘΕΟΦ. Τοῖς ἕλκεσι τὸ ψυχρὸν δακνῶδες τουτέστι πληκτικὸν οὐ κατὰ πρῶτον λόγον, ἀλλὰ κατὰ συμβεβηκός. πῶς; ὅτι τὸ ψυχρὸν ἅμα τῇ προσβολῇ πυκνοῖ καὶ πίλησιν ποιεῖ. ἀποκλειομένων οὖν τῶν ἰχώρων καὶ δριμυτέρων γενομένων, δάκνουσι· διὸ δακνῶδές ἐστι τὸ ψυχρόν. εἶτα καὶ δέρμα περισκληρύνει τῷ λόγῳ τοῦ ἐναποκλείειν τὰ περιττά· πύκνωσιν γὰρ ποιεῖται τῶν πόρων τὸ ψυχρόν. τούτων οὖν ἀποκλειομένων, συνελαύνονται ἐπὶ τὸ βάθος καὶ πληθύνονται καὶ ποιοῦσι πληθώραν, ἐφ' ᾗ τείνεται τὸ δέρμα καὶ τῇ τάσει σκληρύνεται. ποιεῖ καὶ ὀδύνην 1) ἀνεκπύητον, τουτέστι τὰ ὀδυνηρὰ αἴτια ἀνεκπύητα, τῷ καταψύχειν τὸ ἔμφυτον θερμὸν, καὶ ἐπὶ τούτῳ πολυχρόνιος γίνεται ἡ ὀδύνη. ποιεῖ δὲ καὶ μελασμοὺς καὶ πυρετώδεα ῥίγεα, σπασμούς τε καὶ τετάνους· καὶ ἡ ἐξήγησις ἀνωτέρω εἴρηται, πλὴν ἐκεῖ μὲν ἄνευ τόπου πεπονθότος ταῦτα ὑπετίθετο, ἐνταῦθα μέντοι ἐν τόπῳ πεπονθότι.

ΔΑΜ. Τοῖς ἡλκωμένοις, ὡς ἀραιοτέροις ἐγκαταβαῖνον τὸ ψυχρὸν ὕδωρ τῷ βάθει τῆς οὐσίας αὐτῶν, πλῆττον δάκνει, σκληρὸν δὲ τὸ δέρμα ποιεῖ τῇ πιλήσει τῆς οὐσίας αὐτοῦ, ὀδύνην ἀνεκπύητον ποιεῖ τῷ καταψύχειν τὸ ἔμφυτον θερμὸν, ὃ ἐκπυΐσκει.

κα'. Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται· θέρμη δὲ ταῦτα ῥύεται. —

---

1) COD. ESC. ἀνεκπύητον] — οὐδέποτε γὰρ πυοποιεῖ τὸ ψυχρὸν ἤτοι πέττει. ἡ γὰρ πυοποίησις πέψις τίς ἐστιν. — δεῖ ἐκφυγεῖν καὶ τὰ ἄκρως θερμὰ καὶ τὰ ἄκρως ψυχρὰ καὶ χρήσασθαι τῷ χλιαρῷ ὕδατι. τοῦτο γὰρ συμμέτρως παραλαμβανόμενον μεγάλως ὠφελεῖν δύνα-

ΘΕΟΦ. Ὅσα σπανίως ὠφελεῖ τὸ θερμὸν καὶ ψυχρὸν, ἐν τῷ νῦν ἀφορισμῷ καὶ ἐν τοῖς ἐφεξῆς διαλέγεται ὁ Ἱπποκράτης καὶ πρῶτόν γε περὶ τοῦ ψυχροῦ. φησὶν οὖν, ὅτι ἔστιν ὅτε τὸ ψυχρὸν τέτανον παύει καὶ τοῦτο ἐσήμανε διὰ τοῦ εἰπεῖν, ἔστι δὲ ὅκου ἐπὶ τετάνῳ, πλὴν οὐχ ὡς ἔτυχεν, ἀλλὰ ἐὰν ἄνευ ἕλκους ᾖ· οὕτω γὰρ οὐ μόνον ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει, διότι τὸ ψυχρὸν τοῖς ἕλκεσι πολέμιον, καὶ ἐὰν ᾖ ῥώμη δυνάμεως. εἰ γὰρ ἀσθενὴς ᾖ, νεκροῦται. καὶ τοῦτο ἐνεδείξατο διὰ τοῦ εἰπεῖν, νέῳ. καὶ ἐὰν εὔσαρκος ᾖ ὁ κάμνων, ἵνα πολλοῦ ὄντος τοῦ μεταξὺ διαστήματος, μὴ φθάσῃ μέχρι βάθους ἡ ψύξις, ἀλλὰ στῇ ἐπιπολῆς· καὶ ἐὰν μέσου θέρους, ἵνα ἡ ἀπὸ τοῦ περιέχοντος θερμασία συμβάλληται. ἐὰν γὰρ οὕτως ἔχῃ καὶ πολλοῦ κατάχυσις ψυχροῦ ὕδατος γένηται ἐπὶ τετάνῳ, θεραπεύει αὐτόν. πῶς; πυκνοῖ γὰρ τοὺς πόρους τὸ ψυχρὸν καὶ τούτων πυκνουμένων, μὴ εὑρίσκον διάπνοιαν τὸ ἔμφυτον θερμὸν, πολυειδῶς κινεῖται καὶ οὕτως ἐκθερμαινόμενον χωρεῖ παρὰ τὰ ποιητικὰ αἴτια τοῦ τετάνου καὶ λεπτύνει αὐτὰ καὶ κενοῖ καὶ ἀπαλλαγὴν ἐπιφέρει κατὰ συμβεβηκὸς τοῦ νοσήματος.

ΔΑΜ. Ἡ γὰρ τοῦ ψυχροῦ πρόσπτωσις ἢ νικᾷ τὴν ἔμφυτον θερμασίαν, ὅταν ἀσθενὴς ὑπάρχῃ, ἢ ἀθροίζει, ὅταν ἰσχυρὰ, τὴν διαπνοὴν αὐτῆς συνέχουσα καὶ διακωλύουσα. παραιτεῖται δὲ τοὺς ἐφ' ἕλκεσι σπασμοὺς, ὡς οὐκ ἄν ποτε τούτων ὑπὸ τοῦ ψυχροῦ θεραπευθησομένων, οὐδ' εἰ νέος εἴη ὁ κάμνων καὶ φύσει θερμὸς καὶ κατα θερινὴν ὥραν καὶ χώραν.

κβ'. Τὸ θερμὸν ἐκπυητικὸν ἐπὶ παντὶ ἕλκεϊ, πλὴν ἐπὶ νεαρῷ μέγιστον σημεῖον ἐς ἀσφαλείην, δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν· τὰ δὲ ἐν τῇ κεφαλῇ καὶ καρηβαρίην λύει· πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι, τουτέων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι· καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ

ται. καὶ ἡ θεραπεία δεόντως γενήσεται, καθὼς φησι καὶ ὁ ποιητής, νίζε ὕδατι χλιαρῷ.

ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισι, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστεϊ, τουτέοισι τὸ μὲν θερμὸν φίλιον, καὶ κρῖνον, τὸ δὲ ψυχρὸν πολέμιον, καὶ κτεῖνον. —

ΘΕΟΦ. 1) Νῦν περὶ τοῦ θερμοῦ διαλέγεται καὶ φησιν, ὅτι τὸ θερμὸν ἐκπυητικόν. διὰ τί; ἐπειδὴ τὸ ψυχρὸν ἀνεκπύητόν ἐστιν. ἄλλως τε τὸ θερμὸν ἀραιοῖ τοὺς πόρους, χύσιν ποιεῖται τῶν ὑλῶν, μεταβάλλει καὶ ἀλλοιοῖ καὶ πέττει καὶ προσκαλεῖται τὸ ἔμφυτον θερμὸν καὶ διὰ τοῦτο ἐκπυητικόν ἐστι, πλὴν οὐκ ἐπὶ παντὶ ἕλκει, ἀλλ' ἐπὶ τῶν ἁπλῶν. ἐπὶ γὰρ τῶν συνθέτων ἑλκῶν τουτέστι χειρωνίων, φαγεδαινῶν, νομωδῶν οὐκ ἔστιν ἐκπυητικὸν, ἀλλὰ μᾶλλον καὶ βλαπτικόν· τὸ γὰρ θερμὸν τῶν μὲν μετ' ἐπιῤῥοίας ἑλκῶν ἐπιτείνει τὴν ἐπίῤῥοιαν, τοῖς δὲ ἄλλοις συνθέτοις καὶ ἔτι ἐπιτείνει τὴν σηπεδόνα. λοιπὸν ἐπὶ τῶν ἁπλῶν ἑλκῶν ἐκπυητικὸν τὸ θερμὸν καὶ μέγιστον σημεῖον ἐς ἀσφαλείην τουτέστι μέγιστον καὶ ἀσφαλέστατόν ἐστι σημεῖον τὸ πῦον τοῖς ἕλκεσι τοῦ εἰς ὑγείαν μέλλειν τρέπεσθαι. δέρμα μαλάσσει καὶ ἰσχναίνει. ἐὰν μὲν πληθωρικὸν τὸ σῶμα, χύσιν ποιοῦν μαλάσσει, εἰ δὲ ἀπέριττον, ἰσχναίνει τῇ διαφορήσει. ἀνώδυνον, ἐπειδὴ τὰ ποιητικὰ αἴτια τῆς ὀδύνης κενοῖ. σπασμῶν καὶ τετάνων παρηγορικὸν, διότι καθ' ἐναντίωσιν τῶν παθῶν πρόεισι. καὶ

---

1) COD. ESC. Solum in simplicibus ulceribus, οὐ μὴν ἐπὶ τῶν συνθέτων τουτέστι χειρωνίων καὶ τηλεφίων, νομωδῶν ἑλκῶν, φαγεδαινῶν etc. — φαγέδαινα et νομώδη nomen duxerunt ἀπὸ τῆς κακοηθείας· τινὰ δὲ τῶν ἑλκῶν ἐκ τοῦ πεπονθότος ὠνομάσθησαν ὥσπερ τὰ τηλέφια. ὁ γὰρ Τήλεφος ἐκεῖνος ἀρχαῖος, ἕλλην ὢν, ἕλκος ἔσχε δυσίατον καὶ ἐκ τούτου ὠνομάσθη τὸ ἕλκος τηλέφιον· τινὰ δὲ ἐκ τοῦ ἰωμένου ὥσπερ τὰ χειρώνια. ὁ γὰρ Χείρων ἐκεῖνος ὁ διδάσκαλος τοῦ Ἀχιλλέως τὰ κακοήθη τῶν ἑλκῶν ἰάτρευεν. ἀμέλει ἐστὶν ἀκοῦσαι ὑπὸ τῶν ἰατρῶν μέχρι τοῦ νῦν, ἡνίκα κακόηθες θεάσονται ἕλκος, ὅτι οὗτος τῆς Χείρωνος δεῖται θεραπείας. — τὸ γὰρ διαφέρει ἀντὶ τοῦ συμβάλλεται ἔφη. — τοῖς ἐψιλωμένοις] λέγει ἀντὶ τοῦ ἡλκωμένοις. — ἔξι γὰρ ὁ ἁπλῶς ἕρπης, ἔστι καὶ ὁ κεγχρίας ὅντινα οἱ ἰδιῶται ὀφίτην καλοῦσιν, ἡμεῖς δὲ κεγχρίαν, ἐπειδὴ ἔχει ἐπαναστήματά τινα κέγχρῳ ἐοικότα, καὶ ἔστιν ἕρπης ὁ ἐσθίων. — σκόπει δὲ τὸν Ἱπποκράτην ὅτι ἀντὶ τῆς ἐνεργητικῆς παθητικῇ ἐχρήσατο τῇ φωνῇ. ἔφη γὰρ ἕρπησιν ἐσθιομένοισιν. οὐκ ἔστι δὲ ὁ ἕρπης ὁ ἐσθιόμενος, ἀλλὰ αὐτός ἐστιν ὁ ἐσθίων.

μὴν καὶ ῥιγέων, διότι τὴν ὕλην τὴν ποιοῦσαν τὸ ῥῖγος κενοῖ καὶ διαφορεῖ. λύει δὲ καὶ καρηβαρίην, οὐ πᾶσαν, ἀλλὰ τὴν τονώδη ὀνομαζομένην, τὴν ὑπὸ πνευμάτων πολλῶν γινομένην. ἀραιοῖ γὰρ τοὺς πόρους τοῦ δέρματος καὶ διαφορεῖ τὰ πνεύματα καὶ οὕτως παύει τὴν κεφαλαλγίαν. πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι τουτέστι συμβάλλεται καὶ μάλιστα τοῖς ἐψιλωμένοις ἤτοι γεγυμνωμένοις σαρκὸς, ἐπειδὴ παρηγορικὸν καὶ φίλιον. διὰ τί; τὸ γὰρ ψυχρὸν ὀστέοις καὶ ἕλκεσι πολέμιον, καὶ ἔτι μᾶλλον συμβάλλεται τοῖς ἐν κεφαλῇ ἕλκεσι διὰ τὴν αὐτὴν αἰτίαν. καὶ ὅσα ὑπὸ ψύξεως θνήσκει, ἢ ἑλκοῦται, ὡς ἐν χειμῶνι πτέρναι καὶ δάκτυλοι ὠφελοῦνται ὑπὸ τοῦ θερμοῦ τῇ ἐναντιώσει. θνήσκειν δὲ λέγει τὸ ἐπικινδύνως καὶ χαλεπῶς ἔχειν. καὶ ἕρπησιν ἐσθιομένοισι τουτέστιν ἐσθίουσι· τούτοις δὲ συμβάλλεται κατὰ συμβεβηκὸς τῇ κενώσει τῆς ξανθῆς χολῆς, 1) ὥσπερ* πυρετῷ τὰ ζεμάτια. καὶ μὴν καὶ ἕδρῃ καὶ αἰδοίῳ καὶ ὑστέρῃ καὶ κύστει συμβάλλεται· εἰ γὰρ τὸ ψυχρὸν πολέμιόν ἐστι τοῖς εἰρημένοις νοσήμασι καὶ κτεῖνον, τὸ θερμὸν ἄρα ὠφέλιμόν ἐςι καὶ 2) κρίσιμον.

ΔΑΜ. Τὸ θερμὸν ἐκπυητικὸν τῶν ἁπλῶν ἑλκῶν, ἐπὶ δὲ τῶν σηπεδονωδῶν ἑλκῶν καὶ ῥευματικῶν οὐκ ἐκπυΐσκει μὲν, ἀλλὰ καὶ βλάπτει μεγάλως, οἷα τὰ καρκινώδη, καὶ φαγεδαινικὰ, καὶ ὥσπερ τὸ ψυχρὸν, σπασμῶν καὶ τετάνων ὑπάρχον ποιητικὸν, ὅμως θεραπεύει ποτὲ τέτανον, οὕτω καὶ τὸ θερμὸν, ἐκπυητικὸν ὂν, ὅσον ἐφ᾽ ἑαυτοῦ, γίνεταί ποτ᾽ ἀνεκπύητον. καρηβαρίαν λύει, οὐ πᾶσαν, ἀλλὰ τὴν μετρίαν, καὶ ἐκ πνευμάτων. καὶ μὲν δὴ καὶ τοῖς τῶν ὀστῶν κατάγμασιν ὠφελιμώτατόν ἐςι, καὶ μᾶλλον τοῖς γεγυμνωμένοις σαρκὸς, καὶ ὅσα νεκροῦται διὰ τὸ κατεψῦχθαι, τούτων ἴαμά ἐστι τὸ θερμόν. ἔτι δὲ καὶ ὅσα διὰ τὴν ψύξιν ἑλκοῦται, καθάπερ ἐν χειμῶνι πτέρναι καὶ δάκτυλοι. οὕτω δὲ καὶ ταῖς κατὰ τὴν ἕδραν ἁπάσαις διαθέσεσιν οἰκεῖον μὲν τὸ θερμὸν, ἐναντίον δὲ τὸ ψυχρόν· νευρώδης γὰρ ἡ ἕδρα καὶ κύστις καὶ ὑστέρα.

---

1) ut fieri solet in iis quae ab igne combusta sunt C. 2) κρῖνον V. b. A. a.

κγ΄. Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέειν μέλλει, μὴ ἐπὶ αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥέει· καὶ ὅκου φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι, ἐπεὶ τάγε παλαιὰ μελαίνει. καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον ὠφελέει, ἐπεὶ τόγε ἑλκούμενον βλάπτει. —

ΘΕΟΦ. Ἐν τούτῳ τῷ ἀφορισμῷ λέγει, ὅτι χρήσιμόν ἐστι τὸ ψυχρὸν ἐπὶ τῶν αἱμοῤῥαγούντων ἢ μελλόντων, μὴ τοῖς αἱμοῤῥαγοῦσιν αὐτοῖς προσαγόμενον· ἕλκεσι γὰρ τὸ ψυχρὸν δακνῶδες, ἀλλὰ τοῖς πέριξ αὐτῶν καὶ μάλιστα ἐκείνοις, ὅθεν ἐπιῤῥεῖ τοῖς ἕλκεσι. παύει μὲν οὖν τὴν αἱμοῤῥαγίαν τὸ ψυχρὸν, πύκνωσιν ποιοῦν τῶν πόρων καὶ δυσρύτους τὰς ὕλας. εἶτά φησι, καὶ ὁκόσαι φλεγμοναὶ ἢ ἐπιφλογίσματα καὶ τὰ ἑξῆς. οὐ μόνον φησὶ ταῖς αἱμοῤῥαγίαις συμβάλλεται, ἀλλὰ καὶ ταῖς φλεγμοναῖς, πλὴν οὐ πάσαις, ἀλλὰ ταῖς ὑπὸ νεαροῦ 1) αἵματος καὶ λεπτοῦ γενομέναις. καὶ ἡ αἰτία, διότι ἐπὶ τούτων ζέσις ἐστὶ μᾶλλον καὶ φλόγωσις. εἰ μέντοι παλαιαὶ αἱ φλεγμοναὶ τουτέστι χρόνιαι ὑφ᾽ αἵματος δηλονότι παχυτέρου ἐγένοντο, ἐν αἷς τὸ ψυχρὸν καὶ βλάπτει· ἔτι γὰρ πλέον παχύνεται ἡ ὕλη κἀντεῦθεν θρομβοῦται καὶ σήπεται καὶ 2) μέλανσις ἐπακολουθεῖ. ὠφελεῖ δὲ καὶ ἐρυσίπελας τὸ μὴ ἑλκέμενον τῷ παύειν τὴν ζέσιν καὶ τὴν δριμύτητα τῆς χολῆς καὶ καταπραΰνειν τὴν δῆξιν· τὸ γὰρ ἑλκούμενον ἐρυσίπελας βλάπτει, διότι τὸ ψυχρὸν ἕλκεσι δακνῶδές ἐστιν.

ΔΑΜ. Χρήσιμον τὸ ψυχρὸν τοῖς αἱμοῤῥαγοῦσιν ἢ μέλλουσι, μὴ τοῖς αὐτοῖς μέρεσι προσαγόμενον τοῖς αἱμοῤῥαγοῦσιν, ἀλλὰ τοῖς πέριξ αὐτῶν, καὶ μάλιστ᾽ ἐκείνοις, ὅθεν ἐπιῤῥεῖ τι τοῖς ἕλκεσι. καὶ μὲν δὴ καὶ τὰ ἐπιφλογίσματα ἤως πάσας τὰς φλεγμονὰς, τὰς οὔσας ἐρυθρὰς καὶ ἐοικυίας αἵματι νεαρῷ καὶ οὐ παλαιῷ μεμελασμένῳ, ὠφελεῖ. ὁμοίως καὶ ἐρυσίπελας ὠφελεῖται ὑπὸ τοῦ ψυχροῦ, τὸ χωρὶς ἕλκους· τῷ γὰρ ἡλκωμένῳ δακνῶδές τε καὶ ὀδυνῶδές ἐστι τὸ ψυχρόν.

---

1) σώματος V. b. 2) μελανία V. b.

κδ΄. Τὰ ψυχρὰ, οἷον χιὼν, ἢ κρύσταλλος, στήθεϊ πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καὶ καταῤῥοϊκά. —

ΘΕΟΦ. 1) Ὑπὲρ θερμοῦ καὶ ψυχροῦ ὕδατος τὸν λόγον ποιησάμενος, νῦν καὶ ἐπὶ ἕτερα ψυχρὰ τουτέστι χιόνα καὶ κρύσταλον τὸν λόγον μετάγει καί φησιν, ὅτι τὸ ψυχρὸν, οἷον χιὼν, κρύσταλος, ποιεῖ ὀδύνας στηθέων, βῆχας, αἱμοῤῥαγίας, κατάῤῥους, ὅτι ὅπου χιὼν καὶ κρύσταλος, ἐκεῖ ψυχρὸς ἀήρ. οὗτος οὖν ψυχρὸς ὢν ἀνωμαλίαν καὶ δυσκρασίαν ἐντίθησι τῷ λάρυγγι καὶ τῇ τραχείᾳ ἀρτηρίᾳ κἀντεῦθεν βήξ. εἶτα αὕτη ἡ αὖρα φέρεται ἐπὶ τὰς πλευρὰς καὶ ὀδύνην ἐν αὐταῖς ποιεῖ· εἶτα ἐμφιλοχωρούσης αὐτῆς ἐν τῷ θώρακι, πύκνωσιν ποιεῖται τῶν πόρων τῶν ἀγγείων κἀντεῦθεν πλήρωσιν, καὶ τῇ πληρώσει τείνονται τὰ ἀγγεῖα καὶ ῥήγνυνται καὶ γίνεται αἱμοῤῥαγία· εἶτα ἀμέσως τῇ κεφαλῇ ὁμιλοῦσα ἡ ψύξις βλάπτει αὐτήν· τὸ ψυχρὸν γὰρ πολέμιον ὀστέοις, νεύροις. ταύτης οὖν βλαπτομένης τῇ πυκνώσει καὶ ἀδιαπνευστίᾳ, ἐναποκλειόμενα τὰ περιττὰ ἀντικαταῤῥέουσι καὶ φέρονται ἐπὶ μυκτῆρας καὶ φάρυγγας καὶ ὑπερῷαν καὶ ποιοῦσι κατάῤῥους. Ἰστέον δὲ ὅτι χιόνος καὶ κρυστάλλου νῦν μέμνηται ἢ ὅτι πολλάκις αὐτοῖς τινες κέχρηνται νέοι, θαῤῥοῦντες τῷ θερμῷ, ἢ ὅτι ἐν πολλοῖς τόποις ἀδιάλειπτά εἰσι καὶ

1) COD. ESC. ἡ γένεσις τῆς χιόνος καὶ τοῦ κρυστάλλου εἴρηται τῷ Ἀριστοτέλει ἐν τοῖς μετεώροις. — καὶ ἀποροῦσί τινες ὅτι τί δήποτε προέθετο περὶ χιόνος καὶ κρυστάλλου διαλεχθῆναι; καὶ ἔστιν εἰπεῖν ὅτι κεχρήμεθα χιόνι καὶ κρυστάλλῳ, ἀλλ᾽ ἢ κατὰ προαίρεσιν ἢ ἐξ ἀνάγκης· καὶ κατὰ μὲν προαίρεσιν, ὅτι πολλοὶ πολλάκις νεανίσκοι καὶ παιδία καὶ ἀκμάζοντες θαῤῥοῦντες εἰς τὴν ἑαυτῶν θερμότητα χιόνα πίνουσι καὶ ἀπογεύονται κρυστάλλου· ἀλλὰ καὶ ἐξ ἀνάγκης αὐτοῖς κεχρήμεθα· τινὲς γὰρ ἀποστειλάμενοι ἀπό τινων εἰς μῆκος ὁδοιπορίας ἐν χειμερίῳ καιρῷ διὰ χιόνων καὶ κρυστάλλων ὁδοιποροῦσιν ἐξ ἀνάγκης. — ὁ δὲ Φιλάγριος ὁ περιοδεύτης φησὶν, ὅτι περιέτυχόν τινι ἔχοντι κεκαυμένην καὶ φλογώδη καὶ ζέουσαν δυσκρασίαν ἐν τῇ κεφαλῇ καὶ πολλοῖς ψυχροῖς βοηθήμασι χρησάμενος, οὐδὲν ὠφέλησα. εἶτα μετὰ ταῦτα ἐξύρησα αὐτὸν καὶ ἀφειλάμην αὐτοῦ τὰς τρίχας καὶ κατέπασα αὐτοῦ τὴν κεφαλὴν χιόνι καὶ οὕτως ἔσβεσα τὴν δυσκρασίαν καὶ ἰασάμην αὐτὸν τοῦ νοσήματος. καὶ ἔστι καὶ θεραπεία ἐκ χιόνος ἐν τούτῳ.

διά τινα ἀνάγκην ἐκεῖσε ὁδοιποροῦσιν οἱ ἄνθρωποι καὶ συμβαίνει αὐτοῖς ταῦτα τὰ πάθη γίνεσθαι.

ΔΑΜ. Ὅσῳ γὰρ ψυχρότερα ταῦτα ὕδατος, τοσούτῳ καὶ βλάβας ἐργάζεται μείζονας.

κε΄. Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα, καὶ ἀλγήματα, ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ καὶ σπάσματα, τουτέων τὰ πλεῖστα ψυχρὸν πολὺ καταχεόμενον ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην 1) λύει. νάρκη δὲ μετρίη ὀδύνης λυτική. —

ΘΕΟΦ. 2) Πάλιν ἔπαινον παραδίδωσι τοῦ ψυχροῦ ὕδατος. φησὶ γὰρ, ὅτι τὰ ἐν ἄρθροις γενόμενα οἰδήματα

---

1) *ἀνεκπύητον ποιεῖ* V. a. b. c. 2) COD. ESC. *οἱ γὰρ μεταγενέστεροι καὶ νεώτεροι τὴν διαστολὴν τῶν ὀνομάτων ἐποιήσαντο προσεσχηκότες τῇ ὕλῃ καὶ πρὸς τοῦτο καὶ τοὺς ὄγκους διεστείλαντο τῶν ὀνομάτων καὶ τὸ μὲν ἐκάλεσαν φλεγμονὴν, τὸ δὲ σκίρον, τὸ δὲ οἴδημα. — σπάσμα] λύσις συνεχείας τῆς ἰνώδους οὐσίας τοῦ μυὸς, ἀδιαιρέτου μενούσης τῆς ἐπιφανείας — ῥῆγμα] λύσις τῆς συνεχείας τῆς σαρκώδους οὐσίας τοῦ μυὸς, ἀδιαιρέτου μενούσης τῆς ἐπιφανείας.* Dicit Hippocrates: *τοῖς σπάσμασι* utile esse frigus. Galenus multique dicunt, haec esse supposititia; — supra enim dixit, nervis infensum esse frigus, et hic utile. Itaque sibi contradicit. Inde *ἐξέβαλον τοῦτο τὸ ῥησείδιον. ὁ μέντοι Ἀσκληπιὸς* (novus Hippocratis interpres ex hoc loco erutus) *ὁ ὑπομνηματιστὴς τοῦ Ἱπποκράτους ἐκ τῶν Ἱπποκράτους τὰ Ἱπποκράτους ἐξηγούμενος τὴν δέουσαν αὐτῷ ἐξήγησιν ἐπενTέθεικε τοῦτον τὸν τρόπον. ὅτι τὸ ψυχρὸν ὠφέλιμόν ἐστι τοῖς σπάσμασιν οὐ καθ᾽ αὐτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς τῷ λόγῳ τοῦ ἐναποκλείειν τὸ ἔμφυτον θερμὸν καὶ πολυπλασιαζεσθαι καὶ ἐξαναλίσκειν καὶ ἐκδαπανᾶν τὴν νοσοποιὸν αἰτίαν. —οὕτω γὰρ καὶ τὰς γραῦς τὰς ἐπαοιδούσας ὁρῶμεν ποιούσας. ἡνίκα μὲν γὰρ αἴσθωνται σπάσματος οἱ ἰδιῶται, ἐπιζητοῦσι καὶ ἐπικαλοῦνται τὰς ἐπαοιδοὺς γραῦς. εἶτα κέχρηνται λόγοις τισὶ καὶ ὅρκοις ἐπαοιδοῖς καὶ ἢ ἐν τῷ μέσῳ τῆς ἐπαοιδῆς ἢ καὶ μετὰ τοῦτο φέρουσιν ὄξος καὶ καταχέουσιν εἰς τοὺς τόπους ἐκείνους καὶ οὕτως αὐτοὺς θεραπεύουσιν. — εἰ μηδ᾽ ἂν ἐθεωρῶμεν αὐτὰς ὅτι ἰατρικοῖς βοηθήμασι κέχρηνται, ἠμέλλομεν καταπλήττεσθαι καὶ δοκεῖν ὅτι θείας τινὰς καὶ ὑπερτέρας δυνάμεις ἐπὶ τοῖς λόγοις τοῖς ὑπὸ τῶν γραῶν λεγομένοις ἐπαοιδῶς ἔρχεσθαι καὶ ἕλκεσθαι καὶ οὕτως ἰᾶσθαι τὰ πάθη ταῦτα. — Ἰστέον δὲ ὅτι πολύς ἐστιν ὁ Γαληνὸς δεικνύων ἐν τῇ διαγνωστικῇ, πρὸς Ἀρχιγένην ἀποτεινόμενος, τὴν νάρκην μὴ εἶναι ἁπλοῦν τι πρᾶγμα, ἀλλὰ σύνθετον συγκεί-*

καὶ ἀλγήματα καὶ τὰ ἑξῆς ὠφελεῖ, οἰδήματα ἐκεῖνα δηλονότι, τοὺς ὑπὸ χολῆς ἢ χολώδους αἵματος γενομένους ὄγκους διὰ τὸ τὴν ζέσιν 1) καταπραΰνειν καὶ τὴν δῆξιν ἀμβλύνειν, πλὴν οὐκ ὠφελεῖ πάντας τοὺς τοιούτους ὄγκους, ἀλλὰ τοὺς ἄνευ ἕλκους· τοὺς γὰρ ἐφ' ἕλκει καὶ βλάπτει· τὸ γὰρ ψυχρὸν τοῖς ἕλκεσιν, ὥς φησι, πολέμιον. καὶ μὴν καὶ τὰ ποδαγρικὰ πάθη ὠφελεῖ, δηλονότι τὰ ὑπὸ ξανθῆς χολῆς γινόμενα τῷ αὐτῷ λόγῳ. ὠφελεῖ δὲ καὶ σπάσματα, τὴν ἐπιῤῥοὴν ἀναστέλλον. ἄλλως τε οὐ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς ὠφελεῖ τῷ λόγῳ τοῦ ἐναποκλείειν τὸ ἔμφυτον θερμὸν καὶ πολυπλασιάζεσθαι καὶ ἐξαναλίσκειν τὴν νοσοποιὸν αἰτίαν. σπάσμα δέ ἐστι λύσις συνεχείας τῆς ἰνώδους οὐσίας τοῦ μυὸς, ἀδιαιρέτου μενούσης τῆς ἐπιφανείας. τούτων γὰρ τὰ πλεῖστα, ὥς φησιν Ἱπποκράτης, τὸ ψυχρὸν ὠφελεῖ. καὶ διὰ τοῦ πλεῖστα ἐδήλωσεν, ὥς φασί τινες, ὅτι σπάσματα οὐκ ὠφελεῖ, πλὴν ὠφελεῖ κατὰ συμβεβηκὸς, ὡς εἴρηται. ὠφελεῖ δὲ καὶ τὰ ἄλλα, καὶ τοῦτο ᾐνίξατο διὰ τοῦ εἰπεῖν ἰσχναίνει καὶ ῥήζει τῷ λόγῳ τοῦ ἀναστέλλειν τὴν ἐπιῤῥοὴν καὶ ταύτην κενοῦν καὶ διὰ τοῦ εἰπεῖν, ὀδύνην ἀνεκπύητον ποιεῖ ἤτοι λύει. 2) τοῦτο δὲ ποιεῖ τῷ ἐπιφέρειν νάρκωσιν, ἥτις ἐστὶν ὀδύνης ληκτικὴ, τουτέστιν ἀπόπαυσις, τὴν αἴσθησιν ἀμβλύνουσα.

ΔΑΜ. Τὰ ἐπιφλογίσματά φησιν ἐν τῷδε τὰ νεαρῷ αἵματι ἐοικότα· ταῦτα γὰρ ὑπὸ τοῦ ψυχροῦ θεραπεύεται. καὶ ἡ ψύξις δὲ τῶν μορίων ἐπὶ πλεῖον νάρκην φέρει μετρίαν, ἥτις καὶ αὐτὴ λύει τὴν ὀδύνην, ἀμβλύνουσα τὴν αἴσθησιν.

κς'. Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον, κουφότατον. —

ΘΕΟΦ. Ἐνταῦθα διάγνωσιν παραδίδωσι τοῦ ἀρίστου ὕδατος καί φησιν, ὅτι τὸ ταχέως θερμαινόμενον ὕδωρ

μενον ἀπό τε συμπτώματος ἐνεργειῶν θεωρουμένων μετὰ παρουσίας ψυχροῦ αἰτίου.

1) καταπαύειν V. b. 2) Apud C. pauca verba, quae non sunt in meis codicibus, leguntur.

κουφότατόν ἐστιν, οἷον ἐὰν ἐπιθῇς αὐτὸ ἐπάνω πυρὸς καὶ ταχέως θερμαίνηται καὶ πάλιν μετὰ τὴν ἀφαίρεσιν τὴν ἀπὸ τοῦ πυρὸς ταχέως ψύχηται, κουφότατόν ἐστι τουτέστιν εὐαλλοίωτον, εὐανάδοτον, εὐδιάκριτόν. οὐ γὰρ τῷ σταθμῷ δεῖ λαμβάνειν τὸ κουφότατον, ὅπερ τοῖς ἰδιώταις δοκεῖ. οὕτως μὲν οὖν τεχνικῶς δοκιμάζεται, ἰδιωτικῶς δὲ ἀπὸ ὄψεως, ὀσμῆς, γεύσεως.

ΔΑΜ. Οὐ τῷ σταθμῷ, ἀλλὰ τὸ μὴ βαρῦνον τὴν γαστέρα, ὥσπερ καὶ βαρὺ λέγομεν τὸ μὴ διεξερχόμενον ταχέως.

κζ'. Ὁκόσοισι πιεῖν ὄρεξις νύκτωρ, τοῖσι πάνυ διψώδεσιν, ἢν ἐπικοιμηθέωσιν, ἀγαθόν. —

ΘΕΟΦ. Θεραπείαν ἡμῖν παραδίδωσι συμπτώματος τουτέστι δίψης. αὕτη δὲ γίνεται ἐν νυκτὶ ἢ δι' ἔνδειαν χρηστῆς ὕλης ἢ δι' ἔγκαυσιν οἴνου ἢ διὰ καῦσον πυρετὸν ἢ πλῆθος τροφῶν καὶ μάλιστα ἁλμυρῶν ἢ διὰ χολὴν συῤῥέουσαν ἐν τῷ στομάχῳ. διὰ οὖν οἱανδήποτε αἰτίαν εἰ πάνυ ὦσι διψώδεις, χρήσθωσαν τῷ ψυχρῷ ἢ θερμῷ ὕδατι διὰ τὸ μὴ χαλεπὰ ἐπακολουθῆσαι. χρώμενοι δὲ ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν· πέψις γὰρ γίνεται καὶ ἀπαλλαγὴ τῆς δίψης. εἰ μέντοι μετρίως εἶεν διψώδεις, δεῖ ὑποστέλλεσθαι τὸ παρέχειν αὐτοῖς πόμα, πλὴν εἰ μὴ διὰ ξηρότητα γίνεται ἡ δίψα.

ΔΑΜ. Συμφέρει γὰρ μὴ πιεῖν, ἀλλ' ἐπικοιμηθῆναι, ὥστε πεφθῆναι τὸ τῆς 1) δίψης αἴτιον.

κη'. Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη· πολλαχοῦ δὲ καὶ ἐς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίει. —

ΘΕΟΦ. 2) Νῦν ἰδιάζοντα νοσήματα ταῖς γυναιξὶν παραδίδωσιν Ἱπποκράτης καὶ ταῦτα θεραπεύει· φησὶ γὰρ,

---

1) ψυχῆς in textu. 2) COD. ESC. τὰ δὲ ἀρώματα ἔχεις ἀπὸ διαφόρων χωρῶν φερόμενα, — ἀπὸ μὲν Ἰνδίας τὸ ναρδόσταχυ καὶ ἡ κασία κομίζεται, ἀπὸ δὲ Αἰθιοπίας ὁ λιβανωτὸς, ἀπὸ δὲ Ἰσαυρίας ὁ στύραξ ὁ γομφίτηςκαὶ ὁ καλαμίτης. — ἐπὶ δίφροι ἢ σελλίου. — περισκεπάζειν δεῖ σαγίῳ πέριξ.

τὴν ἐπιμήνιον κάθαρσιν ἐπισχεθεῖσαν η διὰ τῶν ἀρωμάτων πυρία θεραπεύει, πλὴν ἐκείνην τὴν ἐπισχεθεῖσαν ἐπ᾽ ἐμφράξει παχυτέρας ὕλης ἢ μύσει τῶν ἀγγείων ἢ πυκνώσει τῆς οὐσίας αὐτῆς. καὶ ἡ αἰτία, ὅτι ὡς λεπτομερὴς καὶ θερμὸς ἀὴρ ὁ ἐκ τῶν ἀρωμάτων ἐκλεπτύνει καὶ ἀραίωσιν ἐμποιεῖ καὶ διαφορεῖ τὴν ὕλην τὴν ποιοῦσαν τὴν ἔμφραξιν κἀντεῦθεν προτρέπεται τὰ καταμήνια καὶ ἀναστομοῖ τὰ μεμυκότα πέρατα τῶν ἀγγείων. τὰς γὰρ ἄλλας ἐπισχέσεις τῆς ἐμμήνου καθάρσεως τὰς διὰ πάντα ὄγκον ἐν τῷ στομίῳ τῆς μήτρας συνιστάμενον γινομένας ἢ παρέγκλισιν τοῦ τραχήλου τῆς μήτρας ἢ ξηρότητα, οὐδαμῶς ὠφελεῖ. αὕτη ἡ πυρία, ὥς φησιν Ἱπποκράτης, καὶ εἰς ἄλλα χρησίμη ἂν εἴη τουτέστιν εἰς ἔκλυσιν στομάχου καὶ ἀτονίαν γαστρὸς καὶ ἥπατος, εἰ μὴ καρηβαρίας ἐνεποίει· οἱ γὰρ ἀτμοὶ ταύτης ὡς λεπτότεροι φέρονται παρὰ τὴν κεφαλὴν καὶ πληροῦντες αὐτὴν καρηβαρίας ἐργάζονται.

ΔΑΜ. Τὰς ἐμμήνους καθάρσεις φησὶ γυναικεῖα, καρηβαρικὰ δὲ τὰ ἀρώματα, ὡς θερμά· τοῦ γὰρ θερμοῦ ἀνωφεροῦς ὄντος, κεφαλαλγίαν ποιεῖ.

κθ΄. Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μέζον εἴη τὸ ἔμβρυον. —

ΘΕΟΦ. Ἐνταῦθά φησιν ὅτι ἐὰν ἐν γαστρὶ γυνή τις ἔχῃ ἔμβρυον τουτέστιν ἐν μήτρᾳ, φλεβοτομηθεῖσα ἐκτιτρώσκει, διότι τὸ ἔμβρυον ἐκ τῶν καταμηνίων τρέφεται τοῦ αἵματος. ἐὰν οὖν φλεβοτομηθῇ, οὐχ εὑρίσκει τὸ ἔμβρυον, πόθεν τραφῆναι κἀντεῦθεν λιμαγχόμενον κινεῖται καὶ διαλύεται τῶν φυσικῶν δεσμῶν καὶ καταπίπτει· μᾶλλον δὲ ἐκτιτρώσκει φλεβοτομηθεῖσα, ἐὰν μεῖζον ᾖ τὸ ἔμβρυον διὰ τὸ πλείονος δεῖσθαι τροφῆς, μὴ εὑρίσκειν δὲ, ταύτης κεκωθείσης.

λ΄. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανατῶδες. —

ΘΕΟΦ. Καλῶς εἶπεν ὑπό τινος τῶν ὀξέων· τούτων γὰρ τὰ μὲν ἄνευ πυρετοῦ εἰσιν, οἷον ἐπιληψία, ἀποπλη-

ξία, τὰ δὲ μετὰ πυρετοῦ, οἷον φρενῖτις, πλευρῖτις. ἐὰν οὖν ὑπό τινος τούτων γυνὴ ἐν γαστρὶ ἔχουσα ληφθῇ, θανατῶδες, ὑπὸ μὲν τινος τῶν ἄνευ πυρετοῦ ὀξέων, διὰ τὸ ἀδύνατον ἐξαρκέσαι τὴν κάμνουσαν τῷ μεγέθει καὶ τῇ συντονίᾳ τοῦ νοσήματος, ὑπὸ δέ τινος τῶν μετὰ πυρετοῦ, διότι ἐπ' αὐτῶν τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρῆσθαι· ἀλλὰ τὸ παιδίον δέεται τροφῆς. ἐὰν οὖν τοῦ παιδίου καταφρονήσῃς, πρὸς τὸν πυρετὸν ἐνιστάμενος, ἀπόλλυται· εἰ δὲ τοῦ πυρετοῦ, κακοηθεστέρου γενομένου, πολλάκις καὶ αὐτὴ ἡ γυνὴ σὺν τῷ παιδίῳ ἀπόλλυται.

ΔΑΜ. Τὰ γὰρ ὀξέα συνεχεῖς ἔχει τοὺς πυρετοὺς, οἳ καὶ ἀναιροῦσι τὸ ἔμβρυον.

λα'. λβ'. Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις· τῶν δὲ καταμηνίων ἐκλιπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυὲν, ἀγαθόν. —

ΘΕΟΦ. Ὃ λέγει, τοιοῦτόν ἐστιν ὅτι ἐὰν ἐπὶ ἐπισχέσει καταμηνίων ἐμῇ γυνὴ αἷμα, εἶτα καταῤῥαγῶσιν αὐτῆς τὰ καταμήνια καὶ κενωθῶσι, παύεται ὁ ἔμετος τῷ λόγῳ τῆς μεταστάσεως τῆς ὕλης. εἶτά φησιν, ὅτι καὶ τῶν καταμηνίων ἐκλιπόντων, ἐὰν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, ἀγαθὸν, διότι ἐκκενοῦται ἡ συσχεθεῖσα ὕλη καὶ οὐκέτι δύναται βλάψαι.

ΔΑΜ. Ἀντίσπασις γὰρ ἔσται καὶ κένωσις τοῦ ἀνορμῶντος αἵματος.

ΔΑΜ. Οὐκ ἐκ τῶν ῥινῶν μόνον, ἀλλὰ καὶ ἐκ τῆς ἕδρας.

λγ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι. —

ΘΕΟΦ. Πρῶτον μὲν ὅτι ἀνάδοσις οὐ γίνεται, κἀντεῦθεν οὐκ ἀλλοιοῖ πολὺ αἷμα τὸ ἧπαρ, οὐ φέρεται τὸ ἀρκοῦν τῇ μήτρᾳ· διὸ λιμαγχονουμενον τὸ ἔμβρυον σκαρίζει καὶ λοιπὸν ἐκπίπτει, ἢ ὅτι καθυγραίνονται τὰ περὶ τὴν μήτραν κἀντεῦθεν ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, ἀμβλωσμὸς γίνεται, ἢ ὅτι τῇ συνεχείᾳ τῶν ἐξανα-

στάσεων καταλύονται αἱ δυνάμεις καὶ ἀσθενεῖς γενόμεναι ἐκπίπτειν ποιοῦσι τὸ ἔμβρυον.

λδʹ. Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλεομένῃ, ἢ δυστοκεούσῃ, πταρμὸς ἐπιγενόμενος, ἀγαθόν. —

ΘΕΟΦ. 1) Ὑστερικὰ λέγει πάθη τὴν ὑστερικὴν πνίγα καὶ ὑστερικὴν ἄπνοιαν, ἐφ᾽ οἷς καὶ σχεδὸν ἀναίσθητον καὶ ἀκίνητον κεῖται τὸ σῶμα. ἐπὶ τούτων οὖν ἐὰν ἐπιγένηται πταρμὸς, ἀγαθόν ἐστι καὶ ὡς σημεῖον καὶ ὡς αἴτιον, ὡς σημεῖον μὲν, ὅτι ἐκ παντελοῦς ἀκινησίας εἰς κίνησιν ἡ φύσις ἤρξατο μεταβάλλειν, ὡς αἴτιον δὲ, ὅτι κλόνον ποιεῖ ὁ πταρμὸς, κἀντεῦθεν συγκλονουμένη τοῖς νευρώδεσι μορίοις ἡ μήτρα ἐπανίσταται καὶ ἀποδιώκει τὰ αἴτια τὰ τὴν ἄπνοιαν καὶ πνίγα ποιοῦντα, ἅ ἐστι σπέρμα ἢ ἐποχὴ καταμηνίων. τῷ αὐτῷ δὲ λόγῳ ὠφελεῖ ὁ πταρμὸς καὶ τὴν δυστοκίαν, πλὴν οὐ πᾶσαν, ἀλλὰ τὴν δι᾽ ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως γενομένην.

ΔΑΜ. Ὑστερικά φασι τὰ χορία, τὰ καὶ ἀκολούθια καλούμενα, ὡς ἐσχάτως κενούμενα ἐπὶ τῇ τοῦ ἐμβρύου ἀποτέξει. ὁ δὲ πταρμὸς σημεῖον καὶ αἴτιον ἀγαθόν ἐστι, σημεῖον μὲν ὅτι δηλοῖ τὴν φύσιν ἐπεγείρεσθαι καὶ ἀναζωπυρεῖσθαι, προϋπάρχουσαν ναρκωμένην. μέμνηται γὰρ τῶν οἰκείων κινήσεων καὶ ποτέ τινα τῶν περιττῶν ἀποτίθεται, αἴτιον δὲ τῆς ὠφελείας, ὅτι τῷ σφοδροτέρῳ κλόνῳ καὶ βρασμῷ τοῦτο μὲν ἐπεγείρει τὴν φύσιν, τοῦτο δὲ ἐκκρίνει τὰ δυσέκκριτα.

λεʹ. Γυναικὶ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δέεσθαι σημαίνει. —

ΘΕΟΦ. 2) Ἄχροά φησι τὰ πολύχροα, ἅτινα γίνεται ἐκ χυμῶν μελαγχολικῶν, φλεγματικῶν καὶ πικροχόλων. ἐὰν οὖν τοιαῦτα καταμήνια γυναικὶ γίνωνται,

---

1) COD. ESC. τινὲς ἐνόμισαν ὅτι ὑστερικὰ λέγει ὁ Ἱπποκράτης τὸ χόριον ὅπερ καὶ δευτέριον ὀνομάζεται. 2) IBID. δεῖ εἰδέναι ὅτι διττὴ γραφὴ φέρεται τοῦ παρόντος ἀφορισμοῦ. τινὰ γὰρ τῶν ἀντιγράφων ἔχει χρόνια, τινὰ δὲ ἄχροα. ἄχροα] καλεῖ τὰ πολύχροα καὶ πολυποίκιλα ἔχοντα χρώματα.

μὴ κατὰ τὰ αὐτὰ δὲ, τουτέστι μὴ κατὰ τὸν συνήθη καὶ ὡρισμένον χρόνον, ἐφ' ᾧ εἴωθε κενοῦσθαι ἡ γυνὴ, ἀλλ' ἢ ὀψιαίτερον κενωθῇ ἢ πρωιαίτερον, καθάρσεως δεῖσθαι σημαίνει διὰ τὸ ἐκκενωθῆναι τὴν πλεονάζουσαν μοχθηρὰν ὕλην.

ΔΑΜ. Μὴ κατὰ τὰ αὐτὰ ἀντὶ τοῦ μήτε κατὰ χρῶμα μήτε κατὰ χρόνον.

λϛ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἐξαίφνης οἱ μασθοὶ ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει. —

ΘΕΟΦ. Ἐὰν ἐξαίφνης, φησὶ, τουτέστιν ἄνευ φανερᾶς αἰτίας ἰσχνοὶ γένωνται οἱ μασθοὶ τῆς γυναικὸς ἐν γαστρὶ ἐχούσης, ἐκτιτρώσκει· ἔνδειαν γὰρ καὶ ἔλλειψιν αἵματος ἀπαγγέλλουσι, δι' ἧς ἀναιρεῖται τὸ ἔμβρυον· ἔστι δὲ ὅτε καὶ πρὸς ἔκκρισιν παρορμᾶται τῇ ἀπορίᾳ τῆς τροφῆς λακτίζον καὶ σκαρίζον καὶ διαῤῥηγνύον τοὺς χιτῶνας.

ΔΑΜ. Τῇ γὰρ ἐνδείᾳ τῆς τροφῆς τῆς ἐκ τῶν φλεβῶν γίνεται τοῦτο, κοινῶν ὄντων μητρῶν καὶ μαστῶν.

λζ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μασθὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει· καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄῤῥεν· ἢν δὲ ὁ ἀριστεσὸς, τὸ θῆλυ. —

ΘΕΟΦ. Τὸ ἄῤῥεν ἐν τῷ δεξιῷ κόλπῳ τῆς μήτρας ζωογονεῖται, διότι ὡς ἐπίπαν θερμότερός ἐστι τοῦ ἀριστεροῦ, τὸ δὲ θῆλυ ἐν τῷ ἀριστερῷ, ὅτι ψυχρότερός ἐστι τοῦ δεξιοῦ. ἐὰν οὖν ἐγκυμονούσῃ γυναικὶ, δίδυμα ἐχούσῃ, ὁ δεξιὸς μασθὸς ἰσχνὸς γένηται, τὸ ἄῤῥεν ἐκτιτρώσκει, ἐπειδὴ τὰ κατὰ εὐθυωρίαν μᾶλλον πάσχει· εἰ δὲ ὁ ἀριστερὸς μασθὸς ἰσχνὸς γένηται, τὸ θῆλυ διὰ τὴν αὐτὴν αἰτίαν. εἰ δὲ ἀμφότεροι οἱ μασθοὶ ἰσχνοὶ γένωνται, ἀμφότερα ἐκτιτρώσκει τῷ λόγῳ τῆς ἐνδείας τῆς τροφῆς. λιμαγχονούμενα γὰρ τὰ ἔμβρυα σκαρίζουσι καὶ σπαράσσουσι τὰ ἀρτήματα καὶ οὕτως ἡ γυνὴ ἐκτιτρώσκει.

ΔΑΜ. Ὁ γὰρ Ἱπποκράτης δόξαν ἔχει τὰ ἔμβρυα ἐν

τοῖς δεξιοῖς τὰ ἄῤῥενα, ἐν δὲ τοῖς εὐωνύμοις τὰ θήλεα τίκτεσθαι.

λη'. Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταυτέῃ τὰ καταμήνια ἐκλέλοιπε. —

ΘΕΟΦ. 1) *Διότι ἐπισχεθέντα τὰ καταμήνια ἠνέχθησαν διὰ τῶν φλεβῶν τῶν λεγομένων ἀμφισβαινῶν ἐπὶ τοὺς μασθοὺς, κοινωνίαν αὐτῶν ἐχουσῶν πρὸς τὴν μήτραν, καὶ ἐπειδὴ ἀδενώδεις εἰσὶν οἱ μασθοὶ καὶ λεπτοὶ, πρὸς τὴν ἑαυτῶν φύσιν πέττουσι καὶ κατακοσμοῦσιν αὐτὸ τὸ αἷμα καὶ γάλα ποιοῦσιν. ἐὰν οὖν, μηδὲ τοκετοῦ γενομένου μηδὲ συλλήψεως παρούσης, οἱ μασθοὶ γάλα ἔχωσι, πάντως τὰ καταμήνια ἐπεσχέθησαν.*

λθ'. Γυναιξὶ ὁκόσῃσιν ἐς τοὺς μασθοὺς αἷμα ξυστρέφεται, μανίην σημαίνει. —

ΘΕΟΦ. 2) Τὸ διὰ τῶν ἀμφισβαινῶν φλεβῶν φερόμενον αἷμα, εἰ σύμμετρον εἴη, γάλα γίνεται. εἰ πλέον δὲ τοῦ δέοντος, οὐκ ἀλλοιοῦται, διότι τῷ πλήθει καταλύει τὴν δύναμιν τῶν τιτθῶν. λοιπὸν μένει καὶ σήπεται καὶ σηπόμενον μανίαν σημαίνει. πέμπονται γὰρ ἐξ αὐτοῦ ἀτμοὶ δριμεῖς ἐπὶ τὸν ἐγκέφαλον κἀντεῦθεν ἐκτρέπεται ὁ ἐγκέφαλος καὶ μανία γίνεται.

ΔΑΜ. Τὸ γὰρ ἐπὶ τοὺς τιτθοὺς ὁρμῆσαν αἷμα μὴ δυνάμενον ἀλλοιωθῆναι καὶ γενέσθαι γάλα διά τε τὸ πλῆθος καὶ τὴν δῆξιν, μανίαν ἐμποιεῖ, τὰ περὶ τὴν κεφαλὴν χωρία καταλαβόν.

μ'. Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, μελίκρατον 3) δοῦναι πιεῖν· κἢν μὲν στρόφος αὐτέην ἔχῃ περὶ τὴν 4) γαστέρα, κύει· ἢν δὲ μὴ, οὔ. —

---

1) COD. ESC. *ὅθεν οἱ ἀνατομικοὶ ταύτας τὰς φλέβας ἀμφισβαίνας ὀνομάζουσι παρὰ τὸ ἀμφοτέρας βαίνειν* inter matricem et mammas. 2) COD. ESC. *Ἐνταῦθα γενόμενος ὁ Γαληνός φησιν, ὅτι ψευδής ἐστιν ὁ παρὼν ἀφορισμὸς καὶ πάντη ἀπόβλητος τῆς Ἱπποκράτους διανοίας· ἀλλ' ἐπειδὴ ἴσμεν μηδέποτε ψευσάμενον τὸν Ἱπποκράτην, παραμυθίας ἕνεκεν τοῦ λόγου ἐξηγησώμεθα αὐτὸν τὸν τρόπον τοῦτον· τὸ νῦν λεχθὲν σπανιάκις ποτὲ ὤφθη τῷ Ἱπποκράτει, ἡμῖν δὲ καὶ τοῖς ἔργοις τῆς τέχνης οὐδέποτε ὤφθη γινόμενον.* 3) *δίδου* V. a. b 4) *κοιλίην* V. a. b.

ΘΕΟΦ. Σημείωσιν ἐνταῦθα ποιεῖται συλλήψεως. αὕτη δὲ γίνεται διὰ μελικράτου, πλὴν ἀνέφθου. δεῖ οὖν δοῦναι τὸ 1) μελίκρατον, φησὶν Ἱπποκράτης, ἀδείπνου τῆς γυναικὸς οὔσης, ὅταν μέλλῃ κοιμηθῆναι· καὶ οὕτως αὐτὴν κελεύεται ἐπικοιμηθῆναι. καὶ ἐὰν στρόφος γένηται, δῆλον ὅτι κύει· εἰ δὲ μὴ, οὐ κύει. τὸ γὰρ μελίκρατον ὡς θερμότερον ποιεῖται πνευμάτων τινῶν 2) ἀνάδοσιν περὶ τὴν γαστέρα. ἐπειδὴ δὲ ἡ μήτρα ἐπίκειται τοῖς ἐντέροις, ἐὰν ἔχῃ κατὰ γαστέρα, τῷ βάρει τοῦ ἐμβρύου οἷον πεπιλημένα εἰσὶ τὰ ἔντερα. ταῦτα οὖν τὰ πνεύματα τείνουσι καὶ τῇ τάσει ποιοῦσι στρόφον, καὶ δηλοῦται ὅτι σύλληψίς ἐστιν· εἰ δὲ μὴ στρόφος γένηται, ἀλλὰ διεξέρχονται καὶ διαφοροῦνται τὰ πνεύματα, οὐκ ἔστι σύλληψις.

ΔΑΜ. Στρόφος ἢ διὰ δῆξιν γίνεται ἢ διὰ φυσῶδες πνεῦμα, οὐκ ἔχον εὐπετῆ διέξοδον, ὃν καὶ νῦν ἡγητέον γίνεσθαι ἐπὶ τῶν κυουσῶν διὰ τὴν ἀπὸ τῆς μήτρας στενοχωρίαν, καθεύδειν δὲ μελλούσῃ δίδου τὸ μελίκρατον, ὠμὸν δηλονότι, ἵνα τὸ φυσῶδες τοῦ μελικράτου ἐν τῇ καθευδούσῃ φανήσηται.

μα΄. Γυνὴ, ἢν μὲν ἄῤῥεν κύῃ, εὔχροός ἐστι· ἢν δὲ θῆλυ, δύσχροος. —

ΘΕΟΦ. Τὸ εὔχρουν ἐνταῦθα, οὐ τὸ κατὰ φύσιν ἀκεστέον, ἀλλ᾽ ὅσον ἐπὶ ἐγκυμονούσῃ γυναικί. ἐὰν οὖν γυνὴ ἔχῃ ἐν γαστρὶ καὶ εὔχρους ἐστὶν, ἄῤῥεν κύει, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον τὰ ἄῤῥενα θερμότερά εἰσιν, ὅθεν καὶ τὸ

---

1) COD. ESC. *μελίκρατον*] τὸ ἀπόμελι. — οὐκ ἔστιν ἀκριβὴς ἡ σημείωσις αὕτη. Melius signum παλμώδης κίνησις, si ante et post πέψιν fit; sin minus, potest ἀπὸ τῶν πνευμάτων εἶναι. — ἀλλ᾽ ἔχεις ἄλλην ἐπιστημονικὴν σημείωσιν τὴν ἀπὸ τῶν μαιῶν· αἱ γὰρ μαῖαι σχηματίζουσιν αὐτὰς καὶ καθιᾶσι τὸν λιχανὸν δάκτυλον, καὶ ἐὰν εὕρωσι μεμυκὸς τὸ στόμιον τῆς μήτρας ἄνευ ὄγκου τινὸς ὁμαλῶς μεμυκὸς καὶ ἀσφαλῶς ὥστε μηδὲ * πυρίνην σμίλην (f. πυρίνην μήλης) χωρεῖν διεξελθεῖν, γινώσκουσιν ὅτι ἔγκυός ἐστιν.

2) ἀνάλυσιν V. a.

εὐανθὲς χρῶμα· εἰ μέντοι δύσχροος ᾖ, θῆλυ, διότι τὰ θήλεα ψυχρότερά εἰσιν· ἐντεῦθεν καὶ ἡ ἄχροια.

ΔΑΜ. Ὡς πρὸς ἑαυτὴν κρινομένη, οὐ πρὸς ἑτέραν.

μβʹ. Γυναικὶ κυούσῃ ἢν ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες. —

ΘΕΟΦ. Παραπολαύει γὰρ ἐκ τοῦ σύνεγγυς τὸ ἔμβρυον τοῦ ἐπὶ τῇ θερμῇ ὕλῃ γενομένου πάθους, καὶ ὡς εὐπαθὲς ἑτοίμως ἀπόλλυται. 1) εἰ δὲ συμβῇ καὶ τὰς δυνάμεις τῆς γυναικὸς ἀσθενεῖς εἶναι, συναπόλλυται τῷ ἐμβρύῳ.

μγʹ. Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐκτιτρώσκουσιν, οὐ κύουσι πρὶν ἢ παχυνθῆναι. —

ΘΕΟΦ. Παρὰ φύσιν λεπτὰς ὑποτίθεται τὰς ὑπὸ νοσήματος γενομένας εἴτε ἀπὸ λιμαγχονίας. αὗται οὖν οὕτως ἔχουσαι ἐὰν σχῶσι κατὰ γαστρὸς, ἐκτιτρώσκουσι, διὰ τὸ ἐνδεῆ εἶναι τροφῆς τὰ μόρια τῆς μήτρας. λοιπὸν δὲ λιμῶττον τὸ ἔμβρυον σκαρίζει καὶ σπαράζει τὰ ἀρτήματα καὶ ἐξέρχεται. εἰ δέ γε παχυνθῶσιν, οὐκέτι ἐκτιτρώσκουσι διὰ τὸ πλούσιον τῆς τροφῆς.

ΔΑΜ. Τὸ παρὰ φύσιν λεπταὶ, ἢ ὑπερβαλλόντως ἢ παρὰ τὴν ἑαυτῶν φύσιν.

μδʹ. Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταυτέῃσι αἱ κοτυληδόνες 2) μύξης μεσταί εἰσι, καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλὰ ἀποῤῥήγνυνται. —

ΘΕΟΦ. Ἐνταῦθά φησιν ὅτι ὅσαι σύμμετρον ἔχουσι τὸ σῶμα, εἰ ἐπὶ βʹ ἢ τρίτον μῆνα ἐκτιτρώσκουσιν ἄνευ τινὸς φανερᾶς αἰτίας, τούτων πάντως αἱ κοτυληδόνες τῆς μήτρας ἤτοι οἱ ὑμένες οἱ κατασφαλίζοντες τὰς ἀναστομώσεις τῶν ἐν τῇ μήτρᾳ ἀγγείων μύξης μεσταί εἰσι τουτέστι φλεγματικοῦ χυμοῦ καὶ γλίσχρου κἀντεῦθεν χαλαροὶ

1) Reliqua Om. V. b. C. 2) μύξιος V. a. b.

καὶ ἀσθενεῖς γίνονται. λοιπὸν δὲ καὶ ἡ καθεκτικὴ δύναμις τῆς μήτρας ἀσθενεῖ, ὑγρᾶς καὶ φλεγματικῆς ὕλης πλεοναζούσης. τούτων οὖν οὕτως ἐχόντων, ἀνάγκη πᾶσα ἐκτιτρώσκειν αὐτὰς δίμηνα καὶ τρίμηνα διὰ τὸ τηνικαῦτα βάρος ἔχειν ἀξιόλογον τὸ ἔμβρυον, μὴ δύνασθαι δὲ κατασχεῖν τὸ ἔμβρυον τάς τε κοτυληδόνας καὶ τὴν καθεκτικὴν δύναμιν ἀτόνως διακειμένας.

ΔΑΜ. Φανερὰν πρόφασίν φησι· πυρετὸν σφοδρὸν, αἱμοῤῥαγίαν, διάῤῥοιαν, φλεγμονὴν ἐν τῇ μήτρᾳ ἢ ἐρυσίπελας, πήδημα σφοδρὸν ἢ κραυγὴν ἢ φόβον ἢ θυμὸν ἢ ἐνδεῆ τροφὴν ἢ μίξιν ἄκαιρον μετὰ βιαίας κατασείσεως ἤ τι τοιοῦτον· κοτυληδόνες δέ εἰσι τὰ στόματα τῶν φλεβῶν καὶ ἀρτηριῶν τῶν εἰς τὴν μήτραν φερομένων.

με΄. Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταυτέῃσι τὸ ἐπίπλοον ἐπὶ τὸ στόμα τῶν ὑστερέων 1) ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι, οὐ κύουσι. —

ΘΕΟΦ. Τὰς ἰσχνὰς ἀμέτρως διαβαλὼν Ἱπποκράτης γυναῖκας νῦν τὰς ὑπερβαλλόντως καὶ παρὰ φύσιν παχείας διαβάλλεται. λέγει γὰρ ὅτι οὐ συλλαμβάνουσι, διότι οὐδ' ὅλως παραδέχονται τὸ σπέρμα. δι' ἣν αἰτίαν; ἐπειδὴ ἐμπέφρακται τὸ ἔνδον στόμα, ἔνθα ἡ μήτρα τελευτᾷ, πιμελῆς γενομένης κατὰ τὴν μήτραν καὶ ἀποπιεζούσης ἤγουν ἀποκλειούσης τὸ στόμιον, ἣν πιμελὴν Ἱπποκράτης 2) ἐπίπλοον ἐκάλεσε μεταφορικῶς· τὸ γὰρ ἐπίπλοον πιμελῶδές ἐστιν· ἀδύνατον οὖν αὐτὰς συλλαβεῖν πρὸ τοῦ ἰσχνανθῆναι τὸ σῶμα καὶ ἐλθεῖν εἰς συμμετρίαν.

ΔΑΜ. Στόμα μήτρας τὸ ἔνδον λέγει, ἔνθα τελευτᾷ μὲν ἡ μήτρα, ἄρχεται δὲ ὁ αὐχήν.

μϛ΄. Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη ἔῃ καὶ διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι. —

---

1) ὑποπ. Codd. 2) COD. ESC. ἐπίπλοον δὲ ἀκουστέον πιμελώδη φύσιν ἐκεῖσε γινομένην· οὐδὲ γὰρ ἐπὶ τοσοῦτον δυνατόν ἐστι τὸ ἐπίπλοον τὸ ἐπικείμενον τῇ γαστρὶ ἐπεκταθῆναι ὥστε σκεπάσαι τὸ

ΘΕΟΦ. Ὑστέραν λέγει τὴν μήτραν. αὕτη δὲ ἔχει ἀρτήματα καὶ δεξιὰ καὶ ἀριστερὰ καὶ πρόσω καὶ ὀπίσω καὶ ἄνω καὶ κάτω. πολλάκις ἐν φλεγμονὴ γίνεται περὶ ἓν τῶν ἀρτημάτων· καὶ εἰ τύχοι κατὰ τὰ πλάγια τὴν φλεγμονὴν γενέσθαι τετέσι περὶ τὸς βεβῶνας καὶ τὸ ἰσχίον, φέρεται ἐκεῖσε ἡ μήτρα καὶ οἷον 1) ἔγκειται περὶ ἐκεῖνα τὰ μέρη, εἶτα ἡ φύσις εἰς πῦον μεταβάλλει, καὶ τῦτο τὸ ἀπόστημα ἔξω ἀποκορυφῦται περὶ τὸ δέρμα καὶ ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ῥήγνυται. καὶ λοιπὸν ἀναγκαῖόν ἐστιν ἔμμοτον γενέσθαι τουτέστι δεήσεσθαι τὴν διὰ μοταρίων θεραπείαν.

ΔΑΜ. Διαπυήσασα γὰρ ἡ μήτρα πρὸς τὰ ἐκτὸς γίνεται ἔμμοτος ἤτοι θεραπεύεται διὰ τῶν μότων.

μζ΄. Ἔμβρυα τὰ μὲν ἄῤῥενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσι ἀριστεροῖσι μᾶλλον. —

ΘΕΟΦ. Ἡ μήτρα δύο κόλπους ἔχει δεξιὸν καὶ ἀριστερὸν, διαφραττομένους ὑμένι τινί· ἐν τούτοις οὖν γίνεται ἡ διάπλασις τῶν ἐμβρύων, ἀλλὰ τῶν μὲν ἀῤῥένων ἐν τοῖς δεξιοῖς, τῶν δὲ θηλέων ἐν τοῖς ἀριστεροῖς. καὶ ἡ αἰτία, ὅτι τὰ ἄῤῥενα θερμότερά εἰσι καὶ διὰ τοῦτο ἐν τοῖς δεξιοῖς ὡς ἐν θερμοτέροις δημιουργοῦνται, τὰ δὲ θήλεα ψυχρὰ καὶ διὰ τοῦτο ἐν τοῖς ἀριστεροῖς ὡς ἐν ψυχροτέροις δημιουργοῦνται. θερμότεροι μὲν οὖν εἰσιν οἱ δεξιοὶ κόλποι τῆς μήτρας τῶν ἀριστερῶν τῇ πυριάσει τοῦ ἥπατος· ἀλλὰ καὶ ὁ δεξιὸς ὄρχις καὶ κόλπος δέχονται τὸ καθαρὸν αἷμα καὶ διὰ τοῦτο θερμότεροι, ὁ δὲ ἀριστερὸς ὄρχις καὶ κόλπος ὀρωδέσρον καὶ διὰ τοῦτο ψυχρότεροι.

ΔΑΜ. Διὰ τὴν θερμοτέραν κράσιν ἄῤῥεν γίνεται τὸ ἔμβρυον· θερμότερον δ᾽ ἐστὶ τὸ δεξιὸν μέρος τῆς ὑστέρας τῇ γειτνιάσει τοῦ ἥπατος.

στόμα τῆς μήτρας χωρὶς ὀδύνης. — Nomen habet διὰ τὸ οἷον ἐπιπλεῖν τὰ θρεπτικὰ et est πῆξις τοῦ ἐλαιώδους τοῦ αἵματος.

1) COD. ESC. se inclinat καὶ οἷον μεθίσταται, ὅθεν καί τινες τῶν φιλοσόφων ζῶον ἐνόμισαν αὐτὴν τὴν μήτραν εἶναι ἐκ τοῦ ποιεῖσθαι μεταβατικὴν κίνησιν, οἱ δὲ ἰατροὶ οὐ πείθονται αὐτοῖς. ἀλλὰ

μη'. Ἐς ὑστέρων ἐκπτώσιας πταρμικὸν προσθεὶς, ἐπιλάμβανε τοὺς μυκτῆρας καὶ τὸ στόμα. —

ΘΕΟΦ. 1) Ὑστέρων ἐνταῦθα λέγει, οὐ δήπω τῶν μητρῶν, ἀλλὰ τῶν χορίων, ὅθεν καὶ κοινῶς ἀναγινωσκόμενον βαρυτόνως εἴρηται οἷον ὑστέρων· ἡνίκα γὰρ τριγενές ἐστι τὸ πρόσωπον, βαρύνεται, μονογενὲς δὲ περισπᾶται οἷον ὑστερῶν. φησὶν οὖν, ἐὰν βούλῃ ὑστέρων ἔκπτωσιν ποιήσασθαι καὶ τοῦτο διὰ χρείαν μεγάλην διὰ τὸ μὴ ἐναπομείναντα σαπῆναι καὶ χαλεπὰ νοσήματα ποιῆσαι μετὰ τὴν 2) ἀπότεξιν, πταρμικὸν ἐντίθει τῇ ῥινί· εἶτα ἐπιλάμβανε ταύτην καὶ τὸ στόμα, ὅπως τὸ πνεῦμα ἐπὶ τὰ κάτω χωρῆσαν τῇ συντονίᾳ καὶ τῷ κλόνῳ τοῦ πταρμοῦ κατενεχθῆναι ποιήσῃ τὸ χορίον.

μθ'. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, τεινεσμὸς ἐπιγενόμενος ἔκτρωσιν ποιέει. —

ΘΕΟΦ. Τεινεσμός ἐστι συνεχὴς καὶ βιαία κίνησις καὶ ἔκκρισις φλεγματωδῶν καὶ πιμελωδῶν μετὰ ὀλιγίστης κόπρου. γίνεται δὲ ἐν τῷ ἀπευθυσμένῳ ἐκ φλέγμα-

---

τῷ ὄγκῳ ἀποδιδόασι τὴν τοιαύτην κίνησιν. — ἐγκολπισμοὶ injectiones in vaginam.

1) COD. ESC. ἱστορεῖ οὖν ὁ Ἡρόφιλος καὶ λέγει ὅτι τοιαύτη γίνεται ἀκριβὴς ἡ μύσις τοῦ στομίου, ὡς μηδὲ πυρίνην σμίλην δυνατὸν διεισελθεῖν. καὶ ἀπορεῖ τις ἴσως ὅτι ἐὰν οὕτως ἀκριβὴς ἡ μύσις τοῦ στομίου τῆς μήτρας γίνηται, πῶς λαγνεύουσι καὶ συνουσιάζουσιν αἱ γυναῖκες μετὰ τὴν κυοφορίαν τοῖς ἀνδράσιν; καὶ λέγομεν ὅτι δύο στόμιά εἰσιν, ἓν μὲν ἐντὸς κατὰ τὸ κύτος αὐτὸ τῆς μήτρας, καὶ ἓν ἐκτὸς κατὰ τὸ αἰδοῖον, καθ' ὃ καὶ ἡ λαγνεία. Post conceptionem ἀκοντίζεται τὸ σπέρμα διὰ τοῦ ἀνεῳγμένου καὶ χαλαροῦ στομίου καὶ φέρεται ἐπὶ τὸν κόλπον. τοῦτο οὖν τὸ σπέρμα ἐκεῖσε φερόμενον σαρκίον γίνεται ἀσχημάτιστον καὶ ἄμορφον, ὅπερ ἐπιγέννημα ὀνομάζεται. Ὁ δὲ Ἀσκληπιὸς τοῦ παρόντος βιβλίου ἐξηγητὴς ἱστόρησεν ὅτι καὶ ἐζωογονήθη τὸ σαρκίον, καὶ λέγει ὅτι ἐγὼ ἐθεασάμην μετὰ τὴν σύλληψιν καὶ κυοφορίαν ὅτι πάλιν συνουσίασε τῷ ἀνδρὶ τυχὸν ἐν τῷ ἕκτῳ μηνὶ τῆς κυοφορίας, καὶ δὴ τὸ μὲν πρῶτον ἔμβρυον ἐν τῷ ἐννάτῳ μηνὶ ἀπέτεξεν, εἶτα μετὰ ἓξ μῆνας τοῦ τεκεῖν αὐτὴν, ἔτεκε καὶ τὸ ἄλλο ἔμβρυον. Initium huius scholii om. V. b. C. 2) colliquationem! C. ἀπότηξιν.

τος καὶ εἴρηται παρὰ τὴν τάσιν. οὗτος ἐὰν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἐπιγένηται, ἔκτρωσιν ποιεῖ τῷ λόγῳ τῶν ἐξαναστάσεων καὶ μεγάλων τάσεων.

ν΄. Γυναικὶ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε. —

ΘΕΟΦ. Ἐνταῦθα διδάσκει θεραπείαν τῶν ἀμέτρως 1) γενομένων καταμηνίων. αὕτη δέ ἐστι σικύα, ἣν καὶ ὑπὸ τοὺς τιτθοὺς κελεύει προσβάλλεσθαι, μεγάλην δὲ, ἵνα σφοδροτέραν ἀπὸ τῆς μήτρας ἐργάσηται τὴν ἀντίσπασιν, ἄνω διὰ τῶν κοινῶν ἤγουν ἀμφισβαινῶν φλεβῶν.

ΔΑΜ. Μεγίστην ἀξιοῖ τὴν σικύαν εἶναι, ἵνα σφοδροτέραν ἀπὸ τῆς μήτρας ἐργάσηται τὴν ἀντίσπασιν ἄνω, διὰ τῶν κοινῶν τοῦτο ἐπιτεχνώμενος φλεβῶν.

να΄. Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων 2) ξυμμέμυκε. —

ΘΕΟΦ. Τοῦτο ἐξ ἀνάγκης συμβαίνει· τοῦ γὰρ κύτους ἐξαπλουμένου, συλλήψεως γεγονυίας, ἀνάγκη τὸ στόμιον συμμύειν τῶν ὑστερῶν, ὅ ἐστι στενοῦσθαι. ἀντιπεπονθότως γὰρ ἔχουσιν αἱ κοιλότητες τοῖς στομίοις.

ΔΑΜ. Ἀφ᾽ οὗ γὰρ ἂν τὸ πρῶτον ἐντὸς ἑαυτῶν λάβωσι τὸ σπέρμα, περιστέλλουσι μὲν ἑαυτῶν τὸ κύτος ἅπαν, κλείουσι δὲ τὸ στόμα. φαίνεταί γε μὴν καὶ διὰ σκίῤῥον καὶ φλεγμονὴν μεμυκὸς τῶν ὑστερῶν τὸ στόμα.

νβ΄. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πουλὺ ἐκ τῶν μαζῶν ῥέον, ἀσθενέειν τὸ ἔμβρυον σημαίνει. ἢν δὲ στερεοὶ οἱ τιτθοὶ ἔωσι, ὑγιεινὸν τὸ ἔμβρυον σημαίνει. —

ΘΕΟΦ. Πρὸ τῆς ἀποτέξεως τοῦ ἐμβρύου προαποθησαυρίζει ἡ φύσις τὸ γάλα ἐν τοῖς μασθοῖς, ἵνα μετὰ τὴν ἀπότεξιν ἀφθόνως τρέφηται τὸ ἔμβρυον. τοῦτο οὖν τὸ γάλα ἐὰν σύμμετρον ᾖ, δηλοῖ, καλῶς ἔχειν τὸ ἔμβρυον· εἰ μέντοι πολὺ καὶ ἀποῤῥέει ἐκ τῶν μασθῶν, δηλοῖ ὅτι ἀσθενές ἐστι τὸ ἔμβρυον. πῶς; ὅτι ὑπὸ πλήθους τοῦ φε-

1) καταφερομένων V. b. 2) συμμύει D. ξυμμύσει V. a. c.

ρομένου αἵματος ἐν τῷ ἐμβρύῳ κατελύθη ἡ δύναμις αι τοῦ κἀντεῦθεν πλεονάζον ἠνέχθη ἄνω. ἄλλως τε φύσει ἀσθενὲς ὂν τὸ παιδίον οὐκ ἐξισχύει ἀλλοιῶσαι τὸ πρὸς τροφὴν ἐρχόμενον ἐν αὐτῷ αἷμα, ἀλλὰ μένει καὶ φέρεται παρὰ τοὺς μασθοὺς καὶ διὰ τοῦτο πολὺ γάλα ῥεῖ. εἰ μέντοι στερεοὶ οἱ τιτθοὶ ὦσιν οὐκ ἀπὸ ὄγκου τινὸς δηλονότι, ἀλλ' ἐκ συμμέτρου γάλακτος φερομένου, σημαίνει ὑγιεινὸν εἶναι τὸ ἔμβρυον.

ΔΑΜ. Κατ' ἐκεῖνον γὰρ ῥεῖ τὸ γάλα τὸν καιρὸν, ἡνίκα φύσιν ἔχει ταῖς κυούσαις γεννᾶσθαι.

νγ'. Ὁκόσαι διαφθείρειν μέλλουσι, ταυτέῃσι οἱ τιτθοὶ ἰσχνοὶ γίνονται· ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρει. —

ΘΕΟΦ. Προσδιορισμοῦ χρήζει ὁ ἀφορισμὸς, ἵν' ἀληθὴς ὑπάρχῃ, ὡς εἶναι αὐτὸν οὕτως, ὅσαι μέλλουσιν ἐκτιτρώσκειν λόγῳ ἐνδείας τροφῆς, αὗται ἰσχνοὺς τοὺς μασθοὺς ἴσχουσι, καὶ ἡ αἰτία προείρηται. εἶτά φησιν, ἢν δὲ πάλιν σκληροὶ γίνωνται, ὀδύνη γίνεται ἐν τοῖσιν ἰσχίοισιν ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν. ἐνδείκνυται γὰρ ἀπὸ τῆς μήτρας ἐπὶ τοὺς μασθοὺς ἀχθῆναι πολλὴν καὶ μετοχετευθῆναι ὕλην, ἐξ ἧς καὶ σκληροὺς συνέβη γενέσθαι τοὺς τιτθούς· εἶτα ὡς πολλὴ ἡ ὕλη μετάγεται ἀπὸ τῶν τιτθῶν ἐπὶ ἕτερα μόρια, εἰ μὲν πρὸς τὰ ἄνω, ποιεῖ ὀδύνας ὀφθαλμῶν, εἰ δὲ ἐν τοῖς μέσοις, ὀδύνας ἰσχίων, εἰ δὲ κάτω, ποιεῖ γοναλγίας. λοιπὸν οὖν οὐ διαφθείρουσι, τῆς μήτρας πρὸς τροφὴν τὸ ἀρκοῦν ἐχούσης.

ΔΑΜ. Ἰσχνοὶ γίνονται τῇ ἐνδείᾳ τοῦ ἐν ταῖς κοιναῖς φλεψὶν αἵματος, σκληροὶ δὲ τῇ πληθώρᾳ, ἥτις καὶ ἀποτιθεμένη ὑπὸ τῆς φύσεως εἴς τινα μόρια ὀδυνᾶται μὲν ἐκεῖνα, τὸ δὲ ἔμβρυον ἀπαθὲς διατηρεῖται.

νδ'. Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταυτέῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν. —

ΘΕΟΦ. Σκληρὸν γίνεται τὸ στόμα τῶν ὑστερῶν διὰ φλεγμονὴν ἢ σκίῤῥον, ἔστι δὲ ὅτε καὶ διὰ ψύξιν καὶ ξηρότητα, ἅπερ ἀνάγκῃ σύμμυσιν ἤτοι στένωσιν καὶ κλείσιν τοῦ στομίου ἀπεργάζονται. διαφέρει δὲ ἡ μύσις τῆς ἐκ συλλήψεως γενομένης μύσεως, ὅτι ἐκείνη μαλακή ἐςιν, αὕτη δὲ σκληρά· τὸ μαλακὸν δὲ καὶ σκληρὸν τῇ ἁφῇ τῆς μαίας διαγινώσκεται.

νε΄. Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς θερμαίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσι. —

ΘΕΟΦ. Πυρετὸν ἐνταῦθα ὑποτίθεται συνεχῆ καὶ δῆλον ἐκ τοῦ εἰπεῖν λαμβάνονται ἀντὶ τοῦ κατακρατοῦνται, δῆλον δὲ καὶ ἐκ τοῦ ἰσχυρῶς θερμαίνονται. ἐὰν οὖν γυνὴ ἐν γαστρὶ ἔχουσα ὑπὸ πυρετοῦ ἰσχυροτάτου ληφθῇ, ἐκτιτρώσκουσα κινδυνεύει ἄνευ φανερᾶς αἰτίας τουτέστιν ἐξ ἀνάγκης, πρῶτον μὲν ὅτι αὐτὸς καθ᾽ ἑαυτὸν ὁ πυρετὸς ἐπικίνδυνός ἐστιν, ἔτι δὲ πλέον ἐπὶ προκεκμηκότι σώματι, λοιπὸν δὲ καὶ διὰ τὸ ἔμβρυον, θρέψει τις καὶ ἐπαυξήσει τὸν πυρετὸν, ὃ χαλεπὸν, ἢ διὰ τὸν πυρετὸν, οὐ θρέψει καὶ ἔτι χαλεπώτερον· ἔκτρωσις γὰρ γενήσεται ἐνδείᾳ τροφῆς ἢ τίκτει χαλεπῶς καὶ ἐπικινδύνως τουτέστι μετὰ συμπτωμάτων ἢ ὅτι ἠσθένησεν ἡ 1) ἀποκριτικὴ δύναμις τῇ νόσῳ καὶ οὐ δύναται ἀπώσασθαι τὸ ἔμβρυον ἢ ὅτι ὁ πυρετὸς ἐξανιμήσατο καὶ ἐξεδαπάνησε τὰ ὑγρὰ, ἃ ὄλισθον καὶ εὐχέρειαν ἐν τῇ ἀποτέξει τῷ ἐμβρύῳ διένειμον.

ΔΑΜ. Εἰκότως οὐκ ἀντέχει τὸ ἔμβρυον, ἀλλὰ ἀποφθείρεται διὰ τοὺς πυρετοὺς καὶ τὴν κακοχυμίαν.

νϛ΄. Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγίνηται, κακόν. —

---

1) COD. ESC. *ὅτι δὲ χρεία ἐστὶ καὶ τῆς ἀποκριτικῆς δυνάμεως, ἐπειδὴ τά μεγάλα συμβάλλεται τῇ ἀποτέξει, δηλοῦσιν αἱ μαῖαι προθυμοποιούμεναι τὰς μελλούσας τίκτειν, ἵνα δραστικωτέραν καὶ ἐνδρανῆ ποιήσωνται τὴν ἀποκριτικὴν δύναμιν πρὸς τὴν ἀπότεξιν τοῦ ἐμβρύου.*

ΘΕΟΦ. 1) Ῥοῦς γυναικεῖός ἐστιν ἄμετρος κένωσις τῶν καταμηνίων ὀρωδεστέρα καὶ ὑδατωδεστέρα, ἐφ' ᾧ συμβαίνει πολλάκις λειποθυμίαν καὶ σπασμὸν ἕπεσθαι, σπασμὸν μὲν τῇ ἀμέτρῳ κενώσει, λειποθυμίαν δὲ τῷ συγκενοῦσθαι τοῖς ἀχρήστοις καὶ τὰ χρηστὰ καὶ διαφορεῖσθαι τὸ ζωτικὸν πνεῦμα, ἃ καὶ κακά εἰσι διὰ τὸ ἀναγγέλλειν τὸν μὲν κακῶς διακεῖσθαι τὸν ἐγκέφαλον, τὴν δὲ τὴν καρδίαν.

ΔΑΜ. Ῥοῦν φασι τὸν σφοδρὸν ἢ τὸν χρονίζοντα.

νζ'. Καταμηνίων γινομένων πλεόνων, νοῦσοι συμβαίνουσι, καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης συμβαίνουσι νοῦσοι. —

ΘΕΟΦ. Πᾶσα γὰρ ἀμετρία αἰτία νοσημάτων καθίσταται. ἀλλ' ἀποροῦσί τινες ἐνταῦθα λέγοντες διὰ τί ἐπὶ μὲν τοῦ πρώτου τυχὸν ἐπὶ τῇ ἀμέτρῳ κενώσει ἀδιορίστως ἔφη, ὅτι νοῦσοι συμβαίνουσιν, ἐπὶ δὲ τῆς ἐπισχέσεως τῶν καταμηνίων διωρίσατο καὶ ἔφη τὸν πεπονθότα τόπον; ὅτι ἐκεῖ μὲν, εἰ καὶ γίνονται νοσήματα, οὐκ ἀπὸ τῆς ὑστέρας γίνονται· αὕτη γὰρ καθαρὰ μεμένηκεν, ἀλλ' ἀπὸ τοῦ ὅλου σώματος, ἀσθενείας ἐπακολουθησάσης, ἐπὶ δὲ τῆς ἐπισχέσεως τῶν καταμηνίων, σήψεως γενομένης, τὴν ἀρχὴν τὰ νοσήματα ἀπὸ τῆς μήτρας ἴσχουσιν.

ΔΑΜ. Κενοῦνται πλείω καταμήνια δι' ἀναστόμωσιν σφοδρὰν τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων καὶ διὰ λεπτότητα τοῦ αἵματος, ἢ πλείω θερμότητα· ἐλάττω δὲ γίνεται καταμήνια διὰ μύσιν ἢ ἔμφραξιν τῶν τὴν ἔμμηνον κάθαρσιν εἰς τὴν μήτραν καταγουσῶν φλεβῶν ἢ διὰ πάχος αἵματος ἢ διὰ ψυχρότητα.

νη'. Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ ὑστέρῃ φλεγμαινούσῃ στραγγουρίη ἐπιγίνεται, καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι

---

1) COD. ESC. ἀμέλει τὰ παλαιὰ τῶν ἀντιγράφων τὸν ἢ διεξευκτικὸν ἔχουσι, τυχὸν ὅτι ἢ σπασμὸς ἢ λειποθυμία ἐπιγίνεται καὶ καλῶς ἔχουσιν. τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι τὸν καὶ σύνδεσμον, τυχὸν ὅτι σπασμὸς καὶ λειποθυμία ἐπιγίγνεται ὅπερ κακῶς ἔχει ἡ τοιαύτη γραφὴ καὶ ἐκβάλλεται παρὰ τοῖς ἐξηγηταῖς.

στραγγουρίη ἐπιγίνεται, ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λύγξ. —

ΘΕΟΦ. Ἀρχὸν τὸ ἀπευθυσμένον καλεῖ, καὶ ἀπευθυσμένον μὲν λέγεται διὰ τὸ ἐπ' εὐθείας κεῖσθαι, τῶν ἄλλων ἐντέρων ἑλικοειδῶς κειμένων, ἀρχὸς δὲ διὰ τὸ δοκεῖν ἄρχεσθαι τῶν ἐντέρων. οὗτος οὖν ἐὰν φλεγμάνῃ, στραγγουρία γίνεται, ἢ ὅτι μεταλαμβάνει τῆς δυσκρασίας ἡ κύστις καὶ κατάλυσις γίνεται τῆς καθεκτικῆς δυνάμεως αὐτῆς, ἢ ὅτι ἀποστενοῦται ὁ τράχηλος αὐτῆς κἀντεῦθεν στάγδην ἡ ἀπόθεσις τοῦ οὔρου γίνεται. ἀλλὰ καὶ ἐπὶ ὑστέρᾳ φλεγμαινέσῃ τὸ αὐτὸ γίνεται ἢ λόγῳ τοῦ μεταδίδοσθαι τὴν δυσκρασίαν τῇ κύστει ἢ ἐπειδὴ ἡ μήτρα ἐν τῷ μεταξὺ κεῖται τοῦ ἀρχοῦ καὶ τῆς κύστεως. εἰ μὲν οὖν ἔμπροσθεν φλεγμαίνει, ὡς ἐπὶ τὴν κύστιν ὠθεῖται καὶ ἀποστενοῦται ὁ τῆς κύστεως τράχηλος, καὶ καταστάγδην ἀποτίθεται τὸ οὖρον· εἰ δὲ ἐν τοῖς ὄπισθεν φλεγμαίνει, ὡς ἐπὶ τὴν ὀσφὺν ἀποστενοῦσα τὰ ἔντερα, ἐποχὴν κόπρου ἐργάζεται. καὶ ἐπὶ νεφρῷ δὲ ἐκπυήσαντι γίνεται στραγγουρία. πῶς; πολλάκις φῦμά τι γίνεται εἰς αὐτοὺς καὶ τῷ χρόνῳ 1) σηπομένου φέρεται τὸ πῦον ἐπὶ τὴν κύστιν καὶ τῇ δριμύτητι δάκνει καὶ τῇ δήξει ἐπεγείρει τὴν ἀποκριτικὴν δύναμιν συνεχῶς καὶ ἐκκρίνει κατὰ στράγγα τὸ οὖρον. εἶτά φησιν ὅτι, καὶ τοῦ ἥπατος φλεγμαίνοντος, γίνεται πάθος, οὐ τοιοῦτον δὲ, ἀλλὰ λὺγξ, καὶ μάλιστα εἰ τύχοι φλεγμαίνειν τὰ σιμὰ, διότι ἐπὶ τῇ φλεγμονῇ θερμότης ἕλκει ἐφ' ἑαυτὴν τὰ ὑγρὰ τὰ ἐν τῷ στομάχῳ καὶ ἐξαναλίσκει κἀντεῦθεν ξηραίνεται ὁ στόμαχος, καὶ ἐπὶ τῇ ξηρότητι σπᾶται, ἐφ' ᾗ σπασμώδει διαθέσει γίνεται λύγξ.

ΔΑΜ. Ὅταν ὀλίγον τις οὐρῇ συνεχῶς, στραγγουρία τὸ πάθος ὀνομάζεται, καὶ γίνεται, ποτὲ μὲν ἐπ' ἀῤῥωστίᾳ τῆς καθεκτικῆς τῆς κύστεως, ἔστι δ' ὅτε καὶ ἐπὶ δριμύτητι τῶν οὔρων. ἡ μὲν οὖν ἀῤῥωστία τῆς καθεκτικῆς διά τε δυσκρασίαν γίνεται καί τινα τῶν παρὰ φύσιν ὄγκων, ἡ δριμύτης δὲ ἢ διὰ πάθος νεφρῶν ἢ διὰ τὸ ἥκειν ἐκ τῶν φλεβῶν εἰς αὐτοὺς τοιοῦτον τὸ ὀῤῥῶδες

1) ῥησσόμενον V. a.

περίττωμα. ἐπὶ μὲν οὖν ἀρχῷ καὶ ὑστέρᾳ φλεγμαινούσῃ στραγγουρία γίνεται, συμπασχούσης τῆς κύστεως, ἐπὶ δὲ νεφροῖς ἐμπύοις διὰ τὸ κενοῦσθαι δι᾽ αὐτῆς τὸ πῦον. οὕτως οὖν καὶ τῷ ἥπατι λὺγξ ἐπιγίνεται διὰ τὴν τῶν νεύρων κοινωνίαν, ὅταν εἰς μεγίστην παραταθῇ φλεγμονήν.

νθ΄. Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι, εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτωθεν, κὴν μὲν πορεύεσθαι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὕτη οὐ διὰ ἑωϋτὴν ἄγονός ἐστι. —

ΘΕΟΦ. 1) Ἐνταῦθά φησιν ὅτι ἐὰν γυνὴ μὴ λαμβάνῃ ἐν γαστρὶ, οὐ δι᾽ αὐτὴν ἄγονος οὖσα, ἀλλὰ διὰ τὸν ἄνδρα, βούλει δὲ τοῦτο εἰδέναι, χρῆσαι θυμιατηρίῳ, ὅπερ δέχεται λιβανωτὸν, ναρδόσταχυ, κασίαν καὶ στύρακα καὶ ἔμβαλλε εἰς αὐτὸ ἄνθρακας καὶ ἐπάνω τῦ θυμιατηρίȣ ἐπίθες τὴν καλουμένην χώνην καὶ τὸ ἄνω αὐτῆς μέρος ὑπόβαλλε τῷ αἰδοίῳ τῆς γυναικὸς καὶ οὕτως ὑποκάπνιζε, καθεζομένης αὐτῆς ἐπὶ δίφρȣ καὶ περικεκαλυμμένης ἱματίοις. καὶ εἰ μὲν ἡ ὀσμὴ διὰ τοῦ βάθους τοῦ σώματος ἀνάγεται ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, ἔσο γινώσκων, ὅτι οὐ δι᾽ ἑαυτὴν ἄγονός ἐστιν, ἀλλὰ διὰ τὸν ἄνδρα· οὕτω γὰρ φερομένης τῆς ὀσμῆς διὰ τοῦ βάθους τοῦ σώματος ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας 2) δηλονότι πάσης ἀπήλλακται κακοχυμίας ἡ μήτρα καὶ εὐκράτως κέκραται· εἰ γὰρ ξηροτέρα ἦν τῇ κράσει ἢ ψυχροτέρα ἢ κακόχυμος, τῇ πυκνώσει καὶ τῇ

---

1) COD. ESC. Si mulier non sterilis est, δεῖ ἐπιζευγνύειν αὐτὴν καὶ ἑτέρῳ ἀνδρὶ γονίμῳ, ἵνα μὴ ἀπόληται ἡ παλιγγενεσία. οἱ γὰρ παλαιοὶ πολλὴν φροντίδα ἐποιοῦντο καὶ ἀγῶνα ἐτίθουν διὰ τὴν παλιγγενεσίαν ὥστε μὴ φθαρῆραι τὸ γένος δι᾽ αἰτίαν τινὰ, διά τε βασιλικὸν γένος καὶ διά τε ἱερατικὸν καὶ διὰ διδασκαλικὸν, ὥστε μὴ διαλιπεῖν τὶ γένος. ὅπερ καὶ παρὰ πέρσαις μέχρι τοῦ νῦν τοῦτο ἐσπούδασται. — δεῖ ἄνθρακας βαλεῖν εἰς θυμιατὸν καὶ φέρειν χώνην. καὶ δεῖ καθίζειν τὴν γυναῖκα ἐπὶ δίφρῳ ἔχοντα μέγιστον ἄνοιγμα, καὶ τὸ μὲν τέλειον στόμα τῆς χώνης ἐπιθεῖναι τῷ θυμιατῷ, τὸ ὀξὺ δὲ τῆς χώνης δεῖ σε ἁρμόσαι τῷ γυναικείῳ στομίῳ. 2) Hinc lacuna in V. b. quae usque ad Sect. VI. aph. 43. extenditur.

ψύξει καὶ τῇ κακοχυμίᾳ ἐκωλύετο ἂν ἡ ὀσμὴ ἐπὶ τὰ ἄνω ἐνεχθῆναι. πόθεν δὲ ἀνάγεται ἡ ὀσμὴ ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, εἰ ἐρωτᾷ τις, λέγομεν, διὰ τῶν φλεβῶν καὶ ἀρτηριῶν καὶ νεύρων, καθὼς αὐτὸς ἐν διαφόροις ἔφη, σύμπνοια μία καὶ ξύῤῥοια καὶ πάντα ξυμπαθέα.

ΔΑΜ. Πρόσθες ξυλαλόην, ἄμπαρ, λιβανωτον, σμύρναν καὶ στύρακα καὶ θυμία.

ξ΄. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύωνται πολλαὶ, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν. —

ΘΕΟΦ. Ὁ νῦν ἀφορισμός φησιν, ἐὰν γυναικὶ μετα τὴν σύλληψιν αἱ καθάρσεις πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν. καὶ εἰκότως, πρῶτον μὲν ὅτι ἀναστοιχειοῦται ἡ ὕπαρξις τοῦ ἐμβρύου, δεύτερον δὲ ὅτι τῇ κενώσει τῶν καταμηνίων ἀμοιρεῖ τροφῆς τὸ ἔμβρυον. ἀμοιρεῖν οὖν καὶ λιμῶττον πῶς ἐνδέχεται αὐτὸ ὑγιὲς εἶναι; ἀλλὰ λέγουσί τινες ὅτι ὁρῶμεν ἐπὶ τῆς πείρας, ὅτι καθαίρονται αἱ γυναῖκες καὶ μέχρι πέμπτου καὶ ἕκτου μηνὸς καὶ οὐ βλάπτονται τὰ παιδία. πρὸς τοῦτο λέγομεν ὅτι καθαίρονται μὲν, εἰ τύχοι ταύτας εἶναι πληθωρικὰς, καὶ οὐ βλάπτονται, διότι ὀλίγον καθαίρονται, ἐνταῦθα δὲ πολλὴν τὴν κένωσιν ὑποτίθεται καὶ διὰ μῆκος χρόνου γίνεσθαι. καὶ τοῦτο αἰνίττεται διὰ τοῦ εἰπεῖν, αἱ καθάρσιες πορεύονται, ὧν τὸ μὲν τὸ πλῆθος, τὸ δὲ τὴν παράτασιν τȣ̃ χρόνȣ σημαίνει, ἅπερ, ὡς εἴρηται, χαλεπά. πάλιν ἀποροῦσι, πῶς γίνεται ἐμμηνος κάθαρσις ἐπὶ τῶν κυουσῶν, τοῦ στομίου κεκλεισμένου, ὡς μηδὲ πυρῆνα μήλης ἐπιδέχεσθαι; καί φαμεν, ὅτι οὐ διὰ τοῦ στομίου καθαίρονται· ἔχει γὰρ ὑμένα τινὰ ἐπιπολάζοντα, ἀλλὰ διὰ τοῦ τραχήλου τῆς μήτρας, καθὼς καὶ αἱ παρθένοι, ἀναστομουμένων τῶν φλεβῶν τῶν ἐν αὐτῷ καταφυομένων καὶ ἀποτελευτώντων.

ΔΑΜ. Κάθαρσιν τὸ αἷμα δηλοῖ τὸ ἐκκρινόμενον πολὺ καὶ πολλάκις.

ξα΄. Ἢν γυναικὶ αἱ καθάρσιες 1) μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτέῃ προσπίπτωσι, λογίζου ταὐτέην ἐν γαστρὶ ἔχειν. —

ΘΕΟΦ. 2) Ἐὰν γὰρ, μήτε φρίκης μήτε πυρετοῦ ἐπιγενομένου μήτε φλεγμονῆς, αἱ καθάρσεις οὐ πορεύωνται, αὕτη δῆλον ὅτι ἔγκυός ἐστι, πλὴν ἐὰν καὶ ἄσαι αὐτῇ προσπίπτωσι τουτέστιν ἀλλόκοτος ὄρεξις τοῦ στομάχου ὑπὸ ποικιλίας χυμῶν γινομένη, ἥτις καὶ κίττα λέγεται· τὸ τηνικαῦτα γὰρ δηλοῦται ἀπὸ τοῦ παντὸς σώματος φέρεσθαι τὸ αἷμα εἰς τὴν μήτραν πρὸς τροφὴν τοῦ ἐμβρύου.

ΔΑΜ. Γίνεται δὲ ἡ ἄση, καθ' ὃν λόγον καὶ ἡ κίττα, τοῦ στομάχου κακουμένου ταῖς συνειληφυίαις.

ξβ΄. Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκουσι, καὶ ὁκόσαι καθύγρους αὐτὰς ἔχουσι, ὁμοίως· ἀποσβέννυται γὰρ αὐτέῃσι ὁ γόνος, καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικεκαυμένας· ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι ξυμμέτρως, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται. —

ΘΕΟΦ. 3) Ἰδοὺ νῦν τὰς αἰτίας παραδίδωσιν Ἱπποκράτης, δι' ἃς οὐ γίνεται σύλληψις. λέγει γὰρ μὴ κυΐσκειν τὰς ψυχρὰς καὶ πυκνὰς ἐχούσας τὰς μήτρας, διότι ψύξις οὐχ ἕλκει τὸ σπέρμα· ἀλλὰ μὴν οὐδὲ τὰς καθύγρους ἐχούσας τὰς μήτρας κύειν φησὶ διὰ τὸ κατακλύζεσθαι τὸ σπέρμα, ὥσπερ ἐν τῇ τελματώδει γῇ τὰ σπέρματα· ἀλλὰ

---

1) παύωνται D. 2) COD. ESC. Φησὶν ὁ Γαληνὸς ὅτι εἰ ἦν δυνατὸν καινοτομῆσαι τὴν λέξιν τῶν ἀφορισμῶν καὶ νεωτεροποιῆσαι, τὸν παρόντα ἀφορισμὸν συντάξαι εἶχον ἐκείνῳ τῷ λέγοντι, ἐὰν γυνὴ μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλει δὲ εἰδέναι, εἰ λήψεται etc. 3) IBID. Galenus dicit: τὸ ἐξ ἀμφοτέρων δεῖ λαβεῖν ἐπὶ τῶν ἀντιθέσεων, θερμότης καὶ ψυχρότης, ξηρότης καὶ ὑγρότης. — ὁ μέντοι ἐξηγητὴς (num Asclepius!) τοῦ παρόντος βιβλίου λέγει ὅτι δεῖ οὕτως νοῆσαι καὶ λαβεῖν τὸ ἐξ ἀμφοτέρων, τυχὸν ἐὰν ψυχρὰν ἔχῃ τὴν μήτραν ἡ γυνὴ καὶ διὰ τοῦτο ἄγονός ἐστι, δεῖ διδόναι αὐτὴν θερμῷ ἀνδρὶ, — καὶ εἰ ὑγρὰν, — ἀνδρὶ ξηρῷ.

μὴν οὐδὲ τὰς ξηρὰς μᾶλλον καὶ περικαεῖς, ὥς φησιν αὐτὸς, ὅτι ἐνδείῃ τῆς τροφῆς τὸ σπέρμα φθείρεται· ἡ γὰρ ξηρότης δαπανᾷ καὶ ἡ θερμασία διαφόρησιν ἐργάζεται. τεσσάρων οὖν οὐσῶν τῶν δυσκρασιῶν, δύο ἀντιθέσεις εἰσὶ, πρώτη μὲν θερμότης καὶ ψυχρότης, δευτέρα δὲ ξηρότης καὶ ὑγρότης. λοιπὸν, ὥς φησιν Ἱπποκράτης, ἐκεῖναί εἰσιν ἐπίτεκνοι, ὅσαι ἐξ ἀμφοτέρων τούτων τῶν ἀντιθέσεων συμμέτρως τὴν κρᾶσιν ἔχουσιν· ἔστι δὲ εἰπεῖν καὶ ἑτέρως, ὅτι ἐξ ἀμφοτέρων λέγει, ἀπό τε τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ἵνα ἐὰν θερμότερός ἐστιν ὁ ἀνὴρ, ἡ γυνὴ ψυχροτέρα ᾖ, καὶ τὸ ἀνάπαλιν πρὸς τὸ εἶναι συμμετρίαν, ἐκ δὲ ταύτης εὐτεκνίαν.

ΔΑΜ. Ὥσπερ γὰρ ἐπὶ τῆς λίαν καθύγρου καὶ τελματώδους γῆς οὐκ ἀναβλαστάνει τὰ σπέρματα, ὁμοίως καὶ ἐπὶ τῆς καταξήρου, οὕτω καὶ ἐπὶ τῶν μητρῶν τῶν οὕτως ἐχουσῶν· ἐπίτεκνοι δὲ γίνονται αἱ τὴν κρᾶσιν ἔχουσαι σύμμετρον.

ξγ΄. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων· ἢ γὰρ διὰ τὴν ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται, πρὸς τὸ μὴ 1) *παραπέμπειν τὸ σπέρμα, ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω, ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται, ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ἢ διὰ τὴν θερμασίην, τοῦτο γίνεται. —*

ΘΕΟΦ. 2) *Ἐνταῦθα ὁ Γαληνὸς λέγει, ὅτι νόθος ἐστὶν ὁ παρὼν ἀφορισμός· εἰ γὰρ ἦν τοῦ Ἱπποκράτους, ἔδει διὰ τὰς αὐτὰς αἰτίας, δι᾽ ἃς καὶ ἐπὶ τῶν γυναικῶν, ὑποθέσθαι ἄγονον εἶναι τὸ ἄῤῥεν, εἰπὼν παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων. πλὴν εἰ δοκεῖ ἐκ τῶν Ἱπποκράτους εἶναι, ἐξηγητέον αὐτὸν οὕτως, ὅτι κἂν εὐδιαφόρητος εἴη ὁ ἀνὴρ, ἐξασθενεῖ καὶ οὐ δύναται ἐξακοντίσαι τὸ σπέρμα παρὰ*

---

1) *παραπίπτειν τῷ στόματι τὸ* V. a. b. c. 2) **COD. ESC.** Galenus hunc dicit *νόθον καὶ ὑποβολιμαῖον. — δοκεῖ τῷ Ἀριστοτέλει καὶ λέγει ὅτι οὐδὲ τὸ πρῶτον σπέρμα γόνιμόν ἐστιν οὐδὲ τὸ τελευταῖον καταβαλλόμενον, ἀλλὰ τὸ μέσον ὅπερ χαλάζιον ὀνομάζει, ἐκ τοῦ κατὰ σύστασιν ἐοικέναι τῇ χαλάζῃ. — τὸ δὲ ἔξω φέρεται, μὴ νομίσῃς ἐπὶ τοῦ ἐδάφους, ἀλλὰ τυχὸν ἔξωθεν τῆς μήτρας, λέγω δὴ εἰς τὸ λαγαρὸν ἔντερον.*

τοὺς γυναικείους κόλπους καὶ διὰ τοῦτο ἀνεπιτήδειος πρὸς σύλληψιν, κἂν ξηρὸς ᾖ, πύκνωσιν πάσχει καὶ τῇ πυκνότητι καὶ ξηρότητι οὐ γίνεται ἔκκρισις σπέρματος κἀντεῦθεν ἄγονός ἐστι· καὶ ἐὰν ψυχρὸς ᾖ, νεκρὸν ἔχει τὸ σπέρμα καὶ οὐκ ἐκπυροῦται, ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον καὶ ζωογονεῖσθαι· ἀθροίζεται μὲν γὰρ πρὸς τὴν μήτραν, οὐ ζωογονεῖται δὲ ὡς ψυχρὸν, καὶ ἐὰν θερμότερος ᾖ, τὸ αὐτὸ τοῦτο γίνεται, τουτέστιν ὡς θερμότερον τὸ σπέρμα οὐ δύναται ἀθροίζεσθαι καὶ 1) ζωογονεῖσθαι. λοιπὸν οὖν, ἐπιτηδείως ἔχουσι πρὸς σύλληψιν οἱ ἐξ ἀμφοτέρων τῶν ἀντιθέσεων, καθὼς εἴρηται, τὴν κράσιν ἔχοντες.

ΔΑΜ. Ὁ ἀφορισμὸς οὗτος ὠβέλισται.

ξδʹ. Γάλα διδόναι κεφαλαλγέουσι, κακόν· κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσι ὑποχόνδρια μετέωρα διαβορβορύζεται, καὶ τοῖσι διψώδεσι· κακὸν δὲ καὶ τοῖσι χολωδεστέρας τὰς ὑποχωρήσιας ἐν ὀξέσι πυρετοῖσιν ἔχουσι, καὶ οἷσι αἵματος πολλοῦ διαχώρησις γέγονε. ἁρμόζει δὲ φθινώδεσι τὸ γάλα, ἀλλὰ μὴ τοῖσι λίην πυρέσσουσι· διδόναι δὲ γάλα καὶ ἐν πυρετοῖσι μακροῖσι βληχροῖσι, μηδενὸς ὁκόσων προείρηται σημείων παρεόντος, παραλόγως δὲ ἐκτετηκότων. —

ΘΕΟΦ. Τὸ γάλα τριπλεκῆ τὴν οὐσίαν ἔχει· ἔχει γὰρ τὸ ἐλαιῶδες καὶ τὸ ὀῤῥῶδες. καὶ ἔστι τὸ μὲν τυρῶδες αὐτοῦ παχὺ καὶ ψυχρὸν, τὸ δὲ ἐλαιῶδες θερμὸν, τὸ δὲ ὀῤῥῶδες αὐτοῦ ῥυπτικὸν καὶ λεπτομερές. Ἀλλ' ἐπειδή τινες ἠπατήθησαν, μηδόλως αὐτὸ ἐπιβλαβὲς εἶναι διὰ τὸ εὐαλλοίωτον αὐτοῦ, τούτου χάριν Ἱπποκράτης ἐκκόψαι τούτων τὴν ὑπόνοιαν βουλόμενος τὰ ἐξ αὐτοῦ γινόμενα κακὰ καταλέγει, καὶ πρῶτον μὲν λέγει, ὅτι τοῖς κεφαλαλγέσι βλάπτει πλέον διὰ τὸ εἶναι αὐτὸ γεννητικὸν φυσωδῶν πνευμάτων ἀπεπτούμενον, ἅπερ ἐπιτείνουσι τὴν κεφαλαλγίαν· πλὴν οὐχ ὅλον τὸ γάλα τοῦτο ποιεῖ, ἀλλὰ τὸ τυρῶδες. κακὸν δὲ καὶ τοῖς πυρεταίνουσιν, ἀλλ' ὀξέως, διὰ τὸ πρόσθεσιν

---

1) δημιουργεῖσθαι V. c.

τῇ ὕλῃ χαρίζεσθαι ἀπεπτούμενον, ἢ διὰ τὸ ἐλαιῶδες αὐτοῦ ὡς θερμὸν ἐπίτασιν πυρετῶ ἐργάζεται. κακὸν δὲ καὶ τοῖς ὑποχόνδρια μετέωρα διαβορβορύζοντα ἔχουσι, πλὴν καὶ ἐνταῦθα τὸ τυρῶδες ὡς ἀπεπτούμενον καὶ γεννῶν πνεύματα, ἃ ἐπιτείνουσι τὸ πάθος· κακὸν δὲ καὶ τοῖσι διψώδεσι, πλὴν τὸ ἐλαιῶδες ὡς θερμόν. κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ διαχωρήσιες, καὶ μάλιστα ἐὰν σὺν πυρετῷ ὀξεῖ σύνεισι, πρῶτον μὲν διὰ τὸ ὀῤῥῶδες αὐτοῦ ἐρεθίζειν, ἔπειτα καὶ διὰ τὸ ἐλαιῶδες ἐκθερμαίνειν. κακὸν δὲ καὶ οἷσι αἵματος πολλοῦ διαχώρησις γέγονε, διότι, τοῦ αἵματος πολλοῦ κενωθέντος, ἠσθένησαν αἱ φυσικαὶ δυνάμεις, παρεχόμενον δὲ τὸ γάλα διὰ τὸ παχὺ αὐτοῦ ἀπεπτεῖται. ἀπεπτούμενον οὖν πῶς οὐχὶ πολλῶν κακῶν αἴτιον γενήσεται; εἶτα τὴν τοῦ γάλακτος ὑφηγησάμενος κακίαν λοιπὸν καὶ τὰς ἀρετὰς αὐτοῦ παραδίδωσι· λέγει γὰρ ἐπιτήδειον εἶναι τοῖς φθινώδεσι καὶ μὴ λίαν πυρέσσουσι, πλὴν καὶ ἐνταῦθα τὸ ὀρῶδες. ἐκκαθαίρει γὰρ τὸ ἐν πνεύμονι πῦον. τούτου οὖν ἀποκαθαιρομένου, μεγάλως εὐεργετοῦνται. ἔστι γὰρ ὅτε καὶ θεραπεύεται τὸ ἕλκος ἢ ὅτι αὐτὸ τὸ γάλα ὡς ὑγρὸν καὶ ἑτοιμοανάδοτον ἀνατρέφει αὐτὸ τὸ σῶμα. διδόναι δὲ αὐτό φησι καὶ ἐν τοῖσι πυρετοῖσι μακροῖσι βληχροῖσι. διὰ δὲ τούτων τοὺς ἑκτικοὺς ᾐνίξατο πυρετοὺς, πλὴν ἐὰν μηδὲν πάρεστι τῶν προειρημένων σημείων τουτέστι κεφαλαλγία, ὑποχόνδρια μετέωρα, δίψα, διότι αὐχμὸς ὑπόκειται ἐν τῷ σώματι. τὸ οὖν γάλα τῇ οἰκείᾳ αὐτοῦ 1) ὑγρότητι ἐπιτέγγει αὐτῶν τὸν χυμὸν καὶ ὠφέλειαν αὐτοῖς παρέχει.

ΔΑΜ. Τὸ γάλα γὰρ ῥαδίως ἀλλοιοῦται· μετέωρα δὲ εἰπὼν ᾐνίξατο οὐ τὰ ἐμπεφυσημένα μόνον, ἀλλὰ καὶ τὰ ἄλλως μετέωρα κατά τι φλεγματῶδες ἢ ἐρυσιπελατῶδες ἢ σκιῤῥῶδες πάθος ἢ οἰδηματῶδες, ἀλλὰ καὶ τοῖς πνευματικοῖς καὶ φυσώδεσιν εἴρηκε, κακόν.

ξε'. Ὁκόσοισιν οἰδήματα ἐπὶ ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται. τουτέων δὲ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν, σπασμοὶ, τέτανοι· τοῖσι

1) caliditate inflammat! C.

δὲ ἔμπροσθεν, μανίη ἢ ὀδύνη πλευροῦ ὀξείη, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ἔῃ τὰ οἰδήματα. —

ΘΕΟΦ. Πάλιν ἄνεισιν ἐπὶ τὰς διαγνώσεις τῶν παθῶν Ἱπποκράτης καὶ λέγει, ὅσοις οἰδήματα ἐφ' ἕλκεσι γίνεται, οὐ μάλα σπῶνται οὐδὲ μαίνονται. διὰ τί; ὅτι ἀπαλλάττεται τὸ βάθος τῆς ὕλης κἀντεῦθεν οὐ μανία οὐδὲ σπασμὸς ἐπακολουθεῖ, πλὴν τοῦτο γίνεται, ἐὰν κατὰ ἀναλογίαν τοῦ ἕλκους γίνηται ὁ ὄγκος. τοῦτον δὲ τὸν ὄγκον, ὅταν ἐν τοῖς ὀπίσω μέρεσιν ᾖ τὰ ἕλκη τουτέστι κατὰ τὸν νῶτον, εἰ τύχοι αὐτὸν φανέντα ἐξαίφνης ἀφανισθῆναι τουτέστιν ἄνευ φανερᾶς αἰτίας, μὴ διαφορητικῷ φαρμάκῳ, μὴ αἱμοῤῥαγίης γενομένης, πρόδηλον ὅτι ἠνέχθη ἡ ὕλη ἔσω πρὸς τὸ νευρῶδες γένος ἢ ἐπὶ τοὺς ῥαχίτας μύας καὶ πληροῦσα αὐτοὺς ποιεῖ σπασμοὺς καὶ τετάνους· ὅτε δὲ ἐν τοῖς ἔμπροσθέν ἐστι τὸ ἕλκος, συμβῇ δὲ τὸν ὄγκον γενέσθαι ἀξιόλογον καὶ ἐξαίφνης ἀφανισθῆναι, πρόδηλον ὅτι ἐπὶ κύρια μόρια ἠνέχθη ἡ ὕλη· καὶ εἰ μὲν περὶ τὸν ἐγκέφαλον, ἐπειδὴ αἱματική ἐστιν ἡ ὕλη καὶ δριμεῖα, ποιεῖ παραφροσύνην καὶ μανίαν, εἰ δὲ παρὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα, ποιεῖ πλευρῶν ὀδύνας καὶ φλεγμονάς· πολλάκις δὲ καὶ εἰς πῦον μεταβάλλεται καὶ φέρεται παρὰ τὰς κενὰς χώρας καὶ ἐμπύημα γίνεται· εἰ δὲ πρὸς τὴν γαστέρα καὶ τὰ ἔντερα ἡ μετάστασις γένηται, ποιεῖ δυσεντερίαν τὴν ὀνομαζομένην αἱματηράν. καὶ τοῦτο δῆλον ἐκ τοῦ εἰπεῖν, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα.

ΔΑΜ. Τὸ σπῶνται, ὅταν μεγάλοι ἢ κακοήθεις ὦσιν ὄγκοι. πάντας δ' ὄγκους καὶ φλεγμονὰς ἁπάσας οἰδήματα καλεῖ ὁ Ἱπποκράτης.

ξς'. Ἢν τραυμάτων πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνηται, μέγα κακόν. —

ΘΕΟΦ. Ὥσπερ ἐν τῷ ἀνωτέρω ἀφορισμῷ ἐμέμφετο τὰ ἐξαίφνης ἀφανιζόμενα τῶν οἰδημάτων, οὕτω τὰ μηδόλως γινόμενα τοῖς πονηροῖς 1) τραύμασι μέμφεται·

1) COD. ESC. ταὐτόν ἐστι τραῦμα καὶ ἕλκος.

ὑποψία γάρ τίς ἐστι καὶ ἀπὸ τούτων ἐπὶ τὰ κυριώτερα μεθίστασθαι τοὺς ἐπιῤῥέοντας χυμοὺς τοῖς τραύμασι. λοιπὸν τὸ μέγα πρὸς τὸ κακὸν συντάττεσθαι δεῖ, οὐχ ὥς τινές φασι, πρὸς τὸ οἴδημα.

ΔΑΜ. Πονηρὰ τραύματά εἰσι τὰ κατὰ τὰς κεφαλὰς τῶν μυῶν ἢ τὰς τελευτὰς αὐτῶν καὶ μάλιστα τῶν νευρωδῶν μυῶν. κατὰ γὰρ τὰς τῶν μυῶν κεφαλὰς ἐμφύονται τὰ νεῦρα τοῖς μυσὶ, κατὰ δὲ τὰς τελευτὰς οἱ τένοντες ἐκφύονται. ἔστι δὲ μέγα κακὸν τὸ ἐπὶ τοῖς εἰρημένοις τραύμασι μὴ ἐπιφαίνεσθαι οἴδημα διὰ τὸ μεθίστασθαι τοὺς ἐπιῤῥέοντας χυμοὺς αὐτοῖς ἐπὶ τὰ κυριώτερα.

ξζ'. Τὰ χαῦνα, 1) *χρηστὰ, τὰ δὲ ὠμὰ, κακά. —*

ΘΕΟΦ. Τὰ 2) *χαῦνα δηλονότι οἰδήματα ἀγαθὰ, ὡς πέψιν δηλοῦντα, τὰ δὲ ἔνωμα χαλεπὰ, ὡς ἄπεπτα, καὶ πάλιν τὰ πεπεμμένα ἀγαθὰ, διότι δηλοῦσιν ἐπικράτειαν φύσεως, τὰ δὲ ἄπεπτα χαλεπὰ, διότι ἡ δύναμις οὔπω ἐπανέστη εἰς ἀλλοίωσιν.*

ΔΑΜ. Τὰ οἰδήματα δηλονότι τὰ χαῦνα, χρηστὰ ὡς πεπεμμένα, τὰ δὲ ἔνωμα ἤτοι σκληρὰ καὶ ἄπεπτα, κακά.

ξη'. Τῷ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν τῷ μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα, ὠφελέει. —

ΘΕΟΦ. 3) *Θεραπευτικὸς ὁ λόγος· κεφαλαλγίαν γὰρ θεραπεύει. αὕτη δὲ γίνεται ἢ κατὰ πρωτοπάθειαν, ἡνίκα ὕλη ἐν ἑαυτῇ περιέχηται, ἢ κατὰ συμπάθειαν, ἡνίκα ἐνεχθῇ ἡ ὕλη παρὰ τὴν κεφαλὴν ἢ ἀπὸ παντὸς τοῦ σώματος πεπληρωμένου ἢ ἐκ μέρους. ἐνταῦθα οὖν τὴν κατὰ πρωτοπάθειαν γενομένην ὑποτίθεται, καὶ ταύτην θεραπεύει τὴν ἐν τῷ μετώπῳ ὀρθίαν τέμνων φλέβα. αὕτη*

---

1) *ἀγαθὰ, τὰ ἔνωμα, μέγα κακόν.* V. a. 2) **COD. ESC.** *οἱ ἐπὶ πεπεμμένη ὕλη γινόμενοι ὄγκοι.* 3) **IBID.** *κανόνα ἰατρικὸν περιέχει τὸν λεγόμενον ἀντισπαστικόν.* — Triplex est revulsio 1) *ἢ ἀπὸ τῶν ἄνω κάτω ἢ ἀπὸ τῶν κάτω ἄνω (ἀντίσπασις ἐπὶ μήκει).* 2.) *ἢ ἀπὸ τῶν δεξιῶν ἐπ' ἀριστερὰ* et viceversa (*πλατεῖα.*) 3.) *ἀπὸ τῶν ἔμπροσθεν ἐπὶ τὰ ὄπισθεν* et viceversa (*βαθεῖα*).

γὰρ τεμνομένη προδήλως ὠφελεῖ τὲς τὸ ὄπισθεν μέρος δηλονότι τῆς κεφαλῆς ἀλγοῦντας τῷ λόγῳ τῆς ἀντισπάσεως καὶ μεταστάσεως τῆς ὕλης.

ΔΑΜ. Ἡ γὰρ μετ' ἀντισπάσεως κένωσις ὠφελεῖ.

ξθ'. Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον καὶ διὰ νώτου ἐς τὴν κεφαλήν· ἀτὰρ καὶ ἀνδράσι ἐκ τῶν ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπὸ πηχέων, μηρῶν· ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν· δηλοῖ δὲ τοῦτο ἡ θρίξ. —

ΘΕΟΦ. Ῥίγεα λέγει οὐ τὰ σύνθετα τὰ ἐκ κλόνε καὶ περιψύξεως γενόμενα, ἀλλὰ τὰς περιψύξεις μόνον. ταῦτα μὲν ταῖς γυναιξὶ μᾶλλον ἐξ ὀσφύος καὶ νώτου ἄρχεσθαι συμβαίνει, ἐκ μὲν τῆς ὀσφύος, διότι ψυχρότατος ὁ τόπος· νευρῶδες γὰρ πάνυ τὸ μόριον· εἶτα δὲ καὶ, ἐκ τοῦ νωτιαίου, μεταδιδομένης αὐτῷ τῆς ψύξεως κατὰ τὸ συνεχὲς κἀντεῦθεν ἀναγγέλλεται τῷ ἐγκεφάλῳ καὶ γίνεται ἡ περίψυξις. καὶ μὲν δὴ καὶ τοῖς ἀνδράσιν ἀπὸ τῶν ὄπισθεν μᾶλλον ἄρχεται ἡ περίψυξις γίνεσθαι ἢ ἔμπροσθεν τοῦ σώματος οἷον πηχῶν, μηρῶν. τὰ γὰρ ὀπίσω ὡς νευρώδη ψυχρὰ ὑπάρχεσι, καὶ ὡς ψυχρὰ, ἐπιτήδειά εἰσι πρὸς τὸ περιψυχθῆναι ἑτοίμως. ὡς τινος δὲ ἀποροῦντος, διὰ τί τὰ ὄπισθεν ψυχρὰ, τὰ δὲ ἔμπροσθεν τούτων θερμότερα, φησὶν Ἱπποκράτης, διότι ἀραιότερον ἔχουσι τὸ ἔμπροσθεν δέρμα, ἡ δὲ ἀραίωσις ἀπὸ θερμότητος γίνεται· καὶ ὅτι ἀραιότερόν ἐστι, δηλοῖ ἡ θρίξ· ἡ γὰρ θρὶξ τοὐπίπαν ἐν τοῖς πρόσω μορίοις ἐκφύεται οὐκ ἄλλῳ λόγῳ, ἀλλ' ἢ τῇ ἀραιότητι τῶν πόρων.

ΔΑΜ. Ὅτι ἀραιὰ καὶ θερμότερα τὰ ἔμπροσθεν, δῆλον ἀπὸ τῆς ἐκφύσεως τῶν τριχῶν.

ο'. Οἱ ὑπὸ τεταρταίων ἐχόμενοι ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται. ἢν δὲ καὶ ἁλίσκωνται πρότερον, καὶ ἐπιγένηται τεταρταῖος, ῥύονται. —

ΘΕΟΦ. Διὰ τοῦ εἰπεῖν ἁλίσκονται ἐδήλωσε τὸν ἐπὶ πλήθει σπασμόν· αὐτὸ γὰρ τὸ ῥῆμα παράτασιν χρόνου σημαίνει. οὐκοῦν περὶ τοῦ ἐπὶ πληρώσει σπασμοῦ λέγει·

οὗτος γὰρ εἰς μῆκος χρόνου παρεκτείνεται. τοῦτον οὖν τὸν σπασμὸν ὁ τεταρταῖος οὐ μόνον οὐκ ἐᾷ γενέσθαι, ἀλλ' εἰ καὶ φθάσει γενέσθαι, λύει τῷ λόγῳ τοῦ ἐκκρίνειν καὶ πέττειν τὸν παχὺν καὶ φλεγματικὸν χυμόν. ἐκκρίνει μὲν γὰρ τῷ ῥίγει τὰς ὕλας, πέττει δὲ τῷ λόγῳ τῆς γενομένης τῷ ῥίγει πυρετώδους θερμασίας.

ΔΑΜ. Οὐ περὶ τῶν ἐπὶ κενώσει λέγει, οἳ καὶ ὀξεῖς καὶ ὀλέθριοι, ἀλλ' ἐπὶ πληρώσει, ὡς οἱ ἐπιληπτικοί· τὸ γὰρ ἐχόμενοι καὶ ἁλίσκονται παράτασιν χρόνου δηλοῖ. τὸν τοιοῦτον οὖν λύει ὁ τεταρταῖος προγεγονότα, ἢ μὴ προόντα οὐκ ἐᾷ γενέσθαι διά τε τὴν ἔκκρισιν καὶ τὴν πέψιν τὴν ἐπ' αὐτῷ συμβαίνουσαν, τὴν μὲν ἔκκρισιν τῷ ῥίγει· μόνος γὰρ ὁ τοιοῦτος βρασμὸς ἱκανὸς ἐκκρῖναι παχὺν χυμόν· τὴν δὲ πέψιν τῷ λόγῳ τῆς ἐπιγινομένης τῷ ῥίγει πυρετώδους θερμασίας.

οα'. Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα, καὶ σκληρὰ, ἄνευ ἱδρῶτος τελευτῶσι· ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, ξὺν ἱδρῶτι τελευτῶσι. —

ΘΕΟΦ. Τὸ λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἐπὶ τῶν μελλόντων κρίνεσθαι καὶ τελευτᾶν ἢ πρὸς ὑγείαν ἢ πρὸς θάνατον, ἐν οἷς μὲν καρφαλέα τουτέστι σκληρὰ καὶ ξηρὰ τὰ δέρματα γίνεται χωρὶς ἱδρῶτος, τελευτῶσι, καὶ εἰ μὲν εὐφορία αὐτοῖς ἕπεται, πρὸς ὑγείαν, εἰ δὲ δυσφορία, πρὸς θάνατον. ἐν οἷς δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν, εἰ μὲν εὐφοροῦσι, πρὸς ὑγείαν, εἰ δὲ δυσφοροῦσι, πρὸς θάνατον· ἀλλ' ἐκεῖνοι μὲν ἄνευ ἱδρῶτος τελευτῶσι διὰ τὸ ἐνδεὲς τῆς ὑγρότητος, οὗτοι δὲ μεθ' ἱδρῶτος διὰ τὸ ἐναντίον.

ΔΑΜ. Τοῖς μὲν γὰρ προτέροις ἢ οὐχ ὅλως ἐστὶν ὑγρότης ἢ οὐκ ἐν τῷ δέρματι, τοῖς δὲ δευτέροις ἔστι τε καὶ κατὰ τὸ δέρμα.

οβ'. Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσι. —

ΘΕΟΦ. Ἰκτερώδεις λέγει τοὺς ἐπιτηδείους πρὸς ἴκτερον, ὥσπερ καὶ φθινώδεις τοὺς ἐπιτηδείως ἔχοντας πρὸς φθίσιν. οὗτοι δὲ θερμότεροί εἰσι. πνευματώδεις δὲ πά-

λιν λέγει τοὺς ἔχοντας περιουσίαν πνευμάτων διὰ φλεγματώδη καὶ ψυχρὸν χυμόν. τούτων οὕτως εἰρημένων, οἱ ἰκτεριώδεες εἰκότως οὐ πάνυ τι πνευματώδεές εἰσι τουτέστιν οὐ παντελῶς. τὰ γὰρ πνεύματα ὑπὸ ψυχρᾶς ὕλης γίνονται, οὗτοι δὲ θερμότεροι ὑπόκεινται. ἡ οὖν θερμότης οὐ τίκτει πνεύματα· εἰ δὲ καὶ τέξει, διαφορεῖ αὐτά· πλὴν οὐ πάνυ εἰσὶ πνευματώδεις τουτέστι παντελῶς· ἐνδέχεται γὰρ αὐτοὺς καὶ πνευματώδεις ποτὲ γενέσθαι ἐπ' ἀῤῥωστίᾳ τῶν θρεπτικῶν μορίων, ὧν ἀῤῥωστούντων ἀπεπτοῦνται αἱ τροφαὶ καὶ πνεύματα τίκτονται κἀντεῦθεν πνευματώδεις γίνονται.

ΔΑΜ. Χολώδεσι γὰρ οὖσι τοῖς ἰκτεριώδεσιν οὐ συμβαίνουσι πνεύματα ἐκ φλεγματικοῦ χυμοῦ τὴν γένεσιν ἔχοντα.

Τμῆμα Ἕκτον.

α΄. Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη, πρόσθεν μὴ γινομένη, σημεῖον ἀγαθόν. —

Ἀρχὴ τοῦ ἕκτου τμήματος.

ΘΕΟΦ. Ἐν τῷ παρόντι ἀφορισμῷ περὶ ἐπιγεννημάτων διαλέγεται· τὸ δὲ ἐπιγέννημα τετραχῶς· ἢ γὰρ νόσημα νοσήματι ἐπιγίνεται ὥσπερ τῇ πλευρίτιδι πυρετὸς, ἢ νοσήματι σύμπτωμα, ὥσπερ τῷ πυρετῷ κεφαλαλγία, ἢ νόσημα συμπτώματι ὥσπερ τῇ κεφαλαλγίᾳ ξηρότης, ἢ συμπτώματι σύμπτωμα, ὥσπερ τῇ ἀγρυπνίᾳ κεφαλαλγία. ὑποτίθεται οὖν νόσημα, ὅπερ ἐστὶ λειεντερία καὶ ἐπὶ τῷ νοσήματι σύμπτωμα ἐπιγενόμενον, ὅπερ ἐστὶν ὀξυρεγμία. ἀλλ' αὕτη ἡ λειεντερία ἢ δι' ἐπιπολῇ ἕλκωσιν τῶν ἐντέρων γίνεται ἢ δι' ἀσθένειαν τῆς καθεκτικῆς ἢ τῆς ἀλλοιωτικῆς δυνάμεως κατὰ δυσκρασίαν ψυχρὰν νεκροῦσαν αὐτὰς ἢ διὰ χυμὸν πλεονάζοντα ψυχρὸν καὶ τὸ αὐτὸ ποιοῦντα. ἐνταῦθα οὖν περὶ τῆς δι' ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως γενομένης λειεντερίας ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει· ταύτῃ γὰρ εἰ καὶ σύνεστι καταρχὰς ὀξυρεγμία τουτέστιν ὀξώδης συναίσθησις, προϊόντος τοῦ πάθους εὐθὺς παύεται· ἐν ταύτῃ οὖν τῇ λειεντερίᾳ, χρονίᾳ

δὲ, ἐὰν ὀξυρεγμία ἐπιγένηται, πρότερον αὐτῆς ἀδυνατούσης γενέσθαι, σημεῖον ἀγαθόν· ἀπὸ γὰρ παντελοῦς ἀπεψίας εἰς ἀμυδρὰν μετέβαλλε καὶ ἀπὸ τοῦ μηδ' ὅλως πέττειν εἰς τὸ πέττειν ὅλως ἦλθε. πῶς; ὅτι ἡ λειεντερία κατὰ ψυχρὰν δυσκρασίαν ἐν τῇ γαστρὶ καὶ τοῖς ἐντέροις γενομένη καὶ νεκροῦσα τὰς δυνάμεις, παντελῆ ἀποτυχίαν τῆς πέψεως εἰργάζετο. ἡ ὀξυρεγμία οὖν φανεῖσα ἐσήμανεν ἀγαθὸν σημεῖον ὡς οὖσα ἡμιπεψία ἐπὶ ἡμιπέπτῳ βλάβῃ γενομένη καὶ ἐδήλωσε τὴν τροφὴν ἀρχὴν μεταβολῆς λαμβάνειν.

ΔΑΜ. Λειεντερία ἐστὶ ταχεῖα διέξοδος τῶν σιτίων ἀπέπτων, ὀξυρεγμίαν δέ φησι τὴν ἐρυγὴν τὴν ὀξίζουσαν· οὐχ ἁπλῶς δὲ εἶπε τὴν ὀξυρεγμίαν ἀγαθὸν εἶναι σημεῖον ἐν ταῖς λειεντερίαις, ἀλλὰ πρῶτον μὲν ταῖς χρονίαις προσέθετο· συνεισβάλλει γὰρ ταῖς ἀρχομέναις διά τε φλέγμα ὀξῶδες ἢ διὰ δυσκρασίαν ψυχράν. εἰ δὲ οὐκ ἐξ ἀρχῆς διὰ τὰ εἰρημένα συνεισβάλῃ, ἀλλὰ μὴ γινομένη πρότερον ὕστερον ἐπιγένηται, σημεῖόν ἐστι προκοπῆς τοῦ ἐμφύτου θερμοῦ, ὡς ἐπὶ τῆς ὀμφακιζούσης γίνεται σταφυλῆς.

β΄. Οἷσι ῥῖνες 1) ὑγρότεραι φύσεϊ, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηλότερον· οἷσι δὲ ὑπὸ νούσου τἀναντία, ὑγιεινότερον. —

ΘΕΟΦ. Διὰ τοῦ εἰπεῖν ῥῖνες ὑγραὶ ἐδήλωσε τὸν ἐγκέφαλον, διὰ δὲ τοῦ εἰπεῖν ἡ γονὴ ὑγρὴ τὸ πᾶν σῶμα. οἷς οὖν ὁ ἐγκέφαλος ὑγρὸς φύσει, ὁμοίως δὲ καὶ τὸ πᾶν σῶμα ὑγρὸν, ὑγιαίνουσι νοσηλότερον· εἰ γὰρ πολλὴ ὑγρότης περὶ τὸν ἐγκέφαλον ᾖ, ἢ κρατεῖ αὐτῆς καὶ γίνονται καρηβαρίαι, ἐπιληψίαι, ἢ ἀποδιώκει αὐτὴν ἢ πρὸς τὰς αἰσθήσεις καὶ ποιεῖ βλάβην αὐτῶν ἢ πρὸς φάρυγγα καὶ ποιεῖ κατάῤῥους ἢ πρὸς τὰ κάτω μέρη καὶ ποιεῖ διάφορα νοσήματα. εἰ δὲ παρὰ τὸ πᾶν σῶμα ἡ ὑγρότης εἴη, γίνονται οἱ ἐπὶ σήψει πυρετοὶ καὶ τὰ σηπεδονώδη 2) νοσήματα. οἷς δὲ λοιπὸν οὔτε ῥῖνες ὑγραὶ οὔτε γονὴ ὑγρὴ,

---

1) ὑγραὶ — ὑγρὰ V. a. c. 2) σώματα V. c.

ὑγιαίνουσιν ὑγιεινότερον διὰ τὸ ἀπέριττον, ἢ ὡς ἀλλαχοῦ εἴρηται, ὅτι οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι.

ΔΑΜ. Τοὺς ὑγροτέρους εἴτε τὸν ἐγκέφαλον μόνον εἴτε καὶ σύμπαν τὸ σῶμα τὴν ὑγιεινὴν διαγωγήν φησιν οὐκ ἄμεμπτον ἔχειν· καταῤῥόοις γὰρ ἁλίσκεσθαι ἀνάγκη αὐτοὺς καὶ συνάγχαις καὶ δυσπνοίαις καὶ διαῤῥοίαις.

γʹ. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσι αἱ ἀποσιτίαι κακὸν, καὶ ξὺν πυρετῷ ἐοῦσαι, κάκιον. —

ΘΕΟΦ. Δυσεντερία ἐστὶν ἕλκωσις τῶν ἐντέρων. ἐὰν οὖν ἐπιγένηται αὐτῇ χρονισάσῃ ἀποσιτία ἤτοι παντελὴς ἀνορεξία, κακόν· δηλοῖ γὰρ νέκρωσιν τῶν θρεπτικῶν δυνάμεων κατὰ συμπάθειαν. εἰ δὲ καὶ πυρετὸς, ἐπὶ πλέον κακόν· δηλοῖ γὰρ σηπεδόνα εἶναι ἐπὶ τοῖς ἕλκεσιν ἢ ἀξιόλογον φλεγμονήν.

ΔΑΜ. Νέκρωσιν γὰρ παντελῆ τῆς φύσεως αἱ ἀποσιτίαι ἤως αἱ ἀνορεξίαι ἐργάζονται ἐν ταῖς δυσεντερίαις, καὶ μάλιστα αἱ σὺν πυρετοῖς.

δʹ. Τὰ περιμάδαρα ἕλκεα, κακοήθεα. —

ΘΕΟΦ. 1) Περιμάδαρα ἕλκη λέγει τὰ ἐψιλωμένα τριχῶν, τῇ 2) κοινῇ συνηθείᾳ ἀκολουθῶν· τοὺς γὰρ τοιούτους αὕτη μαδαροὺς ὀνομάζει. ταῦτα οὖν τὰ περιμάδαρα ἕλκη κακοήθη διὰ τὸ δυσχερῶς εἰς ἀπούλωσιν ἔρχεσθαι, μοχθηροῦ ἐν τῷ βάθει ὄντος χυμοῦ τοῦ τὰς ῥίζας ἐκτέμνοντος τῶν τριχῶν, ὥσπερ ἁλμυρὰ γῆ τὰς πόας.

ΔΑΜ. Ὅταν τὰς τρίχας ἐκπιπτούσας ἴδῃς τῶν περὶ τὸ ἕλκος χωρίων ἢ καὶ τὸ δέρμα λεπίδας ἐπιπολῆς ἀφιὲν, ἴσθι μοχθηροὺς ἐπιῤῥεῖν τῷ μέρει χυμοὺς, τὸ ἕλκος ἀναβιβρώσκοντας· οὐ γὰρ δήπου τὸ ἐπιῤῥέον τὰς μὲν ῥίζας τῶν τριχῶν διαφθείρειν δύναται, τὸ δ᾽ ἕλκος ἐᾶν ἐπουλοῦσθαι.

---

1) COD. ESC. καλῶς δὲ τὸ περιμάδαρα, ἵνα διὰ τοῦ περὶ ἐνδείξηται ὅτι μαδάσκεται καὶ οἷον περιεσθίεται ἡ οὐλὴ τοῦ ἕλκους.
2) κοιναρῇ V. a.

έ. Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισι μέρεσιν, ἢν μέγα διαφέρωσι, καταμαθητέον. —

ΘΕΟΦ. Εἰδὼς ὁ Ἱπποκράτης ὅτι κρηπὶς τῆς θεραπείας ἐστὶν ἡ διάγνωσις, πολλὴν πρόνοιαν ταύτης ποιεῖται καὶ νῦν μὲν ἐκ τοῦ τόπου καὶ τῆς κατ᾽ αὐτὸν ὀδύνης διάγνωσιν παραδίδωσι. λέγει γὰρ ὅτι ἀπὸ τῶν ὀδυνῶν καταμαθητέον ἐστὶν, ἢν μέγα διαφέρωσι τὸν τόπον τὸν πεπονθότα καὶ τὸ νόσημα καὶ τὴν αἰτίαν κἂν ἐν πλευροῖς κἂν ἐν στήθει κἂν ἐν ἄλλῳ μέρει ἐστὶν ἡ ὀδύνη· ὅταν γὰρ ἐν πλευραῖς ἄλγημα ᾖ, εἰ μὲν νυγματώδης ἡ ὀδύνη, δηλοῦται ὁ τὰς πλευρὰς ὑπεζωκὼς ὑμὴν πεπονθέναι, εἰ δὲ μετὰ συναισθήσεως βάρους, οἱ μύες καὶ τὸ σαρκῶδες. καὶ εἰ μὲν νυγματώδης ἡ ὀδύνη ᾖ μᾶλλον, ὕλη ἐστὶ δάκνουσα, εἰ δὲ βάρους συναίσθησις, παχὺς χυμὸς καὶ φλεγματικὸς ἢ αἱματικὸς, καὶ εἰ μὲν μεγάλη ἡ ὀδύνη, δηλοῖ μέγα τὸ νόσημα, εἰ δὲ μικρὰ, μικρόν. ὁ αὐτὸς οὖν λόγος καὶ ἐπὶ τῶν λοιπῶν μορίων ὧτως εἰρήσθω.

ΔΑΜ. Σκοπεῖν γὰρ χρὴ τέσσαρά τινα ἐν ταῖς ὀδύναις, τὸν τόπον τὸν πάσχοντα, τὴν διάθεσιν τῆς ὀδύνης, τὴν ποιητικὴν αἰτίαν καὶ τὸ σύμπτωμα.

ς΄. Τὰ νεφριτικὰ, καὶ ὁκόσα κατὰ τὴν κύστιν, ἐργωδέως ὑγιάζεται καὶ μάλιστα τοῖσι πρεσβυτέροις. —

ΘΕΟΦ. Ἀλγήματα δὲ λέγει ἕλκη, φλεγμονὰς καὶ ἄλλο ὁτιοῦν πάθος. ταῦτα οὖν ἐν οἱῳδήποτε τῶν δύο μορίων εἰ γένηται τουτέστι νεφροῦ καὶ κύστεως, ἐργωδῶς ὑγιάζεται τουτέστι δυσχερῶς, διότι ταῦτα τὰ πάθη ἡσυχίας δεῖται, τὸ δὲ τῶν νεφρῶν καὶ τῆς κύστεως ἔργον ἀκατάπαυστόν ἐστιν, ἄλλως τε καὶ διὰ τὸ ἀνιᾶσθαι αὐτὰ καὶ δριμύττεσθαι τῷ περιττώματι τῷ δι᾽ αὐτῶν κενουμένῳ. καὶ μάλιστα δὲ δυσχερῶς ὑγιάζεται τοῖς γέρουσι διὰ τὴν τῆς δυνάμεως αὐτῶν ἀσθένειαν.

ΔΑΜ. Ψυχροῖς οὖσι καὶ ἀσθενέσι.

ζ΄. Τὰ ἀλγήματα καὶ οἰδήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μετέωρα κουφότερα, τὰ δὲ μὴ μετέωρα καὶ ἰσχυρότερα. —

ΘΕΟΦ. Κοιλίαν λέγει τὴν σιτοδόχον, οἰδήματα δὲ πάντα ὄγκον, μετέωρα δὲ τὰ γινόμενα μετὰ τὸ περιτόναιον τουτέστι περὶ τοὺς καθ' ὑπογάστριον μύας καὶ τὸ δέρμα, μὴ μετέωρα δὲ τὰ περὶ αὐτὴν τὴν γαστέρα καὶ τὰ ἔντερα. ὅσα οὖν μετέωρα ἀλγήματα καὶ οἰδήματα περὶ τὴν κοιλίαν γίνονται, κουφότερά εἰσι τουτέστι μετριώτερα· ἐν ἀκύροις γὰρ μορίοις γίνονται. ὅσα δὲ μὴ μετέωρα, ἰσχυρότερά εἰσι, διότι ἐν κυρίοις γίνονται μορίοις.

ΔΑΜ. Μετέωρα, οὐ κατὰ τὸ μῆκος τοῦ σώματος, ἀλλὰ κατὰ τὸ βάθος. ὁρίζει δὲ ταῦτα ἐπὶ τῶν κατὰ τὴν γαστέρα χωρίων, τὸ περιτόναιον, ὥστε ὅσα ἀλγήματα ἐν τοῖς ὑπερκειμένοις τοῦδε γίνεται, κεκλῆσθαι μετέωρα, τὰ δὲ ἐν τοῖς ὑποκειμένοις τουτέστιν ἐν αὐτοῖς τοῖς ἐντέροις καὶ τῇ γαστρὶ καὶ ἐν τῷ βάθει, ταῦτα μὴ μετέωρα.

η'. Τοῖσι ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥηϊδίως ὑγιάζεται. —

ΘΕΟΦ. Ἐπὶ μὲν τοῦ ἀνὰ σάρκα διὰ τὸ μὴ φέρεσθαι εἰς ἀπούλωσιν τὰ ἕλκη ὑπὸ τῆς πλεονεκτούσης ὑγρότητος· τὰ γὰρ ἕλκη τοῖς ξηροῖς μᾶλλον χαίρουσι· ἐπὶ δὲ τοῦ ἀσκίτου καὶ τυμπανίτου οὐ διὰ περιουσίαν ὑγροῦ, ἀλλὰ διὰ τὸ εἶναι ἀσθενεῖς τὰς δυνάμεις ἐκ τῆς ἀτροφίας ἢ διὰ τὸ δριμυτέραν εἶναι τὴν τῇ φύσει ὑπηρετοῦσαν ὑγρότητα.

ΔΑΜ. Διὰ τὴν ἀμετρίαν τῆς ὑγρότητος.

θ'. Τὰ πλατέα ἐξανθήματα καὶ οὐ πάνυ τι κνησμώδεα ἐργωδέως ὑγιάζεται. —

ΘΕΟΦ. Τῶν ἐξανθημάτων ἤτοι φυμάτων ἔνια μὲν ὑψηλὰ γίνεται, ἔνια δὲ πλατέα. τὰ μὲν οὖν ὑψηλότερα ἐξανθήματα ἤτοι φύματα θερμότατος καὶ δριμύτατος ἐργάζεται χυμός· διὸ καὶ κνησμώδεα τῇ δήξει· τὰ δὲ πλατέα ἤτοι ταπεινὰ οὐ πάνυ τι κνησμώδεα διὰ τὸ τὸν ἐργαζόμενον αὐτὰ χυμὸν φλεγματικὸν ἧττον ἔχειν δριμύ.

ΔΑΜ. Ψυχρότερος γὰρ χυμὸς καὶ ἧττον δριμὺς ἐργάζεται ταῦτα.

ι'. Κεφαλὴν πονέοντι, καὶ περιοδυνέοντι, πῦον ἢ ὕδωρ ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νούσημα. —

ΘΕΟΦ. Ἐπὶ δύο εἰδῶν κεφαλαλγίας νῦν γυμνάζει τὸν λόγον ἐκ τῆς ἰδιαζούσης ὀδύνης. καὶ ὑποτίθεται δι' ὅλης τῆς κεφαλῆς ὀδύνην καὶ ἐν μέρει. καὶ διὰ μὲν τοῦ εἰπεῖν πονέοντι τὴν ἐπὶ μέρους συναίσθησιν τῆς ὀδύνης ἐνεδείξατο, διὰ δὲ τοῦ εἰπεῖν περιοδυνέοντι τὴν δι' ὅλης τῆς κεφαλῆς. ἀλλὰ τὸ μὲν ἐν μέρει ἄλγημα δηλοῖ ἀπόστημα ἢ φλεγμονὴν, τὸ δὲ ἐν ὅλῃ τῇ κεφαλῇ πνευμάτων ἢ ὑγρότητος περιουσίαν. κεφαλὴν οὖν πονοῦντι ἢ περιοδυνοῦντι πῦον ἢ ὕδωρ ῥυὲν καὶ τὰ ἑξῆς λύει τὸ νόσημα, εἰ μὲν πῦον, τὴν ἐν μέρει κεφαλαλγίαν, πλὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐξ ἀποστήματος, εἰ δὲ ὕδωρ ἢ αἷμα, τὴν δι' ὅλου κεφαλαλγίαν, πλὴν οὐ πᾶσαν, ἀλλὰ τὴν διὰ πλῆθος ὑγρότητος. τὸ γὰρ αἴτιον τὸ ποιῆσαν τὴν κεφαλαλγίαν κενοῦται καὶ ἐκδιώκεται.

ΔΑΜ. Κένωσις γὰρ γίνεται τοῦ λυποῦντος χυμοῦ.

ια'. Τοῖσι μελαγχολικοῖσι, καὶ τοῖσι νεφριτικοῖσι, αἱμοῤῥοΐδες ἐπιγενόμεναι, ἀγαθόν. —

ΘΕΟΦ. Οἱ μελαγχολικοὶ ὑπὸ πλεονεξίας μελαγχολικοῦ χυμοῦ ἐνοχλοῦνται, οἱ νεφρικοὶ δὲ ὑπὸ παχείας καὶ ἰλυώδους ὕλης. ἐπ' αὐτῶν οὖν αἱμοῤῥοΐδες ἐπιγενόμεναι εἰκότως ἀγαθὸν, διότι ἐκκενοῦσι τὴν οἷον ἰλὺν τοῦ αἵματος, δι' ἧς αὐτοὶ μεγάλως πεφύκασι βλάπτεσθαι.

ΔΑΜ. Αἱ γὰρ αἱμοῤῥοΐδες τὴν οἷον τρύγα κενοῦσαι τοῦ αἵματος ἰῶνται ταῦτα.

ιβ'. Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μίη 1) φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, ἢ φθίσιν, ἢ μανίην. —

ΘΕΟΦ. 2) Ἡνίκα τὸ ἧπαρ παρατίθεται εἰς τὰς αἱμοῤῥοΐδας ἰλυῶδές τε καὶ μελαγχολικὸν αἷμα, ἀναστομού-

---

1) καταλειφθῇ V. e. 2) Scholia 11. 12. 13. 14. om. V. a.

μεναι κενοῦσι αὐτό. ἐὰν οὖν κωλύσῃ τις ἐντεῦθεν φορὰν καὶ μάλιστα χρονίως φερόμενον εἴτε ἀπολινῶν τὰς φλέβας εἴτε ἀπουλῶν διὰ τὸ λειποθυμίας καὶ ἕτερα χαλεπὰ ἐπιφέρειν ἀμέτρως κενώμενον, τῇ ἐποχῇ φθίσιν ἢ ὕδρωπα ἀπεργάσεται. εἰ γὰρ χρόνιαί εἰσιν αἱ αἱμοῤῥοΐδες, ἐπειδὴ ἡ ὕλη ὁρμὴν ἔλαβε τοῦ ἐκεῖθεν φέρεσθαι καὶ ἡ φύσις ἐν ἔθει ἦν τοῦ ἐκεῖθεν ἀποκαθαίρειν τὰ περιττὰ, ἄρτι δὲ κεκώλυται ἀποκλειόμενον, σκιῤῥῶδες δηλονότι τὸ ἧπαρ ποιήσει καὶ τῷ πλήθει ἀποσβέσει τὴν ἐπ' αὐτὸ θερμότητα, κἀντεῦθεν ἀποτυχίαν τῆς αἱματώσεως ποιήσει κἀκ ταύτης ὕδρωπα, ἀλλὰ μὴν καὶ φθίσιν, τοῦ πλήθους διὰ τοῦ ἥπατος ἐν τῷ πνεύμονι παραγενομένου, οὗτινος ἐκεῖσε παραγεγονότος, φλεβίου ῥῆξιν ἐργάζεται καὶ φθίσιν ποιεῖ. Λοιπὸν οὖν μίαν χρὴ καταλιμπάνειν καὶ μὴ πάσας ἰᾶσθαι, ὡς διὰ ταύτης ἐκκενοῦσθαι τὴν ἰλυώδη κακοχυμίαν τοῦ ἥπατος, ὅπως ἂν μὴ γένωνται τὰ χαλεπώτατα ταῦτα πάθη.

ΔΑΜ. Τῇ ἀποκλείσει γὰρ τοῦ παχέος αἵματος σκιῤῥῶδες τὸ ἧπαρ γίνεται· ἅμα δὲ τῷ πλήθει σβέννυται καὶ ἡ ἐν αὐτῷ θερμασία, ὑφ' ἧς ἐγεννᾶτο τὸ αἷμα, ἧς τῇ σβέσει ἕπεται πάντως ἡ ἀποτυχία τῆς αἱματώσεως κἀντεῦθεν ὕδερος, εἰ δὲ δυνηθῇ τὸ ἧπαρ περὶ τὸν πνεύμονα τὸ πλῆθος ὠθῆσαι, ἀγγείου ῥαγέντος ἐνταῦθα, ἡ φθίσις γίνεται. εἰκότως οὖν συμβουλεύει καὶ μίαν φυλάττειν αἱμοῤῥοΐδα διὰ τὴν τῆς ἴλυος κένωσιν.

ιγ΄. Ὑπὸ λυγμοῦ ἐχομένῳ, πταρμὸς ἐπιγινόμενος, λύει 1) τὸν λυγμόν. —

ΘΕΟΦ. Λυγμός ἐστι σπασμώδης διάθεσις τοῦ στομάχου, γίνεται δὲ ἢ ὑπὸ κενώσεως ἢ ὑπὸ πληρώσεως καθάπερ καὶ ὁ σπασμός. Νῦν οὖν ὑποτίθεται λυγμὸν ἐπὶ πληρώσει καὶ λέγει, ὅτι ἐὰν ἐπ' αὐτῷ πταρμὸς γένηται, ἀπάλλαξις γίνεται τοῦ λυγμοῦ, ἐπειδὴ κλονεῖται ὁ ἐγκέφαλος καὶ τὸ ὅλον σῶμα, μάλιστα δὲ ἡ γαστὴρ διὰ τὸ πλούσιον τῶν νεύρων, καὶ τῷ σφοδρῷ κλόνῳ ἐκμοχλεύεται

1) τὸ νόσημα V. c. λύσις D.

καὶ κενοῦται τὰ κατὰ τὸν στόμαχον ὑγρὰ τὰ τὸν λυγμὸν ἐργαζόμενα.

ΔΑΜ. Λυγμὸς καὶ σπασμὸς ὑπὸ πληρώσεως γίνεται καὶ κενώσεως. τοὺς οὖν ἐπὶ πληρώσει λυγμοὺς ἰᾶται πταρμὸς, τοὺς δ' ἐπὶ κενώσει, σπανίως· ὁ πταρμὸς γὰρ διαπνέει τε καὶ κενοῖ τὰ κατ' αὐτὸν ὑγρά. ὅτι δὲ ὡς ἐπὶ τὸ πολὺ ἐπὶ πληρώσει συνίσταται ὁ λυγμὸς, ἐπὶ τῶν παίδων ὁρᾶται λυζόντων πολλάκις, ὅταν ὑπερπλησθῇ. καὶ τὸ κρύος δὲ καὶ ἡ ψύξις τῷ δυσδιάπνευστα ἐργάζεσθαι πάντα τὰ νευρώδη σώματα, πλήρωσιν ἐμποιεῖ· διὸ λύζουσιν ἐπ' αὐτῶν.

ιδ'. Ὑπὸ ὕδρωπος ἐχομένῳ, τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις. —

ΘΕΟΦ. Ἐνταῦθά φησιν ὅτι ἐὰν ᾖ ὕδερος καὶ μάλιστα ὁ ἀσκίτης, γένηται δὲ ῥύσις πολλοῦ ὕδατος διὰ τῶν φυσικῶν ὑπονόμων τοῦ ἥπατος τουτέστι τῶν πυλῶν πρὸς τὰ ἔντερα καὶ δι' αὐτῶν ἐνεχθῇ, ἀπαλλαγὴ γίνεται τοῦ ὕδρωπος. καὶ ἡ αἰτία, ἐπειδὴ οὐ γίνεται ἔτι προσθήκη ἐκείνῳ τῷ ὑγρῷ, τῷ ὄντι ἐν μέσῳ περιτοναίου καὶ ἐντέρων, τοῦ αἰτίου κενωθέντος, ἀλλὰ μᾶλλον κἀκείνῳ ἐλπὶς τῷ χρόνῳ διαφορηθῆναι, μὴ προσθήκην δεχόμενον. Ἰστέον δὲ ὅτι φλέβας τὸ ἧπαρ ἐκάλεσεν, ἀπὸ μέρους τὸ ὅλον δηλώσας· καὶ γὰρ ἡ ἀρχὴ τῶν φλεβῶν τὸ ἧπάρ ἐστιν· ἀπ' αὐτοῦ γὰρ αἱ φλέβες ἐκφύονται.

ΔΑΜ. Παράδειγμα τῶν αὐτομάτων κενώσεων ἤως τῶν χωρὶς τῆς ἐξ ἡμῶν αἰτίας.

ιε'. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγενόμενος, λύει τὴν διάῤῥοιαν. —

ΘΕΟΦ. Ἀπὸ ταὐτομάτου λέγει τὸ ἄνευ φανερᾶς αἰτίας τουτέστι μηδεμιᾶς αἰτίας ὑπὸ τοῦ ἰατροῦ γενομένης, ἀλλὰ προνοίᾳ φύσεως. ἐὰν διαῤῥοίας ὑποκειμένης χρονίας ἄνευ φανερᾶς αἰτίας ἐπακολουθήσῃ ἔμετος, λύει τὴν διάῤῥοιαν λόγῳ τῆς ἀντισπάσεως.

ΔΑΜ. Τῷ λόγῳ τῆς ἀντισπάσεως.

ιϛ΄. Ὑπὸ πλευρίτιδος ἢ περιπλευμονίης ἐχομένῳ, διάῤῥοια ἐπιγενομένη, κακόν. —

ΘΕΟΦ. Διὰ τοῦ εἰπεῖν ἐχομένῳ ἐδήλωσεν ἰσχυρῶς κατέχεσθαι καὶ βιάζεσθαι τὸν κάμνοντα. ὑπὸ πλευρίτιδος οὖν ἢ περιπνευμονίας ἐχομένῳ τουτέστι κατεχομένῳ καὶ βιαζομένῳ ἐὰν διάῤῥοια ἐπιγένηται, κακόν ἐστι· δηλοῖ γὰρ ὅτι τὸ ἧπαρ συνέπαθε τοῖς ἀναπνευστικοῖς, ἔνθεν ἐπὶ τῇ ἀσθενείᾳ αὐτοῦ μὴ ἀλλοιώσεως γενομένης διάῤῥοια ἐπακολουθεῖ. οὕτως μὲν τοῖς ἐχομένοις ὑπὸ τῶν παθῶν τούτων ἡ διάῤῥοια κακή· ἐπὶ γὰρ τοῖς μετρίως πάσχουσιν ἔστιν ὅτε καὶ ἀγαθὴ τῷ λόγῳ τῆς μεταστάσεως.

ΔΑΜ. Τοῖς ἰσχυρῶς πάσχουσι μορίοις ἕτερα συμπάσχειν πέφυκεν, ὡς καὶ νῦν τοῖς ἀναπνευστικοῖς μεγάλως κακοπραγοῦσι συμπάσχει τὸ ἧπαρ· ἐπιγενομένη γὰρ αὐτοῖς ἡ διάῤῥοια δηλοῖ, μήτε τὸ ἧπαρ ἕλκειν εἰς ἑαυτὸ τροφὴν μήτε αἱματοῦν.

ιζ΄. Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης κατασχεθέντι, καλόν. —

ΘΕΟΦ. Ἀγαθόν ἐστιν οὐχ ὡς σημεῖον, ἀλλ᾽ ὡς αἴτιον. τὸ γὰρ πλεονάζον καὶ ποιοῦν τὴν ὀφθαλμίαν ἐκκενοῦται ἅμα καὶ ἀντισπᾶται κάτω. διὰ οὖν τὸ κενοῦσθαι τὸ αἴτιον ἀγαθόν.

COD. ESC. Ἐπειδὴ σημαίνει ὅτι ἀντεσπάσθη ἡ ὕλη ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω τουτέστιν ἀπὸ τῆς κεφαλῆς ἐπὶ γαστέρα, καὶ οὕτως ἐκκρίνεται, πλὴν ἐὰν ἐκείνη ἡ ὕλη ἡ τὴν ὀφθαλμίαν ποιήσασα ἐνεχθῇ διὰ γαστρὸς καὶ ἐκκριθῇ, τότε παύεται ἡ ὀφθαλμία ἐπὶ τῇ διαῤῥοίᾳ· εἰ μέντοι δι᾽ ἄλλην ὕλην γένηται ἡ διάῤῥοια, οὐδὲν ὠφελοῦνται· ἐνδέχεται γάρ.

ιη΄. Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες. —

ΘΕΟΦ. 1) Διὰ τοῦ εἰπεῖν διακοπέντι ἐδήλωσε τὴν

1) COD. ESC. φησὶν ὁ Γαληνὸς ὅτι τὸ θανατῶδες ἐνταῦθα οὐ δεῖ λαβεῖν ὅτι ἀποθνήσκουσιν, ἀλλ᾽ ὅτι κινδυνώδη εἰσίν. ὁ δὲ ἐξηγη-

διὰ βάθους διαίρεσιν· ἐν οἱῳδήποτε τῶν εἰρημένων μορίων ἢν διὰ βάθους ἡ διαίρεσις γένηται, θανατῶδες διὰ τὸ μὴ γίνεσθαι μηδὲ ἐν ἑνὶ τῶν τοιούτων μορίων ἀπούλωσιν· ἀεὶ γὰρ κινοῦνται ταῦτα τὰ μόρια, χρείαν δὲ ἔχει ἡ φύσις ἐν τῇ ἀπουλώσει ἡσυχίας· καὶ μὴν καὶ προλαμβάνει ὁ θάνατος τῆς ἀπουλώσεως διὰ τὴν ἀξίαν τῶν μορίων. ἀποροῦσι δέ τινες λέγοντες, καὶ πῶς ἐπὶ τῶν λιθοτομουμένων, διαμπὰξ τῆς κύστεως διαιρουμένης, οὐ γίνεται ἀπώλεια; διότι οὐχ ἡ κύστις, ἀλλ' ὁ τράχηλος τῆς κύστεως διαιρεῖται, ὅστις καὶ σαρκώδης ἐστὶ καὶ διὰ τοῦτο οὐ γίνεται ἀπώλεια.

ιθ'. Ἐπὴν διακοπῇ ὀστέον, ἢ χονδρὸς, ἢ νεῦρον, ἢ γνάθου λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται. —

ΘΕΟΦ. 1) *Αὔξησίς ἐστιν ἡ τοῦ λείποντος καὶ ἀφαιρεθέντος ἀναπλήρωσις, σύμφυσις δὲ ἡ τῶν διεστώτων χείλεων ἕνωσις καὶ κόλλησις. ἐν οἱῳδήποτε τῶν μορίων τούτων εἰ γένηται διαμπὰξ διαίρεσις, εἰκότως οὔτε αὔξεται οὔτε συμφύεται, τὰ μὲν ὀστᾶ δι' ὑπερβολὴν ξηρότητος, ὡσανεὶ ῥίζας μὴ ἔχοντα, τὰ δὲ λοιπὰ οὐ μόνον διὰ τὸ νευρώδη καὶ λεπτὰ εἶναι, ἀλλὰ καὶ διὰ τὸ ἀφίστασθαι αὐτῶν τὰ χείλη τῇ ἀλλήλων τρώσει. οὐκ ὀλίγον ἢ καθόλου ἐστὶν εἰπεῖν ἐπ' αὐτῶν διὰ τὸ ἐκ σπέρματος ἔχειν τὴν γένεσιν. Ἰστέον δὲ ὅτι γνάθου τὸ λεπτόν ἐστι τὸ μεταξὺ δέρμα τῆς τε ἄνω γένυος καὶ τῆς κάτω, ἔνθα ἐστὶ τὸ μυῶδες πλάτυσμα. ἀκροποσθίη δὲ τὸ ἄκρον τῆς πόσθης ἤγουν τῆς βαλάνου.*

ΔΑΜ. Αὔξεσθαι μὲν λέγει τὸ γεννᾶσθαι τοιαύτην

τὴς τοῦ βιβλίου λέγει ὅτι οὐκ εἶπεν ἐπὶ τρώσει τῆς κεφαλῆς, ἀλλ' ἐπὶ διακοπῇ τὴν ἐν βάθει τομὴν αὐτῆς τῆς οὐσίας τοῦ ἐγκεφάλου ὑποτίθεται.

1) COD. ESC. *οὐ καθ' ἑαυτὰ τὰ ὀστᾶ συμφύονται ἑαυτοῖς, ἀλλὰ διὰ μέσου ἑτέρας οὐσίας, λέγω δὴ τοῦ πώρου. — ποσθίδα τὸ δέρμα καλεῖ τὸ ἐπικείμενον καὶ ἐπικαλύπτον τὴν βάλανον. — γνάθου τὸ λεπτὸν] περὶ τοῦ μυώδους πλατύσματος λέγει.*

οὐσίαν, οἵα τοῦ διακοπέντος ἐστὶν, ὡς ἐπὶ τῶν κοίλων ἑλκῶν σὰρξ βλαστάνουσα, συμφύεσθαι δὲ, ὅταν τοῦ διακοπέντος τὰ χείλη κολληθῇ.

κ΄. Ἢν ἐς τὴν κοιλίην αἷμα 1) ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐμπυηθῆναι. —

ΘΕΟΦ. 2) Τινὰ ἔχουσι τὸ ἄρθρον, τινὰ οὐκ ἔχουσι· καὶ εἰ μὲν ἔχεσι τὸ ἄρθρον, περὶ τῆς σιτοδόχου γαστρός ἐστιν ὁ λόγος· εἰ δὲ οὐκ ἔχουσι, περὶ πάσης κοιλότητος· καὶ ἐπ᾽ ἀμφοτέρων ἀληθὴς ὁ λόγος. εἴτε γὰρ ἐν τῇ γαστρὶ εἴτε ἐν ἄλλῃ οἱαδήποτε παρὰ φύσιν κοιλότητι αἷμα ἐκχυθῇ, σήπεται, διότι τὸ αἷμα καὶ τὸ σπέρμα καὶ τὸ γάλα ἔξω τῶν οἰκείων τόπων γινόμενα θρομβοῦται καὶ εὐθέως σήπεται νεκρούμενα.

ΔΑΜ. Εἰ γὰρ ἐκχυθῇ ποτε τῆς οἰκείας κοιλότητος αἷμα εἰς ἑτέραν κοιλότητα, μένειν τούτῳ τῷ αἵματι παντάπασιν ἀμήχανον, ἀλλὰ μὴ μόνον ἐκπυηθῆναι, ἀλλὰ καὶ μελαίνεσθαι καὶ θρομβσοῦθαι. τὸ γὰρ ἐκπυηθῆναι γενικώτερον ἐκλαμβάνουσιν εἰς τὸ φθαρῆναι.

κα΄. Τοῖσι μαινομένοισι, κιρσῶν, ἢ αἱμοῤῥοΐδων ἐπιγενομένων, τῆς μανίης λύσις. —

ΘΕΟΦ. Νῦν μανίαν τὴν μελαγχολίαν λέγει καταχρώμενος, ἥτις ἐπὶ μελαγχολικῷ χυμῷ γίνεται· ἡ γὰρ κυρίως μανία ἔκστασίς ἐστι τε̃ λογισμοῦ ἐπὶ ξανθῇ χολῇ γινομένη. μελαγχολίας οὖν ὑποκειμένης, ἐὰν κιρσοὶ ἢ αἱμοῤῥοΐδες ἐπιγένωνται, ἀπαλλαγὴ γίνεται τῆς μανίας τῷ λόγῳ τῆς ἐκκρίσεως τῶν χυμῶν καὶ τῷ λόγῳ τῆς μεταστάσεως. καὶ ἡ μὲν μετάστασις δηλοῦται διὰ τῶν κιρσῶν, ἡ δὲ ἔκκρισις διὰ τῶν αἱμοῤῥοΐδων.

ΔΑΜ. Ἐνταῦθα μανίαν τὴν κυρίως μελαγχολίαν κα-

---

1) ῥυῇ V. c. 2) COD. ESC. οὐ δεῖ δὲ κατὰ συνέχειαν ἀναγνῶναι, ἢν εἰς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἐπειδὴ οὐδέποτε κατὰ φύσιν αἷμα ἔξωθεν τῶν ἀγγείων ἐκχεῖται εἰς τὴν κοιλίαν. διὸ δεῖ ἀναγνῶναι ὅτως· ἢν εἰς τὴν κοιλίην αἷμα ἐκχυθῇ, καὶ στίξαι, καὶ εἰπὲ λοιπὸν παρὰ φύσιν ἐστὶ τοῦτο.

λεῖ, ἀχὶ τὴν ἀπὸ χολῆς. κιρσὸς γάρ ἐστιν ἀνεύρυνσις τῶν φλεβῶν τῶν ἐν τοῖς μηροῖς καὶ σκέλεσιν, ἀπὸ παχέος χαὶ μελαγχολικοῦ γεννώμενος αἵματος, ὠθούσης τῆς φύσεως εἰς ἀκυρότερα μόρια τοὺς τὴν μανίαν ἐργαζομένους χυμοὺς, καὶ μάλιστα ὅταν ὦσι μελαγχολικοὶ καὶ παχεῖς. εἰ δὲ τῶν εἰρημένων παθῶν ἕπεται γένεσις, τῆς μανίας λύσις.

κβ'. Ὁκόσα ἀλγήματα [καὶ ῥήγματα] ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας μεταβαίνει, φλεβοτομίη λύει. —

ΘΕΟΦ. 1) Ἐνταῦθά φησιν ὅτι ἐὰν γένηται ἄλγημα ἢ ῥῆγμα περὶ τὸν νῶτον, ἐνεχθῇ δὲ περὶ τὸν ἀγκῶνα, τῆς ὀδυνηρᾶς δηλονότι αἰτίας ἐκεῖσε τραπείσης, δεῖ τὴν κατ' ἀγκῶνα φλέβα τέμνειν· ἐκεῖ γὰρ ἔῤῥευσεν ἡ ὕλη καὶ δεῖ καὶ τὰς κενώσεις ποιεῖσθαι διὰ τῶν ξυμφερόντων χωρίων. εἰ δέ τις λέγει, πῶς τὸ ῥῆγμα καταβαίνει ἀπὸ τοῦ νώτου εἰς ἀγκῶνα, λέγομεν οὐ τὸ ῥῆγμα, ἀλλὰ τὰ κατὰ συμπάθειαν ἀλγήματα λέγει καταβαίνειν, τῆς ὕλης ἐκεῖσε τρεπομένης.

κγ'. Ἢν φόβος καὶ δυσθυμίη πουλὺν χρόνον 2) ἔχοντα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. —

ΘΕΟΦ. Ὁ μελαγχολικὸς χυμὸς ὡς τῇ χροιᾷ ζοφώδης ὢν 3) μολύνει τὸ ἐν τῷ ἐγκεφάλῳ ψυχικὸν πνεῦμα ἀτμοειδῶς ἀναφερόμενος καὶ ποιεῖ φόβον. ποιεῖ καὶ δυσθυμίαν καταψύχων τὸ ἔμφυτον θερμὸν, ὡς δὲ παχὺς τῇ συστάσει καὶ μακροχρόνια ποιεῖ πάθη. ἐὰν οὖν πολὺν χρόνον φόβος καὶ δυσθυμία κρατῇ, εἰκότως μελαγχολικὸν τὸ τοιοῦτον κἀντεῦθεν προλέγει ἡ τέχνη, ὅτι μελαγχολικὸν γενήσεται, τοῦ ἐγκεφάλου πάσχοντος διὰ τὸ φέρεσθαι ἐν αὐτῷ τὸν μελαγχολικὸν χυμόν.

ΔΑΜ. Εἰ μὴ διά τινας προφανεῖς αἰτίας τοῦτο γένηται, οἷον λύπην, θυμὸν καὶ τὰ τοιαῦτα.

κδ'. Ἐντέρων ἢν διακοπῇ τι τῶν λεπτῶν, οὐ ξυμφύεται. —

---

1) COD. ESC. ἰστέον δὲ ὅτι τινὰ τῶν ἀντιγράφων ἔχουσι ῥήγματα, ἐφ' ᾗ γραφῇ οὐχ ἁρμόζει τὸ καταβαίνειν τὴν ὀδύνην. 2) ἔχουσα D. 3) μελαίνει V. a.

ΘΕΟΦ. 1) Ἡ αἰτία ἐν τῷ ἀνωτέρω ἀφορισμῷ εἴρηται, „ἐπὴν διακοπῇ.“

κέ. Ἐρυσίπελας ἔξωθεν 2) καταχυθὲν, ἔσω τρέπεσθαι, οὐκ ἀγθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν. —

ΘΕΟΦ. Οὐκ ἐρυσίπελας μόνον, ἀλλὰ καὶ πᾶν ὁτιοῦν ἄλλο ἀπ' ἔσω ἔξω τρεπόμενον, ἀγαθὸν, ἔξωθεν δὲ ἔσω, κακόν· τὸ μὲν ἀγαθὸν, ὅτι εἰς ἄκυρα μόρια ἡ μετάστασις γίγνεται, τὸ δὲ κακὸν, ὅτι ἀπὸ ἀκύρων εἰς κύρια μετήνεκτο ἡ ὕλη.

κϛ'. Ὁκόσοισιν ἐν τοῖσι 3) καύσοισι τρόμοι γίνονται, παρακοπὴ λύει. —

ΘΕΟΦ. Τρεῖς ἀρχαί εἰσιν ἐν τῷ σώματι, ἐγκέφαλος, καρδία καὶ ἧπαρ· καὶ κυριώτατος ὁ ἐγκέφαλος, κυριωτέρα ἡ καρδία, κύριον τὸ ἧπαρ. διὸ καὶ πρῶτος ὁ ἐγκέφαλος τέτακται, δεύτερον ἡ καρδία καὶ τρίτον τὸ ἧπαρ. καὶ ἐκ μὲν τοῦ ἐγκεφάλου τὰ νεῦρα, ἐκ δὲ καρδίας αἱ ἀρτηρίαι καὶ ἐξ ἥπατος αἱ φλέβες. διὸ τὰ μὲν νεῦρα ἐν βάθει ἡ φύσις ὡς τίμια ἔταξε, τὰς δὲ φλέβας ἐπιπολαίως ὡς ἀτίμους, τὰς ἀρτηρίας μέσας. τούτων οὕτως ἐχόντων, ἐὰν ἐπὶ καύσῳ τρόμοι γένωνται, ἡ παρακοπὴ λύει τὸν καῦσον· τὰ γὰρ ποιοῦντα τὸν πυρετὸν αἴτια εἰς τὰ νεῦρα μετέστη, ἐξ ὧν οἱ τρόμοι, ἐξ ὧν καὶ ἡ παρακοπὴ τουτέστιν ἡ παραφροσύνη, τῆς ἀρχῆς συμπασχούσης. πλὴν λύει, ἐπὶ κακῷ δὲ, διὰ τὸ κύρια μόρια δέχεσθαι τὴν ὕλην.

ΔΑΜ. Τὰ γὰρ τὸν καῦσον ποιοῦντα, κατὰ τὸ φλεβῶδες ὑπάρχοντα γένος, ὅταν εἰς τὰ νεῦρα μεταστῇ, τρόμους μὲν πρῶτον ἐργάζεται, συμπασχούσης δὲ τῆς ἀρχῆς, καὶ παραφροσύνας. οὐ κυρίως δὲ λύσις ἡ διὰ παραφροσύνης τοῦ καύσου· ἐκεῖνα γὰρ λύειν φησὶν αὐτὸς, ὅσα ἐπιγινόμενα τὴν κατασκευὴν ἀναιρεῖ τοῦ πάθους, οὐχ ὅσα γεννᾷ ἕτερον, οὐδὲν ἧττον τοῦ πρόσθεν κινδυνῶδες.

---

1) Scholion om. V. a. D. διὸ καί τινές φασι παρεντεθειμένον τοῦτο εἶναι addit A. a. 2) ἐπιχεόμενον ἣν ἔσω τρέπηται V. c. 3) πυρετοῖσι καυσώδεσι V. a. c.

κζ΄. Ὁκόσοι ἔμπυοι, ἢ ὑδρωπικοὶ τέμνονται, ἢ καίονται, ἐκρυέντος τοῦ πύου, ἢ τοῦ ὕδατος ἀθρόως, πάντως ἀπόλλυνται. —

ΘΕΟΦ. 1) Οὗτος θεραπευτικὸς 2) ὁ λόγος καὶ χειρουργοῖς ἁρμόδιος. ἔμπυοί εἰσιν οἱ ἠθροισμένον ἔχοντες πολὺ πῦον εἰς τὰ κενὰ τοῦ θώρακος, ὑδρωπικοὶ δὲ οἱ ἔχοντες ὑγρὸν πολὺ ἐν μέσῳ περιτοναίου καὶ ἐντέρων. οὗτοι οὖν τεμνόμενοι ἢ καιόμενοι, ἐὰν ἀθρόως κενωθῶσιν, ἀπόλλυνται πάντως, διότι αἱ ἀθρόαι μεταβολαὶ σφαλεραὶ, ὡς καταλύουσαι τὴν δύναμιν, ἢ διὰ τὸ τῇ ἀθρόᾳ κενώσει συγκενοῦσθαι καὶ ζωτικὸν καὶ ψυχικὸν πνεῦμα, ἐξ ὧν ὁ θάνατος ἕπεται. διὰ τοῦτο οὖν αὐτοὺς οὐκ ἀθρόως κενοῦν, ἀλλὰ κατὰ μέρος καὶ κατ᾽ ἀναλογίαν τῆς δυνάμεως ὁ Ἱπποκράτης συμβουλεύει.

ΔΑΜ. Ἐμπύους ὀνομάζειν εἴωθε μάλιστα τοὺς ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος εὐρυχωρίᾳ τὸ πῦον ἔχοντας.

κη΄. Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται. —

ΘΕΟΦ. 3) Οὐ ποδαγριῶσι μὲν διὰ τὸ μὴ γίνεσθαι βρασμὸν ἐπ᾽ αὐτῶν τῆς ὕλης καὶ 4) κίνησιν, δι᾽ ἧς 5) ἔοικεν ἐπανίστασθαι τὴν φύσιν καὶ ἀποδιώκειν τὴν ὕλην ἐπὶ τὰ ἀσθενέστερα μόρια, τοὺς πόδας. τοῦτο δὲ γίνεται διὰ τὸ μὴ κεχρῆσθαι αὐτοὺς ἀφροδισίοις. οὐ φαλακροῦνται δὲ, ἐπειδὴ θηλυγενεῖς εἰσι καὶ ἔχουσι πολλὴν

1) COD. ESC. ἔκαιον δὲ τοὺς ἐμπυϊκοὺς ἐν μέσῳ τῶν πλευρῶν τυχὸν ἐν τοῖς μεσοπλευρίοις μυσίν. — τοὺς δὲ ὑδρωπικοὺς ἔτεμνον ἤτοι παρεκέντουν (— ὃ καὶ μέχρι τοῦ παρόντος γίνεται —) ἔγγιστα τοῦ ὀμφαλοῦ ὡς ἐπὶ τὸ ἀριστερὸν μέρος καὶ ὀλίγον παρακάτω· — ὡς γὰρ ὁσημέραι ὁρῶμεν γινόμενα τοὺς ἀφυεῖς τῶν χειρουργῶν ὅτι ἡνίκα καύσωσιν, ἢ παρακεντήσωσιν καὶ θεωρήσωσι πολὺ ὑγρὸν ἢ πῦον κενούμενον, ἀγάλλονται καὶ ἐν ταῖς χερσὶν αὐτῶν ἀπέψυξαν. 2) Inde denuo incipit Ccd. Nanianus. 3) IBID. Cur podagra a pedibus incipit? Natura propellit τὰ περιττώματα εἰς τὰ ἀκυρότερα μόρια καὶ τὰ πόῤῥω. — διὰ τί δὲ ἐν τοῖς ἄρθροις συνίσταται ὁ ῥευματισμὸς τῆς ποδάγρας; — ὅτι νευρώδη εἰσὶ καὶ ὀστιώδη καὶ ψυχρὰ καὶ εὐπαθῆ. 4) κένωσιν V. a. c. κίνησιν N. C. 5) consuevit C. εἴωθεν.

ὑγρότητα πλεονάζουσαν καὶ ἐπιῤῥέουσαν ταῖς θριξὶν, ἐξ ἧς αἱ τρίχες τρέφονται καὶ πληθύνονται. πλὴν ἐν τοῖς ἄρτι χρόνοις καὶ ποδαγριῶσι καὶ φαλακροῦνται διὰ τὸ ἀργὸν τοῦ βίου καὶ τρυφηλὸν τῆς διαίτης καὶ τὴν πολλὴν οἰνοφλυγίαν.

ΔΑΜ. Τοὺς εὐνούχους τὸ πάθος τῆς τῶν ὄρχεων τομῆς ὁμοιοῖ ταῖς γυναιξίν· ὡς γὰρ ἐκείναις φαλάκρωσις οὐ γίνεται διὰ τὸ ψυχρὸν τῆς κράσεως, οὕτως οὐδὲ τοῖς εὐνούχοις. τὸ μέντοι μὴ ποδαγριᾷν αὐτοὺς ἴσως ἐν τοῖς Ἱπποκράτους χρόνοις ἀληθὲς ἦν διὰ τὸ τοῦ βίου κόσμιον αὐτῶν, ἐν δὲ τῷ νῦν οὐκέτι δι' ὑπερβάλλουσαν ἀργίαν καὶ βρῶσιν καὶ πόσιν καὶ ἀκολασίαν τῆς διαίτης· τὸ γὰρ τοιοῦτον γένος τρυφηλὸν καὶ μέθυσον.

κθ'. Γυνὴ οὐ ποδαγριᾷ, 1) ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλίπῃ. —

ΘΕΟΦ. 2) Αἱ γυναῖκες οὐ ποδαγριῶσι, διότι περιουσίαν χυμῶν οὐκ ἔχουσι τῇ κενώσει τῶν καταμηνίων. ἐὰν δὲ συμβῇ αὐταῖς ἐπισχεθῆναι αὐτὰ, ποδαγριῶσι κακοχυμίας πληρούμεναι, ἣν ἡ φύσις ἐπὶ τὰ ἀσθενῆ καὶ ἄκυρα καὶ πόῤῥω μόρια ἀποδιώκει ὡς ἄχρηστον κἀντεῦθεν γίνεται ποδάγρα.

ΔΑΜ. Ἐπὶ τῶν ἀφροδισιαζόντων τείνεται τὸ νευρῶδες γένος ἅπαν, κἀντεῦθεν ἐνασθενοῦν, δεχόμενον τὸ ῥεῦμα, ὑποκειμένης πληθώρας καὶ ἀπεψιῶν, πάσχειν ἀρθῖτιν εἰκός.

λ'. Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιάζειν. —

ΘΕΟΦ. Οἱ παῖδες πρὸ μὲν τοῦ ἀφροδισιάζειν οὐ ποδαγριῶσιν, εἰ καὶ περιττωματικοί εἰσι διὰ τὸ πλημμε-

---

1) πρὸ τοῦ ἀφροδισιάζειν D .ἐκλέλοιπεν αὐτὴν. V. c. 2) COD. ESC. τινὲς δὲ ἐξ αὐτῶν καὶ καθαιρόμεναι ποδαγριῶσιν, οὐ διὰ τὸ καθαίρεσθαι, ἀλλ' ὅτι ἀτακτοῦσι, καὶ διὰ ἀκρατοποσίαν πολλὴν καὶ διὰ τὸ λουτροῖς πολλοῖς κεχρῆσθαι πρὸ πέψεως καὶ μετὰ τροφὴν, καὶ διὰ τὸ ἀκολάστως κεχρῆσθαι συνουσίαις. ὁ δὲ Ἱπποκράτης φησὶν, γυναικὸς τὰ καταμήνια ἢν ἐπισχεθῶσι, πώγωνα φύει.

λὲς τῆς διαίτης, ὅτι οὐ γίνεται αὐτοῖς βρασμὸς ἀποχῇ τῶν ἀφροδισίων. μετὰ δὲ τὸ ἀφροδισιάζειν ποδαγριῶσι τῷ λόγῳ τῦ βρασμῦ καὶ τῆς κινήσεως τῆς ἐκ τῶν ἀφροδισίων, ἅπερ χύσιν ποιοῦντα τῶν ὑλῶν καταβλάπτουσι τοὺς πόδας, εἰ τύχοι αὐτοὺς εὐπαθεῖς εἶναι, καὶ τὴν ποδάγραν ποιοῦσιν.

λα΄. Ὀδύνας ὀφθαλμῶν ἀκρατοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη ἰῆται, ἢ φαρμακοποσίη. —

ΘΕΟΦ. 1) *Ἡ ὀφθαλμία ἢ κατ᾽ ἰδιοπάθειαν γίνεται ἢ κατὰ συμπάθειαν. κατ᾽ ἰδιοπάθειαν μὲν, ὡς ἡνίκα οὖσα ἡ ὕλη παρὰ τὸν ὀφθαλμὸν ἐνοχλεῖ ἢ παχεῖα καὶ δυσεκμόχλευτος ἢ λεπτὴ καὶ δριμεῖα, ἢ ὡς ἡνίκα δυσκρασία ἐστὶ ψιλὴ περὶ αὐτὸν, ἐλαχίστην ἔχουσα ὕλην· κατὰ συμπάθειαν δὲ, ὡς ἡνίκα πάσχει ὁ* 2) *ὀφθαλμὸς ἢ ἐν ἑνὶ μορίῳ τουτέστιν ἐν ἐγκεφάλῳ ἤ τινι τοιούτῳ πλή-*

---

1) COD. ESC. 1.) *παράδοξόν ἐξι καὶ ξένον τὸ εἰπεῖν, ἀκρατοποσίη ὀδύνην ὀφθαλμῶν λύει — ἀλλὰ καὶ τὸ λετρὸν πῶς λύει ὀδύνας ὀφθαλμῶν, παράδοξόν ἐξι* etc. 2)*τὰ συνήθη* sunt venae sectio, *κάθαρσις ἤτοι φαρμακείη.* 3.) *τί δήποτε διαφόρων θεραπειῶν μνημονεύσας ὁ Ἱπποκράτης οὐκ εἶπε καὶ τὴν διάφορον ὀφθαλμίαν, ἀλλὰ παρεσιώπησεν;* 4.) *δεῖ ζητῆσαι, εἰ ὀφθαλμία ἁπλῆ* et *κατὰ πρωτοπάθειάν ἐστιν ἢ σύνθετος καὶ κατὰ συμπάθειαν τοῦ παντὸς σώματος. — καὶ ὅτι ἐστὶν ἁπλῆ ὀφθαλμία καὶ σύνθετος, ὁ Γαληνὸς τοῦτο θαυμασίως ἀποδείκνυσιν ἐν τῷ ὑπομνήματι διά τινος ἱστορίας λέγων, ὅτι ἦν ἐν Ῥώμῃ ἄριστος καὶ θαυμαστὸς περιοδεύτης ὀφθαλμικὸς* qui simplices ophthalmias mirifice curabat, compositas i. e. ex plethora universali oriundas non curabat. 5.) quot *ὀφθαλμίαι.* a) simplex. b) *σύνθετος. α. κατὰ ποιότητα. β. ποσότητα. γ. συναμφότερον.* a) simplex. 1. *ὑπὸ γλίσχρων καὶ παχέων χυμῶν* 2. *ὑπὸ λεπτῶν καὶ δριμέων.* Sunt quinque differentiae: 1) simplex *ὑπὸ γλίσχρων καὶ παχέων χυμῶν* curatur vino, quod rarefacit omnia. — *ἐνταῦθα δὲ γενόμενος ὁ Φιλάγριος θαυμασίως ἐπέστησε καὶ λέγει καὶ τὴν δοκιμασίαν τοῦ οἴνου, ποῖον δεῖ εἶναι τὸν οἶνον τὸν ἐπὶ ταῖς ὀφθαλμίαις παραλαμβανόμενον, — λευκὸν, γλυκὺν, μηδὲ παλαιὸν* et *προσδιορισμὸν* addit, si homo *εὐπαθής ἐστι τὴν κεφαλὴν,* melius *κεκκραμμένον* vinum, non *ἄκρατον.* 2) *διὰ δυσκρασίαν τοῦ παντὸς σώματος.* Cura *λουτροῖς.* 3) Ophthalmiam idiopathicam a tenuibus et acribus humoribus cura *τῇ πυρίᾳ διὰ τοῦ θερμοῦ ὕδατος* 4) *τὴν κατὰ ποσότητα* venaesectione. 5) *τὴν κατὰ ποιότητα* purgatione. 2) *λογισμὸς* V. a.

θος ὕλης ἔχοντι ἢ τῷ παντὶ σώματι ποιότητι ἢ ποσότητι χυμοῦ ἐνοχλουμένῳ ἢ δυσκρασίᾳ. διαφόρων οὖν τῶν αἰτίων τῆς ὀφθαλμίας διάφορος καὶ ἡ θεραπεία· τὴν μὲν γὰρ ποσῷ κατὰ συμπάθειαν λυποῦσαν ὀφθαλμίαν θεραπεύει ἡ φλεβοτομία τῷ λόγῳ τῆς κενώσεως, τὴν δὲ ποιῷ ἡ κάθαρσις· καθαιρομένου γὰρ τοῦ αἰτίου τῆς ὀδύνης, καὶ αὕτη παύεται, τὴν δὲ κατ᾽ ἰδιοπάθειαν λόγῳ πάχους ὕλης ἡ ἀκρατοποσία τῷ λεπτύνειν καὶ θερμαίνειν καὶ διαφορεῖν τὴν ὕλην· τὴν δὲ δριμύτητι ὕλης καὶ δυσκρασίᾳ ἡ πυρία, διὰ τὸ διαφορεῖν τὴν ὕλην ἢ τὸ ὑγραίνειν καὶ εὐκρατοῦν· τὴν δὲ δυσκρασίαν ὅλου τοῦ σώματος τὸ λουτρὸν τῷ αὐτῷ λόγῳ.

ΔΑΜ. Ἐκ πείρας μοι δοκεῖ μᾶλλον, οὐκ ἐκ λόγου τινὸς ὁ Ἱπποκράτης ἐγνωκέναι ταῦτα. οὐδὲν γὰρ θαυμαστὸν, ὀδυνώμενον ἄνθρωπον, ἐπὶ λουτρὸν ὁρμήσαντα παύσασθαι τῆς ὀδύνης ἢ κωλυόμενον οἴνου πίνειν, εἶτα οὐδὲν ὀνινάμενον, ὁρμῆσαι πρὸς αὐτὸν, ὄντα καὶ ἄλλως οἰνόφλυγα, κἄπειτα ὠφεληθῆναι. καθάπερ οὖν καὶ ἄλλα πολλὰ τοῖς ἰατροῖς ἐγράφη ἀδιορίστως, οὕτως καὶ ταῦτα δοκεῖ μοι γεγράφθαι, μήτε λογικῶς εἰπόντος αὐτοῦ τὰς διαθέσεις, μήτε τὰς συνδρομὰς ἐμπειρικῶς. ἐγεγράφει γοῦν ταῦτα τεθεαμένος καὶ πιστεύειν αὐτῷ χρή. οὐ μὴν ὑπό γε τῶν διδασκάλων τινὸς εἶδόν ποτε προσενεχθὲν κάμνοντι τοιοῦτον βοήθημα.

λβ'. Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς. —

ΘΕΟΦ. Ἡ κατὰ φύσιν διάλεκτος γίνεται, ποτὲ μὲν φερομένης τῆς γλώττης πρὸς τοὺς τομεῖς καὶ στηριζομένης εὐτονωτέρας οὔσης, ἄλλοτε δὲ ἀνακλωμένης ὡς ἐπὶ τὰ ἄνω· τῇ γὰρ διαφόρῳ κινήσει τὴν ἐκφώνησιν ποιοῦσα τὴν διάλεκτον ἀποτελεῖ. 1) ὁ τραυλισμὸς δὲ γίνεται, ἐνίοτε βραχυτέρας τοῦ προσήκοντος γεγονυίας τῆς γλώσσης, ὡς μὴ φθάζειν καλῶς στηρίζεσθαι πρὸς τοὺς τομεῖς, ὅπερ σπάνιον, ἐνίοτε δὲ μαλακωτέρας καὶ ὑγροτέρας τὴν

---

1) Sciendum autem est duos fieri affectus circa vocem κλαγγὸν et βράγχον, circa locutionem autem pselum et tranlum C. addit.

κρᾶσιν οὔσης ἢ καθ' αὑτὴν ἢ διὰ τὸν ἐγκέφαλον· τῷ πλήθει γὰρ βαρυνομένη οὐ δύναται ἀνακλασθῆναι κἀντεῦθεν ὁ τραυλισμὸς γίνεται, περὶ οὗ καὶ ὁ λόγος τῷ Ἱπποκράτει. ὅσοι οὖν τραυλοὶ τρόπῳ τοιούτῳ γίνονται, οὗτοι διαῤῥοίαις εὐάλωτοι· τοῦ γὰρ ἐγκεφάλου τοῦ τὴν γλῶτταν ὑγραίνοντος, ἐξ ἧς ὁ τραυλισμὸς γίγνεται, ῥευματίζοντος τὴν γαστέρα, ἡ χρονία διάῤῥοια ἕπεται· καὶ τῆς γλώσσης δὲ ὑγροτέρας οὔσης φύσει, καὶ τὴν κοιλίαν εἰκὸς εἶναι τοιαύτην, ὡς ἂν θατέρου τῶν χιτώνων αὐτῆς κοινοῦ πρὸς τὴν γλῶτταν ὑπάρχοντος, ἧς καὶ οἰκεῖον πάθος ἡ πολυχρόνιος διάῤῥοια.

ΔΑΜ. Ἡ τοῦ ἐγκεφάλου ἄμετρος ὑγρότης ποιεῖ τὸ τραυλίζειν, ἀφ' ἧς ὑγρότητος καὶ αἱ διάῤῥοιαι γίνονται. τοῦ γὰρ ἐγκεφάλου τοιαύτην ἔχοντος κρᾶσιν, ἀποῤῥεῖν μὲν εἰκός ἐστι περιττωμάτων ὑγρῶν πλῆθος, ὑποδέχεσθαι δὲ αὐτὰ καταῤῥέοντα τὴν γαστέρα κἀντεῦθεν τὸν ἄνθρωπον διαῤῥοίαις μακραῖς ἁλίσκεσθαι. τῆς γλώττης δ' αὖ ὑγροτέρας οὔσης σφόδρα φύσει, καὶ τὴν κοιλίαν εἰκὸς εἶναι τοιαύτην, ὡς ἂν θατέρου τῶν χιτώνων αὐτῆς κοινοῦ πρὸς τὴν γλῶσσαν ὑπάρχοντος. ἀσθενοῦς δὲ δι' ὑγρότητα κοιλίας οἰκεῖον πάθημα χρονία διάῤῥοια.

λγ'. Οἱ ὀξυρεγμιώδεες, οὐ πάνυ τι πλευριτικοὶ γίνονται. —

ΘΕΟΦ. Ἡ ὀξυρεγμία γίνεται ἢ διὰ ψύξιν οὖσαν περὶ τὴν γαστέρα ἢ διὰ φλεγματικὸν χυμὸν ἐν αὐτῷ τῷ κύτει τῆς γαστρὸς πλεονάζοντα. τούτου οὖν οὕτως ἔχοντος, εὐλόγως ἐφ' ὧν ἐστιν ἡ ὀξυρεγμία ἤγουν ὀξώδης ἐρυγὴ, οὐ γίνεται πλευρῖτις. ἡ γὰρ πλευριτικὴ διάθεσις ἐπὶ ξανθῇ χολῇ γίνεται, πλὴν σπανίως καὶ διὰ φλεγματικὸν χυμὸν καὶ διὰ τοῦτο εἶπεν ὁ Ἱπποκράτης οὐ πάνυ τι.

ΔΑΜ. Τοὺς ὀξεῖαν ἔχοντας ἐρυγὴν σπανίως φησὶν ἁλίσκεσθαι πλευρίτισιν· τὸ γὰρ οὐ πάνυ τι τῶν σπανίως γινομένων δηλωτικόν ἐστιν, οὐ τῶν οὐδόλως, ὡς ἔνιοι τῶν ἐξηγησαμένων.

λδ'. Ὁκόσοι φαλακροὶ, τουτέοισι κιρσοὶ μεγάλοι οὐ γί-

νονται, ὁκόσοισι δὲ ὢν φαλακροῖσιν ἐοῦσι κιρσοὶ μεγάλοι ἐπιγένωνται, πάλιν οὗτοι γίνονται δασέες. —

ΘΕΟΦ. Φαλακροὺς λέγει νῦν οὐ τοὺς κυρίως, ἀλλὰ τοὺς διὰ πάθους ἐκπτώσεως τριχῶν γινομένους, οἷον τὺς δι' ἀλωπεκίαν ἢ ὀφίασιν. οὗτοι δὲ ἔχουσι ταῦτα τὰ πάθη διὰ περιουσίαν μοχθηρῶν χυμῶν πλεοναζόντων ἄνω περὶ τὴν κεφαλὴν, οἳ τῇ ποιότητι ἐκτέμνουσι τὰς ῥίζας καὶ ταῦτα ποιοῦσι. ὅσοι οὖν φαλακροὶ τούτῳ τῷ τρόπῳ, κιρσοὺς μεγάλους τουτέστιν ἀνευρύνσεις φλεβῶν τῶν ἐν τοῖς μηροῖς καὶ σκέλεσιν οὐκ ἔχουσι διὰ τὸ ἄνω πλεονάζειν τὸν χυμόν. 1) *εἰ μέντοι αὐτοῖς ποτε ἐπιφανῶσι κιρσοὶ μεγάλοι, πάλιν τριχοφυοῦσι διὰ τὸ ἀπαλλαγῆναι τῆς κακοχυμίας τὰ περὶ τὴν κεφαλὴν καὶ μεταστῆναι τὴν ὕλην κάτω.*

ΔΑΜ. Τὴν ὑπὸ τῶν ἰατρῶν καλουμένην μαδάρωσιν ὀνομάζει φαλάκρωσιν· ἐκείνη γὰρ ὑπὸ μοχθηρῶν χυμῶν ἐστι γινομένη, καθάπερ αἵ τε ἀλωπεκίαι καὶ αἱ ὀφιάσεις ὀνομαζόμεναι, μεταστάντων εἰς τὰ σκέλη τῶν φαύλων χυμῶν, ἐργάζεσθαι δύνανται κιρσοὺς, ἀνακτήσασθαι δὲ τὰς τρίχας. εἰ γὰρ ἔμπροσθεν ὑπὸ μοχθηρῶν χυμῶν φθειρομένων αὐταῖς τῶν ῥιζῶν, ἡ διαφορὰ συνέβαινεν, εἰκότως νῦν ἐπὶ τῇ μεταστάσει τῶν χυμῶν εἰς τὴν κατὰ φύσιν ἐπανήξουσι κατάστασιν.

λε'. Τοῖσι ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακὸν, τὸ δὲ προγεγονέναι, ἀγαθόν. —

ΘΕΟΦ. Καταρχὰς μὲν τῶν ὑδέρων βὴξ γενομένη οὐδὲν φαῦλον ποιεῖ, ἐπειδὴ οὐ πολλή ἐστιν ἡ 2) *διάστασις, ὕστερον δὲ ἐπιγενομένη καὶ μέγα φαῦλον, διότι δηλοῖ εἰς τοσοῦτον αὐξηθῆναι πλῆθος τὴν ὑδατώδη ὑγρότητα, ὡς ἤδη καὶ τὴν τραχεῖαν ἀρτηρίαν καταλαμβάνειν· διὸ βὴξ καὶ κίνδυνος πνιγῆναι τὸν ἄνθρωπον· ἢ πνευμάτων πολλῶν* 3) *περιουσίαν, ἐξ ὧν τῶν ἀναπνευστικῶν θλιβομένων μορίων, ἡ βὴξ γίνεται.*

---

1) Om. quae sequuntur V. c. 2) *διάτασις* V. a. Melius. 3) sc. *δηλοῖ*.

ΔΑΜ. *Αὔξησιν γὰρ τῆς ὑδατώδους ὑγρότητος δηλοῖ ἡ βήξ.*

λς'. Δυσουρίην φλεβοτομίη λύει· τάμνειν δὲ 1) *τὰς ἔσω.* —

ΘΕΟΦ. 2) *Φλεβοτομίαν ἐνταῦθα λέγει καταχρηστικῶς τὴν σφυροτομίαν, εἴσω δὲ φλέβα τὴν οὖσαν κατ' εὐθυωρίαν τῶν νεφρῶν. αὕτη οὖν τεμνομένη διὰ φλεβοτόμου, δυσουρίαν λύει τὴν διὰ φλεγμονὴν δηλονότι γινομένην, διότι κένωσιν τοῦ αἰτίου τοῦ τὴν φλεγμονὴν ποιοῦντος ποιεῖ κἀντεῦθεν ἀπαλλαττομένης τῆς φλεγμονῆς, ἀπαλλάττεται καὶ ἡ δυσουρία. τὰς γὰρ ἄλλας δυσουρίας τὰς δι' ἀσθένειαν τῆς κύστεως ἢ σπασμώδη διάθεσιν τοῦ περισφίγγοντος μυὸς ἢ δι' ἔμφραξιν λίθου, οὐδαμῶς λύει.*

ΔΑΜ. *Τὰς εἴσω τῶν χειρῶν φλέβας φησίν.*

λζ'. Ὑπὸ κυνάγχης ἐχομένῳ, οἰδήματα γενέσθαι ἐν τῷ τραχήλῳ ἔξω, ἀγαθόν. —

ΘΕΟΦ. *Ἡ αἰτία πρόδηλος· διότι ἀπὸ κυρίων τουτέστι ἀπὸ τῶν διὰ βάθους εἰς ἄκυρα μετέστη ἡ ὕλη ἤγουν πρὸς τὸ δέρμα.*

ΔΑΜ. *Ἀπὸ γὰρ τοῦ βάθους ἐπὶ τὸ δέρμα μεθίσταται.*

λη'. Ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον· θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως· μὴ θεραπευόμενοι δὲ πολὺν χρόνον διατελέουσι. —

ΘΕΟΦ. 3) *Καρκῖνός ἐστι σκιῤῥώδης ὄγκος, οὐ κυ-*

---

1) *τὴν εἴσω φλέβα* V. a. c. 2) COD. ESC. *ὅθεν τινὰ τῶν ἀντιγράφων μετὰ καὶ τοῦ καὶ συνδέσμου ἔχουσι τουτέστιν ὅτι δυσουρίαν καὶ φλεβοτομίη λύει, ὡς ἂν ὅτι τἄλλα πάθη τῆς δυσουρίας ἑτέρου τρόπου θεραπείας δέονται.* 3) IBID. *ὅτι ἐλέφας ἐν τῷ παντὶ σώματι, οὗτος καρκῖνος ἐν ἑνὶ μορίῳ. καρκῖνος δὲ λέγεται ἢ διὰ τὸ πληκτικὸν τοῦ ζώου ἢ διὰ τὸ ἐοικέναι τὰς ἐν ἐκείνῳ τῷ μορίῳ τεταγμένας φλέβας πλεκτάναις καθάπερ τοὺς πόδας τῶν καρκίνων. — καρκίνους λέ-*

ρίως μέντοι· γίνεται δὲ ἢ ὑπὸ μελαίνης χολῆς δυναστευέσης ἔν τινι μορίῳ ἢ ὑπὸ ξανθῆς χολῆς ὑπερωπτημένης. ἀλλὰ τούτων οἱ μὲν φανεροί εἰσι τουτέστιν ἐπιπολεῖς, οἱ δὲ κρυπτοὶ τουτέστι διὰ βάθους, οὓς ὁ Ἱπποκράτης τὸν ἰατρὸν παραινεῖ μὴ θεραπεύειν. ἐὰν γὰρ θεραπείας τῆς ἀκριβοῦς τύχωσι, ταχέως ἀπόλλυνται, διότι αὐτῶν θεραπευομένων τομῇ ἢ καύσει τῇ μέχρι βάθους τῶν 1) ῥιζῶν, πολλὰ καὶ ἕτερα ἐπακολουθοῦσι συμπτώματα καὶ ἡ δύναμις οὐκ ἐξαρκεῖ. εἰ μέντοι ἀθεράπευτοι μένωσι τουτέστι ὀλιγοθεράπευτοι, μόνον τὰ πραΰντικὰ δεχόμενοι παρὰ τοῦ ἰατροῦ, πολὺν χρόνον διατελοῦσι τῷ καταπραΰνεσθαι τὴν θηριώδη χολήν.

ΔΑΜ. Κρυπτοὺς καρκίνους λέγει ἢ τοὺς χωρὶς ἑλκώσεως ἢ τοὺς μὴ φαινομένους, ὡς διὰ βάθους κειμένους.

λθ'. Σπασμοὶ γίνονται ἢ ὑπὸ πληρώσιος, ἢ ὑπὸ κενώσιος. οὕτω δὲ γίνεται καὶ λυγμός. —

ΘΕΟΦ. Ὑπὸ μὲν πληρώσεως οὕτως γίνεται ὁ σπασμός· πληροῦται τὸ νευρῶδες γένος παχέων καὶ γλίσχρων χυμῶν, καὶ πληρούμενον τέταται καὶ τῇ τάσει σπᾶται καθάπερ αἱ χορδαί· ὑπὸ κενώσεως δὲ τῷ ξηραίνεσθαι καὶ συνάγεσθαι πρὸς ἑαυτό, ὡς 2) οἱ ἐν πυρὶ θερμανθέντες ἱμάντες· τὸν αὐτὸν τρόπον καὶ ὁ λυγμός· οὔπω γάρ ἐστὶ λυγμὸς εἰ μὴ σπασμώδης διάθεσις ἐν τῷ στομάχῳ συνισταμένη.

ΔΑΜ. Ὁ μὲν σπασμός ἐστι κίνησις ἀπροαίρετος ἐν προαιρετικοῖς τοῦ ζώε μορίοις γινομένη, ὃς γίνεται, ἐπὶ τὰς οἰκείας κεφαλὰς σπωμένων τῶν μυῶν· ὁ δὲ λυγμός, στομάχου πάθος, οἷον σπασμὸς, κίνησις αὐτοῦ ὢν, ὁμοία τῇ κατὰ τοὺς ἐμέτους, ἐπιτεταμένη δὲ καὶ σφοδροτέρα ἐκείνης· ἐν γὰρ τοῖς ἐμέτοις τὰ κατὰ τὴν εὐρυχωρίαν καὶ

γει τοὺς γινομένους κατὰ τὸν οὐρανίσκον καὶ ἐν τοῖς μαστοῖς καὶ ἐν τῷ τραχήλῳ τῆς μήτρας. — θεραπείη διττή, ἡ μὲν παρηγορική, ἡ δὲ ἀναστοιχειωτικὴ καὶ ἀναιρετικὴ τοῦ αἰτίου.

1) ἰνῶν V. a. 2) οἱ ἐν πυρετοῖς θ. ἐμοῦσιν V. a.

τὸ κύτος ἐφίεται διώσασθαι ἡ φύσις, ἐν δὲ τοῖς λυγμοῖς τὰ διὰ βάθους ἀναπεπεμμένα τῷ στόματι τῆς γαστρὸς ἢ καὶ τῷ σώματι ταύτης.

μ'. Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνος γίνεται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον. —

ΘΕΟΦ. Πόνον καλεῖ τὴν ὀδύνην, ὑποχόνδριον δὲ καθόλου πάντα τὰ ὑποχόνδρια. γίνεται δὲ ἐν αὐτοῖς ἡ ὀδύνη ἢ διὰ φλεγμονὴν ἢ δι᾽ ἐρυσίπελας ἢ δι᾽ ἕρπητας καὶ τὰ ὅμοια, καὶ ἢ διὰ ψυχρὰν δυσκρασίαν ἢ διὰ πάχος χυμῶν ἢ πνευμάτων παχέων περιουσίαν. ἐὰν οὖν ἄτερ φλεγμονῆς καὶ τῶν ὁμοίων ὁ πόνος γένηται περὶ τὰ ὑποχόνδρια, ἀλλὰ τυχὸν διὰ πνεύματα καὶ πάχος ὕλης καὶ ψυχρὰν δυσκρασίαν, ὁ πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον τῷ σβεννύειν τὴν δυσκρασίαν καὶ τῷ διαλύειν τὸν παχὺν χυμὸν, τῷ λεπτύνειν καὶ διαφορεῖν τὰ φυσώδη πνεύματα.

ΔΑΜ. Πνεύματι γὰρ φυσώδει ἢ ἐμφράξει γίνεται πόνος, ἃ ἡ τοῦ πυρετοῦ θερμασία ἰᾶσθαι πέφυκε, τὰ μὲν τέμνουσα καὶ λεπτύνουσα καὶ διαφοροῦσα, τὰ δὲ εἰς ὁμαλότητα κράσεως ἄγουσα.

μα'. Ὁκόσοισι διάπυόν τι ἐν τῷ σώματι ἐὸν μὴ ἀποσημαίνει, τουτέοισιν ἢ διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει. —

ΘΕΟΦ. Περὶ ἀποστημάτων νῦν ὁ λόγος. ἐὰν ἀπόστημα μὴ ἀποσημαίνῃ ἤγουν ἀποκορυφοῦται, δηλοῖ ἢ παχύτητα τοῦ πύου ἢ παχύτητα δέρματος· τὸ γὰρ πάθος, ὡς ἂν ἐν βάθει κείμενον, οὐδέποτε ἀποκορυφοῦται καὶ τὸ δέρμα, εἰ τύχοι πάχος ἔχειν καὶ εἶναι στεγανὸν, ὡς ἐν τῇ πτέρνῃ καὶ ἐν ἄκρᾳ χειρὶ, οὐκ ἐᾷ αὐτὸ ἀποκορυφωθῆναι. ἐὰν οὖν πῦόν ἐστιν ἐν τῷ σώματι ἤτοι ἀπόστημα καὶ οὐκ ἀποκορυφοῦται, διὰ ταύτας τὰς αἰτίας οὐκ ἀποκορυφοῦται. γνώσῃ δὲ αὐτὸ, ἡνίκα πυοποιεῖται ἔκ τε ἀνωμάλου ῥίγους καὶ ἀτάκτου πυρετοῦ. χειρουργοῖς

οὖν ὁ λόγος ἁρμόδιος, ἵνα κατὰ λόγον τὴν χειρουργίαν 1) ποιῶσιν.

ΔΑΜ. Ἔστιν ὅτε καὶ διὰ πάχος τῶν ἀμφοτέρων οὐκ ἀποκορυφοῦται.

μβ'. Ἐν τοῖσιν ἰκτερικοῖσι ἢν τὸ ἧπαρ σκληρὸν γένηται, πονηρόν. —

ΘΕΟΦ. 2) Φλεγμονῆς οὔσης ἐν τῷ ἥπατι, δυσκρασία γίνεται περὶ αὐτὸ, ἐξ ἧς χολὴ γεννᾶται, ἣ καὶ ἀναφερομένη παρ' ὅλον τὸ σῶμα τὸν ἴκτερον ἀποτελεῖ· εἶτα τοῦ ἰκτέρου διαμένοντος, ἐὰν συμβῇ τῷ χρόνῳ συναχθῆναι παχὺν χυμὸν κἀκ τούτου σκληρὸν γενέσθαι τὸ ἧπαρ, κακὸν διὰ τὸ ἀνάγκῃ καχεξίαν ἢ ὕδρωπα ἐπιγενέσθαι, κακοπραγοῦντος αὐτοῦ καὶ μὴ ἐξαιματοῦντος τὰς τροφάς.

ΔΑΜ. Ἐνδείκνυται γὰρ ἢ φλεγμονὴν ἢ σκίῤῥον· ἐγχωρεῖ γὰρ διὰ μόνην ἔμφραξιν συστῆναι τὸν ἴκτερον ἢ κριτικῶς ἀπωσθῆναι εἰς τὸ δέρμα τὴν χολήν.

μγ'. Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισι, γινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται. —

ΘΕΟΦ. Σπληνώδεις εἰσὶν οἱ ἔχοντες ὄγκον ἐκ μελαγχολικοῦ χυμοῦ περὶ τὸν σπλῆνα. οὗτοι οὖν ἐὰν, κενουμένου φυσικῶς τοῦ αἰτίου, ἁλῶσι δυσεντερίᾳ τῇ ζέσει τοῦ χυμοῦ συντόμῳ μὲν, καλὸν, μακρᾷ δὲ, οὐκ ἀγαθόν. ὕδρωψ γὰρ ἐπιγίνεται αὐτοῖς ἢ λειεντερία καὶ ἀπόλλυνται, ὕδρωψ μὲν διὰ τὸ ἐξασθενεῖν τὸ ἧπαρ τῇ πολλῇ κενώσει, συγκενουμένου τοῦ ἐμφύτου θερμοῦ. πολλάκις δὲ καὶ ἡ γαστὴρ ἐξασθενεῖ τῷ αὐτῷ λόγῳ καὶ λειεντερία γίνεται.

ΔΑΜ. Ὅσοι σπλῆνα ἔχουσι χρονίως ἐσκληρυμένον, τούτοις ἐπιγινομένη δυσεντερίη λύει τὴν διάθεσιν, ὅταν λόγῳ μεταστάσεως καὶ κενώσεως τῶν ἐμπεπλασμένων τῷ

---

1) ἀποτελῶσιν V. a. N. 2) COD. ESC. Ἰστέον ὅτι ἴκτερον ἐνταῦθα τὸν διὰ φλεγμονὴν τοῦ ἥπατος γινόμενον λέγει. Totum hoc scholion.

σπληνὶ παχέων μελαγχολικῶν χυμῶν ἀποτελεσθῇ· ἀλλ᾽ ἐπεὶ πολλάκις ἐκτεινόμεναι αἱ τοιαῦται κενώσεις τοὺς κάμνοντας βλάπτουσι, δεόντως ὁ Ἱπποκράτης ἐδήλωσε τῆς ἀμετρίας τὸ κατάντημα· κακωθέντων γὰρ τῶν ἐντέρων ὑπὸ τῆς ὁδοῦ τῶν μοχθηρῶν χυμῶν, ἥ τε δύναμις κάμνει καὶ ἡ συμμετρία τῆς ἐμφύτου θερμασίας ἀπόλλυται. διὸ καὶ λειεντερία μὲν ἕπεται τῇ τῶν ἐντέρων κακώσει, ὕδερος δὲ κατὰ συμπάθειαν ἥπατος καὶ σπληνὸς καὶ φλεβῶν.

μδ΄. Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίνονται, οἱ τοιοῦτοι ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ, πυρετοῦ ἐπιγενομένου, ἅλις τὸ οὖρον ῥυῇ. —

ΘΕΟΦ. 1) Τινὲς ἐπὶ εἰλεῷ λέγουσι γίνεσθαι τὴν στραγγουρίαν οὕτως· ἐμφράττονται τὰ 2) λεπτὰ ἔντερα ὑπὸ παχέων καὶ γλίσχρων χυμῶν καὶ ἐμφραττομένων αὐτῶν, οὐ γίνεται ἀνάδοσις πρὸς τὸ ἧπαρ, ἀναδόσεως δὲ μὴ γενομένης, οὐδὲ γένεσις γίνεται τῶν χυμῶν, λοιπὸν οὐδὲ διάκρισις οὔρων. ἐντεῦθεν ὀλίγιστον φέρεται στραγγοειδῶς ὅπερ ἐστὶ στραγγουρία ὃ καὶ χαλεπόν. ἐν ἑπτὰ γὰρ ἡμέραις ἀπόλλυται, ἐὰν μὴ πυρετὸς ἐπιγένηται. ἐὰν γὰρ ἐπιγένηται, χύσιν ποιεῖ τῆς ὕλης καὶ λεπτύνει αὐτὴν καὶ τέμνει καὶ ἐκφράττει τὰ ἐμφραγέντα μόρια καὶ τὰ οὖρα αὐτάρκως ἐκκρίνεται, ὅπερ ἀγαθόν. οὕτως μὲν ἔφησάν τινες, ὁ δὲ Ἱπποκράτης ἐπὶ ϛραγ-

---

1) Στραγγουρία ἐπιγίνεται εἰλεῷ, οὐκ εἰλεὸς στραγγουρίᾳ· ὁ δὲ ἀφορισμὸς ἀντιστρέφει δι᾽ αἰτίαι τοιάνδε· ἐπειδὴ ἡ ἐποχὴ τῆς γαστρὸς βραδέως διαγινώσκεται, ἡ δὲ τοῦ οὔρου συντόμως. καὶ γάρ τισι μὲν ἡ γαστὴρ ἐπέχεται, ἀλλ᾽ οὐχὶ καὶ τὸ οὖρον. διὰ τοῦτο τὸ μὲν ἐπὶ γαστρὶ πάθος βραδύτερον ἐξελέγχεται, τὸ δὲ ἐπὶ τοῦ οὔρου ταχέως. καὶ δὴ περὶ τὴν γαστέρα πάθος εἰλεοῦ συμβὰν μετέδωκε καὶ τῇ κύστει. καὶ τοῦ μὲν εἰλεοῦ ἔτι μὴ διαγνωσθέντος, προέλαβεν ἡ ἐκ τοῦ οὔρου διάγνωσις διὰ τῆς στραγγουρίας. ὤφειλεν οὖν ῥηθῆναι ὁ ἀφορισμὸς οὕτως· ὁκόσοισιν ἐξ εἰλεοῦ στραγγουρία ἐπιγίνεται· ἀλλ᾽ ἐπειδὴ ἡ στραγγουρία πρὸ τοῦ εἰλεοῦ ἀνεφάνη, εἰκότως ἔφησεν ὁ Ἱπποκράτης, ἐκ στραγγουρίας εἰλεὸς ἐπιγίνεται διὰ τὸ εὐφώρατον. τὸ δὲ στραγγουρίαν ἐπὶ εἰλεῷ συμβαίνει γίνεσθαι οὕτως· ἐμφράττονται etc. V. b. A. b. COD ESC. Τὸν παρόντα ἀφορισμὸν ἐκβάλλει ὁ Γαληνὸς, ὁ μέντοι ἐξηγητὴς τοῦ παρόντος βιβλίου λέγει ὅτι πολλὰ αἴτιά εἰσι τὰ ποιοῦντα τὸν εἰλεὸν, ὧν τὸ κεφάλαιον ἐστιν ἡ ἔμφραξις. 2) crassa C.

γουρία τὸν εἰλεὸν ὑποτίθεται, καὶ καλῶς· καὶ γὰρ πρῶτον εἰδοποιεῖται ὑπὸ τοῦ εἰλεοῦ· ἐνδέχεται γὰρ μέχρι τετάρτης καὶ πέμπτης ἡμέρας ἐν τοῖς ἐντέροις εἶναι τὴν ἔμφραξιν καὶ μὴ εἶναι διαφανῆ τὸν εἰλεὸν, ἡ δὲ στραγγουρία ἀπὸ πρώτης ἡμέρας φαίνεται.

ΔΑΜ. Φλεγμαινούσης γὰρ τῆς κύστεως, στενοχωροῦνται τὰ ἔντερα καὶ εὐθὺς ὁ εἰλεὸς γίνεται.

με΄. Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται ἢ μακρότερον χρόνον ἴσχει, ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι. —

ΘΕΟΦ. Τὸ ἕλκος χρόνιον γίνεται ὡς ἐνιαύσιον ἢ μακρότερον χρόνον ἴσχει ἢ δι' ὕλην ὑγρὰν ἐν αὐτῷ συῤῥέεσαν ἢ διὰ δυσκρασίαν ἢ διὰ νομήν τινα καὶ σῆψιν ἐν αὐτῷ γεγονυῖαν, ἣ ȣ̓ μόνον τῶν σαρκῶν ἅπτεται, ἀλλὰ διήκει καὶ μέχρις αὐτῶν τῶν ὀστῶν. ἐὰν ȣ̓ν τȣ̃το συμβῇ, τῇ ἐμφιλοχωρέσῃ σήψει ἀνάγκη ὀστέον ἀφίστασθαι ἤτοι λεπίδας ὀστοῦ καὶ τὰς οὐλὰς κοίλας γενέσθαι διὰ τὸ ἀποσταθὲν ὀστοῦν. καὶ τὸ τηνικαῦτα ἄρχονται θεραπεύεσθαι σαρκούμενα καὶ ἀπελούμενα. χρόνια δὲ ἕλκη εἰσὶ τὰ φαγεδαινικὰ, τὰ Τηλέφια, τὰ Χειρώνεια. καὶ φαγεδαινικὰ μὲν εἴρηται διὰ τὸ βιβρώσκειν, Τηλέφια δὲ ἀπὸ τοῦ πεπονθότος, Χειρώνεια δὲ ἀπὸ τοῦ θεραπεύσαντος.

ΔΑΜ. Ἕλκη φησὶ τὰ ἀπὸ φαγεδαίνης καὶ ἄνθρακος καὶ ἕρπητος καὶ τῶν ἄλλων.

μϛ΄. Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος, ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης, ἀπόλλυνται. —

ΘΕΟΦ. Ἡ ῥάχις ἐξίσταται ἢ ἐπὶ τὰ ὀπίσω καὶ καλεῖται κύρτωσις ἢ κύφωσις, ἢ ἐπὶ τὰ ἔμπροσθεν καὶ λόρδωσις ὀνομάζεται, ἢ ἐπὶ τὰ πλάγια καὶ σκολίωσις προσαγορεύεται. ἀλλ' αὕτη ἡ ἔκστασις ἢ ἐπὶ προκαταρκτικῇ αἰτίᾳ ἢ ἐπὶ προηγουμένῃ γίνεται, καὶ ἐπὶ προκαταρκτικῇ μὲν, ὡς ἐὰν πληγῇ ὑπὸ λίθου ἢ ξύλου, ἐπὶ προηγουμένῃ δὲ, ὅταν ἐν τοῖς συνδέσμοις τῶν σπονδύλων φῦμα ἄπεπτον γεννηθῇ ἢ φλεγμονή. τότε γὰρ εἰς πλάτος ἐπιδόσεως αὐτῶν γινομένης, ἕλκονται ὡς ἐπὶ τὰ ἔσω οἱ σπόν-

δυλοι ἢ ἐπὶ τὰ ἔξω τῇ στενοχωρίᾳ. ὑποκείσθω οὖν φῦμα περὶ τοὺς συνδέσμους τῶν σπονδύλων· ἐκ τούτου ἕλκονται ὡς ἐπὶ τὰ ἔσω οἱ σπόνδυλοι, ὅθεν στενοχωρεῖται ὁ θώραξ καὶ δύσπνοια ἐπακολουθεῖ, ἥτις ἆσθμα λέγεται· γίνεται οὖν τὸ ἆσθμα ἐπὶ τῇ μεταστάσει τῶν σπονδύλων, πλὴν ἐὰν παχεῖα ᾖ ἡ ὕλη τοῦ φύματος· εἰ μέντοι ὁπωσοῦν λεπτὴ εἴη, ὡς ἐνεχθῆναι μέρος ἐξ αὐτῆς παρὰ τὸν θώρακα, βὴξ γίνεται, ἐκκρινομένου διὰ τῆς τραχείας ἀρτηρίας. ὅσοι οὖν ὑβοὶ ἤτοι κυρτοὶ πρὸ τῆς ἥβης γίνονται δι᾽ ἀποστήματος, ἐξ ἄσθματος ἢ βηχὸς ἀπόλλυνται, ὅτι αναύξητα μένουσιν ἐν αὐτοῖς τὰ μόρια. ἀβαθὴς δὲ αὐτοῖς ὁ θώραξ γίνεται, καὶ οὐκ ἔστιν ἐμφύτου θερμοῦ περιουσία τούτοις καὶ διὰ τοῦτο ἀπόλλυνται.

ΔΑΜ. Τοῦ πνεύμονος γὰρ ἅμα τῇ καρδίᾳ αὐξάνοντος καὶ τοῦ θώρακος στενουμένου τοῖς ἀπέπτοις ὄγκοις, στενοχωρία περὶ τὴν ἀναπνοὴν μεγάλη ἕπεται, ὥστε φθαρῆναι τὸν κάμνοντα.

μζ΄. Ὀκόσοισι φλεβοτομίη, ἢ φαρμακείη ξυμφέρει, τουτέοις τοῦ ἦρος φλεβοτομέειν, ἢ φαρμακεύειν χρή. —

ΘΕΟΦ. Προφυλακτικὸς ὁ λόγος καὶ ἐπὶ τῶν ἐπισφαλῶς ὑγιαινόντων εἴρηται· ἀλλ᾽ οὗτοι οἱ ἐπισφαλῶς ὑγιαίνοντες ἢ ποσότητι χυμῶν τοῦτο πάσχουσιν, οἷς καὶ φλεβοτομεῖσθαι συμφέρει διὰ τὸ μὴ πληθωρικαῖς ληφθῆναι νόσοις, ἢ ποιότητι, οὓς καθαίρεσθαι χρὴ διὰ τὸ μὴ διαφόροις περιπεσεῖν πάθεσιν. ὅσοις οὖν τῶν τοιούτων ἢ φλεβοτομία ἢ φαρμακεία συμφέρει, τούτους χρὴ τῷ ἔαρι φλεβοτομεῖν ἢ καθαίρειν, ἐπειδὴ τότε οὐ θερμασία ἐστὶν ἡ διάλυσιν τῶν σωμάτων ἐργαζομένη, οὔτε ψύξις τὴν δῆξιν ἐπιφέρουσα τῶν χυμῶν, οὐκ ἀνωμαλία ταράττουσα τὰς δυνάμεις, ἀλλὰ μᾶλλον εὐκρασία.

ΔΑΜ. Προεκκαθαίρεται γὰρ ἡ ἐνοῦσα πληθώρα καὶ κακοχυμία αὐτοῖς.

μη΄. Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν. —

ΘΕΟΦ. 1) Σπληνώδεις λέγει τοὺς σπλῆνα ἐσκιῤῥωμένον ἔχοντας, οἷς ἡ δυσεντερία ἐπιγενομένη ἀγαθόν ἐστι τῷ λόγῳ τῆς μεταστάσεως καὶ κενώσεως τῶν ἐμπεπλασμένων τῷ σπληνὶ παχέων τε καὶ μελαγχολικῶν χυμῶν.

μθ'. Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.—

ΘΕΟΦ. Τῆς ποδαγρικῆς διαθέσεως ὁρίζει νῦν τὸν ἔσχατον καιρὸν λέγων, ὅτι ἐν τεσσαράκοντα ἡμέραις παύεται ἡ φλεγμονὴ καὶ ἀποκαθίσταται· καὶ γὰρ εἰ λεπτὸν εἴη τὸ ῥυὲν, καὶ ταχύτερον ἀποφλεγμαίνουσι, εἰ δὲ παχὺ καὶ γλίσχρον, ἐν πλείονι χρόνῳ· πλὴν οὐ πόῤῥω τῶν τεσσαράκοντα ἡμερῶν ἀποφλεγμαίνουσι τὸ μήκιστον, διότι τὰ ἐν τοῖς ἄρθροις ὑγρὰ διὰ τῶν περιεχόντων αὐτὰ συνδέσμων ἀτμοειδῶς ἐκκενωθῆναι χρὴ καὶ τὰ τοῖς συνδέσμοις αὐτοῖς ἐμπεσόντα. ὃν γὰρ τρόπον μόγις εἰς αὐτὰ παρήρχετό τι τῆς ἔξωθεν ὑγρότητος, τὸν αὐτὸν τρόπον καὶ μόγις μεθίσταται.

ΔΑΜ. Ἡ τῶν ποδαγρῶν φλεγμονὴ, ῥεύματος κατασκήπτοντος εἰς τὰ ἄθρα, γίνεται. δέχονται δὲ τὸ ῥεῦμα πρῶτον μὲν αἱ χῶραι τῶν διαρθρώσεων, ἐφεξῆς δὲ τὰ πέριξ πάντα μέχρι τοῦ δέρματος. πληρουμένων δὲ τῶν διαρθρώσεων, ἀνάγκη τοὺς περικειμένους αὐταῖς ἔξωθεν κύκλῳ συνδέσμους τείνεσθαι, τὰ μέντοι νεῦρα καὶ τοὺς τένοντας οὐκ εἰκὸς φλεγμαίνειν αὐτοῖς, ἀλλὰ μόνῳ τῷ συνεκτείνεσθαι ταῖς διαρθρώσεσιν ὀδυνᾶσθαι. δῆλον δὲ ἐκ τοῦ μηδέποτε ὁρᾶσθαι σπασθέντα ποδαγρὸν, ὅπερ εἴωθεν ἕπεσθαι συνεχέστατα νεύρων τε καὶ τενόντων φλεγμοναῖς. ὁ γοῦν Ἱπποκράτης διὰ τὴν σκληρότητα τῶν δεξαμένων τὸ ῥεῦμα συνδέσμων ὅρον τῶν τοιούτων τὴν μ' ἔθετο.

ν'. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγενέσθαι. —

ΘΕΟΦ. Διακοπὴν λέγει τὴν διὰ βάθους τομήν. ἐὰν

1) COD. ESC. Totum scholion hoc: εἴρηται ἡ ἔννοια τοῦ παρόντος ἀφορισμοῦ ἐν τῷ ὅσαι σπληνώδεες ὑπὸ δυσεντερίης.

οὖν ὁ ἐγκέφαλος ὑπό τινος προκαταρκτικῆς αἰτίας διὰ βάθους τμηθῇ, ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγενέσθαι, πυρετὸν μὲν διὰ τὸ φλεγμαίνειν αὐτὸν, κύριον ὄντα μόριον, χολῆς δὲ ἔμετον, ἐπειδὴ παθούσης τῆς τῶν νεύρων ἀρχῆς, πάντα τὰ μόρια καὶ μάλιστα τὸ στόμα τῆς γαστρὸς, ὡς νεῦρα ἔχον πολλὰ ἐν ἑαυτῷ, κατὰ φύσιν κλονεῖται καὶ ταράττεται καὶ ἐπὶ τῇ 1) κινήσει παντοίων χυμῶν προσκαλεῖται σύῤῥοιαν καὶ ὡς λεπτότερα τὰ χολώδη προτρέχουσι.

ΔΑΜ. Πυρεταίνουσιν, ἐγκεφάλου διακοπέντος, τῷ κοινῷ λόγῳ· ἐπὶ γὰρ παντὸς κυρίου μορίου φλεγμονῆς πυρετὸς ἕπεται, ὁ δὲ τῆς χολῆς ἔμετος, συμπασχούσης τῆς γαστρὸς, καὶ μάλιστα τοῦ στόματος αὐτῆς, εἰς ὃ καταπέφυκεν ἐξ ἐγκεφάλου συζυγία τις ἀξιόλογος νεύρων, ὃ ἀσθενοῦν τῇ συμπαθείᾳ δέχεται τὸ χολῶδες περίττωμα ἐκ τῶν πέριξ.

να΄. νβ΄. Ὁκόσοισι ὑγιαίνουσιν ἐξαίφνης ὀδύναι γίνονται ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ. — Σκοπέειν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσι ὕπνοισι· ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, ξυμβαλλομένων τῶν βλεφάρων, μὴ ἐκ διαῤῥοίης ἐόντι, ἢ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες σφόδρα. —

ΘΕΟΦ. Περὶ ἀποπληξίας διαλέγεται καὶ ταύτης λέγει τὴν ἀρχὴν, τὴν ἐπίτασιν καὶ τὴν τελείαν ἀκμήν· ἡ μὲν οὖν αὐτῆς ἀρχὴ δηλοῦται διὰ τοῦ ἐξαίφνης πόνου γενομένου τῷ 2) πάχει τοῦ βαρέος καὶ γλίσχρου χυμοῦ, εἶτα λοιπὸν πνευμάτων παχέων τικτομένων ἐμφράξεως τελείας γινομένης τοῦ ἐγκεφάλου, οὐκέτι ἐκπέμπεται ἡ δύναμις τοῖς νεύροις καὶ ἀφωνία γίνεται, ἥτις δηλοῖ ἐπίτασιν τοῦ πάθους. ἐὰν οὖν ταῦτα γένηται καὶ ῥέγχωσιν ἤτοι βεβιασμένη ἀναπνοὴ ἐπιγένηται, δηλοῦται ἡ ἀκμὴ καὶ ἀποθνήσκουσιν, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ. ἐὰν γὰρ πυρετὸς

1) κενώσει V. a. b. C. 2) τάχει V. a.

ἐπιλάβῃ, ἀναλύει τὴν ὑποκειμένην ὕλην ἐν τῇ κεφαλῇ καὶ λεπτύνει καὶ διαφορεῖ καὶ κωλύει γενέσθαι τὸν θάνατον. πλὴν σκοπεῖν 1) χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν· ἐὰν γὰρ, πυρετοῦ ἐπιγενομένου, ὑποφαίνηταί τι τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίας ἢ φαρμακοποσίας ἐόντι, χαλεπόν· δηλοῖ γὰρ παντελῆ ἀσθένειαν τῶν κλειόντων μυῶν καὶ τοῦ παντὸς σώματος· εἰ δὲ μὴ φαίνηταί τι τοῦ λευκοῦ, ἀγαθὸν σημεῖον, διότι ἐῤῥωμένην δηλοῖ τὴν δύναμιν.

ΔΑΜ. Οἷς ἐξαίφνης ὀδύνη κεφαλῆς γίνεται, μάλιστα πνεῦμα φυσῶδες αἴτιον, ἀλλὰ καὶ πλῆθος ὕλης ἐπιῤῥυείσης ἀθρόως φλεγματικῆς. διὸ καὶ ὁ πυρετὸς ἐπιγενόμενος λύει τὴν διάθεσιν, ὡς ἂν ἐκθερμαίνων καὶ λεπτύνων καὶ διαφορῶν τὸ φυσῶδες πνεῦμα καὶ τοὺς χυμούς. — Τῆς γὰρ κινούσης αὐτὰ δυνάμεως ἀσθενούσης, γίνεται τοῦτο· τὴν γὰρ ἐν παντὶ τῷ σώματι ξηρότητα δηλοῖ.

νγ΄. Αἱ παραφροσύναι, αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι· αἱ δὲ μετὰ 2) σπουδῆς, ἐπισφαλέστεραι. —

ΘΕΟΦ. Παραφροσύνη ἐστὶν ἔκστασις λογισμοῦ. ταύτης δὲ διαφοραί εἰσι τέσσαρες· 3) ἔστι γὰρ μετρία, ἐφ᾽ ᾗ γέλως μόνον γίνεται, πλὴν ἄκριτος ἐκ προσηνοῦς θερ-

---

1) COD. ESC. πολλοὺς γὰρ πολλάκις θεωροῦμεν κατὰ φύσιν οὕτως καθεύδοντας τυχὸν ἀνεωγότα ἔχοντας τὰ βλέφαρα, οὕς τινας ἐν τῇ συνηθείᾳ λαγουδάτους (Cf. Vol. I. p. 91.) οἱ ἰδιῶται καλοῦσιν. 2) κλαυθμοῦ V. c. σφαλερώτεραι. D. 3) ἡ μὲν γὰρ αὐτῶν γίνεται μετὰ γέλωτος, ἐπὶ αἱματικῷ χυμῷ ζέσαντι συνισταμένη. καὶ γὰρ χεόμενον τὸ αἷμα καὶ ἡδονὴν ἐργαζόμενον τὸν γέλωτα καλεῖ. τόπον δὲ κατειλήφει, ἔνθα τὸ διανοητικὸν, τὴν μέσην κοιλίαν τοῦ ἐγκεφάλου, ὅθεν καὶ μετριωτέρα τῶν ἄλλων ἐστὶ καὶ τὴν θερμασίαν οὐ πολλὴν ἴσχει. ἡ δὲ δευτέρα οἷον ἡ στενάζουσα ὑπὸ μελαγχολικοῦ ἢ φλεγματικοῦ χυμοῦ κατειληφότος τὸν φρονοῦντα τόπον, κακοηθεστέρα δὲ τῆς πρώτης διὰ τὴν τῶν χυμῶν διαφοράν· ἐκ γὰρ τῆς τούτων ψυχρότητος καὶ δειλία καὶ τὸ στυγνάζειν προσγίνεται. ἡ δὲ τρίτη μετὰ σπουδῆς τινος γίνεται μετρίας ὑπὸ ξανθῆς χολῆς καὶ δακνώδους, ἐπερχομένης καὶ ἐρεθιζούσης τὸ διανοητικόν. αὕτη δὲ κακοηθεστέρα μᾶλλον τῶν προειρημένων ἐστίν. ἡ δὲ τετάρτη μετὰ πλείονος σπουδῆς καὶ μανιώδους ὀργῆς γίνεται, ὑπὸ ξανθῆς μὲν καὶ αὕτη χολῆς. ὑπεροπτηθείσης

μασίας γινομένη· ἔστι δὲ ἄλλη 1) σφοδροτέρα, ἐφ' ᾗ τάραξις καὶ θράσος καὶ ὕβρις ἐπὶ ἔτι πλείονι θερμασίᾳ γινομένη· ἔστι δὲ ἄλλη σφοδροτάτη, ἐφ' ᾗ ἐστι θηριώδης τρόπος ἐπὶ παντελεῖ θερμασίᾳ ἐκ μελαγχολικωτέρου χυμοῦ. ὅσαι οὖν τούτων μετὰ γέλωτός εἰσι, ἀσφαλέστεραί εἰσι, διότι ἐπὶ ἀμυδροτέρᾳ θερμασίᾳ γίνονται ὁρμωμένη ἐξ αἵματος· ὅσαι δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι, διότι ἐπὶ σφοδροτέρᾳ θερμασίᾳ γίνονται, ὁρμωμένη ἐκ ξανθῆς χολῆς.

ΔΑΜ. Ἐπὶ χυμῷ γὰρ ἡδυτέρῳ συμβαίνουσιν αἱ μετὰ γέλωτος. γίνονται δὲ πᾶσαι παραφροσύναι, πάσχοντος τοῦ ἐγκεφάλου, ἢ πρώτως ἢ κατὰ συμπάθειαν.

νδ'. Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακόν. —

ΘΕΟΦ. 2) Σημειωτικὸς οὗτος ὁ ἀφορισμὸς τῆς ἀναπνοῆς ἐπὶ ὀξέων νοσημάτων τῶν μετὰ πυρετοῦ γινομένων. ἐπὶ οὖν τοιούτων ἡ κλαυθμώδης ἀναπνοὴ ἤγουν ἡ διακεκωλυμένη ἡ μετ' οἰμωγῆς τινος καὶ ἤχου ἐκφερομένη σημαίνει σπασμώδη διάθεσιν τῆς τῶν ἀναπνευστικῶν μυῶν ξηρότητος, ἢ φλεγμονώδη θερμασίαν, πολλάκις δὲ καὶ παραφροσύνην. ἐπ' ἀμφοτέροις δὲ τούτοις πυρετὸς ὑποκείμενος, κακόν.

δὲ καὶ τὸν φρονοῦντα τόπον καταλαβούσης. καὶ αὕτη κακοηθεστέρα τῶν ἄλλων. Ἰστέον δὲ ὅτι γέλως ἐστὶ διάχυσις πολλοῦ πνεύματος, ἐκ τοῦ ἐπιθυμητικοῦ κινουμένη, ἐπιτρεπούσης τῆς λογικῆς ψυχῆς. ὅθεν καὶ πρὸς τὴν τοιούτου πνεύματος ἐξέλευσιν οἱ μύες τῶν παρειῶν διατείνονται καὶ ἀνακαγχασμὸς τῇ τούτου διεξόδῳ τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐγγίνεται οιον συγκρουομένοις πρὸς ἑαυτὰ τῇ ῥαγδαίᾳ καὶ σφοδρᾷ διεξόδῳ τοῦ πνεύματος. ἔστι δὲ καὶ ἄλλως διάχυσις πνεύματος, πρὸς γέλωτα καταχρηστικῶς, ὅταν τις προσψαύσῃ τοὺς ἀδένας τοὺς ὑπὸ ταῖς μασχάλαις ἢ τὰ πέλματα τῶν ποδῶν καὶ τὰ τούτοις ὅμοια. πλὴν καθὼς εἴπομεν, ἐπιτρεπούσης τῆς ψυχῆς, ὁ γέλως ἐγγίνεται. οἱ γὰρ συντεταμένοι ἄνθρωποι καὶ πρὸς σεμνότητα βίου ἐσπουδακότες οὐ γελῶσιν εἰκῇ καὶ ὡς ἔτυχε, κἂν τις τοὺς ἀδένας τούτων κινήσειεν. V. b. A. b. Scholion vulgare V. a. c. N. A. a.

1) φαιδροτέρα V. c. 2) Hoc scholion om. V. a. c. C. N. A. a. Habent V. b. A. b.

ΔΑΜ. Τα παιδία πολλάκις ὁρᾶται κατὰ τὸν τοῖ κλαίειν καιρὸν εἰσπνέοντα διακεκομμένην εἰσπνοὴν, ἱσταμένου μεταξὺ τοῦ θώρακος, εἶτ' αὖθις προστιθέντος τὸ λεῖπον, ὅπερ ἐν ἐπιδημίαις εἶπεν αὐτὸς διπλῆν εἴσω ἐπανάκλησιν, οἷον ἐπείσπνευσιν. ὃ δὴ γίνεται ἢ διὰ κάματον δυνάμεως ἢ διὰ τὴν τῶν ὀργάνων σκληρότητα ἢ δι' ἄμφω συνελθόντα. τὸ μέντοι τὴν ἀναπνοὴν συμβαίνειν, ὁποία τοῖς κλαίουσι γίνεται, πρὸς τοῖς εἰρημένοις αἰτίοις ἐνδείξεταί τινα διάθεσιν ὀδυνώδη, καθ' ἣν οἷον οἰμώζοντες ἢ στένοντες ἤ τινα μικτὸν ἀποτελοῦντες ψόφον ἀναπνέουσιν οὕτως.

νε'. Τὰ ποδαγρικὰ πάθεα καὶ τὰ μανικὰ, τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται. —

ΘΕΟΦ. 1) Εὐλόγως τῷ ἦρι ταῦτα τὰ πάθη κινοῦνται, διότι χύσις ἐν αὐτῷ, θερμῷ ὄντι συμμέτρως, τῆς προσαναχθείσης ἐν χειμῶνι ὕλης γίνεται καὶ ἀποδίωξις ἀπὸ τῶν ἰσχυρῶν τόπων ἐπὶ τοὺς ἀσθενεῖς ἤγουν τοὺς πόδας· καὶ μὴν καὶ ἐν τῷ φθινοπώρῳ διὰ τὸ καταβάλλεσθαι τὰς δυνάμεις ὑπὸ τῆς ἀνωμάλου δυσκρασίας· τούτων γὰρ καταβαλλομένων, διάφοροι τίκτονται χυμοὶ

---

1) COD. ESC. Εἴρηται ἐν τῷ τρίτῳ τμήματι ὅτι γίνονται πάθη ἐν ταῖς ὥραις, ἀλλὰ τὰ μὲν οἰκεῖά εἰσι, τὰ δὲ ξενὰ καὶ ἀνοίκεια. καὶ ἀποροῦσιν ὅτι πῶς ἐνδέχεται τὰ πάθη ταῦτα γίνεσθαι ἐν τῷ ἔαρι, εἴγε εὔκρατόν ἐστι καὶ πᾶσαι αἱ δυνάμεις αἱ φυσικαὶ ἀμέμπτως ἐνεργοῦσι διὰ τὴν ἰσχὺν καὶ ῥώμην αὐτῶν· ἀλλὰ καὶ ὁ φίλιος χυμὸς τότε γεννᾶται; καὶ λέγομεν ὅτι τὸ ἔαρ οὐκ ἔστι γεννητικὸν τούτων τῶν παθῶν, ἀλλὰ τοὐναντίον διελέγχει καὶ δημοσιεύει τὰ πάθη ταῦτα· τὰς γὰρ ὕλας τὰς ἀποθησαυρισθείσας καὶ ἀποσφηνωθείσας ἐν τῷ σώματι ἔκ τε τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος ἐρχόμενον τὸ ἔαρ καὶ ἐπιλαμβανόμενον τῇ οἰκείᾳ θερμότητι καὶ εὐκρασίᾳ χύσιν ποιεῖται τῶν ὑλῶν τούτων, ἐφ' ᾗ ἰσχύσει, εἰ μὲν ψυχραί εἰσι καὶ φλεγματικαὶ φέρονται ἐπὶ τὰ ἄρθρα καὶ ποιοῦσι ποδάγρας καὶ ἀρθριτικά. εἰ δὲ χολή ἐστι, φέρεται ἐπὶ τὴν κεφαλὴν καὶ ποιεῖ μανίας. ἐν μέντοι τῷ φθινοπώρῳ τὰ πάθη ταῦτα ὡς οἰκεῖα γίνονται· ὑπὸ γὰρ τῆς δυσκρασίας καταβάλλονται αἱ δυνάμεις καὶ μάλιστα διὰ τὴν ἀνωμαλίαν· οὐδὲν γὰρ οὕτως καταβάλλει τὰς δυνάμεις ὡς ἡ ἀνώμαλος δυσκρασία· ἴσμεν γὰρ φύσει ἀνώμαλον εἶναι τὸ φθινόπωρον. In haec verba Codex Escorialensis fol. 270 exit.

καὶ πρὸς τοὺς ἀσθενεῖς καὶ κάτω τόπους διωκόμενοι ποδάγρας ποιοῦσι, ἄλλως τε καὶ διὰ τὸ ἐναποκλείεσθαι τὴν ἀθροισθεῖσαν ἐν τῷ θέρει κακοχυμίαν.

νϛʹ. Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες· ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνει. —

ΘΕΟΦ. Νῦν περὶ μελαγχολίας διαλέγεται καὶ περὶ μεταστάσεως ὕλης τῆς προσούσης αὐτῇ καὶ διαδοχῆς ἑτέρων νοσημάτων καί φησιν, ὅτι ἐὰν, ὑπὸ μελαγχολίας ἐχομένου τινὸς, ἀποσκήψῃ ἡ τοιαύτη ὕλη κατὰ μετάθεσιν εἰς τάδε, ἐπικίνδυνος· εἰ μὲν πρὸς τοὺς ὀφθαλμοὺς ἐνεχθῇ, ποιεῖ τύφλωσιν, εἰ δὲ ἐπὶ τὰ νεῦρα, σπασμοὺς τοὺς ἐπὶ πλήθει γινομένους, εἰ δὲ τελείως ἐμφράξει τὰς κοιλίας τοῦ ἐγκεφάλου, ἃς σῶμα καλοῦσι, ἀποπληξίαν ἐργάζεται, εἰ δὲ πρὸς τὰς μήνιγγας, ἀποτελεῖ μανίαν τουτέστι μελαγχολίαν τὴν ὀνομαζομένην μανιώδη.

ΔΑΜ. Γίνονται μὲν καὶ διὰ φλεγματικὸν χυμὸν ἀποπληξίαι καὶ σπασμοὶ καὶ πηρώσεις ὀφθαλμῶν, γίνονται δὲ καὶ διὰ μελαγχολικὸν, ἐπειδὴ κοινὸν ἀμφοτέροις ἐστὶ τὸ πάχος. οὐ μὴν τὸ τῆς μανίας κοινόν· δεῖται γὰρ ἐρεθίζοντος χυμοῦ καὶ δάκνοντος πρὸς τὴν γένεσιν.

νζʹ. Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃσι τῇσιν ἀπὸ τεσσαράκοντα ἐτέων μέχρι ἑξήκοντα. —

ΘΕΟΦ. Τοὺς ἀπὸ τεσσαράκοντα ἐτῶν ἄχρι ἑξήκοντα τὸ τῆς ἀποπληξίας πάθος καταλαμβάνει, ὅτι πλεονάζει μάλιστα κατ᾽ αὐτοὺς ὁ μελαγχολικὸς χυμὸς, ὃς καὶ τῇ παχύτητι ἐμφράττων τὴν ἀποπληξίαν ἀποτελεῖ. γίνεται δὲ καὶ ἀπὸ φλέγματος ἀποπληξία κατ᾽ ἐξαίρετον, ἀλλ᾽ οὐ περὶ ταύτης νῦν ὁ λόγος τῷ Ἱπποκράτει.

ΔΑΜ. Διὰ τὴν μέλαιναν χολὴν παχεῖαν οὖσαν, τότε δὲ πλεονάζουσαν.

νηʹ. Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι καὶ ἀποπεσεῖν. —

ΘΕΟΦ. Ἐπίπλοόν ἐστι πιμελώδης τις καὶ ἰνώδης

οὐσία ἐπικειμένη τοῖς ἐντέροις καὶ τῇ 1) γαστρί. τούτου πολλάκις, ἐν τῷ ὑπογαστρίῳ τρώσεως γεγονυίας, ἐκπίπτει μέρος τι, καὶ ἐπειδὴ πιμελῶδές ἐστι καὶ εὐπαθὲς, ὁμιλοῦν τῷ ἔξωθεν ἀέρι, ἀνάγκη εὐθέως σήπεσθαι. κελεύει οὖν ὁ Ἱπποκράτης τὸ ἐκπεπτωκὸς τέμνειν καὶ οὕτω τῇ γαστροῤῥαφίᾳ χρῆσθαι.

ΔΑΜ. Ὅταν γυμνωθῇ καὶ προκύψῃ ἐκτὸς ἔντερον ἢ σπλάγχνον ἢ λοβὸς ἢ τοιοῦτό τι καὶ χρονίσῃ καὶ βιαίως ψυχθῇ, ἀνάγκη σαπῆναι· εἰ δὲ αὐθωρὸν εἰσαχθῇ, οὐδαμῶς ἀληθές.

νθ'. Ὁκόσοισι ἀπὸ ἰσχιάδος ἐνοχλεομένοισιν ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐγγίνονται. —

ΘΕΟΦ. 2) Ἀθροιζόμενον γὰρ ἐκεῖσε τυχὸν ἐν τῇ κοιλότητι, ἐν ᾗ ἡ διάρθρωσις τοῦ ἰσχίου, φλέγμα οἱονεὶ καταβρέχει τοὺς συνδέσμους καὶ χαλαροὺς αὐτοὺς ποιεῖ κἀντεῦθεν ἐξίσταται, καὶ πάλιν ἐμπίπτει ἡ κεφαλὴ τοῦ μηροῦ.

ΔΑΜ. Ἐν τοῖς ἄρθροις πολλάκις ἀθροίζεται φλεγματώδης χυμὸς, ὃν ὀνομάζει μύξαν, ᾧ διαβρεχόμενοι οἱ σύνδεσμοι χαλαρώτεροι γίνονται, ὥστε ῥαδίως ἐξάγεσθαι τὸ ἄρθρον τῆς κοιλότητος καὶ εἰσάγεσθαι.

ξ'. Ὁκόσοισι ὑπὸ ἰσχιάδος ἐχομένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι φθίνει τὸ σκέλος, 3) καὶ χωλοῦνται, ἢν μὴ καυθῶσι. —

ΘΕΟΦ. Ἐὰν διὰ πλῆθος μύξης ἐπὶ πλέον ἐξεστηκὸς μένῃ τὸ ἰσχίον, γενήσεται 4) χώλανσις τοῦ σκέλους, ἀκολουθήσει δὲ ἐξ ἀνάγκης καὶ ἀτροφία, ὡς τῆς κατὰ φύσιν στερηθέντος κινήσεως. οὕτως μὲν φθίνει τὸ σκέλος καὶ 5) χωλεύει τῶν ὑπὸ ἰσχιάδος ἐνοχλουμένων, ἐὰν μὴ καυθῶσιν. εἰ μέντοι καυθῶσιν, οὐδὲν τοιοῦτον πάσχουσιν. ἡ γὰρ καῦσις τὴν μύξαν τὴν τὸ ἰσχίον ἐκπίπτειν ποιοῦσαν

1) κοιλίᾳ V. b. 2) Hoc scholion cum aphorismo om. V. b. A. b. N. 3) χωλεύουσι V. c. 4) χόλωσις V. a. 5) χωλοῦται V. a. b.

ξηραίνει καὶ ἐκδαπανᾷ καὶ στερέμνιοι γίνονται οἱ σύνδεσμοι καὶ τὸ δέρμα καὶ εἰς τὸ κατὰ φύσιν ἀποκαθίστανται, καὶ λοιπὸν οὐκέτι ἐκπίπτει ἡ κεφαλὴ τοῦ μηροῦ ἀπὸ τῆς κοιλότητος.

ΔΑΜ. Τῇ γὰρ καύσει τὴν μύξαν ξηράναντες καὶ τὴν χαλαρότητα τοῦ δέρματος, εἰς ἣν ὠλίσθαινε τὸ ἄρθρον, εἰς συντονίαν ἀχθεῖσαν, συμβήσεται πάντως, μηκέτι τὸ ἄρθρον μεθίστασθαι.

Τμῆμα ἕβδομον.

α΄. Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις τῶν ἀκρωτηρίων, κακόν. —

Ἀρχὴ τοῦ ἑβδόμου τμήματος.

ΘΕΟΦ. Περὶ ἐπιγινομένων ἐνταῦθα διαλέγεται, τὰ δὲ ἐπιγινόμενα, καθὼς εἴρηται ἐν τῷ πρὸ τοῦδε τμήματι, τετραχῶς. ὑποτίθεται οὖν ἐνταῦθα νόσημα, ὅπερ ἐστὶν ὀξὺς πυρετὸς καὶ ἐπὶ τούτῳ σύμπτωμα, ὅπερ ἐστὶ ψύξις ἀκρωτηρίων καί φησιν, ὅτι ἐὰν ἐπιγένηται ἐν τοῖς ὀξέσι πυρετοῖς ψύξις ἀκρωτηρίων τουτέστι δακτύλων, ῥινὸς, ὤτων καὶ ἁπλῶς τῶν ἐπιπολαίων μορίων ἄνευ φανερᾶς αἰτίας, κακόν ἐστι καὶ ὀλέθριον· δηλοῦται γὰρ ἀσθενὲς εἶναι τὸ ἔμφυτον θερμόν. οἶδε γὰρ ὁ πυρετὸς κατασβεννύειν αὐτὸ ἢ φλεγμονὴ ἀξιόλογος ἐν ἥπατι ἢ γαστρὶ, ἥτις τῇ ζέσει δίκην σικύας ἕλκει τὸ αἷμα πρὸς ἑαυτὴν κἀντεῦθεν λειφαιμοῦντα τὰ ἄκρα ψύχεται.

ΔΑΜ. Ἐν μὲν τοῖς χρονίοις νοσήμασι καὶ μάλισθ' ὅσα χωρὶς πυρετῶν εἰσι, καὶ κατὰ χειμῶνα, καὶ γέρουσι, ψυχρὰ γίνεσθαι τὰ τοῦ σώματος ἔσχατα, ῥῖνας καὶ ὦτα καὶ χειρῶν καὶ ποδῶν ἄκρα, οὐδὲν ἄτοπον, ἐν δὲ τοῖς ὀξέσι τὸ σύμπτωμα ὀλέθριον, φλεγμοναῖς σφοδραῖς σπλάγχνων ἐπιγινόμενον. ὅτι σὺν τῷ τὰ ἄκρα ψύχεσθαι καὶ διακαίονται τὰ ἔνδον· διὰ γὰρ τὸ τῆς φλεγμονῆς σφοδρὸν ἐπ' αὐτοῦ ἕλκεται τὸ αἷμα δίκην σικύας ἐξ ὅλου τοῦ σώματος· διὸ καὶ τὰ ἀκρωτήρια ψύχονται.

β΄. Ἐπὶ ὀστέῳ νοσήσαντι, σὰρξ πελιδνὴ, κακόν. —

ΘΕΟΦ. Νοσεῖ τὸ ὀστοῦν, ὕλης μοχθηρᾶς ἕως αὐτοῦ χωρούσης. ἐὰν οὖν, πεπονθότος αὐτοῦ, σὰρξ πελιδνὴ ἐπιγένηται, κακόν ἐστι· δηλοῦται γὰρ σβέσις τῆς κατὰ φύσιν ἐν αὐτῷ θερμασίας καὶ κακόηθες εἶναι τὸ νόσημα.

ΔΑΜ. Σβέννυται γὰρ τὸ φύσει θερμόν.

γ΄. Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν. —

ΘΕΟΦ. Ἔμετος καὶ λὺγξ ἄμφω πάθη εἰσὶ στομάχε, ἀλλὰ διαφέρουσι τῷ τόπῳ· ἐπὶ γὰρ τοῦ ἐμέτου ἐν αὐτῇ τῇ κοιλότητι τοῦ στομάχου ἐστὶν ἡ ὕλη, ἐπὶ δὲ τῆς λυγγὸς ἐν αὐτῇ τῇ οὐσίᾳ τοῦ στομάχου. ἐὰν οὖν ἐπὶ ἐμέτῳ λὺγξ ἐπιγένηται, κακὸν, ἐπειδὴ ἀπὸ ἀκυροτέρου μορίου, λέγω δὴ τῆς κοιλότητος, ἐπὶ κύριον μόριον ἤτοι τὴν οὐσίαν τοῦ στομάχου μετῆλθεν ἡ ὕλη. καὶ μὴν καὶ ὀφθαλμοὶ ἐρυθροὶ ἐπὶ ἐμέτῳ εἰ ἐπιγένωνται, κακὸν διὰ τὴν αὐτὴν αἰτίαν· συνέπαθε γὰρ ὁ ἐγκέφαλος τῷ στομάχῳ φλεγμαίνοντι· καὶ δῆλον ἐκ τῶν ὀφθαλμῶν· οὗτοι γὰρ δεξάμενοι τὴν ὕλην καὶ 1) διαταθέντες ἐρυθροὶ ἐγένοντο.

ΔΑΜ. Λὺγξ ἐπὶ ἀνιῶσι χυμοῖς εἰς τὸ στόμα τῆς γαστρὸς ἢ εἰς αὐτὴν τὴν γαστέρα συνίσταται, οὓς εἰ μὴ ὁ ἔμετος ἀπωθήσει, ἀλλὰ καὶ ἐπ᾽ αὐτῷ ἔτι ἡ λὺγξ ἐπιμένει, δυοῖν θάτερον, ἢ τὸν ἐγκέφαλον, ἢ τὴν γαστέρα φλεγμαίνειν οὐ μετρίως ἀνάγκη. ἕπεται δὲ ἀμφοτέραις ταῖς διαθέσεσι τὸ τῶν ὀφθαλμῶν ἔρευθος, μᾶλλον δὲ ταῖς κατὰ τὸν ἐγκέφαλον φλεγμονώδεσι διαθέσεσιν.

δ΄. Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν. —

ΘΕΟΦ. Ὁ ἱδρὼς ἐπιγενόμενος ἀπαλλαγὴν φέρει νοσημάτων, πλὴν οὐχ ὁ τυχὼν, ἀλλ᾽ ὁ προνοίᾳ φύσεως γινόμενος. ἐὰν ἱδρὼς γένηται καὶ οὐκ ἀκολουθήσῃ εὐφορία, ἀλλὰ μᾶλλον φρίκη, χαλεπόν ἐστι· δηλοῖ γὰρ πλῆθος ὕλης ὑποκειμένης καὶ λόγῳ κακοηθείας γίνεσθαι νοσήματος.

---

1) διατιθέντες V. a. b. quum sint affecti C. διατεθέντες.

ΔΑΜ Τὰ κρίσιμα γὰρ μὴ κρίνοντα, τὰ μὲν δύσκριτα, τὰ δὲ θανατώδεα· νικᾶσθαι γὰρ ἡ φύσις δηλοῦται ἐν ταῖς τοιαύταις διαθέσεσιν.

έ. Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν. —

ΘΕΟΦ. Ἡ κυρίως μανία ἐκ ξανθῆς χολῆς πλεοναζούσης ἐν τῷ ἐγκεφάλῳ γίνεται, ἀλλ᾽ αὕτη ἡ ὕλη 1) ἐκριφεῖσα πρὸς τὴν γαστέρα καὶ τὰ ἔντερα, ποιεῖ δυσεντερίαν, εἰ δὲ πρὸς τὸ ἧπαρ, ἀσθένειαν ποιεῖ τῆς αἱματοποιητικῆς δυνάμεως, καὶ ὕδρωπα ἐργάζεται μέτριον. ἔκστασιν δὲ ποιεῖ τουτέστι κίνησιν καὶ ταραχὴν, μέλλουσαν κρίνεσθαι κατὰ τὸ εἰρημένον, ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἐὰν οὖν τούτων τι ἐπὶ τῇ μανίᾳ ἐπιγένηται, ἀγαθόν ἐστιν· ἀπὸ γὰρ κυριωτάτου μορίου, τοῦ ἐγεκφάλου, ἐπὶ ἀκυρότερον μετενήνεκται ἡ ὕλη.

ΔΑΜ. Δυσεντερία μὲν καὶ ὁ ὕδρωψ τῷ λόγῳ τῆς μεταστάσεως, οὐ κακὰ, ἡ δὲ ἔκστασις, ἐπίτασις οὖσα μανίας, πῶς ἢ λογίσασθαι, τῇ σφοδρότητι τῶν ποιούντων αἰτίων τὴν μανίαν ἀκολουθῆσαι τὴν λύσιν, ὡς κἀν τοῖς ὀξέσι νοσήμασι τὰ σφοδρότατα τῶν συμπτωμάτων ἔστιν ὅτε κρίσεις ἀγαθὰς ἐργάζεσθαι πέφυκεν.

ϛ'. Ἐν νούσῳ πολυχρονίῳ ἀποσιτίη καὶ ἄκρητοι ἔμετοι, καὶ χολώδεες ὑποχωρήσιες, κακόν. —

ΘΕΟΦ. Πολυχρόνιος νόσος ἐστὶν ἡ ἐπὶ πολὺν χρόνον διατείνουσα, ἐφ᾽ ᾗ καὶ ἡ ἀποσιτία κακὸν καὶ ἄκρητοι ὑποχωρήσιες, ἡ ἀποσιτία μὲν κακὸν, διότι ἡ δύναμις ἐκ ταύτης ἀσθενοῦσα οὐ δύναται ἐπὶ πλείονα χρόνον διαρκέσαι ἢ καὶ μέχρις ἀπαλλαγῆς τοῦ νοσήματος, καὶ αἱ ἄκρατοι ὑποχωρήσεις, κακὸν, διότι δηλοῦσιν ἀσθένειαν παντελῆ τῆς δυνάμεως μηκέτι ἀλλοιούσης, μηκέτι συμπεττούσης, μηκέτι κατεχούσης, ὡς λοιπὸν 2) ἀκράτως τὰ διαχωρήματα φέρεσθαι.

---

1) εἰ ἐκρυῇ V. a. b. εἰ ἐκριφῇ N. 2) κατὰ φύσιν V. b. C. κατὰ κράτος V. a.

ΔΑΜ. Ἀκράτους ὑποχωρήσεις φησὶ τὰς ἀμίκτους ὑδατώδους ὑγρότητος, οἷον πικροχόλους ἢ μελαγχολικοὺς ἢ ἰώδεις ἢ πρασοειδεῖς, αἳ δηλοῦσιν ἐκπεφρύχθαι πᾶσαν τὴν κατὰ φύσιν ὑγρότητα ὑπὸ τῆς πυρετώδους θερμασίας.

ζ. Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν. —

ΘΕΟΦ. Πολυποσίαν καλεῖ τὴν πολλὴν οἰνοποσίαν, ἐφ᾽ ᾗ καὶ τὸ ῥίγος καὶ ἡ παραφροσύνη πολλάκις πέφυκε γίνεσθαι, τὸ μὲν ῥῖγος, ὑλῶν δριμειῶν θερμῶν τε καὶ δακνωδῶν κεχυμένων ἐπὶ τὰ προαιρετικὰ μόρια καὶ αἰσθητικὰ τῇ θερμότητι τοῦ οἴνου· καὶ ἡ παραφροσύνη δὲ τῇ οἰκείᾳ θερμότητι τοῦ οἴνου, ἐπὶ θερμὴν δυσκρασίαν τρεπομένου τοῦ ἐγκεφάλου. ἄμφω οὖν ταῦτα κακὰ ἐπιγενόμενα τῇ πολυποσίᾳ διὰ τὴν ὑπερβολὴν τῆς θερμασίας.

ΔΑΜ. Σβέννυται γὰρ διὰ τὸ πλῆθος τὸ ἔμφυτον θερμόν.

η΄. Ἐπὶ φύματος ἔσω ῥήξει, ἔκλυσις, ἢ ἔμετος, ἢ λειποθυμίη γίνεται. —

ΘΕΟΦ. 1) Τὸ λεγόμενον τοιοῦτόν ἐστιν ὅτι ἐὰν ἐπὶ φύματος ὄντος ἔσω εἴτε ἐν τοῖς θρεπτικοῖς, τυχὸν ἐπὶ τὸν θώρακα ἢ τὴν γαστέρα, καὶ ἐξαίφνης ῥαγῇ, φέρεται ἐκ τοῦ πύου μέρος ἢ ποιότης τις ἐπὶ τὸν στόμαχον καὶ ἐκλύει αὐτὸν καὶ ποιεῖ ἐμέτους· εἰ δὲ ἐν τοῖς ἀναπνευστι-

1) Τὰ ἐντὸς ῥηγνύμενα φύματα ἢ ἐν γαστρὶ ῥήγνυται ἢ ἐν τῇ κύστει ἢ ἐν θώρακι ἢ ἐν στομάχῳ καὶ τοῖς ἀναπνευστικοῖς. καὶ τὰ μὲν ἐν γαστρὶ ἢ ἐν κύστει ῥηγνύμενα κάτω χωροῦσι, τὰ δὲ ἐν τοῖς λοιποῖς μορίοις ἄνω, περὶ ὧν νῦν ὁ λόγος. ὅταν οὖν ἐν τῷ στομάχῳ ῥαγῇ, τῇ τε ποιότητι τοῦ πύου δάκνεται ὁ στόμαχος, βλάπτεται δὲ καὶ ἡ ἀορτὴ λεγομένη φλὲψ κἀντεῦθεν συνεξεμεῖται τῷ πύῳ χυμὸς καί τι τοῦ ζωτικοῦ πνεύματος, ὅθεν ἡ ἔκλυσις καὶ ἡ λειποθυμία ἕπεται. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ἐν θώρακι καὶ τοῖς ἀναπνευστικοῖς καταβλάπτων τὴν καρδίαν καὶ τὸν πνεύμονα. κἀντεῦθεν οὖν διὰ βηχὸς ἀνάγεται καὶ ἐξεμεῖται. τὸ γοῦν λεγόμενον τοιοῦτόν ἐστιν, ὅτι ἐὰν φῦμα εἴσω εἴτε ἐν τοῖς θρεπτικοῖς εἴτε ἐν τοῖς ἀναπνευστικοῖς τυχὸν ἐπὶ τὴν γαστέρα ἢ τὸν θώρακα καὶ ἐξαίφνης ῥαγῇ ἐκ τοῦ πύου μέρος ἢ ποιότης τις ἐπὶ τὸν στόμαχον ἢ ἐν τοῖς ἀναπνευστικοῖς ῥαγῇ, φέρεται τὸ πῦον. etc. V. b. A. b. om. hoc scholion V. a. Scholion meum habent V. c. N. C.

κοῖς ῥαγῇ, φέρεται τὸ πῦον ἐπὶ τὸν πνεύμονα καὶ τὴν καρδίαν ἢ ποιότης τις ἐξ αὐτοῦ καὶ ποιεῖ ἐκλύσεις καὶ λειποθυμίας. ταῦτα οὖν πάντα χαλεπὰ, πλὴν Ἱπποκράτης τοῦτο ὡς ὁμολογούμενον οὐκ εἶπεν.

ΔΑΜ. Ἐπὶ τῶν γινομένων συῤῥήξεων πύου κατὰ γαστέρα ταῦτα, ἐπὶ δὲ τῶν ἀναπνευστικῶν, βῆχες καὶ πνίγες, ἐπὶ δὲ ἐντέρων διαχωρήσεις.

θ'. Ἐπὶ αἵματος ῥύσεϊ παραφροσύνη, ἢ σπασμὸς, κακόν. —

ΘΕΟΦ. Ἐνταῦθα λέγει, ὅτι ἐὰν αἱμοῤῥαγία γένηται ἐξ οἱουδήποτε μορίου τοῦ σώματος καὶ ἐπὶ ταύτῃ ἀκολουθήσῃ σπασμὸς, χαλεπόν· οὐ γὰρ ἐπὶ πληρώσει ἕπεται, ἀλλ' ἐπὶ ξηρότητι. εἰ δέ ποτε, καταξηραινομένου τοῦ ἐγκεφάλου, ἀγρυπνίας δηλονότι προγεγονυίας τῇ κενώσει, γένηται καὶ παραφροσύνη, ἔτι πλέον κακόν.

ΔΑΜ. Ἐμοῦσι καὶ λύζουσι διὰ τὸ πάθος τῆς γαστρὸς, παραφρονοῦσι καὶ σπῶνται, συμπασχούσης τῆς ἀρχῆς τῶν νεύρων.

ι'. Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λὺγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν. —

ΘΕΟΦ. Εἰλεός ἐστιν ἔμετος κόπρου. 1) εἰ οὖν ἅψεται τῆς οὐσίας τοῦ στόματος τῆς γαστρὸς ἡ κόπρος, δῆξιν ποιοῦσα λύγγα ποιεῖ· εἰ δέ ποτε ἀτμοὶ δριμύτεροι ἐνεχθῶσιν ἄνω παρὰ τὸν ἐγκέφαλον, εἰ μὲν παρ' αὐτὴν τὴν οὐσίαν χωρήσουσι, παραφροσύνη γίνεται, εἰ δὲ παρὰ τὰ νεῦρα, τότε σπασμός. ταῦτα οὖν πάντα ἐπὶ εἰλεῷ γινόμενα, κακόν.

ια'. Ἐπὶ πλευρίτιδι περιπλευμονίη, κακόν. —

ΘΕΟΦ. Ἡ πλευρῖτις ἐν τῷ τὰς πλευρὰς ὑπεζωκότι ὑμένι γίνεται, ἡ περιπνευμονία δὲ ἐν τῷ πνεύμονι. κακὸν οὖν ἐπὶ πλευρίτιδι περιπνευμονίαν γίνεσθαι, διότι ἀπὸ

---

1) ἢ πάθος τῶν λεπτῶν ἐντέρων ὑπὸ ξηρᾶς κόπρου καὶ γλίσχρων καὶ παχέων χυμῶν ἐμφραττομένων καὶ φλεγμαινόντων V. b. addit.

ἀκύρου μορίου πρὸς κύριον τὸν πνεύμονια μετῆλθεν ἡ ὕλη.

ΔΑΜ. Ἐπιγίνεται γὰρ τῷ πάθει πάθος.

ιβʹ. Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

ΘΕΟΦ. Ἐπὶ κυριώτερον μόριον ἡ μετάστασις γέγονε τῆς ὕλης· ὅσον γὰρ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος ὁ πνεύμων κυριώτερος, τοσοῦτον ἐγκεφάλου ἀκυρότερος.

ΔΑΜ. Ὅταν ὑπὸ θερμοῦ χυμοῦ γένηται περιπνευμονία, πολλοὺς ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἀναπέμπουσα, πληροῖ τε τὸν ἐγκέφαλον ἀτμῶν καὶ φρενῖτιν ἐργάζεται.

ιγʹ. Ἐπὶ 1) τρώμασιν ἰσχυροῖσι ἢ σπασμὸς, ἢ τέτανος, κακόν. —

ΘΕΟΦ. 2) Ἐνταῦθά φησιν ὅτι ἐὰν ἐπὶ καυσώδει πυρετῷ σπασμὸς ἢ τέτανος γένηται, κακὸν διὰ τὸ ἐπὶ ξηρότητι γίνεσθαι.

ιδʹ. Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν, ἔκπληξις, ἢ παραφροσύνη, κακόν. —

ΘΕΟΦ. Δηλοῖ γὰρ τοὺς κροταφίτας μύας πεπονθέναι· τούτων γὰρ πληττομένων, συμπάσχει ὁ ἐγκέφαλος, ἔνθεν παραφροσύνη καὶ ἔκπληξις ἤτοι ἔκστασις ἀκολουθεῖ· ἀδύνατον γάρ ἐστι λέγειν τὸν ἐγκέφαλον 3) πεπονθέναι· τοῦτο γὰρ οὐ μόνον κακὸν, ἀλλὰ καὶ θανατῶδες.

ΔΑΜ. Παράφρων ὁ παράλογα καὶ φθεγγόμενος καὶ πράττων, ἔκπληκτος δὲ ὁ ἐφ᾽ ἡσυχίας μένων, ἔχων τοὺς ὀφθαλμοὺς ἀναπεπταμένους, τοῖς ὑπὸ δέους ὁμοίως ἐκπλαγεῖσιν.

ιεʹ. ιςʹ. Ἐπὶ αἵματος πτύσεϊ, πύου πτύσις· ἐπὶ πύου πτύσεϊ φθίσις καὶ ῥύσις· καὶ ἐπὴν τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν. —

---

1) καύμασι Hipp. 2) Ἐκ μὲν τοῦ τραύματος ἴσως δι᾽ αἱμοῤῥαγίαν ἡ ξηρότης ἐπακολουθεῖ, οὐ μὴν ἀλλὰ ἐκ πυρετοῦ λάβρου ἢ ἡλιακῆς ἐκκαύσεως. ἕπεται οὖν τῇ τοιαύτῃ ξηρότητι σπασμὸς ἢ τέτανος ὅπερ κακόν. V. b. A. b. 3) μὴ add. C.

ΘΕΟΦ. Νῦν ἐκ τῶν θωρακικῶν μορίων ὑποτίθεται φέρεσθαι τὸ αἷμα. φέρεται δὲ ἢ διὰ ῥῆξιν ἢ διὰ διάβρωσιν ἢ ἀναστόμωσιν. ἐπὶ οὖν τῇ τοῦ αἵματος πτύσει εἰς δεύτερον πλοῦν ὁδευούσης τῆς φύσεως καὶ εἰς πῦον μεταβαλλούσης τὴν ὕλην, πύου πτύσις ἕπεται. ταύτης δὲ ἐπιμενούσης τῆς πτύσεως καὶ τῇ παρόδῳ ἀμβλυνούσης τὸ ζωτικὸν πνεῦμα, ὡς μὴ χορηγεῖσθαι παρ᾽ ὅλον τὸ σῶμα, ἔκτηξις γίνεται, ἥτις φθίσις προσαγορεύεται. 1) εἰ δὲ τοσαύτη γένηται κατάπτωσις ὡς καὶ ῥύσιν τριχῶν ἢ ῥύσιν κοιλίας γενέσθαι, χαλεπώτερον. δηλοῖ γὰρ κατάπτωσιν τῶν δυνάμεων. 2) τί οὖν ὑπολείπεται; θάνατον γενέσθαι τάχιστα, εἰ τὸ πτύελον ἴσχεται διὰ τὸ ἐσχάτην εἶναι κατάπτωσιν τῶν δυνάμεων.

ΔΑΜ. Ἐπὶ τῇ τοῦ αἵματος πτύσει γίνεται πύου πτύσις, ἐφ᾽ ᾗ πάλιν φθίσις καὶ ῥύσις, τουτέστιν ἔκπτωσις τῶν τριχῶν καὶ διαχώρησις ὑγρά.

ιζ΄. Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος, λύγξ. —

ΘΕΟΦ. Ἥπατος φλεγμαίνοντος, λύγξ κακόν ἐστι· δηλοῖ γὰρ ὅτι πολλή ἐστιν ἡ πλήρωσις καὶ ἡ διάτασις, ὥστε φθάσαι τὴν στενοχωρίαν μέχρι τῆς γαστρὸς, καὶ στενοχωρουμένης αὐτῆς, γενέσθαι τὴν λύγγα, ἢ ὅτι δηλοῖ φλόγωσιν πολλὴν, ἥτις ἐκθερμαίνουσα τὰ περὶ τὴν γαστέρα καὶ τὸ στόμα αὐτῆς, λύγγα ποιεῖ.

ΔΑΜ. Γίνεται δὲ τοῦτο τῷ μεγέθει τῆς φλεγμονῆς, εἰς συμπάθειαν ἀγομένου τοῦ στομάχου διὰ τῶν κοινῶν νεύρων, εἰ καὶ βραχύτατα ταῦτά ἐστιν, ἢ διὰ τὸ χολὴν δριμεῖαν γεννᾶσθαι τῇ τοῦ ἥπατος φλεγμονῇ καὶ συῤῥεῖν εἰς τὴν ἀρχὴν τῶν ἐντέρων, ἧς ἐπιπολαζούσης καὶ ἀναθε-

---

1) *ἀλλὰ καὶ ἀτμοὶ ἀναδίδονται, οἱ μὲν λεπτότεροι πρὸς τὴν κεφαλὴν καὶ τὰς ῥίζας διακαίοντες τῶν τριχῶν ἀποῤῥέειν αὐτὰς ἀπεργάζονται· οἱ δὲ παχεῖς βρίθουσι πρὸς γαστέρα καὶ ῥύσιν ἐμποιοῦσι κἀντεῦθεν ἐξατονοῦσα ἡ δύναμις ὡς μηδὲ τὸ πῦον δύνασθαι ἀναφέρειν, ἀποθνήσκουσιν. οὕτως ἡ τοῦ πύου ἐπίσχεσις τὴν τῶν δυνάμεων κατάπτωσιν ἐπισημαίνεται.* V. b. A. b. 2) Haec om. C. habent V. a. c. N.

ούσης εἰς τὴν γαστέρα δάκνεσθαί τε καὶ διὰ τοῦτο λύζειν τῷ στομάχῳ συμβέβηκεν.

ιη΄. Ἐπὶ ἀγρυπνίῃ σπασμὸς καὶ παραφροσύνη, κακόν. —

ΘΕΟΦ. Καὶ ἐνταῦθά φησιν, ὅτι ἐὰν ἐπ' ἀγρυπνίᾳ σπασμὸς γένηται, κακὸν, διότι ἐπὶ ξηρότητι δηλοῦται γίνεσθαι· ἡ γὰρ ἀγρυπνία ξηρότητα ποιεῖ. εἰ δὲ καὶ παραφροσύνη ἐπιγένηται, χαλεπώτερον· δηλοῖ γὰρ ἐπίτασιν τῆς ξηρότητος.

ΔΑΜ. Διὰ ξηρότητα· κενωτικὸν γὰρ λίαν ἡ ἀγρυπνία.

1) Ἐπὶ ληθάργῳ τρόμος, κακόν. —

ΘΕΟΦ. Ὁ λήθαργος πάθος ἐστὶ περὶ τὸν ἐγκέφαλον συνιστάμενον, ἐξ ὑγρᾶς καὶ ψυχρᾶς ὕλης τὴν γένεσιν ἔχων, ἐξ ἧς καὶ τὸ δυσδιέγερτον σὺν ἀτονίᾳ τοῦ φυσικοῦ πνεύματος ἐπικέκτηται· πλὴν μετὰ βληχροῦ πυρετοῦ τὸ πάθος γίνεται. ἐὰν οὖν ἐπὶ ληθάργῳ τρόμος ἐπιφανῇ, κακὸν ἤτοι ἐπισφαλές· δηλοῖ γὰρ τοσαύτην εἶναι τὴν ὑγρὰν καὶ ψυχρὰν ὕλην, ὡς καὶ τὸν νωτιαῖον μεταλαμβάνειν κἀκεῖθεν τὸ νευρῶδες γένος τῇ πληρώσει σπᾶσθαι· ἄλλος δέ τις τῶν ἀφορισμῶν ἐξηγητὴς τὸν τρόμον ἐπὶ ληθάργῳ κακὸν ἔφη διὰ τὸ δηλοῦν ἄμετρον ξηρότητα.

ΔΑΜ. Ἐπίτασιν γὰρ δηλοῖ τοῦ ψυχροῦ καὶ ὑγροῦ χυμοῦ.

ιθ΄. Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας, κακόν. —

ΘΕΟΦ. Ψίλωσίς ἐστιν ἡ τοῦ φυσικοῦ περιβλήματος στέρησις. ἐὰν οὖν ἐπὶ ὀστέου ψιλώσει ἤτοι στερήσει σαρκῶν καὶ δέρματος ἐρυσίπελας ἐπιγένηται, κακόν· δηλοῖ γὰρ ἐπίῤῥοιαν αἱματικωτέρας ὕλης, ἥτις διαβιβρώσκει καὶ ἐκδαπανᾷ τὰς ἐπικειμένας σάρκας· τὸ γὰρ ἐρυσίπελας ὑπὸ αἵματος ξανθοχολικωτέρου γίνεται.

ΔΑΜ. Μοχθηρόν ἐστι τὸ, συγγυμνωθέντος τοῦ ὀστοῦ, φανῆναι τὴν πέριξ σάρκα ἐρυσιπέλατι κατειλημμένην.

---

1) Om. hunc aphoris. vulgatae edd.

κ'. Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν, ἢ ἐκπύησις, κακόν. —

ΘΕΟΦ. Ἐὰν ἐρυσίπελας γένηται καὶ κατὰ μέρος παύσηται, δηλονότι τὸ αἷμα σήπεται τῷ χρόνῳ καὶ ἐντεῦθεν νομή τις καὶ σῆψις γίνεται, ἣν σηπεδόνα ὁ Ἱπποκράτης λέγει· εἰ δέ ποτε ῥωσθείη ἡ δύναμις, ἄρχεται μετακοσμεῖν τὴν σαπεῖσαν ὕλην καὶ εἰς πῦον μεταβάλλειν κἀντεῦθεν ἐκπύησις. ἐπὶ ἐρυσιπέλατι οὖν ταῦτα ἐπιγινόμενα κακόν· δηλοῦται γὰρ κακόηθες εἶναι τὸ ἐρυσίπελας.

κα'. Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσι ἕλκεσι αἱμοῤῥαγίαι, κακόν. —

ΘΕΟΦ. Ἰσχυρὸν σφυγμὸν καλεῖ τὴν σφυγματώδη ὀδύνην, ἥτις οὐ γίνεται ἄλλως, εἰ μὴ συνδράμῃ καὶ μεγάλη φλεγμονὴ τῇ ἀρτηρίᾳ παρακειμένη. ἐὰν οὖν ἐφ' ἕλκει σφυγματώδης ᾖ ὀδύνη καὶ αἱμοῤῥαγία γένηται, κακὸν, πρῶτον μὲν ὅτι φλεγμονὴν μεγίστην ἐνδείκνυται ἐν τῷ ἕλκει οὖσαν, δεύτερον δὲ ὅτι ἐπὶ τῶν τοιούτων σφυγμῶν ἡ αἱμοῤῥαγία δηλοῦται ἀπὸ ἀρτηρίας ἀναστομωθείσης γίνεσθαι. ἄμφω οὖν κακά.

ΔΑΜ. Αἱμοῤῥαγία γὰρ γίνεται ἐπὶ τοῖς ἔχουσιν ἰσχυροὺς καὶ ὀδύνην ἐργαζομένους σφυγμοὺς, οἵτινες γίνονται ἐπὶ τῶν φλεγμαινόντων ἑλκῶν, ἐφιεμένης τῆς φύσεως διώσασθαι τὰ λυποῦντα διὰ τῆς αἱμοῤῥαγίας.

κβ'. Ἐπὶ ὀδύνῃ πολυχρονίῳ τῶν περὶ τὴν κοιλίην ἐκπύησις, κακόν. —

ΘΕΟΦ. Ἡ ὀδύνη γίνεται περὶ τὴν κοιλίαν ἢ πνευμάτων περιουσίᾳ ἢ λεπτῇ καὶ δριμείᾳ ὕλῃ ἢ παχείᾳ καὶ φλεγματικῇ. ἐνταῦθα οὖν διὰ πάχος χυμῶν ὑποτίθεται τὴν ὀδύνην· αὕτη γὰρ καὶ ἐπὶ πολὺν χρόνον παρατείνεται, ἐφ' ᾗ καὶ προσδοκία πυοποιήσεως· σήπεται γὰρ τῷ χρόνῳ καὶ εἰς πῦον μεταβάλλεται καὶ ἔστιν ὁ λόγος οὐ μόνον ἐπὶ τῆς σιτοδόχου κοιλίας ἁρμόδιος, ἀλλὰ καὶ ἐπὶ παντὸς μορίου κοιλότητα ἔχοντος.

ΔΑΜ. Ἡ γὰρ τοιαύτη ὀδύνη ἡ μὴ δυναμένη διαλυ-

θῆναι τῷ χρόνῳ φλεγμονήν τινα δηλοῖ, ἥτις καὶ εἰς ἐκπύησιν μεθίσταται.

κγ΄. Ἐπὶ ἀκρήτῳ ὑποχωρήσεϊ δυσεντερίη, κακόν. —

ΘΕΟΦ. Ἄκρητον ὑποχώρησιν λέγει τὴν παντὸς χυμοῦ ἀνόθευτον καὶ ἀμιγῆ κένωσιν, ἥτις τῇ παρόδῳ δῆξιν ἢ ἀνάβρωσιν τῶν ἐντέρων ποιοῦσα δυσεντερίαν εἰκότως ἐργάζεται, ὅπερ καὶ χαλεπόν ἐστι.

ΔΑΜ. Ἀκράτους ὑποχωρήσεις φησὶν τὰς ἀμίκτους ὑγρότητος ὑδατώδους, αὐτὸν μόνον ἐχούσας εἰλικρινῆ τὸν ὑπερμαχόμενον χυμόν.

κδ΄. Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη καὶ ἔκπληξις, ἢν ἐς 1) κενεὸν λάβῃ. —

ΘΕΟΦ. 2) Ἐὰν τὸ τῆς κεφαλῆς ὀστοῦν διακοπῇ, ὡς φθάσαι τὴν διαίρεσιν καὶ μέχρις αὐτοῦ τοῦ κενεοῦ ἤτοι τόπου τοῦ περιέχοντος τὸν ἐγκέφαλον, ἐξ ἀνάγκης παραφροσύνη γίνεται καὶ ἔκπληξις, 3) ἐπειδὴ παράκεινται αἱ μήνιγγες καὶ μεταλαμβάνουσαι τοῦ πάθους φλεγμαίνουσι κἀντεῦθεν παραφροσύνη γίνεται καὶ ἔκπληξις.

ΔΑΜ. Ἤως ἕως τῆς ἔνδον κενότητος ἤτοι τῆς ἐπιφανείας, διότι πλησιάζει ταῖς μήνιγξι καὶ τῷ ἐγκεφάλῳ.

κε΄. Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες. —

ΘΕΟΦ. Ἐὰν ἐπὶ ὑπερκαθάρσει γένηται σπασμὸς, θανατῶδες· δηλοῖ γὰρ ἄμετρον ξηρότητα.

ΔΑΜ. Διὰ τὴν ἄκραν ξηρότητα.

---

1) κενεῶνα V. c. 2) Κενεὸν λέγει τὸν περὶ τὸν ἐγκέφαλον ἐντὸς τοῦ κρανίου κενὸν τόπον, ἔνθα φασὶ τὸ ψυχικὸν πνεῦμα ἐνυπάρχειν. Ὀστέου δὲ διακοπὴν εἰπὼν αὐτοῦ ἐκείνου τοῦ κρανίου μέμνηται. ὅταν οὖν ὑπὸ πληγῆς τινος διαιρεθῇ τὸ κρανίον μέχρι αὐτοῦ τοῦ κενοῦ, δυσκρασίαν ὑφίσταται τὸ ψυχικὸν πνεῦμα ἢ παρεμπιπτον τὸ ὀστοῦν στενοχωρεῖ αὐτὸ ἢ τὸ δικτυῶδες παθὸν πλέγμα ἀναγγέλλει τὸ πάθος πρὸς τὴν καρδίαν. ἄμφω δὲ ταῦτα ἔκπληξιν καὶ παραφροσύνην ἐπάγει καὶ φλεγμονὴν τοῦ περὶ τὰς μήνιγγας τόπου. V. b. A. b.
3) Omi quae sunt deinceps C. A. a.

κς΄. Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν. —

ΘΕΟΦ. Ἰσχυρὰ ὀδύνη γίνεται περὶ τὴν κοιλίαν διὰ φλεγμονὴν ἢ ἕρπητα ἢ ἐρυσιπελατώδη ὄγκον. ἐὰν οὖν ἐπὶ ταύτῃ τῇ ὀδύνῃ ψύξις ἀκρωτηρίων γένηται, θανατῶδες· δηλοῖ γὰρ ἀσθένειαν τοῦ ἐμφύτου θερμοῦ ἢ τὴν φλεγμονὴν ἀξιόλογον, ἥτις δίκην σικύας, καθὼς εἴρηται, τὸ αἷμα ἕλκουσα ψυχρὰ καταλιμπάνει τὰ ἄκρα.

ΔΑΜ. Γίνεται μὲν καὶ διὰ μέγεθος φλεγμονῆς ἐν τῷ βάθει, γίνεται δὲ καὶ διὰ λειποψυχίαν ἢ τῷ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν ἐν ὠμοῖς τοῖς χυμοῖς ἢ διὰ πλῆθος πνίγεσθαι ταύτην.

1) Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος, ἐκτρῶσαι ποιέει. —

ΔΑΜ. Ἡ γὰρ μήτρα συμφυὴς οὖσα τῷ ἀπευθυσμένῳ ἐντέρῳ, ἐν ᾧ ὁ τεινεσμὸς γίνεται, κάμνει.

κζ΄. Ὅ τι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον διακοπῇ ἐν τῷ σώματι, οὐκ αὔξεται. —

ΘΕΟΦ. Ἢ διὰ τὸ εἶναι ψυχρὰ καὶ ξηρὰ, ἢ διότι, ὡς εἴρηται, ἐκ σπέρματος ἔχουσι τὴν γένεσιν.

κη΄. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον. —

ΘΕΟΦ. Περὶ τοῦ λευκοφλεγματίου ὑδέρου ὁ λόγος τῷ Ἱπποκράτει, ἐφ' ᾧ διάῤῥοια ἰσχυρὰ τουτέστι κατὰ παράτασιν χρόνου γινομένη λύει τὴν νόσον τῷ λόγῳ τοῦ ἐκκενοῦν τὴν νοσοποιὸν αἰτίαν. λευκὸν δὲ εἶπε φλέγμα ἢ πρὸς ἀντιδιαστολὴν ἄλλου· ἔστι γὰρ καὶ πελιδνὸν φλέγμα, ἢ δι' αὐτὸ τὸ ὂν ὡς τὸ γάλα λευκόν.

ΔΑΜ. Τὸ λευκὸν φλέγμα ὕδερόν φησιν, ὡς καὶ πελιδνοῦ φλέγματος ὄντος.

---

1) Hic aphor. cum scholio om. in codd. Theophili.

κθ΄. Ὁκόσοισιν ἀφρώδεα διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ἐπικαταῤῥέει. —

ΘΕΟΦ. Ὁ ἀφρὸς ἐξ ὑγροῦ καὶ πνεύματος σύγκειται. ἐὰν οὖν ἐν ταῖς διαῤῥοίαις φανῇ, εἰκότως ἀπὸ τῆς κεφαλῆς ἀντικαταῤῥεῖ. καὶ γὰρ ὁ ἐγκέφαλος τούτων τῶν δύο εὐπορεῖ, τοῦ-μὲν κατ' οὐσίαν, τοῦ δὲ κατὰ κρᾶσιν, κατ' οὐσίαν μὲν ὅτι ὑγρός ἐστι, κατὰ κρᾶσιν δὲ ὅτι ψυχρός ἐστιν· ἡ δὲ ψυχρὰ κρᾶσις πνευμάτων ἐστὶ γεννητική.

λ΄. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν, ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσι. —

ΘΕΟΦ. Κρίμνον καλοῦσιν οἱ παλαιοὶ τὸ ἁδρομερέστερον τοῦ ἀλφίτου ἢ τοῦ σίτου· ἀπὸ τούτου μεταφορικῶς ἐν τῷ οὔρῳ. ἐὰν ἁδρομερῆ τινα εὑρεθῶσιν ἔχοντα περιγραφὴν, κριμνώδη οὖρα καλοῦνται. ἀλλὰ ταῦτα τὰ κριμνώδη ἢ διὰ σύντηξιν σώματος γίνονται ἢ διὰ παχεῖαν ὕλην ἐν τῷ σώματι οὖσαν καὶ θερμασίαν 1) περιφρύττουσαν αὐτήν. περὶ τούτου οὖν τοῦ σημαινομένου ὁ λόγος τῷ Ἱπποκράτει· φησὶ γὰρ ὅσοις γένηται κριμνῶδες τὸ οὖρον, πυρετοῦ ὑποκειμένου καὶ πάχους ὕλης, χρόνιον τὸ νόσημα γενήσεται· χρόνου γὰρ δέεται ἡ φύσις λεπτῦναι τὴν παχεῖαν ταύτην ὕλην.

ΔΑΜ. Κριμνώδεις ὑποστάσεις φησὶ τὰς ἐοικυίας πιτύροις μὴ ἀκριβῶς ἀληλεσμένοις.

λα΄. Ὁκόσοισι χολώδεες αἱ ὑποστάσιες γίνονται, ἄνωθεν δὲ λεπταὶ, ὀξείην τὴν ἀῤῥωστίην σημαίνουσιν. —

ΘΕΟΦ. Ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὅσοις χολώδεις αἱ ὑποστάσεις εἰσὶ τουτέστι κεχρωσμέναι ὑπὸ χολῆς, ἄνωθεν δὲ ἤτοι ἐξ ἀρχῆς τοῦ νοσήματος λεπταὶ καὶ ὑδατώδεις, σύντομον δηλοῦσι τὸ νόσημα. καὶ ἡ αἰτία, ἐπειδὴ ἤρξατο γίνεσθαι σύμπεψις καὶ ἡ ὕλη ἐκφράττεσθαι.

---

1) περιφράττουσαν V. b. C.

λβ'. Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἐν τῷ σώματι ἰσχυρή ἐστι. —

ΘΕΟΦ. Διεστηκὸς οὖρον καλεῖ τὸ ἀνώμαλον τὸ κατά τι μὲν πεπεμμένον ὑπάρχον, κατά τι δὲ ἄπεπτον. οἷς οὖν τοιαῦτα οὖρα γίνεται, χαλεπώτατά εἰσι· δηλοῖ γὰρ, ποῦ μὲν ἐπικράτειαν τῆς φύσεως, ποῦ δὲ τῆς παρὰ φύσιν διαθέσεως, ὅθεν Ἱπποκράτης εἰκότως ἔφη, τὰ τοιαῦτα ταραχὴν σημαίνει.

ΔΑΜ. Ἀδύνατον εἶναι τὰ οὖρα διεστηκότα· συνεχῆ γάρ εἰσιν ἀεὶ ἑαυτοῖς, μηδεμίαν χώραν κενὴν ἐν τῷ μέσῳ ἔχοντα. εἰ δὲ τὸ κατὰ σύστασιν ἀνώμαλον εἰρῆσθαι δεχοίμεθα, δεόντως εἶπε ταραχὴν ἰσχυρὰν αὐτὸ σημαίνειν· κρατούσης γὰρ τῆς φύσεως, ἥνωται· στασιαζόντων δὲ τῶν νοσωδῶν αἰτίων, τὸ μὲν κρατούμενον ἑτέραν, τὸ δ' ἀνθιστάμενον ἑτέραν ἴσχει τὴν ἰδέαν.

λγ'. Ὁκόσοισι δὲ ἐν τοῖσιν οὔροισιν ἐπίστανται πομφόλυγες, φρενιτικὰ σημαίνουσι, καὶ μακρὴν ἀῤῥωστίην ἐπιγενήσεσθαι. —

ΘΕΟΦ. Πομφόλυξ ἐστὶ 1) πνεῦμα φυσῶδες ὑπὸ ὑγρότητος ἐγκαταλαμβανόμενον. ἀλλ' αὕτη γίνεται ὑπὸ πνεύματος καὶ ὑγρότητος ἢ παχείας ἢ λεπτῆς. ἵστανται δὲ ἐπάνω τοῦ οὔρου διὰ τὸ ἄνω ὠθεῖσθαι παρὰ τοῦ πνεύματος. ὅσοις οὖν ἐνεχθῇ πομφολυγῶδες οὖρον μὴ εὐθέως ἀποκαθιστάμενον, δηλοῖ μακρὰν τὴν νόσον. τὸ γὰρ πάχος εἰς μῆκος χρόνου εἴωθεν ἐκτείνειν τὰ νοσήματα. ἀλλὰ μὴν καὶ νεφρῖτιν· ἐκ τῶν πλησίον γὰρ φέρεται. εἰ γὰρ ἐκ τῶν πόῤῥω ἐφέρετο, τυχὸν ἐκ γαστρὸς ἢ θώρακος, λεπτυνόμενον τῇ κινήσει ταχὺ ἂν ἀπεκαθίστατο.

ΔΑΜ. Αἱ πομφόλυγες ἐξ ὑγρότητος γλίσχρου συνίστανται, πνεύματι φυσώδει μεμιγμένης.

λδ'. Ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ, καὶ 2) ὀξέα σημαίνει. —

---

1) αἱ ἐν τοῖς ὕδασι πολλάκις γινόμεναι καὶ ἐπινηχόμεναι φυσάλιδες αἵτινες γίνονται ὑπὸ etc. V. b. 2) ὀξείην τὴν ἀῤῥωστίην ἔσεσθαι V. a. b. c. D.

ΘΕΟΦ. Λιπαρὰν ὑπόστασιν λέγει τὴν πιμελώδη καὶ ἐλαιώδη, ἥτις ἄνω ἐφίσταται. οἷς οὖν τοιαύτη ὑπόστασις, νεφριτικὰ σημαίνει, ἐὰν ἀθρόα ἐστὶ τουτέστι παχεῖα ὡς πρὸς ἅπαξ ἢ δεύτερον ἐνεχθῆναι, ἐπὶ γὰρ τῶν νεφρῶν τηκομένης τῆς πιμελῆς, ταχέως ἐκκρίνεται, ἐπὶ δὲ τῆς ἐν ὅλῳ τῷ σώματι, βραδέως. αὕτη καὶ ὀξεῖαν τὴν ἀῤῥωστίαν δηλοῖ ἤτοι σφοδρὰν θερμασίαν ἐν τοῖς νεφροῖς απαγγέλλουσαν τὴν τὸ πιμελῶδες συντήκουσαν.

ΔΑΜ. Οὖρον γὰρ καὶ διαχώρημα λιπαρὰ ἐπὶ συντήξει γίνεται πιμελῆς τῆς κατὰ πᾶν τὸ σῶμα, οὐ τῆς τῶν νεφρῶν.

λε΄. Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι, τὰ προειρημένα ξυμβαίνει σημεῖα, πόνοι τε ὀξέες περὶ τοὺς μύας τῆς ῥάχιος γίνονται· ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω· ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς ἔσω τόπους γίνωνται, καὶ τὸ απόστημα προσδέχου ἐσόμενον μᾶλλον ἔσω. —

ΘΕΟΦ. Νεφριτικοὺς καλεῖ τοὺς ἔχοντας φλεγμονὴν ἢ ἔμφραξιν περὶ τοὺς νεφρούς. ἐὰν οὖν ἐστιν νεφριτικὴ διάθεσις καὶ τὰ προειρημένα σημεῖα πολλάκις συμβῶσι τουτέστιν ἢ οὖρον λεπτὸν καὶ ὑδατῶδες, ἢ ὑπόστασις πομφολυγώδης, γένωνται δὲ πόνοι περὶ τοὺς μύας τοὺς ῥαχιαίους, τῆς ἐν νεφροῖς ὕλης πρὸς αὐτοὺς μεταβάσης, εἰ μὲν περὶ τοὺς ἔξω ῥαχιαίους μῦς οἱ πόνοι γίνονται, καὶ τὸ ἀπόστημα ἔξω δεῖ προσδέχεσθαι, εἰ δὲ πρὸς τοὺς ἔσω τουτέστι τοὺς ψοΐτας, καὶ τὸ ἀπόστημα ἐκεῖσε δεῖ προσδέχεσθαι.

λς΄. Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον· ἢν δὲ ξὺν πυρετῷ, ὀλέθριον κάρτα. θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι καὶ τοῖσι στυπτικοῖσι. —

ΘΕΟΦ. Νῦν ὁ Ἱπποκράτης ὑποτίθεται τὴν κένωσιν τοῦ αἵματος ἀπὸ τῶν θρεπτικῶν γινομένην. ἐὰν οὖν αὕτη ἄνευ πυρετοῦ γένηται, ἀγαθὸν, πλὴν μέτριον· δηλοῖ γὰρ μὴ εἶναι φλεγμονὴν, ὅθεν ἀναφέρεται τὸ αἷμα, ἀλλὰ

μόνον ἀναστόμωσιν. εἰ δὲ μετὰ πυρετοῦ, ὀλέθριον κάρτα ἤγουν πάνυ. δηλοῖ γὰρ φλεγμονὴν εἶναι, ἐξ ὧν τὸ αἷμα ἀναφέρεται δι' ἀνάῤῥωσιν. εἶτα καὶ θεραπείαν ἐν τῷ τέλει παραδίδωσι· λέγει γὰρ, ὅτι θεραπεύειν δεῖ τοῖς στύφουσι καὶ ψύχουσι, πλὴν οὐ πάσης αἱμοῤῥαγίας, ἀλλὰ τῆς δι' ἀναστόμωσιν γινομένης. ταύτην γὰρ τὰ στύφοντα καὶ ψύχοντα θεραπεύουσιν ὡς ἀναστολὴν ποιοῦντα.

ΔΑΜ. Τοῖς γὰρ ἀπυρέτοις οὐδεμία φλεγμονὴ κατὰ τὸν τόπον ἐστὶν, ὅθεν ἀναφέρεται τὸ αἷμα, ὥστε ἢ κατὰ ἀναστόμωσιν ἀγγείου ἢ μεθ' ἑλκώσεως χωρὶς φλεγμονῆς, ἃ τοῖς στυπτικοῖς θεραπεύεται.

λζ'. Κατάῤῥοοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέρῃσιν εἴκοσιν. —

ΘΕΟΦ. Κατάῤῥουν λέγει τὴν σύῤῥοιαν τῆς ὕλης τὴν ἐπὶ τὴν τραχεῖαν ἀρτηρίαν ἢ τὰς κοιλότητας τοῦ θώρακος ἢ παρ' αὐτὸν τὸν πνεύμονα γινομένην, κοιλίαν δὲ ἄνω τὸν θώρακα, παραβάλλων πρὸς τὴν κοιλίαν. ἐὰν οὖν γένηται κατάῤῥους ἐν ταύτῃ τῇ ἄνω κοιλίᾳ, ἐν εἴκοσιν ἡμέραις ἐκπυΐσκεται τὸ μήκιστον διὰ τὴν περιουσίαν τοῦ ἐμφύτου θερμοῦ. ἔστι γὰρ ὅτε καὶ τῇ ἑνδεκάτῃ καὶ τῇ 1) τεσσαρασκαιδεκάτῃ ἐκπυΐσκεται· τοῦτο δὲ γίνεται πρὸς τὴν δύναμιν τοῦ ὑποκειμένου σώματος καὶ πρὸς τὴν ὑποκειμένην ὕλην.

ΔΑΜ. Ἄνω κοιλίαν φησὶ τὴν ὑπὸ τοῦ θώρακος περιγραφομένην, ἣν ὁ πνεύμων κατείληφεν.

λη'. 2.) Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίναιον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει. —

λθ'. Ἢν γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτον. —

---

1) Cod. V. a. finitur p. 277. 2) Aphor. et Scholion om. Codd. Aphorismum sine scholio habet D.

ΘΕΟΦ. Πολλάκις ἔμφραξις γίνεται περὶ τὰς ἀποφύσεις τῶν νεύρων τὰς φερομένας παρὰ τοὺς μύας τῆς γλώσσης καὶ μηκέτι δυνάμεως ἐπιχορηγουμένης τοῖς μυσὶ, ἀναίσθητος καὶ ἀκίνητος ἡ γλῶσσα γίνεται, ἣν ἀκρατῆ γλῶσσαν ὁ Ἱπποκράτης λέγει. ὅτι δὲ ἐξ ἐμφράξεως γίνεται οὕτως, δῆλον ἐκ τοῦ εἰπεῖν ἐξαίφνης. οὐ γὰρ φλεγμονὴ οὐδὲ ξηρότης ἐξαίφνης ἀκίνητον δύναται ποιῆσαι τὴν γλῶσσαν· λοιπὸν οὖν, ὡς εἴρηται, ἔμφραξις ἐκ παχυτάτης ὕλης. ἐὰν οὖν ἡ γλῶσσα ἀκρατὴς ἢ ἄλλο οἱονδήποτε μόριον τοῦ σώματος ἀπόπληκτον γένηται τουτέστιν ἀκίνητον καὶ ἀναίσθητον, μελαγχολικὸν τὸ τοιοῦτον ἀντὶ τοῦ ὑπὸ μελαγχολικοῦ χυμοῦ ἐμφράττοντος γίνεται.

ΔΑΜ. Ἀκρατῆ, ἢ τὴν ἀστήρικτον, ὡς μὴ διαρθρεῖν τὴν φωνὴν, ἢ τὴν ἀκίνητον καὶ παραλελυμένην, ὡς καὶ τὸ ἀπόπληκτον. διὰ τί δὲ μελαγχολικὰ, οὐκ οἶδα.

μ΄. Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν. —

ΘΕΟΦ. 1) Καὶ ἐπὶ τῶν ἀκμαζόντων καὶ τῶν ἄλλων ἡλικιῶν κακὸν τὸ τοιοῦτον· δηλοῖ γὰρ ἄμετρον ξηρότητα· πάνυ δὲ κακὸν ἐπὶ τῶν γερόντων διὰ τὴν κατάπτωσιν τῶν δυνάμεων.

ΔΑΜ. Κοινῶς ἐπὶ πάντων, τοῖς δὲ πρεσβυτέροις τὰ μοχθηρὰ πάντα χείρω.

μα΄. Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ τὴν γένεσιν, ὕδατος πολλοῦ θερμοῦ κατὰ τῆς κεφαλῆς καταχεομένου, λύσις. —

ΘΕΟΦ. Χολῆς μνησθεὶς λόγῳ παραδείγματος, ὡς βραχυλόγος τοὺς λοιποὺς χυμοὺς προσυπακούεσθαι ἐσήμανε τουτέστι φλέγμα, αἷμα καὶ χολὴν μέλαιναν. ἐὰν οὖν γένηται πυρετὸς μὴ ἀπὸ χολῆς μηδὲ ἀπὸ φλέγματος μηδὲ ἀπὸ ἄλλου οἱουδήποτε χυμοῦ, ἀλλ' ἐπὶ πνεύμασι ἢ στερεοῖς, τότε ὠφελεῖ ἡ κατάχυσις τοῦ θερμοῦ ὕδατος ὡς

1) Om. C.

εὐκρατοῦσα. 1) [οὐ γάρ ἐστιν ὕλη ἡ ὀφείλουσα χύσιν ὠδίνειν]. εἰ δέ τις λέγει, διὰ τί ὁ Ἱπποκράτης τὴν κατάχυσιν διὰ τῆς κεφαλῆς κελεύει γίνεσθαι, λέγομεν, ἵνα ἐκ ταύτης παρ' ὅλον τὸ σῶμα παραῤῥυῇ.

ΔΑΜ. Τοὺς ἐφημέρους αἰνίττεται, οὔτε δὲ τοὺς ἐπὶ φλεγμοναῖς κυρίων μορίων, οὔτε τοὺς ἐπὶ σήψει χυμῶν.

μβ'. Γυνὴ ἀμφιδέξιος οὐ γίνεται. —

ΘΕΟΦ. Ἀμφιδεξίους ὀνομάζουσι τοὺς ἀμφοτέρας τὰς χεῖρας εὐκινήτους ἔχοντας· οὐκ ἐπὶ πάντων γάρ εἰσιν αἱ δύο εὐκίνητοι, ἀλλὰ μόνον ἡ δεξιά. καὶ τούτου αἴτιος ὁ συνεθισμός, ὡς εἴγε τις συνείθιστο ἐκ παίδων τὴν ἀριστερὰν κινεῖν, αὕτη ἐπιτηδειοτέρα γίνεται εἰς κίνησιν. εἰ δὲ ἀμφοτέρας, ἀμφιδέξιος γίνεται· ὡς γὰρ εἴρηται, κίνησις κρατύνει, ἀργίη δὲ τήκει. οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλὰ καὶ διὰ ῥώμην φύσεως, ὅθεν μᾶλλον ἄῤῥενες ἀμφιδέξιοι ἢ γυναῖκες. ἄλλοι δὲ οὕτως ἀμφιδέξιος ἐκλαμβάνονται, ὅτι γυνὴ περὶ τὸν δεξιὸν κόλπον οὐ γίνεται.

ΔΑΜ. Διὰ τὸ τῆς φύσεως ἀσθενὲς τῇ δεξιᾷ μόνῃ χρῆται μετρίως.

μγ'. Ὁκόσοι ἔμπυοι καίονται, ἢ τέμνονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίγνονται· ἢν δὲ βορβορώδες, καὶ δυσώδες, ἀπόλλυνται. —

ΘΕΟΦ. Ἔμπυοι κυρίως εἰσὶν οἱ μεταξὺ πνεύμονός τε καὶ θώρακος ἔχουσι τὸ πῦον. τούτοις οὖν καιομένοις εἰ μὲν λευκὸν καὶ λεῖον καὶ ὁμαλὸν συμβῇ ῥυῆναι τὸ πῦον, ἀγαθαὶ ἐλπίδες· δηλοῖ γάρ, ὅτι ἡ φύσις ἔῤῥωται καὶ κατεκρατήθη ἡ παρὰ φύσιν διάθεσις· εἰ δὲ δυσώδες καὶ βορβορώδες, ἀπόλλυνται· δηλοῖ γὰρ ἐπικράτειαν μὲν τοῦ νοσήματος, κατάπτωσιν δὲ τῶν δυνάμεων. Ἰστέον δὲ ὅτι ἐπὶ τῶν Ἱπποκράτους χρόνων ἔκαιον τοὺς ἐμπύους μεταξὺ τῶν δύο πλευρῶν καὶ τοσοῦτον διὰ βάθους, ὡς

1) Om. V. b. quae possit inferre dolorem C.

καὶ αὐτὸν τὸν ὑπεζωκότα διατιτρᾷν, ἵνα διὰ τῆς διαιρέσεως ἐνεχθῇ τὸ πῦον.

ΔΑΜ. Οἱ κατὰ πᾶν μόριον ἀπόστασιν σχόντες πυοποιηθεῖσαν.

μδ΄. Ὁκόσοι ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται· ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισίν ἐστι· ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται. —

ΘΕΟΦ. Ἐνταῦθά φησιν, ἐὰν ἐν ἥπατι πῦον περιέχηται καὶ καῦσις παραληφθῇ, ζητητέον τὸ ἐκκρινόμενον πῦον· εἰ γὰρ εἴη λευκὸν καὶ καθαρὸν, περιγίνονται· σημαίνει γὰρ τὸ τοιοῦτον πῦον ῥώμην καὶ ἰσχὺν τῆς ἀλλοιωτικῆς δυνάμεως καὶ τὴν φλεγμονὴν ἔξω περὶ τὸν ὑμένα τοῦ ἥπατος εἶναι, ἐλευθέραν δὲ τὴν οὐσίαν τοῦ ἥπατος εἶναι· εἰ δὲ οἷον ἀμόργη τουτέστι οἷον στάθμη ἐλαίου ῥυῇ, ἀπόλλυνται διὰ τὰς ἐναντίας αἰτίας.

ΔΑΜ. Περιγίνονται μὲν, ὡς μηδὲν πεπονθυίας τῆς οὐσίας τοῦ σπλάγχνου· εἰ δ' οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται· εἰκὸς γὰρ γίνεσθαι τοιαύτην τὴν ἄπεπτον σηπεδόνα τοῦ ἥπατος.

με΄. Ὀφθαλμῶν ὀδύνας ἀκρατοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη λύει. —

ΘΕΟΦ. Ὃ λέγει, τοιοῦτόν ἐστιν, ἐὰν γένηται ὀδύνη ὀφθαλμῶν, χρὴ ἄκρατον οἶνον ποτίσαι καὶ λούσαντα φλεβοτομεῖν, πλὴν τοῦτο ποιεῖν, ἐάν ἐστιν ἡ ὕλη ἐν μόνῳ τῷ ὀφθαλμῷ, καὶ πρῶτον μὲν τὴν ἀκρατοποσίαν ποιεῖν, εἶτα λουτρῷ χρῆσθαι, ἵνα χύσις γένηται τῆς ὕλης καὶ οὕτως χρὴ φλεβοτομεῖν, ἵνα κατάστασις τῆς προχυθείσης γένηται ὕλης.

ΔΑΜ. Παρέγγραπτος.

μς΄. Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστος γίνεται. —

ΘΕΟΦ. Οὗτος ὁ ἀφορισμὸς ἀνωτέρω εἴρηται. Ἰστέον

δὲ ὅτι ὅσοι ὅμοιοι τοῖς 1) λεχθεῖσι, παρεντεθειμένοι εἰσὶ καὶ οὐχ Ἱπποκράτους.

μζ΄. Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω. —

ΘΕΟΦ. Στραγγουρίαν τὴν διὰ φλεγμονὴν οὖσαν ἐν τῇ κύστει ἢ διὰ πλῆθος ὑγροῦ καταλύοντος τὴν δύναμιν αὐτῆς ἡ φλεβοτομία λύει τῷ κενοῦν τὴν νοσοποιὸν ὕλην. πλὴν χρὴ τὰς εἴσω τῶν ἰγνυῶν ἢ σφυρῶν τέμνειν φλέβας. δυσουρίαν δὲ τὴν δι᾽ ἔμφραξιν φυσωδῶν πνευμάτων ἢ γλίσχρων χυμῶν ἡ θώρηξις λύει· ὁ γὰρ οἶνος ὁ ἄκρατος ὡς θερμὸς ἀναλύει καὶ διαφορεῖ ταῦτα.

ΔΑΜ. Τὴν μὲν ἀπὸ ψύξεως ἡ θώρηξις λύει ἤτοι ἡ πόσις τοῦ ἀκράτου οἴνου, τὴν δὲ σὺν πλήθει καὶ ἀπὸ δριμύτητος ἡ φλεβοτομία.

μη΄. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα, ἢ ἐρύθημα ἐν τῷ στήθεϊ ἐπιγενόμενον, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νόσημα. —

ΘΕΟΦ. 2) Ἰδοὺ καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν γέγραπται οὕτως ἔχων τὴν λέξιν, ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ βρόγχῳ ἤγουν ἐν τῷ τραχήλῳ, ἀγαθόν. τοῦτο μὲν ἐνταῦθα προσέθηκε τὴν αἰτίαν ἤγουν τὸ ἔξω τρέπεται. ἐξήγημαι δὲ ἐπὶ πλέον ἐν τῷ δ΄ καὶ ὁ ζητῶν εὑρήσει.

μθ΄. Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶ ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσι, ὑγιέες γίνονται. —

ΘΕΟΦ. Σφακελισμὸν ἐνταῦθα ἀκουστέον τὴν ἀρχομένην νομὴν καὶ σῆψιν. οἷς οὖν ὁ ἐγκέφαλος σφακελισθῇ τουτέστι νομὴν, σῆψιν ἄρξηται δέξασθαι, ἐν τρισὶν ἡμέραις ἀπόλλυνται διὰ τὸ εἶναι τὸ πάθος χαλεπὸν καὶ τὸ

---

1) *ῥηθεῖσι* V. b. 2) *Εἴρηται γὰρ παρ᾽ Ἱπποκράτους ἡ αἰτία· ἀπὸ γὰρ κυρίου εἰς ἄκυρον μόριον ἠνέχθη ἡ ὕλη.* V. b. C. A. a. b. N. scholion meum est codicis V. c.

μόριον κυριώτατον, ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίγνονται· δηλοῦται γὰρ ῥώμη δυνάμεως.

ΔΑΜ. Σφακελισμός ἐστιν ἡ φθορὰ τοῦ κυρίου μορίου ἤτοι τοῦ ἐγκεφάλου. ταχὺς μὲν οὖν ὁ θάνατος τῷ σφακέλῳ ἕπεται διά τε τὸ χαλεπὸν αὐτοῦ καὶ τὸ κύριον τοῦ μορίου. μὴ φθάσαντος δὲ ἀποθανεῖν ἐν τρισὶ ταῖς πρώταις ἡμέραις, ἀλλ' εἰς τὴν τετάρτην ἀφικομένου, παρακμάζειν τε χρὴ τὸ πάθος ἐλπίζειν, ἐῤῥῶσθαί τε τὴν δύναμιν, ὡς κρατῆσαι τελείως αὐτοῦ.

ν΄. Πταρμὸς γίνεται ἀπὸ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διϋγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ· ὑπερχέεται γὰρ ὁ ἀὴρ ὁ 1) ἐνεὼν ἔξω· ψοφέει δὲ, ὅτι διὰ στενοῦ αὐτέῳ ἡ διέξοδος. —

ΘΕΟΦ. Πταρμός ἐστι ψόφος τις περὶ τὰ ἠθμοειδῆ ὀστᾶ. γίνεται δὲ διχῶς ἢ διὰ θερμασίαν ἐν ἐγκεφάλῳ οὖσαν ἢ διὰ ὑγρασίαν. ἡ μὲν γὰρ θερμασία ἕλκει πρὸς ἑαυτὴν περιττώματα καὶ πληροῖ τὸν ἐγκέφαλον. ἡ 2) δὲ ὑγρότης αὐτόθεν κατακλύζει αὐτόν. πληροῦται οὖν τὸ κενὸν τὸ ἐν τῇ κεφαλῇ καὶ ταράττεται ὁ ἐγκέφαλος μὴ ἔχων ποῦ 3) διασταλῆναι, κἀντεῦθεν ἐπεγείρεται ἡ ἀποκριτικὴ δύναμις καὶ ἀποδιώκει τὸ ὑγρὸν ἐγκαταμεμιγμένον ἔστιν ὅτε πρὸς τὰς ῥῖνας καὶ ποιεῖ πταρμόν· καὶ ἡ μὲν ὑγρότης ποιεῖ τὴν μύξαν, τὸ δὲ πνεῦμα διὰ στενοῦ τόπου διϊκνούμενον τουτέστι διὰ τῶν ἠθμοειδῶν ὀστῶν ποιεῖ τὸν ψόφον.

να΄. Ὁκόσοι ἧπαρ περιωδυνέουσι, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὴν ὀδύνην. —

---

1) εἴσω ὢν D. 2) reliqua desiderantur. Restant vigintisex aphorismi, quorum interpretationem praetermisit Philotheus vel quoniam faciles sint vel quoniam ex superiorum interpretatione facile intelligi possint vel certe quia, sicut dicit Galenus, nothi sint et Hippocrati adscripti, cum aut sint ex supradictis aphorismis consarcinati aut illorum partes vel iidem ipsi mutatis tantum verbis suppositi. Hunc Corradi versio finem habet. Codices Vindobb. V. b. c. Ambrosiani A. a. b. Naniauus porro pergunt. 3) διαστῆναι V. b.

ΘΕΟΦ. 1) *Ὅσοι, φησὶν, ὀδυνῶνται τὸ ἧπαρ, ἐὰν ἐπιγένηται τούτοις πυρετὸς, λύει τὴν ὀδύνην τοῦ ἥπατος. σκόπει δὲ ἀκριβῶς, περὶ ποίας ὀδύνης τοῦ ἥπατός φησιν· ἐὰν γὰρ ὀδυνᾶται τὸ ἧπαρ διὰ σφοδράν τινα φλεγμονὴν ἢ διὰ δριμύτητα, ἀναγκαῖον ὅτι καὶ πυρέττει· ὁ πάσχων καὶ μεγάλως ὑπὸ τοῦ πυρετοῦ καταβλάπτεται· εἰ δὲ διὰ πνεῦμα φυσῶδες καὶ ὕλην τινὰ παχυτέραν ἡ ὀδύνη γέγονε τοῦ ἥπατος, ὁ πυρετὸς ἐπιγενόμενος λύει· πέττει τε γὰρ τὴν παχυτέραν ἐκείνην ὕλην καὶ τὸ φυσῶδες πνεῦμα διαθερμαίνει καὶ ὑγείαν προξενεῖ.*

ΔΑΜ. Οὐκ ἐπὶ πάντων, ἀλλὰ τῶν διὰ πνεύμονα ἢ καὶ ἔμφραξιν ὀδυνωμένων.

νβ'. Ὁκόσοισι ξυμφέρει αἷμα ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, τούτους ἔαρι χρὴ φλεβοτομέεσθαι. —

ΘΕΟΦ. Φησὶν ὁ Γαληνὸς καὶ περὶ τούτου τοῦ ἀφορισμοῦ, ὅτι καὶ οὗτος προεγράφη κατὰ τήνδε τὴν λέξιν, ὁκόσοις φαρμακεία ἢ φλεβοτομία συμφέρει, τοῦ ἦρος φλεβοτομεῖν ἢ φαρμακεύειν χρή. ἐν τοῖς πλείοσι δὲ τῶν ἀντιγράφων οὐδόλως γέγραπται οὐδὲ οἱ πλείονες τῶν ἐξηγητῶν ἴσασιν οὔτε ἅπαξ οὔτε δὶς γεγραμμένον.

νγ'. Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀπόκειται, καὶ ὀδύνην παρέχει, οὐκ ἔχον διέξοδον, οὐδὲ ἐς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τρεπομένου τοῦ φλέγματος, λύσις γίνεται τῆς νούσου. —

ΘΕΟΦ. 1) *Φρένας καλεῖ τὸ διάφραγμα, γαστέρα δὲ*

---

1) Om. hoc et sequens scholion. V. b. N. A. a. b. 2) *Οἷστισι, φησὶν, ἀπόκειται φλέγμα μεταξὺ καὶ μέσον τῶν φρενῶν ἤγουν τοῦ διαφράγματος καὶ τῆς γαστρὸς, τῆς σιτοδόχου δηλονότι, καὶ κείμενον μὲν παρέχει τῷ σώματι ὀδύνην, κινούμενον δὲ πρὸς ἐξέλευσιν οὐχ εὑρίσκει διέξοδον, οὔτε μὴν εἰς ἄλλην τῶν κοιλιῶν δύναται τραπῆναι ἤγουν οὔτε εἰς τὴν τοῦ θώρακος κοιλότητα, ἵνα διὰ βηχὸς ἐξέλθοι, τοῦ διαφράγματος ἐμποδίζοντος δηλονότι, μήτε αὖ εἴς τι τῶν ἐντέρων διὰ τὸ εὐπαθῆ σφόδρα τὴν αὐτῶν εἶναι οὐσίαν, τὸ τοιοῦτον ἡ φύσις προνοουμένη, διά τινων καθέλκει φλεβῶν καὶ πρὸς τὴν κύστιν καταφέρει*

πάντα τὰ ὑποχόνδρια. ἐὰν οὖν μεταξὺ γαστρὸς καὶ σπλάγχνων ὑγρότης περιέχηται καὶ μὴ εὕρῃ διέξοδον μήτε εἰς τὴν τοῦ θώρακος κοιλότητα διὰ τὸ τὸ διάφραγμα ἐμποδίζειν μήτε εἴς τι τῶν ἐντέρων διὰ τὴν οὐσίαν αὐτοῦ, πολλάκις διὰ τῶν φλεβῶν χωρεῖ παρὰ τοὺς νεφροὺς καὶ δι' οὔρων κενοῦται. διὰ φλεβῶν δὲ χωρεῖ, οὐχ ὅτι ἀναστομοῦνται, ἀλλ' ὅτι ἡ φύσις προνοουμένη ποιεῖ διὰ τῶν ἀδήλων πόρων ἐλθεῖν παρὰ τὰς φλέβας τὴν ὕλην.

ΔΑΜ. Μεταξὺ γαστρὸς καὶ φρενῶν οὐδένα τόπον ἄλλον ἀκούειν κάλλιον ἢ τὴν εὐρυχωρίαν, ὅση κάτω μέν ἐστι τῶν φρενῶν, ἔνδον δὲ τοῦ κατὰ ἐπιγάστριον περιτοναίου. ἀεὶ δὲ ταῖς ὕλαις ἡ φύσις ὁδὸν εὑρίσκει εὐμηχάνως, καὶ παχείαις οὔσαις αὐταῖς διὰ λεπτοτάτων πόρων.

νδ'. Ὁκόσοισιν ἂν τὸ ἧπαρ ὕδατος ἐμπλησθὲν ἐς τὸν ἐπίπλοον ῥαγῇ, τουτέοισι ἡ κοιλίη ὕδατος ἐμπίπλαται, καὶ ἀποθνήσκουσι. —

ΘΕΟΦ. 1) Ἐνταῦθά φησιν ὅτι πολλάκις ἐν τῷ ἥπατι γίνεται παρὰ τὸν ὑμένα αὐτοῦ οἷον πομφολυγώδης τις ἐπανάστασις ἐν ᾗ ἐπίῤῥοια γίνεται ὑδατώδους οὐσίας· τῷ χρόνῳ ῥήγνυται καὶ ἐκχεῖται καὶ φέρεται πρὸς τὴν κοιλίαν, οὐ τὴν σιτοδόχον, ἀλλὰ πρὸς πᾶν τὸ κύτος, ὃ κάτω τοῦ θώρακός ἐστι καὶ μένει· εἶτα ἐπιῤῥοίας γινομένης, οὐδὲ ἧττον ἐκείνῳ τῷ μορίῳ τουτέστι τοῦ ἥπατος μετὰ ῥῆξιν μηκέτι κατεχομένου, φέρεται τὸ ἐπιῤῥέον πρὸς τὴν κοιλίαν καὶ πληροῦται καὶ οὕτως ἀπόλλυνται.

καὶ δι' οὔρων ἐκκρίνει καὶ εἰ τοῦτο γένηται, ὑγιεῖς οἱ ἐκ τοιούτων φλεγμάτων πάσχοντες γίνονται V. c.

1) Ὅσοις, φησὶ, γεμισθῇ τὸ ἧπαρ ὕδατος, ἔπειτα ῥαγῇ καὶ σχισθῇ ἤγουν ῥεύσῃ τὸ ὕδωρ εἰς τὸ λίπος ἤγουν εἰς τὴν χώραν, ἐν ᾧ ὁ ἐπίπλους κεῖται, οὗτοι πληρωθείσης τῆς κοιλίας αὐτῶν ὕδατος θνήσκουσιν. ἐπιτηδειότατον γάρ ἐστι τὸ ἧπαρ ὑδατίδας γεννῆσαι κατὰ τὸν ἔξωθεν αὐτοῦ ὑμένα, ὅπερ ἐξετάζων τις ἴδοι καὶ ἐπὶ τῶν σφαττομένων ζώων. ἐὰν οὖν ποτε συμβῇ ῥαγῆναι τὰς ὑδατίδας, ἐκχεῖται δηλονότι τὸ ὕδωρ εἰς τὴν κατ' ἐπιγάστριον χώραν ἤγουν πλησίον τῆς πιμελῆς

ΔΑΜ. Ἐπιτηδειότατόν ἐστι τὸ ἧπαρ ὑδατίδας γεννῆσαι κατὰ τὸν ἔξωθεν αὐτῷ περικείμενον ὑμένα. ἐὰν οὖν ποτε συμβῇ ῥαγῆναι τὰς ὑδατίδας, ἐκχεῖται τὸ ὕδωρ εἰς τὴν ἐπὶ τὸ κατ' ἐπιγάστριον καὶ περιτόναιον, ἐν ῇ καὶ τὸ κατὰ τοὺς ὑδέρους ἀθροίζεται. εἰς δὲ τὸ ἐπίπλοον οὐχ οἷόν τε ῥυῆναι τὸ ὕδωρ ἄνευ τοῦ διαβρωθῆναί πως αὐτό. ἢ τοίνυν διαβιβρώσκεσθαι τὸν ἐπίπλουν ἀνάγκη ἢ εἰς τὸν ἐπίπλουν ἀκουστέον, ἀντὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ. τὸ δ' ἐμπίπλασθαι τὴν κοιλίαν ὕδατος, οὐ τὴν σιτοδόχον φησὶν, ἀλλὰ τὸ κύτος ἅπαν, ὃ κάτω τοῦ θώρακός ἐστι, καθ' ὃ σημαινόμενον οἵ τε προγάστορες λέγονται καὶ αἱ γυναῖκες ἐν γαστρὶ ἔχειν. τὸ δ' ἀποθνήσκειν τοὺς τοιούτους ὡς καὶ τοὺς ὑδερικοὺς ὡς ἐπὶ τὸ πολὺ ἀκουστέον, οὐ τὸ διηνεκῶς. καὶ γὰρ περιγίνονται, ὡς καὶ οἱ ὑδερικοὶ τοῖς ὑδατώδη καθαίρουσι φαρμάκοις, τοῖς οὐρητικοῖς ἐμπλάστροις, ἀλοιφαῖς καὶ τοῖς λοιποῖς.

νε'. Ἀλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος, λύει τὴν νόσον. —

ΘΕΟΦ. Ἀλύκη ἐστὶν 1) ἀδυναμία ἄλογος ὡς ἐναλλάττειν τὰ σχήματα τὴν κατάκλισιν μὴ φέροντας τοὺς ταύτην ἔχοντας. γίνεται δὲ ὑπὸ φλέγματος ἡμισαποῦς, ὅπερ ἀηδίαν ποιεῖ περὶ τὸ στόμα μάλιστα τῆς γαστρός. χάσμη δέ ἐστι σπασμώδης κίνησις τῶν σιαγονίτων μυῶν. γίνεται δὲ πληρουμένων τῶν μυῶν τούτων ὑπὸ φυσωδῶν πνευμάτων καὶ διατεινομένων. φρίκη δέ ἐστι περίψυξις, ἥτις ὑπὸ φλέγματος γίνεται. ταῦτα οὖν πάντα τὰ συμπτώματα λύει οἶνος ἴσος ἴσῳ τῷ ὕδατι κεκραμμένος πινόμενος, ἐκλεπτύνων καὶ θερμαίνων καὶ διαφορῶν τὰς αἰτίας τῶν συμπτωμάτων τούτων.

ΔΑΜ. Ἀλύκην φησὶ τὴν δυσφορίαν γινομένην διὰ χυμὸν ἀνιαρὸν, ἀναπεμπόμενον εἰς τὸ στόμα τῆς γαστρὸς, χάσμη δὲ γίνεται δι' ὑγρότητα πνευματώδη, περιεχομένην

καὶ καταβιβρώσκει αὐτὴν, ἔπειτα ἐμπλήσσει καὶ ἡ κοιλία παντὸς τοῦ τοιούτου ὕδατος καὶ τραπέντος ὡς πρὸς ὕδρωπα ἀποθνήσκουσιν V. c.

1) ἀδημονία A. a. b. N.

ἐν τοῖς μυσίν. ὡσαύτως καὶ φρίκη γίνεται διὰ περιουσίαν μοχθηρῶν ὑγρῶν κατὰ τὸ δέρμα διαθεόντων. λύει δὲ τὴν νόσον ὁ οἶνος, ἐπειδὴ καὶ τὸ σῶμα θερμαίνει καὶ ταχέως ἐπὶ πάντα τὰ μόρια φέρεται καὶ χρηστοὺς ἐργάζεται τοὺς χυμούς.

νϛʹ. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος. —

ΘΕΟΦ. 1) Καί τοῦτον τὸν ἀφορισμὸν ὁ Γαληνὸς ἐκ δευτέρου γεγραμμένον εἶναί φησι. καὶ γὰρ ἔγραψεν ὁμολογουμένως ὁ Ἱπποκράτης κατὰ τήνδε τὴν λέξιν εἰρημένον, ὁκόσοισιν ἐν τῇ οὐρήθρᾳ φύματα φύεται, τούτοισι διαπυήσαντος καὶ ἐκραγέντος λύσις. καὶ ἡμεῖς ἐκεῖ ἀρκούντως ἡρμηνεύσαμεν, ὥστε τὸ διττολογεῖν περισσόν.

νζʹ. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γενέσθαι παραχρῆμα. —

ΘΕΟΦ. Ὑπὸ πολλῶν αἰτιῶν συμβαίνει τὸν ἐγκέφαλον σεισθῆναι ὑπὸ προφάσιός τινος τουτέστιν ὑπὸ βιαίας πτώσεως· ἄλλοτε μὲν γὰρ σείεται ὑπὸ βίας ὅλου τοῦ σώματος καὶ πτώσεώς τινος ἐξ ὑψηλῶν γενομένης τόπων ἢ ὑπὸ βιαίας πληγῆς ἢ δι' ἄλλου τινός. 2) ὅσοις οὖν ὁ ἐγκέφαλος σεισθῇ, ἀνάγκη παραχρῆμά ἀφώνους γενέσθαι. ἐν γὰρ τῇ διασείσει τὰ μὲν τῶν νεύρων διαλύεται, ἄλλα δὲ διασπῶνται κἀντεῦθεν ἀφωνία καὶ θάνατος ἐπακολουθεῖ.

ΔΑΜ. Ἡ γὰρ ψυχικὴ δύναμις εἰς ἑαυτὴν συστέλλεται, ἀνιαθεῖσα τῇ σφοδρᾷ κινήσει τοῦ ἐγκεφάλου.

νηʹ. Τοῖσι σώμασι τοῖσι ὑγρὰς τὰς σάρκας ἔχουσι, δεῖ λιμὸν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα. —

---

1) Om. V. b. A. a. b. N. Habet V. c. 2) ὁπόθεν οὖν σεισθῇ, ἐξαίφνης ἀφωνία γίνεται. ἐν γὰρ τῷ τοῦ ἐγκεφάλου σεισμῷ τὰ τῆς γλώττης κινητικὰ νεῦρα πάσχουσι καὶ τούτων πασχόντων ἀκίνητος ἡ γλῶσσα διαμένει καὶ παρευθὺς ἀφωνία γίγνεται V. c.

ΘΕΟΦ. 1) *Ὑγρὰς τὰς σάρκας ὑποτίθεται, ἐφ᾽ ὧν ἐστι πλεονεξία αἵματος. ἐπὶ τούτων οὖν δεῖ λιμὸν ἐμποιεῖν. καὶ ἡ αἰτία, ὅτι ὁ λιμὸς ξηραίνει καὶ τὸ ἐναντίον ἐναντίου πάντως ἂν εἴη ἴαμα.*

νθ΄. Ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ τὸ σῶμα καταψύχεται, καὶ πάλιν θερμαίνεται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλει, μῆκος νούσου σημαίνει.—

ΘΕΟΦ. 2) *Εἴπερ τις μνημονεύει τῶν ἔμπροσθεν εἰρημένων, ἰδοὺ καὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶν ὑπομνημάτων ἐξηγησάμεθα οὕτω κἀκεῖ γεγραμμένον, καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα ψύχηται καὶ αὖθις θερμαίνηται καὶ εἰ χρῶμα ἕτερον ἐξ ἑτέρου γένηται, νόσου μῆκος σημαίνει.*

ΔΑΜ. 3) *Αἱ πολλαὶ γὰρ διαθέσεις καὶ χρόνου πλείονος εἰς πέψιν δέονται καὶ τὸν κίνδυνον ἐπιφέρουσιν ὁμοτίμως τῷ πλήθει.*

ξ΄. Ἱδρὼς πουλὺς, ἢ θερμὸς, ἢ ψυχρὸς ῥέων αἰεὶ, σημαίνει πλέον ὑγρόν. ὑπάγειν οὖν τῷ μὲν ἰσχυρῷ ἄνωθεν, τῷ δὲ ἀσθενεῖ, κάτωθεν. —

---

1) *Εἰ θέλεις, φησὶν, θεραπεύειν τοὺς ἔχοντας τὰς σάρκας ὑγρὰς, διὰ λιμοῦ θεράπευε ἤγουν δι᾽ ἐνδείας ἢ τροφῆς ξηροτέρας. διότι ὁ λιμὸς ξηραίνει τὰ ὑγρὰ σώματα. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα. ἐὰν γὰρ ἀποῤῥέῃ μέν τι τοῦ σώματος μὴ ἀναπληροῦται δὲ ὑπὸ τροφῆς κενούμενον, ἀναγκαῖον αὐτὸ ξηρότερον γενήσεσθαι.* V. c. In hunc Aphorismum 58 et quidem in *ἴαμα* desinunt V. b. A. a. b. N. 2) Hoc scholion solus habet Cod. V. c. 3) Hoc ultimum est Damascii scholion. In codice D. textus reliquorum aphorismorum sine scholiis sequitur. Codicis subscriptio: *ὑπὸ Ἀνδρέου Δαρμαρίου τοῦ Ἐπιδαυρίου ἐν τῷ ἔτει ͵αφπδ΄. ἰουνίῳ α΄.* Emptus hic liber Tubingae in bibliothecam illustrissimi Ducis Wirtebergici *τοῦ φιλοχρίστου κυρίου Λοδοβίκου* de Andrea Darmario Peloponnesio die 8. Sept. 1584.

ΘΕΟΦ. 1) *Ἐν τῷ τετάρτῳ τῶν ὑπομνημάτων ἕτερον ἀφορισμὸν ἐξηγησάμεθα οὕτω γεγραμμένον, ἱδρὼς πολὺς θερμὸς ἢ ψυχρὸς, ἀεὶ ῥέων, ὁ ψυχρὸς μείζω, ὁ θερμὸς δὲ ἐλάσσω νόσον σημαίνει. οὗτος γοῦν ἐκείνῳ κατὰ πάντα ὅμοιός ἐστιν.*

---

1) Hoc ultimum scholion V. c. Plerique omnes autem Theophilei commentarii codices, quodquot vidi (sunt enim innumerabiles) in vocem *ἴαμα* Aphor. 58. desinunt. Codex Nanianus hos versus habet ad finem:

Ἔληξεν εἰς ἴαμα βίβλος, ἣν βλέπεις,
νοημάτων ὡς οὖσα λοξῶν ὀρθότης.

In secundo Volumine

insunt:

Verzeichniß einiger Werke, welche bei den Verlegern dieses Buches erschienen sind.

Abhandlungen, historische und literarische der Königlich deutschen Gesellschaft zu Königsberg. Herausgegeben vom Prof. W. Schubert, 1. u. 2. Samml. gr. 8. 1830. 1832. 2 Thlr. 14 ggr.

Arriani, Nicomed. de Expeditione Alexandri libri VII. recens. et annot. max. part. criticis tum aliorum, tum suis instruxit I. E. Ellendt. 2 Vol. 8. 1832. 33. 4 Thlr. 20 ggr.

Ciceronis, M. T. de claris Oratoribus liber qui dicitur Brutus. c. Not. I. A. Ernesti aliorumque interpret. select. ed. suasque adjecit Fr. Ellendt. 8. 2 Thlr.

Drumann, W., Geschichte Roms in seinem Uebergange von der republikanischen zur monarchischen Verfassung, oder Pompejus, Cäsar, Cicero und ihre Zeitgenossen nach Geschlechtern. 1r Bd. gr. 8. 1834. 3 Thlr. (der 2. Bd. ist unter der Presse.)

Ebert, I. F., ΣΙΚΕΛΙΩΝ, sive commentariorum de Siciliae veteris Geographia Historia, Mythologia, Lingua, Antiquitatibus sylloge. etc. etc. Vol. I. 8. 1831. 20 ggr.

Ellendt, Fr., Lexicon Sophocleum, adhibitis veterum interpretum explicationibus, Grammaticorum notationibus, recentiorum doctorum commentariis compos. Vol. I. fasc. 1 et 2. oder Bogen 1—40. 8. 1834. 3 Thlr. 8 ggr.

(Das Ganze wird circa 110—120 Bogen umfassen und bestimmt bis Ostern 1835 beendigt seyn.)

Graff, E. G., die althochdeutschen Präpositionen, Ein Beitrag zur deutschen Sprachkunde etc. gr. 8. 1824. 1 Thlr. 12 ggr.

Lehrs, K., de Aristarchi studiis Homericis ad praeparandum Homericorum carminum textum Aristarcheum 8. 1833. 2 Thlr. 4 ggr.

Lobeck, Ch. A., Aglaophamus sive de theologiae mysticae Graecorum causis libri III. accedunt Poëtarum Orphicorum reliquiae 2 Bde. 8. 1829. 10 Thlr.

Otfrid's Krist, das älteste im 9. Jahrhundert verfaßte hochdeutsche Gedicht nach Handschriften kritisch herausgegeben von E. G. Graff. gr. 4. 1831. 5 Thlr. 16 ggr.

Sachs, L. W., und F. Ph. Dulk, Handwörterbuch der practischen Arzneymittellehre. — I. und II. Theil letzterer in 2 Bänden gr. 8. 12 Thlr.

(Der 3. und letzte Theil erscheint 1835.)

Schubert, F. W., de Romanorum Aedilibus libri IV. 8. 1828. 3 Thlr.

Struve, K. L., über die lateinische Declination und Congugation. Eine grammatische Untersuchung gr. 8. 1825. 1 Thlr. 20 ggr.

— — Quaestiones de dialecto Herodoti Spec. 1. 2. 3. 8. 1828 bis 1820. 1 Thlr.